SANCTI PATRIS NOSTRI

JOANNIS CHRYSOSTOMI

OPERA OMNIA.

ADMONITIO

AD HOMILIAM IN PARABOLAM DEBITORIS DECEM MILLIUM TALENTORUM.

Non obscuram temporis notam affert Chrysostomus num. 1 hujus concionis, cum ait: *Nos autem unam chordam pulsavimus per totam Quadragesimam, dum legem vobis de juramentis recitavimus, et Dei gratia effectum est, ut pleraque a nobis ora in hac legis melodia ita instituta sint, ut, depulsa prava consuetudine, pro eo quod antea Deum jurabant, jam nihil nisi Est, et Non est, et Crede mihi, in lingua sua circumferant, idque in omni colloquio*, etc. Hæc porro confer, sodes, cum epilogis pene omnibus Homiliarum in Statuas, quas initio secundi Tomi locavimus, ibique non modo adhortantem ad juramenta vitanda Chrysostomum deprehendes, sed etiam versus Quadragesimæ finem gratias Deo agentem, quod non frustra nec sine fructu huic curando vitio manum admoverit. Hæc de vitando juramento monita pertinent ad Quadragesimam anni 387, ut diximus Admonitione in Homilias de Statuis: hinc vero sequitur hanc concionem in Parabolam debitoris decem millium talentorum eodem anno 387 post Quadragesimam habitam fuisse. Nimirum postquam juramenta de medio sustulerat, aliud curandum malum, ut optimus medicus, suscipit: scilicet odium *proximi* et μνησικακίαν, sive injuriarum oblatarum memoriam.

Hanc porro homiliam habuit postquam ex morbo convaluerat; unde etiam ediscimus ipsum eodem anno ab assueto concionandi officio ea de causa aliquanto tempore abstinuisse: qua vero anni tempestate id acciderit, jam est disquirendum. Aliquid sane lucis ad ejus rei notitiam assequendam mutuamur ex Sermone primo in Annam Tom. IV, ubi paulo post initium hæc habentur, *Vos enim, nunc estis obliti, nos multos interim sermones de aliis rebus habuisse. Nam reverso a longinqua illa peregrinatione patre nostro, necessarium fuit omnia commemorare, quæ in comitatu acciderant, ac deinde cum gentilibus disputare, ut hos vi calamitatis ad meliorem frugem revocatos, qui deserto gentilium errore sese ad nos contulerant, pro virili confirmaremus ac doceremus, quantis tenebris liberati ad tantam lucem veritatis accurrissent. Post illa rursus multis diebus martyrum festivitatibus potiti sumus, neque tempori conveniens fuisset, nos qui juxta martyrum sepulcra versaremur, earum laudum quæ martyribus debentur exsortes discedere. Successit his rursus cohortatio ad abstinendum a juramentis. Cum enim totam rusticorum nationem in urbem ingressam cerneremus, hoc illos a nobis instructos viatico censuimus dimittendos.* In his concionibus quas Chrysostomus ordine commemorat, agmen ducit Homilia illa post reditum Flaviani, quam in die sancto Paschæ habitam statuimus in Præfatione ad quartum Tomum, et in Monito ad Sermones in Annam Tom. IV. Deinde disputationem habuit Chrysostomus contra Gentiles, an in una vel pluribus concionibus, non declarat ipse. Successere postea martyrum celebritates *multis diebus*. Ac deinde quia populum Antiochenum jurandi assuetum, repetitis per totam Quadragesimam admonitionibus, ab hac prava consuetudine abduxerat, alia argumenta tractanda suscepit. Verum quia rusticorum turba magna in urbem advenerat, ut hos etiam, qui pristinis concionibus non interfuerant, a juramentis absterreret, pristinum contra juramenta argumentum repetiit, et concionem hanc habuit Dominica Salvatæ quam Dominicam esse Passionis olim cum Tillemontio putaveram; verum nunc ad Leonis Allatii sententiam prorsus accedo, qui ait Dominicam Salvatæ esse illam quæ Ascensionem Domini præcedit, quod pluribus expendetur in Præfatione ad quartum Tomum, et in Monito ad Sermones in Annam eodem Tomo.

Illam igitur concionem Dominica ante Ascensionem ad rusticos habitam sic orditur Chrysostomus : *Epulis sanctorum martyrum excepti estis his præteritis diebus : spirituali celebritate repleti exsultastis honestis exsultationibus : vidistis aperta latera, et ilia concisa, cruorem undique defluentem, infinitas tormentorum species : humanam vidistis naturam supernaturalia præstantem, et coronas sanguine contextas, pulsastis choream, in omnem partem civitatis hoc honesto duce* (Flaviano) *vos circumagente ; sed nos et invitos infirmitas domi manere cogebat. Tamen etsi non interfuimus, de voluptate participavimus : etsi de concione fructum non cepimus, vobiscum tamen lætitiam communem habuimus. Talis est enim caritatis vis,* etc. Hanc ipsam, ni fallor, corporis ægritudinem in hac etiam concione commemorat Chrysostomus. Utramque enim, hanc scilicet de Parabola debitoris decem millium talentorum, et illam ad Rusticos, post ægritudinem habuit. Utra vero prior habita fuerit, ipse declarare videtur initio hujusce, de qua nunc agitur : illam quippe sic orditur : *Quasi ex longinqua peregrinatione ad vos reversus essem, ita me hodie affectum sentio.* Hæc sane verba, et complura quæ sequuntur, primo post recuperatam valetudinem salutantis sunt ; ita ut hæc concio haud dubie præcesserit eam, quæ Dominica ante Ascensionem habita fuit anno 387, an uno autem, an pluribus diebus, incertum.

Interpretatio Latina est Petri Nannii Alcmariani, quam plurimis in locis castigavimus.

[1] ΕΙΣ ΤΗΝ ΠΑΡΑΒΟΛΗΝ

Τοῦ τὰ μύρια τάλαντα ὀφείλοντος, καὶ τὰ ἑκατὸν δηνάρια ἀπαιτοῦντος, καὶ ὅτι παντὸς ἁμαρτήματος τὸ μνησικακεῖν χεῖρον.

α'. Ὡς ἐκ μακρᾶς ἀποδημίας ἐπανελθὼν πρὸς ὑμᾶς, οὕτω διάκειμαι τήμερον· τοῖς γὰρ φιλοῦσιν, ὅταν μὴ δύνωνται συγγενέσθαι τοῖς φιλουμένοις, οὐδὲν ὄφελός ἐστι τῆς παρουσίας. Διά τοι τοῦτο καὶ ἡμεῖς ἐνδημοῦντες, τῶν ἀποδημούντων οὐδὲν ἄμεινον διακείμεθα, ἐπειδὴ τὸν παρελθόντα χρόνον διαλεχθῆναι πρὸς ὑμᾶς οὐκ ἰσχύσαμεν· ἀλλὰ σύγγνωτε· οὐδὲ γὰρ ῥᾳθυμίας, ἀλλὰ ἀσθενείας ἦν ἡ σιγή. Ὑμεῖς μὲν οὖν χαίρετε νῦν, ἐπειδὴ τῆς ἀῤῥωστίας ἀπηλλάγημεν· ἐγὼ δὲ χαίρω, ἐπειδὴ τὴν ὑμετέραν ἀπέλαβον ἀγάπην. Ἐπεὶ καὶ ἡνίκα ἠσθένουν, τῆς νόσου μοι χαλεπώτερον ἦν τὸ μὴ δύνασθαι τοῦ ἀγαπητοῦ τούτου μετέχειν συλλόγου· καὶ νῦν ἐπειδὴ τὴν ἀῤῥωστίαν ἀπεθέμην, τῆς ὑγιείας μοι ποθεινότερον γέγονε τὸ μετὰ ἀδείας ἔχειν ἐντρυφᾷν ὑμῶν τῇ ἀγάπῃ. Οὐδὲ γὰρ οὕτω πυρετὸς σώματος φύσει καταχαίειν εἴωθε τοὺς πυρέττοντας [a], ὡς τὰς ἡμετέρας ψυχὰς τὸ κεχωρίσθαι τῶν φιλουμένων· καὶ καθάπερ ἐκεῖνοι φιάλας καὶ ποτήρια καὶ ψυχρὰ νάματα ἐπιζητοῦσιν, οὕτως οὗτοι τῶν ποθουμένων τὰς ὄψεις. Ἴσασι ταῦτα καλῶς ὅσοι φιλεῖν εἰώθασι. Φέρε οὖν, ἐπειδὴ τὴν ἀῤῥωστίαν ἀπεθέμεθα, πάλιν ἀλλήλων [2] ἐμφορηθῶμεν, εἴγε δυνατὸν ἐμφορηθῆναί ποτε· ἡ γὰρ τῆς ἀγάπης φύσις κόρον οὐκ οἶδεν [b], ἀλλ' ἀεὶ τῶν ἀγαπωμένων ἀπολαύουσα, πρὸς μείζονα αἴρεται φλόγα. Καὶ τοῦτο ὁ τῆς ἀγάπης τρόφιμος Παῦλος εἰδὼς ἔλεγε· *Μηδενὶ μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀγαπᾶν ἀλλήλους.* Τοῦτο γὰρ μόνον τὸ ὄφλημα ἀεὶ μὲν καταβάλλεται, οὐδέποτε δὲ ἀποδίδοται. Ἐνταῦθα τὸ διηνεκῶς ὀφείλειν καλὸν καὶ ἐπαίνων ἄξιον. Ἐπὶ μὲν γὰρ τῶν χρημάτων τοὺς μηδὲν ὀφείλοντας ἐπαινοῦμεν, ἐπὶ δὲ τῆς ἀγάπης τοὺς διηνεκῶς ὀφείλοντας ἀποδεχόμεθα καὶ θαυμάζομεν· καὶ ὅπερ ἀγνωμοσύνης ἐκεῖ, τοῦτο ἐνταῦθα εὐγνωμοσύνης σημεῖόν ἐστι, τὸ μηδέποτε διαλύεσθαι τὸ τῆς ἀγάπης ὄφλημα. Μὴ δυσχεράνητε δὲ πρὸς τὸ μῆκος τῶν μελλόντων ῥηθήσεσθαι· καὶ γὰρ κιθαρῳδίαν ὑμᾶς τινα θαυμαστὴν διδάξαι βούλομαι, οὐχὶ λύραν νεκρὰν μεταχειρισάμενος, ἀλλὰ τὰς τῶν Γραφῶν ἱστορίας καὶ τὰς τοῦ Θεοῦ ἐντολὰς ἀντὶ νευρῶν ἀνατείνας. Καὶ καθάπερ κιθαρῳδοὶ τοὺς δακτύλους τῶν μαθητευομένων λαμβάνοντες, ἠρέμα τοῖς φθόγγοις προσάγουσι, κοὐ διαψηλαφᾷν μετ' ἐμπειρίας διδάσκοντες, ἐκ τῶν ἀφώνων φθόγγων τε καὶ νευρῶν πάσης φωνῆς ἡδίω καὶ γλυκυτέραν παιδεύουσι κατασκευάζειν φωνήν· οὕτω δὴ καὶ ἡμεῖς ποιήσομεν, ἀντὶ δακτύλων τὴν διάνοιαν ὑμῶν μεταχειρισάμενοι, καὶ ταῖς ἐντολαῖς τοῦ Θεοῦ προσαγαγόντες, μετ' ἐμπειρίας αὐτῶν ἅπτεσθαι παρακαλέσομεν τὴν ὑμετέραν ἀγάπην, οὐχ ἵνα ἀνθρώπων θέατρον, ἀλλ' ἵνα τῶν ἀγγέλων τὸν δῆμον διὰ ταύτης τῆς ἡδονῆς ἀναστήσητε. Οὐ γὰρ ἀρκεῖ τὰ θεῖα λόγια ἐπελθεῖν μόνον, ἀλλὰ δεῖ καὶ τῆς ἀπὸ τῶν ἔργων ἐπιδείξεως. Καὶ καθάπερ ἐπὶ τῆς κιθάρας ἅπτεται μὲν ὁ τεχνίτης τῶν νευρῶν, ἅπτεται δὲ καὶ ὁ ἄτεχνος, ἀλλ' ὁ μὲν λυπεῖ τὸν ἀκροατήν, ὁ δὲ ψυχαγωγεῖ καὶ τέρπει, καίτοι γε οἱ αὐτοὶ δάκτυλοι καὶ αἱ αὐταὶ νευραί, ἀλλ' οὐχ ἡ αὐτὴ ἐμπειρία· οὕτω δὴ καὶ ἐπὶ τῶν θείων Γραφῶν, ἐπέρχονται μὲν πολλοὶ τὰ θεῖα λόγια, ἀλλ' οὐ πάντες κερδαίνουσιν, οὐδὲ καρπούνται πάντες· τὸ δὲ αἴτιον, ἐπειδὴ μήτε τοῖς εἰρημένοις ἐμβαθύνουσι, μήτε μετὰ τέχνης τῆς κιθάρας ἅπτονται· ὅπερ γὰρ ἐπὶ τῆς κιθαρῳδίας ἡ τέχνη, τοῦτο ἐπὶ τῶν τοῦ Θεοῦ νόμων ἡ διὰ τῶν ἔργων ἐπίδειξις. Ἤδη μὲν οὖν μίαν ἐκρούσαμεν νευρὰν δι' ὅλης τῆς Τεσσαρακοστῆς, τὸν περὶ τῶν ὅρκων νόμον ὑμῖν ἀναγινώσκοντες, καὶ διὰ τὴν τοῦ Θεοῦ χάριν πολλὰ στόματα τῶν ἀκροατῶν ἡμῖν ἐπαιδεύθη τὴν τοῦ νόμου μελῳδίαν ἐκείνου, καὶ τὴν πονηρὰν ἀπελάσαντες συνήθειαν ἀντὶ τοῦ τὸν Θεὸν ὀμνύναι, τὸ Ναὶ, καὶ τὸ Οὔ, καὶ τὸ Πίστευσον, ἐπὶ τοῦ στόματος φέρουσι διηνεκῶς ἐπὶ διαλέξεως ἁπάσης· κἂν μυρίων πραγμάτων ἀνάγκη βιάζηται, περαιτέρω προελθεῖν οὐκ ἂν ἀνάσχοιντο.

β'. Ἐπειδὴ δὲ οὐκ ἀρκεῖ πρὸς σωτηρίαν ἡμῖν μιᾶς ἐντολῆς ὑποδοχή, φέρε τήμερον καὶ ἐπὶ ἑτέραν ὑμᾶς μεταγάγωμεν· καὶ γὰρ καὶ εἰ μὴ πάντες κατώρθωσαν [c] τὸν πρότερον νόμον, ἀλλά γε τοῦ χρόνου προϊόντος τοὺς φθάσαντας οἱ ὑστερήσαντες καταλήψονται. Καὶ γὰρ ἔγνων, ὡς τοσαύτη τοῦ πράγματος γίνεται σπουδὴ, [3] ὡς καὶ ἐπὶ οἰκίας καὶ ἐπὶ τραπέζης ἀνδράσι πρὸς γυναῖκας, δούλοις πρὸς ἐλευθέρους ἄμιλλαν εἶναι περὶ τῆς ἐντολῆς ταύτης, καὶ ἐμακάρισα τοὺς οὕτως ἑστιωμένους. Τί γὰρ τῆς τραπέζης ἐκείνης ἁγιώτερον γένοιτ' ἄν, ἔνθα μέθη μὲν καὶ ἀδηφαγία καὶ πᾶσα ἀσωτία ἀπελήλαται, θαυμαστὴ δέ τις ἀντεισενήνεκται περὶ τῆς φυλακῆς τῶν τοῦ Θεοῦ νόμων ἄμιλλα, καὶ παρατηρεῖ μὲν ἀνὴρ τὴν γυναῖκα, ὅπως εἰς τὰ τῆς ἐπιορκίας μηδέποτε ἐμπέσῃ βάραθρα, φυλάττει δὲ γυνὴ τὸν ἄνδρα, καὶ κατάδικη τῷ παραβάντι κεῖται μεγίστη· οὐκ ἐπαισχύνεται δὲ οὐδὲ ὑπὸ τῶν δούλων ὁ δεσπότης ἐλέγχε-

[a] Reg. τῶν πυρεττόντων.
[b] Reg. οὐκ ἔχει.
[c] Reg. πάντες ἡμῖν κατώρθωσαν.

IN PARABOLAM

DECEM MILLIUM TALENTORUM DEBITORIS, ET CENTUM DENARIOS EXIGENTIS, ET QUOD OMNI PECCATO DETERIOR SIT INJURIARUM RECORDATIO (*Matth.* 18. 23, *sqq.* (a).

1. *Sibi e morbo convaluisse gratulatur; dilectio numquam satiatur.*— Quasi ex longinqua peregrinatione ad vos reversus essem, ita me hodie affectum sentio : cum enim nullum amicorum consortium esse potest, nihil commodi affert eorum præsentia. Quamobrem nos qui domi versabamur peregre versantibus nihilo hac in parte feliciores fuimus : nimirum qui superiore tempore nulla vobiscum colloquia habere potuimus : sed danda est venia, cum illud non inertiæ, sed infirmitatis silentium fuerit. Gratulamini igitur me ab ea infirmitate convaluisse, ego vero gaudeo, quod vos carissimos mihi recuperavi. Erat mihi inter ægrotandum ipso morbo gravius, quod hujus dilecti cœtus particeps esse non poteram : nunc vero restituta valetudine, ipsa sanitate mihi optabilius est, quod vestræ caritatis deliciis perfrui secure liceat. Non enim febris tantum ardorem invehit febricitantium corporibus, quantum animis nostris amicorum absentium desiderium, et ut illi phialas et pocula et frigidos fontes, ita isti amicorum vultus exoptant. Norunt illi qui amare consueverunt. Age igitur quando morbum deposuimus, invicem expleamur, si modo fieri liceat, ut hic ullam satietatem inveniamus; dilectionis enim natura satietatem non novit, et ex usu amicitiæ majores flammas accipit : quod ipse alumnus dilectionis Paulus testatum reliquit, qui ita dixit : *Nulli quidquam debeatis, nisi ut invicem diligatis* (*Rom.* 13. 8). Illud enim debitum semper quidem fundatur, numquam autem solvitur. Hic perpetuo debere pulchrum est, et in laude positum. In re pecuniaria eos, qui non debent, laudandos putamus : in dilectione vero perpetuos debitores probamus et admiramur : et quod ibi malignitatis, hic benignitatis signum est, ut scilicet numquam solvatur caritatis debitum. Ne ægre feratis prolixitatem orationis futuræ : citharœdicam enim melodiam eamque admirabilem vos docebo, non mortuam lyram attrectando, sed Scripturarum historias et Dei præcepta pro nervis intendendo. Et quemadmodum citharœdi arreptis discipulorum digitis, paulatim eos chordis admoventes assuefaciunt perite contrectare, et ex mutis tonis ac nervis omni sono suaviorem et dulciorem vocem emittere docent : ita nos quoque faciemus, et loco digitorum mentem vestram attrectantes præceptis Dei admovebimus, jubebimusque ea scite et eleganter attingere, non ut hominum theatrum, sed ut angelorum populum per hanc voluptatem excitetis. Non enim satis est si eloquia divina percenseas, nisi ea quoque rebus præstes : et quemadmodum in cithara nervos attingit artifex, attingit quoque et imperitus, verum ita, ut iste auditorem vexet, ille voluptatibus et oblectatione repleat, etsi utrobique ejusdem generis digiti et iidem nervi sint, sed non eadem peritia : ita quoque in sacris Scripturis, multi adeunt eloquia divina, sed non omnes lucrum inde faciunt, aut fructum referunt; in causa est, quod neque dicta satis scrutentur, neque cum artificio citharam pulsent : quod enim in re citharœdica ars, hoc ipsum in Dei legibus operum exhibitio. Nos autem unam chordam pulsavimus per totam quadragesimam, dum legem vobis de juramentis recitavimus, et Dei gratia effectum est, ut pleraque auditorum a nobis ora in hac legis melodia ita instituta sint, ut depulsa prava consuetudine, pro eo quod antea Deum jurabant, jam nihil nisi Est, Non est, et Crede mihi, in lingua sua circumferant, idque in omni colloquio, adeo ut inter mille negotiorum necessitates ulterius progredi non sustineant.

2. Cæterum quia non sufficit ad salutem, si unum præceptum observemus, age vos hodie ad alterum traducamus : etsi enim non omnes profecerunt in priore lege, attamen temporis progressu qui retro manserunt eos, qui præcedunt, assequentur. Deprehendi enim tantam esse hujus rei curam, ut et domi et in mensa viri cum mulieribus, servi cum ingenuis certamen de hujus præcepti observatione contendant, et beatos dixi, qui ad istum modum convivia celebrarent. Quid enim ea mensa sanctius, unde et ebrietas et voracitas omnisque prodigalitas extrusa est, et loco illarum admirabilis introducta præstandi divini præcepti concertatio? Dum vir observat uxorem, uxor virum, ne in præcipitia perjurii ruat, et mulcta gravissima constituta est prævaricatori, non pudori est dominum a servis redargui, aut servos a dominis castigari? Recte igitur quis

(a) Collata cum Codice Regio 1967 et cum Coisliniano 244.

istiusmodi domum Dei Ecclesiam appellet. Ubi enim tanta modestia, ut epularum tempore solliciti sint convivæ de divinis legibus, aliusque cum alio super hoc contendat : certum est dæmonem inde et quamlibet malam potentiam eliminatam esse, Christumque adesse, lætum ac hilarem de illa pulchra inter servos suos æmulatione, omnemque illis elargiri benedictionem. Quapropter omisso jam hoc præcepto (novi enim Dei gratia id per universam urbem propagatum iri, cum adeo ferventes in principiis, adeoque constantes vos exhibeatis), ad aliud præceptum transibo, quod est de contemptu iræ. Ut enim in cithara non satis est unico nervo conficere melodiam, sed omnes percurrendi sunt, concinnitate congruenti : ita quoque in animi virtute, non una lex sufficit nobis ad salutem, ut prius dixi, sed omnes exacte præstandæ sunt, si quidem velimus omni harmonia dulciores et utiliores modulos conficere. Didicit os tuum non jurare? edocta est tua lingua, Ita, et Non, ubique sonare? Discat etiam convicium omne aversari, majoremque curam ad hoc præceptum adhibere, quandoquidem et majore labore opus est. Nam illic consuetudo sola vincenda fuit : in ira vero nervosiore industria opus est; violentus enim affectus est, et tyrannicus, et subinde abripit vel eos qui vigilant [1], et ad barathrum ipsum perditionis deducit. Ferte igitur prolixitatem sermonis. Absurdum quippe est cum quotidie vulnereris in foro, in ædibus, ab amicis, a cognatis, ab inimicis, a vicinis, a servis, ab uxore, a filio, a propriis cogitationibus, ne semel quidem in universa hebdomada de remedio illorum vulnerum curam admittere : præsertim cum sciamus istum curandi modum nec sumptu, nec dolore constare. Non enim nunc ferrum in manibus habeo : sed verbum pro ferro, quovis tamen ferro acutius, et cujusvis peccati putredinem exscindens; sine dolore tamen ejus, cui ista incisio fit. Non ignem in dextra habeo, sed doctrinam igne vehementiorem, eamque non adhibentem cauterium, sed tamen cohibentem malitiæ proserpentem erosionem, et pro cruciatu plurimam ei, qui liberatur a malitia, afferentem voluptatem.

Velle satis est; auctoritas jubentis excitare debet; Petri in scenam paulisper inducti primatus et studium ergu doctrinam Christi prædicantur.— Non hic opus est tempore, non laboribus, non pecuniis : solum velle satis est, et statim quidquid hujus virtutis est præstiterimus. Quod si cogitemus, quanta sit auctoritas Dei jubentis, et conditoris istius legis, satis ex eo et abunde instructi et admoniti fuerimus; neque enim a nobis ipsis monita vobis adferimus, sed ad legislatorem vos omnes adducimus. Sequimini igitur, et divinas leges audite. Ubi vero de ira et simultate disputatum est? Multifariam quidem in multis locis, maxime autem in parabola illa, quam ad discipulos loquens ad istum ferme modum exorsus est : *Ideo assimilatum est regnum cælorum homini regi, qui voluit rationem ponere cum servis suis. Et cum cœpisset rationem ponere, oblatus est ei unus qui debebat ei decem millia talenta : cum autem non haberet, unde redderet, jussit et ipsum venumdari, et uxorem ejus, et liberos, et omnia quæ habebat, et reddi. Prolapsus igitur servus ille ad pedes ejus, orabat eum his verbis : Domine, patientiam habe in me, et omnia reddam tibi. Misertus autem dominus servi illius, dimisit eum, et debitum dimisit ei. Egressus autem ille invenit unum de conservis suis, qui ipsi debebat centum denarios, et tenens suffocabat eum, dicens, Redde quod debes; procumbens ergo conservus ille ad pedes ejus rogabat dicens, Patientiam habe in me, et omnia solvam tibi : ille autem noluit, sed eum inde abductum conjecit in carcerem, donec debitum redderet : videntes autem conservi ipsius indignati sunt, et venientes narraverunt domino suo. Tunc vocavit illum dominus suus, et ait illi : Serve nequam, omne debitum dimisi tibi, quoniam rogasti me : nonne ergo oportuit et te misereri conservi tui, sicut et ego tui misertus sum? Tunc tradidit eum tortoribus, quoadusque redderet universum debitum. Sic et Pater meus cælestis faciet vobis, si non remiseritis unusquisque fratri suo de cordibus vestris* (*Matth.* 18. 23-35).

3. Talis quidem parabola ista. Dicendum est porro, quare cum adjectione causæ illam parabolam proposuit : non enim simpliciter dixit, assimilatum est regnum cælorum, sed, *Ideo assimilatum est regnum cælorum.* Cur ergo causa adjuncta est? De tolerantia discipulis sermonem faciebat, docens, quomodo ira refrenanda esset contemneudæque injuriæ nobis illatæ, idque his verbis : *Si peccaverit in te frater tuus, vade, et reprehende eum inter te et ipsum solum. Si auscultaverit tibi, lucratus es fratrem tuum* (*Matth.* 18. 15). Hæc et alia ejusmodi Christo loquente ad discipulos suos, istamque philosophiam docente, Petrus chori apostolorum princeps, os discipulorum, columna Ecclesiæ, firmamentum fidei, confessionis fundamentum, orbis terrarum piscator, qui genus nostrum ex profundis errorum in cælum adduxit, qui ubique fervidus et libertate plenus, imo potius caritate quam libertate, tacentibus omnibus, accedens ad magistrum dixit : *Quoties peccabit in me frater meus, et remittam illi? usque septies* (*Ibid. v.* 21)? simul et interrogat et pollicetur, et priusquam discat, magnum hac in re studium præ se fert. Cum enim mentem magistri probe cognitam haberet, quam illa ad humanitatem prona esset, et quod ille præcipue gratiam cum ipso iniret, qui in condonandis offensis promptior esset, neque in istiusmodi rebus acerbum se et acrem exhiberet, volens placere legislatori interrogavit, num usque septies venia iteranda esset. Deinde ut discas qualis homo, qualis vero Deus sit, qualisque ejus indulgentia, et quomodo humana benignitas, si ad illius largitatis opulentiam collata sit, quavis paupertate contemptior reperiatur, et quantula stilla sit ad mare immensum, tantam nostram bonitatem ad illius ineffabilem humanitatem æstimandam : dicenti Petro

[1] Reg., *abripit eos qui non vigilant*, quæ lectio non spernenda.

σθαι, οὐδὲ τοὺς οἰκέτας αὐτοῦ ἐπὶ τούτοις διορθοῦν; Οὐκ ἂν τις ἁμάρτοι τὴν τοιαύτην οἰκίαν ἐκκλησίαν Θεοῦ προσειπών. Ὅπου γὰρ σωφροσύνη τοσαύτη, ὡς ἐν καιρῷ τρυφῆς μεριμνᾷν ὑπὲρ τῶν θείων νόμων, καὶ τοὺς παρόντας ἅπαντας ὑπὲρ τούτου πρὸς ἀλλήλους ἀγωνίζεσθαι καὶ φιλονεικεῖν, εὔδηλον, ὅτι δαίμων μὲν ἅπας καὶ πονηρὰ δύναμις ἀπελήλατοι, Χριστὸς δὲ πάρεστι χαίρων ἐπὶ τῇ καλῇ τῶν δούλων φιλονεικίᾳ, πᾶσαν αὐτοῖς ἐπιδαψιλευόμενος εὐλογίαν. Διὰ δὴ ταῦτα ταύτην ἀφεὶς λοιπὸν τὴν ἐντολήν (οἶδα γὰρ ὅτι Θεοῦ χάριτι πᾶσαν ἐπιδραμεῖται τὴν πόλιν ὑμῖν θερμὰ προοίμια ἀναλαβοῦσι καὶ ἀρχὴν ἰσχυράν), ἐφ' ἑτέραν μεταβήσομαι· τὴν τῆς ὀργῆς ὑπεροψίαν. Ὥσπερ γὰρ ἐπὶ τῆς κιθάρας οὐκ ἀρκεῖ μόνον ἀπὸ μιᾶς νευρᾶς τὴν μελῳδίαν ἐργάσασθαι, ἀλλὰ πάσας ἐπιέναι δεῖ μετὰ ῥυθμοῦ τοῦ προσήκοντος· οὕτω καὶ ἐπὶ τῆς κατὰ ψυχὴν ἀρετῆς οὐκ ἀρκεῖ μόνος ἡμῖν εἰς σωτηρίαν εἷς νόμος, καθάπερ ἔφθην εἰπών, ἀλλὰ δεῖ πάντας αὐτοὺς μετὰ ἀκριβείας φυλάττειν, εἰ δὴ μέλλοιμεν τὴν ἁπάσης ἁρμονίας ἡδίω καὶ χρησιμωτέραν μελῳδίαν ἐργάζεσθαι. Ἔμαθέ σου τὸ στόμα μὴ ὀμνύναι; ἐπαιδεύθη ἡ γλῶττα Ναὶ καὶ Οὒ λέγειν πανταχοῦ; Μαθέτω καὶ λοιδορίαν ἀποστρέφεσθαι ἅπασαν, καὶ πλείονα περὶ τὴν [a] ἐντολὴν ταύτην εἰσφέρειν σπουδήν, ἐπειδὴ καὶ πλείονος ἡμῖν δεῖται καὶ πόνου. Ἐκεῖ μὲν γὰρ συνηθείας περιγενέσθαι μόνον ἔδει, ἐπὶ δὲ τῆς ὀργῆς εὐτονωτέρας δεῖ τῆς σπουδῆς· τυραννικὸν γὰρ τὸ πάθος, καὶ πολλάκις παρασύρει τοὺς νήφοντας [b], καὶ πρὸς τὸ βάραθρον αὐτὸ κατάγει τῆς ἀπωλείας. Ἀνάσχεσθε τοίνυν τοῦ μήκους τῶν λόγων. Καὶ γὰρ ἄτοπον καθ' ἑκάστην ἡμέραν τραυματιζομένους ἐν ἀγοραῖς, ἐν οἰκίαις, ὑπὸ φίλων, ὑπὸ συγγενῶν, ὑπὸ ἐχθρῶν, ὑπὸ γειτόνων, ὑπὸ οἰκετῶν, ὑπὸ γυναικὸς, ὑπὸ παιδίου, ὑπὸ οἰκείων λογισμῶν, μηδὲ ἅπαξ τῆς ἑβδομάδος ἁπάσης ὑπὲρ τῆς θεραπείας τῶν τραυμάτων ἐκείνων φροντίζειν, καὶ ταῦτα εἰδότας ὡς ἀδάπανός τε καὶ ἀνώδυνος οὗτος τῆς θεραπείας ὁ τρόπος. Οὐδὲ γὰρ τὸ σιδήριον ἐν τῇ χειρὶ κατέχω νῦν, ἀλλὰ λόγον ἀντὶ σιδηρίου μεταχειρίζομαι, σιδηρίου μὲν παντὸς ὄντα τομώτερον, καὶ πᾶσαν τῆς ἁμαρτίας ἐκκόπτοντα τὴν σηπεδόνα, οὐ παρέχοντα δὲ ὀδύνην τῷ τεμνομένῳ. Οὐκ ἔχω πῦρ ἐν τῇ δεξιᾷ, ἀλλ' ἔχω διδασκαλίαν πυρὸς σφοδροτέραν, οὐ καυτῆρα ἐπάγουσαν, ἀλλ' ἀναστέλλουσαν μὲν τὴν νομὴν τῆς κακίας, ἀντὶ δὲ [4] ἀλγηδόνος πολλὴν τῷ τῆς κακίας ἀπαλλαττομένῳ παρέχουσαν τὴν ἡδονήν.

Οὐ χρεία χρόνων ἐνταῦθα, οὐ χρεία πόνων, οὐ χρεία χρημάτων· ἀρκεῖ θελῆσαι μόνον, καὶ πάντα τὰ τῆς ἀρετῆς ἡμῖν κατώρθωται· κἂν ἐννοήσωμεν τὸ ἀξίωμα τοῦ κελεύοντος Θεοῦ καὶ νομοθετοῦντος, ἱκανὴν ληψόμεθα διδασκαλίαν καὶ παραίνεσιν· οὐδὲ γὰρ οἴκοθεν φθεγγόμεθα, ἀλλ' ἐπὶ τὸν νομοθέτην ἅπαντας ὑμᾶς ἄγομεν. Ἕπεσθε τοίνυν, τῶν θείων ἀκούετε νόμων. Ποῦ τοίνυν περὶ ὀργῆς καὶ τοῦ μνησικακεῖν διελέχθη; Πολλαχοῦ μὲν καὶ ἀλλαχοῦ, μάλιστα δὲ διὰ τῆς παραβολῆς ἐκείνης, ἣν πρὸς τοὺς μαθητὰς ἔλεγεν, οὑτωσί πως ἀρξάμενος· *Διὰ τοῦτο ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ* [c], *ὅστις ἠθέλησε συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ. Ἀρξαμένου δὲ αὐτοῦ συναίρειν προσηνέχθη αὐτῷ εἷς ὀφειλέτης μυρίων ταλάντων. Μὴ ἔχοντος δὲ αὐτοῦ ἀποδοῦναι, ἐκέλευσεν αὐτὸν πραθῆναι καὶ τὴν γυναῖκα αὐτοῦ, καὶ τὰ τέκνα, καὶ πάντα ὅσα εἶχε, καὶ ἀποδοθῆναι. Πεσὼν οὖν ὁ δοῦλος ἐκεῖνος εἰς τοὺς πόδας αὐτοῦ, παρεκάλει αὐτὸν, λέγων· Κύριε, μακροθύμησον ἐπ' ἐμοὶ, καὶ πάντα σοι ἀποδώσω. Σπλαγχνισθεὶς δὲ ὁ κύριος τοῦ δούλου ἐκείνου, ἀπέλυσεν αὐτὸν, καὶ τὸ δάνειον ἀφῆκεν αὐτῷ. Ἐξελθὼν δὲ ἐκεῖνος εὗρεν ἕνα τῶν συνδούλων αὐτοῦ, ὃς ὤφειλεν αὐτῷ ἑκατὸν δηνάρια, καὶ κρατήσας ἔπνιγεν αὐτὸν λέγων· Ἀπόδος μοι ὅ τι ὀφείλεις. Πεσὼν οὖν ὁ σύνδουλος αὐτοῦ εἰς τοὺς πόδας αὐτοῦ, παρεκάλει αὐτὸν λέγων· Μακροθύμησον ἐπ' ἐμοὶ, καὶ πάντα σοι ἀποδώσω. Ὁ δὲ οὐκ ἤθελεν, ἀλλὰ ἀπελθὼν ἔβαλεν αὐτὸν εἰς φυλακὴν, ἕως οὗ ἀποδῷ τὸ ὀφειλόμενον. Ἰδόντες δὲ οἱ σύνδουλοι αὐτοῦ ἠγανάκτησαν, καὶ ἐλθόντες διεσάφησαν τῷ κυρίῳ αὐτῶν. Τότε καλέσας αὐτὸν ὁ κύριος αὐτοῦ εἶπε· Δοῦλε πονηρὲ, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι, ἐπεὶ παρεκάλεσάς με· οὐκ ἔδει καὶ σὲ ἐλεῆσαι τὸν σύνδουλόν σου, ὡς κἀγώ σε ἠλέησα; Τότε παρέδωκεν αὐτὸν τοῖς βασανισταῖς, ἕως οὗ ἀποδῷ πᾶν τὸ ὀφειλόμενον αὐτῷ. Οὕτω καὶ ὁ Πατήρ μου ὁ οὐράνιος ποιήσει ὑμῖν, ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ ἀπὸ τῶν καρδιῶν ὑμῶν τὰ παραπτώματα αὐτῶν.

γ'. Ἡ μὲν παραβολὴ αὕτη· δεῖ δὲ εἰπεῖν, τίνος ἕνεκεν μετὰ αἰτίας αὐτὴν προτέθεικεν· οὐ γὰρ ἁπλῶς εἶπεν, Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν, ἀλλὰ, *Διὰ τοῦτο ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν*. Τίνος οὖν ἕνεκεν ἡ αἰτία πρόσκειται; Περὶ ἀνεξικακίας τοῖς μαθηταῖς διελέγετο, καὶ κρατεῖν ὀργῆς αὐτοὺς ἐπαίδευε, καὶ τῶν παρ' ἑτέρων εἰς ἡμᾶς γινομένων ἀδικημάτων μὴ πολὺν ποιεῖσθαι λόγον, οὕτω λέγων· *Ἐὰν ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου, ὕπαγε καὶ ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου· ἐάν σου ἀκούσῃ ἐκέρδησας τὸν ἀδελφόν σου*. Ταῦτα δὲ καὶ τὰ τοιαῦτα τοῦ Χριστοῦ διαλεγομένου τοῖς μαθηταῖς καὶ φιλοσοφεῖν διδάσκοντος, Πέτρος, ὁ τοῦ χοροῦ τῶν ἀποστόλων κορυφαῖος, τὸ στόμα τῶν μαθητῶν, ὁ στῦλος τῆς Ἐκκλησίας, τὸ στερέωμα τῆς πίστεως, ὁ τῆς ὁμολογίας θεμέλιος, ὁ τῆς οἰκουμένης ἁλιεὺς, ὁ τὸ γένος ἡμῶν ἀπὸ τοῦ βυθοῦ τῆς πλάνης εἰς τὸν οὐρανὸν ἀναγαγών, ὁ πανταχοῦ θερμὸς καὶ παῤῥησίας γέμων, μᾶλλον δὲ ἀγάπης, ἢ παῤῥησίας, σιγώντων ἁπάντων προσελθὼν τῷ διδασκάλῳ [5] φησί· *Ποσάκις ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου, καὶ ἀφήσω αὐτῷ; ἕως ἑπτάκις;* ὁμοῦ καὶ ἐρωτᾷ καὶ ὑπισχνεῖται, καὶ πρὶν μάθῃ, φιλοτιμεῖται. Τὴν γὰρ γνώμην τοῦ διδασκάλου σαφῶς εἰδὼς, ὅτι πρὸς φιλανθρωπίαν ῥέπει, καὶ πλέον ἐκεῖνος μάλιστα πάντων αὐτῷ χαρίζεται ὁ μάλιστα πάντων τὰ ἁμαρτήματα τῶν πλησίον παρατρέχων καὶ μὴ πικρῶς ἐξετάζων, βουλόμενος ἀρέσαι τῷ νομοθέτῃ, φησίν· *Ἕως ἑπτάκις;* Εἶτα ἵνα μάθῃς, τί μὲν ἄνθρωπος, τί δὲ Θεὸς, καὶ πῶς ἡ τούτου φιλοτιμία, ὅπουπερ ἂν ἀφίκηται, πρὸς τὴν εὐπυρίαν τὴν ἐκείνου συγκρινομένη, πενίας ἐστὶν ἁπάσης εὐτελεστέρα, καὶ ὅτι ὅσον σταγὼν πρὸς πέλαγος ἄπειρον, τοσοῦτον ἡμῶν ἡ ἀγαθότης πρὸς τὴν ἄφατον αὐτοῦ φιλανθρωπίαν, εἰπόντος αὐτοῦ, *Ἕως ἑπτάκις;* καὶ νομίσαντος αὐτοῦ

[a] Reg. πρὸς τήν.
[b] Reg. τοὺς μὴ νήφοντας.
[c] Reg. ἀνθρώπῳ οἰκοδεσπότῃ, atque ita legit Nannius. Savil. βασιλεῖ.

μεγάλα φιλοτιμεῖσθαι, καὶ δαψιλεύεσθαι, ἄκουσον τί φησιν· *Οὐ λέγω σοι, ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά*· τινὲς ἑπτὰ καὶ ἑβδομήκοντα νομίζουσιν, οὐκ ἔστι δέ· ἀλλὰ παρολίγον πεντακοσιοστόν ἐστι· τὸ γὰρ ἑπτάκις ἑβδομήκοντα, τετρακόσια καὶ ἐννενήκοντά ἐστι. Καὶ μὴ νομίσῃς δύσκολον εἶναι τὸ ἐπίταγμα, ἀγαπητέ. Ἐὰν γὰρ ἅπαξ καὶ δεύτερον καὶ τρίτον ἁμαρτόντι συγχωρήσῃς τῆς ἡμέρας, κἂν σφόδρα ᾖ λίθινος, κἂν αὐτῶν τῶν δαιμόνων ἀγριώτερος ὁ λελυπηκώς, οὐκ ἔσται οὕτως ἀναίσθητος, ὡς πάλιν τοῖς αὐτοῖς περιπεσεῖν, ἀλλὰ τῇ πυκνότητι τῆς συγχωρήσεως σωφρονισθείς, βελτίων ἔσται καὶ ἐπιεικέστερος· σύ τε αὖ ἐὰν ᾖς παρεσκευασμένος τοσαυτάκις καταφρονεῖν τῶν εἰς σὲ γινομένων ἁμαρτημάτων, ἀπὸ μιᾶς καὶ δευτέρας καὶ τρίτης συγχωρήσεως γυμνασάμενος, οὐδὲ πόνον ἕξεις λοιπὸν ἐν τῇ τοιαύτῃ φιλοσοφίᾳ, μελετήσας καθάπαξ τῇ πυκνότητι τῆς συγχωρήσεως μηδὲ πλήττεσθαι παρὰ τῶν τοῦ πέλας ἁμαρτημάτων. Ταῦτα ἀκούσας ὁ Πέτρος, ἀχανὴς εἱστήκει, οὐχ ὑπὲρ ἑαυτοῦ φροντίζων μόνον, ἀλλὰ καὶ ὑπὲρ τῶν μελλόντων αὐτῷ ἐμπιστεύεσθαι. Ἵνα οὖν μὴ τὸ αὐτὸ ποιήσῃ, ὅπερ καὶ ἐφ' ἑτέρων ἐντολῶν ἐποίησε, προλαβὼν ἀπέκλεισεν αὐτῷ πᾶσαν ἐρώτησιν. Τί δὲ ἐπὶ τῶν λοιπῶν ἐντολῶν ἐποίησεν; Εἴ ποτέ τι τοιοῦτον ὁ Χριστὸς ἐπέταττεν, ὃ δυσκολίαν τινὰ ἔχειν ἐδόκει, προπηδῶν τῶν ἄλλων ἠρώτα καὶ ἐπυνθάνετο περὶ τῆς ἐντολῆς. Καὶ γὰρ ὅτε προσελθὼν ὁ πλούσιος περὶ τῆς αἰωνίου ζωῆς τὸν Χριστὸν ἠρώτα, καὶ μαθὼν τὰ ποιητικὰ τῆς τελειότητος, ἀπῆει λυπούμενος ὑπὸ τῶν χρημάτων, εἰπόντος τοῦ Χριστοῦ, ὅτι εὐκοπώτερόν ἐστι κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος διελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τῶν οὐρανῶν εἰσελθεῖν· ὁ Πέτρος, καίτοι πάντων ἑαυτὸν γυμνώσας, καὶ οὐδὲ τὸ ἄγχιστρον κατέχων λοιπόν, ἀλλὰ καὶ τῆς τέχνης καὶ τοῦ ἀκατίου καταφρονήσας, προσελθὼν ἔλεγε τῷ Χριστῷ· *Καὶ τίς δύναται σωθῆναι;* Καὶ ὅρα καὶ ἐπιείκειαν μαθητοῦ, καὶ θερμότητα· οὔτε γὰρ εἶπεν· Ἀδύνατα ἐπιτάττεις, δύσκολον τὸ ἐπίταγμα, χαλεπὸς ὁ νόμος· οὔτε ἐσίγησεν, ἀλλὰ καὶ τὴν ὑπὲρ τῶν [6] λοιπῶν κηδεμονίαν ἐπεδείξατο, καὶ τὴν διδασκάλῳ παρὰ μαθητοῦ τιμὴν ὀφειλομένην ἀπένειμεν, οὕτως εἰπών· *Καὶ τίς δύναται σωθῆναι;* καὶ μηδέπω γενόμενος ποιμὴν, ποιμένος εἶχε ψυχὴν, καὶ μηδέπω τὴν ἀρχὴν ἐγχειρισθείς, τὴν πρέπουσαν ἄρχοντι κηδεμονίαν ἐφύλαττεν, ὑπὲρ τῆς οἰκουμένης ἁπάσης φροντίζων. Εἰ μὲν γὰρ πλούσιος ἦν, καὶ πολλὰ χρήματα περιβεβλημένος, ἴσως εἶπέ τις ἂν, ὅτι οὐ τῶν λοιπῶν, ἀλλ' ἑαυτοῦ κηδόμενος, καὶ ὑπὲρ τῶν καθ' ἑαυτὸν πραγμάτων φροντίζων, ταύτην προσῆγε τὴν πεῦσιν· νυνὶ δὲ ἡ πενία ταύτης αὐτὸν ἀπαλλάττει τῆς ὑποψίας, καὶ δείκνυσιν ὡς τῆς ἑτέρων κηδόμενος σωτηρίας ἐμερίμνα καὶ περιειργάζετο, καὶ παρὰ τοῦ διδασκάλου μαθεῖν ἐβούλετο τὴν τῆς σωτηρίας ὁδόν. Διὰ τοῦτο καὶ ὁ Χριστὸς αὐτὸν παραθαρρύνων λέγει· *Τὰ παρὰ ἀνθρώποις ἀδύνατα, παρὰ τῷ Θεῷ δυνατά ἐστι.* Μὴ γὰρ νομίσῃς, φησὶν, ὑμᾶς ἐρήμους ἐγκαταλιμπάνεσθαι· ἐγὼ συνεφάπτομαι ταύτης ὑμῖν τῆς σπουδῆς, καὶ τὰ ἄπορα ποιῶ ῥᾴδια γενέσθαι καὶ εὔκολα. Πάλιν περὶ γάμου καὶ γυναικὸς διαλεγομένου τοῦ Χριστοῦ καὶ λέγοντος, ὅτι *Ὁ ἀπολύων γυναῖκα παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχευθῆναι*, καὶ πᾶσαν κακίαν γυναικὸς παραινοῦντος φέρειν πλὴν πορνείας μόνης, ὁ Πέτρος, τῶν ἄλλων σιγώντων, προσελθὼν ἔλεγε τῷ Χριστῷ· *Εἰ οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ τῆς γυναικὸς, οὐ συμφέρει γαμῆσαι.*

Ὅρα καὶ ἐνταῦθα πῶς καὶ τὴν πρέπουσαν διδασκάλῳ τιμὴν ἐφύλαξε, καὶ τῆς τῶν λοιπῶν ἐφρόντισε σωτηρίας, οὐδὲ ἐνταῦθα ὑπὲρ τῶν καθ' ἑαυτὸν μεριμνῶν. Ἵνα οὖν μὴ καὶ ἐνταῦθα εἴπῃ τι τοιοῦτον, προλαβὼν διὰ τῆς παραβολῆς προανεῖλεν αὐτοῦ τὴν ἀντίῤῥησιν. Τούτου χάριν καὶ ὁ εὐαγγελιστὴς εἶπε· *Διὰ τοῦτο ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὃς ἠθέλησε συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ*· δείκνυς ὅτι διὰ τοῦτο λέγει τὴν παραβολὴν ταύτην, ἵνα μάθῃς ὅτι κἂν ἑβδομηκοντάκις ἑπτὰ ἀφῇς τῆς ἡμέρας τῷ ἀδελφῷ τὰ ἁμαρτήματα, οὐδέπω οὐδὲν μέγα εἰργάσω, ἀλλὰ πολὺ καὶ ἄφατον ἀπολείπῃ τῆς δεσποτικῆς φιλανθρωπίας, καὶ οὐ τοσοῦτον δίδως ὅσον λαμβάνεις.

δ'. Ἐπακούσωμεν τοίνυν τῆς παραβολῆς· εἰ γὰρ δοκεῖ καὶ αὐτόθεν εἶναι σαφὴς, ἀλλ' ἔχει καὶ ἐναποκεκρυμμένον τινὰ θησαυρὸν νοημάτων ἄφατον. *Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ἠθέλησε συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ.* Μὴ παραδράμῃς ἁπλῶς τὴν ῥῆσιν, ἀλλὰ καὶ ἀνάπτυξόν μοι τὸ δικαστήριον ἐκεῖνο, καὶ εἰς τὸ συνειδὸς εἰσελθὼν τὸ σεαυτοῦ, ἀναλόγισαι τὰ πεπραγμένα σοι παρὰ πᾶσαν τὴν ζωήν· καὶ ὅταν ἀκούσῃς, ὅτι συναίρει λόγον μετὰ τῶν δούλων αὐτοῦ, καὶ βασιλεῖς, καὶ στρατηγοὺς, καὶ ἐπάρχους, καὶ πλουσίους καὶ πένητας, καὶ δούλους καὶ ἐλευθέρους, καὶ πάντας ἀναλογίζου· *Πάντας γὰρ ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ.* Κἂν πλούσιος ᾖς, ἐννόησον ὅτι δώσεις λόγον, πότερον εἰς πόρνας, ἢ εἰς πένητας τὰ χρήματα κατηνάλωσας, πότερον εἰς παρασίτους καὶ κόλακας, ἢ εἰς τοὺς δεομένους, πότερον εἰς ἀσέλγειαν ἢ εἰς φιλανθρωπίαν, πότερον εἰς τρυφὴν καὶ ἀσωτίαν καὶ μέθην, ἢ εἰς τὴν τῶν ἐπηρεαζομένων βοήθειαν. Οὐχ ὑπὲρ τῆς δαπάνης δὲ μόνον, ἀλλὰ καὶ ὑπὲρ τῆς κτήσεως ἀπαιτηθήσῃ λόγον, [7] πότερον ἐκ δικαίων πόνων, ἢ ἐξ ἁρπαγῆς καὶ πλεονεξίας συνέλεξας, πότερον κλῆρον διαδεξάμενος πατρῷον, ἢ τὰς τῶν ὀρφανῶν καταστρέψας οἰκίας, καὶ τὰς τῶν χηρῶν διαρπάσας οὐσίας. Καὶ καθάπερ ἡμεῖς τοῖς οἰκέταις τοῖς ἡμετέροις οὐχὶ τῆς ἐξόδου μόνον τῶν χρημάτων, ἀλλὰ καὶ τῆς εἰσόδου ἀπαιτοῦμεν τὸν λόγον, ἐξετάζοντες πόθεν ὑπεδέξαντο τὰ χρήματα, καὶ παρὰ τίνων, καὶ πῶς, καὶ πόσα· οὕτω δὴ καὶ ὁ Θεὸς οὐχὶ τῆς δαπάνης μόνον, ἀλλὰ καὶ τῆς κτήσεως ἡμᾶς ἀπαιτεῖ τὰς εὐθύνας. Οὐχ ὁ πλούσιος δὲ μόνον, ἀλλὰ καὶ ὁ πένης τῆς πενίας δίδωσι λόγον· εἰ γενναίως καὶ εὐχαρίστως τὴν πενίαν ἤνεγκεν, εἰ μὴ ἀπεδυσπέτησεν, εἰ μὴ ἐδυσχέρανεν, εἰ μὴ κατηγόρησε τῆς τοῦ Θεοῦ προνοίας, ἕτερον ὁρῶν τρυφῶντα καὶ σπαταλῶντα, ἑαυτὸν [a] δὲ ὄντα ἐν ἐνδείᾳ. Ὥσπερ γὰρ ὁ πλούσιος τῆς ἐλεημοσύνης, οὕτω καὶ ὁ πένης τῆς ὑπομονῆς ἀπαιτεῖται λόγον· μᾶλλον δὲ οὐδὲ τῆς ὑπομονῆς μόνον, ἀλλὰ καὶ αὐτῆς τῆς ἐλεημοσύνης· οὐ γάρ ἐστι κώλυμα πρὸς ἐλεημοσύνην

[a] Neg. τρυφῶντα καὶ μὴ σπανίζοντα τὴν οὐσίαν ἑαυτόν.

septemplicem veniæ iterationem et existimanti se magnifice et largiter dixisse, audi quid respondeat : *Non*, inquit, *usque septies*, *sed usque septuagies septies*. Illud autem septuagies septies quidam septem et septuaginta arbitrantur : cæterum ita non est : habet enim hic numerus ferme quingenta : septies enim septuaginta quadringenta et nonaginta conficiunt. Ne existimes difficile esse hoc præceptum, carissime : si enim semel, iterum, ac tertio, intra diem peccanti veniam impartieris, etiam si admodum lapideus sit, etiam si ipsis dæmonibus efferatior sit ille, qui te læsit, non erit ita sensus expers, ut denuo ad easdem offensas recidat : sed frequentia indultæ veniæ castigatus, melior erit, et probior : tuque si fueris instructus ad toties contemnendam injuriam tibi illatam, una atque altera, et tertia condonatione culpæ exercitatus, nihil difficultatis senties in posterum in hoc genere philosophiæ : quippe qui iteranda toties venia eum jam usum collegeris, ut nihil te percellant proximorum injuriæ, Quibus auditis Petrus, ore hiante stupens constitit : non de se tantummodo sollicitus, sed et de illis, qui ejus fidei committendi erant. Ne igitur idem faceret, quod in aliis mandatis fecerat, anticipatione exclusit ei omnem percontationem. Quid autem in aliis mandatis fecit? Si quando Christus istiusmodi aliquid imperaret, quod difficultatem aliquam habere videretur, prosilieus ante alios interrogabat et sciscitabatur de præcepto. Cum enim prodiisset dives, de æterna vita Christum percontans, et cognitis illis, quæ pariunt beatitudinem, mœstus ob pecunias abiisset, dicente Christo, quod facilius esset camelum transire per foramen acus, quam divitem intrare in regnum cælorum (*Marc.* 10. 25) : Petrus tametsi se omnibus nudavisset, neque jam vel hamum retineret, quippe qui et totum quæstum piscatorium, et navem contempserat, accedens ad Christum ita loquutus est : *Et quis potest salvus fieri* (*Ib.* v. 26)? Vide probitatem et fervorem discipuli : non enim inquit, Impossibilia injungis, grave hoc mandatum, difficilis ista lex : neque in silentio perstitit : sed curam suam, quam de omnibus habebat, ostendit, et præceptori a discipulo debitam reverentiam impartivit, dicens : *Et quis potest salvus fieri?* nondum factus pastor, pastoris animum habebat : nondum in imperio et principatu constitutus, principi congruentem curam servabat, de universo orbe sollicitus. Si enim dives fuisset, et multis pecuniis circumfusus, diceret fortasse quispiam, eum non de reliquis, sed de seipso suisque rebus anxium istam interrogationem protulisse : nunc autem paupertas ipsum liberat ab hac suspicione, ostenditque eum de aliorum salute anxium, sollicitudinem istam et curam gessisse, et a magistro cognoscere viam salutis voluisse. Quapropter et Christus ei fiduciam indens dixit, *Quæ apud homines impossibilia sunt*, *ea apud Deum possibilia sunt* (*Ib.* v. 27). Et ne putes, inquit, vos desertos relinqui, ego in hoc negotio etiam meas manus admovebo, et ardua facilia et expedita faciam. Rursus de matrimonio et uxore disputante Christo ac dicente, *Si quis repudiarit uxorem*, *excepta fornicationis causa*, *facit eam mœchari* (*Matth.* 5. 32) : et omnem malitiam uxoris ferendam esse admonente, præter crimen fornicationis, Petrus aliis omnibus tacentibus, Christum alloquitur : *Si istiusmodi conditio est hominis cum uxore*, *non expedit matrimonium inire* (*Id.* 19. 10).

Petrus de aliorum salute sollicitus. Accepti et expensi ratio Deo reddenda. — Et hic quoque vide quomodo decentem magistro reverentiam conservavit, et reliquorum salutis curam gessit, ne istic quidem de rebus suis sollicitus. Ne autem hic istiusmodi quidpiam dicat, anticipans per parabolam, ejus contradictionem antevertit. Hac de causa evangelista dixit, *Ideo assimilatum est regnum cælorum homini regi*, *qui voluit ponere rationem cum servis suis* : ostendens, se ideo parabolam hanc dicere, ut discas te, etsi septuagies septies in die fratri peccata remiseris, nihil magnificum fecisse, sed multum adhuc et immensum a Domini clementia abesse, ac non tantum dedisse, quantum receperis.

4. Audiamus igitur parabolam, quæ tametsi clara videatur, habet tamen occultum quemdam et ineffabilem sententiarum thesaurum. *Assimilatum est regnum cælorum homini regi*, *qui voluit rationem ponere cum servis suis*. Ne mihi prætercurras simpliciter has voces, sed evolve et explica naturam ejus judicii, tuamque conscientiam ingressus, computa quidquid a te factum est per omnem vitam, et cum audieris rationem dominum conferre cum servis suis, cogita in his verbis reges et duces, et præsides, et divites, et pauperes, et servos, et liberos, et quidquid est hominum, intelligi : *Omnes enim nos manifestari oportet ante tribunal Christi* (2. *Cor.* 5. 10). Quod si dives sis, cogita quod rationem dabis, utrum in meretrices, an in pauperes, pecunias insumpseris : utrum in parasitos et assentatores, an in egentes : utrum in libidinem, an in humanitatem : utrum in delicias, prodigalitatem, ebrietatem, an in afflictorum subsidium. Non de expensis solummodo, sed de acquisitionis modo rationem postulaberis : utrum justis laboribus, an rapinis et avaritia pecuniam collegeris : utrum sit patrimoni hereditas, an id coactum sit ex pupillorum eversis domibus, et spoliationibus viduarum. Quemadmodum nos non solum a servis nostris rationem elatæ pecuniæ, sed etiam illatæ exposcimus, excutientes unde pecunias, a quibus, et quomodo, et quantas acceperint : ita et Deus non solum expensi, sed etiam accepti et acquisiti rationes postulat. Non solum vero dives, sed et pauper rationes vel ipsius paupertatis subit : an generoso et grato animo paupertatem tulerit, an non ægre tulerit, an non indignatus fuerit, an non incusaverit Dei providentiam, cum videret alium in voluptatibus deliciantem, se autem [1] in egestate versari. Ut enim a divite eleemosynæ, ita a paupere tolerantiæ requiritur ratio : imo non solum tolerantiæ, sed etiam ipsius eleemosynæ : non enim habet impedimentum ad eleemosy-

[1] Reg., *deliciantem nec tamen divitias imminuentem, se autem.*

nam paupertas. Testis est vidua quæ duo minuta in gazophylacium dejecit, et eos qui plurima dederant, magno intervallo superavit, idque tam minuta oblatiuncula (*Marc.* 12. 42). Non solum autem divites et paupores, sed præsides et judices cum multa diligentia examinantur an non jus corruperint, an non ad gratiam vel odium calculos in litibus deprompserint, an non molliti adulatione, contra quam par erat sententiam dederint, an non memores offensarum eos vexaverint, qui nihil peccarant.

Quæ ratio reddenda est ecclesiasticis præsulibus. — Non solum autem sæculares magistratus, sed et illi qui Ecclesiis præsunt, suæ præfecturæ rationes dabunt, et præcipue isti sunt, qui majores, acerbiores, et graviores pœnas sustinebunt. Cui enim verbi administratio commissa est, diligenter ibi examinabitur, an non segnitie, aut invidia aliquid omiserit eorum, quæ dicenda erant, et per opera exhibuerit, an omnia explicuerit, nihilque ab illo occultatum sit, quod dictu operæ pretium erat. Rursus qui episcopatum adeptus est, quanto ad majorem verticem ascendit, tanto majoribus obnoxius erit rationibus, non solum de doctrina et pauperum patrocinio, sed etiam de examinatione ordinandorum, aliisque sexcentis. Et hæc declarans Paulus ad Timotheum scripsit : *Manus cito nemini imposueris, neque communices peccatis alienis* (1 *Tim.* 5. 22) : et ad Hebræos scribens de iisdem præfectis, alia ratione terrefecit. *Obedite*, inquit, *præpositis vestris, et subjacete eis : ipsi enim vigilant super animabus vestris, ut rationem daturi* (*Hebr.* 13. 17). Tum vero non factorum solum, sed et verborum rationes subibimus. Quemadmodum enim nos cum pecunias servis concredimus, omnium reposcimus rationes, ita quoque Deus de verbis nobis concreditis requiret quomodo illa expenderimus. Reposcimur enim et examinamur perquam diligenter, num temere, num frustra ea insumpserimus : non enim nummus temere expositus ita lædit ut verba temere et frustra elata, cum nihil opus erat. Nummus enim frustra insumptus pecuniæ aliquando damnum affert, sermo autem imprudenter enuntiatus integras domos evertit, et animam perdit : pecuniarum quidem damnum resarcire licet, verbum vero quod exsilierit semel, revocare non licet.

Verborum etiam luenda pœna. Ratio delendi peccata. Imputantur ad veniam peccatorum actiones bonæ. — Cæterum ut discas verborum pœnas luituros esse, audi quid Christus dicat : *Dico autem vobis, quod de omni verbo otioso, quodcumque loquuti fuerint homines in terra, reddent rationem de eo in die judicii : ex verbis enim tuis justificaberis, et ex verbis tuis condemnaberis* (*Matth.* 12. 36. 37). Non solum autem dictorum rationem reddemus, sed et auditorum quoque ; veluti si admiseris falsam criminationem contra fratrem calumniose instituta : *Auditionem* enim *vanam*, inquit Scriptura, *ne receperis* (*Exod.* 23. 1). Quod si illi, qui recipiunt vanam auditionem, veniam non habent, qui calumpiantur et criminantur, quamnam habebunt excusationem?

5. At quid dico de verbis et auditu, ubi etiam cogitationum pœnas sustinemus? Et hoc ipsum Paulus declarans, dixit : *Quamobrem ne ante tempus judicetis, donec veniat Dominus qui illuminabit occulta tenebrarum, et manifestabit consilia cordium* (1. *Cor.* 4. 5). Ille quoque psalmorum cantor ait, *Cogitatio hominis confitebitur tibi* (*Psal.* 75. 11). Quid autem illud est, *Cogitatio hominis confitebitur tibi?* Veluti si cum dolo et mala mente fratrem alloquaris : si ore illum et lingua celebres, mente autem mala cogites, eique invideas. Illud enim ipsum Christus subindicans, nos non solum factorum, sed et cogitationum pœnam luere dixit : *Qui inspexerit mulierem ad concupiscendum eam, jam mœchatus est eam in corde suo* (*Matth.* 5. 28). Atqui non erupit in opus ipsum peccatum, sed hactenus in solo animo consistit : verum ne ita quidem inculpatus manere potest, qui ideo contemplatur formas mulierum, ut incendat fornicationis concupiscentiam. Cum igitur audiveris eum rationem cum servis suis conferre, ne mihi negligenter prætereas illam dictionem : sed hoc intellige de omni ordine, omni ætate, utroque sexu, et virorum et feminarum : cogita quale illud judicium sit, revolve perpetuo tua peccata. Nam etsi ipse oblitus fueris tuorum delictorum, Deus nunquam obliviscetur, et omnia ante oculos constituet, nisi jam mature ea exstinxerimus per pœnitentiam et confessionem, et per oblivionem offensarum. Qua vero de causa rationem repetit? Non quidem ut inscius (quomodo enim inscius, cui omnia cognita sunt antequam fiant?(*Dan.* 13. 42), sed ut tibi servo persuadeat, jure te debere quodcumque debes : imo potius, ut non solum discas, sed ut abstergas : quandoquidem et prophetæ ea de causa mandavit peccata Judæorum enarrare. *Dic*, inquit, *iniquitates suas domui Jacob, et peccata sua domui Israel* (*Isai.* 58. 1) : non ut audiant solum, sed ut corrigantur. *Exorso autem eo conferre rationes, adductus est ei debitor unus decies mille talentorum* (*Matth.* 18. 24). Quidquid enim illi creditum erat, id omne absumpserat : magna æris alieni moles : et non solum in hac re periculum erat, sed in eo quoque quod primus oblatus est domino. Si enim post multos in solvendo studiosos iste oblatus fuisset, non ita mirum fuisset, si dominus nihil adversus eum exacerbatus fuisset : priorum enim probitas improbis deinceps omnibus placatiorem eum effecisset. Cæterum primum eum qui productus fuerat, tam malignum in solvendo apparere, et postquam tam malignus apparuisset, dominum mansuetum invenire, id præcipue inexspectatum et admirabile. Homines enim ubi debitores adepti sunt, non aliter quam si venando, aut aucupando quidpiam cepissent, ita exsultant, et omnia faciunt, ut universum exigant : quod si id non possint ob egestatem debitorum, iram defraudatione pecuniarum collectam in ærumnosum miserorum corpus effundunt, vexando, verberando, atque alia sexcenta mala infligendo. Deus contra omnia movet, in omnibus satagit, ut eum liberet ære alieno. In nobis enim debitorum exactio divitias facit : Deus autem in remittendis peccatis maxime di-

ἡ πεῖνα. Καὶ μάρτυς ἡ χήρα ἡ τὰ δύο καταβαλοῦσα λεπτὰ, καὶ τοὺς πολλὰ καταθέντας ὑπεραντίσασα διὰ τῆς μικρᾶς ἐκείνης καταβολῆς. Οὐ πλούσιοι δὲ καὶ πένητες μόνον, ἀλλὰ καὶ ἄρχοντες καὶ δικασταὶ μετὰ πολλῆς ἐξετάζονται τῆς ἀκριβείας, εἰ μὴ διέφθειραν τὸ δίκαιον, εἰ μὴ πρὸς χάριν, εἰ μὴ πρὸς ἀπέχθειαν ἐψηφίσαντο τοῖς δικαζομένοις, εἰ μὴ κολακευθέντες ἔδωκαν παρὰ τὸ δέον τὴν ψῆφον, εἰ μὴ μνησικακοῦντες ἐπηρέασαν τοῖς οὐδὲν ἠδικηκόσιν

Οὐχ οἱ ἔξωθεν δὲ μόνον ἄρχοντες, ἀλλὰ καὶ οἱ τῶν Ἐκκλησιῶν προεστῶτες τῆς οἰκείας ἀρχῆς ὑφέξουσι τὸν λόγον· καὶ μάλιστα οὗτοί εἰσιν οἱ ἐπὶ πλέον τὰς πικρὰς καὶ βαρείας εὐθύνας ὑπέχοντες. Καὶ γὰρ ὁ τοῦ λόγου τὴν διακονίαν ἐγκεχειρισμένος ἐξετασθήσεται μετὰ ἀκριβείας ἐκεῖ, εἰ μήτε ὀργῇ, μήτε φθόνῳ παρεῖδέ τι τῶν δεόντων εἰπεῖν, καὶ διὰ τῶν ἔργων ἐπέδειξεν, ὅτι πάντα διεστείλατο, καὶ οὐδὲν ἔκρυψε τῶν συμφερόντων. Πάλιν ὁ τὴν ἐπισκοπὴν λαχών, ὅσῳ πρὸς μείζονα ὄγκον ἀναβέβηκε, τοσούτῳ πλείονα ἀπαιτηθήσεται λόγον, οὐχὶ διδασκαλίας μόνον καὶ πενήτων προστασίας, ἀλλὰ καὶ χειροτονιῶν δοκιμασίας καὶ μυρίων ἑτέρων. Καὶ ταῦτα δηλῶν ὁ Παῦλος τῷ Τιμοθέῳ ἔγραφε· *Χεῖρας ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις*· καὶ Ἑβραίοις δὲ περὶ τῶν αὐτῶν ἀρχόντων παραινῶν, ἑτέρως ἐφόβει οὕτω λέγων· *Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες.* Τότε οὐχὶ πραγμάτων δὲ μόνων, ἀλλὰ καὶ ῥημάτων παρέξομεν εὐθύνας. Καθάπερ γὰρ καὶ ἡμεῖς ἀργύρια τοῖς οἰκέταις ἐμπιστεύσαντες, ἁπάντων ἀπαιτοῦμεν αὐτοὺς λόγον, οὕτω καὶ ὁ Θεὸς, ῥήματα ἡμῖν ἐμπιστεύσας, ζητήσει τῆς δαπάνης αὐτῶν τὸν τρόπον. Ἀπαιτούμεθα δὲ καὶ ἐξεταζόμεθα μετὰ ἀκριβείας, εἰ μὴ εἰκῇ μηδὲ μάτην αὐτὰ ἀναλώσαμεν· οὐ γὰρ οὕτως ἀργύριον ἁπλῶς ἀναλωθὲν [8] ἔβλαψεν, ὡς ῥήματα εἰκῇ καὶ μάτην ἐξενεχθέντα καὶ εἰς οὐδὲν δέον. Ἀργύριον μὲν γὰρ μάτην δαπανηθὲν ἐν χρήμασι πολλάκις τὴν ζημίαν ἤνεγκε, λόγος δὲ ἁπλῶς προενεχθεὶς ὁλοκλήρους ἀνέτρεψεν οἰκίας, καὶ ψυχὰς ἀπώλεσε καὶ κατέλυσε· καὶ τῶν μὲν χρημάτων τὴν ζημίαν διορθῶσαι πάλιν ἔνι, λόγον δὲ ἐκπηδήσαντα καθάπαξ ἀναχτήσασθαι πάλιν οὐκ ἔνι.

Καὶ ὅτι λόγων δίδομεν δίκας, ἄκουσον τί φησιν ὁ Χριστὸς· *Λέγω δὲ ὑμῖν, ὅτι πᾶν ῥῆμα ἀργὸν, ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι ἐπὶ τῆς γῆς, ἀποδώσουσι λόγον περὶ αὐτοῦ ἐν ἡμέρᾳ κρίσεως· ἐκ γὰρ τῶν λόγων σου δικαιωθήσῃ, καὶ ἐκ τῶν λόγων σου κατακριθήσῃ.* Οὐ ῥημάτων δὲ μόνον δίδομεν εὐθύνας, ἀλλὰ καὶ ἀκουσμάτων· οἷον εἰ παρδέξω κατηγορίαν κατὰ τοῦ πλησίον ψευδῆ λεγομένην· *Ἀκοὴν* γὰρ, φησὶ, *ματαίαν μὴ παραδέξῃ.* Εἰ δὲ οἱ δεχόμενοι ματαίαν ἀκοὴν οὐκ ἂν τύχοιεν συγγνώμης, οἱ διαβάλλοντες καὶ κατηγοροῦντες ποίαν ἐξουσιν ἀπολογίαν;

ε'. Καὶ τί λέγω ῥήματα καὶ ἀκοὴν, ὅπου γε καὶ ἐνθυμημάτων εὐθύνας ὑπέχομεν; Καὶ τοῦτο αὐτὸ ὁ Παῦλος δηλῶν ἔλεγεν· *Ὥστε μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ Κύριος, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν.* Καὶ ὁ Ψαλμῳδὸς δέ φησιν, ὅτι *Ἐνθύμιον ἀνθρώπου ἐξομολογήσεταί σοι.* Τί ἐστιν, *Ἐνθύμιον ἀνθρώπου ἐξομολογήσεταί σοι*; Οἷον, εἰ μετὰ δόλου καὶ πονηρᾶς γνώμης πρὸς τὸν ἀδελφὸν διελέχθης, εἰ διὰ τοῦ στόματος αὐτὸν ἐπαινῶν καὶ τῆς γλώττης, κατὰ διάνοιαν ἐκάκωσας καὶ ἐφθόνησας αὐτῷ. Πάλιν γὰρ τοῦτο αὐτὸ ὁ Χριστὸς αἰνιττόμενος, ὅτι οὐχὶ ἔργων μόνον, ἀλλὰ καὶ ἐνθυμημάτων δίδομεν δίκην, ἔλεγεν· *Ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ.* Καίτοι οὐ προῆλθεν εἰς ἔργον ἡ ἁμαρτία, ἀλλ' ἐν διανοίᾳ τέως ἐστίν· ἀλλ' οὐδὲ οὕτως ἀνέγκλητος δύναται μεῖναι ὁ διὰ τοῦτο περισκοπῶν κάλλη γυναικῶν, ἵνα ἀνάψῃ πορνείας ἐπιθυμίαν. Ὅταν οὖν ἀκούσῃς, ὅτι συντόμως λόγον μετὰ τῶν δούλων αὐτοῦ, μὴ παρέλθῃς ἁπλῶς τὴν ῥῆσιν, ἀλλ' ἐννόησον πᾶσαν ἀξίαν, πᾶσαν ἡλικίαν, [illegible] τὴν φύσιν, τῶν τε ἀνθρώπων, [illegible] ἐννόησον οἷον ἔσται τότε τὸ δικαστήριον, ἀναλόγισαι τὰ ἡμαρτημένα σοι πάντα. Κἂν γὰρ αὐτὸς ἐπιλάθῃ τῶν πεπλημμεληκότων, θεὸς οὐδέποτε ἐπιλήσεται, ἀλλὰ πάντα πρὸ τῶν ὀφθαλμῶν στήσει τῶν ἡμετέρων, ἂν μὴ προλαβόντες αὐτὰ καταλύσωμεν νῦν διὰ μετανοίας καὶ ἐξομολογήσεως, καὶ τοῦ μηδέποτε μνησικακεῖν τοῖς πλησίον. Τίνος δὲ ἕνεκεν ποιεῖ τὸ λογοθέσιον; Οὐχ ὡς αὐτὸς ἀγνοῶν, (πῶς γὰρ, ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν;) ἀλλ' ἵνα σε πείσῃ τὸν οἰκέτην, ὅτι δικαίως ὀφείλεις, ὅπερ ἂν ὀφείλῃς· μᾶλλον δὲ οὐχ ἵνα μάθῃς μόνον, ἀλλ' ἵνα καὶ ἀπονίψῃ· ἐπεὶ καὶ τῷ προφήτῃ διὰ τοῦτο ἐκέλευσε τὰ ἁμαρτήματα λέγειν τῶν Ἰουδαίων. Λέγε γὰρ, φησὶ, *τὰς ἀνομίας αὐτῶν τῷ οἴκῳ Ἰακὼβ, καὶ τὰς ἁμαρτίας αὐτῶν τῷ οἴκῳ Ἰσραήλ·* οὐχ ἵνα ἀκούσωσι μόνον, ἀλλ' ἵνα διορθώσωνται. *Ἀρξαμένου δὲ αὐτοῦ συναίρειν, προσηνέχθη αὐτῷ εἷς ὀφειλέτης* [9] *μυρίων ταλάντων.* Ἆρα πόσα ἐνεπιστεύθη, ὅτι τοσαῦτα κατέφαγε; Μέγας ὁ τῶν ὀφλημάτων ὄγκος· καὶ οὐχὶ μόνον τοῦτο ἦν τὸ χαλεπὸν, ἀλλ' ὅτι καὶ πρῶτος προσηνέχθη τῷ δεσπότῃ. Εἰ μὲν γὰρ μετὰ πολλοὺς ἑτέρους εὐγνωμονήσαντας οὗτος προσηνέχθη, οὐχ οὕτω θαυμαστὸν ἦν τὸ μὴ παροξυνθῆναι τὸν δεσπότην· ἡ γὰρ τῶν φθασάντων εὐγνωμοσύνη τοῖς μετὰ ταῦτα ἠγνωμονηκόσιν ἡμερώτερον αὐτὸν ἔμελλε ποιεῖν. Τὸ δὲ πρῶτον εἰσαχθέντα ἀγνώμονα φανῆναι, καὶ οὕτως ἀγνώμονα γενόμενον, φιλανθρώπου τυχεῖν δεσπότου, τοῦτό ἐστι τὸ μάλιστα θαυμαστὸν καὶ παράδοξον. Ἄνθρωποι μὲν οὖν, ἐπειδὰν εὕρωσι τοὺς ὀφείλοντας, ὥσπερ θήραν καὶ ἄγραν εὑρόντες, οὕτω γεγήθασι, καὶ πάντα ποιοῦσιν, ὅπως τὸ πᾶν ἀπαιτήσωσι· κἂν μὴ δυνηθῶσι διὰ τὴν πενίαν τῶν ὀφειλόντων, τὴν ὑπὲρ τῶν χρημάτων ὀργὴν εἰς τὸ ταλαίπωρον σῶμα τῶν ἀθλίων ἐκχέουσιν, αἰκίζοντες καὶ τύπτοντες καὶ μυρία αὐτῷ διατιθέντες κακά. Ὁ δὲ Θεὸς τοὐναντίον ἅπαντα ἐκίνει καὶ ἐπραγματεύετο, ὅπως αὐτὸν ἀπαλλάξῃ τῶν ὀφλημάτων. Ἐπὶ γὰρ ἡμῶν τὸ ἀπαιτῆσαι, πλοῦτος· ἐπὶ δὲ Θεοῦ τὸ συγχωρῆσαι, πλοῦτος· ἡμεῖς ἐπειδὰν λάβωμεν τὰ ὀφειλόμενα, τότε εὐπορώτεροι γινόμεθα· ὁ δὲ Θεὸς ἐπειδὰν συγχωρήσῃ τὰ πλημμελήματα, τότε μάλιστα πλουτεῖ· πλοῦτος γὰρ Θεοῦ

τῶν ἀνθρώπων ἡ ρωτηρία, καθάπερ ὁ Παῦλός φησιν· *Ὁ πλουτῶν εἰς πάντας, καὶ ἐπὶ πάντας τοὺς ἐπικαλουμένους αὐτόν.* Ἀλλ' ἴσως εἴποι τις ἄν· Καὶ πῶς ὁ βουλόμενος ἀφεῖναι καὶ συγχωρῆσαι τὰ ἐγκλήματα, ἐκέλευσεν αὐτὸν πραθῆναι; Αὐτὸ μὲν οὖν τοῦτο μάλιστα αὐτοῦ τὴν φιλανθρωπίαν δείκνυσιν. Ἀλλὰ μὴ ἐπειγώμεθα, ἀλλὰ τάξει προβαίνωμεν ἐπὶ τὴν τῆς παροβολῆς διήγησιν. *Μὴ ἔχοντος δὲ αὐτοῦ ἀποδοῦναι*, φησί. Τί ἐστι, *Μὴ ἔχοντος αὐτοῦ ἀποδοῦναι;* Πάλιν ἐπίτασις ἀγνωμοσύνης· ὅταν γὰρ εἴπῃ, *Μὴ ἔχοντος αὐτοῦ ἀποδοῦναι*, οὐδὲν ἄλλο λέγει, ἀλλ' ἢ ὅτι κατορθωμάτων ἔρημος ἦν, καὶ οὐδὲν εἶχεν ἔργον ἀγαθὸν, ὥστε λογισθῆναι αὐτῷ εἰς τὴν τῶν ἁμαρτημάτων ἀπαλλαγήν· λογίζεται γὰρ, λογίζεται πάντως ἡμῖν ἐπὶ ἁμαρτημάτων ἀπαλλαγῇ κατορθώματα, καθάπερ οὖν καὶ πίστις εἰς δικαιοσύνην. *Τῷ γὰρ μὴ ἐργαζομένῳ, πιστεύοντι δὲ ἐπὶ τὸν δικαιοῦντα τὸν ἀσεβῆ, λογίζεται ἡ πίστις αὐτοῦ εἰς δικαιοσύνην.* Καὶ τί λέγω πίστιν καὶ κατορθώματα, ὅπου γε καὶ θλίψεις λογίζονται ἡμῖν εἰς ἁμαρτημάτων ἀνάλυσιν; Καὶ τοῦτο δηλοῖ μὲν ὁ Χριστὸς διὰ τῆς τοῦ Λαζάρου παραβολῆς, εἰσάγων τὸν Ἀβραὰμ λέγοντα πρὸς τὸν πλούσιον, ὅτι Λάζαρος ἀπέλαβεν ἐν τῇ ζωῇ αὐτοῦ τὰ κακὰ, καὶ διὰ τοῦτο ὧδε παρακαλεῖται. Δηλοῖ δὲ καὶ ὁ Παῦλος Κορινθίοις ἐπιστέλλων περὶ τοῦ πεπορνευκότος, καὶ λέγων οὕτω· *Παράδοτε τὸν τοιοῦτον τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα τὸ πνεῦμα σωθῇ.* Καὶ ἑτέρους δὲ ἡμαρτηκότας παραμυθούμενος οὕτως ἔλεγε· *Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄῤῥωστοι, καὶ κοιμῶνται ἱκανοί. Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ ὑπὸ Κυρίου, παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν.* Εἰ δὲ πειρασμὸς, καὶ νόσος, καὶ ἀσθένεια, καὶ σαρκὸς ὄλεθρος, ἅπερ ἀβουλήτως ὑπομένομεν, οὐκ αὐτοὶ κατασκευάζοντες, λογίζεται ἡμῖν εἰς ἁμαρτίας διάλυσιν, πολλῷ μᾶλλον κατορθώματα, ἅπερ ἑκόντες καὶ σπουδάζοντες μετερχόμεθα. Ἀλλ' οὗτος ἔρημος [10] μὲν ἀγαθοῦ παντὸς ἦν, φορτίον δὲ ἁμαρτημάτων ἀφόρητον εἶχε· διὰ τοῦτό φησι· *Μὴ ἔχοντος αὐτοῦ ἀποδοῦναι, ἐκέλευσεν αὐτὸν πραθῆναι·* ὅθεν μάλιστα ἔστι τοῦ Δεσπότου τὴν φιλανθρωπίαν καταμαθεῖν, ὅτι καὶ τὸ λογοθέσιον ἐποίησε, καὶ πραθῆναι ἐκέλευσεν· ἀμφότερα γὰρ ταῦτα εἰργάσατο, ὥστε αὐτὸν μὴ πραθῆναι. Πόθεν τοῦτο δῆλον; Ἀπὸ τοῦ τέλους· εἰ γὰρ πραθῆναι αὐτὸν ἐβούλετο, τίς ὁ κωλύων ἦν; τίς ὁ ἐμποδίζων;

ς'. Τίνος οὖν ἕνεκεν ἐκέλευσε, μὴ μέλλων ποιεῖν; Ἵνα αὐξήσῃ τὸν φόβον· τὸν δὲ φόβον ηὔξησε διὰ τῆς ἀπειλῆς, ἵνα αὐτὸν εἰς ἱκετηρίαν ἐμβάλῃ· εἰς ἱκετηρίαν δὲ αὐτὸν ἐνέβαλεν, ἵνα ἀφορμὴν λάβῃ συγχωρήσεως. Ἠδύνατο μὲν γὰρ καὶ πρὸ τῆς παρακλήσεως αὐτὸν ἀφεῖναι, ἀλλ' ἵνα μὴ χείρονα ἐργάσηται, τοῦτο οὐκ ἐποίησεν. Ἠδύνατο καὶ πρὸ τοῦ λογοθεσίου ποιῆσαι τὴν συγχώρησιν, ἀλλ' ἵνα μὴ τὸν ὄγκον ἀγνοῶν τῶν ἁμαρτημάτων, ἀπανθρωπότερος γένηται καὶ ὠμότερος περὶ τοὺς πλησίον, διὰ τοῦτο αὐτὸν πρότερον ἐδίδαξε τὸ μέγεθος τοῦ χρέους, καὶ τότε ἀφῆκεν ἅπαν. Εἰ γὰρ τοῦ λογοθεσίου γενομένου, καὶ τοῦ ὀφειλήματος δειχθέντος, καὶ τῆς ἀπειλῆς ἐπενεχθείσης, καὶ τῆς καταδίκης γενομένης δήλης, ἣν ὑπομεῖναι δίκαιος ἦν, οὕτως ἄγριος καὶ ὠμὸς περὶ τὸν σύνδουλον ἐγένετο· εἰ μηδὲν τούτων ἐξέβη, ποῦ οὐκ ἂν ἐξώλισθεν ἀγριότητος; Διὰ τοῦτο ταῦτα πάντα ὁ Θεὸς ἐποίει καὶ ἐπραγματεύετο, προαναστέλλων αὐτοῦ τὴν ἀπήνειαν ἐκείνην. Εἰ δὲ μηδενὶ διωρθώθη τούτων, οὐ παρὰ τὸν διδάσκαλον, ἀλλὰ παρ' ἐκεῖνον τὸν μὴ δεξάμενον τὴν διόρθωσιν ἡ αἰτία. Πλὴν ἀλλ' ἴδωμεν πῶς αὐτῷ μεθοδεύει τὸ ἔλκος. *Πεσὼν οὖν*, φησὶ, *παρὰ τοὺς πόδας αὐτοῦ, παρεκάλει αὐτὸν λέγων· Μακροθύμησον ἐπ' ἐμοὶ, καὶ πάντα σοι ἀποδώσω.* Καὶ μὴ μὴν εἶπεν, ὅτι οὐκ εἶχεν ἀποδοῦναι· ἀλλὰ τοιοῦτον τῶν ὀφειλόντων τὸ ἔθος, κἂν μηδὲν ἔχωσιν ἀποδοῦναι, ἐπαγγέλλονται, ὥστε τῶν παρόντων ἀπαλλαγῆναι δεινῶν.

Ἀκούσωμεν ὅσοι ῥᾳθυμοῦμεν εὐχῆς, πόση τῶν δεήσεων ἡ δύναμις. Οὐ νηστείαν ἐπεδείξατο οὗτος, οὐκ ἀκτημοσύνην, οὐκ ἄλλο τῶν τοιούτων οὐδὲν, ἀλλ' ἔρημος ὢν καὶ γυμνὸς πάσης ἀρετῆς, ἐπειδὴ παρεκάλεσε τὸν δεσπότην μόνον, ἴσχυσεν αὐτὸν ἐπισπάσασθαι πρὸς ἔλεον. Μὴ τοίνυν ἀπαγορεύωμεν ἐν ταῖς δεήσεσι. Τίς γὰρ τούτου γένοιτ' ἂν ἁμαρτωλότερος, ὃς τοσούτοις μὲν ἐγκλήμασιν ὑπεύθυνος ἦν, κατόρθωμα δὲ οὐ μικρὸν, οὐ μέγα ἐκέκτητο; Ἀλλ' ὅμως οὐκ εἶπε πρὸς ἑαυτόν· Ἀπαῤῥησίαστός εἰμι, αἰσχύνης γέμω, πῶς δύναμαι προσελθεῖν; πῶς δύναμαι παρακαλέσαι; ὁ πολλοὶ τῶν ἁμαρτανόντων λέγουσι, διαβολικὴν νοσοῦντες εὐλάβειαν. Ἀπαῤῥησίαστος εἶ; Διὰ τοῦτο πρόσελθε, ἵνα κτήσῃ παῤῥησίαν πολλήν. Μὴ γὰρ ἄνθρωπός ἐστιν ὁ μέλλων σοι καταλλάττεσθαι, ἵνα αἰσχυνθῇς καὶ ἐρυθριάσῃς; Θεός ἐστιν, ὁ σοῦ μᾶλλον βουλόμενος ἀπαλλάξαι σε τῶν ἐγκλημάτων· οὐχ οὕτω σὺ τῆς σεαυτοῦ ἀσφαλείας ἐπιθυμεῖς, ὡς ἐκεῖνος ἐφίεταί σου τῆς σωτηρίας· καὶ τοῦτο δι' αὐτῶν τῶν ἔργων ἡμᾶς ἐπαίδευσεν. Οὐκ ἔχεις παῤῥησίαν; Διὰ τοῦτο δυνήσῃ παῤῥησίαν ἔχειν, ὅτι [11] οὕτω διάκεισαι· μεγίστη γὰρ παῤῥησία, τὸ μὴ νομίζειν ἔχειν παῤῥησίαν· ὥσπερ οὖν αἰσχύνη μεγίστη, τὸ δικαιοῦν ἑαυτὸν ἐνώπιον Κυρίου. Ἐκεῖνος ἀκάθαρτός ἐστι, κἂν ἁπάντων ἀνθρώπων ἁγιώτερος ᾖ· ὥσπερ οὖν δίκαιος γίνεται ὁ πείσας ἑαυτὸν πάντων ἔσχατον εἶναι. Καὶ μάρτυρες τῶν λεγομένων ὁ Φαρισαῖος καὶ ὁ τελώνης. Μὴ τοίνυν ἀπογινώσκωμεν ἐν τοῖς ἁμαρτήμασι, μηδὲ ἀπαγορεύωμεν, ἀλλὰ προσερχώμεθα τῷ Θεῷ, προσπίπτωμεν, παρακαλῶμεν, ὅπερ οὗτος ἐποίησε, μέχρι τούτου καλῇ τῇ γνώμῃ χρησάμενος. Τό τε μὴ ἀπαγορεῦσαι, τό τε μὴ ἀπογνῶναι, τό τε ὁμολογῆσαι τὰ ἡμαρτημένα, τό τε αἰτῆσαι ἀναβολήν τινα καὶ μέλλησιν, ταῦτα πάντα καλὰ, καὶ διανοίας συντετριμμένης, καὶ τεταπεινωμένης ψυχῆς. Τὰ δὲ ἐντεῦθεν οὐκ ἔτι ὅμοια τοῖς προτέροις· ἅπερ γὰρ διὰ τῆς ἱκετηρίας συνήγαγε, ταῦτα ἀθρόον ἐξέχεεν ἅπαντα διὰ τῆς εἰς τὸν πλησίον ὀργῆς. Ἀλλὰ τέως ἐπὶ τὸν τρόπον τῆς συγχωρήσεως ἔλθωμεν· ἴδωμεν πῶς αὐτὸν ἀφῆκε, καὶ πόθεν ἐπὶ τοῦτο ἦλθεν ὁ δεσπότης. *Σπλαγχνισθεὶς ὁ κύριος αὐτοῦ*, φησὶν, *ἀπέλυσεν αὐτὸν, καὶ τὸ δάνειον ἀφῆκεν αὐτῷ.* Ἐκεῖνος μέλλησιν ᾔτησεν, οὗτος συγχώρησιν ἔδωκεν· ὥστε πλέον οὗ ᾔτησεν, ἔλαβεν ἐκεῖνος. Διὸ καὶ Παῦλός φησι· *Τῷ δυναμένῳ πάντα ποιῆσαι ὑπὲρ ἐκ περισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν.* Οὐδὲ γὰρ ἰσχύεις ἐννοῆσαι τοσαῦτα, ὅσα ἐκεῖνός σοι παρεσκεύασται δοῦναι. Μὴ τοίνυν αἰσχυνθῇς, μηδὲ ἐρυθριάσῃς· μᾶλλον δὲ αἰσ-

teseit : nam hominum salus opulentia Dei est, quemadmodum Paulus dicit : *Dives in omnibus et per omnes qui invocant eum* (*Rom.* 10. 12). Sed dixerit aliquis, cur ergo, si destinarat remittere et condonare crimina, hunc venumdari jussit? Illud certe imprimis illius humanitatem declarat; sed ne festinemus, at per ordinem procedamus ad parabolæ enarrationem. *Non habente autem eo quod redderet.* Quid autem est illud quod dicit, *Non habente eo quod redderet?* Rursus vides improbitatis accessionem : cum enim dicit, *Non habente eo quod solveret*, nihil aliud dicit quam eum omnium virtutum inopem fuisse, nec ullum bonum opus possedisse, quod imputari posset ad remissionem peccatorum : imputantur enim omnino nobis ad peccatorum veniam recte facta, quemadmodum et fides ad justitiam. *Ei enim, qui non operatur, credit autem in eum qui justificat impium, imputatur fides ejus ad justitiam* (*Rom.* 4. 5). Cæterum quid allego fidem et recte facta, cum tribulationes quoque imputentur nobis ad peccatorum condonationem? Et hoc declarat Christus per parabolam Lazari, introducens Abraham dicentem ad divitem, Lazarum accipere consolationem, quia in vita sua mala acceperat (*Luc.* 16. 25). Declarat et Paulus ad Corinthios de fornicatore scribens : *Tradite hunc hominem satanæ in exitium carnis, ut spiritus servetur* (1. *Cor.* 5. 5). Et alios qui peccaverant consolans, ad hunc modum verba facit : *Ideo in vobis multi infirmi et ægroti, et dormiunt multi : si enim nos ipsos judicaremus, non utique judicaremur. Cum autem judicamur a Domino, castigamur, ut non cum hoc mundo damnemur* (1. *Cor.* 11. 30–32). Si autem tentationes, morbi, infirmitates, et carnis exitium, quæ nec studio, nec voluntate patimur, imputantur nobis ad peccatorum abolitionem, multo magis recte facta, quæ voluntate et studio persequimur. Huic autem omnium bonorum inopia erat, onus contra peccatorum maximum, et sarcina importabilis. Ideirco dicit, *Non habente illo unde redderet, jussit eum venumdari* (*Matth.* 18. 25). Ex hoc potissimum licet domini humanitatem perdiscere, quod et rationem instituit, et venumdari jussit : ambo enim ista facta sunt in eum finem, ut non venderetur. Unde id liquet? a rerum exitu : si enim voluisset, quis obicem, quis impedimentum attulisset?

6. Quorsum igitur venditionem imperavit, cum nihil tale facere statuisset? Ut augeret metum; metum vero auxit per minas, ut eum ad supplicationem compelleret; ad supplicationem compulit, ut occasionem donandæ veniæ haberet. Poterat et ante deprecationem eum liberum ab ære alieno dimittere, sed ne inde illum deteriorem faceret, ita se gessit. Poterat ante rationem initam veniam concedere, sed ne ignorans molem scelerum suorum, inhumanior et crudelior erga proximos esset, ideo illi prius declaravit sui debiti magnitudinem, ac tum demum ei remisit omnia. Nam si habita ratione ac ære alieno commonstrato, minisque illatis, et condemnatione proposita, quam sustinere merebatur, adeo ferus et crudelis fuit adversus suum conservum; si nihil istorum adhibitum fuisset, quo non immanitatis prorupisset? Hac de causa hæc omnia Deus fecit et instituit, ut hominis immanitatem illam præmolliret. Si nihil istis rebus emendatus fuit; non penes magistrum, sed penes illum qui emendationem non recipit, culpa statuenda est. Verumtamen videamus quo pacto ejus ulcus abstergat. *Cadens igitur ad pedes ejus, obsecrabat dicens : Patientiam habe in me, et omnia reddam tibi* (*Matth.* 18. 26). Non fassus est se nihil habere quod redderet : sed hic mos est debitorum, ut in summa inopia promittant tamen, quo præsens periculum vitare possint.

Precationis vis. Maxima fiducia quænam. Veniæ donatæ modus. — Audiamus quotquot ignavi sumus ad precandum, quanta sit obsecrationum vis. Non jejunium ostentavit, non ultroneam paupertatem, aut aliquid istiusmodi, sed desertus, sed nudus omni virtute, ubi se ad obsecrandum convertit, eo solo potuit dominum ad misericordiam pertrahere. Ne igitur deficiamus in fundendis precibus. Quis enim hoc sceleratior, qui et tot criminibus obnoxius erat, et nullum recte factum possidebat? Non tamen secum ad istum modum loquutus est, Non audeo loqui, pudore plenus sum, qui potero accedere? qui potero orare? quod plerique peccatorum dicunt, diabolica laborantes timiditate. Non adest tibi fiducia loquendi? Propterea accede, ut majorem fiduciam pares. Num enim homo est, quem placare cupis, ut pudore et verecundia laborandum sit? Deus est qui magis, quam tu ipse, exoptat te a criminibus liberari; non tu tantopere tuam securitatem concupiscis, quantopere ille tuam salutem expetit : idque rebus ipsis docuit. Non habes fiduciam? Eo ipso potes fiduciam habere, quod ita affectus sis : maxima enim fiducia est, cum quis se existimat fidere non debere. Nam ut summopere pudenda res est, justificare seipsum coram Domino : ille enim impurus est quicumque id facit, etiamsi omnibus hominibus sanctior fuerit : ita quoque justus fit, qui se credit omnium hominum extremum esse. Cujus rei testes sunt Pharisæus et publicanus. Ne igitur despondeamus animum ob peccata, neque desperemus, sed adeamus Deum, procidamus, obsecremus, quemadmodum iste fecit, hactenus bona mente usus. Non despondere animum, non desperare, confiteri peccata, postulare dilationem aliquam et moram, et omnia ista bona sunt et mentis contritæ, et animæ humiliatæ. Quæ jam sequuntur, nequaquam similia sunt superioribus : quæ enim per supplicationem congregaverat, hæc omnia in universum effudit per iram, quam in proximum exercuit. Sed jam ad modum donatæ veniæ procedamus. Videamus qualitatem istius remissionis, et quibus rebus ad id dominus adductus fuerit. *Misertus illius dominus*, inquit evangelista, *absolvit eum, et debitum remisit* (*Matth.* 18. 27). Ille dilationem petiit, iste veniam concessit, adeo ut plus ceperit, quam postularit. Quapropter Paulus inquit, *Ei, qui potest omnia facere superabundantius quam petimus, aut cogitamus* (*Ephes.* 3. 20). Non enim potes cogitare tanta, quanta ille instituit donare tibi. No

igitur pudefias, neve erubescas, imo potius pudorem de peccatis collige, ne desperes, neve absistas a precatione, sed accede, licet peccator sis, ut reconcilies tibi Dominum, ut des illi locum suam humanitatem in condonatione tuorum criminum exhibendi : quia, si timeas accedere, impedis illius bonitatem, remoraris illius beniguitatis largitatem, quantum ad te attinet.

Non solæ preces veniam impetrant, sed cum gratia Dei. Recordatio peccatorum utilis. Paulus peccatorum suorum recordatur. — Ne igitur animum despondeamus, neve nos segnes timidosque ad preces exhibeamus. Etiamsi detrusi simus ad barathrum malitiæ, facile inde nos extrahere poterit. Nemo tantum peccavit quantum iste : nam in omne genus scelerum proruperat : id enim significant dena millia talentorum . nemo ita inops virtutis est, ut iste fuit : hoc enim intelligitur ex eo, quod nihil haberet quod rependeret. Attamen undecumque desertum et inopem potuit vis precum liberare. Tantum, inquit, valet precatio, ut eum qui innumeris rebus et factis Dominum offenderit, a pœna et supplicio eripere possit ? Potest haud dubie. Non enim illa sola est quæ omnia conficit, sed habet sociam et auxiliatricem maximam humanitatem Dei, qui preces accipit, cujus viribus omnia fiunt, et quæ orationem efficacem reddidit. Id igitur subindicans, dixit, *Misertus dominus ejus absolvit eum, et æs alienum remisit ei* : ut discas, et post preces, et ante preces domini viscera totum illud negotium fecisse. *Egressus autem ille invenit unum conservorum suorum, qui ipsi debebat centum denarios, et tenens suffocabat eum dicens : Redde quod debes* (*Matth.* 18. 28). Quid scelestius fieri potest ? Adhuc enim beneficii vocem in auribus gerens, oblitus est herilis bonitatis.

7. En quantum bonum est peccatorum suorum meminisse : si enim hic perpetuo eorum memoriam retinuisset, non tam ferus et immanis factus fuisset. Propterea assidue dico, nec omittam dicere, valde est utile et necessarium perpetuo recordari delictorum omnium : nihil enim ita recte institutam, tractabilem et mitem animam facere potest, quam perpetua delictorum recordatio. Ideo et Paulus non solum peccatorum eorum, quæ ante lavacrum, sed etiam quæ post baptismum commissa erant, memor fuit, quamvis semel omnia et deleta et exstincta essent. Si autem ille eorum, quæ ante baptismum gesserat, memor fuit, multo magis nos, quæ post baptismum acta sunt, in memoria retinere debemus ; non enim solum illa istiusmodi recordatione exstinguimus, sed et inde erga omnes homines mitiores efficiemur, et Deo cum majori benevolentia inserviemus, ineffabilem ejus humanitatem ex istiusmodi memoria perspicientes. Quod iste non fecit, sed oblitus magnitudinis debitorum suorum, etiam beneficii domini non recordatus est ; oblivione porro beneficii factum est, ut scelerate se gesserit adversus conservum, et scelerate se gerendo omnia perdiderit, quæ a Dei bonitate consequutus erat, *Tenens enim suffocabat eum, dicens, Redde si quid debes* : non dixit, Redde centum denarios : puduisset enim eum nominare tantillas minutias, sed *Redde si quid debes. Ille autem cadens ad pedes ejus obsecrabat dicens : Patientiam habe in me, et omnia reddam tibi* (*Matth.* 18. 29). Eisdem verbis suam salutem orat, quibus ille veniam a domino impetraverat. Is autem præ nimia crudelitate ne istis quidem verbis flectebatur, neque cogitavit, se per hæc dicta salutem invenisse. Quinimo si debitum remisisset, ne ita quidem pro humanitate factum illud imputandum fuisset, sed pro debito. Si enim ante rationem initam, et beneficium acceptum, hoc fecisset, ipsius magnanimitati tale factum adscribi potuisset : jam vero tam clementer habitus et tot peccatorum remissione donatus, ad parem erga conservum clementiam obligatus erat. Ille tamen nihil istiusmodi fecit, aut in mentem admisit, ut cogitaret, quantum interesset inter condonationem, quæ ipsi a domino contigerat, et eam quæ erga conservum exhibenda erat : non enim solum magnitudine debitorum aut dignitate personarum, sed eo ipso modo, quo res acta est, magnum inter utrumque discrimen conspicias. Illud enim debitum decem millium talentorum erat, hoc centum denariorum : et ille quidem in dominum contumeliose peccaverat, hic tantummodo conservo obligatus erat : ille beneficiis acceptis bene mereri vicissim debebat, dominus, qui nihil boni aut magni aut parvi ab ipso factum videbat, omnia remisit. Attamen nihil horum cogitavit ; sed semel ab ira excæcatus, suffocabat eum, et in carcerem conjecit (*Ibid. v.* 30). Videntes autem conservi ejus indignati sunt (*Ibid. v.* 31), ut ait Scriptura, et ante dominum conservi eum damnaverunt, ut discas domini mansuetudinem. Cum audisset id dominus, rursus adversus eum acerbum judicium instituit, neque vel tum simpliciter condemnationem effert, sed prius tamquam de jure cum illo disceptat. Cæterum quibus id verbis facit ? *Serve nequam, omne debitum illud remisi tibi* (*Ibid. v.* 32).

Facilius sibi quam aliis debita remittit Deus. — Quid melius eo domino, cui cum deberentur decem millia talentorum, ne verbo quidem stomachatus est, aut scelestum appellavit ? sed eum tantummodo venumdari jussit : idque eo fine, ut a debitis liberaretur. Eidem cum adversus conservum improbe egisset, stomachatur : ut discas ipsum facilius quod in se peccetur, quam quod adversus alios, remittere solere. Ac non istud in hoc solo loco facit, verum et alibi. *Si enim*, inquit, *offers munus tuum ad altare, et illic recordatus fueris, quod frater tuus habet aliquid adversum te, abi primum, ut reconcilieris fratri tuo, ac tum veniens offer munus tuum* (*Matth.* 5. 23. 24). Vides quam ubique suis nostra anteponat, pacemque et caritatem proximorum summo loco constituat ? Et rursus alibi : *Quicumque repudiat uxorem suam, præterquam ratione adulterii, eam adulterari facit* (*Ibid. v.* 32). Per Paulum autem hanc legem sancit, *Si quis vir uxorem habet infidelem, eique placeat cum ipso habitare, ne dimittat eam* (1. Cor. 7. 12). Quod si adultera sit,

χύνου μὲν ἐπὶ τοῖς ἁμαρτήμασι, μὴ ἀπογίνωσκε δὲ, μηδὲ ἀφίστασο τῆς εὐχῆς, ἀλλὰ πρόσελθε καὶ ἁμαρτωλὸς ὢν, ἵνα καταλλάξῃς σου τὸν Δεσπότην, ἵνα ἕως αὐτῷ τὴν οἰκείαν φιλανθρωπίαν ἐν τῇ συγχωρήσει τῶν ἁμαρτιῶν τῶν σῶν ἐπιδείξασθαι· ὡς ἐὰν φοβηθῇς προσελθεῖν ἐνεπόδισας αὐτοῦ τῇ ἀγαθότητι, διεκώλυσας αὐτοῦ τῆς χρηστότητος τὴν δαψίλειαν, τό γε εἰς σὲ ἦκον.

Μὴ τοίνυν ἀναπίπτωμεν, μηδὲ ὀκνῶμεν ἐν ταῖς εὐχαῖς. Κἂν γὰρ πρὸς αὐτὸ τῆς κακίας κατενεχθῶμεν τὸ βάραθρον, ταχέως ἐκεῖθεν ἡμᾶς ἀναστάσαι δυνήσεται. Οὐδεὶς τοσαῦτα ἥμαρτεν, ὅσα οὗτος· καὶ γὰρ ἅπαν εἶδος πονηρίας ἐπῆλθε· καὶ τοῦτο δηλοῖ τὰ μύρια τάλαντα· οὐδεὶς ἔρημος οὕτως ἦν[a], ὡς οὗτος· τοῦτο γὰρ δηλοῖ τὸ μὴ ἔχειν αὐτὸν ἀποτῖσαι. Ἀλλ' ὅμως τὸν πάντοθεν προδοθέντα ἴσχυσεν εὐχῆς ἐξαρπάσαι δύναμις. Καὶ τοσοῦτον δύναται, φησὶν, εὐχή, ὡς τὸν δι' ἔργων καὶ μυρίων πραγμάτων προσκρούσαντα τῷ Δεσπότῃ ἀπαλλάξαι κολάσεως καὶ τιμωρίας; Ναὶ, τοσοῦτον δύναται, ἄνθρωπε. Οὐδὲ γὰρ αὕτη μόνη ἐστὶν ἡ τὸ πᾶν ἀνύουσα, ἀλλ' ἔχει σύμμαχον καὶ βοηθὸν μέγιστον τὴν φιλανθρωπίαν τοῦ δεχομένου τὴν εὐχὴν Θεοῦ, ἥτις ἐνταῦθα τὸ πᾶν εἰργάσατο, καὶ τὴν εὐχὴν ἐποίησε δυνατήν. Τοῦτο γοῦν καὶ αἰνιττόμενος ἔλεγε· *Σπλαγχνισθεὶς ὁ κύριος αὐτοῦ, ἀπέλυσεν αὐτὸν, καὶ τὸ δάνειον ἀφῆκεν αὐτῷ*· ἵνα μάθῃς ὅτι μετὰ τῆς εὐχῆς, καὶ πρὸ τῆς εὐχῆς, τοῦ δεσπότου τὰ σπλάγχνα τὸ πᾶν ἐποίησεν. *Ἐξελθὼν δὲ ἐκεῖνος εὗρεν ἕνα τῶν συνδούλων αὐτοῦ, ὃς ὤφειλεν αὐτῷ ἑκατὸν δηνάρια· καὶ κρατήσας αὐτὸν* [12] *ἔπνιγε, λέγων· Ἀπόδος μοι, εἴ τι ὀφείλεις.* Ἆρα τί τούτου γένοιτ' ἂν μιαρώτερον; Ἐναυλον ἔχων τὴν εὐεργεσίαν, ἐπελήσθη τῆς τοῦ δεσπότου φιλανθρωπίας.

ζ' Ὁρᾷς ὅσον ἐστὶν ἀγαθὸν ἁμαρτημάτων μεμνῆσθαι; Καὶ γὰρ οὗτος, εἰ διηνεκῶς τούτων ἐμέμνητο, οὐκ ἂν οὕτως ἄγριος ἐγένετο καὶ ἀπάνθρωπος. Διὰ τοῦτο συνεχῶς λέγω, καὶ λέγων οὐ παύσομαι, ὅτι χρήσιμον σφόδρα καὶ ἀναγκαῖον τὸ διηνεκῶς μνημονεύειν ἡμᾶς τῶν πεπλημμεληκότων ἡμῖν ἁπάντων· οὐδὲν γὰρ οὕτω φιλόσοφον καὶ ἐπιεικῆ καὶ πρᾶον τὴν ψυχὴν ἐργάσασθαι δύναται, ὡς ἡ διηνεκὴς τῶν ἁμαρτημάτων μνήμη. Διὰ τοῦτο καὶ ὁ Παῦλος οὐ μόνον τῶν μετὰ τὸ λουτρὸν, ἀλλὰ καὶ τῶν πρὸ τοῦ βαπτίσματος ἁμαρτημάτων ἐμέμνητο, καίτοι γε ἀφανισθέντων καθάπαξ. Εἰ δὲ ἐκεῖνος τῶν πρὸ τοῦ βαπτίσματος ἐμέμνητο, πολλῷ μᾶλλον ἡμᾶς τῶν μετὰ τὸ βάπτισμα μεμνῆσθαι δεῖ· οὐ γὰρ δὴ μόνον αὐτὰ διαλύομεν τῇ μνήμῃ. ἀλλὰ καὶ πρὸς ἅπαντας ἀνθρώπους ἐπιεικέστερον διακείσόμεθα, καὶ τῷ Θεῷ μετὰ πλείονος δουλεύσομεν τῆς εὐνοίας, τὴν ἄφατον αὐτοῦ φιλανθρωπίαν ἐκ τῆς τούτων μνήμης καταμανθάνοντες. Ὅπερ οὗτος οὐκ ἐποίησεν, ἀλλ' ἐπιλαθόμενος τοῦ μεγέθους τῶν ὀφλημάτων, καὶ τῆς εὐεργεσίας ἐπελάθετο· τῆς δὲ εὐεργεσίας ἐπιλαθόμενος, πονηρὸς περὶ τὸν σύνδουλον ἐγένετο, καὶ διὰ τῆς εἰς ἐκεῖνον πονηρίας ἅπαντα, ἅπερ ἐκέρδανεν ἀπὸ τῆς τοῦ Θεοῦ φιλανθρωπίας, ἀπώλεσε. *Κρατήσας γὰρ αὐτὸν ἔπνιγε λέγων· Ἀπόδος μοι, εἴ τι ὀφείλεις.* Οὐκ εἶπεν, Ἀπόδος μοι τὰ ἑκατὸν δηνάρια· ἠσχύνετο γὰρ τοῦ χρέους τὴν εὐτέλειαν· ἀλλ', *Ἀπόδος, εἴ τι ὀφείλεις. Ὁ δὲ πεσὼν ἐπὶ τοὺς πόδας αὐτοῦ, παρεκάλει αὐτὸν, λέγων· Μακροθύμησον ἐπ' ἐμοὶ, καὶ πάντά σοι ἀποδώσω.* Διὰ τῶν ῥημάτων, δι' ὧν ἐκεῖνος εὕρετο τὴν συγχώρησιν, διὰ τούτων καὶ οὗτος ἀξιοῖ σωθῆναι. Ὁ δὲ ὑπὸ τῆς ἄγαν ὠμότητος οὐδὲ τούτοις τοῖς λόγοις κατεκάμπτετο, οὐδὲ ἐνενόησεν, ὅτι διὰ τούτων ἐσώθη τῶν ῥημάτων. Καίτοι γε καὶ εἰ συνεχώρησεν, οὐδὲ οὕτω φιλανθρωπία τὸ πρᾶγμα λοιπὸν ἦν, ἀλλ' ὀφειλὴ καὶ χρέος. Εἰ μὲν γὰρ, πρὶν ἢ γενέσθαι τὸ λογοθέσιον, καὶ τὴν ψῆφον ἐξενεχθῆναι ἐκείνην; καὶ τοσαύτης ἀπολαῦσαι εὐεργεσίας, τοῦτο ἐποίησεν, οἰκείας μεγαλοψυχίας ἦν τὸ γινόμενον· νυνὶ δὲ μετὰ τοσαύτην δωρεὰν καὶ τοσούτων ἁμαρτημάτων ἄφεσιν, ὥσπερ ἀναγκαίου τινὸς ὀφλήματος λοιπὸν ὑπεύθυνος ἦν τῆς περὶ τὸν σύνδουλον ἀνεξικακίας. Ἀλλ' ὅμως οὐδὲ τοῦτο ἐποίησεν, οὐδὲ ἐνενόησεν ὅσον τὸ μέσον ἦν τῆς ἀφέσεως, ἧς τε αὐτὸς ἀπήλαυσε, καὶ ἣν περὶ τὸν σύνδουλον ἐπιδείκνυσθαι ἔμελλεν· οὐ γὰρ δὴ τῇ ποσότητι τῶν ὀφλημάτων, οὐδὲ τῷ ἀξιώματι τῶν προσώπων μόνον, ἀλλὰ καὶ αὐτῷ τῷ τρόπῳ πολλὴν τὴν διαφορὰν ἴδοι τις ἄν. Ἐκεῖνα μὲν γὰρ μύρια τάλαντα ἦν, ταῦτα δὲ ἑκατὸν δηνάρια· καὶ οὗτος μὲν εἰς τὸν δεσπότην ὕβρισεν, ὁ δὲ ὀφείλων αὐτῷ εἰς τὸν σύνδουλον· καὶ οὗτος μὲν εὖ παθὼν ἔμελλε χαριεῖσθαι, δεσπότης δὲ οὐ μικρὸν, [13] οὐ μέγα ἀγαθὸν ἰδὼν παρ' αὐτοῦ γενόμενον, πάντα ἀφῆκεν. Ἀλλ' ὅμως οὐδὲν τούτων ἐνενόησεν, ἀλλὰ καθάπαξ ὑπὸ τῆς ὀργῆς πηρωθεὶς ἦγχεν αὐτὸν, καὶ εἰς τὸ δεσμωτήριον ἐνέβαλεν. Ἰδόντες δὲ οἱ σύνδουλοι αὐτοῦ, φησὶν, ἠγανάκτησαν, καὶ πρὸ τοῦ δεσπότου οἱ σύνδουλοι καταψηφίζονται, ἵνα μάθῃς τοῦ δεσπότου τὸ ἤμερον. Ἀκούσας δὲ ὁ δεσπότης αὐτοῦ, καὶ καλέσας αὐτὸν, πάλιν κρίνεται πρὸς αὐτὸν, καὶ οὐδὲ οὕτως ἁπλῶς ἐκφέρει τὴν καταδίκην, ἀλλὰ πρότερον δικαιολογεῖται. Καὶ τί φησι; *Δοῦλε πονηρὲ, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι.*

Τί τούτου γένοιτ' ἂν ἀγαθώτερον τοῦ δεσπότου; Ὅτε μὲν αὐτῷ ὤφειλε τὰ μύρια τάλαντα, οὐδὲ μέχρι ῥήματος αὐτὸν ἐλύπησεν[b], οὐδὲ πονηρὸν ἐκάλεσεν, ἀλλὰ πραθῆναι μόνον ἐκέλευσε· καὶ τοῦτο, ἵνα ἀπαλλάξῃ τῶν ὀφλημάτων. Ἐπειδὴ δὲ εἰς τὸν σύνδουλον πονηρὸς ἐγένετο, τότε ὀργίζεται καὶ παροξύνεται, ἵνα μάθῃς ὅτι εὐκολώτερον τὰ εἰς αὐτὸν ἀφίησιν, ἢ τὰ εἰς τοὺς πλησίον ἁμαρτήματα. Καὶ οὐκ ἐνταῦθα μόνον τοῦτο ποιεῖ, ἀλλὰ καὶ ἀλλαχοῦ. *Ἐὰν γὰρ προσφέρῃς τὸ δῶρόν σου, φησὶν, ἐπὶ τὸ θυσιαστήριον, κἀκεῖ μνησθῇς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ὕπαγε, πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου.* Ὁρᾷς πῶς πανταχοῦ τῶν αὐτοῦ τὰ ἡμέτερα προτιμᾷ, καὶ τῆς εἰρήνης καὶ τῆς ἀγάπης τῆς εἰς τὸν πλησίον οὐδὲν ἀνώτερον τίθησιν; Καὶ πάλιν ἀλλαχοῦ· *Ὁ ἀπολύων τὴν γυναῖκα αὐτοῦ παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχευθῆναι.* Διὰ δὲ Παύλου οὕτως ἐνομοθέτει· *Εἴ τις ἀνὴρ γυναῖκα ἔχει ἄπιστον, καὶ αὐτὴ συνευδοκεῖ οἰκεῖν μετ' αὐτοῦ, μὴ ἀφιέτω αὐτήν.* Ἂν μὲν γὰρ πορνεύσῃ, φησὶν, ἔκβαλε· ἂν δὲ ἄπιστος ᾖ, μὴ ἐκβάλῃς· ἐὰν εἰς σὲ ἁμάρτῃ, φησὶν, ἀπόκοψον· ἐὰν δὲ εἰς ἐμὲ ἁμάρτῃ, κάτεχε. Οὕτω καὶ ἐνταῦθα, ὅτε μὲν εἰς αὐ-

[a] Savil. ut in textu habet. Reg. vero οὐδεὶς ἔρημος ἀρετῆς ἦν, et sic legisse Nannius videtur.

[b] Savil. in textu ἐκάλεσεν, in marg. ἐλύπησεν, quæ lectio præstat. Verum etiam sic sententia manca est, quam ex Regio codice emendamus. Nannius sic legerat, ut in Regio codice fertur.

τὸν ἥμαρτεν ἁμαρτήματα τοσαῦτα, συνεχώρησεν· ὅτε δὲ εἰς τὸν σύνδουλον ἥμαρτεν ἐλάττονα πολλῷ καὶ βραχίῳ τῶν εἰς τὸν δεσπότην, οὐκ ἀφῆκεν, ἀλλ' ἐπεξῆλθε· καὶ ἐνταῦθα μὲν πονηρὸν ἐκάλεσεν, ἐκεῖ δὲ οὐδὲ μέχρι ῥήματος αὐτὸν ἐλύπησε. Διὰ τοῦτο μὲν καὶ ἐνταῦθα καὶ τοῦτο πρόσκειται, ὅτι ὀργισθεὶς παρέδωκεν αὐτὸν τοῖς βασανισταῖς· ἡνίκα δὲ αὐτὸν ἀπῄτει λόγον τῶν μυρίων ταλάντων, οὐδὲν τοιοῦτον προσέθηκεν· ἵνα μάθῃς, ὅτι ἐκείνη μὲν ἡ ψῆφος οὐχὶ ὀργῆς ἦν, ἀλλὰ κηδεμονίας πρὸς συγχώρησιν ἐπαγομένης· αὕτη δὲ αὐτὸν μάλιστα παρώξυνεν ἡ ἁμαρτία. Ἆρα τί γένοιτ' ἂν μνησικακίας χεῖρον, ὅταν φιλανθρωπίαν ἐξενεχθεῖσαν ἀνακαλεῖται Θεοῦ, καὶ ἅπερ οὐκ ἴσχυσεν αὐτὸν διαθεῖναι τὰ ἁμαρτήματα, ταῦτα ἰσχύει αὐτὸν ἐργάσασθαι ἡ κατὰ τοῦ πλησίον ὀργή; Καίτοι γε γέγραπται, ὅτι Ἀμεταμέλητα τὰ χαρίσματα τοῦ Θεοῦ. Πῶς οὖν ἐνταῦθα μετὰ τὸ ἐξενεχθῆναι τὴν δωρεὰν, μετὰ τὸ προχωρῆσαι τὴν φιλανθρωπίαν, ἀνεκλήθη πάλιν ἡ ψῆφος; Διὰ τὴν μνησικακίαν· ὥστε οὐκ ἄν τις ἁμάρτοι, πάσης ἁμαρτίας ταύτην χαλεπωτέραν ἀποφηνάμενος εἶναι· αἱ μὲν γὰρ ἄλλαι πᾶσαι ἠδυνήθησαν συγχώρησιν εὑρέσθαι, αὕτη δὲ οὐ μόνον οὐκ ἴσχυσε συγγνώμης τυχεῖν, ἀλλὰ καὶ τὰς ἑτέρας ἀφανισθεῖσας καθάπαξ ἀνενέωσε πάλιν.

Ὥστε διπλοῦν κακὸν ἡ [14] μνησικακία, ὅτι τε οὐδεμίαν ἀπολογίαν ἔχει παρὰ τῷ Θεῷ, καὶ ὅτι τὰ λοιπὰ ἡμῶν ἁμαρτήματα, κἂν συγχωρηθῇ, πάλιν ἀνακαλεῖται, καὶ καθ' ἡμῶν ἵστησιν· ὅπερ οὖν καὶ ἐνταῦθα ἐποίησεν. Οὐδὲν γὰρ, οὐδὲν οὕτως ὁ Θεὸς μισεῖ καὶ ἀποστρέφεται, ὡς ἄνθρωπον μνησίκακον καὶ διατηροῦντα ὀργήν. Καὶ τοῦτο μάλιστα μὲν ἐντεῦθεν ἐπεδείξατο, καὶ ἀπὸ τῆς εὐχῆς δὲ αὐτῆς ἐκέλευσεν ἡμῖν λέγειν οὕτως· *Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν.* Ταῦτα οὖν ἅπαντα εἰδότες, καὶ τὴν παραβολὴν ἐγγράψαντες ταύτην ἐν ταῖς καρδίαις, ὅταν ἐννοήσωμεν ἅπερ πεπόνθαμεν παρὰ τῶν συνδούλων, λογισώμεθα ἅπερ ἐποιήσαμεν εἰς τὸν Δεσπότην· καὶ τῷ φόβῳ τῶν οἰκείων ἁμαρτημάτων τὸν θυμὸν τὸν ἐπὶ τοῖς ἀλλοτρίοις πλημμελήμασι ταχέως ἀπωσασθαι δυνησόμεθα· εἰ γὰρ δεῖ μεμνῆσθαι ἁμαρτημάτων, τῶν οἰκείων δεῖ μεμνῆσθαι μόνον· ἐὰν δὲ τῶν οἰκείων μνημονεύσωμεν, οὐδέποτε τὰ ἀλλότρια λογιούμεθα· ὥσπερ οὖν ἂν τούτων ἐπιλανθανώμεθα, ἐκεῖνα ῥᾳδίως ἐμφιλοχωρήσει τοῖς ἡμετέροις λογισμοῖς. Καὶ γὰρ οὗτος εἰ τῶν μυρίων ταλάντων ἐμέμνητο, οὐκ ἂν ἐμνήσθη τῶν ἑκατὸν δηναρίων· ἀλλ' ἐπειδὴ ἐκείνων ἐπελάθετο, διὰ τοῦτο ὑπὲρ τούτων ἦγχε τὸν σύνδουλον, καὶ ὀλίγα βουλόμενος ἀπαιτῆσαι, οὔτε ἐκείνων ἐπέτυχεν, ἀλλὰ καὶ τῶν μυρίων ταλάντων τὸν ὄγκον εἰς τὴν ἑαυτοῦ κεφαλὴν ἐπεσπάσατο. Διὰ τοῦτο θαῤῥῶν ἂν εἴποιμι, ὅτι πάσης ἁμαρτίας αὕτη χαλεπωτέρα· μᾶλλον δὲ οὐκ ἐγὼ τοῦτο, ἀλλὰ ὁ Χριστὸς διὰ τῆς παραβολῆς ταύτης τοῦτο ἀπεφήνατο. Εἰ γὰρ μὴ μυρίων ταλάντων, λέγω δὴ τῶν ἀφάτων ἁμαρτημάτων, αὕτη χαλεπωτέρα ἦν, οὐκ ἂν διὰ ταύτην κἀκεῖνα ἀνεκαλέσατο. Οὕτω μηδὲν τοίνυν σπουδάζωμεν, ὡς ὀργῆς καθαρεύειν, καὶ τοὺς πρὸς ἡμᾶς ἀηδῶς ἔχοντας καταλλάττειν, εἰδότες ὅτι οὔτε εὐχὴ, οὔτε ἐλεημοσύνη, οὔτε νηστεία, οὔτε κοινωνία μυστηρίων, οὕτε ἄλλο τῶν τοιούτων οὐδὲν, ἐὰν μνησικακῶμεν, δυνήσεται ἡμῶν προστῆναι κατὰ τὴν ὥραν ἐκείνην· ὥσπερ οὖν ἐὰν ταύτης περιγενώμεθα τῆς ἁμαρτίας, κἂν μυρία ἔχωμεν πλημμελήματα, δυνησόμεθά τινος συγγνώμης τυχεῖν. Καὶ οὐχὶ ἐμὸς ὁ λόγος, ἀλλ' αὐτοῦ τοῦ μέλλοντος ἡμᾶς τότε κρίνειν Θεοῦ. Καθάπερ γὰρ ἐνταῦθα εἶπεν, ὅτι *Οὕτω ποιήσει καὶ ὁ Πατήρ μου, ἐὰν μὴ ἀφῆτε ἕκαστος ἀπὸ τῶν καρδιῶν ὑμῶν*· οὕτω καὶ ἀλλαχοῦ φησιν· *Ἐὰν ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος.* Ἵνα οὖν καὶ ἐνταῦθα πρᾶον καὶ ἥρεμον διάγωμεν βίον, κἀκεῖ συγχωρήσεως καὶ ἀφέσεως τύχωμεν, σπουδάζωμεν καὶ πραγματευώμεθα, ὅσους ἐὰν ἔχωμεν ἐχθροὺς, καταλλάττειν ἡμῖν· οὕτω γὰρ καὶ τὸν Δεσπότην ἡμῶν, κἂν μυρία ὦμεν ἡμαρτηκότες, καταλλάξομεν, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

MONITUM AD HOMILIAM

Nullam temporis certam notam præ se fert hæc homilia; viaque deprehendi posse videtur Antiochiæne an Constantinopoli hæc concionatus sit Chrysostomus. Hoc unum initio commemoratur, nimirum paucis ante diebus contra rapaces et avaros multa, eaque admodum gravia, dicta fuisse. Quam autem hic memoret concionem, haud ita facile est augurari. Multis enim in locis prædones illos publicæque rei pestes alibi vehementer insectatur ille.

Aliquid tamen lucis ex iis quæ post principium dicuntur, nos mutuari posse putamus. De proposita lectione agens Chrysostomus, nempe: *Pater, si possibile est, transeat a me calix iste: verumtamen non sicut ego volo, sed sicut tu*, ita loquitur: *Nam et multos quærere arbitror, qua de causa dicta hæc sint a Christo, ac veri simile est eos qui adsunt hæreticos hæc verba arripere, multosque ex simplicioribus fratri-*

inquit, ejiciatur; si autem infidelis sit, ne expellatur : si, inquit, in te peccaverit, absciude; si in me, detincas. Ita et hic, cum tanta peccata adversum se commissa erant, veniam dedit, cum autem adversus conservum, licet minora paucioraque, nequaquam remisit, sed ultionem persequutus est : et hic quidem eum scelestum appellavit, illic ne verbo quidem contristavit. Et ideo hic illud quoque adjunctum est, quod dominus iratus tradiderit eum tortoribus : cum autem ab illo reposcebat rationem decies mille talentum, nihil istiusmodi additum fuit : ut intelligas illic quidem calculum subductum fuisse, non irarum, sed sollicitudinis, quæ veniæ locum pararet: Iloc autem peccatum dominum plane exacerbavit. Quid igitur est pejus injuriæ recordatione, cum benignitatem Dei jam depromptam revocet, et quæ non potuerunt efficere alia peccata, hæc efficiat ira adversus proximum? Atque scriptum est, Dei dona esse sine pœnitentia (*Rom.* 11. 29). Cur igitur hic post eductum munus, post progressam benignitatem, reductus est calculus? Propter injuriæ memoriam : quamobrem non erraverit quis, si hoc peccatum omni peccato gravius pronuntiet : alia enim omnia veniam impetrare potuerunt, istud solum adeo non potuit veniam adipisci, ut jam deleta, et jam exstincta iterum renovarit.

Nihil ita Deus odit ut mentem memorem injuriæ. — Duplex igitur malum pertinax injuriæ memoria, et quod nullam excusationem apud Deum habeat, et quod reliqua peccata jam remissa iterum revocet, et contra nos constituat. Quod ipsum et hic factum est : nihil enim, nihil omnino ita Deus odit, et aversatur, ut hominem offensarum memorem, et tenacis iræ. Et illud quidem præcipue ex hoc loco declaravit, et ex oratione, in qua jussit nos ita dicere : *Dimitte nobis debita nostra, sicut et nos dimittimus debitoribus nostris* (*Matth.* 6. 12). Hæc igitur omnia docti, et parabola ista in cordibus inscripta, cum cogitaverimus quæ passi sumus a conservis, cogitemus quæ fecimus in ipsum Dominum, et metu propriorum criminum iram de alienis delictis collectam facillime poterimus summovere : si enim meminisse oportet delictorum, propriorum tantum meminisse oportet; quod si propriorum memores fuerimus, numquam aliena delicta supputabimus : contra si illorum obliviscamur, ista facilius obversabuntur nostris cogitationibus. Nam et hic si decies mille talentorum memor fuisset, numquam centum denariorum recordationem retinuisset. Ideo postquam illorum oblitus erat, factum est, ut conservum suffocaret, et pauca volens exigere, neque illa quidem assequutus est; sed et decies mille talentorum molem in suum ipsius caput retraxit. Quocirca audacter dixero, omni peccato istud gravius esse : quinimo non ego hoc dico, sed Christus per parabolam istam istud declaravit. Si enim non decem millibus talentum, hoc est, ineffabilibus peccatis istud gravius esset, nequaquam hujus causa illa omnia jam donata revocata fuissent. Nihil igitur ita studeamus, quam ut ipsi ira vacemus, et nobis infensos reconciliemus : cum illud sciamus, nullam nec orationem, nec eleemosynam, nec jejunium, nec participationem mysteriorum, aut aliud quidpiam, si memores offensarum simus, nobis patrocinari posse in illa die : ut contra si hoc peccatum superemus, etiamsi mille delictis inquinati simus, veniam aliquam consequi nos posse. Nec meus sermo est iste, sed illius qui tunc nos judicaturus est Dei. Quemadmodum hoc in loco pronuntiavit : *Ita*, inquiens, *faciet Pater meus, si non remiseritis unusquisque ex cordibus vestris.* Et rursum alibi : *Si remiseritis hominibus delicta sua, remittet et vobis Pater vester cœlestis* (*Matth.* 18. 35 *et* 6. 14). Ut igitur et hic mansuetam et mitem agamus vitam, et illic veniam et remissionem obtineamus : studendum ac satagendum est, ut quotquot habemus inimicos, eos nobis reconciliemus : ita enim et Dominum nostrum, etiamsi sexcenties peccaverimus, nobis reconciliabimus, et futura bona adipiscemur, quibus nos dignos opto fieri, gratia et humanitate Domini nostri Jesu Christi, cui gloria et imperium in sæcula sæculorum. Amen.

IN ILLUD, PATER, SI POSSIBILE EST, TRANSEAT A ME CALIX ISTE, ETC.

bus supplantare. Unde liquet hæreticos illos, qui Filium Patre minorem, ipsique dissimilem dicebant, nempe Anomœos, Chrysostomi concionibus interfuisse. illud autem frequenter Antiochiæ accidisse, et præsentes hæreticos Chrysostomum confutasse, ipse diserte ait, Tomo I de Incomprehensibili contra Anomœos p. 450, idipsumque postea subindicat p. 525, et p. 509, in hæc verba queis Christus Petrum repulit, *Vade post me, Satana*, etc., eadem pene ipsa quæ hic paulo post initium habes, iisdemque fere verbis commemorat. Quamobrem putaverim hanc homiliam Antiochiæ habitam fuisse, nec diu post illas contra Anomœos Homilias; quod tamen conjecturæ tantum loco dictum sit.

Interpretatio Latina est Frontonis Ducæi.

IN ILLUD,

PATER, SI POSSIBILE EST, TRANSEAT A ME CALIX ISTE : VERUMTAMEN NON SICUT EGO VOLO, SED SICUT TU (*Matth.* 26. 39) : ET CONTRA MARCIONISTAS, ET MANICHÆOS, ET QUOD INGERERE SE PERICULIS NON OPORTEAT, SED OMNI VOLUNTATI DEI VOLUNTATEM ANTEFERRE (*a*).

1. Profundam sectionem nuper inflximus iis qui prædantur et alios per avaritiam fraudare conantur; non ut eos vulneraremus, sed ut eos corrigeremus : non quod homines odio prosequamur, sed quod improbitatem aversemur. Quandoquidem medicus etiam secat ulcus, non quod ægro sit infestus, sed quod morbum et vulnus oppugnet. Age paululum quietis hodie demus ipsis, ut a dolore possint respirare, neque frequenter icti a medicina resiliant. Ita faciunt et medici : emplastra post sectiones imponunt, ac medicamenta, tum aliquot dies elabi sinunt, dum ea excogitant, quæ dolorem possint mitigare. Hos utique nos etiam hodie imitemur, ac indulgeamus ipsis, ut ex sermone nostro utilitatem percipere valeant, ac de dogmatibus instituta disputatione sermonem ad ea quæ lecta sunt traducamus. Nam et multos quærere arbitror, qua de causa dicta hæc sint a Christo : ac verisimile est eos qui adsunt hæreticos hæc verba arripere, multosque ex fratribus simplicioribus supplantare.

Lectio sine intelligentia non prodest. — Ut igitur et illorum propulsemus insultus, et eos qui quæstiones proponunt, anxietate ac perturbatione liberemus, locum istum pertractantes horum verborum expositioni sic immoremur, ut reconditos quosque sensus attingamus. Non enim sufficit lectio, nisi accedat et cognitio : nam et Candaces eunuchus legebat, sed quousque præsto fuit qui doceret eum, quid illud esset quod legebat, non magnam inde utilitatem percepit (*Act.* 8. 27. *sqq.*). Ne igitur idem vobis contingat, ea quæ dicuntur advertite : attendite animum, et studiosam mihi mentem præbete : acri sit acie præditus oculus, attentus intellectus, anima curis sæcularibus expedita, ne in spinas, nec in petras, neque secus viam verba spargamus (*Luc.* 8. 5 - 8) ; sed fecundum ac pingue quoddam arvum colentes, uberem segetem demetamus. Si enim hoc pacto sermoni attentas aures præbueritis, cum leviorem nobis laborem reddetis, tum efficietis, ut facilius id, quod quæritur, reperire possitis. Quid igitur lectum est ? *Pater, si possibile est, transeat a me calix iste* (*Matth.* 26. 39). Quid tandem istud est quod dicit ? Nos enim oportet, ubi prius verborum sensum exposuerimus, solutionem deinde subjungere. Quid igitur dicit ? Pater, si possibile est, transfer a me crucem. Quid ais ? ignorat sitne hoc possibile, an non possibile ? Quis hoc dicat ? Etsi verba ignorantis sint : nam hæc additio, *Si*, dubitantis est ; verum, ut dixi, non oportet verbis adhærere, sed ad sensa converti, et scopum nosse dicentis, et causam et occasionem, omnibusque collectis sensum in eis latentem indagare. Ineffabilis ergo sapientia, ille qui Patrem ita novit, ut Filium novit Pater, qui potuit hoc ignorare ? Neque enim major est cognitio passionis, quam illa naturæ, quam solus ipse novit exacte. *Sicut enim novit me Pater*, inquit, *et ego agnosco Patrem* (*Joan.* 10. 15). Et quid dico de unigenito Dei Filio ? Nam neque prophetæ videntur id ignorasse, sed manifeste novisse, multaque cum asseveratione prædixisse, oportere ut hoc fieret, atque id omnino futurum.

Mariæ integritas ac puritas. Miracula Christi in morte. Mors prophetarum futura prædicentium. — Audi sane quo pacto diversa ratione omnes crucem prænuntient. Primus est Jacob patriarcha : siquidem ad ipsum sermonem dirigens ait : *Ex germine, fili mi, ascendisti* (*Gen.* 49. 9), germen scilicet virginem vocans, et Mariæ integritatem ac puritatem hac voce significans. Tum crucem designans dicebat : *Recumbens dormiisti ut leo, et quasi catulus leonis, quis suscitabit eum* (*Ib.*)? Mortem quippe dormitionem illius et somnum appellavit, et mortem cum resurrectione copulavit, dicens : *Quis suscitabit eum ?* Alius quidem nemo, sed ipse seipsum. Quapropter dicebat etiam Christus : *Potestatem habeo ponendi animam meam, et potestatem habeo sumendi eam* (*Joan.* 10. 18) : et rursus, *Solvite templum hoc, et in tribus diebus excitabo illud* (*Id.* 2. 19). Quid porro est illud, *Recubans dormiisti ut leo?* Sicut leo nimirum non solum dum vigilat, sed etiam dum dormit, formidabilis est : sic et Christus non ante crucem tantum, sed et in ipsa cruce, atque in ipsa morte formidabilis fuit, magnaque tum miracula edidit, dum solis cursum retro convertit, petras scidit, terram tremefecit, velum templi conscidit, uxori Pilati metum injecit, Judam coarguit. Tum enim dixit : *Peccavi tradens sanguinem innocentem* (*Matth.* 27. 4). Atque hoc Pilati uxor indicabat, *Nihil tibi, et justo isti : multa enim passa sum per visum propter eum* (*Ib.* v. 19). Tum orbem terrarum tenebræ occuparunt, et medio die nox apparuit, tum mors contabuit, ejusque vis ac potestas destructa est : multa certe corpora sanctorum

(*a*) Collata cum Ms. Regio 1938, qui pauca exhibet lectionum discrimina.

ΕΙΣ ΤΟ,

[15] Πάτερ, εἰ δυνατόν ἐστι, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ· *καὶ κατὰ Μαρκιωνιστῶν καὶ Μανιχαίων· καὶ ὅτι οὐ χρὴ ἐκπηδᾶν τοῖς κινδύνοις, ἀλλὰ παντὸς θελήματος προτιμᾶν τὸ τοῦ Θεοῦ θέλημα.*

α'. Βαθεῖαν τομὴν τοῖς ἁρπάζουσι καὶ πλεονεκτεῖν βουλομένοις πρώην ἐδώκαμεν· οὐχ ἵνα πλήξωμεν, ἀλλ' ἵνα διορθωσώμεθα· οὐ τοὺς ἀνθρώπους μισοῦντες, ἀλλὰ τὴν πονηρίαν ἀποστρεφόμενοι. Ἐπεὶ καὶ ἰατρὸς τέμνει τὸ ἕλκος, οὐ τῷ νοσοῦντι σώματι πολεμῶν, ἀλλὰ τῇ νόσῳ καὶ τῷ τραύματι μαχόμενος. Φέρε δὴ, σήμερον μικρὸν ἐνδῶμεν αὐτοῖς, ὥστε αὐτοὺς ἀπὸ τῆς ὀδύνης ἀναπνεῦσαι, καὶ μὴ συνεχῶς πληττομένους ἀποσκιρτῆσαι τῆς θεραπείας. Οὕτω καὶ ἰατροὶ ποιοῦσι· μετὰ τὰς τομὰς ἐμπλάστρους ἐπιτιθέασι καὶ φάρμακα, καὶ διαλιμπάνουσιν ἡμέρας, τὰ παραμυθούμενα τὴν ὀδύνην ἐπινοοῦντες. Τούτους δὴ καὶ ἡμεῖς μιμούμενοι σήμερον ἐπινοοῦντες, ὥστε καρπώσασθαι τὴν ἀπὸ τῆς ἡμετέρας διαλέξεως ὠφέλειαν, καὶ τὸν περὶ δογμάτων κινήσωμεν λόγον, εἰς τὰ ἀνεγνωσμένα τὸν λόγον ἀφιέντες. Καὶ γὰρ οἶμαι πολλοὺς διαπορεῖν, τίνος ἕνεκεν ταῦτα εἴρηται παρὰ τοῦ Χριστοῦ· εἰκὸς δὲ καὶ αἱρετικοὺς παρόντας ἐπιπηδῆσαι τοῖς εἰρημένοις, καὶ πολλοὺς τῶν ἀφελεστέρων ἀδελφῶν ἐντεῦθεν ὑποσκελίζειν.

Ἵν' οὖν καὶ τὴν [16] ἐκείνων ἔφοδον ἀποτειχίσωμεν, καὶ τοὺς διαποροῦντας θορύβου καὶ ταραχῆς ἀπαλλάξωμεν, μεταχειρίσαντες τὸ εἰρημένον, ἐνδιατρίψωμεν τῇ λέξει, καὶ πρὸς τὸ βάθος καταβῶμεν τῶν νοημάτων. Οὐδὲ γὰρ ἀρκεῖ ἡ ἀνάγνωσις, ἐὰν μὴ προσῇ καὶ ἡ γνῶσις. Ἐπεὶ καὶ ὁ εὐνοῦχος Κανδάκης ἀνεγίνωσκεν, ἀλλ' ἕως ὅτε παρεγένετο ὁ διδάσκων αὐτὸν τί ποτε ἦν ὃ ἀνεγίνωσκεν, οὐδὲν ἐκαρποῦτο μέγα. Ἵν' οὖν μὴ καὶ ὑμεῖς τὸ αὐτὸ πάθητε, προσέχετε τοῖς λεγομένοις, συντείνατε τὴν διάνοιαν, σχολάζουσάν μοι τὴν ψυχὴν παράσχετε, ὀξυδερκὲς ἔστω τὸ ὄμμα, συντεταμένη ἡ γνώμη· ἀπηλλαγμένη φροντίδων βιωτικῶν ἡ ψυχή, ἵνα μὴ καταβάλωμεν εἰς τὰς ἀκάνθας, μηδὲ εἰς τὰς πέτρας, μηδὲ παρὰ τὴν ὁδὸν τὰ λεγόμενα· ἀλλὰ βαθύγειον καὶ λιπαρὰν γεωργοῦντες ἄρουραν, κομῶντα τὸν ἄσταχυν ἀμήσωμεν. Ἐὰν γὰρ οὕτω προσέχητε τοῖς λεγομένοις, καὶ ἡμῖν κουφότερον τὸν πόνον ἐργάσεσθε, καὶ ὑμῖν εὐκολωτέραν τὴν εὕρεσιν κατασκευάσετε. Τί οὖν ἐστι τὸ ἀγεγνωσμένον; *Πάτερ, εἰ δυνατόν, παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ.* Τί ποτέ ἐστιν ὅ φησι; Δεῖ γὰρ τὸ εἰρημένον σαφέστερον ἑρμηνεύσαντας, οὕτως ἐπαγαγεῖν τὴν λύσιν. Τί οὖν ἐστιν ὅ φησι; Πάτερ, εἰ δυνατὸν, παράγαγε τὸν σταυρόν. Τί λέγεις; ἀγνοεῖ εἴτε δυνατὸν, εἴτε ἀδύνατον, τοῦτο; Καὶ τίς ἂν τοῦτο εἴποι; Καίτοι τὰ ῥήματα ἀγνοοῦντός ἐστιν· ἡ γὰρ τοῦ, *Εἰ*, προσθήκη, ἀμφιβάλλοντός ἐστιν, ἀλλ', ὅπερ ἔφην, οὐ δεῖ τοῖς ῥήμασι προσέχειν, ἀλλὰ πρὸς τὰ νοήματα τρέπεσθαι, καὶ τὸν σκοπὸν τοῦ λέγοντος εἰδέναι, καὶ τὴν αἰτίαν, καὶ τὸν καιρὸν, καὶ πάντα συναγαγόντα, οὕτω θηρᾶν τὴν ἐναποκειμένην διάνοιαν. Ἡ οὖν σοφία ἡ ἀπόῤῥητος, ὁ τὸν Πατέρα οὕτως εἰδὼς, ὡς ὁ Πατὴρ οἶδε τὸν Υἱὸν, πῶς ἂν τοῦτο ἠγνόησεν; Οὐδὲ γὰρ μείζων αὕτη ἡ γνῶσις ἡ περὶ τοῦ πάθους τῆς γνώσεως τῆς περὶ τῆς οὐσίας, ἣν ἀκριβῶς μόνος οἶδεν αὐτός. *Καθὼς γὰρ, φησὶ, γινώσκει με ὁ Πατὴρ, κἀγὼ γινώσκω τὸν Πατέρα.* Καὶ τί λέγω περὶ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ; Οὐδὲ γὰρ οἱ προφῆται φαίνονται τοῦτο ἠγνοηκότες, ἀλλὰ καὶ εἰδότες σαφῶς καὶ προαναφωνοῦντες μετὰ πολλῆς τῆς πληροφορίας, ὅτι δεῖ τοῦτο γενέσθαι, καὶ ὅτι πάντως ἔσται.

Ἄκουε γοῦν πῶς διαφόρως ἅπαντες τὸν σταυρὸν ἀπαγγέλλουσι. Πρῶτος ὁ πατριάρχης Ἰακὼβ· πρὸς γὰρ αὐτὸν ἀποτείνων τὸν λόγον φησίν· *Ἐκ βλαστοῦ, υἱέ μου, ἀνέβης·* βλαστὸν τὴν Παρθένον, καὶ τὸ ἄχραντον τῆς Μαρίας ἐμφαίνων. Εἶτα τὸν σταυρὸν δηλῶν ἔλεγεν· *Ἀναπεσὼν ἐκοιμήθης ὡς λέων, καὶ ὡς σκύμνος λέοντος, τίς ἐγερεῖ αὐτόν;* Τὸν γὰρ θάνατον αὐτοῦ κοίμησιν ἐκάλεσε καὶ ὕπνον, καὶ τῷ θανάτῳ συνῆψε τὴν ἀνάστασιν, λέγων· Τίς ἐγερεῖ αὐτόν; Ἄλλος μὲν οὐδείς, αὐτὸς δὲ ἑαυτόν. Δι' ὃ καὶ ὁ Χριστὸς ἔλεγεν· *Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω λαβεῖν αὐτήν·* καὶ πάλιν· *Λύσατε τὸν ναὸν τοῦτον καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν.* Τί δέ ἐστιν, *Ἀναπεσὼν ἐκοιμήθης ὡς λέων;* Ὥσπερ γὰρ ὁ λέων οὐχ ἐγρηγορὼς μόνον, ἀλλὰ καὶ καθεύδων ἐστὶ φοβερός· οὕτω καὶ ὁ Χριστὸς οὐ πρὸ τοῦ σταυροῦ μόνον, ἀλλὰ καὶ ἐν αὐτῷ τῷ σταυρῷ, καὶ ἐν αὐτῇ τῇ τελευτῇ φοβερὸς ἦν, καὶ τὰ μεγάλα τότε εἰργάζετο θαύματα, ἥλιον ἀποστρέφων, πέτρας τέμνων, [17] τὴν γῆν κλονῶν, τὸ καταπέτασμα σχίζων, τὴν γυναῖκα τοῦ Πιλάτου δεδιττόμενος, τὸν Ἰούδαν ἐλέγχων. Τότε γὰρ ἔλεγεν· *Ἥμαρτον παραδοὺς αἷμα ἀθῷον.* Καὶ ἡ γυνὴ τοῦ Πιλάτου ἐδήλου· *Μηδὲν σοὶ καὶ τῷ δικαίῳ τούτῳ· πολλὰ γὰρ ἔπαθον κατ' ὄναρ δι' αὐτόν.* Τότε τὸ σκότος τὴν οἰκουμένην κατελάμβανε, καὶ νὺξ ἐν ἡμέρᾳ μέσῃ ἐφαίνετο· τότε ὁ θάνατος ἐτήκετο, καὶ ἡ τυραννὶς αὐτοῦ κατελύετο· πολλὰ γοῦν

πώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη. Ταῦτα ἄνωθεν προλέγων ὁ πατριάρχης, καὶ δεικνὺς ὅτι καὶ σταυρούμενος ἔσται φοβερὸς, Ἀναπρσώρ, φησὶν, *ἐκοιμήθης ὡς λέων*· καὶ οὐκ εἶπε, Κοιμηθήσῃ, ἀλλ' *Ἐκοιμήθης*, διὰ τὶ πάντως ἐσόμενον. Ἔθος γὰρ τοῖς προφήταις πολλαχοῦ τὰ μέλλοντα ὡς προγεγενημένα προλέγειν. Ὥσπερ γὰρ οὐκ ἔνι τὰ γεγενημένα μὴ γεγενῆσθαι, οὕτως οὐδὲ τοῦτο, καίτοι μέλλον ὄν, μὴ γενέσθαι. Διά τοι τοῦτο τῷ σχήματι τοῦ παρῳχηκότος χρόνου τὰ μέλλοντα προαναφωνοῦσι, τὸ ἀδιάπτωτον αὐτῶν καὶ πάντως ἐσόμενον διὰ τούτων ἐνδεικνύμενοι. Οὕτω καὶ ὁ Δαυὶδ τὸν σταυρὸν δηλῶν ἔλεγεν· *Ὤρυξαν χεῖράς μου καὶ πόδας μου.* Οὐκ εἶπε., Ὀρύξουσιν, ἀλλ', *Ὤρυξαν. Ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου.* Καὶ οὐ τοῦτο λέγει μόνον, ἀλλὰ καὶ τὰ παρὰ τῶν στρατιωτῶν γεγονότα· *Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.* Καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ χολὴν αὐτὸν ἐψώμισαν, καὶ ὄξος ἐπότισαν. *Ἔδωκαν* γάρ, φησὶν, *εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος.* Ἕτερος δὲ πάλιν ὅτι λόγχῃ αὐτὸν ἔπαισάν φησιν· *Ὄψονται, γὰρ εἰς ὃν ἐξεκέντησαν.* Ὁ δὲ Ἡσαΐας ἑτέρως πάλιν τὸν σταυρὸν προαναφωνῶν ἔλεγεν· *Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἦρθη.*

β'. Σὺ δέ μοι παρατήρει πῶς ἕκαστος τούτων, ὡς περὶ παρῳχηκότων διαλέγεται, τὸ πάντως ἐσόμενον καὶ ἀναντιῤῥήτως ἐκβησόμενον διὰ τοῦ χρόνου τούτου δηλῶν. Οὕτω καὶ ὁ Δαυὶδ τὸ δικαστήριον τοῦτο ὑπογράφων ἔλεγεν· *Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά; Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ.* Οὐ τὸ δικαστήριον δὲ λέγει μόνον, καὶ τὸν σταυρὸν, καὶ τὰ ἐν τῷ σταυρῷ, ἀλλὰ καὶ τὸν προδεδωκότα, ὅτι ὁμοδίαιτος καὶ ὁμοτράπεζος ἦν· *Ὁ γὰρ ἐσθίων, φησὶν, ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν.* Καὶ τὴν φωνὴν δὲ οὕτω προλέγει, ἣν ἔμελλεν ἀφιέναι ἐν τῷ σταυρῷ, λέγων· *Ὁ Θεός, ὁ Θεός μου, ἵνα τί ἐγκατέλιπές με*[a]; Καὶ τὸν τάφον πάλιν· *Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς, καὶ ἐν σκιᾷ θανάτου.* Καὶ τὴν ἀνάστασιν· *Οὐ γὰρ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν.* Καὶ τὴν ἀνάληψιν· *Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος.* Καὶ τὴν ἐκ δεξιῶν καθέδραν· *Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ* [18] *τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.* Ὁ δὲ Ἡσαΐας καὶ τὴν αἰτίαν φησὶ λέγων, ὅτι *Ἀπὸ τῶν ἁμαρτιῶν τοῦ λαοῦ μου ἦκεν εἰς θάνατον*· καὶ, ὅτι *Ἐπειδὴ πάντες ὡς πρόβατα ἐπλανήθησαν, διὰ τοῦτο σφαγιάζεται.* Εἶτα καὶ τὸ κατόρθωμα ἐπάγει λέγων· *Τῷ μώλωπι αὐτοῦ ἡμεῖς πάντες ἰάθημεν*, καὶ ὅτι *Ἁμαρτίας πολλῶν ἀνήνεγκεν.* Εἶτα οἱ μὲν προφῆται καὶ τὸν σταυρὸν ᾔδεισαν, καὶ τοῦ σταυροῦ τὴν αἰτίαν, καὶ τὰ ἐκ τοῦ σταυροῦ κατορθούμενα, καὶ τὸν τάφον, καὶ τὴν ἀνάστασιν, καὶ τὴν ἀνάβασιν, καὶ τὴν προδοσίαν, καὶ τὸ δικαστήριον, καὶ πάντα μετὰ ἀκριβείας διέγραψαν· ὁ δὲ ἀποστείλας αὐτοὺς, καὶ ταῦτα κελεύσας εἰπεῖν, αὐτὸς ἀγνοεῖ; Καὶ τίς ἂν ταῦτα νοῦν ἔχων εἴποι; Ὁρᾷς ὅτι οὐ δεῖ τοῖς ῥήμασιν ἁπλῶς προσέχειν; οὐ γὰρ δὴ τοῦτο μόνον ἐστὶ τὸ ἄπορον, ἀλλὰ καὶ τὸ ἐξῆς ἀπορώτερον. Τί γάρ φησι· *Πάτερ, Εἰ δυνατόν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο;* Οὐ γὰρ δὴ ἀγνοῶν μόνον εὑρεθήσεται, ἀλλὰ καὶ παραιτούμενος τὸν σταυρόν· ὃ γὰρ λέγει τοῦτό ἐστιν· Εἰ ἐγχωρεῖ, φησὶ, μὴ ἐμπέσοιμι εἰς τὸ σταυρωθῆναι, μηδὲ ἀναιρεθῆναι. Καίτοι τῷ Πέτρῳ τῷ κορυφαίῳ τῶν ἀποστόλων τοῦτο αὐτῷ εἰπόντι, ὅτι *Ἵλεώς σοι, Κύριε, οὐ μὴ ἔσται σοι τοῦτο*, οὕτω σφόδρα ἐπετίμησεν, ὡς εἰπεῖν, *Ὕπαγε ὀπίσω μου, Σατανᾶ, σκάνδαλόν μου εἶ, ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων*· καίτοι γε πρὸ μικροῦ μακαρίσας αὐτόν. Ἀλλ' οὕτως αὐτῷ ἄτοπον ἐδόκει εἶναι τὸ μὴ σταυρωθῆναι, ὡς ἐκεῖνον τὸν παρὰ τοῦ Πατρὸς τὴν ἀποκάλυψιν δεξάμενον, τὸν μακαρισθέντα, τὸν λαβόντα τὰς κλεῖς τῶν οὐρανῶν, Σατανᾶν καλέσαι καὶ σκάνδαλον, καὶ αἰτιᾶσθαι, ὡς μὴ φρονοῦντα τὰ τοῦ Θεοῦ, ἐπειδὴ εἶπεν αὐτῷ, *Ἵλεώς σοι, Κύριε, οὐ μὴ ἔσται σοι τοῦτο*, τὸ σταυρωθῆναι. Ὁ τοίνυν τὸν μαθητὴν οὕτως ὑβρίσας, καὶ τοσαύτῃ κατ' αὐτοῦ χρησάμενος τῇ καταφορᾷ, ὡς καὶ Σατανᾶν αὐτὸν καλέσαι μετὰ τοσαῦτα ἐγκώμια, ἐπειδὴ ἔλεγε, Μὴ σταυρωθῇς, πῶς αὐτὸς ἐβούλετο μὴ σταυρωθῆναι; πῶς δὲ μετὰ ταῦτα τοῦ καλοῦ ποιμένος ὑπογράφων τὴν εἰκόνα, τοῦτο ἔφησε μάλιστα δεῖγμα εἶναι τῆς ἀρετῆς αὐτοῦ, τὸ σφάττεσθαι ὑπὲρ τῶν προβάτων, οὕτω λέγων· *Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός· ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων*; Καὶ οὐδὲ μέχρι τούτου ἔστη, ἀλλὰ καὶ ἐπήγαγεν· *Ὁ δὲ μισθωτὸς, καὶ οὐκ ὢν ποιμὴν, θεωρεῖ τὸν λύκον ἐρχόμενον, καὶ ἀφίησι τὰ πρόβατα, καὶ φεύγει.* Εἰ τοίνυν τοῦ καλοῦ μὲν ποιμένος τὸ σφάττεσθαι, τοῦ δὲ μισθωτοῦ τὸ μὴ βούλεσθαι τοῦτο ὑπομένειν, πῶς αὐτὸς λέγων εἶναι ποιμὴν καλὸς, παραιτεῖται μὴ σφαγιασθῆναι; πῶς δὲ ἔλεγεν· *Ἐγὼ τίθημι τὴν ψυχήν μου ἀπ' ἐμαυτοῦ*; Εἰ γὰρ ἀπὸ σαυτοῦ τίθης, πῶς ἕτερον παραιτεῖς, ἵνα μὴ θῇς; πῶς δὲ αὐτὸν ὁ Παῦλος θαυμάζει ταύτης ἕνεκα τῆς προφάσεως, οὕτω λέγων· *Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλὰ ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἑαυτὸν ἐταπείνωσε, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ*; Αὐτὸς δὲ πάλιν οὕτω πώς φησι· *Διὰ τοῦτό με ἀγαπᾷ ὁ Πατήρ, ὅτι ἐγὼ τὴν ψυχήν μου τίθημι, ἵνα πάλιν λάβω αὐτήν.* Εἰ γὰρ οὐ βούλεται, ἀλλὰ παραιτεῖται καὶ παρακαλεῖ τὸν Πατέρα, πῶς διὰ τοῦτο ἀγαπᾶται; [19] Ἡ γὰρ ἀγάπη τῶν κατὰ γνώμην ἐστί. Πῶς δέ φησι πάλιν ὁ Παῦλος· *Ἀγαπᾶτε ἀλλήλους, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς, καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν*; Αὐτὸς δὲ πάλιν ὁ Χριστὸς μέλλων σταυροῦσθαι ἔλεγε· *Πάτερ, ἐλήλυθεν ἡ ὥρα· δόξασόν σου τὸν Υἱόν*, δόξαν τὸν

[a] Reg. ἐγκατέλοιπάς με.

qui dormierant, surrexerunt. Hæc olim prædicens patriarcha, et ostendens illum etiam crucifixum formidabilem fore, dicebat : *Recubans dormisti ut leo :* nec dixit, Dormies, sed *Dormisti*, propterea quod illud omnino erat futurum. Mos enim hic est prophetarum, ut multis in locis tamquam præterita futura prædicant. Nam quemadmodum fieri nequit, ut quæ jam evenerunt, non eveniant : ita neque ut hoc, tametsi futurum est, non eveniat. Propterea nimirum per speciem temporis jam præteriti futura prænuntiant, ut hac ratione fieri non posse significent, quin exitum habeant ac prorsus eveniant. Sic etiam David crucem designans aiebat : *Foderunt manus meas, et pedes meos* (*Psal.* 21. 17). Non dixit, Fodient, sed *Foderunt. Dinumeraverunt omnia ossa mea* (*Ib. v.* 18). Nec solum hæc dixit, sed etiam ea, quæ a militibus facta sunt. *Diviserunt sibi vestimenta mea, et super vestem meam miserunt sortem* (*Ib. v.* 19). Neque hoc solum, sed etiam quod eum felle cibarunt, et aceto potarunt : *Dederunt* enim, inquit, *in escam meam fel, et in siti mea potaverunt me aceto* (*Psal.* 68. 22). Alius rursus eum lancea percussum ab illis fuisse narrat : *Videbunt* enim, inquit, *in quem transfixerunt* (*Zach.* 12. 10). Isaias autem rursus aliter crucem prænuntians dicebat : *Sicut ovis ad occisionem ductus est, et sicut agnus coram tondente se mutus, sic non aperuit os suum. In humilitate ejus judicium ipsius sublatum est* (*Isai.* 53. 7. 8).

2. *Mortem Christus subire non recusavit. Mirabilia crucis opera.* — Tu vero mihi observa, quo pacto unusquisque istorum tamquam de rebus præteritis verba faciat, ut ea plane futura, et sine contradictione eventura per hoc tempus ostendat. Ita quoque David hoc judicium describens aiebat : *Quare fremuerunt gentes, et populi meditati sunt inania ? Adstiterunt reges terræ, et principes convenerunt in unum adversus Dominum, et adversus Christum ejus* (*Psal.* 2. 1. 2). Neque vero judicium tantum et crucem, quæque in cruce contigerunt, commemorat, sed eum quoque qui tradidit, quod nimirum contubernalis, et ejusdem particeps mensæ fuerit. *Qui* enim *edebat panes meos, magnificavit super me supplantationem* (*Psal.* 40. 10). Vocem quoque sic effert, quam emissurus erat in cruce : *Deus, Deus meus, quare me dereliquisti* (*Psal.* 21. 2) ? Tum sepulcrum rursus : *Posuerunt me in lacu infimo, in tenebrosis et in umbra mortis* (*Psal.* 87. 6). Et resurrectionem : *Non* enim *derelinques animam meam in inferno, neque dabis sanctum tuum videre corruptionem* (*Psal.* 15. 10). Et ascensionem : *Ascendit Deus in jubilatione, Dominus in voce tubæ* (*Psal.* 46. 6). Item sedem a dextris : *Dixit Dominus Domino meo, Sede a dextris meis, donec ponam inimicos tuos scabellum pedum tuorum* (*Psal.* 109. 1). Isaias vero causam etiam expressit dicens : *Quoniam ab iniquitatibus populi mei ductus est ad mortem* (*Isai.* 53 8), et quod, *Quoniam omnes sicut oves erraverunt, idcirco mactatur* (*Ibid. v.* 6. 7). Tum adjicit, quid ex eo boni consequutum sit, dicens, *Livore ejus nos omnes sanati sumus* (*Ib. v.* 5), et quod, *Peccata multorum tulit* (*Isai.* 53. 12). Ergone prophetæ quidem crucem noverant, et crucis causam, quæque propter crucem commoda obvenerunt, et sepulcrum, et resurrectionem, et ascensionem, et proditionem, et judicium, et omnia exacte descripserunt : qui vero misit eos, et hæc illis dicenda mandavit, ipse ignorat ? Quis unquam prudens hoc dixerit ? Vides non esse verba tantum temere spectanda ? non enim hoc solum est dubium, sed et majorem id, quod sequitur, dubitandi occasionem affert. Quid enim ait ? *Pater, si possibile est, transeat a me calix iste.* Non enim solum ignorasse reperietur, sed etiam crucem recusasse. Hæc namque verborum istorum est sententia : Si licet, inquit, ne subeam crucem, neve interficiar : tametsi Petrum apostolorum principem hoc ipsi dicentem, *Propitius tibi esto, Domine : non erit tibi hoc,* adeo vehementer increpavit, ut diceret : *Vade post me, satana, scandalum mihi es ; quia non sapis ea, quæ Dei sunt, sed ea quæ hominum* (*Matth.* 16. 22, 23) : idque cum beatum illum paulo ante prædicasset. Verum adeo videbatur absurdum esse non crucifigi, ut illum, qui a Patre revelationem acceperat, qui beatus dictus fuerat, cui cælorum claves traditæ fuerant, satanam appellaret, et scandalum, ac tamquam ea quæ Dei sunt, minime sapientem accusaret, propterea quod dixerat, *Propitius tibi esto, Domine : non erit tibi hoc,* ut crucifigaris. Ergo qui discipulum contumeliis affecit, adeoque graviter in illum invectus est, ut et satanam post tantas laudes appellaret, quia dixerat, Ne crucifigaris : quo pacto nolebat ipse crucifigi ? Quomodo vero postea boni pastori depingens imaginem, hoc præcipue virtutis ejus indicium esse dixit, ut pro suis ovibus occidatur, ita dicens : *Ego sum pastor bonus : bonus pastor animam suam ponit pro ovibus* (*Joan.* 10. 11)? Neque vero hic substitit, sed adjecit : *Mercenarius autem, et qui non est pastor, videt lupum venientem, et dimittit oves, et fugit* (*Ib. v.* 12). Si ergo boni pastoris est occidi, mercenarii vero nolle hoc pati, quomodo ille, qui se bonum pastorem profitetur, occidi recusat ? quomodo autem dicebat, *Ego pono animam meam a me ipso* (*Ib. v.* 18)? Nam si a teipso ponis, qui fit, ut alterum roges, ne ponas ? quomodo item hac occasione laudat eum Paulus, in hæc verba : *Qui cum in forma Dei esset, non rapinam arbitratus est esse se æqualem Deo, sed exinanivit semetipsum formam servi accipiens, in similitudine hominum factus, et habitu inventus ut homo, humiliavit semetipsum factus obediens usque ad mortem, mortem autem crucis* (*Philipp.* 2. 6 - 8)? Ipse vero rursus sic dicit : *Propterea me diligit Pater, quia ego pono animam meam, ut iterum sumam eam* (*Joan.* 10. 17). Si enim non vult, sed recusat, et Patrem orat, quomodo propterea diligitur a Patre ? Caritas enim est eorum, quæ ex animi sententia fiunt. Quomodo autem rursus ait Paulus : *Diligite invicem, sicut et Christus dilexit nos, et tradidit semetipsum pro nobis* (*Eph.* 5. 2)? Christus ipse rursus, cum esset crucifigendus, dicebat, *Pater, venit hora ; glorifica Filium tuum* (*Joan.* 17. 1) : gloriam vocans crucem. Et quomodo

hic recusat, illic urget? Gloriam enim esse crucem, audi quomodo testetur evangelista, dicens : *Nondum enim erat datus Spiritus sanctus, quia Jesus nondum erat glorificatus* (*Id.* 7. 39). Horum autem verborum hæc est sententia : Nondum erat data gratia, quia nondum restinctum erat Dei erga homines odium; quod nondum Christus ad crucem processisset. Crux enim Dei in homines odium restinxit, Deum cum hominibus reconciliavit, terram cælum effecit, homines cum angelis miscuit, mortis arcem munitissimam diruit, diaboli vires enervavit, peccati virtutem delevit, terram ab errore liberavit, veritatem reduxit, dæmones expulit, templa destruxit, altaria subvertit, nidorem sustulit sacrificiorum, virtutem inseruit, Ecclesias fundavit. Crux Patris voluntas, Filii gloria, Spiritus sancti exsultatio, Pauli gloriatio : *Mihi* enim *absit*, inquit, *gloriari, nisi in cruce Domini nostri Jesu Christi* (*Gal.* 6. 14). Crux sole clarior, radiis splendidior : cum enim ille obscuratur, tum ista fulget ; tum vero sol obscuratur, non quod e medio tollatur, sed quod crucis splendore superetur. Crux nostrum chirographum laceravit, mortis carcerem inutilem reddidit, crux divinæ caritatis indicium. *Sic enim Deus dilexit mundum, ut Filium suum unigenitum daret, ut omnis qui credit in ipsum non pereat* (*Joan.* 3. 16). Et rursus Paulus, *Si enim, cum inimici essemus, reconciliati sumus Deo per mortem Filii ejus* (*Rom.* 5. 10). Crux murus inexpugnabilis, scutum invictum, securitas divitum, pauperum opulentia, eorum quibus insidiæ parantur propugnaculum, eorum, qui bello vexantur, armatura, perturbationum destructio, virtutis fundatio, signum admirabile ac stupendum. *Generatio* enim *hæc signum quærit, et signum non dabitur ei, nisi signum Jonæ* (*Matth.* 12. 39). Itemque Paulus, *Quandoquidem Judæi signa petunt, et Græci sapientiam quærunt, nos autem prædicamus Christum crucifixum* (1. *Cor.* 1. 22). Crux paradisum reseravit (*a*), latronem introduxit, genus humanum, quod periturum erat, ac ne terra quidem dignum, in regnum cælorum deduxit. Tanta nobis beneficio crucis bona obvenerunt, et obveniunt, et non vult crucifigi? Quis hoc, quæso, dixerit? Sin autem nolebat, quis eum cogebat? quis ei vim inferebat? Ut quid autem et prophetas præmisit annuntiantes fore, ut crucifigeretur, si crucifigendus non erat, neque hoc pati volebat? ut quid autem et calicem crucem vocat, si utique crucifigi nolebat? hoc enim est ostendentis, quanto hujus rei desiderio teneretur. Quemadmodum enim sitientibus calix suavis est, sic et ipsi crucifigi ; quam ob rem etiam dicebat, *Desiderio desideravi hoc pascha manducare vobiscum* (*Luc.* 22. 15) : non quod hoc temere diceret, sed ob hanc causam, eo quod post vesperam subiturus crucem esset.

3. *Contra Anomœos et Arianos agit. Una voluntas Patris et Filii. Doctrina de Incarnatione Christi.* — Is ergo qui etiam gloriam rem istam appellat, et discipulum increpat, eo quod ipsum prohibeat, et bonum pastorem ex hoc se ostendit, quod pro ovibus suis occidatur, seque desiderio desiderare hanc rem dicit, et ad hoc sponte venit, quomodo rogat, ut hoc non fiat? Quod si nolebat, num difficile fuit ad hoc venientes prohibere? Nunc autem vides, eum ad hanc rem etiam accurrere. Certe cum in ipsum irruerent dixit, *Quem quæritis?* At illi dicunt, *Jesum.* Et ait illis, *Ecce ego sum; et abierunt retrorsum, ac ceciderunt in terram* (*Joan.* 18. 6). Cum igitur eos prius excæcasset, seque aufugere potuisse ostendisset, tum seipsum tradidit, ut intelligas eum non necessitate, neque vi, neque per tyrannidem irruentium hoc sustinuisse nolentem, sed ultro ac volentem et eligentem, ac multo ante sic dispensantem. Idcirco prophetæ præmittebantur, et patriarchæ prædicebant, et crux verbis simul ac rebus præfigurabatur. Siquidem Isaaci mactatio crucem nobis designabat, unde et dicebat : *Abraham pater vester exsultavit ut videret diem meum, et vidit, et gavisus est* (*Id.* 8. 56). Ergo patriarcha quidem gavisus est, cum imaginem crucis videret, ipse vero rem ipsam recusat? Et vero Moyses sic Amalec superavit, quia figuram crucis ostendit : et sexcenta ejusmodi in veteri Testamento leguntur accidisse, quæ crucem præfigurabant. Ut quid igitur ita fiebant, si is qui crucem erat subiturus, hoc fieri nolebat? Id vero quod sequitur, adhuc est explicatu difficilius. Cum enim dixisset, *Transeat a me calix iste*, addidit : *Verumtamen non sicut ego volo, sed sicut tu* (*Matth.* 26. 39). Ex hoc enim, prout verba sonant, duæ voluntates sibi invicem contrariæ demonstrantur : siquidem Pater eum vult crucifigi, at ipse non vult : tametsi ubique videmus eadem ipsum cum Patre velle, atque eadem eligere. Quando enim dicit, *Da eis, ut quemadmodum ego et tu unum sumus, et ipsi in nobis unum sint* (*Joan.* 17. 11), nihil aliud dicit, nisi unam esse Patris et Filii voluntatem. Et quando dicit, *Verba quæ ego loquor, non ego loquor : Pater autem in me manens ipse facit hæc opera* (*Id.* 14. 10), istud ipsum ostenditur. Cum ergo dicit, *A me ipso non loquor, et a me ipso non veni* (*Id.* 7. 28), et, *A me ipso non possum quidquam facere* (*Id.* 5. 30), non hoc dicit, ut ostendat se vel loquendi vel faciendi esse potestate privatum, absit; sed exacte volens ostendere concordem suam esse cum Patre sententiam tam in verbis, quam in rebus; et in omnibus dispensationibus unam eamdemque esse, sicut jam sæpe demonstravimus. Illud enim, *A me ipso non loquor* (*Id.* 14. 10), non potestatis privatio, sed consensus est probatio. Qui fit igitur, ut hic dicat, *Verumtamen non sicut ego volo, sed sicut tu* (*Matth.* 26. 39)? Forsitan in multam anxietatem vos conjecimus, sed attendite animum : licet enim prolixior fuerit sermo noster, vigere tamen atque adolescere vestrorum alacritatem animorum probe novi : nam ad ipsam quæstionis solutionem nostra deinceps festinat oratio. Quam igitur ob causam ita dictum est? Diligenter advertite. Difficulter admodum admittebatur sermo incarnationis. Siquidem excellens ejus illa clementia et attemperationis ejus magnitudo res erant admiratione dignissimæ, multaque præparatione, ut reciperentur,

(*a*) Hic locus citatur in Concilio sexto œcumenico.

σταυρὸν καλῶν· καὶ πῶς ἐνταῦθα μὲν παραιτεῖται, ἐκεῖ δὲ καὶ κατεπείγει; Ὅτι γὰρ δόξα ὁ σταυρὸς, ἄκουσον τί φησιν ὁ εὐαγγελιστής· *Οὐδέπω γὰρ ἦν Πνεῦμα ἅγιον, ὅτι Ἰησοῦς οὔπω ἐδοξάσθη.* Ὃ δὲ λέγει, τοῦτό ἐστιν· Οὐδέπω ἦν δοθεῖσα ἡ χάρις, ἐπειδὴ ἡ ἔχθρα ἡ πρὸς τοὺς ἀνθρώπους οὐδέπω ἦν καταλυθεῖσα, τῷ μηδέπω τὸν σταυρὸν προκεχωρηκέναι. Ὁ γὰρ σταυρὸς τὴν ἔχθραν τοῦ Θεοῦ κατέλυσε τὴν πρὸς τοὺς ἀνθρώπους, τὰς καταλλαγὰς ἐκόμισε, τὴν γῆν οὐρανὸν ἐποίησε, τοὺς ἀνθρώπους τοῖς ἀγγέλοις ἀνέμιξε, τοῦ θανάτου τὴν ἀκρόπολιν κατήγαγε, τοῦ διαβόλου τὴν ἰσχὺν ἐξενεύρωσε, τῆς ἁμαρτίας τὴν δύναμιν ἠφάνισε, τὴν γῆν τῆς πλάνης ἀπήλλαξε, τὴν ἀλήθειαν ἐπανήγαγε, τοὺς δαίμονας ἀπήλασε, ναοὺς καθεῖλε, βωμοὺς ἀνέτρεψε, κνίσσαν ἠφάνισε, τὴν ἀρετὴν κατεφύτευσε, τὰς Ἐκκλησίας ἐρρίζωσε. Σταυρὸς, τὸ τοῦ Πατρὸς θέλημα, ἡ τοῦ Υἱοῦ δόξα, τὸ τοῦ Πνεύματος ἀγαλλίαμα, τὸ τοῦ Παύλου καύχημα· *Ἐμοὶ γὰρ, φησὶ, μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.* Σταυρὸς ὁ τοῦ ἡλίου φανότερος, ὁ τῆς ἀκτῖνος φαιδρότερος· ὅταν γὰρ ἐκεῖνος σκοτίζηται, τότε οὗτος λάμπει· σκοτίζεται δὲ ὁ ἥλιος τότε οὐκ ἀφανιζόμενος, ἀλλὰ νικώμενος τῇ τοῦ σταυροῦ φαιδρότητι. Σταυρὸς τὸ χειρόγραφον ἡμῶν διέῤῥηξε, τοῦ θανάτου τὸ δεσμωτήριον ἄχρηστον ἐποίησε, σταυρὸς τῆς τοῦ Θεοῦ ἀγάπης ἡ ἀπόδειξις. *Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὅτι τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται.* Καὶ πάλιν ὁ Παῦλος· *Εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ Υἱοῦ αὐτοῦ.* Σταυρὸς τὸ τεῖχος τὸ ἀῤῥαγὲς, τὸ ὅπλον τὸ ἀχείρωτον, τῶν πλουτούντων ἡ ἀσφάλεια, τῶν πενήτων ἡ εὐπορία, τῶν ἐπιβουλευομένων τὸ τεῖχος, τῶν πολεμουμένων τὸ ὅπλον, τῶν παθῶν ἡ ἀναίρεσις, τῆς ἀρετῆς ἡ κτῆσις, τὸ σημεῖον τὸ θαυμαστὸν καὶ παράδοξον. *Σημεῖον γὰρ ἐπιζητεῖ ἡ γενεὰ αὕτη· καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ.* Καὶ πάλιν ὁ Παῦλος· *Ἐπειδὴ καὶ Ἰουδαῖοι σημεῖον αἰτοῦσι, καὶ Ἕλληνες σοφίαν ζητοῦσιν· ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον.* Σταυρὸς παράδεισον ἠνέῳξε, λῃστὴν εἰσήγαγε, τὸ τῶν ἀνθρώπων γένος ἀπόλλυσθαι μέλλον καὶ οὐδὲ τῆς γῆς ἄξιον πρὸς τὴν τῶν οὐρανῶν βασιλείαν ἐχειραγώγησε. Τοσαῦτα ἀγαθὰ ἀπὸ τοῦ σταυροῦ καὶ γέγονε καὶ γίνεται, καὶ οὐ βούλεται σταυρωθῆναι, εἰπέ μοι; Καὶ τίς ἂν τοῦτο εἴποι; Εἰ δὲ μὴ ἐβούλετο, τίς αὐτὸν ἠνάγκασε; τίς ἐβιάσατο; τί δὲ καὶ προέπεμψε προφήτας ἀπαγγέλλοντας, ὅτι σταυρωθήσεται, μὴ μέλλων σταυροῦσθαι, μηδὲ βουλόμενος τοῦτο ὑπομεῖναι; Τίνος δὲ ἕνεκεν καὶ ποτήριον καλεῖ τὸν σταυρὸν, εἴ γε μὴ ἐβούλετο σταυρωθῆναι; Τοῦτο γὰρ ἐνδεικνυμένου ἐστὶ τὴν ἐπιθυμίαν, ἣν ἔχει περὶ τὸ πρᾶγμα. Ὥσπερ γὰρ τοῖς διψῶσι τὸ ποτήριον ἡδὺ, οὕτω καὶ αὐτῷ τὸ σταυρωθῆναι· διὸ καὶ ἔλεγεν· [20] *Ἐπιθυμίᾳ ἐπεθύμουν τοῦτο τὸ Πάσχα φαγεῖν μεθ' ὑμῶν,* οὐχ ἁπλῶς εἰπὼν τοῦτο, ἀλλὰ διὰ τὴν αἰτίαν ταύτην, ἐπειδὴ μετὰ τὴν ἑσπέραν ὁ σταυρὸς αὐτὸν διεδέχετο.

γ'. Ὁ τοίνυν καὶ δόξαν τὸ πρᾶγμα καλῶν, καὶ τῷ μαθητῇ ἐπιτιμῶν, ὅτι διεκώλυεν αὐτὸν, καὶ τὸν καλὸν ποιμένα ἐντεῦθεν δεικνὺς ἀπὸ τοῦ σφάττεσθαι ὑπὲρ τῶν προβάτων, καὶ ἐπιθυμίᾳ ἐπιθυμεῖν λέγων τὸ πρᾶγμα, καὶ ἐκὼν ἐπὶ τοῦτο ἐρχόμενος, πῶς παρακαλεῖ μὴ γενέσθαι τοῦτο; Εἰ δὲ μὴ ἐβούλετο, τί δύσκολον ἦν διακωλῦσαι τοὺς ἐρχομένους ἐπὶ τοῦτο; Νῦν δὲ καὶ ὁρᾷς αὐτὸν ἐπιτρέχοντα τῷ πράγματι. Ὅτε γοῦν ἐπῆλθον αὐτῷ, λέγει· *Τίνα ζητεῖτε;* Οἱ δὲ λέγουσιν· *Ἰησοῦν.* Καὶ λέγει αὐτοῖς· *Ἰδοὺ, ἐγώ εἰμι· καὶ ἀπῆλθον εἰς τὰ ὀπίσω καὶ ἔπεσον χαμαί.* Οὕτω πηρώσας αὐτοὺς πρότερον καὶ δείξας, ὅτι ἠδύνατο διαφυγεῖν, τότε ἐξέδωκεν ἑαυτὸν, ἵνα μάθῃς ὅτι οὐκ ἀνάγκῃ, οὐδὲ βίᾳ, οὐδὲ τῇ τυραννίδι τῶν ἐπελθόντων ἄκων τοῦτο ὑπέμεινεν, ἀλλ' ἑκὼν, καὶ προαιρούμενος καὶ βουλόμενος, καὶ ἐκ πολλοῦ ταῦτα οἰκονομῶν. Διὰ τοῦτο καὶ προφῆται προεπέμποντο, καὶ πατριάρχαι προὔλεγον, καὶ διὰ ῥημάτων καὶ διὰ πραγμάτων ὁ σταυρὸς προδιετυποῦτο. Καὶ γὰρ τοῦ Ἰσαὰκ ἡ σφαγὴ τὸν σταυρὸν ἐδήλου ἡμῖν· διὸ καὶ ἔλεγεν· *Ἀβραὰμ, ὁ πατὴρ ὑμῶν, ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν δόξαν τὴν ἐμὴν, καὶ εἶδε, καὶ ἐχάρη.* Εἶτα ὁ μὲν πατριάρχης ἐχάρη βλέπων τὴν εἰκόνα τοῦ σταυροῦ, αὐτὸς δὲ παραιτεῖται τὸ πρᾶγμα; Καὶ Μωϋσῆς δὲ οὕτω τοῦ Ἀμαλὴκ περιεγένετο, ἐπειδὴ τὸν τύπον ἐπεδείκνυτο τοῦ σταυροῦ· καὶ μυρία ἂν ἴδοι τις ἐν τῇ Παλαιᾷ γινόμενα, τὸν σταυρὸν προδιαγράφοντα. Τίνος οὖν ἕνεκεν οὕτως ἐγένετο, εἴ γε ὁ σταυροῦσθαι μέλλων οὐκ ἐβούλετο τοῦτο γίνεσθαι; Καὶ τὸ μετὰ τοῦτο δὲ ἔτι ἀπορώτερον. Εἰπὼν γὰρ, *Παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο,* ἐπήγαγε, *Πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ.* Ἐντεῦθεν γὰρ, ὅσον κατὰ τὴν ῥῆσιν, δύο θελήματα ἐναντία ἀλλήλοις εὑρίσκομεν, εἴ γε [a] ὁ μὲν Πατὴρ βούλεται αὐτὸν σταυρωθῆναι, αὐτὸς δὲ οὐ βούλεται. Καίτοι γε πανταχοῦ ὁρῶμεν αὐτὸν τὰ αὐτὰ τῷ Πατρὶ βουλόμενον, τὰ αὐτὰ προαιρούμενον. Καὶ γὰρ ὅταν λέγῃ, *Δὸς αὐτοῖς, καθὼς ἐγὼ καὶ σὺ ἓν ἐσμεν, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν,* οὐδὲν ἄλλο λέγει, εἰ μὴ τὸ μίαν εἶναι γνώμην Πατρὸς καὶ Υἱοῦ. Καὶ ὅταν λέγῃ, *Τὰ ῥήματα, ἃ ἐγὼ λαλῶ, οὐ λαλῶ ἐγὼ, ἀλλ' ὁ Πατὴρ ὁ ἐν ἐμοὶ μένων, αὐτὸς ποιεῖ τὰ ἔργα ταῦτα,* τοῦτο ἐνδείκνυται. Καὶ ὅταν λέγῃ, *Ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα,* καὶ, *Οὐ δύναμαι ἀπ' ἐμαυτοῦ ποιεῖν οὐδέν,* οὐ τοῦτο δηλῶν λέγει, ὅτι ἐξουσίας ἀπεστέρηται ἢ τοῦ λαλεῖν ἢ τοῦ ποιεῖν, (ἄπαγε!) ἀλλὰ μετὰ ἀκριβείας δεῖξαι βουλόμενος σύμφωνον αὐτοῦ τὴν γνώμην, καὶ τὴν ἐν ῥήμασι, καὶ τὴν ἐν πράγμασι, καὶ τὴν ἐν πάσαις οἰκονομίαις πρὸς τὸν Πατέρα μίαν καὶ τὴν αὐτὴν οὖσαν, καθὼς καὶ ἤδη πολλάκις ἀπεδείξαμεν. Τὸ γὰρ, *Ἀπ' ἐμαυτοῦ οὐ λαλῶ,* οὐκ ἐξουσίας ἀναίρεσις, ἀλλὰ συμφωνίας ἐστὶν ἀπόδειξις. Πῶς οὖν ἐνταῦθά φησι, *Πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ;* Τάχα εἰς πολὺν ὑμᾶς ἀγῶνα ἐνεβάλομεν, ἀλλὰ διανάστητε· εἰ γὰρ καὶ πολλὰ τὰ εἰρημένα, [21] ἀλλ' εὖ οἶδα ὅτι νεάζει ὑμῶν ἡ προθυμία· πρὸς γὰρ αὐτὴν λοιπὸν τὴν λύσιν ὁ λόγος ἐπείγεται. Τίνος οὖν ἕνεκεν οὕτως εἴρηται; Προσέχετε μετὰ ἀκριβείας. Πολὺ δυσπαράδεκτος ἦν ὁ τῆς σαρκώσεως λόγος. Ἡ γὰρ ὑπερβολὴ τῆς φιλανθρωπίας αὐτοῦ, καὶ τὸ μέγεθος τῆς συγκαταβάσεως τοῦτο φρίκης ἔγεμε, καὶ πολλῆς ἐδέετο κατα-

[a] Reg. ἀλλήλοις δείκνυνται, εἴ γε.

σκευῆς, ὥστε παραδεχθῆναι. Ἐννόησον γὰρ ἡλίκον ἦν ἀκοῦσαι καὶ μαθεῖν, ὅτι ὁ Θεὸς, ὁ ἄῤῥητος [a], ὁ ἄφθαρτος, ὁ ἀπερινόητος, ὁ ἀόρατος, ὁ ἀκατάληπτος, *Οὗ ἐν τῇ χειρὶ τὰ πέρατα τῆς γῆς, Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν, ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζων αὐτὰ*, οὗ τὴν ῥοπὴν τῆς συγκαταβάσεως οὐδὲ τὰ Χερουβὶμ ἐνεγκεῖν ἠδυνήθησαν, ἀλλὰ τὰς ὄψεις ἀπέκρυπτον τῇ προβολῇ τῶν πτερύγων· οὗτος ὁ πάντα νοῦν ὑπερβαίνων, καὶ πάντα λογισμὸν νικῶν, παραδραμὼν ἀγγέλους ἀρχαγγέλους, πάσας τὰς ἄνω νοερὰς δυνάμεις, κατεδέξατο γενέσθαι ἄνθρωπος, καὶ σάρκα τὴν ἀπὸ γῆς καὶ πηλοῦ πλασθεῖσαν ἀναλαβεῖν, καὶ εἰς μήτραν ἐλθεῖν παρθενικὴν, καὶ ἐννεαμηνιαῖον κυοφορηθῆναι χρόνον, καὶ γαλακτοτροφηθῆναι, καὶ τὰ ἀνθρώπινα πάντα παθεῖν. Ἐπεὶ οὖν οὕτω παράδοξον ἦν τὸ μέλλον ἔσεσθαι, ὡς καὶ γενόμενον παρὰ πολλοῖς ἀπιστεῖσθαι, πρῶτον προφήτας προπέμπει, τοῦτο αὐτὸ ἀπαγγέλλοντας. Καὶ γὰρ ὅ τε πατριάρχης αὐτὸ προανεφώνει λέγων, *Ἐκ βλαστοῦ, υἱέ μου, ἀνέβης· ἀναπεσὼν ἐκοιμήθης ὡς λέων· ὅ τε* Ἡσαΐας λέγων, *Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ·* καὶ ἕτερος (sic) πάλιν, *Εἴδομεν αὐτὸν ὡς παιδίον, ὡς ῥίζαν ἐν γῇ διψώσῃ.* Γῆν δὲ διψῶσαν τὴν μήτραν λέγει τὴν παρθενικὴν, διὰ τὸ μὴ δέξασθαι σπέρμα ἀνθρώπου, μηδὲ συνουσίας ἀπολαῦσαι, ἀλλὰ χωρὶς γάμων αὐτὸν τεκεῖν. Καὶ πάλιν, *Παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν·* καὶ πάλιν, *Ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται.* Ὁ δὲ Βαροὺχ ὁ ἐν Ἱερεμίᾳ φησὶν· *Οὗτος ὁ Θεὸς ἡμῶν· οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν· ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ. Μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συναναστράφη.* Καὶ ὁ Δαυὶδ τὴν ἔνσαρκον αὐτοῦ παρουσίαν δηλῶν ἔλεγε· *Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, καὶ ὡσεὶ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν*, ὅτι ἀψοφητὶ καὶ ἀταράχως εἰς τὴν μήτραν εἰσελήλυθε τὴν παρθενικήν.

δ'. Ἀλλ' οὐκ ἤρκεσε ταῦτα μόνον, ἀλλὰ καὶ παραγενόμενος, ἵνα μὴ νομισθῇ φαντασία τὸ γενόμενον, οὐ τῇ ὄψει μόνον πιστοῦται τὸ πρᾶγμα, ἀλλὰ καὶ χρόνῳ πολλῷ, καὶ τῷ διὰ πάντων ἐλθεῖν τῶν ἀνθρωπίνων. Οὐ γὰρ ἁπλῶς εἰς ἄνθρωπον εἰσέρχεται ἀπηρτισμένον καὶ πεπληρωμένον, ἀλλ' εἰς μήτραν παρθενικὴν, ὥστε καὶ κυοφορήσεως καὶ τόκων ἀνασχέσθαι, καὶ γαλακτοτροφίας, καὶ αὐξήσεως, καὶ τῷ μήκει τοῦ χρόνου καὶ τῇ διαφορᾷ τῶν ἡλικιῶν ἁπασῶν πιστώσασθαι τὸ γενόμενον. Καὶ οὐδὲ ἐνταῦθα ἵσταται τὰ τῆς ἀποδείξεως μόνον, ἀλλὰ καὶ [22] περιφέρων τὴν σάρκα, ἀφίησιν αὐτὴν τὰ τῆς φύσεως ἐλαττώματα ὑπομεῖναι, καὶ πεινῆσαι καὶ διψῆσαι καὶ καθευδῆσαι καὶ κοπιάσαι· τέλος καὶ ἐπὶ τὸν σταυρὸν ἐρχόμενος, ἀφίησιν αὐτὴν τὰ τῆς σαρκὸς παθεῖν. Διὰ γὰρ τοῦτο καὶ κρουνοὶ κατεφέροντο ἱδρώτων ἐξ αὐτῆς, καὶ ἄγγελος ηὐρίσκετο αὐτὴν διακρατῶν, καὶ λυπεῖται καὶ ἀδημονεῖ· καὶ γὰρ πρὶν ἢ ταῦτα εἰπεῖν, φησίν· *Ἡ ψυχή μου τετάραχται, καὶ περίλυπός ἐστιν ἕως θανάτου.* Εἰ οὖν τούτων ἁπάντων γενομένων τὸ πονηρὸν τοῦ διαβόλου στόμα διὰ Μαρκίωνος τοῦ Ποντικοῦ καὶ Οὐαλεντίνου, καὶ Μανιχαίου τοῦ Πέρσου, καὶ ἑτέρων πλειόνων αἱρέσεων ἐπεχείρησεν ἀνατρέψαι τὸν περὶ τῆς οἰκονομίας λόγον, καὶ ἦχησε σατανικήν τινα ἠχὴν λέγων, ὅτι οὐδὲ ἐσαρκώθη, οὐδὲ σάρκα περιεβάλετο, ἀλλὰ δόκησις τοῦτο ἦν καὶ φαντασία, καὶ σκηνὴ καὶ ὑπόκρισις, καίτοι τῶν παθῶν βοώντων, τοῦ θανάτου, τοῦ τάφου, τῆς πείνης· εἰ μηδὲν τούτων ἐγεγόνει, πῶς οὐ πολλῷ πλέον ὁ διάβολος τὰ πονηρὰ ταῦτα ἀνέσπειρε τῆς ἀσεβείας δόγματα; Διά τοι τοῦτο, ὥσπερ ἐπείνησεν, ὥσπερ ἐκαθεύδησεν, ὥσπερ ἐκοπίασεν, ὥσπερ ἔφαγεν, ὥσπερ ἔπιεν, οὕτω καὶ θάνατον παραιτεῖται, τὸ ἀνθρώπινον ἐνδεικνύμενος, καὶ τὴν ἀσθένειαν τῆς φύσεως τὴν οὐκ ἀνεχομένην ἀπαθῶς ἀπορράγῆναι τῆς παρούσης ζωῆς. Εἰ γὰρ μηδὲν τούτων εἰρήκει, εἶχεν ἂν εἰπεῖν, ὅτι εἰ ἄνθρωπος ἦν, ἔδει αὐτὸν παθεῖν τὰ τοῦ ἀνθρώπου. Τίνα δέ ἐστι ταῦτα; Τὸ μέλλοντα σταυροῦσθαι, καὶ δειλίᾳν καὶ ἀγωνιᾷν, καὶ μὴ ἀπαθῶς ἀπορρήγνυσθαι τῆς παρούσης ζωῆς· τῇ φύσει γὰρ ἔγκειται τὸ φίλτρον τὸ περὶ τὰ παρόντα· διά τοι τοῦτο δεῖξαι βουλόμενος ἀληθῆ τῆς σαρκὸς τὴν περιβολὴν, καὶ τὴν οἰκονομίαν πιστώσασθαι, μετὰ πολλῆς τῆς ἀποδείξεως τὰ πάθη γυμνὰ προτίθησιν. Εἷς μὲν οὖν λόγος οὗτος· ἔστι δὲ καὶ ἕτερος τούτου οὐκ ἐλάττων. Τίς δὲ οὗτος; Παραγενόμενος ὁ Χριστὸς, πᾶσαν ἀρετὴν παιδεῦσαι τοὺς ἀνθρώπους ἐβούλετο· ὁ δὲ παιδεύων οὐ λόγῳ μόνον διδάσκει, ἀλλὰ καὶ ἔργῳ· αὕτη γὰρ ἡ ἀρίστη διδασκαλία ἐστὶ τοῦ διδάσκοντος. Ἐπεὶ καὶ κυβερνήτης παρακαθίζων τὸν μαθητὴν, δείκνυσι μὲν αὐτῷ πῶς κατέχει τοὺς οἴακας, προστίθησι δὲ καὶ λόγον τῷ ἔργῳ, καὶ οὔτε λέγει μόνον, οὔτε ἐργάζεται μόνον· ὁμοίως καὶ οἰκοδόμος παραστήσας τὸν μέλλοντα παρ' αὐτοῦ μανθάνειν πῶς τοῖχος ὑφαίνεται δείκνυσι μὲν αὐτῷ διὰ τοῦ ἔργου, δείκνυσι δὲ αὐτῷ καὶ διὰ τοῦ λόγου· ὡσαύτως καὶ ὑφάντης, καὶ ποικιλτὴς, καὶ χρυσοχόος, καὶ χαλκοτύπος, καὶ πᾶσα τέχνη διὰ λόγων τε καὶ ἔργων ἔχει τὸν διδάσκοντα. Ἐπεὶ οὖν καὶ αὐτὸς παρεγένετο παιδεῦσαι ἡμᾶς πᾶσαν ἀρετὴν, διὰ τοῦτο καὶ λέγει τὰ πρακτέα, καὶ ποιεῖ. *Ὁ γὰρ ποιήσας, φησὶ, καὶ διδάξας, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.* Σκόπει δέ· ἐκέλευσεν εἶναι ταπεινόφρονας καὶ πραεῖς, καὶ ἐδίδαξε διὰ τῶν ῥημάτων. Ὅρα πῶς αὐτὰ παιδεύει καὶ διὰ τῶν πραγμάτων. Εἰπὼν γὰρ, *Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, μακάριοι οἱ πραεῖς*, δείκνυσι πῶς αὐτὰ δεῖ κατορθοῦν. Πῶς οὖν ἐδίδαξε; [23] Λαβὼν λέντιον διέζωσεν ἑαυτὸν, καὶ ἔνιψε τῶν μαθητῶν τοὺς πόδας. Τί ταύτης ἴσον τῆς ταπεινοφροσύνης; Οὐκ ἔτι γὰρ διὰ τῶν λόγων μόνον ταύτην παιδεύει, ἀλλὰ καὶ διὰ τῶν ἔργων. Πάλιν τὴν πραότητα καὶ τὴν ἀνεξικακίαν διδάσκει διὰ τῶν ἔργων. Πῶς; Ἐῤῥαπίσθη παρὰ τοῦ δούλου τοῦ ἀρχιερέως, καὶ φησιν· *Εἰ μὲν κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις;* Ἐκέλευσεν εὔχεσθαι ὑπὲρ τῶν ἐχθρῶν· πάλιν καὶ τοῦτο διὰ τῶν ἔργων παιδεύει· ἀναβὰς γὰρ ἐν τῷ σταυρῷ λέγει· *Πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσι.* Ὥσπερ οὖν ἐκέλευσεν εὔχεσθαι, οὕτω καὶ αὐτὸς εὔχεται, σὲ παιδεύων εὔχεσθαι· οὐκ αὐτὸς ἀτο-

[a] Reg. ὁ ἀόρατος, et infra ἀόρατος deest.

indigebant. Cogita namque quale illud fuerit audire ac discere Deum ineffabilem, incorruptibilem, qui neque percipi mente potest, nec oculis cerni, nec ullo modo comprehendi, *Cujus in manu sunt fines terræ* (*Psal.* 94. 4), *Qui respicit terram, et eam tremefacit, qui tangit montes, et fumigant* (*Psal.* 103. 32), cujus attemperationis momentum nec ipsa Cherubim ferre potuerunt, sed oppansis alis facies occultarunt; hunc qui mentem omnem exsuperat, omnemque vincit cogitationem, prætermissis angelis, archangelis omnibusque cælestibus ac spiritualibus illis virtutibus, hominem fieri dignatum esse, carnemque de terra et luto formatam assumpsisse, atque in virgineum venisse uterum, et novem mensium spatio in ventre fuisse gestatum, lacte nutritum, et humana cuncta tolerasse. Quoniam igitur adeo fuit mirabile quod futurum erat, ut etiam dum fieret a multis minime crederetur, primum quidem prophetas ad hoc ipsum annuntiandum præmisit, atque hoc ipsum patriarcha prædicebat his verbis utens : *De germine ascendisti, fili mi; recubans dormisti ut leo* (*Gen.* 49. 9). Hesaias autem : *Ecce virgo in utero habebit, et pariet filium, et vocabunt nomen ejus Emmanuel* (*Hesai.* 7. 14). Et alibi rursus : *Vidimus eum infantem, tamquam radicem in terra sitienti* (*Hesai.* 53. 2). Terram vero sitientem uterum dicit virgineum, eo quod hominis semen non susceperit, neque coitum sit expertus, sed absque conjugio illum peperierit. Et rursus, *Puer natus est nobis, filius et datus est nobis* (*Hesai.* 9. 6), et, *Egredietur virga de radice Jesse, et flos de radice ejus ascendet* (*Hes.* 11. 1). Et Baruch apud Jeremiam : *Hic Deus noster, non æstimabitur alius præter eum. Invenit omnem viam disciplinæ, et dedit eam Jacob puero suo, et Israel dilecto suo. Post hæc in terris visus est, et cum hominibus conversatus est* (*Bar.* 3. 36-38). David etiam adventum ejus in carne prædicans ait : *Descendet sicut pluvia in vellus, et sicut stillicidium stillans super terram* (*Psal.* 71. 6), quoniam absque strepitu in virgineum uterum venit.

4. *Marcion, Valentinus, et Manichæus Incarnationis oppugnatores refelluntur; altera ratio cur passiones et affectus Christus in se susceperit.* — At non suffecerunt hæc solummodo (*a*), sed et cum advenisset, ne putaretur esse phantasma quod fiebat, non aspectu solo rem credibilem reddit, verumetiam multo tempore, quodque per humana cuncta transiverit. Neque enim quoquo modo in hominem perfectum atque completum venit, sed in uterum virginis : sic ut etiam in vulva gestaretur, et partum sustineret, et lactis alimentum, et incrementum, ac per temporis prolixitatem, omniumque diversitatem ætatum, quod gerebatur credibile redderet. Quin ne hac quidem probatione contentus fuit, sed et carnem circumferens, eam naturæ perpeti detrimenta permittit, et esurire et sitire et dormire et fatigari : postremo etiam ad crucem veniens sinit eam quæ carnis sunt pati. Propterea namque et guttæ sudoris ex illa cadebant, et angelus eam confortasse reperitur, et tristatur, et mœstus est. Prius enim, quam hæc diceret, ait : *Anima mea turbata est, et tristis est usque ad mortem* (*Matth.* 26. 38). Si enim his omnibus gestis, malignum os diaboli per Marcionem Ponticum, et Valentinum, et Manichæum Persam, et alios plures hæresum auctores sermonem de dispensatione (*a*) potuit, quantum in ipsis erat, subvertere, et satanicam vocem emisit, ut diceret, eum neque incarnatum esse, neque carnem induisse, sed speciem id quamdam fuisse, phantasma, simulationem ac mimum : tametsi passiones, et mors, et sepulcrum, et fames reclamarent : si nihil horum contigisset, nonne multo amplius diabolus hæc impietatis pessima dogmata disseminasset? Quamobrem sicut esurivit, sicut fatigatus est, sicut dormivit, sicut manducavit, sicut bibit, sic et mortem recusat, id quod est humanum ostendens, et infirmitatem naturæ, quæ avelli se a præsenti vita sine dolore non patitur. Nam si nihil horum dixisset, potuisset dicere : Si homo erat, oportebat eum pati quæ hominis sunt. Quænam autem illa sunt? Ut nimirum qui crucifigendus erat, formidaret et anxius esset, nec sine dolore a præsenti vita avelleretur; siquidem insitus est naturæ amor præsentium : propterea cum verum esse carnis indumentum vellet ostendere, ac dispensationem credibilem reddere, multa cum demonstratione passiones ipsas nudas proposuit. Et hæc quidem una est ratio : sed et altera quædam est nihilo ista minor. Hæc quænam est? Adveniens Christus omnem virtutem homines docere volebat : at is qui docet non verbo solum sed etiam opere instruit : hæc quippe doctoris optima est doctrina. Quandoquidem gubernator quoque dum discipulum collocat, quo pacto clavum tractet, ostendit, et simul operi verbum adjungit, et neque loquitur tantummodo, neque tantummodo operatur : pari ratione cum medium adducit eum, quem ad exstruendum murum instructurus est architectus, docet illum opere, docet et verbo : similiter et textor et phrygio et auri fusor, et faber ærarius et omnis artifex, cum verbis docet, tum operibus. Quando igitur et ipse nos ad omnem virtutem instructurus advenit, propterea et quæ facienda sunt dicit, et ipse peragit. *Qui enim fecerit*, inquit, *et docuerit, hic magnus vocabitur in regno cælorum* (*Matth.* 5. 19). Sic autem rem expende : humiles ut essemus ac mites præcepit, et verbis docuit : vide quo pacto et rebus ipsis illa docuerit. Cum enim dixisset, *Beati pauperes spiritu, beati mites* (*Matth.* 5. 3. 4), quo pacto illa præstanda sint, indicat. Quonam ergo pacto docuit? Cum accepisset linteum, præcinxit se, et lavit pedes discipulorum (*Joan.* 13. 4. 5). Quid cum hac humilitate conferri potest? Non enim jam verbis tantum illam docet, verum etiam operibus. Mansuetudinem rursus et patientiam docet operibus. Quonam pacto? Alapa percussus est a servo pontificis, et ait : *Si quidem male loquutus sum, testimonium perhibe de malo : si autem bene, quid me cædis* (*Joan.* 18. 23)?

(*a*) Affertur hic locus in eodem Concilio VI œcumenico.

(*a*) De Dispensatione, hoc est, de incarnatione, quam vel negabant, vel præposterе explicabant hæretici illi.

Pro inimicis orare præcepit : rursus hoc etiam operibus docet : cum enim in crucem ascendisset, dixit, *Pater, dimitte illis ; non enim sciunt quid faciunt* (*Luc.* 23. 34). Ut igitur præcepit ut oraremus, sic et orat ipse, teque docet orare, cum nec ipse dimittendi sit potestate destitutus. Præcepit rursus, ut iis qui nos oderunt benefaceremus, ac de illis qui nos calumniantur bene mereremur (*Matth.* 5. 44) : hoc autem opere ipso complevit : siquidem ex Judæis dæmones expulit, a quibus correptus a dæmone appellabatur, persequentes se beneficiis cumulabat, insidiantes alebat, crucifigere volentes ad regnum manu ducebat. Rursus ad discipulos dicebat : *Nolite possidere aurum, neque argentum, neque pecuniam in zonis vestris* (*Matth.* 10. 9), ut ad paupertatem incitaret : hoc rursus operibus docebat, cum ita loqueretur : *Vulpes foveas habent, et volucres cæli nidos : Filius autem hominis non habet ubi caput reclinet* (*Matth.* 8. 20) : neque mensa illi erat, non domus, non aliud quidquam ejusmodi : non quod egenus esset, sed quod homines ad hanc insistendam viam erudiret. Hac nimirum ratione docebat illos orare. Dicebant igitur illi : *Doce nos orare* (*Luc.* 11. 1). Idcirco etiam orat, ut et illi discant orare. Sed non tantum orare, verumetiam, quo pacto deberent orare, discere illos oportuit : propterea nempe tradidit et illis orationem in hæc verba conceptam : *Pater noster, qui es in cælis, sanctificetur nomen tuum. Adveniat regnum tuum. Fiat voluntas tua, sicut in cælo et in terra. Panem nostrum quotidianum da nobis hodie. Et dimitte nobis debita nostra, sicut et nos dimittimus debitoribus nostris. Et ne nos inducas in tentationem* (*Ib.* v. 2-4), hoc est, in periculum, in insidias. Quando igitur orare jussit, *Ne nos inducas in tentationem*, istud ipsum reipsa docet illos, dum ait, *Pater, si possibile est, transeat a me calix iste*, dum omnes sanctos docet, ne periculis sese objiciant, neque se præcipites agant, sed insultum adversariorum exspectent, omnemque fortitudinem præ se ferant : non tamen ut ipsi prosiliant, seque priores malis objiciant. Quid ita? Ut nimirum humilitatem doceat, et vanæ gloriæ crimine liberet. Quam etiam ob causam hic quoque, dum hæc diceret, *Abiens*, inquit, *oravit* (*Matth.* 26. 39), et postquam orasset, ita dixit discipulis, *Non potuistis una hora vigilare mecum? Vigilate, et orate, ne intretis in tentationem* (*Ib.* v. 40. 41). Vides ut non solum oret, sed etiam admoneat? *Spiritus enim promptus est*, inquit, *caro autem infirma* (*Ibid.* v. 41). Hoc autem dicebat, ut ex eorum anima fastum omnem depelleret, ut eos superbia liberaret, humiles redderet, ac modestos efficeret. Quod igitur eos precari docere volebat, hoc et ipse precabatur humanitus, non secundum divinitatem (est enim omnis passionis expers Numen), sed secundum humanitatem. Porro ut nos orare doceret, orabat, et semper quærere liberari a malis : quod si fieri nequeat, eo, quod Deo visum fuerit, contentos esse. Propterea dicebat, *Verumtamen non sicut ego volo, sed sicut tu* (*Matth.* 26. 39) : non quod alia voluntas ejus esset, et alia Patris ; sed ut homines doceret, quamvis æstuent, quamvis tremant, quamvis pericula immineant, quamvis ab hac vita nolint avelli, propriæ tamen voluntati Dei præferre voluntatem : quod utique Paulus edoctus agere, utrumque opere præstitit : nam et tentationes a se postulavit amoveri, cum ita diceret : *Propter quod ter Dominum rogavi* (2. *Cor.* 12. 8) : et quoniam Deo visum non est, inquit, *Idcirco placide acquiesco in infirmitatibus, in contumeliis, in persequutionibus* (*Ib.* v. 10). Forte vero non satis apertum est, quod dicitur : itaque manifestius a nobis reddetur. Multis obsidebatur periculis Paulus, et orabat, ne periculis objiceretur. Audivit ergo Christum dicentem : *Sufficit tibi gratia mea : virtus enim mea in infirmitate perficitur* (*Ib.* v. 9). Postquam igitur, quænam esset Dei voluntas, agnovit, tum voluntatem suam deinceps Dei voluntati subjecit. Hæc igitur utraque per orationem istam docuit, ut neque periculis nos objiciamus, sed et oremus ne in ea incidamus : sin autem nos invaserint, ea patienter feramus, ac propriæ voluntati Dei voluntatem præferamus. Quæ cum ita nobis explorata sint, oremus, ut numquam in tentationem intremus : quod si quandoque intraverimus, Deum precemur, ut nobis patientiam et fortitudinem largiatur, ipsiusque voluntatem omni nostræ voluntati præferamus. Sic enim fiet, ut vitam præsentem cum securitate transigamus, et futura bona consequamur : quorum nos compotes fieri contingat, gratia et benignitate Domini nostri Jesu Christi, cum quo Patri, una cum Spiritu sancto gloria, imperium, honor, nunc et semper, et in sæcula sæculorum. Amen.

IN CONCIONEM SEQUENTEM

Homilia de Angusta porta et de Oratione Dominica nullam præ se fert notam, ex qua vel temporis calculum, vel loci in quo habita est argumentum ducere possimus. Hoc unum certo dicere licet, eam Chrysostomo dignam esse, ejusque styli tesseras in ea non dubias deprehendi, secus quam opinatur Hallesius in notis Savilianis p. 725, qui pronuntiare ausus est, contra opusculi γνησιότητα ex styli genere scrupulos oriri. Nos contra non stylum modo Chrysostomi, tropos et orandi modum hic invenimus, sed etiam loca aliis Chrysostomi dictis perquam similia ; ut est illud num. 2, ubi de corporis humani consti-

νῶν ἀφιέναι. Πάλιν ἐκέλευσεν εὖ ποιεῖν τοῖς μισοῦσιν ἡμᾶς, καὶ καλῶς ποιεῖν τοὺς ἐπηρεάζοντας· τοῦτο δὲ διὰ τῶν ἔργων ἐποίησε· τῶν γὰρ Ἰουδαίων τοὺς δαίμονας ἐξέβαλε, τῶν καλούντων αὐτὸν δαιμονῶντα, ἐλαύνοντας εὐηργέτει, ἐπιβουλεύοντας ἔτρεφε, σταυρῶσαι βουλομένους εἰς βασιλείαν ἐχειραγώγει. Ἔλεγε πάλιν τοῖς μαθηταῖς, *Μὴ κτήσησθε χρυσὸν, μηδὲ ἄργυρον, μηδὲ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν*, πρὸς ἀκτημοσύνην ἀλείφων· τοῦτο πάλιν διὰ τῶν ἔργων ἐπαίδευεν, οὕτω λέγων· *Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις· ὁ δὲ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλῖναι.* Καὶ οὐκ ἦν αὐτῷ τράπεζα, οὐκ οἰκία, οὐκ ἄλλο τι τῶν τοιούτων οὐδέν· οὐκ ἐπειδὴ ἠπόρει, ἀλλ' ἐπειδὴ ἐπαίδευε τοὺς ἀνθρώπους ταύτην ἐλθεῖν τὴν ὁδόν. Κατὰ δὴ τοῦτον τὸν τρόπον καὶ ε�ύχεσθαι αὐτοὺς ἐδίδασκεν. Ἔλεγον οὖν αὐτῷ· *Δίδαξον ἡμᾶς εὔχεσθαι.* Διὰ τοῦτο καὶ εὔχεται, ἵνα ἐκεῖνοι μάθωσιν εὔχεσθαι. Ἀλλ' οὐκ εὔχεσθαι μόνον, ἀλλὰ καὶ πῶς δεῖ εὔχεσθαι μαθεῖν αὐτοὺς ἐχρῆν· διὰ δὴ τοῦτο καὶ εὐχὴν παρέδωκεν οὕτως ἔχουσαν· *Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν*, τοῦτ' ἔστιν, εἰς κίνδυνον, εἰς ἐπιβουλάς. Ἐπεὶ οὖν ἐκέλευσεν εὔχεσθαι, *Μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν*, τοῦτο αὐτὸ διδάσκει αὐτοὺς δι' αὐτοῦ τοῦ πράγματος λέγων, *Πάτερ, εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο*, παιδεύων ἅπαντας τοὺς ἁγίους μὴ ἐπιπηδᾷν τοῖς κινδύνοις, μηδὲ ἐπιῤῥίπτειν ἑαυτοὺς, ἀλλ' ἀναμένειν μὲν ἐπιόντας, καὶ ἀνδρείαν πᾶσαν ἐπιδείκνυσθαι· μὴ μὴν αὐτοὺς προπηδᾷν, μηδὲ πρώτους ὁμόσε τοῖς δεινοῖς ἰέναι. Τί δήποτε; Καὶ ταπεινοφροσύνην διδάσκων, καὶ τῶν τῆς κενοδοξίας ἐγκλημάτων ἀπαλλάττων. Διά τοι τοῦτο καὶ ἐνταῦθα, ὅτε ταῦτα ἔλεγεν, Ἀπελθών, φησὶ, *προσηύξατο*· καὶ μετὰ τὸ προσεύξασθαι λέγει τοῖς μαθηταῖς οὕτως· *Οὐκ ἰσχύσατε μίαν ὥραν γρηγορῆσαι μετ' ἐμοῦ; Γρηγορεῖτε καὶ προσεύχεσθε μὴ εἰσελθεῖν εἰς πειρασμόν.* Ὁρᾷς ὅτι οὐ προσεύχεται μόνον, ἀλλὰ καὶ παραινεῖ; *Τὸ μὲν γὰρ πνεῦμα πρόθυμον*, φησὶν, *ἡ δὲ σὰρξ ἀσθενής.* Τοῦτο δὲ ἔλεγε, τύφου τὴν ψυχὴν αὐτῶν κενῶν, καὶ ἀπονοίας ἀπαλλάττων, συνεσταλμένους ποιῶν, μετριάζειν παρασκευάζων. Ὅ τοίνυν ἠβούλετο αὐτοὺς διδάσκειν εὔχεσθαι, τοῦτο [24] καὶ αὐτὸς ἤυξατο ἀνθρωπίνως, οὐ κατὰ τὴν θεότητα (ἀπαθὲς γὰρ τὸ Θεῖον), ἀλλὰ κατὰ τὴν ἀνθρωπότητα. Ηὔξατο δὲ παιδεύων ἡμᾶς εὔχεσθαι, καὶ ἀεὶ ζητεῖν τῶν δεινῶν τὴν ἀπαλλαγήν· εἰ δὲ μὴ ἐγχωροίη, στέργειν τὰ τῷ Θεῷ δοκοῦντα. Διὰ τοῦτο ἔλεγε· *Πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ*· οὐκ ἐπειδὴ ἄλλο μὲν αὐτοῦ βούλημα, ἄλλο δὲ τοῦ Πατρός· ἀλλ' ἵνα παιδεύσῃ τοὺς ἀνθρώπους, κἂν ἀγωνιῶσι, κἂν τρέμωσι, κἂν κίνδυνος ἐπίῃ, κἂν μὴ βούλωνται ἀποῤῥαγῆναι τῆς παρούσης ζωῆς, ὅμως τοῦ οἰκείου βουλήματος προτιμᾷν τὸ τοῦ Θεοῦ βούλημα· ὥσπερ οὖν καὶ Παῦλος παιδευθείς, ἀμφότερα ταῦτα διὰ τῶν ἔργων ἔδειξε· τούς τε γὰρ πειρασμοὺς ἠξίωσεν ἀποκινηθῆναι αὐτοῦ, οὕτω λέγων· *Ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα*· καὶ ἐπειδὴ οὐκ ἔδοξε τῷ Θεῷ, φησί· *Δι' ὃ εὐδοκῶ ἐν ἀσθενείαις, ἐν ὕβρεσιν, ἐν διωγμοῖς.* Τάχα δὲ ἀσαφὲς τὸ εἰρημένον· οὐκοῦν ποιῶ αὐτὸ σαφέστερον· Ἐκινδύνευε πολλὰ ὁ Παῦλος, καὶ ηὔξατο μὴ κινδυνεύειν. Ἤκουσεν οὖν τοῦ Χριστοῦ λέγοντος, ὅτι *Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμις μου ἐν ἀσθενείᾳ τελειοῦται.* Ἐπεὶ οὖν εἶδε τοῦ Θεοῦ θέλημα ὄν, λοιπὸν τὸ ἑαυτοῦ θέλημα ὑποτάττει τῷ τοῦ Θεοῦ θελήματι. Ταῦτα τοίνυν ἀμφότερα ἀπὸ τῆς εὐχῆς ταύτης ἐπαίδευσε, μήτε ἐπιπηδᾷν τοῖς κινδύνοις, ἀλλὰ καὶ εὔχεσθαι μὴ ἐμπεσεῖν εἰς αὐτούς· εἰ δὲ ἐπέλθοιεν, φέρειν αὐτοὺς γενναίως, καὶ τοῦ οἰκείου θελήματος προτιμᾷν τὸ τοῦ Θεοῦ θέλημα. Ταῦτα οὖν εἰδότες, εὐχώμεθα μὲν μηδέποτε εἰσελθεῖν εἰς πειρασμόν· κἂν εἰσέλθωμεν, παρακαλῶμεν τὸν Θεὸν δόναι ἡμῖν ὑπομονὴν καὶ ἀνδρείαν, καὶ τὸ αὐτοῦ θέλημα παντὸς θελήματος ἡμῶν προτιμῶμεν. Οὕτω γὰρ καὶ τὸν παρόντα βίον μετὰ ἀσφαλείας διανύσομεν, καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτευξόμεθα· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

MONITUM.

tutione eadem iisdemque pene verbis dicit, quæ libro primo ad Theodorum lapsum, num. 13 dixerat. Fatetur tamen Halesius inventionem esse Chrysostomi, sed stylum esse humiliorem. At ego sine ullo errandi periculo dici posse puto, multa esse Chrysostomi opera, quæ a nemine in dubium vocantur, quæ ab elegantissimis ejusdem opusculis stylo magis deflectunt, quam hæc homilia.

Interpretationem Achillis Statii, Lusitani, etsi non inelegantem, quia cum Græco sæpe non consentiebat, rejecimus novamque paravimus.

[25] *Περὶ τοῦ κατὰ Θεὸν πολιτεύεσθαι, καὶ εἰς τὸ,* Στενὴ ἡ πύλη, *καὶ τὰ ἑξῆς· καὶ ἑρμηνεία τῆς προσευχῆς τοῦ,* Πάτερ ἡμῶν.

α'. Πάσης μὲν θεοπνεύστου Γραφῆς ἡ ἀνάγνωσις γίνεται τοῖς προσέχουσιν εὐσεβείας ἐπίγνωσις· ἡ δὲ σεπτὴ τῶν Εὐαγγελίων γραφὴ ὑψηλοτέρων ἐστὶ διδαγμάτων ὑπεροχή· τὰ γὰρ ἐν αὐτοῖς ἐμφερόμενα λόγια ὑψίστου Βασιλέως ὑπάρχει θεσπίσματα. Διὸ καὶ φοβερά τις ἠπείληται κόλασις τοῖς μὴ φυλάττουσιν ἀκριβῶς τὰ ὑπ' αὐτοῦ εἰρημένα. Εἰ γὰρ τῶν ἐπὶ γῆς ἀρχόντων ὁ παραβαίνων τοὺς νόμους ἀπαραίτητον ὑφίσταται κόλασιν, πόσῳ μᾶλλον ἀφορήτοις ἐκδοθήσεται βασάνοις ὁ τοῦ ἐπουρανίου Δεσπότου ἀθετῶν τὰ πρ.στάγματα; Ἐπεὶ οὖν μέγας ἐστὶν ὁ τῆς ἀπροσεξίας κίνδυνος, μετὰ πολλῆς ἀκριβείας προσέχωμεν τῇ ἀκροάσει τῶν ἀρτίως ἀναγνωσθέντων ἡμῖν ἐκ τοῦ Εὐαγγελίου ῥημάτων Τίνα δὲ ταῦτά ἐστι; *Στενὴ*, φησὶν, *ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν· καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν.* Καὶ πάλιν· *Πλατεῖα ἡ πύλη, καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ διερχόμενοι δι' αὐτῆς.*

Τούτων ἐγὼ συνεχῶς ἀκούων τῶν λόγων, καὶ τῶν ἀνθρώπων τὴν ἐπὶ τὰ μάταια βλέπων σπουδήν, λίαν θαυμάζω τῶν εἰρημένων τὴν ἀλήθειαν [a]. Πάντες γὰρ διὰ τῆς πλατείας βαδίζουσιν ὁδοῦ, πάντες εἰς τὰ παρόντα κεχήνασι πράγματα, καὶ τῶν μελλόντων οὐδέποτε λαμβάνουσιν ἔννοιαν· ἀλλ' εἰς μὲν τὰς σωματικὰς ἀπολαύσεις ἀδιαλείπτως ἐπείγονται, τὰς δὲ ψυχὰς ἐῶσιν ἐν λιμῷ κατατήκεσθαι· καὶ μυρία καθ' ἑκάστην ἡμέραν λαμβάνοντες τραύματα, οὐδέποτε αἴσθησιν ἔχουσι τῶν ἐν οἷς εἰσι κακῶν· καὶ τῶν μὲν τοῦ σώματος ἕνεκα παθημάτων, φοιτῶσι πρὸς τοὺς ταῦτα θεραπεύοντας· καὶ αὐτοὺς δὲ τούτους οἴκαδε παραπέμποντται, καὶ μισθοὺς παρέχουσιν ὅτι μάλιστα πλείστους, καὶ καρτερίαν ἐπιδείκνυνται πολλὴν, καὶ τῆς ἐπιπόνου θεραπείας ἀνέχονται, ἵνα τὴν ἐκείνου ὑγείαν ὠνήσωνται· τῆς δὲ ψυχῆς κακῶς διακειμένης παντελῶς ἀμελοῦσι, καὶ τὴν ἀξιέραστον αὐτῆς ὑγείαν λαβεῖν οὐ σπουδάζουσι, καίτοι σαφῶς ἐπιστάμενοι, ὅτι τὸ μὲν σῶμα θνητόν ἐστι καὶ ἐπίκηρον, καὶ τοῖς ἐαρινοῖς προσέοικεν ἄνθεσιν· ὁμοίως γὰρ ἐκείνοις μαραίνεται καὶ σβέννυται, καὶ φθορᾷ παραδίδοται· τὴν δὲ ψυχὴν ἴσασιν ἀθανασίᾳ τετιμημένην, καὶ κατ' εἰκόνα θείαν γεγενημένην, καὶ τοῦ ζώου πεπιστευμένην τοὺς οἴακας. Ὅπερ γάρ ἐστιν ἡνίοχος ἅρματι, καὶ κυβερνήτης πλοίῳ, καὶ μουσικὸς ὀργάνῳ, τοῦτο εἶναι τῷ γηΐνῳ τούτῳ σκεύει τὴν ψυχὴν ὁ πλάστης ἐνομοθέτησεν. Αὕτη γὰρ κατέχει τὰς ἡνίας, καὶ κινεῖ τὰ πηδάλια, καὶ τὰς χορδὰς ἀνακρούεται, καὶ εὖ μὲν τοῦτο πράττουσα, τὸ παναρμόνιον τῆς ἀρετῆς ἀνακρούεται μέλος· ὅταν δὲ ἡ χαλάσῃ τοὺς φθόγγους, ἢ [26] διατείνῃ πέρα τοῦ δέοντος, καὶ τῇ τέχνῃ καὶ τῇ ἁρμονίᾳ λυμαίνεται. Ταύτης τοίνυν ἀμελοῦσιν οἱ πολλοὶ τῶν ἀνθρώπων, καὶ οὐδὲ βραχείσης αὐτὴν ἐπιμελείας ἀξιοῦσιν, ἀλλ' ἅπαντα τῆς ζωῆς αὐτῶν τὸν χρόνον εἰς τὰς σωματικὰς ἀναλίσκουσι φροντίδας. Καὶ οἱ μὲν τὸν τῶν ναυτίλων ἀσπάζονται βίον, καὶ κύμασι καὶ πνεύμασι μάχονται, τὴν ζωὴν καὶ τὸν θάνατον μεθ' ἑαυτῶν περιφέροντες, καὶ τὰς τῆς σωτηρίας ἐλπίδας ἐν ὀλίγαις σανίσι κατέχοντες· οἱ δὲ τὸν τῆς γεωπονίας ἀναδέχονται ἱδρῶτα, βοῦς ἀροτῆρας ζευγνύντες, καὶ τὴν γῆν ἀροτριῶντες, καὶ νῦν μὲν σπείροντες καὶ θερίζοντες, νῦν δὲ φυτεύοντες καὶ τρυγῶντες, καὶ ἅπας αὐτοῖς ὁ χρόνος μετὰ τῆς τοιαύτης ὁδεύει ταλαιπωρίας· οἱ δὲ τὰς ἐμπορίας ἐπέρχονται [b], καὶ ὑπὲρ τούτων τὰς ἐν γῇ τε καὶ θαλάττῃ ποιοῦνται ἀποδημίας, καὶ τῆς οἰκείας τὴν ἀλλοδαπὴν προτιμῶσι, καὶ πατρίδα, καὶ γένος, καὶ φίλους, καὶ ὁμοζύγους μετὰ παίδων καταλιμπάνοντες, ὀλίγων ἕνεκα κερδῶν τὴν ξένην ἀσπάζονται. Καὶ τί δεῖ πάσας καταλέγειν τὰς τέχνας, ἃς ταῖς χρείαις τοῦ σώματος ἐξεῦρον οἱ ἄνθρωποι, ἐν αἷς διημερεύοντες καὶ διανυκτερεύοντες, τὴν μὲν ἐκείνου θεραπείαν ἑαυτοῖς περιποιοῦνται, τὴν δὲ ψυχὴν ὑπερορῶσι πεινῶσάν τε καὶ διψῶσαν καὶ αὐχμῶσαν καὶ ῥυπῶσαν, καὶ ὑπὸ μυρίων ἐνοχλουμένην κακῶν; Καὶ μετὰ πολλοὺς ἱδρῶτας καὶ πόνους οὐδὲ τὸ θνητὸν σῶμα θανάτου κρεῖττον ἐργάζονται, καὶ τὴν ἀθάνατον μετὰ τοῦ θνητοῦ ταῖς ἀθανάτοις ὑποβάλλουσι τιμωρίαις.

β'. Διὰ τοῦτο λίαν ὀλοφυρόμενος τὴν περιεχουμένην ἄγνοιαν ταῖς τῶν ἀνθρώπων ψυχαῖς, καὶ τῆς ἐπικειμένης αὐτοῖς ἀχλύος τὴν παχύτητα, ἐβουλόμην μὲν εὑρεῖν σκοπιάν τινα ὑψηλὴν ὑποδεικνύουσάν μοι πάντα τὰ τῶν ἀνθρώπων γένη· ἐβουλόμην δὲ καὶ φωνῆς τυχεῖν, πάντα περιηχούσης τὰ πέρατα, καὶ πᾶσιν ἀρκούσης τοῖς ἐπὶ τῆς γῆς, καὶ στῆναι καὶ βοῆσαι, καὶ τὴν Δαυϊδικὴν ἐκείνην ἀνακράξαι φωνήν· *Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι;* ἵνα τί ἀγαπᾶτε ματαιότητα καὶ ζητεῖτε ψεῦδος, προτιμῶντες τῶν οὐρανίων τὰ φθειρόμενα; Ἕως πότε τοὺς ὀφθαλμοὺς μύετε, καὶ τὰ ὦτα βύετε, καὶ τῆς θείας φωνῆς οὐκ ἀκούετε, τῆς καθ' ἑκάστην ἡμέραν βοώσης· *Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν, ζητεῖτε, καὶ εὑρήσετε, κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν· πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται;* Ἐπειδὴ δέ τινες ἀτελέστερον διακείμενοι καὶ πρὸς τὰ βιωτικὰ μᾶλλον ἐπιῤῥεπῶς ἔχοντες, καὶ τοῖς φιλοσάρκοις ἐνηδυπαθοῦντες λογισμοῖς, οὐ καθηκόντως ποιοῦνται τὰς αἰτήσεις, τούτου χάριν ὁ κοινὸς Δεσπότης εὐχῆς ἡμῖν διδασκαλίαν ὑπέδειξεν, εἰπών· *Ὅταν προσεύχησθε, μὴ βαττολογεῖτε, ὥσπερ οἱ ἐθνικοί· δοκοῦσι γὰρ, ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰσακουσθήσονται·* βαττολογίαν ὀνομάζων τὴν φλυαρίαν, τὴν διὰ πολλῶν μὲν λόγων προσφερομένην, ὠφελείας δὲ πάσης ἐστερημένην.

Ὑπαινίττεται τοίνυν, ἀπαγορεύων τὴν βαττολογίαν ὁ Κύριος, μὴ χρῆναι τοὺς προσευχομένους αἰτεῖν τὰ ῥέοντα καὶ ἀπολλύμενα· μὴ σώματος ὡραιότητα, τὴν ὑπὸ χρόνου μαραινομένην, καὶ ὑπὸ νόσου δαπανωμένην, καὶ ὑπὸ θανάτου καλυπτομένην· τοιοῦτον γὰρ τὸ σωματικὸν κάλλος. Ἄνθος ἐστὶν ὀλιγοχρόνιον,

[a] Omnes mss. τῶν εἰρημένων τὴν ἀλήθειαν. Duo postrema verba desunt in Morel.

[b] Mss. μετέρχονται. Unus ms. mox καὶ τῆς ἡμεδαπῆς τὴν ἀλλοδαπήν.

DE INSTITUENDA SECUNDUM DEUM VITA, ET IN ILLUD, ANGUSTA EST PORTA (*Matth.* 7. 14), ETC.: ITEM EXPLICATIO ORATIONIS, PATER NOSTER (*a*).

1. Omnis Scripturæ divinitus inspiratæ lectio animum adhibentibus piæ religionis notitiam affert : veneranda autem evangeliorum Scriptura præstantioribus documentis excellit : quæ enim in ea efferuntur dicta, supremi Regis sunt oracula. Quamobrem iis, qui dicta ejus accurate non observarint, horribile impendet supplicium.Si enim is, qui terrenorum principum leges transgreditur, indeprecabiles omnino pœnas luet : quanto magis qui cælestis Domini jussa detrectat, intolerandis cruciatibus afficietur? Quia igitur magnum est incuriæ periculum, summa cum diligentia jamjam lectis attendamus. Quæ sunt autem illa? *Angusta est*, inquit, *porta, et arcta via, quæ ducit ad vitam : et pauci inveniunt eam* (*Matth.* 7, 14.) Et rursus : *Lata est porta, et spatiosa via, quæ ducit ad perditionem, et multi sunt qui transeunt per eam.* (*Ib. v.* 13.)

Corporis cura animi curæ postponenda. — Horum ego frequens auditor verborum, hominumque studia cernens inanibus in rebus posita, dictorum veritatem vehementer admiror. Omnes quippe in lata gradiuntur via, omnes rebus inhiant præsentibus, futurorumque cogitationem numquam suscipiunt; sed ad corporeas voluptates cum impetu assidueque feruntur, animas vero suas sinunt fame contabescere; cumque innumeris quotidie vulneribus confodiantur, eorum in quibus versantur malorum nullum habent sensum: ac qui in corporeis ægritudinibus ad medicos adeunt, ipsos domum evocant, amplissimamque illis mercedem retribuunt, tolerantiam vero summam exhibent, et curationem sustinent laboriosam, quo valetudinem consequantur corporis; illi, inquam, male affectam animam prorsus negligunt, expetendamque ejus sanitatem contemnunt, licet probe sciant corpus mortale et corruptioni obnoxium esse, vernisque floribus consimile : perinde enim marcescit, exstinguitur, corrumpitur; animam vero immortalitate præditam, et ad imaginem Dei factam, cui concredita sunt animalis corporis gubernacula. Quod enim est auriga currui, gubernator navi, musicus instrumento, idipsum huic terreno vasculo esse animam præcepit Opifex ille. Hæc habenas tenet, clavum moderatur, et chordas pulsat : quod cum scienter facit, suavissimum virtutis reddit concentum : cum autem vel remiserit sonos, vel intenderit plus quam oporteat, et artem et harmoniam labefactat. Hujus ergo animæ curam abjiciunt multi mortales, nec minima quidem illam cura dignantur; sed totum vitæ tempus in corporeas sollicitudines impendunt. Atque hi quidem nauticum vitæ genus amplectuntur, ac cum fluctibus et ventis concertant : vitam mortemque secum semper una circumferentes, spemque salutis totam exiguis committentes tabulis : illi agriculturæ sudores suscipiunt, boves aratro jungunt, terram sulcant, nunc sementem jaciunt, nunc metunt : modo plantant, modo vindemiæ dant operam; et hac in miseria totum tempus cnetiuntur. Alii mercaturam adeunt, et ea de causa terra marique peregrinantur, alienum solum suo anteferentes, patriam, genus, amicos, conjuges, liberos relinquunt, exiguique lucri causa libenter peragrant. Sed quid attinet artes omnes enumerare, quas in usum corporis commenti sunt homines, in quibus die noctuque versantes, curam corporis sibi suscipiunt, animam vero despiciunt esurientem, sitientem, squalentem, sordibus fœdatam, sexcentisque agitatam ærumnis? Cæterum post tantos illos sudores laboresque mortale corpus a morte non vindicant, animamque immortalem cum mortali corpore æternis suppliciis subjiciunt.

2. Tantam ego mortalium animis offusam ignorantiam, ingruentemque ipsis densam caliginem deflens, vellem utique sublimem quamdam reperire speculam, quæ universa mihi hominum genera oculis subjiceret : vocemque dari mihi, quæ posset ab universis terræ finibus exaudiri, ut Davidicum illum sonum ederem : *Filii hominum, usquequo gravi corde? ut quid diligitis vanitatem, et quæritis mendacium* (*Psal.* 4, 3)? dum terrena cælestibus, temporanea æternis, corruptibilia incorruptibilibus anteponitis. Usquequo oculos claditis, aures obturatis, divinamque illam vocem quotidie clamantem non auditis : *Petite, et dabitur vobis, quærite, et invenietis; pulsate, et aperietur vobis* (*Matth.* 7, 7)? *Omnis enim qui petit, accipit; et qui quærit, invenit, et pulsanti aperietur* (*Ib. v.* 8). Quia vero nonnulli imperfectiores sunt, et ad sæcularia proni, carnalibusque cogitationibus indulgent, non ea qua oporteret ratione preces adhibent : ideo communis omnium Dominus precandi nobis formam præscripsit dicens : *Orantes autem, nolite multum loqui, sicut ethnici : putant enim, quod in multiloquio exaudientur* (*Matth.* 6. 7) : multiloquium vocans futilitatem, multitudine verborum redundantem, utilitateque carentem.

Pulchritudo corporis, resque terrenæ quam fluxæ sint. Omnium dispensatio Deo committenda. — Subindicat igitur Dominus, dum multiloquium prohibet, non oportere eos, qui precantur, fluxa et corruptibilia postulare : non corporis pulchritudinem, quæ tempore marcescit, et morbo labefactatur, demumque morte deletur. Talis namque est corporis pul-

(*a*) Collata cum Mss. Regiis 1964 et 2349, et Colbertino 1030.

claritudo, flos minime diuturnus, qui pauxillum in juventutis vere floret, sed brevi temporis decursu corrumpitur. Si quis vero substantiam ejus explorare velit, tunc illum magis despuere poterit. Nihil enim aliud est, quam pituita, sanguis et humor, cibique mansi chylus. Hinc enim oculi, genæ, nares, supercilia, labia, totumque corpus irrigatur : quæ si desinat irrigatio, illa formæ venustas prorsus desinet. Nam pecuniarum facultates, quæ aquarum instar fluvialium influunt et defluunt, et nunc ad illum, nunc ad alium transiliunt : quæ possessorem fugiunt, et apud se diligentes manere recusant : insidiatores vero multos habent, tineas, fures, sycophantas, incendia, naufragia, bellorum incursus, populorum seditiones, domesticorum nequitias, chirographorum amissiones, vel additiones, imminutiones : aliaque multa, quæ pecuniarum amantes invadunt detrimenta. Non dignitatum potentiam, quæ et ipsa multa parit incommoda, sollicitudinum tabem, insomnia frequentia, invidorum insidias, inimicorum machinamenta, subdolam rhetorum argutiam, quæ compositis verbis veritatem circumvenit, judicibusque ipsis magnum periculum creat. Sunt enim, sunt revera multiloqui viri multi, et futilibus instructi verbis, qui hæc et similia a Deo universorum postulant, eorumque, quæ vere sunt bona, nullam rationem habent. Atqui medicum medicamentorum usum non ægroti docent, sed hi, quantumvis durus molestusque sit curationis modus, quæ ab illo offeruntur sustinent. Itemque gubernatorem non vectores jubent hoc illove modo clavum tenere, et navim dirigere; sed in tabulatis sedentes, illius peritiæ, non modo secundis ventis, sed etiam extremo ingruente periculo sese committunt. Uni tantum Deo, qui quæ nobis utilia opportunaque sunt accurate novit, illi male feriati homines cedere nesciunt, sed perniciosa quasi utilia postulant, perinde atque ægrotus, qui a medico petit, non ea quæ morbum depellant, sed quæ materiam illam morbi matrem alant. Verum medicus infirmi preces non admittit. sed etiamsi lacrymantem ingementemque videat, artis præceptis obtemperabit potius, quam illius flectatur lacrymis : tumque medici inobsequentiam, non inhumanitatem, sed humanitatem vocamus. Contra vero si ægroto morem gerat, ejusque voluptati obsequatur, hostiliter cum illo agit; sin renitatur, ejusque cupiditatem oppugnet, misericordia atque clementia utitur. Sic animarum nostrarum Medicus, quæ noxia futura sunt petentibus numquam dederit. Neque enim patres prolis amantes filiis adhuc tenellis gladios aut ignitos carbones petentibus, umquam porrexerint : norunt enim hæc damno futura esse si dentur : nonnulli vero in extremam prolapsi dementiam, non modo corporis pulchritudinem, divitias, potentiam cæteraque id genus ab universorum Deo postulant; sed etiam inimicis suis imprecantur, ipsosque pœnis supplicioque affici rogant : et quem sibi propitium benignumque esse precantur, inimicis immitem inhumanumque esse peroptant. Quæ omnia Dominus reprimere præoccupans, multiloquium vetat, docetque quid sit in oratione dicendum : ac paucis verbis ad omnem virtutem instituit : illa quippe verba non modo doctrina ad precandum sunt, sed etiam ad perfectam vitam institutio.

3. *Oratio dominica ejusque explanatio.* — Quænam autem illa sint, et quis eorum sensus, diligentissime exquiramus, eaque tamquam divinas leges non dubitanter observemus : *Pater noster, qui es in cœlis* (*Matth.* 6. 9. *sqq.*). O quantam erga homines benignitatem ! o quantam dignitatis excellentiam ! Ecquis sermo erit ad gratias tantorum bonorum largitori agendas satis ? Perpende, dilecte, tuæ meæque naturæ vilitatem : scrutare cognationem, terram, pulverem, lutum, laterem, cinerem : e terra namque effecti, in terram demum resolvimur. His perpensis, inscrutabiles divinæ erga nos benignitatis divitias cum stupore considera : quod Patrem illum vocare jussus sis, terrenus cælestem, mortalis immortalem, corruptibilis incorruptibilem, temporaneus æternum, qui heri aut nuper lutum eras, eum qui ante sæcula Deus erat. Profecto non ad illam frustra emittendam vocem edoctus es ; sed ut ad illam, quam lingua tua protulit, Patris appellationem, reverentia commotus, ejus benignitatem imiteris : quemadmodum alibi dicit : *Estote similes Patris vestri, qui in cœlis est, qui solem suum oriri facit super malos et bonos, et pluit super justos et injustos* (*Matth.* 5. 45). Non potest benignum Deum Patrem appellare quisquis est feroci immitique animo : neque enim servat illas benignitatis, quæ in cælesti Patre est, tesseras, sed in ferinam se speciem transmutavit, atque a divina illa nobilitate excidit, secundum illud David dictum : *Homo cum in honore esset, non intellexit : comparatus est jumentis insipientibus, et similis factus est illis* (*Psal.* 48, 21). Etenim qui ut taurus insilit et invadit, ut asinus calce ferit, ut camelus injuriæ meminit, ut ursus vorat, ut lupus rapit, ut scorpius pungit, subdole agit ut vulpes, hinnit ad feminas instar equi emissarii, qui possit dignam filio vocem emittere, Patremque Deum compellare ? Quem hunc igitur vocemus ? Feramne ? At feræ uno ex enumeratis vitio laborant, hic vero omnia simul complectens, feritate ipsarum efferatior est. Ecquid dico feram ? fera quavis deterior ille est. Etenim feræ licet natura sua immites sint, humana tamen arte cicures fiunt et mansuescunt : hic vero homo, qui insitam illis a natura feritatem in mansuetudinem, quæ contra illarum naturam est, commutat, quam excusationem habebit, qui inditam sibi a natura mansuetudinem in feritatem naturæ suæ contrariam convertit, et quod erat natura ferum, mite reddidit, se vero natura mitem, ferum effecit ? et qui leonem mitigat tractabilemque facit, iram suam leone reddit intractabiliorem ? At in leone duo sunt impedimenta, quod is ratione careat, et quod cæterorum omnium sit ferocissimus : et tamen per divinitus inditam sapientiam ferinam illam superat naturam ; verum is, qui in feris naturam vincit, in seipso et naturæ et propositi voluntarii bonum perdit : dumque leonem

πρὸς ὀλίγον μὲν φαινόμενον τῷ ἔαρι [a] τῆς νεότητος, [27] μετ' ὀλίγον δὲ φθειρόμενον ὑπὸ τῆς χρόνου παλαιότητος. Εἰ δὲ καὶ τὴν ὑπόστασιν αὐτοῦ τις ἐξετάζειν ἐθέλοι, τότε πλέον αὐτοῦ διαπτύειν δυνήσεται. Οὐδὲν γὰρ ἕτερόν ἐστιν, ἢ φλέγμα καὶ αἷμα καὶ ῥεῦμα καὶ τροφῆς διαμασηθείσης χυλός. Ἐκ τούτου γὰρ καὶ ὀφθαλμοὶ, καὶ παρειαὶ, καὶ ῥῖνες, καὶ ὀφρύες, καὶ χείλη, καὶ ὅλον ἀρδεύεται τὸ σῶμα· κἂν ἐπιλείψῃ ποτὲ ἡ τούτων ἀρδεία, συνεπιλείψει πάντως καὶ τοῦ προσώπου ἡ εὐμορφία. Μὴ πλοῦτον χρημάτων τὸν καθ' ὁμοιότητα τῶν ποταμίων ὑδάτων ἐπιῤῥέοντά τε καὶ μεταῤῥέοντα, καὶ νῦν μὲν παρὰ τοῦτον, νῦν δὲ παρ' ἐκεῖνον πηδῶντα [b], καὶ τοὺς κατέχοντας φεύγοντα, καὶ τοῖς φιλοῦσιν αὐτὸν παραμένειν οὐκ ἀνεχόμενον, καὶ μυρίους ἐπιβούλους ἔχοντα, καὶ σῆτας, καὶ λῃστὰς, καὶ συκοφάντας, καὶ ἐμπρησμοὺς, καὶ ναυάγια, καὶ πολέμων ἐφόδους, καὶ δήμων ἐπαναστάσεις, καὶ κακουργίας οἰκετῶν, καὶ γραμμάτων ἀφαιρέσεις, καὶ προσθήκας, καὶ μειώσεις, καὶ τἄλλα ὅσα τοῖς ἐρῶσι χρημάτων ὑπὸ τῆς φιλοπλουτίας ἐπιφύεται δεινά. Μὴ δυναστείαν ἀξιωμάτων· πολλὰ γὰρ καὶ ταύτῃ ἀλγεινὰ παραφύεται, φροντίδων τηκεδόνες, ἀγρυπνίαι συνεχεῖς, ἐπιβουλαὶ παρὰ τῶν φθονούντων, κατασκευαὶ παρὰ τῶν μισούντων, στωμυλία ῥητόρων ταῖς κατευγλωττισμένοις λόγοις ὑποκλέπτουσα τὴν ἀλήθειαν καὶ πολὺν τοῖς δικάζουσι προξενοῦσα κίνδυνον. Εἰσὶ γὰρ, εἰσὶ βαττολόγοι τινὲς, καὶ ματαιολόγοι, ταῦτά τε καὶ τὰ τοιαῦτα παρὰ τοῦ Θεοῦ τῶν ὅλων αἰτοῦντες, καὶ τῶν ὄντως ἀγαθῶν οὐδένα ποιούμενοι λόγον. Καὶ τὸν μὲν ἰατρὸν οὐχ οἱ νοσοῦντες διδάσκουσι τῶν φαρμάκων τὴν χρῆσιν, ἀλλὰ τῶν ὑπ' αὐτοῦ προσφερομένων ἀνέχονται μόνον, κἂν ἐπίπονος ᾖ ὁ τῆς θεραπείας τρόπος· καὶ τὸν κυβερνήτην οἱ πλέοντες οὐ κελεύουσι τοιῳσδε κατέχειν τοὺς οἴακας, καὶ τὸ σκάφος ἰθύνειν, ἀλλ' ἐπὶ τῶν καταστρωμάτων καθήμενοι, τῆς ἐκείνου ἐπιστήμης ἀνέχονται, οὐ μόνον ἐξ οὐρίων φερόμενοι, ἀλλὰ καὶ τὸν ἔσχατον ὑπομένοντες κίνδυνον· τῷ Θεῷ δὲ μόνον, τῷ τὸ συμφέρον ἡμῖν ἀκριβῶς ἐπισταμένῳ διδόναι, οἱ τὰς φρένας κακῶς διακείμενοι παραχωρεῖν οὐκ ἀνέχονται, ἀλλ' αἰτοῦσιν ὡς ὠφέλιμα τὰ ὀλέθρια, ὅμοιον ποιοῦντες ἀῤῥώστῳ, τὸν ἰατρὸν δοῦναι αὐτῷ παρακαλοῦντι, οὐχ ὅσα λύει τὴν νόσον, ἀλλ' ὅσα τρέφει τὴν ὕλην τὴν τῆς νόσου μητέρα. Ἀλλ' οὐκ ἀνέξεται ὁ ἰατρὸς τῆς τοῦ κάμνοντος ἱκεσίας, ἀλλὰ κἂν δακρύοντα ἴδῃ καὶ ὀλοφυρόμενον, τῷ νόμῳ τῆς τέχνης ἀκολουθεῖ μᾶλλον, ἢ τοῖς τούτου δάκρυσιν ἐπικάμπτεται, καὶ τὴν ἀπείθειαν οὐκ ἀπανθρωπίαν, ἀλλὰ φιλανθρωπίαν ὀνομάζομεν· πειθόμενος μὲν γὰρ τῷ νοσοῦντι, καὶ τὰ πρὸς ἡδονὴν χαριζόμενος, τὰ πολεμίων εἰς αὐτὸν ἐργάζεται· ἀντιτείνων δὲ αὐτῷ, καὶ τῇ ἐπιθυμίᾳ μαχόμενος, ἐλέῳ κέχρηται καὶ φιλανθρωπίᾳ· οὕτω καὶ ὁ τῶν ἡμετέρων ψυχῶν ἰατρὸς οὐκ ἀνέχεται δοῦναι τοῖς αἰτοῦσι τὰ εἰς βλάβην αὐτοῖς ἐσόμενα. Οὔτε γὰρ οἱ φιλόστοργοι πατέρες τοῖς κομιδῇ νηπίοις μαχαίρας ἐπιζητοῦσιν ἢ πυρὸς ἄνθρακας, ὀρέγειν ἀνέχονται· ἴσασι γὰρ σαφῶς βλαβερὰν αὐτοῖς οὖσαν τὴν τοιαύτην δόσιν· τινὲς δὲ τῶν εἰς ἐσχάτην ἀλογίαν ἐκπεπτωκότων, οὐ μόνον σώματος ὡραιότητα, καὶ πλοῦτον, καὶ δυναστείαν, καὶ ὅσα τοιαῦτα παρὰ τοῦ τῶν ὅλων Θεοῦ αἰτοῦσιν, ἀλλὰ [28] καὶ τοῖς ἐχθροῖς αὐτῶν ἐπαρῶνται, καί τινα τιμωρίαν ἐπενεχθῆναι αὐτοῖς ἱκετεύουσι, καὶ ὃν ἑαυτοῖς ἥμερον εἶναι καὶ φιλάνθρωπον εὔχονται, τοῦτον τοῖς ἐχθροῖς ἀνήμερον γενέσθαι καὶ ἀπάνθρωπον βούλονται. Ταῦτα τοίνυν ὁ Δεσπότης προαναστέλλων, παρεγγυᾷ μὲν μὴ βαττολογεῖν· διδάσκει δὲ τίνα χρὴ λέγειν ἐν τῇ προσευχῇ, καὶ ἐν ὀλίγοις ῥήμασι πᾶσαν ἀρετὴν ἐκπαιδεύει· οὐ μόνον γὰρ εὐχῆς ἐστι διδασκαλία ἐκεῖνα τὰ ῥήματα, ἀλλὰ καὶ βίου τελείου παιδαγωγία.

γ'. Τίνα δέ ἐστι ταῦτα, καὶ τίς ἡ τούτων ἔννοια, μετὰ πολλῆς ἀκριβείας ἐξετάσωμεν, καὶ ὡς θείους νόμους ἀσφαλῶς τηρήσωμεν. *Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς.* Ὦ πόση τῆς φιλανθρωπίας ἡ ὑπερβολή! ὦ πόση τῆς φιλοτιμίας ἡ ὑπεροχή! ποῖος ἀρκέσει λόγος πρὸς εὐχαριστίαν τοῦ τοσαῦτα πηγάζοντος ἡμῖν ἀγαθά; Σκόπησον, ἀγαπητὲ, τῆς σῆς καὶ τῆς ἐμῆς φύσεως τὴν εὐτέλειαν, ἐρεύνησον τὴν συγγένειαν, τὴν γῆν, τὸν χοῦν, τὸν πηλὸν, τὴν πλίνθον, τὴν σποδόν· ἀπὸ γὰρ τῆς γῆς διαπλασθέντες, πάλιν εἰς τὴν γῆν μετὰ τέλος ἀναλύομεν. Ταῦτα οὖν ἐννοήσας ἐκπλάγηθι τὸν ἀνεξιχνίαστον πλοῦτον τῆς πολλῆς περὶ ἡμᾶς τοῦ Θεοῦ ἀγαθότητος, ὅτι Πατέρα καλεῖν προσετάχθης αὐτὸν, ὁ γήϊνος τὸν οὐράνιον, ὁ θνητὸς τὸν ἀθάνατον, ὁ φθαρτὸς τὸν ἄφθαρτον, ὁ πρόσκαιρος τὸν αἰώνιον, ὁ χθὲς καὶ πρώτην πηλὸς, τὸν ὄντα πρὸ τῶν αἰώνων Θεόν. Ἀλλ' οὐ μάτην ἐδιδάχθης ταύτην ἀφιέναι τὴν φωνὴν, ἀλλ' ἵνα τὴν ὑπὸ τῆς γλώττης σου προφερομένην τοῦ Πατρὸς ὀνομασίαν αἰδούμενος, μιμῇ αὐτοῦ τὴν ἀγαθότητα, ὡς καὶ ἀλλαχοῦ φησι· *Γίνεσθε ὅμοιοι τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς, ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους.* Οὐ δύναται γὰρ Πατέρα καλεῖν τὸν φιλάνθρωπον Θεὸν ὁ τὴν γνώμην ἔχων θηριώδη καὶ ἀπάνθρωπον· οὐδὲ γὰρ σώζει τοὺς χαρακτῆρας τοὺς ἐν τῷ [c] ἐπουρανίῳ Πατρὶ ἀγαθότητος, ἀλλ' εἰς τὸ θηριῶδες εἶδος ἑαυτὸν μετεμόρφωσε, καὶ τῆς θείας εὐγενείας ἐξέπεσε, κατὰ τὸ ὑπὸ τοῦ Δαυὶδ εἰρημένον· *Ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς.* Ὅταν γάρ τις σκιρτᾷ μὲν ὡς ταῦρος, λακτίζῃ δὲ ὡς ὄνος, μνησικακῇ δὲ ὡς κάμηλος, καὶ γαστριμαργῇ μὲν ὡς ἄρκτος, ἁρπάζῃ δὲ ὡς λύκος, πλήττῃ δὲ ὡς σκορπίος, ὕπουλος δὲ ᾖ ὡς ἀλώπηξ, χρεμετίζῃ δὲ ἐπὶ γυναιξὶν ὡς ἵππος θηλυμανὴς, πῶς δύναται ὁ τοιοῦτος τὴν υἱῷ πρέπουσαν ἀναπέμψαι φωνὴν, καὶ Πατέρα ἑαυτοῦ καλεῖν τὸν Θεόν; Τί οὖν ὀνομάζεσθαι χρὴ τὸν τοιοῦτον; Θηρίον; Ἀλλὰ τὰ θηρία ἐνί τούτων τῶν ἐλαττωμάτων κατέχεται· οὗτος δὲ πάντα συναγαγὼν ἐν ἑαυτῷ, καὶ τῆς ἐκείνων ἀλογίας γέγονεν ἀλογώτερος. Καὶ τί λέγω θηρίον; Θηρίου παντὸς χαλεπώτερός ἐστιν ὁ τοιοῦτος. Ἐκεῖνα μὲν γὰρ, καίτοι κατὰ φύσιν ἄγρια ὄντα, ἀνθρωπίνης ἀπολαύσαντα τέχνης, ἥμερα πολλάκις γίνεται· οὗτος δὲ, ἄνθρωπος ὤν, καὶ τὴν ἐκείνων ἀγριότητα τὴν κατὰ φύσιν εἰς τὴν ἡμερότητα μεταβαλὼν τὴν παρὰ φύσιν, ποίαν ἕξει ἀπολογίαν, τὴν ἑαυτοῦ προαίρεσιν τὴν κατὰ φύσιν εἰς ἀγριότητα ἐξάγων τὴν παρὰ φύσιν, καὶ τὸ μὲν ἄγριον φύσει ποιῶν ἥμερον, ἑαυτὸν δὲ τὸν [29] ἥμερον φύσει ποιῶν ἄγριον; καὶ λέοντα μὲν τιθασεύων, καὶ χειροήθη ποιῶν, τὸν δὲ θυμὸν τὸν ἴδιον λέοντος κατασκευάζων [d] ἀγριώτερον; Καίτοι ἐκεῖ δύο ἐστὶ κωλύματα, καὶ τὸ λογισμοῦ ἐστερῆσθαι τὸ θηρίον, καὶ τὸ πάντων εἶναι θυμωδέστερον· ἀλλ' ὅμως διὰ τῆς παρὰ τοῦ Θεοῦ δοθείσης σοφίας, καὶ τῆς θηριώδους περιγίνεται φύσεως. Καὶ ὁ ἐπὶ τῶν θηρίων τὴν φύσιν νικῶν, ἐφ' ἑαυτοῦ μετὰ τῆς φύσεως καὶ τὸ τῆς προαιρέσεως ἀπόλλυσι καλόν· καὶ λέοντα

[a] Sic duo mss. Morel., et Savil. in marg. recte. Savil. in textu et unus ἀέρι. Mox tres mss. φθειρόμενον ὑπό, editi vero φαινόμενον perperam. Savil. in marg. ἀφανιζόμενον. His quæ sequuntur prorsus similia habes supra Orat. 1 ad Theodorum lapsum num. 15

[b] Alii ἐκεῖνον ζοιτῶντα.

[c] Lege τοὺς χαρ. τῆς ἐν τῷ. Edit.

[d] Mss. ἴδιον λέοντος κατασκ. In Morel. et Savil. λέοντος deest, sed ad seriem pertinere videtur.

μὲν ποιεῖ ἄνθρωπον, ἑαυτὸν δὲ περιορᾷ ἐξ ἀνθρώπου γινόμενον λέοντα· καὶ ἐκείνῳ μὲν τὰ ὑπὲρ φύσιν χαρίζεται, ἑαυτῷ δὲ οὐδὲ τὰ κατὰ φύσιν πορίζεται. Πῶς τοίνυν ὁ τοιοῦτος δυνήσεται Πατέρα καλεῖν τὸν Θεόν; Ὁ μέντοι περὶ τοὺς πλησίον ἥμερος καὶ φιλάνθρωπος, καὶ τοὺς εἰς αὐτὸν πλημμελοῦντας οὐκ ἀμυνόμενος, ἀλλ' εὐεργεσίαις τὰς ἀδικίας ἀμειβόμενος, οὐ κατακρίνεται Πατέρα καλῶν τὸν Θεόν. Πρόσεχε δὲ τῇ ἀκριβείᾳ τοῦ λόγου, πῶς ἡμῖν νομοθετεῖ τὸ φιλάλληλον, καὶ εἰς ἀγαπητικὴν ἅπαντας συνάπτει διάθεσιν. Οὐ γὰρ ἐκέλευε λέγειν, Πάτερ μου, ὁ ἐν τοῖς οὐρανοῖς, ἀλλὰ, *Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς*, ἵνα κοινὸν Πατέρα ἔχειν διδαχθέντες, ἀδελφικὴν πρὸς ἀλλήλους δειχνύωμεν εὔνοιαν. Εἶτα διδάσκων ἡμᾶς καταλιπεῖν τὴν γῆν καὶ τὰ περὶ γῆν [a], καὶ μὴ κεχηνέναι κάτω, ἀλλὰ τῆς πίστεως λαβεῖν τὰ πτερὰ καὶ ἀναπτῆναι τὸν ἀέρα, καὶ διαβῆναι τὸν αἰθέρα καὶ ζητῆσαι τὸν καλούμενον Πατέρα, προσέταξε λέγειν· *Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς*· οὐκ ἐπειδὴ ἐν τοῖς οὐρανοῖς μόνον ἐστὶν ὁ Θεὸς, ἀλλ' ἵνα ἡμᾶς κάτω περὶ γῆν καλινδουμένους ἀνανεῦσαι εἰς οὐρανοὺς παρασκευάσῃ, καὶ τῷ κάλλει τῶν ἐπουρανίων ἀγαθῶν περιλάμψας, τὴν ἐπιθυμίαν ἡμῶν πᾶσαν ἐκεῖ μετενέγκῃ.

δ'. Εἶτα δευτέραν προσέθηκε ῥῆσιν, εἰπών· *Ἁγιασθήτω τὸ ὄνομά σου*. Καί μοι μηδεὶς ἀνοήτως ὑπολαμβανέτω ἁγιασμοῦ προσθήκην χαρίζεσθαι τῷ Θεῷ ἐν τῷ λέγειν· *Ἁγιασθήτω τὸ ὄνομά σου*· ἅγιος γάρ ἐστι, καὶ πανάγιος, καὶ ἁγίων ἁγιώτατος. Καὶ ταύτην αὐτῷ τὴν ὑμνῳδίαν προσφέρει τὰ Σεραφὶμ ἀσιγήτοις βοῶντα κραυγαῖς, *Ἅγιος, ἅγιος, ἅγιος Κύριος σαβαὼθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ*. Ἀλλ' ὥσπερ οἱ τοῖς βασιλεῦσι τὰς εὐφημίας προσφέροντες, καὶ βασιλέας καλοῦντες καὶ αὐτοκράτορας, οὐχ ὃ μὴ ἔχουσι χαρίζονται, ἀλλ' ὅπερ ἔχουσιν εὐφημοῦσιν· οὕτω καὶ ἡμεῖς οὐ τὴν οὐκ οὖσαν ἁγιωσύνην προσφέρομεν τῷ Θεῷ, λέγοντες, *Ἁγιασθήτω τὸ ὄνομά σου*, ἀλλὰ τὴν οὖσαν δοξάζομεν· τὸ γὰρ *ἁγιασθήτω*, ἀντὶ τοῦ δοξασθήτω, εἴρηται. Διδασκόμεθα τοίνυν διὰ τῆς φωνῆς ταύτης τὸν κατ' ἀρετὴν μετιέναι βίον, ἵνα τοῦτον ὁρῶντες οἱ ἄνθρωποι, τὸν οὐράνιον ἡμῶν Πατέρα δοξάζωσιν· ὃ καὶ ἀλλαχοῦ φησι· *Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς*. Μετὰ τοῦτο λέγειν ἐδιδάχθημεν· *Ἐλθέτω ἡ βασιλεία σου*· τυραννούμενοι γὰρ ὑπὸ τῶν τοῦ σώματος παθημάτων, καὶ μυρίας πειρασμῶν [30] δεχόμενοι προσβολὰς, τῆς τοῦ Θεοῦ χρῄζομεν βασιλείας, ἵνα μὴ βασιλεύσῃ ἡ ἁμαρτία ἐν τῷ θνητῷ σώματι ἡμῶν εἰς τὸ ὑπακούειν αὐτῇ ἐν ταῖς ἐπιθυμίαις αὐτοῦ, μηδὲ παριστάνωμεν τὰ μέλη ἡμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ, ἀλλ' ἵνα παραστήσωμεν ὅπλα δικαιοσύνης τῷ Θεῷ, καὶ στρατευώμεθα τῷ βασιλεῖ τῶν αἰώνων. Διδασκόμεθα δὲ πρὸς τούτοις, μὴ σφόδρα τῷ παρόντι βίῳ προστετηκέναι, ἀλλὰ καταφρονεῖν μὲν τῶν παρόντων, ἐπιθυμεῖν δὲ τῶν μελλόντων ὡς μενόντων, καὶ τὴν βασιλείαν ἐκείνην ζητεῖν τὴν οὐράνιον καὶ αἰώνιον, καὶ τοῖς ἐνταῦθα τερπνοῖς μὴ κατέχεσθαι, μὴ σωμάτων εὐμορφίᾳ, μὴ χρημάτων εὐπορίᾳ, μὴ κτημάτων εὐθηνίᾳ, μὴ λίθων πολυτελείαις, μὴ οἴκων μεγαλουργίαις, μὴ ἡγεμονίαις καὶ στρατηγίαις, μὴ ἁλουργίδι καὶ διαδήματι, μὴ ὀψοποιίαις καὶ καρυκείαις καὶ παντοδαπαῖς χλιδαῖς, μὴ ἄλλῳ τινὶ τῶν τὰς ἡμετέρας δελεαζόντων αἰσθήσεις, ἀλλὰ πᾶσι τούτοις ἐρρῶσθαι φράσαντες, τῆς τοῦ Θεοῦ βασιλείας ἀδιαλείπτως ὀρέγεσθαι. Οὕτως ἡμᾶς καὶ ταύτην διδάξας τὴν ἀρετὴν, ἐκέλευσε λέγειν· *Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς*· ἐντεθεικὼς γὰρ ἡμῖν τῶν μελλόντων τὸν ἔρωτα, καὶ τῆς ἐπουρανίου βασιλείας τὴν ἐπιθυμίαν, καὶ τρώσας ἡμᾶς ἐκείνῳ τῷ πόθῳ, παρασκευάζει λέγειν· *Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς*. Δὸς ἡμῖν, φησὶ, Δέσποτα, τὴν ἐν οὐρανῷ μιμεῖσθαι πολιτείαν, ἵν' ἃ θέλεις αὐτὸς, καὶ ἡμεῖς θέλωμεν. Ἐπάρκεσον τοίνυν προαιρέσει καμνούσῃ, καὶ ποιεῖν μὲν ἐπιθυμούσῃ τὰ σὰ, ὑπὸ δὲ τῆς τοῦ σώματος ἀσθενείας κωλυομένῃ· βρέξον χεῖρα τοῖς τρέχειν μὲν ἐπειγομένοις, χωλεύειν δὲ ἠναγκασμένοις. Ὑπόπτερος ἡ ψυχὴ, ἀλλὰ βαρύνει ταύτην ἡ σάρξ· ὀξεῖα ἐκείνη πρὸς τὰ οὐράνια, ἀλλὰ βραδεῖα αὕτη πρὸς τὰ ἐπίγεια· τῆς δὲ σῆς βοηθείας παρούσης, ἔσται δυνατὰ καὶ τὰ λίαν ἀδύνατα. *Γενηθήτω* τοίνυν *τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς*.

ε'. Καὶ ἐπειδὴ τῆς γῆς ἐμνημόνευσε, χρεία δὲ τοῖς ἐξ αὐτῆς γεγενημένοις καὶ ἐν αὐτῇ διαιτωμένοις, καὶ γηγενὲς σῶμα περικειμένοις, καὶ τῆς καταλλήλου τροφῆς, ἀναγκαίως ἐπήγαγε· *Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον*. Ἄρτον ἐκέλευσεν αἰτεῖν ἐπιούσιον, οὐ τρυφὴν, ἀλλὰ τροφὴν, τὴν τὸ ἐλλεῖπον ἀναπληροῦσαν τοῦ σώματος, καὶ τὸν ἐκ λιμοῦ κωλύουσαν θάνατον· οὐ τραπέζας φλεγμαινούσας [b], οὐδὲ ὄψων ποικιλίας, καὶ ὀψοποιῶν μαγγανείας, καὶ ἀρτοποιῶν ἐπινοίας, καὶ οἴνους ἀνθοσμίας, καὶ τἆλλα ὅσα τὸν μὲν λαιμὸν ἡδύνει, τὴν δὲ γαστέρα φορτίζει, τὴν δὲ διάνοιαν σκοτίζει, καὶ σκιρτᾷν τὸ σῶμα κατὰ τῆς ψυχῆς παρασκευάζει, καὶ δυσήνιον τῷ ἡνιόχῳ τὸν πῶλον ἐργάζεται. Οὐ ταῦτα ἡμᾶς αἰτεῖν ὁ λόγος ἐδίδαξεν, ἀλλ' *Ἄρτον ἐπιούσιον*, τοῦτ' ἔστιν, ἐπὶ τὴν οὐσίαν τοῦ σώματος διαβαίνοντα, καὶ συγκροτῆσαι ταύτην δυνάμενον. Καὶ τοῦτον δὲ οὐκ εἰς πολὺν ἐτῶν ἀριθμὸν αἰτεῖν ἐκελεύσθημεν, ἀλλὰ τὸν σήμερον ἡμῖν ἀρκοῦντα μόνον· *Μὴ μεριμνήσητε γὰρ, φησὶν, εἰς τὴν* [31] *αὔριον*. Τί δήποτε γὰρ περὶ τῆς αὔριον φροντίζει τις, ὁ τὴν αὔριον οὐ πάντως ὀψόμενος, ἀλλὰ τὸν μὲν πόνον δεχόμενος, τὸν δὲ καρπὸν οὐ δρεπόμενος; Θάρρησον τῷ Θεῷ *τῷ διδόντι τροφὴν πάσῃ σαρκί*. Ὁ τὸ σῶμά σοι δεδωκὼς, καὶ τὴν ψυχὴν ἐμφυσήσας, καὶ ζῷόν σε λογικὸν κατασκευάσας, καὶ πάντα σοι τὰ ἀγαθὰ πρὸ διαπλάσεως ἑτοιμάσας, πῶς σε διαπλασθέντα παρόψεται, *Ὃς ἀνατέλλει τὸν ἥλιον αὐτοῦ ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους*; Τούτῳ τοίνυν θαρρῶν, τὴν ἐφήμερον μόνην αἴτει τροφὴν, τῆς δὲ αὔριον αὐτῷ κατάλιπε τὴν φροντίδα, ὡς καὶ ὁ μακάριος ἔλεγε Δαυΐδ· *Ἐπίῤῥιψον ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει*. Οὕτω διὰ τῶν εἰρημένων τὴν ἄκραν ἐκπαιδεύσας φιλοσοφίαν, εἰδὼς ὅτι τῶν ἀδυνάτων ἐστὶν, ἀνθρώπους ὄντας καὶ θνητὸν σῶμα περικειμένους μὴ πταίειν, ἐδίδαξε λέγειν· *Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν*. Τρία κατ' αὐτὸν ἀγαθὰ διὰ τοῦδε τοῦ λόγου πραγματεύεται· τοὺς μὲν

[a] Sic omnes mss. Editi vero hæc non habent, καὶ τὰ περὶ γῆν. Paulo post in editis τὸν ἀέρα deest, sed habetur in omnibus mss.

[b] Duo mss. φλεγμαινούσας, καὶ εἰς ἡδονὰς ἐκμαινούσας.

facit hominem, se ex homine factum esse leonem pro nihilo ducit : illi quæ supra naturam sunt impertit, sibi quæ contra naturam sunt adsciscit. Quomodo igitur talis cum sit, Deum poterit appellare Patrem? Quisquis igitur erga proximum mitis humanusque est, quique in se peccantes non ulciscitur, sed beneficiis injurias sibi illatas remunerat, is si Deum appellet Patrem, non reus agitur. Orationis vim diligenter adverte, quomodo nobis mutuum amorem præcipiat, atque caritatis affectu omnes conjungat. Neque enim dicere jussit, Pater mi, qui es in cælis; sed *Pater noster, qui es in cælis* ; ut edocti nos communem habere Patrem, fraternam mutuo benevolentiam exhibeamus. Deinde nos instituit ut terram terrenaque[1] relinquamus, nec terrenis inhiemus, sed assumptis fidei alis, per aerem volemus ætheraque transcendamus, et quem vocamus Patrem quæramus, jubetque dicere, *Pater noster, qui es in cælis*, non quod Deus in cælis tantum sit, sed ut nos in terra volutatos ad cælum respiciendum inducat, nobisque cælestium bonorum pulchritudine illustratis id conferat, ut concupiscentia nostra tota eo traducatur.

4. Secundam deinde clausulam adjicit : *Sanctificetur nomen tuum*. Ne quis vero insipienter existimet sanctificationis accessionem Deo attribui, dum dicitur, *Sanctificetur nomen tuum* : sanctus enim est, et omnino sanctus, et sanctorum sanctissimus. Hanc autem ipsi laudem offerunt Seraphim, sic incessabili voce clamantes : *Sanctus, sanctus, sanctus Dominus Sabaoth : plenum est cælum et terra gloria ejus* (*Hesai.* 6. 3). Sed quemadmodum ii, qui reges acclamationibus excipiunt, ac Reges Imperatoresque vocant, non illis id attribuunt quod non habent, sed quod habent laudibus celebrant : ita et nos non eam, quæ absit, sanctitatem Deo offerimus cum dicimus, *Sanctificetur nomen tuum*, sed eam, quæ inest, laudibus celebramus : nam illud, *Sanctificetur*, idipsum est quod, glorificetur. Hac itaque voce docemur, ut vitam cum virtute ducamus, ut eam videntes homines, cælestem Patrem nostrum glorificent, ut alibi dicitur : *Luceat lux vestra coram hominibus, ut videant opera vestra bona, et glorificent Patrem vestrum, qui in cælis est* (*Matth.* 5. 16). Postea edocemur dicere, *Adveniat regnum tuum* : perturbationum corporalium oppressi tyrannide, et sexcentis tentationum insultibus impetiti, Dei regno egemus, ut peccatum non regnet in mortali corpore nostro (*Rom.* 6. 12), ita ut illi in cupiditatibus obsequamur, utque non exhibeamus membra nostra arma iniquitatis peccato, sed exhibeamus arma justitiæ Deo, et Regi sæculorum militemus. Ad hæc etiam docemur, ne præsentem vitam magni faciamus, sed præsentia despiciamus, futura vero, utpote manentia concupiscamus, et regnum illud quæramus cæleste, æternumque, nec præsentibus voluptatibus hæreamus; non formæ corporum, non pecuniæ vi, non possessionum abundantiæ, non gemmarum magnificentiæ, non ædium splendori, non imperiis et militaribus præfecturis, non purpuræ, non diademati, non opsoniis et lautis epulis, neque aliis quibuslibet eorum, quæ sensus nostros inescare solent; sed iis omnibus valere jussis, regnum cælorum indesinenter appetamus. Hanc vero virtutem postquam nos docuit, dicere jubet : *Fiat voluntas tua sicut in cælo et in terra*. Postquam enim nobis futurorum amorem indidit, necnon regni cælestis concupiscentiam, hoc vulneratos desiderio ad hæc dicenda comparat, *Fiat voluntas tua, sicut in cælo et in terra*. Da nobis, inquit, Domine, ut cælestem illam vitæ rationem sequamur, ut ea, quæ tu vis, nos etiam velimus. Opitulare igitur debili voluntatis proposito, quod ea quæ jubes exsequi cupit, sed corporis infirmitate præpeditur : porrige manum currere quidem volentibus, sed ad claudicandum coactis. Alis instructa est anima, sed illam caro gravem efficit ; hæc ad cælestia velox est, illa vero gravis et ad terrena proclivis. Adsit modo auxilium tuum, et ea, quæ fieri non posse videntur, facilia evadent. *Fiat* igitur *voluntas tua sicut in cælo et in terra*.

5. Quia vero terram commemorat, atque iis, qui ex terra procreati sunt, in illaque versantur terreno amicti corpore, congruenti cibo est opus, necessario subjunxit : *Panem nostrum supersubstantialem da nobis hodie*. Panem supersubstantialem petere jussit, non in delectamentum, sed in alimentum, quod decedit de corpore supplens, et interitum ex fame futurum depellens. Non instructas dapibus mensas [1], non opsonia varia, non delicatos ferculorum apparatus, non pistorum artificia, non vina odore demulcentia, et quæ alia palatum delectant, ventrem onerant, mentem obscurant, et corpori vires addunt ut insultet animæ, ac pullum aurigæ reddunt indocilem. Non hæc ut poscamus oratio docuit, sed *Supersubstantialem panem*, id est, qui in substantiam corporis transit, eamque confirmare potest. Hunc vero panem non ad multum annorum numerum petere jubemur, sed qui ad hodiernum tantum diem satis sit : *Nolite*, inquit, *solliciti esse in crastinum* (*Matth.* 6. 34). Cur enim de crastino quis sollicitus sit, qui non ipsum diem crastinum certo visurus sit ; sed qui laborem suscipit, fructum non decerpit? In Deo igitur fiduciam colloca, *Qui dat escam omni carni* (*Psal.* 135. 25). Qui tibi corpus dedit, animamque inspiravit, teque animal rationale constituit, atque omnia tibi bona ante formationem præparavit, quomodo te formatum aspernabitur, *Qui solem suum oriri facit super malos et bonos, et pluit super justos et injustos* (*Matth.* 5. 45)? Huic igitur si fidas, quotidianum tantum posce alimentum, illi crastini curam relinque, quemadmodum et beatus David dixit : *Jacta super Dominum curam tuam, et ipse te enutriet* (*Psal.* 54. 23). Ita cum superioribus verbis supremam philosophiam docuisset, gnarus fieri non posse, ut nos homines mortali corpore circumdati non cadamus, etiam hoc dicere docuit : *Et dimitte nobis debita nostra, sicut et nos dimittimus debitoribus nostris*. Tria simul bona hisce verbis

[1] Sic omnes Mss. Editi vero non habent, *terrenaque*.

[1] Duo Mss., *non mensas luxuriantes et ad voluptatem furere facientes*.

operatur : eos qui ad summum virtutis gradum perveuerunt de se mediocriter sentire docet, jubetque recte factis non confidere, sed formidare atque tremere præteritorum memores peccatorum : quod et divinus Paulus facit, post sexcenta præclare gesta dicens : *Quoniam Christus Jesus venit in mundum ad salvandum peccatores, quorum primus ego sum* (1. *Tim.* 1. 15). Non dixit, Eram, sed, *Sum*, præsentem se semper facinorum memoriam habere significans. Iis igitur qui in supremo virtutis gradu sunt, ex humilitate tutelam per hæc verba paravit ? eos autem, qui post baptismi gratiam lapsi sunt, de salute desperare sua non sinit, sed docet ab animarum medico petere veniæ remedia. Ad hæc vero humanitatis doctrinam suggerit. Vult enim nos mites erga eos esse, qui culpæ sunt obnoxii, et injuriarum nobis illatarum immemores, ut per veniam ipsis datam et nos veniam consequamur : et ipsi præeuntes benignitatis modum et mensuram afferamus : tantum enim recipere postulamus, quantum proximo largiti sumus : et tantam veniam rogamus, quantam debitoribus concedimus. Insuperque dicere docemur, *Et ne nos inducas in tentationem, sed libera nos a malo*. Multa namque nobis ex diaboli opera accedunt tristia : multa item ex hominibus, vel palam infestis, vel clam insidiantibus. Corpus etiam modo contra animam insurgens grave damnum infert; modo variis debilitatum morbis, dolores nobis atque languores parit. Itaque cum multa et varia nos undique tristia adoriantur, ab iis omnibus ut liberemur, a Deo universorum petere instituimur. Ipso namque vindice sedatur omnis tempestas, fluctus in tranquillitatem cedunt ; malignusque ille pudefactus discedit, quemadmodum olim relictis hominibus, ad porcos discessit : neque tamen illud injussus facere est ausus. Qui vero ne in porcos quidem potestatem habet, quo pacto homines pervigiles animoque temperantes, Dei septos præsidio, qui eum Regem esse suum putant, vincere possit ? Quapropter in fine orationis Dei regnum, virtutem et potentiam ostendit dicens : *Quoniam tuum est regnum et potestas et gloria in sæcula, amen* (*a*). Hoc, inquit, abs te peto, qui te novi Regem omnium, æterno præditum imperio, qui omnia, quæcumque velis, potes, et gloria circumdatus es, quam nemo possit auferre. Pro his autem omnibus gratias agamus ei, qui nos tantis dignatus est bonis ; quia ipsi convenit omnis gloria, honor et imperium, Patri, Filio et Spiritui sancto, nunc et semper, et in sæcula sæculorum. Amen.

(*a*) Hæc postrema clausula, quæ abest a Vulgata, in Bibliis Græcis legitur.

MONITUM

Hanc homiliam non publicavit Henricus Savilius ; sed prior ex tenebris ex uno tantum Codice eruit Frouto Ducæus. Anni, quo habita hæc fuit, temporisque notam, meo judicio, non dubiam suppeditat Chrysostomus in exordio, cum ait se nuper de Paralytico, qui annis triginta octo infirmitate detentus fuerat, sermonem habuisse : ubi eam memorare prorsus videtur homiliam, quam contra Anomæos duodecimam posuimus Tomo I. In illa quippe contra Anomœos præcipue agitur, exemploque paralytici a morbo liberati æqualem paternæ Filii potestatem commonstrat S. doctor ; quin etiam ut Filii cum Patre æqualitatem asserat, hunc Evangelii locum, *Pater meus usque modo operatur, et ego operor*, explanandum suscipit. Hinc etiam aliud argumentum eruimus, quo probatur hanc homiliam paucis post illam de alio paralytico diebus pronuntiatam fuisse ; in hac enim quoque de Filii cum Patre æqualitate aliquot in

HOMILIA

IN PARALYTICUM PER TECTUM DEMISSUM, QUOD NON SIT ILLE, DE QUO APUD JOANNEM AGITUR; DEQUE FILII CUM PATRE ÆQUALITATE.

1. Cum in paralyticum juxta piscinam in lecto jacentem nuper incidissemus, multum et ingentem thesaurum invenimus, non terram effodientes, sed ejus animi sensa scrutantes : thesaurum invenimus non aurum et pretiosos lapides continentem, sed tolerantiam, philosophiam, patientiam, et multam in Deum

ἔκρους τὴν ἀρετὴν μετριότητα διδάσκει φρονήματος, καὶ παρακελεύεται μὴ θαρρεῖν τοῖς κατορθώμασιν, ἀλλὰ δεδιέναι καὶ τρέμειν καὶ τῶν προτέρων ἁμαρτημάτων μνημονεύειν· ὡς καὶ ὁ θεσπέσιος ποιεῖ Παῦλος, μετὰ μυρία κατορθώματα λέγων· *Ὅτι Ἰησοῦς Χριστὸς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ*· οὐκ εἶπεν, ἦμην, ἀλλ', εἰμι, δεικνὺς ὅτι ἄπαυστον εἶχε τῶν εἰργασμένων τὴν μνήμην. Τοῖς μὲν οὖν ἄκροις τὴν ἀρετὴν ἀπὸ τῆς ταπεινοφροσύνης ἀσφάλειαν διὰ τούτων τῶν λόγων ἐμηχανήσατο· τοὺς δὲ πταίσαντας μετὰ τὴν τοῦ ἁγίου βαπτίσματος χάριν οὐκ ἀφίησιν ἀπογινώσκειν τῆς ἑαυτῶν σωτηρίας, ἀλλ' αἰτεῖν διδάσκει παρὰ τοῦ ἰατροῦ τῶν ψυχῶν τῆς ἀφέσεως τὰ φάρμακα. Πρὸς δὲ τούτοις, καὶ φιλανθρωπίας διδασκαλίαν ὁ λόγος ὑποτίθεται. Βούλεται γὰρ ἡμᾶς ἡμέρους εἶναι περὶ τοὺς ὑπευθύνους, ἀμνησικάκους περὶ τοὺς εἰς ἡμᾶς πλημμελοῦντας, καὶ τῇ περὶ τούτους συγγνώμῃ ἑαυτοῖς δωρεῖσθαι συγγνώμην, καὶ ἡμᾶς αὐτοὺς προεισφέρειν τῆς φιλανθρωπίας τὰ μέτρα. Τοσοῦτον γὰρ αἰτοῦμεν λαβεῖν, ὅσον τοῖς πλησίον παρέχομεν, καὶ τοσαύτης ἀξιοῦμεν συγγνώμης τυχεῖν, ὅσην τοῖς ὀφείλουσι δωρούμεθα. Πρὸς τούτοις ἐκελεύσθημεν λέγειν, *Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ*. Πολλὰ μὲν γὰρ ἡμῖν ἐκ διαβολικῆς ἐνεργείας προσγίνεται λυπηρὰ, πολλὰ δὲ καὶ ἐξ ἀνθρώπων, ἢ προφανῶς ἐπηρεαζόντων, ἢ ἀφανῶς [a] ἐπιβουλευόντων. Καὶ τὸ σῶμα ποτὲ μὲν ἐπανιστάμενον τῇ ψυχῇ, χαλεπὴν ἐργάζεται βλάβην· ποτὲ δὲ παντοδαποῖς ἀῤῥωστήμασι περιπῖπτον ὀδύνας ἡμῖν ἐπιφέρει καὶ ἀχθηδόνας. Ἐπειδὴ τοίνυν πολλὰ καὶ διάφορά ἐστι πολλαχόθεν προσπίπτοντα λυπηρὰ, ἐδιδάχθημεν παρὰ τοῦ Θεοῦ πῶν ὅλων αἰτεῖν τὴν τούτων ἀπαλλαγήν. Αὐτοῦ γὰρ ἐπαμύνοντος, πᾶσα μὲν κατασβέννυται ζάλη, ὁ δὲ κλύδων εἰς γαλήνην μεθίσταται, καὶ ὑποχωρεῖ κατῃσχυμμένος ὁ πονηρὸς, καθάπερ ποτὲ τοὺς ἀνθρώπους καταλείπων κατὰ τῶν χοίρων ἐχώρησεν, οὐδὲ ἐκεῖνο ποιῆσαι τολμήσας δίχα τοῦ κελεύσαντος. Ὁ δὲ κατὰ χοίρων ἐξουσίαν οὐκ ἔχων, πῶς ἀνθρώπων ἐγρηγορότων καὶ νηφόντων, καὶ ὑπὸ Θεοῦ φυλαττομένων, καὶ [32] βασιλέα οἰκεῖον ἡγουμένων αὐτὸν κρατῆσαι δυνήσεται; Διὰ τοῦτο καὶ τῷ τέλει τῆς προσευχῆς, τοῦ Θεοῦ τὴν βασιλείαν καὶ τὴν δύναμιν καὶ τὴν δόξαν ὑπέδειξεν, εἰπών· *Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας*. Ἀμήν. Ταῦτα γὰρ, φησὶν, αἰτῶ παρὰ σοῦ, ὅτι οἶδά σε βασιλέα πάντων, αἰώνιον κεκτημένον κράτος, καὶ πάντα δυνάμενον ὅσαπερ ἂν θέλῃς, καὶ δόξαν κεκτημένον ἀναφαίρετον. Ὑπὲρ δὲ τούτων ἁπάντων εὐχαριστήσωμεν τῷ τοσούτων ἡμᾶς ἀξιώσαντι ἀγαθῶν, ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ κράτος, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[a] Hæc, ἐπηρεαζόντων ἢ ἀφανῶς, desunt in editis; sed habentur in mss.

AD HOMILIAM IN PARALYTICUM PER TECTUM DEMISSUM.

locis, licet obiter, verba facit. Qua re maxime movemur, ut hoc exordium, *Cum in paralyticum juxta piscinam in lecto jacentem nuper incidissemus, multum et ingentem thesaurum invenimus*, de illa homilia in Paralyticum triginta annorum Constantinopoli anno 398 habita intelligendum censeamus: atque adeo hanc homiliam in Paralyticum per tectum demissum paucis post diebus eodemque anno Constantinopoli habitam statuamus. In hac porro concione pluribus demonstrat Chrysostomus, evangelistas inter se maxime consentire; hunc que paralyticum per tegulas demissum, diversum esse ab eo, qui juxta piscinam jacebat.

Interpretatio Latina est Frontonis Ducæi.

ΟΜΙΛΙΑ

Εἰς τὸν παραλυτικὸν διὰ τῆς στέγης χαλασθέντα, ὅτι οὐκ αὐτός ἐστιν ὁ παρὰ τῷ Ἰωάννῃ κείμενος· καὶ περὶ τῆς τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα ἰσότητος.

—

α'. Περιτυχόντες πρῴην τῷ παραλυτικῷ περὶ τὴν κολυμβήθραν ἐπὶ τῆς κλίνης κειμένῳ, πολὺν καὶ μέγαν εὑρήκαμεν θησαυρὸν, οὐχὶ γῆν διορύξαντες, ἀλλὰ τὴν διάνοιαν αὐτοῦ διασκάψαντες· εὑρήκαμεν θησαυρὸν οὐχὶ ἀργύριον ἔχοντα καὶ χρυσίον καὶ λίθους τιμίους, ἀλλὰ καρτερίαν καὶ φιλοσοφίαν καὶ ὑπομονὴν

καὶ πολλὴν τὴν πρὸς τὸν Θεὸν ἐλπίδα, ἢ παντὸς χρυσίου καὶ πάσης εὐπορίας ἐστὶ τιμιωτέρα. Ὁ μὲν γὰρ αἰσθητὸς πλοῦτος καὶ ληστῶν ἐπιβουλαῖς [33] πρόκειται, καὶ συκοφαντῶν στόμασι, καὶ τοιχωρύχων χερσὶ καὶ οἰκετῶν κακουργίαις, καὶ ὅταν ἅπαντα ταῦτα διαφύγῃ, τότε τοῖς κεκτημένοις μέγιστον ἐπάγει πολλάκις τὸν ὄλεθρον, βασκάνων ὀφθαλμοὺς διεγείρων, καὶ μυρίους ἐκ τούτου τίκτων χειμῶνας. Ὁ δὲ πνευματικὸς πλοῦτος ἁπάσας ταύτας διέφυγε τὰς λαβάς, καὶ πάσης ἐπηρείας ἐστὶν ἀνώτερος τοιαύτης, καὶ ληστῶν καὶ τοιχωρύχων καὶ βασκάνων καὶ συκοφαντῶν καὶ αὐτοῦ καταγελῶν τοῦ θανάτου. Οὐδὲ γὰρ θανάτῳ διαζεύγνυται τοῦ κεκτημένου, ἀλλὰ τότε μάλιστα ἀσφαλεστέρα ἡ κτῆσις αὐτοῦ τοῖς ἔχουσι γίνεται, καὶ συναποδημεῖ, καὶ συμμεθίσταται πρὸς τὴν μέλλουσαν ζωὴν, καὶ συνήγορος γίνεται θαυμαστὸς, οἷς ἂν ἐκεῖ συναπέλθῃ, καὶ ἵλεω καθίστησιν αὐτοῖς τὸν δικάζοντα.

Τοῦτον καὶ ἡμεῖς τὸν πλοῦτον μετὰ πολλῆς τῆς δαψιλείας εὑρήκαμεν ἐν τῇ τοῦ παραλυτικοῦ κατορωρυγμένον ψυχῇ. Καὶ μάρτυρες ὑμεῖς οἱ μετὰ πολλῆς αὐτὸν ἐξαντλήσαντες τῆς προθυμίας, οὐ κενώσαντες δέ. Τοιαύτη γὰρ ἡ τοῦ πνευματικοῦ πλούτου φύσις· τὰς τῶν ὑδάτων ἐπιῤῥοίας μιμεῖται, μᾶλλον δὲ καὶ ἐκείνων νικᾷ τὴν ἀφθονίαν, τότε πλεονάζουσα μᾶλλον, ὅταν πολλοὺς ἔχῃ τοὺς ἀρυομένους αὐτήν. Εἰς γὰρ τὴν ἑκάστου ψυχὴν εἰσιὼν, οὐ μερίζεται, οὐδὲ ἐλαττοῦται, ἀλλ' ὁλόκληρος ἑκάστῳ παραγινόμενος ἀνάλωτος μένει διηνεκῶς, οὐδέποτε ἐπιλείπειν δυνάμενος· ὃ δὴ καὶ τότε συνέβαινε. Τοσούτων γὰρ ἐπιπεσόντων τῷ θησαυρῷ, καὶ πάντων τὰ κατὰ δύναμιν ἀρυομένων ἐκεῖθεν· καὶ τί λέγω περὶ ὑμῶν, ὅπου γε ἐξ ἐκείνου τοῦ χρόνου μέχρι τῆς παρούσης ἡμέρας μυρίους ποιήσας εὐπόρους, ἐπὶ τῆς οἰκείας τελειότητος μένει; Μὴ τοίνυν ἀποκάμωμεν πρὸς τὴν πνευματικὴν ταύτην εὐπορίαν· ἀλλ' ὅσον δυνατὸν καὶ νῦν ἐξαντλήσωμεν, καὶ ἴδωμεν φιλάνθρωπον Δεσπότην, ἴδωμεν καρτερικὸν οἰκέτην. Τριάκοντα γοῦν καὶ ὀκτὼ ἔτη ἀῤῥωστίᾳ παλαίων ἀνιάτῳ καὶ μαστιζόμενος διηνεκῶς, οὐκ ἐδυσχέρανεν, οὐκ ἀφῆκε ῥῆμα βλάσφημον, οὐ κατηγόρησε τοῦ πεποιηκότος, ἀλλὰ γενναίως καὶ μετὰ πολλῆς τῆς ἐπιεικείας τὴν συμφορὰν ἔφερεν ἐκείνην. Καὶ πόθεν τοῦτο δῆλον; φησίν· οὐδὲν γὰρ περὶ τῆς ἄνω ζωῆς αὐτοῦ σαφῶς ἡμᾶς ἐδίδαξεν ἡ Γραφὴ, ἀλλ' ὅτι μὲν τριάκοντα ὀκτὼ ἔτη εἶχεν ἐν τῇ ἀσθενείᾳ αὐτοῦ, δῆλον ἐποίησεν· ὅτι δὲ οὐκ ἐδυσχέρανεν, οὐδὲ ἠγανάκτησεν, οὐδὲ ἀπεδυσπέτησε, τοῦτο οὐκέτι προσέθηκεν. Καὶ μὴν καὶ τοῦτο δῆλον ἐποίησεν, εἴ τις ἀκριβῶς προσέχοι, καὶ μὴ παρέργως, μηδὲ ἁπλῶς. Ὅταν γὰρ ἀκούσῃς ὅτι ἐπιστάντι Χριστῷ καὶ οὐκ ὄντι γνωρίμῳ, ἀλλ' ἀνθρώπῳ νομιζομένῳ φιλῷ, μετὰ τοσαύτης ἐπιεικείας διελέγετο αὐτῷ, καὶ τὴν ἔμπροσθεν αὐτοῦ φιλοσοφίαν δυνήσῃ θεάσασθαι. Εἰπόντι γὰρ αὐτῷ, *Θέλεις ὑγιὴς γενέσθαι;* οὐδὲν εἶπεν οἷον εἰκὸς ἦν, ὅτι Ὁρᾷς με παραλελυμένον χρόνον τοσοῦτον κατακείμενον, καὶ ἐρωτᾷς εἰ βούλομαι γενέσθαι ὑγιής; ἐπεμβῆναί μου τοῖς κακοῖς ἦλθες, ὀνειδίσαι, καὶ καταγελάσαι, καὶ κωμῳδῆσαι τὴν συμφοράν; Οὐδὲν [34] τοιοῦτον οὐδὲ εἶπεν, οὐδὲ ἐνόησεν, ἀλλὰ μετ' ἐπιεικείας· *Ναὶ, Κύριε,* φησίν. Εἰ δὲ μετὰ τριάκοντα ὀκτὼ ἔτη οὕτω πρᾶος ἦν, οὕτως ἐπιεικὴς, τῆς εὐτονίας αὐτῷ καταβληθείσης ἁπάσης καὶ τῆς δυνάμεως τῶν λογισμῶν, ἐννόησον ὁποῖον εἰκὸς εἶναι τοῦτον ἐν τοῖς προοιμίοις τῶν δεινῶν. Ἴστε γὰρ δήπου πάντες, ὅτι οὐχ ὁμοίως εἰσὶ δυσάρεστοι οἱ νοσοῦντες ἐν ἀρχῇ τῆς ἀῤῥωστίας καὶ πολλοῦ προϊόντος τοῦ χρόνου· τότε γὰρ μάλιστα δυσχερεῖς γίνονται οἱ νοσοῦντες, ὅταν εἰς μῆκος ἐπιδῷ τὸ νόσημα, τότε πᾶσιν ἀφόρητοι. Ὁ δὲ μετὰ τοσαῦτα ἔτη οὕτω φιλοσοφῶν, οὕτως ἀνεξικάκως ἀποκρινόμενος, εὔδηλον ὅτι καὶ τὸν ἔμπροσθεν χρόνον μετὰ πολλῆς τῆς εὐχαριστίας τὴν συμφορὰν ἔφερεν ἐκείνην.

Ταῦτα οὖν καὶ ἡμεῖς λογιζόμενοι μιμώμεθα τὴν ὑπομονὴν τοῦ συνδούλου· ἱκανὴ γὰρ ἡ παράλυσις ἐκείνου τὰς ἡμετέρας ἐπισφίγξαι ψυχάς· οὐδεὶς γὰρ οὕτω νωθρὸς καὶ παρειμένος, ὡς τὸ μέγεθος τῆς συμφορᾶς ἐννοήσας ἐκείνης, μὴ πάντα γενναίως ἐνεγκεῖν τὰ προσπίπτοντα δεινὰ, κἂν ἁπάντων ἀφορητότερα ᾖ. Οὔτε γὰρ ἡ ὑγίεια αὐτοῦ μόνον, ἀλλὰ καὶ ἡ νόσος μεγίστης ἡμῖν ὠφελείας γέγονεν αἰτία· ἥ τε γὰρ θεραπεία πρὸς δοξολογίαν τοῦ Δεσπότου καὶ τὰς τῶν ἀκουόντων ἤγειρε ψυχάς· ἥ τε νόσος καὶ ἡ ἀῤῥωστία πρὸς ὑπομονὴν ὑμᾶς ἤλειψε, καὶ πρὸς τὸν ἴσον παρεκάλεσε ζῆλον· μᾶλλον δὲ καὶ αὐτὴν τοῦ Θεοῦ τὴν φιλανθρωπίαν ἐνεδείξατο. Καὶ γὰρ αὐτὸ τὸ παραδοῦναι τοιούτῳ νοσήματι, καὶ τὸν χρόνον ἐκτεῖναι τοσοῦτον τὴν ἀῤῥωστίαν, μεγίστης κηδεμονίας ἐστί. Καθάπερ γὰρ χρυσοχόος εἰς χωνευτήριον ἐμβαλὼν χρυσίον μέχρι τοσούτου ἐπιτρέπει βασανίζεσθαι τῷ πυρὶ, ἕως ἂν ἴδῃ γενόμενον καθαρώτερον· οὕτω δὴ καὶ ὁ Θεὸς μέχρι τοσούτου τὰς τῶν ἀνθρώπων ψυχὰς ἀφίησιν ἐξετάζεσθαι ἐν δεινοῖς, ἕως ἂν γένωνται καθαραὶ καὶ διειδεῖς, καὶ πολλὴν ἀπὸ τῆς βασάνου ταύτης τὴν ὠφέλειαν καρπωσάμεναι· ὥστε καὶ τοῦτο εὐεργεσίας εἶδός ἐστι τὸ μέγιστον.

β'. Μὴ τοίνυν θορυβώμεθα, μηδὲ ἀλύωμεν, πειρασμῶν ἐμπιπτόντων ἡμῖν. Εἰ γὰρ ὁ χρυσοχόος εἶδε πόσον μὲν ἀφιέναι ἐν τῇ καμίνῳ χρόνον δεῖ τὸ χρυσίον, πότε δὲ ἀνασπάσαι, καὶ οὐκ ἀφίησι μέχρι τοῦ διαφθαρῆναι καὶ κατακαυθῆναι μένειν ἐν τῷ πυρί· πολλῷ μᾶλλον ὁ Θεὸς τοῦτο ἐπίσταται, καὶ ὅταν ἴδῃ καθαρωτέρους γενομένους, ἀφίησι τῶν πειρασμῶν, ὥστε μὴ τῷ πλεονασμῷ τῶν κακῶν ὑποσκελισθῆναι καὶ καταπεσεῖν. Μὴ τοίνυν δυσχεραίνωμεν, μηδὲ μικροψυχῶμεν, ἐπειδάν τι τῶν ἀδοκήτων ἐμπέσῃ· ἀλλὰ παραχωρῶμεν τῷ ταῦτα μετὰ ἀκριβείας εἰδότι, ἕως ἂν βούλοιτο, πυροῦν τὴν διάνοιαν τὴν ἡμετέραν· συμφερόντως γὰρ τοῦτο ποιεῖ καὶ ἐπὶ κέρδει τῶν πειραζομένων.

Διὰ τοῦτο σοφός τις παραινεῖ λέγων· *Τέκνον, εἰ προσέρχῃ δουλεύειν τῷ Θεῷ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμὸν, εὔθυνον τὴν καρδίαν σου, καὶ καρτέρησον, καὶ μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς. Αὐτῷ παραχώρησον,* φησὶν, *ἁπάντων·* οἶδε γὰρ ἀκριβῶς πότε ἡμᾶς ἀνελέσθαι ἐκ τῆς καμίνου δεῖ τῶν κακῶν. Χρὴ τοίνυν αὐτῷ πανταχοῦ παραχωρεῖν, καὶ διὰ παντὸς εὐχαριστεῖν, καὶ πάντα φέρειν [35] εὐγνωμόνως, κἂν εὐεργετῇ, κἂν κολάζῃ,

spem, quæ auro quovis et lucro quovis est pretiosior. Nam sensibus quidem subjectæ divitiæ latronum insidiis, sycophantarum linguis, parietum perfossorum manibus, et famulorum sceleribus sunt obnoxiæ; cumque omnia ista effugerint, tum maximam dominis perniciem frequenter accersunt, dum invidorum oculos excitant, et pericula creant innumera : spirituales autem divitiæ petitiones istas omnes effugiunt, et ab injuriis istis omnibus sunt immunes, ac latrones, parietum perfossores, invidos, sycophantas, ipsam denique mortem aspernantur. Non enim domini morte divelluntur, sed tum maxime tutior fit dominis earum possessio : cum illis peregrinantur, et ad futuram commigrant vitam, patronæ fiunt illorum eximiæ, cum quibus illuc discesserint, et ipsis propitium judicem reddunt.

Spiritualium opum natura qualis sit; Paralytici quanta virtus. — Has invenimus nos quoque divitias admodum copiosas in paralytici mente defossas; testes vos estis, qui summa cum animi alacritate illas eruistis; nec tamen evacuastis. Talis quippe spiritualium est opum natura : influxus aquarum imitantur, vel potius illarum copiam vincunt, tumque magis exuberant, cum plures fuerint, a quibus hauriuntur. Dum enim in cujusque animum ingrediuntur, non dividuntur, nec imminuuntur, sed ad singulos integræ adveniunt, et apud eos perpetuo morantur inconsumptæ, nec deficere possunt umquam : quod nimirum tum etiam evenit. Cum enim tam multi in thesaurum inciderint, et omnes inde pro viribus hauserint: quid ego de vobis loquor, cum ex illo tempore ad hunc usque diem innumeros locupletarit, et integritatem suam retineat? Ne igitur spiritualem hunc quæstum sectantes defatigemur, sed quantum in nostra potestate situm erit, nunc etiam hauriamus, ac videamus Dominum benignum, videamus et servum patientem. Triginta quippe et octo annos cum immedicabili morbo conflictatus, ac perpetuo diverberatus, non ægre tulit, non blasphemum verbum emisit, non Creatorem accusavit, sed patienter calamitatem illam et multa cum animi æquitate tolerabat. Unde vero id constat? dicet aliquis : neque enim de præcedenti ejus vita clare Scriptura nos docuit, sed eum triginta octo annos egisse in infirmitate sua declaravit (*Joan.* 5. 5) : quod autem non ægre tulerit, nec indignatus sit, neque stomachatus, hoc non diserte addidit. Attamen hoc etiam subindicavit, si quis diligenter attendat, et non perfunctorie et oscitanter. Cum enim audis eum, accedentem Christum, qui notus ipsi non erat, sed nudus homo putabatur, tanta cum modestia esse alloquutum, præcedentem etiam illius probitatem ac philosophiam poteris spectare. Nam cum ei dixisset, *Vis sanus fieri?* nihil tale dixit, quale verisimile erat eum dicturum : Vides me paralysi resolutum tam diuturno tempore jacere, et interrogas, num sanus fieri velim? venisti ut meis malis insultares, ut exprobrares, irrideres, et subsannares calamitatem? Nihil horum neque dixit, neque cogitavit, sed cum æquitate animi, *Profecto Domine*, inquit. Quod si post annos octo et triginta adeo mitis, adeo modestus erat, cum omnes illi vires ac robur animi fractum ac debilitatum esset, cogita qualem illum fuisse sit probabile, cum mala tantum inciperent. Nostis quippe omnes non ita ægros initio morbi esse morosos, ut cum multum temporis elapsum fuerit : tum enim præcipue difficiles ægroti fiunt, cum infirmitas in longum tempus excreverit, tum omnibus sunt intolerabiles. Qui vero post tot annos ita philosophatur, ita patienter respondet, haud dubium, quin præcedenti quoque tempore cum frequenti gratiarum actione calamitatem illam toleraverit.

Quæ utilitas ex historia Paralytici derivetur; comparantur afflictiones cum fornace. — Hæc igitur et nos cum animo nostro reputantes, conservi patientiam imitemur : sufficit enim ad nostras animas corroborandas illius paralysis : nec ullus est adeo supinus, et paralysi resolutus, ut si calamitatis illius gravitatem animo volvat, non omnia, quæ inciderint, mala patienter ferat, licet intolerabiliora sint omnibus. Nam neque sanitas ejus tantum, sed etiam morbus maximam nobis peperit utilitatem : cum ejus sanatio ad glorificandum Dominum animos auditorum excitarit, et morbus atque infirmitas ad patientiam vos instruxerit, et ad similem zelum cohortata sit, imo vero ipsam quoque Dei benignitatem ostenderit. Hoc enim ipsum, quod tantæ illum objecerit ægritudini, et in tantam temporis prolixitatem infirmitatem extenderit, maximæ indicium est sollicitudinis. Nam quemadmodum cum in conflatoriam fornacem aurifex aurum injecerit, tamdiu ab igne illud examinari sinit, quousque purius viderit evasisse : ita quoque Deus tamdiu hominum animas probari malis permittit, quousque puræ fiant, ac splendidæ, multamque ex illa exploratione utilitatem perceperint. Itaque hoc quoque beneficentiæ genus est maximum.

2. Ne turbemur igitur, neve animo concidamus, si quando tentationes nos invaserint. Si enim aurifex novit, quanto tempore derelinqui aurum in fornace conveniat, et quando extrahi, neque sinit eousque in igne remanere, ut corrumpatur et exuratur : multo magis id Deo notum est, et cum puriores factos esse nos videt, tentationes remittit, ne malorum multiplicatione supplantemur et concidamus. Ne igitur ægre feramus, nec animum despondeamus, si quid inopinatum acciderit : sed ei permittamus, qui accurate ista novit, utquamdiu voluerit, animam nostram expurget : utiliter enim id agit, et in rem eorum qui tentantur.

Cum medico et patre comparatur Deus; auxilium gratiæ divinæ necessarium. — Quam ob causam sapiens quidam admonet, dicens : *Fili, si accedas ad serviendum Domino, præpara animam tuam ad tentationem; dirige cor tuum, et sustine : et ne festines in tempore illationis* (*Eccli.* 2. 1, 2). Omnia, inquit, illi permitte : probe siquidem novit, quando nos e fornace malorum expediat erui. Quamobrem illi ubique cedere oportet, ac perpetuo gratias agere, atque omnia æquo animo ferre, sive conferat beneficia, sive puniat, cum hoc

quoque genus sit beneficii. Nam et medicus, non cum lavat solum, et nutrit, atque ad viridaria educit ægrotum : sed et cum urit et secat, pari ratione medicus est : et pater non modo cum filio blanditur, sed etiam cum eum pellit ex ædibus et cum increpat, ac flagris cædit, pari ratione pater est, neque minus quam cum laudat. Cum igitur intelligas medicis omnibus indulgentiorem esse, ac majori affectu nos Deum prosequi, noli curiose inquirere, neque rationem ab eo exige curationis ; sed sive recreare voluerit, sive punire, ad utrumque pariter paratos nos exhibeamus : siquidem per utrumque nobis restituit sanitatem, et nos sibi reconciliat : cumque noverit quibus indigeat quisque nostrum, et quid conferat cuique, et quo tandem modo servandus sit, hac via nos ille deducit. Sequamur igitur quo ille præceperit, neque exacte quidquam disquiramus, sive per planam et facilem, sive per difficilem asperamque viam incedere jusserit, quemadmodum et istum paralyticum. Unum igitur hoc fuit genus beneficentiæ, quod tanto tempore animam ejus purgarit, eamque tamquam conflatoriæ cuidam fornaci tentationum probationi tradiderit : aliud autem nihilo inferius isto, quod in ipsis tentationibus illi adfuerit, multumque solatium illi præbuerit. Ipse erat, qui continebat eum, et retinebat, manumque porrigebat, neque collabi sinebat. Cum autem ipsum fuisse audis, noli paralyticum laude privare, nec illum nec alium hominem quemvis, qui tentetur et patienter ferat. Quantumvis enim sæpe philosophemur, quamvis omnium robustissimi simus ac validissimi, si illius absit auxilium, ne mediocri quidem poterimus tentationi resistere. Sed quid ego de nobis vilibus et abjectis loquor ? Licet Paulus sit aliquis aut Petrus, licet Jacobus aut Joannes, subsidio cælesti privatus facile vincitur, et supplantatur, et concidit. Ad hæc omnia tuenda vobis Christi ipsius voces recitabo : siquidem Petro dixit : *Ecce satanas expetivit vos, ut cribraret sicut triticum : et ego rogavi pro te, ut non deficiat fides tua* (*Luc.* 22. 31. 32). Quid est cribrare ? Abducere, circumducere, exagitare, movere, concutere, divexare, sicut in iis quæ cribro ventilantur : at ego cohibebam, inquit, intelligens nequaquam posse vos tentationem sustinere; cum enim ait, *Ne deficiat fides tua*, hoc significat, futurum fuisse, ut fides ejus deficeret, si ille permisisset. Quod si Petrus fervidus amator Christi, qui animam suam millies pro ipso exposuit, quique semper ante cœtum prosilit apostolorum, et beatus a magistro suo prædicatur, ideoque Petrus appellatus est, quod inconcussa et immutabili fide præditus esset, dejectus fuisset, et a confessione excidisset, si, quantum vellet, tentare diabolo Christus permisisset, quis alius absque illius auxilio poterit umquam resistere ? Quocirca dicit etiam Paulus, *Fidelis Deus, qui non patietur vos tentari supra id, quod potestis : sed facict cum tentatione proventum, ut possitis sustinere* (1. *Cor.* 10. 13). Non enim tantum, inquit, supra vires inferri tentationem non sinit, sed etiam in ipsa quæ pro ratione virium adhibetur, nos sustentans adest, et nos corroborat, cum nos priores quæ nostrarum sunt partium contulerimus, exempli causa, alacritatem animi, spem in ipsum, gratiarum actionem, tolerantiam, patientiam. Neque tantum in periculis, quæ vires nostras excedunt, sed in ipsis etiam quæ non excedunt, cælesti auxilio indigemus, ut generose possimus obsistere. Siquidem alibi quoque dicit : *Sicut abundant passiones Christi in nobis, ita et per Christum abundat consolatio nostra, ut nos possimus consolari eos, qui in omni pressura sunt, per exhortationem, qua exhortamur et ipsi a Deo* (2. *Cor.* 1. 5. 4). Itaque is etiam qui hunc consolatus est, ipse est qui tentationem permisit inferri. Vide autem post curationem quantam sollicitudinem præ se ferat. Neque enim illo dimisso recessit, at postquam illum offendit in templo, ait, *Ecce sanus factus es, noli amplius peccare, ne deterius tibi aliquid contingat* (*Joan.* 5. 14). Si enim quod odio prosequeretur, puniri permisisset, non te liberasset, non in futurum communiisset : quod autem dicit, *Ne deterius tibi aliquid contingat*, indicat eum futuris malis obviam ire. Morbum depulit, et angorem non depulit : ægritudinem abegit, et metum non abegit, ut immotum maneat beneficium quod est collatum. Hoc providi est medici, ut non præsentia tantum mala depellat, sed et adversa futura præcaveat : quod utique fecit et Christus, dum præteritorum memoria ipsius animam confirmavit. Nam quoniam ubi præterierint ea quæ nobis molestiam exhibebant, simul eorum memoria sæpe dilabitur, quod ipsam perpetuam velit manere, *Noli*, inquit, *amplius peccare, ne deterius tibi aliquid contingat.*

3. Neque vero ex hoc solum providentiam ejus et æquitatem licet intueri, sed ex ipsa, quæ videtur esse, increpatione. Nam peccata quidem ejus non propalavit, sed cum propter peccata passum esse quæ passus est, indicavit : quæ vero essent peccata, non indicavit : neque dixit, Hoc et illud peccasti, neque, In hoc et in illo delinquisti, sed uno simplici verbo id exprimens, *Noli amplius peccare*, tantumque dicens, quod ad eum admonendum necessarium erat, diligentiorem illum reddidit in futurum, et ipsius patientiam, fortitudinem, ac philosophiam nobis omnem patefecit, cum illi necessitatem imposuit totam calamitatem suam quiritando divulgandi, ac studium suum ostendendi : *Dum venio enim ego, alius ante me descendit* (*Joan.* 5. 7) ; peccata vero non propalavit. Sicut enim nos obtegere nostra volumus, sic et Deus multo magis quam nos : quam ob causam et coram omnibus medicinam fecit, adhortationem autem et consilium privatim adhibet. Numquam enim evulgat peccata nostra, nisi forte si quando nos viderit nullo eorum sensu affici. Nam et cum dicit : *Esurientem me vidistis, et non aluistis, et sitientem, et non potastis* (*Matth.* 25. 42), propterea dicit in præsenti tempore, ne forte in futuro verba hæc audiamus. Minatur, evulgat in hac vita, ne in illa evulget, quemadmodum et Ninivitarum civitatem se minatus est eversurum, ut non everteret. Si enim peccata vellet nostra publicare, nequaquam se publicaturum prædixisset ;

ἐπεὶ καὶ τοῦτο εὐεργεσίας ἐστὶν εἶδος. Καὶ γὰρ ἰατρὸς οὐχ ὅταν λούῃ, καὶ τρέφῃ, καὶ εἰς παραδείσους ἐξάγῃ τὸν νάμνοντα μόνον, ἀλλ' ὅταν καὶ καίῃ, καὶ τέμνῃ, ὁμοίως ἐστὶν ἰατρός· καὶ πατὴρ οὐχ ὅταν θεραπεύῃ τὸν υἱὸν μόνον, ἀλλὰ καὶ ὅταν ἐκβάλλῃ τῆς οἰκίας, καὶ ὅταν ἐπιτιμᾷ, καὶ μαστίζῃ, ὁμοίως ἐστὶ πατὴρ, καὶ οὐχ ἧττον, ἢ ὅταν ἐπαινῇ. Εἰδὼς τοίνυν ὅτι καὶ ἰατρῶν ἁπάντων φιλοστοργότερος ὁ Θεὸς, μὴ περιεργάζου, μηδὲ ἀπαίτει τὰς εὐθύνας αὐτὸν τῆς ἰατρείας, ἀλλ' ἄν τε ἀνεῖναι βούληται, ἄν τε κολάζῃ, πρὸς ἑκάτερα ὁμοίως παρέχωμεν ἑαυτούς· δι' ἑκατέρων γὰρ πρὸς ὑγείαν ἡμᾶς ἐπανάγει, καὶ πρὸς τὴν οἰκείωσιν τὴν ἑαυτοῦ, καὶ οἶδεν ὧν ἕκαστος χρείαν ἔχομεν, καὶ τί συμφέρον ἑκάστῳ, καὶ πῶς καὶ τίνι τρόπῳ σωθῆναι δεῖ, καὶ ταύτην ἡμᾶς ἄγει τὴν ὁδόν. Ἑπώμεθα τοίνυν οἵπερ ἂν αὐτὸς κελεύῃ, καὶ μηδὲν ἀκριβολογώμεθα, εἴτε διὰ ῥᾳδίας καὶ εὐκόλου, εἴτε διὰ χαλεπῆς καὶ τραχυτέρας ὁδοῦ βαδίζειν κελεύοι· ὥσπερ οὖν καὶ τὸν παράλυτον τοῦτον. Ἓν μὲν οὖν τοῦτο εὐεργεσίας εἶδος ἦν τὸ χρόνῳ τοσούτῳ τὴν ψυχὴν αὐτοῦ καθαίρειν, ὥσπερ χωνευτηρίῳ τινὶ τῇ πυρώσει τῶν πειρασμῶν αὐτὴν παραδόντα· ἕτερον δὲ οὐκ ἔλαττον τούτου, τὸ καὶ ἐν αὐτοῖς παρεῖναι τοῖς πειρασμοῖς, καὶ πολλὴν αὐτῷ παρέχειν τὴν παραμυθίαν. Αὐτὸς ἦν ὁ διακρατῶν αὐτὸν καὶ συνέχων, καὶ χεῖρα ὀρέγων, καὶ οὐκ ἀφιεὶς καταπεσεῖν. Ὅταν δὲ ἀκούσῃς ὅτι αὐτὸς ἦν, μὴ ἀποστερήσῃς τῶν ἐγκωμίων τὸν παράλυτον, μήτε ἐκεῖνον, μήτε ἄλλον τινὰ πειραζόμενον ἄνθρωπον καὶ καρτεροῦντα. Κἂν γὰρ μυριάκις φιλοσοφῶμεν, κἂν ἁπάντων ὦμεν ἰσχυρότεροι καὶ δυνατώτεροι, τῆς παρ' αὐτοῦ ῥοπῆς ἀπούσης, οὐδὲ πρὸς τὸν τυχόντα ἀντιστῆναι δυνησόμεθα πειρασμόν. Καὶ τί λέγω περὶ ἡμῶν τῶν εὐτελῶν καὶ ἀπερρίμμενων; Κἂν γὰρ Παῦλός τις ᾖ, καὶ Πέτρος, κἂν Ἰάκωβος, κἂν Ἰωάννης, τῆς ἄνωθεν βοηθείας ἀποστερηθεὶς ἐλέγχεται ῥᾳδίως, καὶ ὑποσκελίζεται, καὶ καταπίπτει. Καὶ ὑπὲρ τούτων αὐτοῦ τοῦ Χριστοῦ φωνὴν ὑμῖν ἀναγνώσομαι· τῷ γὰρ Πέτρῳ φησίν· *Ἰδοὺ ὁ Σατανᾶς ᾐτήσατο, ἵνα σινιάσῃ ὑμᾶς ὡς τὸν σῖτον· κἀγὼ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου.* Τί ἐστι, σινιάσαι; Ἀγαγεῖν, περιαγαγεῖν, σαλεῦσαι, κινῆσαι, διαδονῆσαι, βασανίσαι, ὅπερ ἐπὶ τῶν κοσκινιζομένων γίνεται· ἀλλ' ἐγὼ, φησὶν, ἐπέσχον, εἰδὼς ὅτι τὸν πειρασμὸν ἐνεγκεῖν οὐ δύνασθε· τὸ γὰρ εἰπεῖν· *Ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου*, δηλοῦντός ἐστιν, ὅτι εἰ συνεχώρησεν, ἐξέλιπεν ἂν αὐτοῦ ἡ πίστις. Εἰ δὲ Πέτρος ὁ θερμὸς ἐραστὴς τοῦ Χριστοῦ καὶ τὴν ψυχὴν ὑπὲρ αὐτοῦ μυριάκις ἐπιδοὺς, καὶ προπηδῶν ἀεὶ τοῦ χοροῦ τῶν ἀποστόλων, καὶ παρὰ τοῦ Διδασκάλου μακαριζόμενος, καὶ διὰ τοῦτο Πέτρος κληθεὶς, ἐπειδὴ ἄσειστον εἶχε καὶ ἀπερίτρεπτον τὴν πίστιν, ἠνέχθη ἂν καὶ τῆς ὁμολογίας ἐξέπεσεν, εἰ συνεχώρησεν ὁ Χριστὸς τῷ διαβόλῳ πειράσαι ὅσον ἠβούλετο, τίς ἕτερος στῆναι δυνήσεται χωρὶς τῆς αὐτοῦ βοηθείας; Διὰ [36] τοῦτο καὶ Παῦλός φησι· *Πιστὸς δὲ ὁ Θεὸς, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑμᾶς ὑπενεγκεῖν.* Οὐ μόνον γὰρ, φησὶ, πειρασμὸν ὑπὲρ δύναμιν οὐκ ἀφίησιν ἐπενεχθῆναι, ἀλλὰ καὶ ἐν αὐτῷ τῷ κατὰ δύναμιν ἐπαγομένῳ πάρεστι διαβαστάζων ἡμᾶς καὶ συγχρωτῶν, ὅταν ἡμεῖς πρότερον τὰ παρ' ἑαυτῶν εἰσενέγκωμεν, οἷον προθυμίαν, ἐλπίδα τὴν εἰς αὐτὸν, εὐχαριστίαν, καρτερίαν, ὑπομονήν. Οὔτε γὰρ μόνον ἐν τοῖς ὑπὲρ δύναμιν κινδύνοις, ἀλλὰ καὶ ἐν αὐτοῖς τοῖς κατὰ δύναμιν τῆς ἄνωθεν δεόμεθα βοηθείας, εἰ μέλλοιμεν ἑστάναι γενναίως· καὶ ἀλλαχοῦ γάρ φησι· *Καθὼς περισσεύει τὰ παθήματα Χριστοῦ εἰς ἡμᾶς, οὕτω διὰ τοῦ Χριστοῦ περισσεύει καὶ ἡ παράκλησις ἡμῶν, εἰς τὸ δύνασθαι ἡμᾶς παρακαλεῖν τοὺς ἐν πάσῃ θλίψει διὰ τῆς παρακλήσεως, ἧς παρακαλούμεθα αὐτοὶ ὑπὸ τοῦ Θεοῦ.* Ὥστε καὶ ὁ τοῦτον παρακαλέσας αὐτός ἐστιν ὁ τὸν πειρασμὸν συγχωρήσας ἐπενεχθῆναι. Ὅρα δὲ καὶ μετὰ τὴν θεραπείαν πόσην κηδεμονίαν ἐπιδείκνυται. Οὐ γὰρ ἀφεὶς αὐτὸν ἀπῆλθεν, ἀλλ' εὑρὼν αὐτὸν ἐν τῷ ἱερῷ φησιν· *Ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται.* Εἰ γὰρ μισῶν συνεχώρησε τὴν κόλασιν, οὐκ ἂν ἀπήλλαξεν, οὐκ ἂν πρὸς τὸ μέλλον ἠσφαλίσατο· τὸ δὲ λέγειν· *Ἵνα μὴ χεῖρόν τί σοι γένηται*, τὰ μέλλοντά ἐστι προαναστέλλοντος δεινά. Ἔλυσε τὴν νόσον, καὶ οὐκ ἔλυσε τὴν ἀγωνίαν· ἀπήλασε τὴν ἀῤῥωστίαν, καὶ οὐκ ἀπήλασε τὸν φόβον, ὥστε ἀκίνητον εἶναι τὴν γενομένην εὐεργεσίαν. Τοῦτο ἰατροῦ κηδεμονικοῦ μὴ τὰ παρόντα λύειν μόνον, ἀλλὰ καὶ πρὸς τὰ μέλλοντα ἀσφαλίζεσθαι, ὅπερ καὶ ὁ Χριστὸς ἐποίησε τῇ μνήμῃ τῶν παρελθόντων συγχρωτῶν ἐκείνου τὴν ψυχήν. Ἐπειδὴ γὰρ ἀπελθόντων τῶν ὀδυνώντων ἡμᾶς, συναπέρχεται καὶ ἡ μνήμη πολλάκις, βουλόμενος αὐτὴν μένειν διηνεκῆ, φησί· *Μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται.*

Γ'. Οὐκ ἀπὸ τούτου δὲ μόνον τὴν πρόνοιαν αὐτοῦ καὶ τὴν ἐπιείκειαν αὐτοῦ ἔστιν ἰδεῖν, ἀλλὰ καὶ ἀπὸ αὐτῆς τῆς δοκούσης εἶναι ἐπιτιμήσεως. Οὐδὲ γὰρ ἐξεπόμπευσεν αὐτοῦ τὰ ἁμαρτήματα, ἀλλ' ὅτι μὲν δι' ἁμαρτήματα ἔπαθεν, ἅπερ ἔπαθεν, εἶπε· τίνα δὲ ἦν τὰ ἁμαρτήματα οὐκ ἐδήλωσεν, οὐδὲ εἶπε, Τὸ καὶ τὸ ἥμαρτες, οὐδὲ, Τὸ καὶ τὸ ἐπλημμέλησας, ἀλλ' ἐνὶ ψιλῷ ῥήματι τοῦτο ἐνδειξάμενος τῷ· *Μηκέτι ἁμάρτανε*, καὶ τοσοῦτον εἰπὼν, ὅσον ἀναμνῆσαι μόνον, σπουδαιότερον αὐτὸν πρὸς τὸ μέλλον εἰργάσατο, καὶ τὴν μὲν ὑπομονὴν αὐτοῦ καὶ τὴν ἀνδρείαν καὶ τὴν φιλοσοφίαν πᾶσαν δήλην ἡμῖν ἐποίησεν εἰς ἀνάγκην αὐτὸν καταστήσας τοῦ πᾶσαν ἐκτραγῳδῆσαι τὴν συμφοράν, καὶ τὴν σπουδὴν ἐπιδειξάμενος τὴν ἑαυτοῦ· *Ἐν ᾧ γὰρ*, φησὶν, *ἐγὼ ἔρχομαι, ἄλλος πρό ἐμοῦ καταβαίνει*· τὰ δὲ ἁμαρτήματα οὐκ ἐξεπόμπευσεν. Ὥσπερ γὰρ ἡμεῖς βουλόμεθα τὰ ἡμέτερα συσκιάζεσθαι, οὕτω καὶ ὁ Θεὸς πολλῷ πλέον ἢ ἡμεῖς· διὰ τοῦτο τὴν μὲν θεραπείαν ἐπὶ πάντων ἐποιήσατο, τὴν δὲ [illegible]ραίνεσιν ἢ τὴν συμβουλὴν κατιδίαν ποιεῖται. Οὐδέποτε γὰρ ἡμῶν ἐκπομπεύει τὰ ἁμαρτήματα, πλὴν εἰ μή ποτε ἴδοι ἀναισθήτως ἔχοντας πρὸς αὐτά. Καὶ γὰρ ὅταν λέγῃ· *Πεινῶντά με εἴδετε, καὶ οὐκ* [37] *ἐθρέψατε· καὶ διψῶντα, καὶ οὐκ ἐποτίσατε*, διὰ τοῦτο λέγει κατὰ τὸν παρόντα καιρὸν, ἵνα μὴ κατὰ τὸν μέλλοντα τούτων ἀκουσώμεθα τῶν ῥημάτων. Ἀπειλεῖ, ἐκπομπεύει ἐνταῦθα, ἵνα μὴ ἐκπομπεύσῃ ἐκεῖ· ὥσπερ οὖν καὶ καταστρέψαι διὰ τοῦτο ἠπείλησε τὴν τῶν Νινευιτῶν πόλιν, ἵνα μὴ καταστρέψῃ. Εἰ γὰρ ἠβούλετο δημοσιεύειν ἡμῶν τὰ ἁμαρτήματα, οὐκ ἂν

προεῖπεν, ὅτι δημοσιεύσει· νῦν δὲ διὰ τοῦτο προλέγει, ἵνα τῷ φόβῳ τῆς δημοσιεύσεως ἐκείνης, εἰ καὶ μὴ τῷ φόβῳ τῆς κολάσεως σωφρονισθέντες, ἀπονιψώμεθα ἅπαντα. Τοῦτο καὶ ἐπὶ τοῦ βαπτίσματος γίνεται· καὶ γὰρ ἄγει πρὸς τὴν κολυμβήθραν τῶν ὑδάτων τὸν ἄνθρωπον, οὐδενὶ δῆλα ποιήσας αὐτοῦ τὰ ἁμαρτήματα, ἀλλὰ τὴν μὲν δωρεὰν πᾶσι καθίστησι φανερὰν, καὶ ποιεῖ δήλην, τὰ δὲ ἁμαρτηματα πλὴν αὐτοῦ καὶ τοῦ τὴν ἄφεσιν λαμβάνοντος οὐδεὶς ἕτερος οἶδε. Τοῦτο καὶ ἐπὶ τούτου γέγονε, καὶ ἁμάρτυρον ποιεῖται τὸν ἔλεγχον, μᾶλλον δὲ οὐκ ἔλεγχος μόνον, ἀλλὰ καὶ ἀπολογία τὸ εἰρημένον ἐστὶν, ὥσπερ ὑπὲρ τῆς τοσαύτης κακώσεως ἀπολογούμενος καὶ λέγων αὐτῷ, καὶ δεικνὺς, ὅτι οὐ μάτην, οὐδὲ εἰκῇ τοσοῦτον αὐτὸν ἐπέτρεψε κακωθῆναι χρόνον, τῶν ἁμαρτημάτων ἀνέμνησεν αὐτὸν, καὶ τὴν αἰτίαν εἶπε τῆς ἀῤῥωστίας. *Εὑρὼν* γὰρ *αὐτὸν*, φησὶν, *ἐν τῷ ἱερῷ, εἶπεν αὐτῷ· Μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται.*

Ἐπεὶ οὖν τοσαῦτα ἐκαρπωσάμεθα ἐκ τοῦ προτέρου παραλύτου, φέρε ἔλθωμεν καὶ ἐφ' ἕτερον κἂν παρὰ τῷ Ματθαίῳ κείμενον. Καὶ γὰρ καὶ ἐν τοῖς μετάλλοις ὅπουπερ ἂν εὕροι τις χρυσίον, πλέον ἐκεῖ διασκάπτει πάλιν· καὶ οἶδα μὲν ὅτι πολλοὶ τῶν ἁπλῶς ἀναγινωσκόντων ἕνα καὶ τὸν αὐτὸν εἶναι νομίζουσι παράλυτον παρὰ τοῖς τέσσαρσιν εὐαγγελισταῖς κείμενον· οὐκ ἔστι δέ. Διὸ χρὴ διαναστῆναι καὶ προσέχειν μετὰ ἀκριβείας. Οὐ γὰρ ὑπὲρ τῶν τυχόντων ἡ ζήτησίς ἐστιν, ἀλλὰ καὶ πρὸς Ἕλληνας, καὶ πρὸς Ἰουδαίους, καὶ πρὸς πολλοὺς τῶν αἱρετικῶν χρήσιμος ὁ λόγος οὗτος ἔσται, τὴν προσήκουσαν λύσιν λαβών. Καὶ γὰρ οὕτω πάντες τοῖς εὐαγγελισταῖς ἐγκαλοῦσιν ὡς μαχομένοις καὶ διαφωνοῦσιν· οὐκ ἔστι δὲ, μὴ γένοιτο, ἀλλ' εἰ καὶ διάφορα τὰ πρόσωπα, μία τοῦ Πνεύματος ἡ χάρις ἐστὶν, ἡ τὴν ἑκάστου κινοῦσα ψυχήν· ὅπου δὲ τοῦ Πνεύματος χάρις, ἀγάπη, χαρὰ, εἰρήνη· πόλεμος καὶ ἀμφισβήτησις οὐκ ἔστι, καὶ μάχη καὶ φιλονεικία τις. Πῶς οὖν ποιήσομεν φανερὸν, ὅτι οὐκ ἔστιν ὁ παράλυτος οὗτος ἐκεῖνος, ἀλλ' ἕτερος παρ' ἐκεῖνον; Ἀπὸ πολλῶν σημείων, καὶ τόπου, καὶ χρόνου, καὶ καιρῶν, καὶ ἡμέρας, καὶ ἀπὸ τοῦ τρόπου τῆς θεραπείας, καὶ ἀπὸ τῆς παρουσίας τοῦ ἰατροῦ, καὶ ἀπὸ τῆς ἐρημίας τοῦ θεραπευθέντος. Καὶ τί τοῦτο; φησί· καὶ γὰρ ἕτερα σημεῖα οὐχὶ διαφόρως ἀπήγγειλαν πολλοὶ τῶν εὐαγγελιστῶν; Ἀλλ' ἕτερόν ἐστι διαφόρως εἰπεῖν, καὶ ἕτερον ἐναντίως· ἐκεῖνο μὲν γὰρ διαφωνίαν οὐ ποιεῖ τινα, οὐδὲ μάχην· τοῦτο δὲ τὸ νῦν προκείμενον ἡμῖν πολλὴν ἔχει τὴν ἐναντίωσιν, εἰ μὴ δειχθείη ἕτερος ὢν ὁ ἐν τῇ κολυμβήθρᾳ παραλυτικὸς παρ' ἐκεῖνον τὸν ἐν τοῖς τρισὶν ἀναγεγραμμένον. Καὶ ἵνα μάθητε τί ποτέ ἐστι διαφόρως, καὶ τί ποτέ ἐστιν ἐναντίως εἰπεῖν, τῶν εὐαγγελιστῶν [38] ὁ μὲν ὅτι ὁ Χριστὸς τὸν σταυρὸν ἐβάσταζεν εἶπεν, ὁ δὲ ὅτι Σίμων ὁ Κυρηναῖος· τοῦτο δὲ ἐναντίωσίν τινα οὐ ποιεῖ, οὐδὲ μάχην. Καὶ πῶς οὐκ ἔστιν ἐναντίον, φησὶ, τὸ βαστάζειν τῷ μὴ βαστάζειν; Ὅτι ἀμφότερα γέγονε. Καὶ ἐξελθόντων μὲν ἐκ τοῦ πραιτωρίου, ὁ Χριστὸς ἐβάσταζε· προϊόντων δὲ, ὁ Σίμων ἔλαβεν ἀπ' αὐτοῦ καὶ ἔφερε. Πάλιν ἐπὶ τῶν λῃστῶν, ὁ μέν φησιν, ὅτι οἱ δύο αὐτὸν ἐβλασφήμουν· ὁ δὲ ὅτι ὁ εἷς ἐπετίμιζε τὸν κατηγοροῦντα. Ἀλλ' οὐδὲ τοῦτο πάλιν ἐναντίον. Διατί; Ὅτι καὶ ἐνταῦθα ἀμφότερα γέγονε καὶ παρὰ μὲν τὴν ἀρχὴν ἀμφότεροι ἦσαν οἱ πονηρευόμενοι· μετὰ δὲ ταῦτα σημείων γενομένων καὶ τῆς γῆς κλονουμένης, καὶ τῶν πετρῶν σχιζομένων, καὶ ἡλίου κρυπτομένου, θάτερος αὐτῶν μετεβλήθη, καὶ σωφρονέστερος γέγονε, καὶ τὸν ἐσταυρωμένον ἐπέγνω, καὶ τὴν βασιλείαν ὡμολόγησε τὴν ἐκείνου. Ἵνα γὰρ μὴ νομίσῃς, ὅτι ἀνάγκῃ τινὶ καὶ βίᾳ τινὸς ἔνδοθεν ὠθοῦντος αὐτὸν τοῦτο γίνεται, μηδὲ διαπορῇς, δείκνυσί σοι καὶ ἐν τῷ σταυρῷ τὴν ποντρίαν αὐτοῦ ἔτι διατηροῦντα τὴν προτέραν, ἵνα εἰδῇς, ὅτι οἴκοθεν καὶ παρ' ἑαυτοῦ μεταβαλόμενος, καὶ τῆς τοῦ Θεοῦ χάριτος ἀπολαύσας, οὕτω βελτίων ἐγένετο.

δ'. Καὶ ἕτερα πολλὰ τοιαῦτα ἔστιν ἐκ τῶν Εὐαγγελίων ἀναλέγεσθαι, ἃ δοκεῖ μὲν ἐναντιώσεως ὑποψίαν ἔχειν, οὐκ ἔστι δὲ ἐναντίωσις, ἀλλὰ καὶ τὰ παρὰ τούτου καὶ τὰ παρ' ἐκείνου εἰρημένα γεγένηται· εἰ δὲ [a] μὴ κατὰ τὴν αὐτὴν ὥραν, καὶ ὁ μὲν πρότερον, ὁ δὲ τὸ δεύτερον εἴρηκεν· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτόν ἐστιν· ἀλλὰ τὸ πλῆθος τῶν εἰρημένων σημείων δείκνυσι καὶ τοῖς ὀπωσοῦν προσέχουσιν, ὅτι ἕτερος μὲν αὐτὸς ἦν, ἕτερος δὲ ἐκεῖνος. Οὐ μικρὰ δὲ καὶ αὕτη γένοιτ' ἂν ἀπόδειξις πρὸς τὸ δεῖξαι τοὺς εὐαγγελιστὰς συμφωνοῦντας ἀλλήλοις, καὶ οὐ μαχομένους. Ἂν μὲν γὰρ αὐτὸς ᾖ, πολλὴ ἡ μάχη· ἂν δὲ ἕτερος ἐκεῖνος, πᾶσα ἀμφισβήτησις λέλυται.

Φέρε οὖν αὐτὰς τὰς αἰτίας εἴπωμεν, δι' ἃς οὐ φαμεν τοῦτον εἶναι ἐκεῖνον. Τίνες οὖν εἰσιν αὗται; Ὁ μὲν ἐν Ἱεροσολύμοις θεραπεύεται, οὗτος δὲ ἐν Καπερναοὺμ, καὶ ὁ μὲν παρὰ τὴν κολυμβήθραν τῶν ὑδάτων, οὗτος δὲ ἐν οἰκίσκῳ τινί· ἰδοὺ ἀπὸ τοῦ τόπου· κἀκεῖνος μὲν ἐν ἑορτῇ· ἰδοὺ ἀπὸ τοῦ καιροῦ· κἀκεῖνος μὲν τριάκοντα καὶ ὀκτὼ ἔτη εἶχεν ἐν τῇ ἀσθενείᾳ· περὶ τούτου δὲ οὐδὲν τοιοῦτον ὁ εὐαγγελιστής· ἰδοὺ καὶ ἀπὸ τοῦ χρόνου· κἀκεῖνος μὲν ἐθεραπεύθη ἐν σαββάτῳ· ἰδοὺ καὶ ἀπὸ ἡμέρας· εἰ γὰρ ἐν σαββάτῳ ἐθεραπεύθη καὶ οὗτος, οὐδ' ἂν τοῦτο παρεσιώπησεν ὁ Ματθαῖος, οὐδ' ἂν ἡσύχασαν οἱ παρόντες Ἰουδαῖοι· οἱ γὰρ καὶ μὴ ἐν σαββάτῳ θεραπευθέντος αὐτοῦ δυσχεράναντες δι' ἄλλην αἰτίαν, πολλῷ μᾶλλον εἰ καὶ τὴν ἀπὸ τοῦ καιροῦ λαβὴν ἔσχον, οὐκ ἂν ἐφείσαντο τῶν ἐγκλημάτων τῶν κατὰ τοῦ Χριστοῦ. Καὶ οὗτος μὲν πρὸς τὸν Χριστὸν φέρεται· πρὸς ἐκεῖνον δὲ αὐτὸς ὁ Χριστὸς παραγίνεται, κἀκείνῳ μὲν οὐδεὶς ἄνθρωπος ἦν ὁ βοηθήσων· *Κύριε* γὰρ, φησὶν, *ἄνθρωπον οὐκ ἔχω*· οὗτος δὲ πολλοὺς εἶχε τοὺς προσήκοντας, οἳ καὶ διὰ τοῦ στέγους αὐτὸν ἐχάλασαν. Κἀκείνου μὲν πρὸ τῆς ψυχῆς τὸ σῶμα διώρθωσε· πρότερον γὰρ αὐτοῦ τὴν [39] παράλυσιν σφίγξας, τότε φησίν· *Ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε*· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ πρότερον αὐτοῦ τὴν ψυχὴν ἰασάμενος (φησὶ γὰρ αὐτῷ· *Θάρσει, τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου*), τότε τὴν παράλυσιν διώρθωσεν. Ὅτι μὲν οὖν οὐκ ἔστιν οὗτος ἐκεῖνος, ἀπὸ τούτων ἡμῖν σαφῶς ἀποδέδεικται, δεῖ δὲ λοιπὸν ἐπὶ τὴν ἀρχὴν τοῦ διηγήματος ἐλθόντας ἰδεῖν, πῶς μὲν τοῦτον, πῶς δὲ ἐκεῖνον ἐθεράπευσεν ὁ Χριστὸς, καὶ διὰ τί διαφόρως· διὰ τί τὸν μὲν ἐν σαββάτῳ, ἐκεῖνον δὲ οὐκ ἐν σαββάτῳ, καὶ πρὸς ἐκεῖνον μὲν αὐτὸς ἦλθε, τοῦτον

[a] Lege εἰ καί, et mox ὁ μὲν τὸ πρότερον. Edit.

jam vero idcireo prædicit, ut publicationis illius metu, si minus supplicii metu castigati, omnia abstergamus. Hoc et in baptismo fit : siquidem ad aquarum lavacrum hominem deducit, nec ulli ejus peccata patefacit: sed donum quidem manifestum omnibus reddit, et notum : peccata vero præter se et ipsum, cui remissio tribuitur, nemo alius novit. Hoc et in isto accidit: reprehensio remotis arbitris adhibetur, imo vero non reprehensio tantum, sed et excusatio quædam est hæc oratio, quasi ob tantam illatam afflictionem se excusaret, eique diceret, et significaret non temere, neque frustra permissum esse, ut ipse tanto tempore affligeretur, peccata in memoriam illi revocavit, et causam aperuit infirmitatis. *Cum* enim, inquit, *invenisset eum in templo, dixit illi : Noli amplius peccare, ne deterius tibi aliquid contingat* (*Joan.* 5. 14).

Transit ad posteriorem Paralyticum ; Evangelistæ non inter se pugnant. Quid sit diversa loqui et contraria. — Quando igitur ex priori paralytico tantum fructum collegimus, age jam ad alterum etiam veniamus, de quo apud Matthæum agitur (*Matth.* 9). Nam et in metallorum fodinis ubi quis plus auri repererit, illic effodit rursus : et multos scimus eorum, qui negligenter legerunt, unum et eumdem esse putare paralyticum, de quo apud quatuor evangelistas agitur. Atqui non est idem. Quamobrem erigite vos, ac diligenter attendite. Neque enim de rebus trivialibus quæstio habetur, sed et adversus gentiles et adversus Judæos, et adversus multos hæreticos utilis hæc erit oratio, ubi conveniens solutio fuerit addita. Nam et ita reprehendunt omnes evangelistas tamquam inter se pugnantes ac dissonantes. Atqui non ita res se habet, absit: licet diversæ personæ sint, una est Spiritus gratia, qua cujusque anima movetur : at ubi Spiritus est gratia, caritas, gaudium, pax; bellum non est, nec discordia, nec pugna, nec ulla contentio. Quo tandem igitur pacto manifestum reddemus hunc non esse illum paralyticum, sed alterum ab illo diversum? Ex multis indiciis cum loci tum temporis, et occasionum, et diei, et ex modo curationis, et ab adventu medici, et ejus qui curatus est solitudine. Quid tum postea? dicet aliquis : nam et alia signa nonne diversa ratione multi evangelistæ narrarunt? At enim aliud est diverse narrare, aliud contrario modo : siquidem illud dissonantiam nullam gignit aut pugnam : in hoc vero quod est præ manibus, multa apparet repugnantia, nisi alterum esse ostendatur in piscina paralyticum, quam is, de quo tres evangelistæ scripserunt. Atque ut intelligatis quid sit diverse et quid contrarie loqui : unus ex evangelistis dixit crucem portasse Christum, alter autem Simonem Cyrenæum : hoc vero contrarietatem nullam gignit, aut pugnam. Qui potest, inquit, non esse contrarium, portare et non portare? Quia nimirum utrumque accidit. Et cum exiissent quidem ex prætorio, portavit Christus : cum autem longius progressi essent, Simon ab illo accepit et tulit. Rursus de latronibus unus quidem ait duos ipsum blasphemasse, alter vero, unum compescuisse illum qui accusabat. Sed neque hoc rursus est contrarium. Quid ita? Quoniam hic quoque utrumque accidit, atque initio quidem uterque improbe se gerebat: postea vero cum facta essent miracula, terra mota, petræ scissæ, et sol absconditus, alter eorum conversus et modestior est factus, et crucifixum agnovit, ejusque regnum confessus est. Nam ne forte existimares necessitate quadam ac vi cujusdam intus eum impellentis hoc fieri, neve dubitares, illum in cruce tibi exhibet priorem adhuc improbitatem retinentem, ut agnoscas eum sponte atque a se ipso mutatum, Deique gratia donatum ita meliorem evasisse.

4. Alia quoque multa ejusmodi ex Evangeliis colligere licet, quæ videntur suspicionem habere repugnantiæ : sed nulla tamen est repugnantia, sed et quæ ab hoc, et quæ ab illo dicta sunt, evenerunt : tametsi non eadem hora, et unus primum illud dixit, alter illud secundum : at hoc loco nihil est tale, sed eorum indiciorum multitudo, quæ notata sunt, iis, qui utcumque animum adverterint, ostendit alterum hunc fuisse, et alterum illum. Neque vero mediocris ista esse potest demonstratio ad probandum evangelistas inter se consentire, non pugnare. Si enim idem sit, magna pugna : sin autem alter est ille, sublata est omnis dubitatio.

Quibus distinguantur duo Paralytici; incisiones et ustiones medicorum comparantur cum curatione ista. — Age igitur causas ipsas proponamus, quibus adducti dicimus hunc illum non esse. Quænam illæ porro sunt? Ille sanatur Jerosolymis, hic vero in Capharnaum, et ille quidem juxta piscinam aquarum, iste autem in quodam cubiculo, ecce indicium a loco : atque ille quidem in die festo, ecce a temporis conditione : et ille quidem triginta et octo annos habebat in infirmitate sua ; de hoc autem nihil tale evangelista narrat, ecce a tempore : et ille quidem in sabbato sanatus est, ecce a die : si enim in sabbato fuisset hic quoque sanatus, neque id tacuisset Matthæus, neque Judæi qui aderant, quievissent : qui enim etiam tum cum ille in sabbato sanatus non est, aliam ob causam indignati sunt, multo magis si a tempore data esset ansa reprehendendi, nequaquam jactandis in Christum criminationibus pepercissent. Atque hic quidem ad Christum defertur, ad illum autem Christus accedit, et illi nullus erat homo qui suppetias ferret : *Domine*, enim, inquit, *hominem non habeo* (*Joan.* 5. 7) : iste vero multos habebat propinquos, qui et per tectum illum demiserunt. Et illius quidem ante animam corpus correxit : siquidem cum prius paralysim ejus sanasset, deinde dixit, *Ecce sanus factus es, noli amplius peccare* : hic autem non ita : sed cum prius animæ illius medicatus esset; ait enim ipsi : *Confide, fili, remittuntur tibi peccata tua* (*Matth.* 9. 2), tum deinde paralysim sanavit. Hunc igitur illum non esse clare nobis ex his est demonstratum : jam autem ad ipsum narrationis initium veniendum est, ac videndum, quo pacto hunc et quo pacto illum sanarit Christus, et cur diversa ratione : cur hunc in sabbato, illum non in sabbato, et ad illum ipse venerit, hunc

autem exspectaverit ad se deferri, et quam ob causam illius corpori prius, hujus vero animæ prius medeatur. Neque enim temere aut sine causa ista facit, cum sapiens sit et providus. Attendamus igitur, eumque medentem contemplemur. Si enim cum medici quemdam secant, uruntve, aut alio quodam modo mutilatum et debilitatum incidunt, ac membrum amputant, multi tam ægrum quam medicum circumstant ista facientem, multo magis nos hoc loco id agere oportet, quanto et medicus major, et gravior morbus est, qui non arte humana, sed gratia divina curatur. Atque illic quidem pellem concisam cernere licet, saniem defluentem, putredinem evacuatam, ac multam molestiam ex illo allatam spectaculo sustinere, doloremque non mediocrem et angorem, quem non modo vulnerum conspectus, sed eorum etiam, qui uruntur secanturque, cruciatus inurit : nullus enim est adeo saxeus, ut cum illis, qui talia patiuntur, adstiterit, ac lamentantes audiverit, non commoveatur, confundatur, et ingentem animo concipiat mœrorem : verumtamen ob spectandi cupiditatem hæc omnia sustinemus. Hic autem nihil tale cernere licet, non ignem admoveri, non ferrum immergi, non sanguinem fundi, non ægrum cruciari, non lamentari : in causa vero est medici sapientia, quæ nullis indiget rebus externis, sed ipsa sufficit sibi. Siquidem sufficit tantum ut imperet, et omnia mala pelluntur. Neque vero admiratione dignum hoc est, quod tanta facilitate medicinam faciat, sed quod sine dolore, nec ullam molestiam afferat iis qui curantur. Quando igitur et miraculum majus et copiosior medicina, et ab omni tristitia immunis spectatoribus voluptas offertur, age diligenter curantem Christum spectemus. *Et ascendens* Jesus *in naviculam transfretavit, et venit in civitatem suam. Et ecce obtulerunt illi paralyticum jacentem in lecto : et videns Jesus fidem illorum dixit paralytico : Confide, fili, remittuntur tibi peccata tua* (*Matth.* 9. 1. 2). Centurione quidem inferiores sunt, quoad fidem, illo autem in piscina jacente paralytico superiores. Nam ille quidem neque medicum traxit, neque ad medicum duxit ægrotum ; sed tamquam ad Deum accessit, et ait : *Dic verbo tantum, et sanabitur puer meus* (*Luc.* 7. 7). Isti vero medicum in ædes non traxerunt, et in hoc centurioni sunt æquales ; sed ægrum attulerunt ad medicum, et in hoc sunt minores, quod non dixerint, *Dic verbo tantum.* Illo quidem certe qui ad piscinam jacebat multo sunt isti meliores, siquidem ille dicit, *Domine, hominem non habeo, ut cum turbata fuerit aqua, mittat me in piscinam* (*Joan.* 5. 7) : isti vero nihilo indigere Christum sciebant, non aquis, non piscina, non alia re quapiam : attamen Christus non centurionis tantum puerum, sed et hunc et illum morbo liberavit; neque dixit : Quandoquidem fidem obtulisti minorem, curationem pariter accipies : sed cum majorem exhibuisset, cum laudibus et coronis eum dimisit, dicens : *Neque in Israel tantam fidem inveni* (*Luc* 7. 9). Eum vero, qui minorem quam ille fidem obtulerat, nullo modo laudavit : non tamen sanitate privavit, sed nec illum, qui nullam fidem exhibuerat. Verum quemadmodum medici cum eumdem morbum curent, a quibusdam centum aureos accipiunt, ab aliis quinquaginta, ab aliis pauciores, a quibusdam nihil penitus : sic nimirum et Christus a centurione quidem multam et immensam fidem accepit, ab hoc autem minorem, ab illo vero nequidem mediocrem, et tamen omnes sanavit. Cur igitur hunc quoque qui nihil contulerat, beneficio dignatus est? Quod non præ nimia negligentia, nec ob animæ stuporem, sed quod Christum minime nosset, nullumque parvum aut magnum de illo miraculum audiisset, fidem non exhibuerit. Idcirco ergo veniam obtinuit : quod et obscure indicans evangelista dixit : *Nesciebat enim quis esset* (*Joan.* 5. 13), verum ex aspectu solo illum agnovit, cum in ipsum iterum incidit.

5. Quidam igitur dicunt hunc curatum fuisse, cum illi, qui obtulerant, credidissent tantum : sed non ita est. *Videns* enim *fidem illorum*, non eorum qui obtulerunt tantum, sed et ipsius qui oblatus est. Quid igitur? altero credente alter non sanatur ? dicet aliquis. Non equidem arbitror, nisi forte si vel propter ætatis immaturitatem, vel ob nimiam infirmitatem destitutus viribus credere nequeat. Quomodo igitur in historia Chananææ, inquit, credidit quidem mater, filia vero sanata est ? et cum centurio fuisset incredulus, quomodo puer surrexit, et salvus evasit ? Quod nimirum credere minime possent ægroti. Audi sane quid Chananæa dicit : *Filia mea male a dæmonio vexatur, et nunc quidem cadit in aquam, nunc autem in ignem* (*a*) (*Matth.* 15. 22) : illa vero vertigine laborans, et a dæmone correpta, quæque numquam mentis suæ compos esse poterat, neque sana esse, quo pacto credere potuisset?

Fidem ostendit Paralytici. — Ut igitur apud Chananæam, sic et apud centurionem ; in ædibus jacebat puer, qui nec ipse noverat Christum, neque quis tandem esset, qui potuisset igitur ei quem non noverat credere, et cujus periculum nullum fecerat? At enim de hoc dicere istud non licet : siquidem credidit paralyticus. Unde id constat? Ex ipso modo, quo adductus est. Neque enim illud oscitanter audias, quod demiserunt eum per tectum : sed cum animo tuo reputa, quantum sit ægrotum id pati contentum esse. Probe siquidem nostis adeo pusillanimes ac morosos ægros esse, ut ministeria quæ jacentibus in lecto deferuntur, sæpenumero adversentur, malintque morborum dolores perferre, quam molestias eorum qui adjuvant sustinere. Iste vero et ex ædibus egredi contentus erat, et per forum ingredi, cum gestaretur, seque tot præsentibus hominibus ostendere. Est hoc etiam in more positum ægrotorum, [ut non facile velint ullum suæ ægritudinis esse testem] : sic ut multi maluerint oppressi morbis interire, quam calamitates suas detegere. At non ita æger iste, verum cum repletum videret theatrum, aditus interclusos, portum obseptum, per tectum demitti contentus fuit. Adeo solers est amor, et locuples caritas. Nam qui quærit,

(*a*) Hic quædam adjiciuntur ex Matth. 17. 14.

δὲ ἀνέμεινε πρὸς αὐτὸν κομισθῆναι, καὶ διὰ τί ἐκείνου μὲν τὸ σῶμα πρότερον, τούτου δὲ τὴν ψυχὴν πρότερον ἴαται. Οὐ γὰρ ἁπλῶς οὐδὲ εἰκῇ ταῦτα ποιεῖ, σοφὸς ὢν καὶ προνοητικός. Προσέχωμεν τοίνυν, καὶ ἴδωμεν αὐτὸν θεραπεύοντα. Εἰ γὰρ ἐπὶ τῶν ἰατρῶν, ἐπειδὰν τέμνωσιν, ἢ καίωσιν, ἢ καὶ ἄλλῳ τρόπῳ πεπηρωμένον καὶ ἐξησθενηκότα ἀνατέμνωνται, καὶ κατατέμνωσι μέλος, πολλοὶ περιστοιχίζονται τόν τε ἄῤῥωστον καὶ τὸν ταῦτα ποιοῦντα ἰατρὸν, πολλῷ μᾶλλον ἡμᾶς ἐνταῦθα τοῦτο ποιεῖν χρὴ, ὅσῳ καὶ ἰατρὸς μείζων, καὶ τὸ νόσημα χαλεπώτερον, οὐκ ἀνθρωπίνῃ τέχνῃ, ἀλλὰ θείᾳ κατορθούμενον χάριτι. Κἀκεῖ μὲν καὶ δέρμα ἔστιν ἰδεῖν τεμνόμενον, καὶ ἰχῶρα ῥέοντα, καὶ σηπεδόνα κινουμένην, καὶ πολλὴν ἀηδίαν ἀπὸ τῆς θεωρίας ἐγγινομένην ὑπομεῖναι, καὶ πολλὴν ὀδύνην καὶ λύπην, οὐκ ἀπὸ τῆς ὄψεως τῶν τραυμάτων μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς ἀλγηδόνος τῶν καιομένων καὶ τῶν τεμνομένων· οὐδεὶς γὰρ οὕτω λίθινος, ὡς παρεστὼς τοῖς ταῦτα πάσχουσι, καὶ ἀκούων ὀλολυζόντων, οὐχὶ κατακλᾶται, καὶ συγχεῖται, καὶ πολλὴν τῇ ψυχῇ δέχεται τὴν ἀθυμίαν· ἀλλ' ὅμως διὰ τὴν ἐπιθυμίαν τῆς θεωρίας ταῦτα πάντα ὑπομένομεν. Ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον ἔστιν ἰδεῖν, οὐ πῦρ προσαγόμενον, οὐ σίδηρον βαπτιζόμενον, οὐχ αἷμα ῥέον, οὐ τὸν κάμνοντα ὀδυνώμενον, οὐκ ὀλολύζοντα· τὸ δὲ αἴτιον, ἡ σοφία τοῦ ἰατρεύοντος, οὐδενὸς δεομένη τούτων τῶν ἔξωθεν, ἀλλ' αὐτὴ ἑαυτῇ αὐτάρκης οὖσα. Ἀρκεῖ γὰρ ἐπιτάξαι μόνον, καὶ πάντα λύεται τὰ δεινά. Οὐ τοῦτο δέ ἐστι τὸ θαυμαζόμενον, ὅτι μετ' εὐκολίας τοσαύτης ποιεῖται τὴν ἰατρείαν, ἀλλ' ὅτι καὶ ἀνωδύνως, οὐδένα πόνον ἐπάγων τοῖς θεραπευομένοις. Ἐπεὶ οὖν καὶ μεῖζον τὸ θαῦμα, καὶ πλείων ἡ θεραπεία, καὶ καθαρὰ πάσης ἀθυμίας ἡ ἡδονὴ τοῖς θεωμένοις, φέρε μετὰ ἀκριβείας θεασώμεθα θεραπεύοντα τὸν Χριστόν. *Καὶ ἐμβὰς εἰς πλοῖον διεπέρασε, καὶ ἦλθεν εἰς ἰδίαν πόλιν, καὶ ἰδοὺ προσήνεγκαν αὐτῷ παραλυτικὸν ἐπὶ κλίνης βεβλημένον, καὶ ἰδὼν ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν εἶπε τῷ παραλυτικῷ· Θάρσει, τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου.* Τοῦ μὲν ἑκατοντάρχου ἐλάττους εἰσὶ κατὰ τὴν πίστιν, τοῦ δὲ ἐν τῇ κολυμβήθρᾳ μείζους. Ἐκεῖνος μὲν γὰρ οὔτε τὸν ἰατρὸν εἵλκυσεν, οὔτε τὸν ἄῤῥωστον πρὸς τὸν ἰατρὸν ἤγαγεν· ἀλλ' ὡς Θεῷ προσῆλθε, καί φησιν· *Εἰπὲ λόγῳ μόνον, καὶ ἰαθήσεται ὁ παῖς μου.* Οὗτοι δὲ τὸν μὲν ἰατρὸν εἰς τὴν οἰκίαν οὐχ εἵλκυσαν, καὶ κατὰ τοῦτό εἰσιν ἴσοι τῷ ἑκατοντάρχῃ· τὸν δὲ ἄῤῥωστον πρὸς τὸν ἰατρὸν ἐκόμισαν, καὶ κατὰ τοῦτό εἰσιν ἐλάττους, ὅτι οὐκ εἶπον, *Εἰπὲ λόγῳ μόνον.* Τοῦ μέντοι κειμένου πολὺ βελτίους οὗτοι. Ἐκεῖνος μὲν [40] γὰρ λέγει· *Κύριε, ἄνθρωπον οὐκ ἔχω, ἵνα, ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ με εἰς τὴν κολυμβήθραν·* οὗτοι δὲ ἤδεισαν, ὅτι οὐδὲν δεῖ τῷ Χριστῷ, οὐχ ὑδάτων, οὐ κολυμβήθρας, οὐκ ἄλλου τοιούτου τινός· ἀλλ' ὅμως ὁ Χριστὸς οὐχὶ τὸν τοῦ ἑκατοντάρχου μόνον, ἀλλὰ καὶ τοῦτον κἀκεῖνον τῶν νοσημάτων ἀπήλλαξε, καὶ οὐκ εἶπεν· Ἐπειδὴ πίστιν ἐλάττονα προσήνεγκας, καὶ τὴν θεραπείαν ὠσαύτως λήψῃ· ἀλλὰ τὸν μείζονα ἐπιδειξάμενον μετ' ἐγκωμίων καὶ στεφάνων ἀπέπεμψεν εἰπών· *Οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον.* Τὸν δὲ ἐλάττονα προσενεγκάμενον ἐκείνου οὐκ ἐπῄνεσεν οὐδὲν, οὐ μὴν τῆς ὑγείας ἀπεστέρησεν, ἀλλ' οὐδὲ ἐκεῖνον τὸν οὐδεμίαν ἐπιδειξάμενον πίστιν. Ἀλλὰ καθάπερ ἰατροὶ τὸ αὐτὸ νόσημα θεραπεύοντες παρὰ μὲν τῶν ἑκατὸν χρυσίνους ἔλαβον, παρὰ δὲ τῶν ἡμίσεις, παρὰ τῶν ἐλάσσους, παρ' ἐνίων δὲ οὐδὲν ὅλως· οὕτω δὴ καὶ ὁ Χριστὸς, παρὰ μὲν τοῦ ἑκατοντάρχου πολλὴν καὶ ἄφατον ἐδέξατο πίστιν, παρὰ δὲ τούτου ἐλάττονα, παρ' ἐκείνου δὲ οὐδὲ τὴν τυχοῦσαν, καὶ ὅμως ἅπαντας ἐθεράπευσε. Τίνος οὖν ἕνεκεν καὶ τὸν οὐδὲν καταβαλόντα τῆς εὐεργεσίας ἠξίωσεν; Ὅτι οὐδὲ παρὰ ῥᾳθυμίαν, οὐδὲ παρὰ ἀναισθησίαν ψυχῆς, ἀλλὰ παρὰ τὸ ἀγνοεῖν τὸν Χριστὸν καὶ μηδὲν μηδέποτε μήτε μικρὸν μήτε μέγα ἀκηκοέναι περὶ αὐτοῦ θαῦμα, τὴν πίστιν οὐκ ἐπεδείξατο. Διὰ τοῦτο οὖν καὶ συγγνώμης ἀπήλαυσεν· ὅπερ οὖν καὶ ὁ εὐαγγελιστὴς αἰνιττόμενος ἔλεγεν· *Οὐδὲ γὰρ ᾔδει, ὅστις ποτὲ ἦν, ἀλλ' ἐξ ὄψεως αὐτὸν μόνης ἐπέγνω, ὅτε ἐκ δευτέρου συνέτυχεν.*

ε'. Τινὲς μὲν οὖν φασιν, ὅτι τῶν προσενεγκάντων πιστευσάντων μόνον, οὗτος ἐθεραπεύετο· ἀλλ' οὐκ ἔστι τοῦτο. *Ἰδὼν γὰρ τὴν πίστιν αὐτῶν*, οὐχὶ τῶν προσενεγκάντων μόνον, ἀλλὰ καὶ τοῦ προσενεχθέντος. Τί οὖν; ἑτέρου πιστεύσαντος ἕτερος οὐ θεραπεύεται; φησίν. Οὐκ ἔγωγε οἶμαι, πλὴν εἰ μή τι ἢ διὰ ἡλικίας ἄωρον, ἢ διὰ ὑπερβάλλουσαν ἀσθένειαν ἀδυνάτως ἔχει πρὸς τὸ πιστεῦσαι. Πῶς οὖν ἐπὶ τῆς Χαναναίας, φησὶν, ἐπίστευσε μὲν ἡ μήτηρ, ἐθεραπεύετο δὲ ἡ θυγάτηρ; καὶ τοῦ ἑκατοντάρχου δὲ ἀπιστήσαντος πῶς ὁ παῖς ἀνίστατο, καὶ διεσώζετο; Ὅτι οὐκ ἠδύναντο πιστεύειν οἱ νοσοῦντες. Ἄκουσον οὖν τί φησιν ἡ Χαναναία· *Ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται, καὶ ποτὲ μὲν πίπτει εἰς τὸ ὕδωρ, ποτὲ δὲ εἰς τὸ πῦρ·* ἡ δὲ σκοτουμένη καὶ δαιμωνῶσα, καὶ μηδὲ ἐν ἑαυτῇ δυναμένη γενέσθαι ποτὲ, μηδὲ ὑγιαίνουσα, πῶς ἂν ἠδυνήθη πιστεῦσαι;

Ὡς οὖν ἐπὶ τῆς Χαναναίας, οὕτω καὶ ἐπὶ τοῦ ἑκατοντάρχου· ἐν τῇ οἰκίᾳ ἐβέβλητο ὁ παῖς, οὐδὲ αὐτὸς εἰδὼς τὸν Χριστὸν, οὐδὲ ὅστις ποτὲ ἦν, πῶς οὖν ἤμελλε τῷ ἀγνοουμένῳ πιστεύειν, καὶ οὗ μηδεμίαν οὐδέπω πεῖραν εἰλήφει; Ἀλλ' οὐκ ἐπὶ τούτου ἔστι τοῦτο εἰπεῖν· ἀλλ' ἐπίστευσεν ὁ παράλυτος. Πόθεν τοῦτο δῆλον; Ἀπ' αὐτοῦ τοῦ τρόπου τῆς προσαγωγῆς. Μὴ γὰρ δὴ ἁπλῶς ἀκούσῃς, ὅτι καθῆκαν αὐτὸν διὰ τοῦ στέγους· ἀλλ' ἐννόησον, ὅσον ἐστὶν ἄῤῥωστοῦντα τοῦτο παθεῖν ἀνέχεσθαι. Ἴστε γὰρ δήπου [41] τοῦτο, ὅτι οὕτω μικρόψυχοι καὶ δυσάρεστοι νοσοῦντές εἰσιν, ὡς καὶ τὰς ἐπὶ κλίνης θεραπείας διακρούεσθαι πολλάκις, καὶ αἱρεῖσθαι τὰς ἀπὸ τῶν νοσημάτων φέρειν ὀδύνας, ἢ τὴν ἀπὸ τῶν βοηθημάτων ὑπομένειν ἐπάχθειαν. Οὗτος δὲ καὶ τῆς οἰκίας προελθεῖν ἠνέσχετο, καὶ εἰς ἀγορὰν ἐμβαλεῖν βασταζόμενος, καὶ τοσούτων παρόντων ἑαυτὸν ἐπιδεῖξαι. Καὶ τοῦτο δὲ ἔθος τοῖς ἄῤῥωστοῦσιν ἐναποθανεῖν, ἢ τὰς οἰκείας ἐκκαλύψαι συμφοράς. Ἀλλ' οὐχ ὁ ἄῤῥωστος οὗτος οὕτως, ἀλλ' ἰδὼν τὸ θέατρον πεπληρωμένον, τὰς εἰσόδους ἀποτετειχισμένας, τὸν λιμένα ἀποκεχλεισμένον, διὰ τοῦ στέγους ἠνέσχετο χαλασθῆναι. Οὕτως εὐμήχανον ὁ πόθος, καὶ εὔπορον ἡ ἀγάπη. Καὶ γὰρ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται. Οὐκ εἶπε πρὸς τοὺς προσήκοντας αὐτῷ· Τί ποτε

τοῦτό ἐστιν; τί θορυβεῖσθε; τί δὲ ὑπειγεσθε; Ἀναστχώμεθα κενωθῆναι τὸ δωμάτιον, διαλυθῆναι τὸ θέατρον· ἀναχωρήσουσιν οἱ συνειλεγμένοι, δυνησόμεθα κατιδίαν αὐτῷ προσελθεῖν, καὶ περὶ τούτων ἀνακοινώσασθαι. Τί δεῖ πάντων ὁρώντων εἰς μέσον προτεθῆναι τὰς ἐμὰς συμφορὰς, καὶ ἄνωθεν χαλᾶσθαι. καὶ ἀσχημονεῖν; Τούτων οὐδὲν ἐκεῖνος οὔτε πρὸς ἑαυτὸν, οὔτε πρὸς τοὺς κομίζοντας εἶπεν, ἀλλὰ κόσμον εἶναι ἐνόμιζε τὸ μάρτυρας τοσούτους ποιήσασθαι τῆς ἑαυτοῦ θεραπείας. Οὐκ ἀπὸ τούτου δὲ μόνον αὐτοῦ τὴν πίστιν ἦν ἰδεῖν, ἀλλὰ καὶ ἀπ' αὐτῶν τῶν τοῦ Χριστοῦ ῥημάτων. Ἐπειδὴ γὰρ ἐχαλάσθη καὶ προσηνέχθη, φησὶν αὐτῷ ὁ Χριστός· *Θάρσει, τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι.* Καὶ ταῦτα ἀκούσας οὐκ ἠγανάκτησεν, οὐκ ἐδυσχέρανεν, οὐκ εἶπε πρὸς τὸν ἰατρόν· Τί ποτε τοῦτό ἐστιν; ἕτερον ἦλθον θεραπευθῆναι πάθος, καὶ ἕτερον αὐτὸς θεραπεύει; Σκῆψις ταῦτα καὶ πρόφασις, καὶ ἀσθενείας προκαλύμματα. Ἁμαρτίας ἀφίεις τὰς οὐχ ὁρωμένας; Οὐδὲν τούτων οὐκ εἶπεν, οὐκ ἐνενόησεν· ἀλλ' ἀνέμενεν ἐπιτρέπων τὸν ἰατρὸν ὁδῷ χρήσασθαι θεραπείας, ἥσπερ ἐβούλετο. Διὰ τοῦτο καὶ ὁ Χριστὸς οὐκ ἀπῆλθε πρὸς αὐτὸν, ἀλλ' ἀνέμεινεν αὐτὸν ἐλθεῖν, ἵνα ἐπιδείξῃ αὐτοῦ τὴν πίστιν πᾶσι. Μὴ γὰρ οὐκ ἠδύνατο τὴν εἴσοδον ποιῆσαι εὔκολον; Ἀλλ' οὐδὲν τούτων ἐποίησεν, ἵνα πᾶσιν αὐτοῦ τὴν σπουδὴν ἐπιδείξῃ, καὶ τὴν ζέουσαν πίστιν. Καθάπερ γὰρ πρὸς ἐκεῖνον τὸν τριάκοντα ὀκτὼ ἔτη ἔχοντα ἀπῆει διὰ τὸ μηδένα αὐτῷ παρεῖναι· οὕτω τοῦτον, ἐπειδὴ πολλοὺς εἶχε τοὺς προσήκοντας, ἀνέμεινεν ἐλθεῖν πρὸς αὐτὸν, ἵνα καὶ τούτου τὴν πίστιν ποιήσῃ δῆλην διὰ τοῦ προσενεχθῆναι, κἀκείνου τὴν ἐρημίαν ἡμᾶς διδάξῃ διὰ τοῦ πρὸς αὐτὸν ἀπελθεῖν, καὶ τούτου τὴν σπουδὴν κἀκείνου τὴν ὑπομονὴν ἐκκαλύψῃ πᾶσι, καὶ μάλιστα τοῖς τότε παροῦσιν. Ἐπειδὴ γὰρ εἰώθασιν Ἰουδαῖοι βάσκανοί τινες καὶ μισάνθρωποι ταῖς τῶν πλησίον εὐεργεσίαις φθονεῖν, καὶ νῦν ἀπὸ τοῦ καιροῦ τοῖς θαύμασιν ἐπισκήπτειν λέγοντες, ὅτι ἐν σαββάτῳ θεραπεύει, νῦν δὲ ἀπὸ τοῦ βίου τῶν εὐεργετουμένων λέγοντες· *Εἰ ἦν προφήτης οὗτος, ἤδει τίς ἦν ἡ γυνὴ ἡ ἁπτομένη αὐτοῦ·* οὐκ εἰδότες, ὅτι ἰατροῦ μάλιστα τοῦτό ἐστι τὸ τοῖς ἀῤῥώστοις ἀναμίγνυσθαι, καὶ παρὰ τοὺς νοσοῦντας ἀεὶ φαίνεσθαι, ἀλλὰ μὴ φυγεῖν αὐτοὺς μηδὲ ἀποπηδᾷν. Ὅπερ οὖν καὶ πρὸς ἐκείνους [42] ἀποτεινόμενος ἔλεγεν· *Οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες.* Ἵνα οὖν μὴ τὰ αὐτὰ πάλιν ἐγκαλῶσι, πρότερον δείκνυσιν ὡς ἄξιοι τῆς θεραπείας εἰσὶν οἱ προτιόντες διὰ τὴν πίστιν, ἣν ἐκδείκνυνται. Διὰ τοῦτο κἀκείνου τὴν ἐρημίαν, καὶ τούτου τὴν ζέουσαν πίστιν καὶ προθυμίαν ἔδειξε· διὰ τοῦτο ἐκεῖνον μὲν ἐν σαββάτῳ ἐθεράπευσε, τοῦτον δὲ οὐκ ἐν σαββάτῳ· ἵν', ὅταν ἴδῃς καὶ ἐν ἑτέρᾳ ἡμέρᾳ ἐγκαλοῦντας καὶ ἐπιτιμῶντας τῷ Χριστῷ, μάθῃς, ὅτι καὶ τότε οὐ διὰ τὴν τοῦ νόμου παρατήρησιν ἐνεκάλουν, ἀλλὰ τὴν οἰκείαν βασκανίαν φέρειν οὐκ ἔχοντες. Διὰ τί δὲ οὐκ ἐπὶ τὸ τὴν παράλυσιν ὀρθῶσαι πρότερον ἦλθεν, ἀλλά φησι· *Θάρσει, τέκνον, ἀφέωνταί σου αἱ ἁμαρτίαι;* Καὶ τοῦτο σφόδρα σοφῶς. Καὶ γὰρ τοῖς ἰατροῖς ἔθος ἐστὶ μὴ πρότερον τὰ νοσήματα λύειν, ἀλλὰ τὰς πηγὰς αὐτῶν ἀναιρεῖν. Οἷον πολλάκις ὑπὸ πονηροῦ χυμοῦ καὶ διεφθαρμένου ῥεύματος ἐνοχλουμένων ὀφθαλμῶν, ἀφεὶς ὁ ἰατρὸς τὴν νοσοῦσαν θεραπεῦσαι κόρην, τῆς κεφαλῆς ἐπεμελήσατο, ἔνθα ἡ ῥίζα καὶ ἡ πηγὴ τῆς ἀῤῥωστίας ἦν· οὕτω καὶ ὁ Χριστὸς ἐποίησε, τὴν πηγὴν ἀναστέλλει τῶν κακῶν πρότερον. Πηγὴ γὰρ κακῶν καὶ ῥίζα καὶ μήτηρ πάντων ἐστὶ τῆς ἁμαρτίας ἡ φύσις. Αὕτη τὰ σώματα ἡμῶν παραλύει· αὕτη τὰς νόσους ἐπάγει· διὰ τοῦτο καὶ ἐνταῦθά φησι *Θάρσει, τέκνον, ἀφέωνταί σου αἱ ἁμαρτίαι·* κἀκεῖ φησιν· *Ἰδοὺ ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται,* δηλῶν ἀμφοτέροις, ὅτι ἐξ ἁμαρτημάτων ἐτέχθησαν αὗται αἱ νόσοι. Καὶ ἐν ἀρχῇ καὶ ἐν προοιμίοις τῆς κτίσεως ἐξ ἁμαρτίας ἡ νόσος εἰς τὸ τοῦ Κάϊν κατέσκηψε σῶμα. Καὶ γὰρ ἐκεῖνος μετὰ τὴν ἀδελφοκτονίαν, μετὰ τὴν παρανομίαν ἐκείνην, τότε παρελύθη τὸ σῶμα. Τὸ γὰρ τρέμειν οὐδὲν ἕτερόν ἐστιν ἢ παράλυσις. Καὶ γὰρ ὅταν ἡ τὸ ζῶον οἰκονομοῦσα δύναμις ἀσθενεστέρα γένηται, οὐκέτι δυναμένη πάντα διαβαστάζειν τὰ μέλη, ἀφίησιν αὐτὰ τῆς οἰκείας προνοίας, εἶτα χαλασθέντα ἐκεῖνα τρέμει καὶ περιφέρεται.

ς'. Τοῦτο καὶ Παῦλος ἐδήλωσεν· ἁμαρτίαν γάρ τινα Κορινθίοις ἐγκαλῶν φησι· *Διὰ τοῦτο πολλοὶ ἐν ὑμῖν ἀσθενεῖς καὶ ἄῤῥωστοι·* διὰ τοῦτο καὶ ὁ Χριστὸς πρότερον τὴν αἰτίαν ἀναιρεῖ τῶν κακῶν, καὶ εἰπών, *Θάρσει, τέκνον, ἀφέωνταί σου αἱ ἁμαρτίαι,* ἀνίστησιν αὐτοῦ τὸ φρόνημα, διεγείρει καταβεβλημένην τὴν ψυχήν· ὁ γὰρ λόγος ἔργον ἐγίνετο, καὶ εἰς τὸ συνειδὸς εἰσελθὼν αὐτῆς ἥπτετο τῆς ψυχῆς, καὶ πᾶσαν ἀγωνίαν ἐξέβαλεν. Οὐδὲν γὰρ οὕτως ἡδονὴν ποιεῖ, καὶ παρέχει θαῤῥεῖν ὡς τὸ μηδὲν ἑαυτοῦ κατηγορεῖν. *Θάρσει, τέκνον, ἀφέωνταί σου αἱ ἁμαρτίαι.* Ὅπου γὰρ ἁμαρτημάτων ἄφεσις, ἐκεῖ υἱοθεσία. Οὕτω γοῦν καὶ ἡμεῖς οὐ πρότερον δυνάμεθα καλέσαι Πατέρα, ἕως ἐν τῇ κολυμβήθρᾳ τῶν ὑδάτων τῶν ἁγίων ἀπονιψώμεθα τὰ ἁμαρτήματα. Ὅταν γοῦν ἐκεῖθεν ἀνέλθωμεν τὸ πονηρὸν ἐκεῖνο φορτίον ἀποθέμενοι, τότε λέγομεν, *Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς.* Ἀλλὰ τίνος ἕνεκεν ἐπὶ τοῦ τριάκοντα ὀκτὼ ἔχοντος οὐχ οὕτως ἐποίησεν, ἀλλὰ τὸ σῶμα αὐτοῦ [43] διώρθωσε πρότερον; Ὅτι ἐκείνῳ μὲν τῷ μήκει τοῦ χρόνου τὰ ἁμαρτήματα δεδαπάντητο· δύναται γὰρ πειρασμοῦ μέγεθος τὸ τῶν ἁμαρτημάτων φορτίον κοῦφον ποιεῖν· ὥσπερ οὖν καὶ ἐπὶ τοῦ Λαζάρου φησὶν, ὅτι ἀπέλαβε τὰ κακὰ αὐτοῦ, καὶ ἐνταῦθα παρακαλεῖται· καὶ πάλιν ἀλλαχοῦ φησι· *Παρακαλεῖτε τὸν λαόν μου, λαλήσατε εἰς τὴν καρδίαν Ἰερουσαλὴμ, ὅτι ἐδέξατο ἐκ χειρὸς Κυρίου διπλᾶ τὰ ἁμαρτήματα αὐτῆς.* Καὶ πάλιν ὁ προφήτης, *Κύριε, εἰρήνην δὸς ἡμῖν, πάντα γὰρ ἀπέδωκας ἡμῖν,* ἐμφαίνων, ὅτι αἱ τιμωρίαι καὶ αἱ κολάσεις ἁμαρτημάτων συγχώρησιν ποιοῦσι, καὶ πολλαχόθεν τοῦτό ἐστι φανερὸν ποιῆσαι.

Ἐμοὶ τοίνυν δοκεῖ μηδὲν ἐκείνῳ περὶ ἀφέσεως διαλεχθῆναι, ἀλλὰ πρὸς τὸ μέλλον αὐτὸν ἀσφαλίσασθαι, ὡς τῶν ἤδη πλημμεληθέντων τῷ μήκει τῆς ἀῤῥωστίας ἢ εἰ μὴ τοῦτο, διὰ τὸ μηδὲν αὐτὸν μηδέπω περὶ τοῦ Χριστοῦ πεπεῖσθαι μέγα, διὰ τοῦτο ἐπὶ τὸ ἔλαττον πρότερον ἦλθε, καὶ τὸ φανερὸν καὶ δῆλον, τὴν τοῦ σώματος ὑγείαν· ἐπὶ δὲ τούτου οὐχ οὕτως, ἀλλ' ἐπειδὴ μᾶλλον ἐπίστευσε, καὶ ὑψηλοτέραν εἶχε ψυχὴν, διὰ τοῦτο αὐτῷ περὶ τῆς χαλεπωτέρας πρό-

invenit, et pulsanti aperietur (*Luc.* 11. 10). Non dixit propinquis suis, Quid hoc rei est? Quid turbamini? quid vero properatis? Exspectemus quousque domus evacuetur, theatrum dimittatur : recedent qui congregati sunt, poterimus privatim ad illum accedere, ac de his rebus illum consulere. Quid opus est inspectantibus omnibus calamitates meas in medium proferri, et desuper submitti, atque indecore moveri? Horum nihil aut apud se aut ad eos qui se gestabant eloquutus est, sed ornamento sibi esse duxit, ut tam multos curationis suæ testes redderet. Neque vero tantum ex hoc fides ejus cerni poterat, sed etiam ex ipsis Christi verbis. Postquam enim demissus est et oblatus, ait illi Christus, *Confide, fili, remittuntur tibi peccata.* His ille auditis non ægre tulit, non dixit medico : Quid hoc rei est? Ab altero morbo ut sanarer adveni, et alterum ipse sanat? Ista commenta sunt et prætextus, et imbecillitatis tegumenta. Peccata sanas, quæ non cernuntur? Nihil horum neque dixit, neque cogitavit, sed exspectavit permittens, ut medicus eam curationis viam teneret, quam vellet. Idcirco etiam Christus non ad eum perrexit, sed exspectavit dum veniret, ut fidem ipsius cunctis ostenderet. Numquid enim facilem illi potuit accessum reddere? Sed nihil horum fecit, ut ejus studium omnibus patefaceret, et fidem ardentem. Nam quemadmodum ad illum adivit, qui octo et triginta jam annos habebat, eo quod nemo illi adesset : sic et istum, propterea quod multos habebat propinquos, dum ad se veniret, exspectavit, ut et istius manifestam fidem redderet, eo quod oblatus fuerit : et illius solitudinem nos doceret, eo quod ad ipsum accesserit, et tam istius studium, quam illius patientiam cunctis detegeret, atque illis præcipue qui adstabant. Nam quoniam Judæi homines invidi et hominum osores proximorum beneficiis invidere consueverunt, et nunc sumpta occasione a tempore miracula carpere, dicentes eum in sabbato curare, nunc ab eorum vita, qui curabantur, dicentes, *Hic si esset propheta, sciret quænam sit mulier, quæ tangit eum* (*Luc.* 7. 39), nescientes hoc esse præcipue medici, cum ægrotis misceri, et juxta infirmos semper versari, non autem illos fugere, et ab illis resilire. Quod quidem et cum in eos inveheretur dicebat : *Non est opus valentibus medico, sed male habentibus* (*Matth.* 9. 12). Ne igitur eadem rursus objicerent, prius indicat eos curatione dignos esse, qui accedebant, ob fidem quam præ se ferebant. Propterea et illius solitudinem et ferventem istius fidem et animi promptitudinem declaravit : propterea tum illum in sabbato curavit, tum hunc non in sabbato : ut, cum illos altero die videris reprehendere et increpare Christum, intelligas tum temporis etiam, non quod studiosi essent legis observandæ, reprehendisse, verum cum propriam invidiam ferre non possent. Quare vero non prius paralysim sanare aggressus est, sed dixit, *Confide, fili, dimittuntur peccata tua?* Et hoc sapienter admodum. Siquidem est hoc in more positum medicorum, ut non prius morbos abigant, sed eorum fontes tollant. Exempli causa sæpenumero cum a pravo humore et corrupta fluxione infestantur oculi, medicus omittens pupillam ægram curare, capitis curam gerit, ubi radix et fons erat ægritudinis : ita quoque Christus agit : prius malorum fontem reprimit. Fons quippe malorum et radix et mater est omnium natura peccati. Hæc est quæ corpora nostra vexat paralysi, hæc morbos invehit ; idcirco etiam inquit hoc loco, *Confide, fili, dimittuntur peccata tua;* et illic ait : *Ecce sanus factus es, noli amplius peccare, ne quid deterius tibi contingat ;* utroque loco declarans morbos istos ex peccato natos esse. Et in principio atque in exordio creationis ex peccato morbus Caini corpus invasit. Nam et ille post fratricidium, post illud scelus, tum paralysi corporis est correptus. Tremor enim ille nihil aliud fuit quam paralysis. Quando enim illa virtus, quæ animal regit, imbecillior est reddita, nec amplius omnia potest membra sustentare, sua cura illa destituit, atque illa relaxata tremunt et exagitantur.

6. Hoc etiam indicavit Paulus, cum Corinthiis peccatum quoddam exprobrans ait : *Ideo inter vos multi infirmi et imbecilles* (1. *Cor.* 11. 30) : ideo Christus quoque prius causam malorum tollit, cumque dixisset : *Confide, fili, dimittuntur peccata tua,* animum ejus erigit, dejectamque mentem excitat ; quippe sermo prodibat in opus, et in conscientiam penetrans animam ipsam movebat, ac metum omnem expellebat. [Nihil enim est quod ita formidinem ac timorem injiciat, ut conscientia peccatorum :] nihil ita voluptatem parit, et confidentiam ingenerat, ac si nullius quis sceleris sibi sit conscius. *Confide, fili, dimittuntur peccata tua.* Ubi enim remissio est peccatorum, illic et adoptio est filiorum. Ita nos quoque non prius Patrem possumus appellare, quam in sacrarum aquarum lavacro peccata absterserimus. Quando igitur mala illa deposita sarcina inde ascendimus, tum dicimus, *Pater noster, qui es in cælis.* Verum enim vero cujus rei gratia non ita se gessit erga illum, qui triginta octo annos habebat, sed prius illius corpus curavit? Quoniam illi quidem temporis prolixitate fuerant consumpta peccata : potest enim tentationum gravitas onus peccatorum levius reddere : quemadmodum et de Lazaro dixit, eum mala sua recepisse, atque hic consolari : et rursus ait alibi : *Consolamini populum meum, loquimini ad cor Jerusalem, quia recepit de manu Domini duplicia peccata sua* (*Hesai.* 40, 1. 2). Et iterum propheta : *Domine, pacem da nobis, omnia enim reddidisti nobis* (*Hes.* 26. 12), significans pœnas et supplicia veniam impetrare peccatorum, idque plurimis ex locis potest demonstrari.

Divinitatem suam indicat Christus. — Itaque nihil mihi videtur de peccatorum remissione dixisse, sed in posterum illum præmunisse, cum ea quæ fuerant ab illo commissa jam ægritudinis essent prolixitate delecta : aut si hoc non sit, propterea quod nondum quidquam magnum illi fuerat de Christo persuasum, idcirco ad id quod minus erat, prius accessit, et quod evidens ac manifestum, nimirum corporis sanitatem : in hoc autem non ita, sed quoniam magis credebat,

et sublimiori mente præditus erat, propterea de graviori prius apud illum morbo disseruit : præter hæc omnia, ut sibi æqualem cum Patre deberi honorem ostenderet. Ut enim illic in sabbato curavit, quod eos vellet a Judaica observatione revocare, atque ex illorum criminationibus occasionem captaret æqualem se Genitori ostendendi : ita nimirum et hic prævidens quod erant dicturi, hæc verba protulit, ut hinc initio ducto, et occasione sumpta demonstret æquali se cum Genitore dignum honore. Non enim ex æquo se res habet, si nemine reprehendente vel accusante, sua sponte quis in sermonem de his delabatur, et si cæteris causam præbentibus, nomine ac specie defensionis hoc ipsum præstiterit. Nam ille quidem demonstrationis modus auditores offendisset : hic vero minus odiosus erat, et facilius admitti poterat, videmusque Christum hoc ubique præstare, neque tam verbis quam factis æqualitatem suam ostendere. Hoc quidem certe subindicans evangelista dicebat (*Joan.* 5. 16), propterea persequutos eum fuisse Judæos, non solum quia solvebat sabbatum, sed et quia patrem suum dicebat Deum, æqualem se faciens Deo, quod multo est majus : hoc enim ipsum per rerum demonstrationem adstruebat. Quid igitur invidi illi atque scelerati, qui aliorum bonis macerantur, et undique ansam reprehendendi perquirunt? Quid hic, inquiunt, blasphemat? *Nemo enim potest peccata dimittere, nisi solus Deus* (*Marc.* 2. 7). Sicut illic eum persequebantur, quod sabbatum solveret, et ex illorum reprehensionibus sumpta occasione defensionis nomine ac specie suam cum Patre æqualitatem ostendit, ac dixit : *Pater meus operatur, et ego operor* (*Joan.* 5. 17) : sic nimirum hoc loco ex iis quæ ipsi objiciunt, Patri per omnia similem seipsum ostendit. Quid enim ait? *Nemo potest peccata dimittere nisi solus Deus*. Quando igitur ipsi hunc limitem posuerunt, ipsi hanc regulam induxerunt, ipsi legem tulerunt, propriis illos verbis irretit. Vos, inquit, confessi estis solius esse Dei peccata dimittere; indubitata igitur est æqualitas. Neque vero isti solum hoc dicunt, sed et propheta, dum ita loquitur : *Quis Deus sicut tu?* deinde quid sit proprium indicans adjecit, *Auferens iniquitates, et transcendens impietates* (*Mich.* 7. 18). Si quis ergo alius appareat, qui hoc ipsum ita præstet, etiam Deus est, et Deus quemadmodum ille. Sed videamus quo pacto illos argumentis Christus urgeat, quam mansuete ac modeste, summaque cum sollicitudine. *Et ecce quidam de scribis dicebant intra seipsos : Hic blasphemat* (*Matth.* 9. 3). Nequaquam verbum protulerunt, non pronuntiarunt lingua, sed in mentis arcano cogitabant. Quid ergo Christus? Illorum arcanas cogitationes protulit in medium, antequam ad demonstrationem veniret, quam ex corporis paralytici curatione prolaturus erat, quod illis suæ divinitatis vellet potentiam declarare. Ut enim constet solius Dei esse mentis arcana patefacere, *Tu prorsus solus nosti corda* (3 *Reg.* 8. 39), inquit. Vides illud *Solus* rursus non ad distinctionem Filii dictum esse? Si enim Pater solus corda novit, quomodo Filius novit abscondita cordis? *Ipse enim*, inquit, *sciebat quid esset in homine* (*Joan.* 2. 25) : et Paulus indicans proprium esse Dei secreta cognoscere, ait : *Qui autem scrutatur corda* (*Rom.* 8. 27) : quibus verbis significat hæc eamdem vim habere, quam ipsa Dei habet appellatio. Ut enim cum dico, qui pluit, nullum alium præter Deum designo per rem illam, quoniam Dei solius est illud agere; et si dicam, qui solem oriri facit, nec addam, Deus, tamen per rem illam eum ostendo : sic nimirum et Paulus cum ait : *Qui scrutatur corda*, solius ipsius esse scrutari corda declarat. Nisi enim hoc eamdem vim haberet, quam nomen, Deus, ad eum nobis indicandum qui designabatur, solum id minime posuisset. Nam si hoc esset illi cum creatura commune, illum qui designatur non agnosceremus, cum communitas illa confusionem in mentibus gigneret auditorum. Cum igitur appareat hoc proprium Patris esse, itemque Filio constet competere, cum quo indubitata relinquitur inde æqualitas, idcirco, *Quid cogitatis*, inquit, *mala in cordibus vestris? Quid enim est facilius dicere, Dimittuntur peccata tua, an dicere, Surge et ambula* (*Matth.* 9. 4. 5)?

7. *Altera demonstratio remissionis peccatorum.*—Ecce alteram etiam exhibet remissionis peccatorum demonstrationem. Nam dimittere peccata multo majus est, quam corpus sanare, tantoque majus, quanto anima corpore. Ut enim corporis morbus est paralysis, sic et animæ morbus peccatum est : verum illud etsi majus erat, obscurum erat : hoc vero etsi minus erat, manifestum erat. Quoniam igitur ad demonstrationem majoris usurus est minori, ostendens se propter illorum infirmitatem ita fecisse, atque ad illorum humilitatem se demisisse, *Quid est facilius*, inquit, *dicere, Dimittuntur peccata tua, an dicere, Surge et ambula?* Cur igitur ad minus propter illos venis? Quoniam id quod manifestum est, obscuro clariorem exhibet demonstrationem. Propterea non prius illum erexit, quam dixit illis : *Ut autem sciatis, quia Filius hominis habet potestatem in terra dimittendi peccata, tunc ait paralytico, Surge et ambula* (*Matth.* 9. 6) : quasi diceret, majus quidem signum est remissio peccatorum, sed propter vos quod minus est adjicio, quandoquidem hoc vobis illius esse demonstratio videtur. Nam quemadmodum illic cum centurionem laudasset qui dixerat : *Dic tantum verbo, et sanabitur puer meus : nam et ego dico huic, Vade, et vadit, et alii, Veni, et venit* (*Matth.* 8. 8. 9), animum ejus laudibus confirmavit : et rursus cum Judæos reprehendisset sibi objicientes in sabbato legem ab ipso violari, in sua potestate situm esse ostendit leges immutare : sic nimirum hoc loco, cum illi dixissent, Æqualem te ipsum facis Deo, promittens ea, quæ solius sunt Patris, reprehendens eos, et accusans, atque operibus ipsis ostendens se minime blasphemare, indubitatam nobis præbuit demonstrationem, unde constet eadem ipsum, quæ Genitor, posse præstare. Vide igitur, quo pacto istud contendat adstruere, quæ Patris solius sunt, ea ipsius etiam esse : non enim simpliciter paralyticum erexit, sed cum dixisset, *Ut au-*

τερον διελέχθη νόσου· καὶ πρὸς τούτοις δὲ ἅπασιν, ἵνα τὴν εἰς τὸν Πατέρα ἰσοτιμίαν ἐπιδείξηται. Ὥσπερ γὰρ ἐκεῖ ἐν σαββάτῳ ἐθεράπευσε, βουλόμενος αὐτοὺς τῆς παρατηρήσεως ἀπαγαγεῖν τῆς Ἰουδαϊκῆς, καὶ ἐκ τῶν ἐγκλημάτων τῶν αὐτῶν λαβεῖν ἀφορμὴν τοῦ δεῖξαι ἑαυτὸν ἴσον τῷ γεγεννηκότι· οὕτω δὴ καὶ ἐνταῦθα προειδὼς, ὅπερ ἤμελλον ἐρεῖν, εἶπε ταῦτα τὰ ῥήματα, ἵν' ἐντεῦθεν λαβὼν ἀρχὴν καὶ πρόφασιν δείξῃ τῷ γεγεννηκότι ὁμότιμον ὄντα ἑαυτόν. Οὐ γὰρ ἴσον μηδενὸς ἐγκαλοῦντος, μηδὲ αἰτιωμένου, ἀφ' ἑαυτοῦ εἰς τὸν περὶ τούτων καθεῖναι λόγον, καὶ ἑτέρων παρεχόντων τὰς αἰτίας ἐν ἀπολογίας τάξει καὶ σχήματι τοῦτο αὐτὸ κατασκευάσαι. Ἐκείνης μὲν γὰρ τῆς ἀποδείξεως ὁ τρόπος ἀντέκρουε τοῖς ἀκούουσιν· οὗτος δὲ ἀνεπαχθέστερος ἦν, καὶ εὐπαράδεκτος μᾶλλον, καὶ πανταχοῦ δὲ ὁρῶμεν τοῦτο αὐτὸν ποιοῦντα, καὶ οὐχ οὕτω διὰ ῥημάτων, ὡς διὰ πραγμάτων ἐπιδεικνύμενον τὴν ἰσότητα. Τοῦτο γοῦν καὶ ὁ εὐαγγελιστὴς αἰνιττόμενος ἔλεγεν, ὅτι ἐδίωκον αὐτὸν οἱ Ἰουδαῖοι, οὐχ ὅτι μόνον ἔλυε τὸ σάββατον, ἀλλ' ὅτι καὶ πατέρα ἴδιον ἔλεγε τὸν Θεὸν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ, ἃ πολλῷ μεῖζόν ἐστιν· διὰ γὰρ τῆς τῶν πραγμάτων ἀποδείξεως τοῦτο αὐτὸ κατεσκεύαζε. Τί οὖν οἱ βάσκανοι καὶ πονηροὶ, καὶ τοῖς ἀλλοτρίοις τηκόμενοι καλοῖς, καὶ πανταχόθεν λαβὰς ζητοῦντες εὑρεῖν; Τί οὗτος, φησὶ, βλασφημεῖ; *Οὐδεὶς γὰρ δύναται ἀφιέναι ἁμαρτίας εἰ μὴ μόνος ὁ Θεός.* Ὥσπερ ἐκεῖ ἐδίωκον αὐτὸν ὅτι ἔλυε τὸ σάββατον, καὶ παρὰ τῶν ἐγκλημάτων αὐτῶν λαβὼν ἀφορμὴν τὴν ἰσότητα ἐν ἀπολογίας τάξει τὴν πρὸς τὸν γεγεννηκότα ἐδήλωσεν εἰπών· *Ὁ Πατήρ μου ἐργάζεται, κἀγὼ ἐργάζομαι·* οὕτω δὴ καὶ ἐνταῦθα, ἀφ' ὧν ἐγκαλοῦσιν, ἀπὸ τούτων τὸ πρὸς τὸν Πατέρα ἀπαράλλακτον δείκνυσι. Τί γάρ φησιν; *Οὐδεὶς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ μόνος ὁ Θεός.* Ἐπεὶ οὖν αὐτοὶ τὸν ὅρον ἔθηκαν τοῦτον, αὐτοὶ τὸν κανόνα εἰσήνεγκαν, αὐτοὶ τὸν νόμον ἔγραψαν, ἐκ [44] τῶν οἰκείων αὐτοὺς λοιπὸν συμποδίζει ῥημάτων. Ὑμεῖς, φησὶν, ὡμολογήσατε ὅτι Θεοῦ μόνον ἐστὶ τὸ ἀφιέναι ἁμαρτίας· ἀναμφισβήτητός ἐστιν ἰσότης. Καὶ οὐχ οὗτοι δὲ τοῦτο μόνον φασὶν, ἀλλὰ καὶ ὁ προφήτης οὕτω λέγων· *Τίς Θεὸς ὥσπερ σύ;* εἶτα δείκνυς τί ἴδιον, ἐπήγαγεν, *Ἐξαίρων ἀνομίας, καὶ ὑπερβαίνων ἀδικίας.* Ἂν τοίνυν φανῇ τις ἕτερος οὕτως τὸ αὐτὸ τοῦτο ποιῶν, καὶ Θεός ἐστιν, καὶ Θεὸς ὥσπερ ἐκεῖνος. Ἀλλ' ἴδωμεν πῶς αὐτοῖς ὁ Χριστὸς συλλογίζεται, πῶς πράως, καὶ ἐπιεικῶς, καὶ μετὰ κηδεμονίας ἁπάσης. *Καί ἰδού τινες τῶν γραμματέων εἶπον ἐν ἑαυτοῖς· Οὗτος βλασφημεῖ.* Οὐκ ἐξήνεγκαν τὸ ῥῆμα, οὐ προήνεγκαν διὰ γλώσσης, ἀλλ' ἐν τοῖς ἀπορρήτοις τῆς διανοίας ἐλογίζοντο. Τί οὖν ὁ Χριστός; ἤνεγκεν εἰς τὸ μέσον τὰ ἀπόῤῥητα ἐκείνων βουλεύματα πρὸ τῆς ἀποδείξεως τῆς κατὰ τὴν ἔλασιν τοῦ σώματος τοῦ παραλυτικοῦ, βουλόμενος αὐτοῖς δεῖξαι τῆς αὐτοῦ θεότητος τὴν ἰσχύν. Ὅτι γὰρ Θεοῦ μόνον ἐστὶ τὰ ἀπόῤῥητα τῆς διανοίας δεῖξαι τῆς αὐτοῦ θεότητος, *Σὺ ἐπίστασαι καρδίας μονώτατος*, φησίν. Ὁρᾷς ὅτι τὸ *μόνος* πάλιν οὐ πρὸς τὴν ἀντιδιαστολὴν τοῦ Υἱοῦ λέγεται; Εἰ γὰρ ὁ Πατὴρ ἐπίσταται καρδίας μονώτατος, πῶς ὁ Υἱὸς οἶδε τὰ ἀπόῤῥητα τῆς διανοίας; Αὐτὸς γὰρ ᾔδει, φησὶ, *τί ἦν ἐν τῷ ἀνθρώπῳ·* καὶ ὁ Παῦλος δείκνυς, ὅτι ἴδιον Θεοῦ τοῦτό ἐστι τὸ τὰ ἀπόῤῥητα εἰδέναι, φησίν· *Ὁ δὲ ἐρευνῶν τὰς καρδίας*, δείκνυς, ὅτι τῇ Θεὸς προσηγορίᾳ τὴν αὐτὴν ἰσχὺν ἔχει τοῦτο. Ὥσπερ γὰρ ἂν εἴπω ὁ βρέχων, οὐδένα ἄλλον δηλῶ ἢ τὸν Θεὸν διὰ τοῦ πράγματος, ἐπειδὴ αὐτοῦ μόνον τοῦτό ἐστι· καὶ ἐὰν εἴπω, ὁ ἀνατέλλων τὸν ἥλιον, καὶ μὴ προσθῶ τὸ Θεὸς, ὅμως αὐτὸν δηλῶ διὰ τοῦ πράγματος· οὕτω δὴ καὶ ὁ Παῦλός φησιν εἰπὼν, *Ὁ ἐρευνῶν τὰς καρδίας*, ἔδειξεν, ὅτι αὐτοῦ μόνον ἐστὶ τὸ ἐρευνᾷν τὰς καρδίας. Εἰ γὰρ μὴ τὴν αὐτὴν ἰσχὺν εἶχε τοῦτο τῷ Θεὸς ὀνόματι πρὸς τὸ δεῖξαι ἡμῖν τὸν δηλούμενον, οὐκ ἂν αὐτὸ κατ' αὐτὸ τέθεικεν. Καὶ γὰρ εἰ κοινὸν ἦν αὐτῷ καὶ πρὸς τὴν κτίσιν τοῦτο, οὐκ ἂν ἔγνωμεν τὸν δηλούμενον, τῆς κοινωνίας σύγχυσιν ἐμποιησάσης τῇ διανοίᾳ τῶν ἀκροατῶν. Ὅταν οὖν φαίνηται ἴδιον Πατρὸς τοῦτο, φαίνηται δὲ καὶ τῷ Υἱῷ, πρὸς ὃν ἀναμφισβήτητος καὶ ἐντεῦθεν ἡ ἰσότης, διὰ τοῦτο, *Τί*, φησὶ, *διαλογίζεσθε πονηρὰ ἐν ταῖς καρδίαις ὑμῶν; τί γάρ εὐκοπώτερον εἰπεῖν, Ἀφέωνταί σου αἱ ἁμαρτίαι, ἢ εἰπεῖν, Ἔγειραι καὶ περιπάτει;*

ζ'. Ἰδοὺ καὶ δευτέραν ἀπόδειξιν ποιεῖται τῆς τῶν ἁμαρτημάτων ἀφέσεως. Τὸ μὲν γὰρ ἁμαρτίας ἀφιέναι τοῦ σῶμα θεραπεῦσαι πολλῷ μᾶλλον μεῖζόν ἐστι, καὶ τοσοῦτον μεῖζον, ὅσον ψυχὴ σώματος. Ὥσπερ γὰρ τοῦ σώματος νόσος ἡ παράλυσις, οὕτω καὶ τῆς ψυχῆς νόσος ἡ ἁμαρτία· ἀλλ' ἐκεῖνο εἰ καὶ μεῖζον ἦν, ἄδηλον ἦν· τοῦτο δὲ εἰ καὶ ἔλαττον ἦν, φανερὸν ἦν. Ἐπειδὴ τοίνυν μέλλει πρὸς τὴν ἀπόδειξιν τοῦ μείζονος τῷ ἐλάττονι κεχρῆσθαι, δεικνὺς, ὅτι διὰ τὴν ἀσθένειαν τὴν ἐκείνων οὕτως ἐποίησε, καὶ συγκαταβαίνων αὐτῶν τῇ ταπεινότητί φησι· *Τί ἐστιν εὐκοπώτερον εἰπεῖν, Ἀφέωνταί σου αἱ ἁμαρτίαι, ἢ εἰπεῖν, Ἔγειραι καὶ περιπάτει;* [45] Τίνος οὖν ἕνεκεν ἐπὶ τὸ ἔλαττον ἔρχῃ δι' ἐκείνους; Ἐπειδὴ τὸ φανερὸν τοῦ ἀφανοῦς τρανοτέραν παρέχεται τὴν ἀπόδειξιν. Διὰ τοῦτο οὐ πρότερον αὐτὸν ἀνέστησεν, ἕως οὗ εἶπεν αὐτοῖς· *Ἵνα δὲ εἰδῆτε, ὅτι ἐξουσίαν ἔχει ὁ Υἱὸς τοῦ ἀνθρώπου ἀφιέναι ἁμαρτίας ἐπὶ τῆς γῆς, τότε φησὶ τῷ παραλυτικῷ, Ἔγειραι καὶ περιπάτει,* ὡσανεὶ ἔλεγε· Μεῖζον μέν ἐστι σημεῖον ἡ τῶν ἁμαρτημάτων ἄφεσις· διὰ δὲ ὑμᾶς καὶ τὸ ἔλαττον προστίθημι, ἐπειδὴ τοῦτο ὑμῖν ἀπόδειξις ἐκείνου εἶναι δοκεῖ. Ὥσπερ γὰρ ἐκεῖ τὸν ἑκατοντάρχην ἐπαινέσας εἰπόντα, *Εἰπὲ λόγῳ μόνον, καὶ ἰαθήσεται ὁ παῖς μου· καὶ γὰρ ἐγὼ λέγω τούτῳ, Πορεύου, καὶ πορεύεται· καὶ τῷ ἄλλῳ, Ἔρχου, καὶ ἔρχεται,* ἐκύρωσεν αὐτοῦ τὴν γνώμην διὰ τῶν ἐγκωμίων· καὶ πάλιν τοῖς Ἰουδαίοις ἐγκαλέσας ἐπὶ τοῦ σαββάτου μεμφομένοις αὐτῷ, ὅτι πάλιν παραλύει τὸν νόμον, ἔδειξεν ὅτι κύριός ἐστι μεταθεῖναι νόμους· οὕτω δὴ καὶ ἐνταῦθα εἰπόντα τοῦτον, ἴσον ἑαυτὸν ποιεῖ τῷ Θεῷ, ἐπαγγελλόμενος ἃ τοῦ Πατέρος ἐστὶ μόνον, μεμψάμενος αὐτοὺς καὶ αἰτιασάμενος, καὶ διὰ τῶν ἔργων ἐπιδείξας ὅτι οὐ βλασφημεῖ, ἀναντίῤῥητον ἡμῖν παρέσχεν ἀπόδειξιν, ὅτι ταῦτα δύναται, ἃ καὶ ὁ γεγεννηκώς. Ὅρα γοῦν πῶς τοῦτο κατασκευάσαι βούλεται, ὅτι ἃ τοῦ Πατρός ἐστι μόνον, ταῦτα καὶ αὐτοῦ· οὐ γὰρ ἁπλῶς ἀνέστησε τὸν παραλυτικὸν, ἀλλ' εἰπών·

Ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ Υἱὸς τοῦ ἀνθρώπου ἀφιέναι ἐπὶ τῆς γῆς ἁμαρτίας· οὕτως ἔργον ἦν αὐτῷ καὶ σπουδὴ τοῦτο μάλιστα δεῖξαι, ὅτι τὴν αὐτὴν αὐθεντίαν ἔχει τῷ Πατρί.

η'. Ταῦτα οὖν ἅπαντα, καὶ τὰ πρώην καὶ τὰ πρὸ ἐκείνης εἰρημένα τῆς ἡμέρας μετὰ ἀκριβείας κατέχωμεν, καὶ τὸν Θεὸν παρακαλῶμεν ἀκίνητα μένειν ἐν τῇ διανοίᾳ τῇ ἡμετέρᾳ, καὶ τὴν παρ' ἑαυτῶν εἰσάγωμεν σπουδήν, καὶ συνεχῶς ἐνταῦθα ἀπαντῶμεν. Οὕτω γὰρ καὶ τὰ πρόσθεν εἰρημένα φυλάξομεν, καὶ ἕτερα προσκτησόμεθα πάλιν· κἂν ἀπορρύῃ τι τῷ χρόνῳ, ῥᾳδίως αὐτὰ ἀνακτήσασθαι δυνησόμεθα τῇ συνεχεῖ διδασκαλίᾳ. Καὶ οὐ τὰ δόγματα μόνον ὑγιῆ καὶ ἄφθορα μενεῖ, ἀλλὰ καὶ ὁ βίος πολλῆς ἀπολαύσεται τῆς ἐπιμελείας, καὶ μεθ' ἡδονῆς καὶ μετ' εὐθυμίας τὴν παροῦσαν διανύσαι ζωὴν. Ὁποῖον γὰρ ἐνοχλεῖ πάθος τὴν ψυχὴν ἐνταῦθα παραγινομένων ἡμῶν, ῥᾳδίως διαλυθῆναι δυνήσεται· ἐπεὶ καὶ νῦν ὁ Χριστὸς πάρεστι, καὶ ὁ μετὰ πίστεως αὐτῷ προσιὼν δέξεται τὴν ἰατρείαν εὐκόλως. Πενίᾳ τις πυκτεύει διηνεκεῖ, καὶ τῆς ἀναγκαίας ἀπορεῖ τροφῆς, καὶ πεινῶν ἐκαθεύδησε πολλάκις, εἰσελθὼν δὲ ἐνταῦθα, καὶ ἀκούσας Παύλου λέγοντος, ὅτι ἐν λιμῷ καὶ ἐν δίψει καὶ γυμνότητι διῆγε, καὶ ὅτι οὐκ ἐν μιᾷ καὶ δύο καὶ τρισὶν ἡμέραις, ἀλλὰ διηνεκῶς τοῦτο ὑπέμεινε (τοῦτο γοῦν ἐνδεικνύμενος ἔλεγεν· *Ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ γυμνητεύομεν*), λήψεται παραμυθίαν ἱκανήν, μαθὼν διὰ τῶν εἰρημένων, ὅτι οὐχὶ μισῶν αὐτὸν ὁ Θεὸς οὐδὲ ἐγκαταλιμπάνων συνεχώρησεν εἶναι ἐν πενίᾳ· οὐ γὰρ [46] ἂν εἰ μισοῦντος τοῦτο ἦν, ἐπὶ τοῦ Παύλου, τοῦ φίλου μάλιστα πάντων ἀνθρώπων ὄντος αὐτῷ, τοῦτο συνεχώρησεν· ἀλλὰ κηδόμενος καὶ προνοῶν, καὶ εἰς πλείονα ἄγων φιλοσοφίαν. Ἄλλος τις ὑπὸ νόσου καὶ μυρίων κακῶν τὸ σῶμα ἔχει πολιορκούμενον; Ἱκανὴ τούτῳ παραμυθία γένοιτ' ἂν τῶν παραλυτικῶν τούτων τὰ σώματα, καὶ μετὰ τούτων ὁ μακάριος καὶ γενναῖος τοῦ Παύλου μαθητής, ὃς διηνεκῶς ἐν ἀῤῥωστίαις ἦν, καὶ οὐδέποτε ἀνέπνει ἐκ τῆς μακρᾶς ἀσθενείας, ὅπερ οὖν καὶ ὁ Παῦλος ἔλεγεν· *Οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου, καὶ τὰς πυκνάς σου ἀσθενείας*, καὶ οὐχ ἁπλῶς ἀσθενείας. Ἕτερος συκοφαντηθεὶς παρὰ τοῖς πολλοῖς πονηρὰν ἐκτήσατο δόξαν, καὶ τοῦτο αὐτὸ τὴν ψυχὴν ὀδυνᾷ καὶ κατεσθίει διηνεκῶς· εἰσελθὼν καὶ ἀκούσας, ὅτι *Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς, καὶ εἴπωσι καθ' ὑμῶν πᾶν πονηρὸν ῥῆμα ψευδόμενοι· χαίρετε, καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς*, ἀποθήσεται πᾶσαν ἀθυμίαν καὶ δέξεται πᾶσαν ἡδονήν· *Σκιρτᾶτε γὰρ καὶ ἀγαλλιᾶσθε*, φησὶν, *ὅταν ἐκβάλλωσιν ὑμῖν ὄνομα πονηρόν*. Καὶ τοὺς μὲν κακῶς ἀκούοντας τούτῳ παραμυθεῖται τῷ τρόπῳ, τοὺς δὲ κακῶς λέγοντας ἑτέρως φοβεῖ λέγων, ὅτι *Πᾶν ῥῆμα ἀργὸν, ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι, δώσουσι περὶ αὐτοῦ λόγον, εἴτε ἀγαθὸν, εἴτε κακόν*. Ἄλλος τις θυγάτριον ἀπέβαλεν ἢ υἱὸν, ἢ τινα τῶν προσηκόντων, καὶ οὗτος ἐνταῦθα παραγενόμενος Παύλου στενάζοντος ἐπὶ τῇ παρούσῃ ζωῇ καὶ τὴν μέλλουσαν ἐπιθυμοῦντος ἰδεῖν, καὶ βαρυνομένου τῇ ἐνταῦθα διατριβῇ, καὶ αὐτὸς λαβὼν ἱκανὸν φάρμακον ἀπελεύσεται ἀκούσας αὐτοῦ λέγοντος· *Περὶ δὲ τῶν κεκοιμημένων οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ἵνα μὴ λυπῆσθε ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα*. Οὐκ εἶπε, Περὶ τῶν ἀποθνησκόντων, ἀλλὰ, Περὶ τῶν κεκοιμημένων, δεικνὺς ὅτι ὕπνος ἐστὶν ὁ θάνατος. Ὥσπερ οὖν ἂν ἴδωμέν τινα καθεύδοντα, οὐ θορυβούμεθα, οὐδὲ ἀλυόμεν προσδοκῶντες αὐτὸν ἀναστήσεσθαι πάντως· οὕτως ὅταν ἴδωμέν τινα ἀποθανόντα, μὴ θορυβώμεθα, μηδὲ καταπίπτωμεν· καὶ γὰρ καὶ τοῦτο ὕπνος μακρότερος μέν, ὕπνος δὲ ὅμως. Τῷ μὲν οὖν ὀνόματι τῆς κοιμήσεως παρεμυθήσατο τοὺς πενθοῦντας, τὴν δὲ κατηγορίαν τῶν ἀπίστων ἀνέτρεψεν. Ἐὰν πενθῇς, φησὶ, τὸν ἀπελθόντα ἀφορήτως, κατ' ἐκεῖνον ἔσῃ τὸν ἄπιστον τὸν οὐκ ἔχοντα ἐλπίδα ἀναστάσεως. Ἐκεῖνος καλῶς θρηνεῖ, ἅτε περὶ τῶν μελλόντων μηδὲν δυνάμενος φιλοσοφεῖν· σὺ δὲ ὁ τοσαύτας λαβὼν ἀποδείξεις περὶ τῆς μετὰ ταῦτα ζωῆς, τίνος ἕνεκεν εἰς τὴν αὐτὴν ἀσθένειαν ἐκείνῳ καταπίπτεις; Διὰ τοῦτό φησι, *Περὶ δὲ τῶν κεκοιμημένων οὐ θέλομεν ὑμᾶς ἀγνοεῖν, ἵνα μὴ λυπῆσθε ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα*.

Οὐκ ἀπὸ τῆς Καινῆς δὲ μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς Παλαιᾶς ἱκανὴν ἔστι λαβεῖν παραμυθίαν. Ὅταν γὰρ ἀκούσῃς τοῦ Ἰὼβ μετὰ τὴν τῶν χρημάτων ἀπόβολὴν, μετὰ τὴν τῶν βουκολίων ἀπώλειαν, οὐχ ἕνα καὶ δύο καὶ τρεῖς, ἀλλ' ὁλόκληρον χορὸν ἀποβαλόντα παίδων ἐν αὐτῷ τῆς ἡλικίας τῷ ἄνθει, μετὰ τοσαύτην ψυχῆς ἀρετὴν, κἂν ἁπάντων ἀσθενέστερος ᾖς, δυνήσῃ ῥᾳδίως [47] ἑαυτὸν ἀνακτήσασθαι καὶ ἀνενεγκεῖν. Σὺ μὲν γὰρ, ἄνθρωπε, καὶ παρηκολούθησας ἀῤῥωστοῦντι τῷ παιδὶ, καὶ κατακλινόμενον ἐπὶ τῆς κλίνης εἶδες, καὶ ἔσχατα φθεγγόμενον ῥήματα ἤκουσας, καὶ τὰς τελευταίας ἀναπνέοντα παρέστης ἀναπνοάς, καὶ καθειλες ὀφθαλμοὺς, καὶ συνέκλεισας στόμα· ἐκεῖνος δὲ οὐδὲ παρέστη ψυχορραγοῦσι, οὐκ εἶδεν ἐκπνέοντας, ἀλλ' εἰς ἐγένετο τάφος πᾶσιν ἡ οἰκία, καὶ ἐπὶ τῆς αὐτῆς τραπέζης ἐγκέφαλος ὁμοίως καὶ αἷμα ἐκέχυτο, καὶ ξύλα, καὶ κέραμος, καὶ κόνις, καὶ σάρκες διατετμημέναι, καὶ πάντα ὁμοίως ἐφύρετο. Ἀλλ' ὅμως μετὰ τοιαῦτα καὶ τοσαῦτα οὐκ ἐθρήνησεν, οὐκ ἀπεδυσπέτησεν, ἀλλὰ τί φησιν; *Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο, ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο· εἴη τὸ ὄνομα τοῦ Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας*. Ταύτην καὶ ἡμεῖς ἐφ' ἑκάστῳ τῶν συμβαινόντων ἡμῖν φθεγγώμεθα τὴν φωνὴν, κἂν ζημία χρημάτων, καὶ σωμάτων ἀῤῥωστία, καὶ ἐπήρεια, καὶ συκοφαντία, κἂν ὁτιοῦν τῶν ἀνθρωπίνων συμβαίνῃ κακῶν, ταῦτα λέγωμεν· *Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο, εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας*. Ἂν οὕτω φιλοσοφήσωμεν, οὐδὲν οὐδέποτε πεισόμεθα κακὸν, κἂν μυρία πάσχωμεν· ἀλλ' ἔσται μεῖζον τῆς ζημίας τὸ κέρδος, πλείω τῶν κακῶν τὰ ἀγαθὰ, διὰ τῶν ῥημάτων τούτων ἵλεω τὸν Θεὸν σεαυτῷ ποιῶν, τὴν τυραννίδα ἀποκρουόμενος. Ὁμοῦ γὰρ ἐφθέγξατο ἡ γλῶσσα τὰ ῥήματα ταῦτα, καὶ εὐθέως ἀπεπήδησεν ὁ διάβολος· ἐκείνου δὲ ἀποπηδήσαντος, καὶ τὸ τῆς ἀθυμίας νέφος ἀπελαύνεται, καὶ οἱ θλίβοντες ἡμᾶς δραπετεύουσι λογισμοὶ, συνεκπηδῶντες ἐκείνῳ, καὶ πρὸς τούτοις πᾶσι καὶ τῶν ἐνταῦθα ἀγαθῶν, καὶ τῶν ἐν οὐρανῷ

tem sciatis, quia Filius hominis habet potestatem in terra dimittendi peccata (*Matth.* 9. 6) : adeo curabat ac studebat hoc maxime ostendere sibi eamdem esse auctoritatem cum Patre.

8. *Epilogus sermonis quo ad patientiam in adversis cohortatur.*—Hæc igitur omnia et quæ hesterno die ac pridiusterius dicta sunt, diligenter memoria teneamus, ac Deum precemur, ut ea in nostra mente defixa permaneant, nostrumque studium conferamus, atque ad hunc locum frequenter accedamus. Sic enim fiet, ut et ea quæ superius dicta sunt conservemus, et alia rursus acquiramus : quod si quid forte lapsu temporis effluxerit, facile illud assidua doctrina exculti poterimus recuperare. Neque vero sana tantum dogmata permanebunt et incorrupta, sed et vitam nostram majori cura et cautione dirigemus, et cum voluptate animique tranquillitate hoc ævum transigere licebit. Nam quæcumque tandem perturbatio nostram animam exagitet, dum in hunc locum convenimus, facile discuti poterit : quandoquidem et Christus nunc adest, et qui cum fide ad illum accedit, facilem adepturus est curationem. Paupertate quis assidua conflictatur, et necessariis destituitur alimentis, et fame confectus sæpenumero lectum petiit : tamen huc ingressus, cum audierit Paulum dicentem, in fame et siti et nuditate se degere, seque non uno, aut duobus, aut tribus diebus, sed perpetuo passum esse (quod quidem indicans aiebat, *Usque in hanc horam et esurimus, et sitimus, et nudi sumus* [1 *Cor.* 4. 11], sufficientem ex eo consolationem percipiet, cum ex iis quæ dicta sunt didicerit Deum, non quod illum odisset, in paupertate versari permisisse : neque enim, si odio prosequi hoc esset, Paulo præ cæteris omnibus amico suo id accidere permisisset : verum quod de eo sollicitus esset, eique provideret, atque ad majorem illum philosophiam promoveret. Est alius quispiam, cujus corpus morbis ac malis innumeris obsidetur? Sufficientem huic afferent consolationem paralyticorum istorum corpora, et cum illis beatus ac generosus Pauli discipulus, qui perpetuis morbis conflictabatur, nec unquam a longa ægritudine respirabat, quod etiam Paulus dicebat : *Modico vino utere propter stomachum tuum, et frequentes tuas infirmitates* (1. *Tim.* 5. 23), non simpliciter dixit infirmitates. Alius quispiam calumniis appetitus est ab iis, qui magnam illi apud populum conflarunt infamiam, atque hoc ejus animum graviter angit et perpetuo cruciat : si ingressus fuerit, et audierit, *Beati estis, cum maledixerint vobis homines, et dixerint omne malum adversum vos mentientes : gaudete et exsultate, quoniam merces vestra copiosa est in cœlis* (*Matth.* 5. 11. 12) : omnem deponet mœrorem, et summa voluptate perfundetur ; *subsilite* enim *et exsultate*, inquit, *cum injecerint vobis nomen malum* (*Luc.* 6. 22. 23). Atque illos quidem qui conviciis afficiuntur, hoc modo consolatur : eos vero qui conviciis afficiunt, aliter terret, cum ait : *Omne verbum otiosum, quod loquuti fuerint homines, reddent de eo rationem, sive bonum fuerit, sive malum* (*Matth.* 12. 36). Filiolam quispiam alius amisit, aut filium, aut alium aliquem ex propinquis, et hic si huc veniat, cum Paulus propter præsentem vitam ingemiscat, et futuram videre cupiat, eumque tædeat hic tamdiu morari, sufficienti et ipse medicamento accepto discedet, ubi dicentem illum audiverit : *De dormientibus autem nolo vos ignorare, fratres, ut non contristemini sicut et cæteri, qui spem non habent* (1 *Thess.* 4. 12). Non dixit De morientibus, sed *De dormientibus*, somnum esse mortem ostendens. Ut igitur cum dormire quemdam videmus, non turbamur, neque mœrore afficimur, illum plane resurrecturum sperantes : ita cum mortem obiisse quemdam videmus, nihil perturbemur, neque animo concidamus : siquidem hoc quoque somnus est ; prolixior quidem, sed tamen somnus. Itaque dormitionis nomine lugentes consolatus est, accusationem autem infidelium refutavit. Si defunctum impatienter luges, infidelem illum imitaris, qui resurrectionis fidem non habet. Ille recte luget, utpote qui nihil de rebus futuris philosophari queat : tu vero cui tot datæ sunt de futura vita demonstrationes, quam ob causam in eamdem cum illo imbecillitatem devolveris? Propterea dicit, *De dormientibus nolumus vos ignorare, ut non contristemini, sicut et cæteri, qui spem non habent.*

Exemplum patientiæ. — Neque vero ex Novo tantum, sed etiam ex Veteri Testamento possumus consolationem haurire. Cum enim Job audis post pecuniarum jacturam, post interitum armentorum, non unum et duos, ac tres, sed integrum cœtum filiorum in ipso ætatis flore amisisse, post tantam animi virtutem, quamvis omnium sis infirmissimus, facile teipsum refocillare poteris ac reficere. Nam tu quidem, o homo, ægrotanti filio adfuisti, decumbentem in lecto vidisti, postrema verba proferentem audiisti, et extremum halitum exhalanti adstitisti, depressisti oculos, et os conclusisti : at ille neque animam exhalantibus adfuit, nec exspirantes aspexit, verum tamquam uno conditi sunt omnes sepulcro ædibus suis, et in eadem mensa cerebrum pariter et sanguis fundebatur, et ligna, et tegulæ, et pulvis, et carnes concisæ, et omnia pariter miscebantur. Verumtamen post tot et tanta mala non luxit, non impatienter tulit : sed quid ait? *Dominus dedit, Dominus abstulit, sicut Domino placuit, ita et factum est : sit nomen Domini benedictum in sæcula* (*Job* 1. 21). Hanc nos quoque vocem in singulis quæ nobis accidunt proferamus, sive pecuniarum jactura, sive corporis infirmitas, sive contumelia, sive calumnia, sive quodvis aliud humanum malum acciderit, ista dicamus, *Dominus dedit, Dominus abstulit : sicut Domino placuit, ita et factum est : sit nomen Domini benedictum in sæcula.* Ita si philosophemur, nihil unquam mali patiemur, licet innumera patiamur : sed majus lucrum erit quam damnum, plura bona quam mala per hæc verba tibi evenient, dum et propitium tibi ipsi Deum reddes, et inimici tyrannidem propulsabis. Simul enim atque verba illa lingua protulit, diabolus confestim abscessit : illo porro abscedente, nubes quoque tristitiæ discutitur, et cum illa celeriter aufugiunt cogitationes, quæ nos affligunt ; ac præter hæc omnia

cum hujus vitæ bona, tum illa quæ nos in cælo manent, omnia consequeris. Exemplum habes in Jobo certissimum et in apostolis, qui cum propter Deum hujus ævi mala contempsissent, æterna bona sunt assequuti. Pareamus igitur, et in omnibus, quæ accidunt, gaudeamus, benignoque Deo gratias agamus, ut et præsentem vitam cum facilitate traducamus, et futuris bonis potiamur, gratia et benignitate Domini nostri Jesu Christi, cui gloria, honor et imperium semper, nunc et in perpetuum, et in sæcula sæculorum. Amen.

MONITUM

Hasce conciones, longo intervallo in prius Editis separatas, ut continenter ponamus, et series ipsa temporis, et argumenti ratio postulat. Cum seriem temporis dico, ne putes me ita tempus assecutum esse, ut annum vel certo statuere, vel probabilibus admodum conjecturis indicare possim; sed de serie et ordine temporis loquor, quem inter se habent Homiliæ de Actorum inscriptione, ita ut assignare in promptu sit, quæ sit prima, quæ secunda, etc. Id vero clare docet ipse Chrysostomus infra in ea, quam tertiam ordine ponimus. Ibi vero num. 2 legitur: *Eo fit, ut cum ad quartum jam diem expositionem produxerimus, necdum tamen unam inscriptionem potuerimus præterire, sed adhuc circa illam versemur.* Et paulo post: *Itaque primo die non esse temere prætereundas inscriptiones dicebam, quo tempore titulum vobis Altaris legi, ac Pauli sapientiam ostendi..... In hoc desiit priori die tota doctrina: post illam secundo die, qui libri esset illius auctor quæsivimus, et invenimus Dei gratia Lucam evangelistam: multisque vobis demonstrationibus rem in quæstione positam probavimus.* Demum clarius paucis interpositis: *Prima igitur die, de inscriptione; secunda vero die, de eo qui librum scripsit; tertia die disseruimus apud eos, qui advenerant, de initio Scripturæ: et ostendimus quid sit actum, quid sit miraculum, et quid sit conversatio, quid signum et prodigium ac virtus... Hodie reliquum inscriptionis operæ pretium est dicamus, et quid significet Apostoli nomen ostendamus.* Prima igitur homilia ea est, in qua non temere prætereundas esse sacrorum Librorum inscriptiones docet, et de inscriptione Altaris, nimirum, IGNOTO DEO, agit. Illam vero Chrysostomo duce primam locamus. Secundam ubi de auctore libri Actorum edisserebat, et Lucam esse demonstrabat, reperimus quidem; sed, heu! misere deformatam, et cum spuriis immixtam. Est nempe Homilia inscripta, περὶ Ἀναλήψεως, *de Assumptione* sive Ascensione Domini, et Chrysostomo ascripta: ubi quæ prima feruntur, Chrysostomo nostro indigna videntur esse. Sub hæc adjiciuntur alia, quæ cum prioribus non cohærere videntur, et licet melioris notæ sint, utrum Chrysostomo sint ascribenda non ausim affirmare. Sequitur postea pars illa, ubi quibusdam præmissis circa inscriptionem libri Actorum, quæ ad præsens institutum apprime quadrant, de hujus auctore egregie disseritur, et Lucam esse probatur. Hic vero Chrysostomum agnosco; nec dubito quin tam ea quæ de inscriptione Actorum, quam ea quæ de hujus libri auctore feruntur, ad eam homiliam pertineant, quam ut secundam a se dictam hic memorat Chrysostomus. Hinc quæritur, quoties a Resurrectione ad Ascensionem usque Dominus Christus apparuerit; hanc quoque partem Chrysostomi esse puto: reliqua vero omnia, quæ in hac longissima homilia habentur, aut inepta aut Chrysostomo indigna sunt. Itaque male auctam et consarcinatam homiliam, etsi quædam γνήσια et ad præsens argumentum pertinentia habeat, cum sinceris admiscere non ausi sumus; sed ad finem hujus tomi ablegavimus. Tertia quam, altera ad calcem rejecta, secundam ponimus, ea est in qua de inscriptione Actorum agitur, nec non de differentia inter miraculum et actum, etc. Quarta, quam supra memorata de causa tertiam inscribimus, ea est quæ de utilitate lectionis Scripturarum agit, et ut tituli *Actuum Apostolorum* postremam vocem explicet, perquirit quid significet Apostoli nomen. Huic quartam subjungimus eam in qua quærit cur Acta Apostolorum in Pentecoste legantur: quæ sese prodit aliis subnectendam esse: etenim in ea ita legitur: *Dixi tum temporis, a quo scriptus fuerit liber Actorum, et quis operis istius auctor fuerit; imo vero non quis auctor operis, sed quis minister. Non enim ille quæ dicta sunt produxit, sed iis, quæ dicta sunt, ministravit. Dixi de Actis ipsis, et quid tandem sibi velit nomen illud Actorum: dixi etiam de Apostolorum appellatione: jam necesse est dicamus, qua de causa statuerint patres nostri, ut liber Actorum in Pentecoste legeretur.*

Itaque luce clarius est has continue, modico inter singulas interposito tempore, habitas fuisse: et quidem non diu post Paschalem solemnitatem, ut ex iis, quæ de nuper illuminatis circa finem primæ et tertiæ homiliæ dicuntur, arguitur. Præter hanc vero Paschatis nuper elapsi notam, alteram eruimus ex his verbis homiliæ I, num. 2: *Non sunt igitur malum divitiæ, sed illegitimus earum usus est malum: et sicut nuper de ebrietate verba faciens, non vinum accusabam, quippe cum omnis creatura Dei bona sit, quæ cum gratiarum actione percipitur; sed malum usum*, etc. Hic porro annotare prorsus videtur Homiliam contra Ebriosos et de Resurrectione, quam T. 2 edidimus: ubi contra temulentos multa disserens, hæc inter alia dicit: *Abstineamus ab ebrietate: non dico, Abstineamus a vino, sed, Ab ebrietate abstineamus. Non vinum efficit ebrietatem: est enim Dei creatura: Dei porro creatura nihil efficit mali, sed voluntas maligna efficit ebrietatem*, etc. Ex his porro verbis arguitur homiliam illam, quæ ut nuper habita memoratur in hac prima concione in Actorum initium, eam ipsam esse, quæ contra Ebriosos in die Resurrectionis dicta fuit, atque adeo hanc primam paucis post Pascha diebus habitam fuisse. Idipsum vero probatur etiam ex alio hujus homiliæ loco, num. 3, ubi dicitur: *Superioribus apud vos diebus de apostolicis verbis, deque evangelicis disseruimus, cum de Juda verba faceremus: disseruimus et de propheticis, hodierno die volumus de Apostolorum Actis*, etc. Hic omnino videtur agi de Homilia in Judam, quæ habita fuit feria V in Cœna Domini, ubi de apostolicis et de propheticis verbis edisserit. Hujus porro homiliæ duplicem textum edimus, quia cum priorem de Juda, cujus initium est, Θλῖψα ἀνάγκη σήμερον, aliquot ante annis habuisset, posteriorem, quæ sic init, Ἐβουλόμην, ἀγαπητοί, τῆς κατὰ τὸν παραλυτικὸν, eamdem, quam

ἐπιτεύξῃ πάντων. Καὶ τὸ ὑπόδειγμα ἀσφαλὲς ἀπὸ τοῦ Ἰὼβ, ἀπὸ τῶν ἀποστόλων, οἳ διὰ τὸν Θεὸν καταφρονήσαντες τῶν ἐνταῦθα δεινῶν, τῶν αἰωνίων ἐπέτυχον ἀγαθῶν. Πειθώμεθα τοίνυν, καὶ ἐν πᾶσι τοῖς συμβαίνουσι χαίρωμεν, καὶ εὐχαριστῶμεν τῷ φιλανθρώπῳ Θεῷ, ἵνα καὶ τὸν παρόντα μετ' εὐκολίας διαγωμεν βίον, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα, τιμὴ καὶ κράτος πάντοτε, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

AD HOMILIAS IN PRINCIPIUM ACTORUM.

priorem, sed retractatam, et aliquot in locis auctam eadem ipsa Quadragesima habuit, qua Homilias in Genesim. Hanc enim post trigesimam secundam in Genesim homiliam, intermisso videlicet Homiliarum in Genesim cursu, Antiochiæ habuit, ut in Monito ad Homiliam de Proditore Juda diximus, atque infra dicemus in Præfatione ad Homilias in Genesim. Certum itaque est has in principium Actorum homilias eodem anno habitas esse, quo Homilia illa in Judam, cujus initium, Ἐβουλόμην, ἀγαπητοί, et Homilia contra Ebriosos et de Resurrectione, paucisque post utramque diebus.

Hunc porro ordinem ipse Chrysostomus statuit Homil. 33 in Genesim, ubi rationem reddens cur Homiliarum in Genesim, quas per totam Quadragesimam habuerat, cursum interceperit, hæc habet: *Mensa autem vobis proponenda erat suis congrua temporibus. Et idcirco quando venit dies Traditionis et Passionis, continua docendorum serie resecta, præsentibus quæ urgebant nos accommodantes, primum in Proditorem linguam laxavimus: deinde de Cruce aliqua in medium protulimus. Postea, illucescente Resurrectionis die necessarium erat, ut de Resurrectione Domini caritatem vestram doceremus: et sequentibus diebus, per ea miracula, quæ tunc facta sunt, resurrectionis demonstratio iterum afferenda erat. Quando etiam Acta Apostolorum accipientes, inde vobis frequentia convivia apposuimus; ac multas crebrasque admonitiones iis dedimus, qui nuper* [*baptismi*] *gratiam acceperant.* Hic magnam homiliarum continenter habitarum seriem habemus. Per totam igitur Quadragesimam Homilias duas et triginta priores in Genesim habuit: Feria autem quinta in Cœna Domini Homiliarum in Genesim cursum intercepit, ut de Juda proditore loqueretur, quod etiam ipse dicit initio illius Homiliæ de Juda, cujus initium, Ἐβουλόμην, ἀγαπητοί, quæ sequitur illas triginta duas in Genesim homilias. Die Parasceves sequenti Homiliam habuit de Cruce et Latrone, alterutram ex iis, quas continua serie edidimus Tom. 2: nam, ut de Concione in Judam dicebamus, eam bis a Chrysostomo, sed retractatam, et aliquot in locis mutatam, habitam fuisse, idipsum deprehendimus de Homilia in Crucem et Latronem, ut in Monito ad eamdem videas. Postea vero in die Paschæ contra ebriosos et de resurrectione concionatus est, ut jam supra vidimus. Tempore autem paschali Homilias in principium Actorum habuit, quarum quatuor vel quinque supersunt, si annumeremus illam de qua initio.

Cave autem putes has in Acta Apostolorum homilias, quæ in supra allato loco memorantur, esse corpus illud Homiliarum in Acta, quæ magno numero infra edentur; nam illæ Constantinopoli haud dubie habitæ sunt, hæ vero in principium Actorum, Antiochiæ, ut liquidum est: atque in prima et tertia ad nuper baptizatos cohortationes animadvertimus illas, quas in loco supra allato se habuisse commemorat. Post illas vero in principium Actorum conciones intermissum Concionum in Genesim ordinem Chrysostomus repetit.

Hic cernis magnam et perspicuam concionum seriem, eodem habitam anno. Quodque mirum videatur, in tanto homiliarum decursu ne γρῦ quidem comparet, unde quis ille fuerit annus expiscari vel probabiliter possimus. Opinatur Tillemontius aliquam temporis notam posse decerpi ex Homilia secunda de Christi Precibus, ubi sic orditur Chrysostomus: Ἱκανῶς ἐν ταῖς ἔμπροσθεν ἐπανηγυρίσαμεν ἡμέραις, τῶν ἄθλων ἐπιλαβόμενοι τῶν ἀποστολικῶν καὶ τῇ διηγήσει τῶν πνευματικῶν ἐντρυφήσαντες κατορθωμάτων, i. e. *Superioribus diebus abunde in celebri cœtu conciones habuimus, apostolica certamina tractantes, et spiritualium recte factorum narratione nos oblectantes.* Hæc, inquit ille, apostolica certamina probabiliter referri possunt ad Concionis præcedentis locum illum, versus finem, ubi ait apostolos esse quasi principes, quorum præclara gesta sunt recensenda. Verum non animadvertit Tillemontius, in illo Homiliæ II de Christi Precibus principio de multis in apostolorum certamina concionibus agi, quod non potest quadrare ad Homiliam, quæ in prius editis præcedebat illam de Christi precibus, quamque nos Chrysostomo duce primam in principium Actorum constituimus. Deinde Homilia illa secunda de Christi precibus anno 387 habita est, ipso fatente recteque statuente Tillemontio, qua vero anni parte incertum; sed vel ante vel post Quadragesimam illius anni dictam oportet; si ante Quadragesimam, quomodo dixerit Chrysostomus se nuper ἐν ταῖς ἔμπροσθεν ἡμέραις de apostolorum certaminibus egisse, de homilia loquens, quam paucis post Pascha anni præcedentis 386 diebus habuisset? Si post Quadragesimam et tempus paschale, cum illa Homilia prior in principium Actorum eodem anno habita fuerit in tempore paschali, quo Homiliæ in Genesim per totam Quadragesimam habitæ sunt, sequeretur Homilias in Genesim anno 387 in Quadragesima habitas fuisse. At certum est Quadragesimam totam anni 387 Homiliis circa Statuas eversas et calamitatem Antiochenam insignatam fuisse. Alioquin vero non sibi constat Tillemontius, si Homiliam primam in principium Actorum consignet in annum 387, quando certum omnino est, ipso fatente Tillemontio, eam eodem anno pronuntiatam fuisse, quo Homiliæ in Genesim, quas ipse probabiliter statuit anno 395 habitas fuisse. Si vel certis vel verisimilibus argumentis id statueret Tillemontius, hunc haud dubie calculum sequeremur. Sed cum res admodum obscura incertaque videatur, donec quid probabilius emergat, calculo ferendo supersedebimus.

Homiliarum in principium Actorum interpretatio est Frontonis Ducæi.

SERMO

AD EOS QUI CONVENTUM ECCLESIÆ DESERUERUNT, ET QUOD NON OPORTEAT SACRARUM SCRIPTURARUM TITULOS PRÆTERMITTERE, ET IN INSCRIPTIONEM ALTARIS, ET IN NUPER ILLUMINATOS.

1. Quid hoc sibi vult? Quo nobis festa ulterius progrediuntur, eo minores collectæ fiunt. Ne tamen idcirco desides simus nos qui adsumus : siquidem minores fiunt, si multitudinem spectes; si alacritatem animi, non fiunt minores : numero fiunt minores, non affectu. Porro idcirco minuuntur, ut qui in vobis probati sunt, manifesti fiant, et quinam ex consuetudine, quinam divinorum eloquiorum cupiditate, quinam lectionis spiritualis desiderio ducti ad annuam ventitent solemnitatem, sciamus. Præcedenti dominica civitas hic aderat universa, plena erant septa, et multitudo recedentes fluctus atque redeuntes imitabatur : sed mihi fluctibus illis optatior et gratior est tranquillitas vestra; pluris ego facio quietem vestram, quam tumultum et turbas illas. Tum præsentia dinumerare corpora licebat, nunc affectus plenos pietatis. Si quis hanc paucorum hominum collectam, et ex pauperibus majori ex parte constantem, et illam multorum hominum ex divitibus majore ex parte conflatam, si quis utrasque collectas istas tamquam in trutina et statera ponderare voluerit, hanc comperiet præponderare. Quamquam enim, si numeri ratio habeatur, minores estis : si tamen cupiditatem affectumque spectemus, pluris faciendi estis. Ita fit in rebus, quæ ponderantur : si quis decem aureos stateras sumat, et in una lance deponat, ac deinde in altera centum æreos nummos; trutinam quidem centum ærei nummi deorsum ad se trahunt, attamen aurei decem illi cum habita ratione materiæ graviores sint ac pretiosiores, naturæ suæ dignitate præponderant. Itaque fieri potest, ut qui pauci sunt numero, pluris faciendi sint et utiliores habeantur illis qui numero multi sint. Sed quid ego vobis exempla profero a rebus consuetis repetita, cum ipsam a Deo prolatam sententiam oporteat in medium afferri? Quid igitur illa dicit? *Melior est unus faciens voluntatem Domini, quam innumeri prævaricatores* (*Eccli.* 16. 3). Est enim, est sæpe unus homo innumeris æquiparandus. Quid dico unum hominem solum æquiparandum innumeris? imo toto orbe terrarum utilior et pretiosior censetur. Atque hujus rei testimonium ex Pauli verbis mutuabor. Cum enim hominum paupervm, vexatorum, exagitatorum, afflictorum mentionem fecisset, adjecit : *Circuierunt in melotis, in pellibus caprinis, egentes, angustiati, afflicti, quibus dignus non erat mundus* (*Heb.* 11. 37. 38). Quid ais? Hominibus egentibus, afflictis, patrias sedes non habentibus dignus non erat mundus? Non vides quam paucos tam multis opposueris? Video, inquit, et ideo dixi mundum illis non fuisse dignum : nota quippe mihi est numismatum istorum natura. Si terram posuero, mare, reges, præfectos, et totam omnino naturam humanam, et duos tresve pauperes his opposuero, confidenter asseram fore, ut pauperes isti præponderent. Quod si illi e patriis sedibus expellebantur, tamen patriam supernam Jerusalem habebant. In paupertate vitam agebant; at pietate divites erant. Hominibus erant odiosi, at Deo grati. Quinam illi porro sunt? Helias, Elisæus, et illius temporis omnes. Neque vero id spectes, quod ne alimenta quidem illis necessaria suppetebant : at quod os Heliæ cælum clauserit et aperuerit, ejusque melote Jordanem retro flexerit.

Invehitur in eos qui spectaculis intersunt. — Atque hæc cum mihi veniunt in mentem, gaudeo, et doleo : gaudeo quidem propter vos qui adestis : doleo vero propter eos qui absunt : doleo valde, molesteque fero et corde conteror. Quis enim est adeo sensus doloris expers, ut non doleat cum in ea quæ ad diabolum pertinent, plus studii conferri cernat? Atqui nulla spes veniæ nobis vel excusationis reliqua esset, si vel æquale studium conferretur : cum autem etiam longe superet, quis nobis defensionis locus relinquitur? Quotidie nos invitant spectacula, nec ullus pigritatur, nullus est qui cunctetur; nullus est qui negotiorum occupationes obtendat, sed tamquam expediti et omni cura soluti accurrunt omnes : non canitiem senex reveretur, non ardorem naturæ ac libidinis juvenis suspectum habet, neque dignitatem suam probro se afficere censet opulentus. At si quidem ad ecclesiam veniendum sit, quasi ex aliquo sublimi gradu et honore desiliendum sit, ita pigritatur et torpet, et inflatur deinde, quasi quidpiam fuerit Deo largitus : cum vero properat ad theatrum, ubi sunt lasciva spectacula et acroamata, non existimat se probro seipsum afficere, non divitias suas nec nobilitatem. Scire cuperem, ubi nunc sint, qui tum illo die nos interturbabant, siquidem interturbatio quædam erat ipsorum præsentia : scire cuperem quid nunc agant, quid utilius his, quæ nobis sunt præ manibus, illos occupet. Imo nulla occupatio illos detinet, sed solus fastus. Quo quid insanius videri potest? Cur enim, quæso, magnifice ac superbe de te sentis, mi homo? teque nobis gratificari censes, si cum huc veneris attendas, et quæ ad salutem animæ tuæ pertinent audias? quam ob causam, quæso, et cujus rei gratia

[48-50] ΟΜΙΛΙΑ

Πρὸς τοὺς ἐγκαταλείψαντας τὴν σύναξιν τῆς Ἐκκλησίας, καὶ εἰς τὸ μὴ παρατρέχειν τὰς ἐπιγραφὰς τῶν θείων Γραφῶν, καὶ εἰς τὸ ἐπίγραμμα τοῦ βωμοῦ, καὶ εἰς τοὺς νεοφωτίστους.

α'. Τί τοῦτο; ὅσον προῆσιν ἡμῖν αἱ ἑορταί[a], τοσοῦτον καὶ αἱ συνάξεις ἐλάττους γίνονται. Ἀλλὰ μὴ ῥᾳθυμῶμεν ἡμεῖς οἱ παρόντες· ἐλάττους μὲν γίνονται τῷ πλήθει, οὐκ ἐλάττους δὲ τῇ προθυμίᾳ· ἐλάττους τῷ ἀριθμῷ, οὐκ ἐλάττους δὲ τῷ πόθῳ. Ἐλάττους γίνονται, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται ἐν ὑμῖν, καὶ μάθωμεν, τίνες μὲν συνηθείᾳ, τίνες δὲ ἐπιθυμίᾳ θείων λογίων παραγίνονται δι' ἐνιαυσίου ἑορτῆς, τίνες ἐπιθυμίᾳ ἀκροάσεως πνευματικῆς. Πᾶσα ἡ πόλις ἦν ἐνταῦθα τῇ προτέρᾳ κυριακῇ, μεστοὶ οἱ περίβολοι, καὶ κύματα ἀπιόντα καὶ ἐπανιόντα ἐμιμεῖτο τὸ πλῆθος· ἀλλ' ἐμοὶ τῶν κυμάτων ἐκείνων ποθεινοτέρα ἡ ὑμετέρα γαλήνη, ἐμοὶ τοῦ θορύβου καὶ τῆς ταραχῆς ἐκείνης τιμιωτέρα ὑμῶν ἡ ἡσυχία. Τότε τὰ σώματα ἦν ἀριθμεῖν παρόντα, νῦν τὰ φρονήματα εὐλαβείας γέμοντα. Εἴ τις τὴν σύναξιν ταύτην τὴν ὀλιγάνθρωπον καὶ τὸ πλέον ἐκ πενήτων συνεστηκυῖαν, κἀκείνην τὴν σύναξιν τὴν πολυάνθρωπον καὶ τὸ πλεῖον ἀπὸ πλουσίων συγκεκροτημένην, εἴ τις ἀμφοτέρας τὰς συνάξεις ταύτας ὥσπερ ἐν ζυγῷ καὶ σταθμῷ θελήσει σταθμῆσαι, εὕρῃ ἂν ταύτην καθέλκουσαν. Εἰ γὰρ ἐλάττους τῷ ἀριθμῷ, ἀλλὰ τιμιώτεροί ἐστε τῇ ἐπιθυμίᾳ. Οὕτω καὶ ἐπὶ τῶν σταθμητῶν γίνεται· ἐὰν δέκα τις στατῆρας χρυσίου λαβὼν εἰς μίαν κατάθηται πλάστιγγα, εἶτα εἰς τὴν ἑτέραν πλάστιγγα χαλκοὺς ἑκατόν, οἱ μὲν ἑκατὸν χαλκοὶ πρὸς ἑαυτοὺς καθέλκουσι τὴν τρυτάνην· οἱ δὲ δέκα χρυσοὶ τῇ τῆς φύσεως ὑπεροχῇ μειζόνως ἀνθέλκουσι, βαρύτεροι καὶ τιμιώτεροι ὄντες κατὰ τὸν τῆς οὐσίας λόγον. Ὥστε ἔστιν ὀλίγους ὄντας τῷ ἀριθμῷ, τῶν πολλῶν εἶναι τιμιωτέρους καὶ ἀναγκαιοτέρους. Ἀλλὰ τί ὑμῖν τὰ παραδείγματα ἀπὸ τῶν ἐν τῇ συνηθείᾳ φέρω πραγμάτων, δέον αὐτὴν τοῦ Θεοῦ τὴν ψῆφον περὶ τούτων παραγαγεῖν ἀποφαινομένην; Τί οὖν αὕτη φησί; *Κρείσσων εἷς ποιῶν τὸ θέλημα τοῦ Κυρίου, ἢ μυρίοι παράνομοι.* Ἔστι γάρ, ἔστι πολλάκις ἄνθρωπος εἷς μυρίων ἀντάξιος. Καὶ τί λέγω, ἔστιν εἷς ἄνθρωπος μυρίων ἀντάξιος μόνος; ἀλλὰ καὶ τῆς οἰκουμένης ἀναγκαιότερος καὶ [51] τιμιώτερος. Καὶ τούτου τὴν μαρτυρίαν ἀπὸ τῶν Παύλου ῥημάτων ποιήσομαι. Ἀνθρώπων γὰρ μνησθεὶς πενήτων, ἐλαυνομένων, θλιβομένων, κακουχουμένων, οὕτω φησί· *Περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος.* Τί λέγεις; τῶν ὑστερουμένων, τῶν κακουχουμένων, τῶν οὐκ ἐχόντων πατρίδα οὐκ ἦν ἄξιος ὁ κόσμος; Οὐχ ὁρᾷς πόσους πόσοις ἀντέστησας; Ὁρῶ μέν, φησί, καὶ διὰ τοῦτο εἶπον ὅτι οὐκ ἦν ὁ κόσμος ἄξιος αὐτῶν· ἐγὼ γὰρ τῶν νομισμάτων τούτων τὴν φύσιν οἶδα σαφῶς. Καὶ γῆν, καὶ θάλατταν, καὶ βασιλεῖς, καὶ ἐπάρχους, καὶ πᾶσαν ἁπλῶς τῶν ἀνθρώπων τὴν φύσιν τιθεὶς, καὶ δύο ἢ τρεῖς πένητας τούτοις ἀντιστήσας, θαῤῥῶν ἂν εἴποιμι, ὅτι οὗτοι μᾶλλον κατάγουσιν οἱ πένητες. Εἴπερ ἐκεῖνοι ἀπηλαύνοντο πατρίδος, ἀλλ' εἶχον πατρίδα τὴν ἄνω Ἱερουσαλήμ. Ἐν πενίᾳ διῆγον· ἀλλ' ἐπλούτουν κατὰ τὴν εὐσέβειαν. Ἀνθρώπων ἦσαν ἐχθροί· ἀλλὰ τῷ Θεῷ φίλοι. Καὶ τίνες εἰσὶν οὗτοι; Ὁ Ἠλίας, ὁ Ἐλισσαῖος, καὶ οἱ κατ' ἐκείνους ἅπαντες. Μὴ γὰρ δὴ τοῦτο ἴδῃς, ὅτι οὐδὲ τῆς ἀναγκαίας ηὐπόρουν τροφῆς, ἀλλ' ὅτι τὸ στόμα Ἠλίου τὸν οὐρανὸν ἔκλεισε καὶ ἀνέῳξε, καὶ ἡ μηλωτὴ αὐτοῦ τὸν Ἰορδάνην ἀπέστρεψε.

Καὶ ταῦτα ἐννοῶν χαίρω, καὶ ἀλγῶ· χαίρω μὲν δι' ὑμᾶς τοὺς παρόντας, ἀλγῶ δὲ δι' ἐκείνους τοὺς μὴ παρόντας· ἀλγῶ σφόδρα, καὶ ὀδυνῶμαι, καὶ συντέτριμμαι τὴν καρδίαν. Τίς γὰρ καὶ τῶν σφόδρα ἀναλγήτων οὐκ ἂν ἀλγήσειε τὰ τοῦ διαβόλου πλείονος ἀπολαύοντα σπουδῆς ὁρῶν; Καίτοι εἰ καὶ ἴσης ἀπήλαυσεν, οὐδεμία ἡμῖν ἦν ἡ συγγνώμη, οὐδὲ ἀπολογία ὅταν δὲ καὶ πλεονεκτῇ, τίς ἡμῖν ἐλλείπεται λόγος; Θέατρα καθ' ἑκάστην καλεῖ τὴν ἡμέραν, καὶ οὐδεὶς ὁ ὀκνῶν, οὐδεὶς ὁ ἀναδυόμενος, οὐδεὶς ἀσχολίαν προβάλλεται πραγμάτων· ἀλλ' ὥσπερ εὔζωνοι καὶ λελυμένοι φροντίδος ἁπάσης, οὕτω τρέχουσιν ἅπαντες· οὐχ ὁ γέρων τὴν πολιὰν αἰδεῖται, οὐχ ὁ νέος ὑφορᾶται τὴν φλόγα τῆς φύσεως καὶ τῆς ἐπιθυμίας, οὐχ ὁ πλούσιος τὸ ἀξίωμα τὸ ἑαυτοῦ καταισχύνειν ἡγεῖται. Ἀλλ' ἐὰν μὲν εἰς ἐκκλησίαν ἀπαντῆσαι δέῃ, καθάπερ ἐξ ὑπεροχῆς τινος καὶ ἀξιώματος καταβαίνων, οὕτω ναρκᾷ καὶ ὀκνεῖ, καὶ μετὰ ταῦτα φυσᾶται, ὥσπερ τι τῷ Θεῷ χαρισάμενος· εἰς δὲ θέατρον σπεύδων, ἔνθα ἀσελγῆ θεάματα καὶ ἀκούσματα, οὐ νομίζει καταισχῦναι ἑαυτὸν, οὐ τὸν πλοῦτον, οὐδὲ τὴν εὐγένειαν. Ἐβουλόμην εἰδέναι, ποῦ νῦν εἰσιν οἱ κατὰ τὴν ἡμέραν ἐκείνην ἡμῖν ἐνοχλήσαντες· ἐνόχλησις γὰρ ἦν αὐτῶν ἡ παρουσία· ἐβουλόμην εἰδέναι τί πράττουσι, τί τῶν παρόντων αὐτοὺς ἀναγκαιότερον ἀπεσχόλησεν. Ἀλλ' ἀσχολία οὐδεμία, τῦφος δὲ μόνος. Καὶ τί γένοιτ' ἂν μανικώτερον; Τίνος γὰρ ἕνεκεν, ἄνθρωπε, μεγαλοφρονεῖς, καὶ νομίζεις ἡμῖν χαρίζεσθαι, ἐὰν παραγενόμενος ἐνταῦθα προσέχῃς, καὶ ἀκούσῃς τὰ πρὸς σωτηρίαν τῆς σῆς ψυχῆς; τίνος ἕνεκεν, εἰπέ μοι, καὶ διὰ τί ἀλαζονεύῃ; διὰ τὸν πλοῦτον; διὰ τὰ ἱμάτια τὰ σηρικά; Εἶτα οὐκ ἐννοεῖς, ὅτι σκωλήκων εἰσὶν [52] ἐκεῖνα νήματα, καὶ βαρβάρων ἀνθρώπων εὑρέματα;

[a] Cod. Vaticanus 569, p. 174: τί τοῦτο; ὅσῳ πρόεισιν ἡμῖν ἡ ἑορτή. Hic codex paucas habet varias lectiones.

ὅτι πόρναι ἐκείνοις κέχρηνται, καὶ μαλακοὶ, καὶ τυμβωρύχοι, καὶ λῃσταί; Ἐπίγνωθι τὸν δίκαιον πλοῦτον, καὶ κατάβηθί ποτε ἀπὸ τοῦ φυσήματος ἐκείνου τοῦ ὑψηλοῦ καὶ κενοῦ· διάσκεψαι τῆς φύσεως τὸ εὐτελές. Γῆ καὶ σποδὸς εἶ, τέφρα καὶ κόνις, καπνὸς καὶ σκιὰ, χόρτος καὶ ἄνθος χόρτου. Τοιαύτῃ φύσει μεγαλοφρονεῖς, εἰπέ μοι; Καὶ τί τούτου γένοιτ' ἂν καταγελαστότερον; Ἀλλὰ πολλῶν ἄρχεις ἀνθρώπων; Καὶ τί τοῦτο ὄφελος, ὅταν ἀνθρώπων μὲν ἄρχεις, τῶν δὲ παθῶν αἰχμάλωτος εἶ καὶ δοῦλος; Ὥσπερ ἂν τις οἴκοι μὲν ὑπὸ τῶν οἰκετῶν τύπτοιτο καὶ τραύματα λαμβάνοι, ἔξω δὲ εἰς τὴν ἀγορὰν ἐμβάλλων μέγα φρονῇ ἐπὶ τῇ τῶν ἄλλων ἀρχῇ· οὕτω τύπτει σε κενοδοξία, τραύματά σοι ἐπάγει ἡ ἀσέλγεια, πάντων τῶν παθῶν δοῦλος εἶ, καὶ μέγα φρονεῖς ὅτι τῶν ὁμοφύλων ἄρχεις; Εἴθε ἐκείνων ἦρχες, ἐκείνων ἦς ἰσότιμος.

β'. Οὐ τῶν πλουτούντων κατηγορῶν ταῦτα λέγω, ἀλλὰ τῶν κακῶς τῷ πλούτῳ κεχρημένων. Οὐ γὰρ ὁ πλοῦτος κακὸν, ἐὰν εἰς δέον βουλώμεθα αὐτῷ χρήσασθαι, ἀλλ' ἡ ἀπόνοια, καὶ ἡ ἀλαζονεία. Εἰ κακὸν ἦν ὁ πλοῦτος, οὐκ ἂν πάντες ἠὐξάμεθα εἰς κόλπους Ἀβραὰμ ἀπελθεῖν τοῦ ἔχοντος τριακοσίους δέκα καὶ ὀκτὼ οἰκέτας, οἰκογενεῖς. Οὐ τοίνυν ὁ πλοῦτος κακὸν, ἀλλ' ἡ παράνομος αὐτοῦ χρῆσις κακόν. Καὶ ὥσπερ πρώην περὶ μέθης λέγων, οὐ τὸν οἶνον διέβαλλον (πᾶν γὰρ κτίσμα Θεοῦ καλὸν, καὶ οὐδὲν ἀπόβλητον, μετ' εὐχαριστίας λαμβανόμενον), οὕτω καὶ νῦν οὐ τῶν πλουτούντων κατηγορῶ, οὐδὲ τὰ χρήματα διαβάλλω, ἀλλὰ τὴν κακὴν τῶν χρημάτων χρῆσιν, καὶ εἰς ἀσωτίαν δαπανωμένην. Διὰ τοῦτο χρήματα λέγεται, ἵνα ἡμεῖς αὐτοῖς χρησώμεθα, καὶ μὴ ἐκεῖνα ἡμῖν· διὰ τοῦτο κτήματα λέγεται, ἵνα ἡμεῖς αὐτὰ κτησώμεθα, καὶ μὴ ἐκεῖνα ἡμᾶς. Τί οὖν τὸν δοῦλον ἔχεις δεσπότην; τί ἀντέστρεψας τὴν τάξιν; Ἀλλ' ἐβουλόμην μαθεῖν, τί νῦν ποιοῦσιν οἱ τὴν σύναξιν ἐγκαταλείψαντες, καὶ ἐν τίσιν εἰσίν. Ἀλλὰ ἢ κυβεύουσιν, ἢ πάντως πράγματα ἀνακινοῦσι βιωτικὰ, ταραχῆς ἐμπεπλησμένα. Ἐνταῦθα εἰ παρῆς, ἄνθρωπε, ἐν γαλήνῃ ἦς καὶ ἐν λιμένι· οὐκ οἰκονόμος εἰσελθὼν ἐτάραττεν, οὐκ ἐπίτροπος ἐθορύβει, οὐκ οἰκέτης ὑπὲρ πραγμάτων βιωτικῶν ἠνώχλει, οὐκ ἄλλος τις παρώξυνεν· ἀλλ' ἐν ἡσυχίᾳ διάγων ἀπήλαυες θείων ἀκροάσεων. Οὐδαμοῦ κύματα ἐνταῦθα, οὐδαμοῦ ταραχή· ἀλλ' εὐλογία, καὶ εὐχαὶ, καὶ ὁμιλία πνευματικὴ, καὶ μετάστασις εἰς τὸν οὐρανόν· καὶ ἐντεῦθεν ἤδη τὸν ἀῤῥαβῶνα τῆς βασιλείας τῶν οὐρανῶν λαβὼν ἀπῇεις. Τίνος ἕνεκεν τὴν πλουσίαν ταύτην τράπεζαν ἄφεις, εἰς ἑτέραν φορτικωτέραν ἑαυτὸν μετήγαγες, καὶ τὸν λιμένα καταλιπὼν, ταραχὴν ἀντικαταλλάττῃ γαλήνης; Τὸ μὴ παραγενέσθαι πένητας τοὺς τότε παρόντας, δεινὸν μὲν, ἀλλ' οὐδὲ οὕτω δεινὸν, ὡς τὸ μὴ παραγενέσθαι πλουσίους. Τίνος ἕνεκεν; Ὅτι οἱ μὲν πένητες ἔχουσι τὴν ἀναγκαίαν ἀσχολίαν, τὴν φροντίδα τῆς καθημερινῆς [53] ἐργασίας, ἀπὸ τῶν χειρῶν ποιούμενοι τὸν βίον· παιδοτροφίας ἐπιμελοῦνται, γυναικὸς προεστήκασι, κἂν μὴ κάμωσι, τὰ τῆς ζωῆς αὐτοῖς οἰχήσεται. Ταῦτα λέγω, οὐχὶ ἀπολογίαν ὑπὲρ ἐκείνων συντιθεὶς, ἀλλὰ δεικνὺς πῶς μείζονος κατηγορίας οἱ πλουτοῦντές εἰσιν ἄξιοι. Ὅσον πλείονος ἀπολαύουσιν ἀδείας, τοσοῦτον καὶ καταχρίσεως, ὅτι οὐδενὶ τούτων κατέχονται.

Οὐχ ὁρᾶτε τοὺς Ἰουδαίους, τοὺς θεομάχους, τοὺς ἀντιπίπτοντας τῷ ἁγίῳ Πνεύματι, τοὺς σκληροτραχήλους; Τούτων οἱ μὴ παραγενόμενοι πάντων χείρους εἰσίν. Ἐκείνοις ἐὰν εἴπωσιν οἱ ἱερεῖς ἑπτὰ ἡμέρας ἀργῆσαι, καὶ δέκα, καὶ εἴκοσι, καὶ τριάκοντα, οὐκ ἀντιλέγουσι· καίτοι τί τῆς ἀργίας ἐκείνης χαλεπώτερον; Τὰς θύρας ἀποκλείουσι, καὶ οὔτε πῦρ καίουσιν, οὐχ ὕδωρ φέρουσιν, οὐκ ἄλλο τι πρὸς τὴν χρείαν τὴν τοιαύτην μεταχειρίζειν ἐφίενται· ἀλλ' ἔστιν ἄλυσις αὐτοῖς ἡ ἀργία, καὶ οὐδὲ οὕτως ἀντιλέγουσιν. Ἐγὼ δὲ οὐδὲν τοιοῦτον λέγω, ὅτι Ἑπτὰ ἡμέρας ἄργησον, οὐδὲ δέκα ἡμέρας· ἀλλὰ δύο μοι δάνεισον ὥρας τῆς ἡμέρας, καὶ τὰς λοιπὰς αὐτὸς ἔχε· καὶ οὐδὲ τοῦτό μοι τὸ μέτρον εἰσφέρεις. Μᾶλλον δὲ μὴ ἐμοὶ δανείσῃς τὰς δύο ὥρας, ἀλλ' ἑαυτῷ· ἵνα παράκλησίν τινα εὐχῆς δέξῃ πατέρων, ἵνα εὐλογιῶν πεπληρωμένος ἀναχωρήσῃς, ἵνα πανταχόθεν ἀσφαλὴς ἀπέλθῃς, ἵνα τὰ ὅπλα λαβὼν τὰ πνευματικὰ ἀκαταγώνιστος γένῃ, ἀχείρωτος τῷ διαβόλῳ. Τί ἡδύτερον, εἰπέ μοι, τῆς ἐνταῦθα διαγωγῆς; Εἰ γὰρ διημερεύειν ἐνταῦθα ἐχρῆν, τί σεμνότερον; τί ἀσφαλέστερον, ὅπου ἀδελφοὶ τοσοῦτοι, ὅπου τὸ Πνεῦμα τὸ ἅγιον, ὅπου Ἰησοῦς μέσος, καὶ ὁ τούτου Πατήρ; Ποίαν ἑτέραν ζητεῖς συναγωγὴν τοιαύτην; ποῖον ἕτερον βουλευτήριον; ποίαν σύνοδον; Τοσαῦτα ἀγαθὰ ἐν τῇ τραπέζῃ, ἐν τῇ ἀκροάσει, ἐν ταῖς εὐλογίαις, ἐν ταῖς εὐχαῖς, ἐν ταῖς συνουσίαις· καὶ σὺ πρὸς ἑτέρας βλέπεις διατριβάς; Καὶ ποίαν ἔχεις συγγνώμην; Ταῦτα οὐχ ἵνα ὑμεῖς ἀκούσητε εἶπον· οὐ γὰρ χρείαν ἔχετε τῶν φαρμάκων τούτων ὑμεῖς, οἱ διὰ τῶν ἔργων ἐπιδειξάμενοι τὴν ὑγίειαν, τὴν ὑποκοὴν, οἱ διὰ τῆς σπουδῆς τὸν πόθον ἁπλώσαντες· ἀλλ' εἶπον ταῦτα πρὸς ὑμᾶς, ἵνα ἀκούσωσιν οἱ μὴ παρόντες δι ὑμῶν. Μὴ εἴπητε, ὅτι κατηγόρησα τῶν μὴ παραγενομένων ἁπλῶς, ἀλλ' ὅλον ἄνωθεν αὐτοῖς διηγήσασθε τὸν λόγον. Ἀναμνήσατε αὐτοὺς τῶν Ἰουδαίων, ἀναμνήσατε αὐτοὺς τῶν βιωτικῶν πραγμάτων· εἴπατε πόσῳ βελτίων ἡ ἐνταῦθα σύναξις, εἴπατε πόσην σπουδὴν περὶ τὰ τοῦ κόσμου πράγματα ἐπιδείκνυνται, εἴπατε πόσος μισθὸς ἕπεται τοῖς ἐνταῦθα συλλεγομένοις. Ἂν γὰρ μόνον εἴπητε, ὅτι κατηγόρησα, τὸν μὲν θυμὸν ἠγείρατε, καὶ τραῦμα εἰργάσασθε, τὸ δὲ φάρμακον οὐκ ἐπεθήκατε· ἂν δὲ διδάξητε αὐτοὺς, ὅτι οὐχ ὡς ἐχθρὸς κατηγόρησα, ἀλλ' ὡς φίλος ὀδυνώμενος, καὶ πείσητε αὐτοὺς, ὅτι *Ἀξιοπιστότερα τραύματα φίλων, ἢ ἑκούσια φιλήματα ἐχθρῶν*, δέξονται μετὰ πολλῆς ἡδονῆς τὴν κατηγορίαν· οὐ γὰρ τοῖς ῥήμασιν, ἀλλὰ τῇ γνώμῃ τοῦ λέγοντος προσέξουσιν. Οὕτω θεραπεύετε τοὺς ἀδελφοὺς τοὺς ὑμετέρους. Ἡμεῖς τῆς σωτηρίας ὑπεύθυνοι τῶν παρόντων ὑμῶν, ὑμεῖς τῆς τῶν ἀπολειφθέντων. Οὐ [54] δυνά-

gloriaris? an ob divitias? an ob vestes sericas? Cur non potius cogitas illas vermium esse stamina et barbarorum hominum inventa? meretrices illis ac molles, et sepulcrorum perfossores, ac latrones uti? Divitias agnosce legitimas, et ab illo sublimi vanoque fastu aliquando delabere; naturæ vilitatem considera. Terra es et pulvis, cinis et favilla, fumus et umbra, fœnum et flos fœni. Taline, quæso, natura gloriaris? Quid vero esse potest magis ridiculum? Atqui multis hominibus imperas? Quid hoc tibi prodest, quod hominibus imperes, cum perturbationum tuarum servus et captivus sis? Quemadmodum si quis domi quidem a famulis verberibus ac vulneribus concidatur, foris autem in forum veniens, quod aliis imperet, glorietur: ita cum te verberet inanis gloriæ cupiditas, cum tibi vulnera infligat luxuria, cum omnium perturbationum servus sis, gloriaris quod gentilibus tuis imperes? Atque utinam illis imperares! utinam æquiparandus illis esses!

2. *Non divitiæ, sed divitiarum abusus damnandus.*— Non ut divites accusem hæc dico, sed eos qui divitiis perperam utuntur. Neque enim malum sunt divitiæ, si eis ut oportet uti voluerimus, sed superbia et arrogantia. Si malum essent divitiæ, nequaquam ad sinum Abrahæ pervenire optaremus omnes, qui vernaculos habuit trecentos et octodecim famulos. Non sunt igitur malum divitiæ, sed illegitimus earum usus est malum. Et sicut nuper de ebrietate verba faciens non vinum accusabam (*a*); quippe cum omnis creatura Dei bona, nihilque rejiciendum sit quod cum gratiarum actione percipitur (1. *Tim.* 4. 4): ita nunc quoque non divites accuso, neque pecunias in invidiam adduco, sed malum usum pecuniarum, et qui in libidines impenditur. Propterea χρήματα (*b*) pecuniæ dicuntur, ut nos illis utamur, et non illæ nobis: propterea possessiones dicuntur, ut nos illas possideamus, et non illæ nos. Cur igitur servum habes dominum? cur invertisti ordinem? At enim scire percuperem, quid illi nunc agant qui collectam deseruerunt, et quibus occupentur. Nimirum aut alea ludunt, aut omnino rebus sæcularibus, quæ tumultu redundant, distinentur. Hic si adesses, mi homo, in tranquillitate atque in portu esses: non ingressus dispensator interturbaret, non procurator interpellaret, non famulus ob sæcularia negotia molestiam afferret, non alius ullus irritaret, sed in quiete vivens divinis lectionibus interesses. Nusquam hic fluctus: nusquam tumultus, sed benedictio et preces, et sermo spiritualis, et in cælum commigratio, et jam ex hoc loco, accepto pignore regni cælorum, discederes. Quam ob causam opulentam hanc mensam et opiparam deserens, ad aliam multo molestiorem te transtulisti, et derelicto portu cum turbis tranquillitatem commutasti? Est illud quidem grave, quod non intersint pauperes, qui tum aderant: sed non ita tamen grave, ut quod divites non intersint. Quid ita? Quod pauperes necessariis occupationibus detineantur, quotidiani opificii sollicitudine, manibus suis victum sibi comparantes: educandorum liberorum curam gerunt, uxorem tuentur, ac nisi laborent, vivere nequeunt. Hæc a me dicuntur, non ut defensionem illis componam, sed ut divites majori accusatione esse dignos ostendam. Quanto majori securitate fruuntur, tanto magis damnabuntur, quod nullis ejusmodi rebus occupentur.

Judæis pejores qui absunt ab ecclesia. — Nonne Judæos videtis, Deo rebelles, qui Spiritui sancto resistunt, duros illos cervice? His omnino pejores sunt, qui non venerunt. Illis si dixerint sacerdotes septem diebus ab operibus cessandum, vel decem, vel viginti, vel triginta, non contradicunt: tametsi quid illa vacatione molestius fieri potest? Fores occludunt, nec ignem accendunt, nec aquam ferunt, neque aliud quidquam ad ejusmodi usum aggredi illis permittitur: sed otio tamquam catena vinciuntur, et ne tum quidem contradicunt. At ego nihil tale dico, non impero ut septem decemve diebus ab operibus abstineas, sed duas mihi diei horas ut commodes, reliquas ipse tibi habeas, et ne hanc quidem mihi mensuram contribuis. Imo vero mihi ne commodes duas horas, sed tibi ipsi, ut ex oratione patrum aliquam consolationem percipias, ut benedictionibus plenus recedas, ut omni ex parte securus abeas, ut spiritualibus acceptis armis invictus diabolo et inexpugnabilis fias. Quid jucundius, quæso, quam hic versari? Si enim totos dies hic transigere necesse esset, quid præclarius? quid tutius, ubi tot sunt fratres, ubi Spiritus sanctus, ubi medius Jesus, et Pater ejus? Qualem aliam talem congregationem quæris? qualem alium senatum? qualem conventum? Tot bonis referta est mensa, tot lectio Scripturæ, tot benedictiones, tot preces, tot ipsi congressus: et tu aliam conversationem et colloquia spectas? Quanam autem venia dignus censebere? Hæc a me dicta sunt, non ut vos audiatis: neque enim vos medicamentis ejusmodi indigetis, qui ipsis operibus sanos vos esse comprobastis, qui obeditis, qui tanto studio vestrum amorem ostendistis: sed ad vos hæc dicta sunt a me, ut ex vobis audiant qui non adsunt. Nolite dicere solum a me accusatos eos esse qui non venerunt, sed totam a principio illis orationem narrate. Revocate illis in memoriam Judæos, revocate in memoriam negotia sæcularia: dicite quanto præstantior sit isto conventus: dicite quantum erga res mundanas studium exhibeant, dicite quanta merces illos maneat, qui hic congregantur. Si enim tantum dixeritis accusatos illos a me fuisse, iram excitabitis, et vulnus infligetis, non medicinam admovebitis: sin autem illos docueritis me non tamquam inimicum accusasse, verum tamquam amicum indoluisse, atque illis persuaseritis, *Fideliora esse vulnera amicorum, quam spontanea oscula inimicorum* (*Prov.* 27. 6), accusationem multa cum voluptate suscipient: non enim ad verba, sed ad sententiam dicentis attendent. Ita fratres vestros curate. Nobis salutis omnium vestrum, qui adestis,

(*a*) Vide supra Homil. contra Ebriosos et de Resurrectione.

(*b*) A verbo, χράομαι, id est, *utor*.

est ratio reddenda, vobis, eorum qui absunt. Non possumus ipsi per nos cum illis in colloquium venire, per vos cum illis in colloquium veniamus, et per vestram eruditionem : sit nobis instar pontis cujusdam erga illos caritas vestra : efficite ut per linguam vestram nostri sermones ad illorum aures trajiciantur. Sufficient fortasse quæ diximus de illis, qui collectæ non intersunt, neque quidquam est addendum. Nam plura quidem dicere potuissemus, sed ne totum tempus in ejusmodi accusationes impendamus, et ad vos ipsos, qui adestis, hinc utilitas nulla dimanet, age, vobis etiam insolitum ac novum quoddam opsonium apponamus : insolitum autem ac novum dico, non habita ratione mensæ spiritualis, sed aurium vestrarum habita ratione.

3. Superioribus apud vos diebus de apostolicis verbis, deque evangelicis disseruimus, cum de Judâ verba faceremus (*a*) : disseruimus et de propheticis ; hodierno die volumus de Apostolorum Actis verba facere. Propterea insolitum dixi opsonium et non insolitum. Non insolitum quidem, quod ad seriem sacrarum pertineat Scripturarum : insolitum autem, quod aures fortasse vestræ minime sint narrationi ejusmodi assuetæ. Multis quidem certe nec notus est liber iste : a multis rursus cum clarus et apertus videatur, tamen contemnitur : et his quidem cognitio, illis autem ignorantia occasionem affert negligentiæ. Ut igitur et qui non noverunt, et qui clare se intelligere arbitrantur, multas in eo profundas et abstrusas esse sententias discant, operæ pretium fuerit amborum negligentiam hodierno die corrigere. Prius sciamus opus est, quis librum scripserit : hic enim optimus indagationis est ordo, ut de auctore videamus, an homo sit, an vero Deus : ac si homo quidem sit, rejiciamus : *Nolite* enim, inquit, *vocare magistrum super terram* (*Matth.* 23. 8) : sin autem Deus, admittamus : cælestis enim est et superna schola nostra, siquidem talis est dignitas hujus theatri, ut ab hominibus nihil, sed per homines a Deo discamus.

Tituli Scripturæ non prætereundi. — Disquirendum nobis est, quis scripserit, et quando scripserit, et de quibus, et qua de causa præceptum sit, ut ille in hac solemnitate egeretur. Nam toto fortassis anno legi librum non auditis. Enimvero hoc quoque nosse prodest : ac deinde quærendum est qua de causa hunc titulum præ se ferat, *Acta Apostolorum*. Neque enim temere prætereundi sunt tituli, neque confestim initium libri attingendum est : sed prius libri nomen videndum. Nam quemadmodum in nobis ex capite reliquum corpus fit notius, et superne imminens illi facies manifestum illud reddit, sic a superiori parte impositus textui titulus in fronte reliquam scripturam efficit notiorem. Nonne hoc videtis in regiis etiam imaginibus, ut sursum quidem posita sit imago, quæ regis nomen inscriptum habet, inferius in basi triumphos regis, victorias et præclara facinora inscripta habet ? Idem in Scripturis licet cernere. Sursum quidem depicta est imago regia : inferius autem victoria inscripta est et tropæa et res omnes præclare gestæ. Ita facimus etiam, cum epistolam acceperimus : non continuo vinculum solvimus, neque continuo quæ intus latent, legimus : sed exterius positam inscriptionem prius percurrimus, et ex illa discimus et qui miserit, et a quo recipi debeat. Annon igitur absurdum est, ut in rebus quidem sæcularibus tantum studii adhibeamus, neque commoveamur, aut perturbemur, sed ordine singula percurramus : hoc vero loco ægre feramus, et confestim initium aggrediamur ? Vultis intelligere quanta sit vis tituli, quanta sit virtus, quantus in Scripturarum initiis reconditus sit thesaurus ? Auscultate, ne sacrorum Librorum titulos contemnatis. Athenas aliquando Paulus ingressus est : hæc historia scripta est in hoc ipso libro ; reperit in urbe non librum sacrum, sed idolorum altare : inscriptionem reperit quæ sic habuit, IGNOTO DEO (*Act.* 17. 23) : neque prætermisit, sed hujus inscriptionis altaris opera ipsum altare subvertit. Paulus ille sanctus, qui Spiritus gratiam habebat, altaris inscriptionem non prætermisit, et tu Scripturarum titulos præteris ? Ille quod Athenienses idololatræ scripserant, non omisit, et tu quæ Spiritus sanctus scripsit necessaria esse non censes ? Qua tandem venia dignus eris ? Verum enim vero quantam pepererit utilitatem hæc inscriptio videamus. Cum ergo altari insculptam inscriptionem tantam videris suppeditasse virtutem, multo magis a Scripturarum inscriptionibus id perfici posse intelliges. Ingressus est urbem Paulus, invenit altare, cui erat inscriptum *Ignoto Deo*. Quid fuit opus facto ? Gentiles erant omnes, impii omnes : quid igitur faciendum fuit ? De Evangeliis verba facere ? At si audissent. Num de prophetarum libris, vel de legis mandatis ? At non credidissent. Quid ergo fecit ? Accurrit ad altare, et suis ipsorum armis hostes subiegit. Atque hoc illud est quod dicebat, *Factus sum omnibus omnia, Judæis tamquam Judæus, iis qui sine lege erant, tamquam sine lege essem* (1. *Cor.* 9 21). Vidit altare, vidit inscriptionem, insurrexit Spiritu. Talis enim est Spiritus gratia : efficit ut qui eam receperint, undique lucrum colligant ; talia sunt arma nostra spiritualia. *In captivitatem* enim, inquit, *redigentes omnem intellectum in obsequium Christi* (2. *Cor.* 10. 5). Vidit ergo altare, nec reformidavit, sed ad seipsum altare traduxit : vel potius omissis litteris, ejus sensum transmutavit : et quemadmodum in bello dux exercitus si generosum militem in hostili acie viderit, et coma prehensum ad aciem militem illum transtulerit, atque ut pro se pugnet, effecerit : ita quoque Paulus egit, cum tamquam in hostium acie inscriptionem altari insculptam offendisset, ad suam aciem transtulit, ut adversus Athenienses cum Paulo pugnaret, non cum Atheniensibus Paulum pugnaret : gladius enim erat Atheniensium, ensis erat hostium illa inscriptio : sed hic ensis hostium caput amputavit. Non ita mirabile fuisset, si quis ipsius armis eos devicisset : hoc enim merito accidit : verum illud novum est et insolens, cum hostium arma tamquam machinas hostibus admovemus, cum gladius,

(*a*) Vide monitum ad homiliam in Judam.

μεθα αὐτοῖς συγγενέσθαι δι' ἑαυτῶν· συγγενώμεθα αὐτοῖς δι' ὑμῶν, καὶ τῆς ὑμετέρας διδασκαλίας· γέφυρά τις ἡμῖν γενέσθω πρὸς ἐκείνους ἡ ὑμετέρα ἀγάπη· ποιήσατε τοὺς ὑμετέρους λόγους διὰ τῆς ὑμετέρας γλώττης διαβῆναι πρὸς τὴν ἐκείνων ἀκρόασιν. Τάχα αὐτάρκως εἴρηται ἕνεκεν τῶν ἀπολειφθέντων τὰ εἰρημένα, καὶ οὐδὲν δεῖ πλέον προσθεῖναι. Ἐνῆν μὲν γὰρ πλείονα εἰπεῖν, ἀλλ' ἵνα μὴ τὸν καιρὸν ἅπαντα εἰς τοῦτο καταδαπανήσωμεν κατηγοροῦντες, ὑμᾶς δὲ μηδὲν ὠφελοῦντες παραγενομένους αὐτούς, φέρε τι καὶ ὑμῖν παραθῶμεν ξένον ὄψον καὶ καινόν· ξένον δὲ καὶ καινὸν λέγω οὐ κατὰ τὴν πνευματικὴν τράπεζαν, ἀλλὰ ξένον κατὰ τὴν ὑμετέραν ἀκρόασιν.

γ'. Διελέχθημεν ὑμῖν ἀπὸ τῶν ἀποστολικῶν ῥημάτων ἐν ταῖς ἔμπροσθεν ἡμέραις, καὶ ἀπὸ τῶν εὐαγγελικῶν, ὅτε περὶ τοῦ Ἰούδα διελεγόμεθα· διελέχθημεν ὑμῖν καὶ ἀπὸ προφητικῶν· σήμερον βουλόμεθα ἀπὸ τῶν Πράξεων τῶν ἀποστόλων εἰπεῖν. Διὰ τοῦτο εἶπον τὸ ὄψον ξένον, καὶ οὐ ξένον. Οὐ ξένον μέν, ὅτι τῆς ἀκολουθίας ἐστὶ τῶν θείων Γραφῶν, ξένον δὲ, διότι τάχα ἀήθης ὑμῖν ἡ ἀκοὴ πρὸς τὴν τοιαύτην ἀκρόασιν. Πολλοῖς γοῦν τὸ βιβλίων τοῦτο οὐδὲ γνώριμόν ἐστι, πολλοῖς δὲ δοκοῦν σαφὲς εἶναι, πάλιν παρορᾶται· καὶ γίνεται τοῖς μὲν ἡ γνῶσις, τοῖς δὲ ἡ ἄγνοια ῥᾳθυμίας ὑπόθεσις. Ἵν' οὖν καὶ οἱ ἀγνοοῦντες μάθωσι, καὶ οἱ νομίζοντες σαφῶς εἰδέναι, ὅτι πολὺ βάθος νοημάτων ἔχει, ἀναγκαῖον ἀμφοτέρων διορθώσασθαι τὴν ῥᾳθυμίαν τήμερον. Δεῖ δὲ πρότερον μαθεῖν, τίς τὸ βιβλίον ἔγραψεν. Αὕτη γὰρ ἀρίστης ἐρεύνης ἀκολουθία, πρότερον τὸν γράψαντα ἰδεῖν, εἰ ἄνθρωπός ἐστιν, ἢ ὁ Θεός· κἂν μὲν ἄνθρωπος, παρακρουσώμεθα· *Μὴ καλέσητε* γὰρ, φησὶ, *διδάσκαλον ἐπὶ τῆς γῆς*· ἂν δὲ Θεὸς, δεξώμεθα· ἄνωθεν γάρ ἐστι τὸ διδασκαλεῖον τὸ ἡμέτερον· καὶ γὰρ τοιοῦτον τὸ ἀξίωμα τοῦ θεάτρου τούτου, μηδὲν παρὰ ἀνθρώπων μανθάνειν, ἀλλὰ παρὰ Θεοῦ δι' ἀνθρώπων.

Δεῖ τοίνυν ἐξετάσαι, τίς ὁ γράψας, καὶ πότε ἔγραψε, καὶ περὶ τίνων, καὶ τίνος ἕνεκεν τῇ ἑορτῇ ταύτῃ νενομοθέτηται αὐτὸ ἀναγινώσκεσθαι. Τάχα γὰρ οὐκ ἀκούετε διὰ παντὸς τοῦ ἔτους ἀναγινωσκομένου τοῦ βιβλίου. Καὶ γὰρ καὶ τοῦτο χρήσιμον· καὶ μετὰ τοῦτο ζητῆσαι χρὴ, τίνος ἕνεκεν ταύτην ἔχει τὴν ἐπιγραφὴν, *Πράξεις ἀποστόλων*. Οὐδὲ γὰρ τὰς ἐπιγραφὰς ἁπλῶς παριέναι χρὴ, οὐδὲ εὐθέως εἰς τὴν ἀρχὴν ἐμβαλεῖν τῆς συγγραφῆς, ἀλλὰ πρότερον ὁρᾷν τὴν προσηγορίαν τοῦ βιβλίου. Καθάπερ γὰρ ἐφ' ἡμῶν ἡ κεφαλὴ γνωριμώτερον ποιεῖ τὸ λοιπὸν σῶμα, καὶ ἡ ὄψις ἄνωθεν ἐπικειμένη φανερὸν αὐτὸ ἐργάζεται, οὕτω καὶ ἡ ἐπιγραφὴ ἄνωθεν πρὸ τῆς ὑφῆς ἐπικειμένη ἐπὶ τοῦ μετώπου καταφανέστερον ἡμῖν ποιεῖ τὸ λοιπὸν τῆς γραφῆς. Οὐχ ὁρᾶτε καὶ ἐπὶ τῶν εἰκόνων τοῦτο τῶν βασιλικῶν, ὅτι ἄνω κεῖται μὲν ἡ εἰκὼν, καὶ τὸν βασιλέα ἔχει ἐγγεγραμμένον· κάτω δὲ ἐν τῇ χοίνικι ἐπιγέγραπται τοῦ βασιλέως τὰ τρόπαια, ἡ νίκη, τὰ κατορθώματα; Οὕτω δὴ καὶ ἐπὶ τῶν Γραφῶν [55] ἔστιν ἰδεῖν. Γέγραπται μὲν ἡ εἰκὼν ἡ βασιλικὴ ἄνωθεν· κάτωθεν δὲ ἐπιγέγραπται ἡ νίκη, τὰ τρόπαια, τὰ κατορθώματα. Οὕτω καὶ ἐπιστολὴν ὅταν δεξώμεθα, ποιοῦμεν· οὐκ εὐθέως διαλύομεν τὸν δεσμὸν, οὐδὲ εὐθέως τὰ ἐγκείμενα ἔνδοθεν ἀναγινώσκομεν· ἀλλὰ πρότερον τὴν ἔξωθεν ἐπιγραφὴν ἐπεργόμεθα, καὶ ἐξ ἐκείνης μανθάνομεν καὶ τὸν πέμψαντα, καὶ τὸν ὀφείλοντα ὑποδέξασθαι. Καὶ πῶς οὖν οὐκ ἄτοπον ἐν μὲν τοῖς βιωτικοῖς τοσαύτῃ κεχρῆσθαι σπουδῇ, καὶ μὴ θορυβεῖσθαι, μηδὲ ταράττεσθαι, ἀλλὰ κατὰ τάξιν ἕκαστον ἐπιέναι· ἐνταῦθα δὲ ἀσχάλλειν, καὶ εὐθέως ἐπιπηδᾷν τῇ ἀρχῇ; Βούλεσθε μαθεῖν ὅση τῆς ἐπιγραφῆς ἡ ἰσχύς; ὅση δύναμις; ὅσος ἀπόκειται θησαυρὸς ἐν ταῖς ἀρχαῖς τῶν Γραφῶν; Ἀκούσατε, ἵνα μὴ καταφρονῆτε τῆς ἐπιγραφῆς τῶν θείων Βιβλίων. Εἰσῆλθεν εἰς τὰς Ἀθήνας ὁ Παῦλός ποτε· ἐν αὐτῷ τῷ βιβλίῳ γέγραπται ἡ ἱστορία αὕτη· εὗρεν ἐν τῇ πόλει οὐχὶ βιβλίον θεῖον, ἀλλὰ βωμὸν εἰδώλων· εὗρεν ἐπιγραφὴν οὕτως ἔχουσαν, *Ἀγνώστῳ Θεῷ*· καὶ οὐ παρέδραμεν, ἀλλ' ἀπὸ τῆς ἐπιγραφῆς τοῦ βωμοῦ τὸν βωμὸν καθεῖλε. Παῦλος ὁ ἅγιος, ὁ Πνεύματος χάριν ἔχων, οὐ παρέδραμε βωμοῦ ἐπίγραμμα, καὶ σὺ ἐπιγραφὴν Γραφῶν παρατρέχεις; ἐκεῖνος οὐκ ἀφῆκεν ἅπερ ἔγραψαν Ἀθηναῖοι εἰδωλολάτραι, καὶ σὺ ἅπερ ἔγραψε τὸ Πνεῦμα τὸ ἅγιον οὐ νομίζεις εἶναι ἀναγκαῖα; καὶ ποίαν ἔχεις συγγνώμην; Ἀλλὰ γὰρ ἴδωμεν πόσον τὸ κέρδος ἀπὸ τοῦ ἐπιγράμματός ἐστιν. Ὅταν οὖν ἴδῃς ἐπίγραμμα βωμῷ ἐγκεχαραγμένον τοσαύτην παρασχὸν τὴν ἰσχὺν, μαθήσῃ ὅτι πολλῷ μᾶλλον τὰ ἐπιγράμματα τῶν θείων Γραφῶν τοῦτο ποιῆσαι δυνήσεται. Εἰσῆλθεν εἰς τὴν πόλιν ὁ Παῦλος, εὗρε βωμὸν ἐν ᾧ ἐπεγέγραπτο, *Ἀγνώστῳ Θεῷ*. Τί ἔδει ποιῆσαι; Ἕλληνες πάντες ἦσαν, ἀσεβεῖς πάντες. Τί οὖν ἐχρῆν ποιῆσαι; Ἀπὸ Εὐαγγελίων διαλεχθῆναι; Ἀλλὰ κατεγέλων. Ἀλλ' ἀπὸ προφητικῶν, καὶ τοῦ νόμου γραμμάτων; Ἀλλ' οὐκ ἐπίστευον. Τί οὖν ἐποίησεν; Ἐπὶ τὸν βωμὸν ἔδραμε, καὶ ἀπὸ τῶν ὅπλων τῶν πολεμίων αὐτοὺς ἐχειρώσατο. Καὶ τοῦτό ἐστιν, ὃ λέγει· *Ἐγενόμην τοῖς πᾶσι τὰ πάντα, τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, τοῖς ἀνόμοις ὡς ἄνομος*. Εἶδε τὸν βωμὸν, εἶδε τὸ ἐπίγραμμα, ἀνέστη τῷ Πνεύματι. Τοιαύτη γὰρ ἡ τοῦ Πνεύματος χάρις· πάντοθεν ποιεῖ κερδαίνειν τοὺς ὑποδεχομένους αὐτήν· τοιαῦτα ἡμῶν τὰ ὅπλα τὰ πνευματικά. *Αἰχμαλωτίζοντες* γὰρ, φησὶ, *πᾶν νόημα πρὸς τὴν ὑπακοὴν τοῦ Χριστοῦ*. Εἶδε τοίνυν τὸν βωμὸν, καὶ οὐκ ἐδειλίασεν· ἀλλὰ μετέστησε τὸν βωμὸν πρὸς ἑαυτόν· μᾶλλον δὲ τὰ γράμματα ἀφεὶς, μετέθηκεν αὐτοῦ τὰ νοήματα· καὶ καθάπερ ἐν πολέμῳ στρατηγὸς ἰδὼν στρατιώτην ἐν τῇ παρατάξει τῶν πολεμίων γενναῖον, εἶτα λαβόμενος ἀπὸ τῆς κόμης τοῦ στρατιώτου, πρὸς τὴν ἑαυτοῦ τάξιν αὐτὸν μεταστήσειε, καὶ παρασκευάσειεν ὑπὲρ αὐτοῦ πολεμεῖν· οὕτω καὶ ὁ Παῦλος ἐποίησε, καθάπερ ἐν παρατάξει πολεμίων τὸ ἐπίγραμμα εὑρὼν ἐν τῷ βωμῷ γεγραμμένον, πρὸς τὴν ἑαυτοῦ τάξιν μετέστησεν, ἵνα μετὰ Παύλου τοῖς Ἀθηναίοις πολεμῇ, ἀλλ' οὐ μετὰ Ἀθηναίων τὸν Παῦλον βάλλῃ· ξίφος γὰρ ἦν τῶν Ἀθηναίων, μάχαιρα ἦν τῶν πολεμίων τὸ ἐπίγραμμα ἐκεῖνο, ἀλλ' αὕτη ἡ μάχαιρα τῶν πολεμίων τὴν κεφαλὴν ἐξέτεμεν. Οὐκ ἦν [56] οὕτω θαυμαστὸν, εἰ τοῖς οἰκείοις αὐτοῦ ὅπλοις ἐχειρώσατο· τοῦτο γὰρ κατὰ λόγον συμβαίνει· τὸ γὰρ καινὸν καὶ παράδοξον, ὅταν τὰ τῶν πολεμίων ὅπλα, ταῦτα μηχανήματα τοῖς πολεμίοις προστάγηται· ὅταν τὸ ξίφος, ὃ καθ' ἡμῶν βαστάζουσι, τοῦτο αὐτοῖς τὴν καιρίαν ἐπαγάγῃ πληγήν.

δ'. Τοιαύτη γὰρ ἡ τοῦ Πνεύματος δύναμις. Οὕτω καὶ ὁ Δαυὶδ ἐποίησέ ποτε· ἐξῆλθε γυμνὸς τῶν ὅπλων, ἵνα φανῇ γυμνὴ ἡ τοῦ Θεοῦ χάρις. Μηδὲν γάρ, φησὶν, ἀνθρώπινον ἔστω, ὅταν Θεὸς ὑπὲρ ἡμῶν πολεμῇ. Ἐξῆλθε τοίνυν γυμνὸς τῶν ὅπλων, καὶ κατήνεγκε τὸν πύργον ἐκεῖνον. Εἶτα ἐπειδὴ ὅπλα οὐκ εἶχε, δραμὼν ἥρπασε τὴν μάχαιραν τοῦ Γολιὰθ, καὶ οὕτω τὴν κεφαλὴν ἐξέτεμε τὴν τοῦ βαρβάρου· οὕτω καὶ Παῦλος ἐποίησεν ἐπὶ τοῦ ἐπιγράμματος τούτου. Καὶ ἵνα σαφέστερος γένηται ὁ τῆς νίκης τρόπος, καὶ τὴν δύναμιν ὑμῖν τοῦ ἐπιγράμματος ἐρῶ. Εὗρε τοίνυν ὁ Παῦλος ἐν Ἀθήναις βωμὸν, ἐν ᾧ ἐπεγέγραπτο Ἀγνώστῳ Θεῷ. Τίς δὲ ἦν ὁ ἀγνοούμενος, ἀλλ' ἢ ὁ Χριστός; Εἶδες πῶς ἐξηχμαλώτισε τὸ ἐπίγραμμα, οὐκ ἐπὶ κακῷ τῶν γραψάντων, ἀλλ' ἐπὶ σωτηρίᾳ αὐτῶν καὶ προνοίᾳ; Τί οὖν; Οἱ Ἀθηναῖοι διὰ τὸν Χριστὸν ἔγραψαν τοῦτο, φησίν; Εἰ διὰ τὸν Χριστὸν ἔγραψαν οἱ Ἀθηναῖοι, οὐκ ἦν οὕτω θαυμαστόν· ἀλλὰ τοῦτό ἐστι τὸ θαυμαστὸν, ὅτι ἐκεῖνοι μὲν ἄλλως ἔγραψαν, οὗτος δὲ ἴσχυσεν ἄλλως αὐτὸ μεταβαλεῖν. Πρότερον ἀναγκαῖον εἰπεῖν τίνος ἕνεκεν οἱ Ἀθηναῖοι ἔγραψαν, Ἀγνώστῳ Θεῷ. Τίνος οὖν ἕνεκεν ἔγραψαν; Πολλοὺς εἶχον θεούς ἐκεῖνοι, μᾶλλον δὲ πολλοὺς δαίμονας· *Πάντες γὰρ οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια.* Εἶχον καὶ ἐπιχωρίους, καὶ ξένους. Ὁρᾶτε ὅσος ὁ κατάγελως. Εἰ γὰρ Θεός ἐστιν, οὐκ ἔστι ξένος· τῆς γὰρ οἰκουμένης ἁπάσης Δεσπότης ἐστί. Τούτων τοίνυν τοὺς μὲν παρὰ πατέρων εἶχον δεξάμενοι, τοὺς δὲ ἀπὸ τῶν πλησίον ἐθνῶν, οἷον ἀπὸ Σκυθῶν, ἀπὸ Θρᾳκῶν, ἀπὸ Αἰγυπτίων· καὶ εἰ τῆς ἔξωθεν παιδεύσεως ἦτε ἔμπειροι, καὶ ταύτας ἂν ὑμῖν ἀνέγνων τὰς ἱστορίας πάσας. Ἐπεὶ οὖν οὐκ ἐξ ἀρχῆς πάντας ἐδέξαντο, ἀλλὰ κατὰ μικρὸν εἰσηνέχθησαν αὐτοῖς, οἱ μὲν ἐπὶ τῶν πατέρων, οἱ δὲ ἐπὶ τῆς γενεᾶς τῆς ἑαυτῶν, συνελθόντες εἶπον πρὸς ἀλλήλους· ὅτι Ὥσπερ τούτους ἠγνοοῦμεν, φασὶν, ἔπειτα ὕστερον αὐτοὺς ἐδεξάμεθα καὶ ἐγνωρίσαμεν, οὕτω συμβαίνει καὶ ἄλλον εἶναι ἀγνοούμενον, καὶ ὄντα μὲν Θεὸν, οὐ γνωριζόμενον δὲ ὑφ' ἡμῶν· καὶ διὰ τοῦτο λανθάνει ἀμελούμενος, καὶ μηδὲ θεραπευόμενος. Τί οὖν ἵνα γένηται; Ἔστησαν βωμὸν, καὶ ἔγραψαν, Ἀγνώστῳ Θεῷ, τοῦτο λέγοντες διὰ τοῦ ἐπιγράμματος· ὅτι Καὶ εἴ τίς ἐστι θεὸς ἕτερος οὐδέπω γνωρισθεὶς ἡμῖν, κἀκεῖνον θεραπεύσωμεν. Ὅρα ὑπερβολὴν δεισιδαιμονίας. Διὰ τοῦτο ὁ Παῦλος ἀρχόμενος ἔφη, *Κατὰ πάντα ὡς δεισιδαιμονεστέρους ὑμᾶς ὁρῶ*· οὐ γὰρ τοὺς γνωρίμους ὑμῖν δαίμονας θεραπεύετε μόνον, ἀλλὰ καὶ τοὺς οὐδέπω γνωρισθέντας ὑμῖν. Ἐκεῖνοι μὲν διὰ τοῦτο ἐπέγραψαν, Ἀγνώστῳ Θεῷ, ὁ δὲ Παῦλος ἡρμήνευσεν. Οἱ μὲν γὰρ τοῦτο περὶ ἄλλων [57] ἔλεγον, αὐτὸς δὲ αὐτὸ μετέστησεν ἐπὶ τὸν Χριστὸν, αἰχμαλωτίσας τὸ νόημα, καὶ μεθ' ἑαυτοῦ στήσας ἐν τῇ παρατάξει τῇ ἑαυτοῦ· *Ὃν γὰρ ἀγνοοῦντες εὐσεβεῖτε ὑμεῖς, τοῦτον ἐγὼ καταγγέλλω*, φησίν· ἄγνωστος γὰρ Θεὸς οὐδεὶς ἄλλος ἐστὶν ἢ ὁ Χριστός. Καὶ ὅρα σύνεσιν πνευματικήν. Ἔμελλον αὐτῷ μετὰ ταῦτα ἐγκαλεῖν, ὅτι Ξενίζοντα εἰσφέρεις δόγματα εἰς τὰς ἀκοὰς ἡμῶν, ὅτι καινοτομεῖς, ὅτι θεὸν εἰσφέρεις, ὃν οὐκ ἴσμεν. Βουλόμενος τοίνυν ἀπαλλαγῆναι τῆς ὑποψίας τῆς κατὰ τὴν καινοτομίαν, καὶ δεῖξαι ὅτι οὐ ξένον κηρύττει θεὸν, ἀλλ' ὃν προλαβόντες διὰ τῆς θεραπείας ἐτίμησαν, ἐπήγαγε καὶ εἶπεν· ὅτι *Ὃν ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν*. Ὑμεῖς με προελάζετε, φησίν· ἔφθασεν ὑμῶν ἡ θεραπεία τὸ ἐμὸν κήρυγμα. Μὴ τοίνυν ἐγκαλεῖτε, ὅτι ξένον εἰσφέρω θεόν· τοῦτον γὰρ καταγγέλλω, ὃν ὑμεῖς ἀγνοοῦντες θεραπεύετε, οὐκ ἀξίῳ μὲν αὐτοῦ τρόπῳ, θεραπεύετε δὲ ὅμως. Οὐ γὰρ τοιοῦτος βωμὸς ἵσταται τῷ Χριστῷ, ἀλλὰ βωμὸς ἔμψυχος καὶ πνευματικός· ἀλλ' ἀπὸ τούτου ὑμᾶς καὶ πρὸς ἐκεῖνον ἀναγαγεῖν δύναμαι. Οὕτω καὶ Ἰουδαῖοι τὸ παλαιὸν ἐθεράπευον· ἀλλ' ἀπέστησαν ἀπὸ τῆς σωματικῆς θεραπείας, καὶ ἦλθον ἐπὶ τὴν πνευματικὴν οἱ πιστεύσαντες ἅπαντες. Εἶδες σοφίαν Παύλου; εἶδες σύνεσιν; εἶδες πῶς αὐτοὺς ἐχειρώσατο, οὐκ ἀπὸ Εὐαγγελίων, οὐκ ἀπὸ προφητικῶν, ἀλλὰ ἀπὸ ἐπιγράμματος; Μὴ παράτρεχε τοίνυν, ἀγαπητὲ, τὴν ἐπιγραφὴν τῶν θείων λογίων· ἂν μὲν νήφῃς καὶ ἐγρήγορος ᾖς, καὶ ἐν ἀλλοτρίοις εὑρίσκεις τι χρήσιμον· ἂν δὲ ῥᾳθυμος καὶ ἀναπεπτωκὼς, οὐδὲ ἀπὸ τῶν θείων Γραφῶν ἔσται σοί τι πλέον. Ὥσπερ γὰρ ὁ εἰδὼς κερδαίνειν, πανταχόθεν κερδαίνει· οὕτω καὶ ὁ μὴ εἰδὼς, κἂν θησαυρὸν εὕρῃ, κενὸς ἄπεισι. Βούλεσθε εἴπω καὶ ἕτερόν τι τοιοῦτον ἐπιχείρημα, ὅπερ ἄλλος μὲν μεθ' ἑτέρας ἐφθέγξατο διανοίας, ὁ δὲ εὐαγγελιστὴς πρὸς ἑαυτὸν μετέθηκε τῶν εἰρημένων τὴν δύναμιν; Οὐκοῦν προσέχετε ἀκριβῶς, ἵνα μάθητε, ὅτι κἀκεῖνος ἠχμαλώτισε τὸ νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ· ἵνα μάθητε, ὅτι εἰ τὰ ἀλλότρια αἰχμαλωτίζειν δυνάμεθα, πολλῷ μᾶλλον ἐν τοῖς οἰκείοις ἐμπορευσόμεθα καὶ κερδανοῦμεν. Ὁ Καϊάφας ἀρχιερεὺς ἦν τοῦ ἐνιαυτοῦ ἐκείνου· καὶ γὰρ καὶ τοῦτο τῆς Ἰουδαϊκῆς ἐγένετο πονηρίας· κατῆσχυνον γὰρ τὸ τῆς ἱερωσύνης ἀξίωμα, ὠνητοὺς ποιήσαντες ἀρχιερέας. Ἔμπροσθεν δὲ οὐχ οὕτως ἦν, ἀλλὰ τῇ τελευτῇ μόνῃ κατελύετο ἡ ἱερωσύνη τοῦ ἀρχιερέως· τότε δὲ καὶ ζῶντες παρελύοντο τῆς τιμῆς. Ἀρχιερεὺς τοίνυν ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου ὁ Καϊάφας, καθώπλιζε κατὰ τοῦ Χριστοῦ τοὺς Ἰουδαίους, καὶ ἔλεγεν· ὅτι δεῖ τοῦτον ἀποθανεῖν, ἐγκαλεῖν μὲν οὐδὲν ἔχων, βασκανίᾳ δὲ τηκόμενος. Τοιοῦτον γὰρ ὁ φθόνος· τῶν εὐεργεσιῶν τοιαύτας ἀποδίδωσι τὰς ἀμοιβάς. Ὅθεν καὶ τὴν αἰτίαν διδάσκων τῆς ἐπιβουλῆς, ἔλεγε· *Συμφέρει ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ, καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται.* Τούτου τοῦ ῥήματος ἡ δύναμις ὅρα πῶς μεθ' ἡμῶν ἐγένετο· ἵνα μάθῃς ὅτι τὸ μὲν ῥῆμα ἦν τοῦ ἱερέως, τὸ δὲ νόημα ἠδυνήθη γενέσθαι πνευματικόν. *Συμφέρει ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ, καὶ μὴ* [58] *ὅλον τὸ ἔθνος ἀπόληται. Τοῦτο δὲ οὐκ ἔλεγεν ἀφ' ἑαυτοῦ*, φησὶν, *ἀλλ' ὅτι ἀρχιερεὺς ἦν τοῦ ἐνιαυτοῦ ἐκείνου, προεφήτευσεν*, ὅτι δεῖ τὸν Χριστὸν ἀποθανεῖν, οὐ μόνον ὑπὲρ Ἰουδαίων, ἀλλὰ καὶ ὑπὲρ ὅλου τοῦ ἔθνους· διὰ τοῦτο καὶ ἔλεγεν, ὅτι *Συμφέρει ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ, καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται.* Εἶδες δύναμιν Θεοῦ, πῶς τὴν γλῶτταν τῶν ἐχθρῶν ἀναγκάζει τὰ ὑπὲρ τῆς ἀληθείας λέγειν;

ε'. Ἵνα μὲν οὖν μὴ παρατρέχωμεν τὰς ἐπιγραφὰς τῶν θείων Γραφῶν, ἀρκούντως ταῦτα εἴρηται. ἐὰν μνημονεύητε· ἐβουλόμην δὲ εἰπεῖν, καὶ τίς ὁ γράψας τὸ βιβλίον, καὶ πότε, καὶ τίνος ἕνεκεν ἔγραψεν Ἀλλὰ τέως ταῦτα κατέχωμεν· ἐκεῖνα δὲ εἰς τὴν ἐπιοῦσαν, ἐὰν ὁ Θεὸς θέλῃ, ἀποδώσομεν. Βούλομαι γὰρ λοιπὸν

quem in nos gestant, hic illis letale vulnus infligit.

4. *Comparatur Paulus cum Davide.* — Talis quippe virtus est Spiritus. Ita quondam egit etiam David : exivit armis nudus, ut nuda gratia Dei appareret. Nihil enim, inquit, humanum sit, quando pro nobis pugnat Deus. Exivit ergo nudus armis, et turrim illam dejecit. Deinde cum armis destitutus esset, currens gladium Goliathi rapuit, atque ita barbari caput amputavit : ita quoque Paulus in hac inscriptione fecit. Atque ut manifestior fiat victoriæ modus, virtutem vobis inscriptionis declarabo. Altare igitur Athenis Paulus invenit, cui inscriptum erat, *Ignoto Deo.* Quis autem ille erat ignotus, nisi Christus? Vides quo pacto inscriptionem captivitate liberarit, non ut damno afficeret eos qui scripserunt, sed ut eos salvos faceret, eisque prodesset? Quid igitur? an propter Christum, dicet aliquis, istud scripserant Athenienses? Si propter Christum hæc Athenienses scripsissent, res adeo mirabilis non fuisset : verum hoc est mirabile, quod illi quidem aliter scripserint, hic autem aliter illud potuerit immutare. Operæ pretium est prius dicamus, qua de causa scripserint Atheuienses, *Ignoto Deo.* Quamnam igitur ob causam scripserunt? Multos illi Deos habebant, vel potius multos dæmones : *Omnes* quippe *dii gentium dæmonia* (*Psal.* 95. 5). Habebant et patrios et peregrinos. Videtis quanta irrisio. Si enim Deus est, non est peregrinus : siquidem universi terrarum orbis est dominus. Quosdam igitur istorum alios a patribus suis acceptos habebant, alios a finitimis nationibus, utpote a Scythis, a Thracibus, ab Ægyptiis : quod si profanæ periti essetis eruditionis, has etiam vobis omnes historias recitarem. Quoniam igitur omnes ab initio non susceperant, sed illis invecti paulatim fuerant, alii quidem patrum ætate, alii vero ipsorum tempore, convenientes dixerunt ad invicem : Quemadmodum istos ignorabamus, quandoquidem ipsos deinceps accepimus et agnovimus : ita fieri potest, ut sit aliquis alius ignotus, qui verus sit Deus, sed a nobis minime cognitus, qui a nobis insciis propterea negligatur et non colatur. Quid igitur fecerunt? Aram erexerunt, et inscripserunt, *Ignoto Deo*, ut per inscriptionem hoc significarent, Si forte quispiam sit alius Deus, qui nondum nobis innotuerit, hunc etiam colemus. Vide immodicam superstitionem. Propterea dixit a principio Paulus, *Per omnia quasi superstitiosiores vos video* (*Act.* 17. 22) : non enim vobis notos solummodo colitis deos, sed eos etiam, qui vobis nondum innotuerint. Inscripserant illi quidem, *Ignoto Deo*, sed Paulus interpretatus est ; nam illi quidem id de aliis dixerant, at illud ipse traduxit ad Christum, et in captivitatem sensum redegit, et in sua secum acie collocavit : *Quem enim ignorantes vos colitis, hunc ego vobis annuntio* (*Ib. v.* 28), inquit ; ignotus enim alius Deus non est, nisi Christus. Ac vide prudentiam spiritualem. Objecturi deinceps illi erant, Nova quædam dogmata infers auribus nostris, novis rebus studes, Deum invehis, quem non novimus. Ut igitur illis suspicionem eximeret novitatis, seque novum Deum minime prædicare ostenderet, sed quem ipsi prius cultu honorandum censuerant, adjunxit et dixit, *Quem ignorantes colitis, eum ego vobis annuntio.* Vos me prævenistis, inquit ; prædicationem meam cultus vester præoccupavit. Ne igitur objiciatis novum a me Deum inferri : hunc enim annuntio quem vos colitis ignorantes, non digno quidem modo, sed tamen colitis. Non enim tale Christo erigitur altare, sed animatum altare ac spirituale ; verumtamen ab hoc ad illud vos possum perducere. Ita quoque Judæi quondam cultum exhibebant : sed a corporali cultu recesserunt, et ad spiritualem traducti sunt, qui crediderunt omnes. Vides Pauli sapientiam? vides prudentiam? vides quo pacto illos devicerit non evangelicis, non propheticis usus dictis, sed inscriptione? Noli ergo, carissime, divinorum inscriptionem eloquiorum prætermittere : nam si attentus et vigilans fueris, etiam in alienis utile quidpiam offendes : sin autem negligens ac remissus, ne ipsæ quidem tibi sacræ Literæ prodesse poterunt. Nam quemadmodum qui lucra novit colligere, undique lucra colligit : ita et is qui minime novit, quamvis thesaurum invenerit, inanis recedit. Vultis et alterum simile argumentum in medium afferam, quod alius quidem alio sensu protulit, sed evangelista vim eorum quæ dicta fuerant ad se traduxit? Itaque diligenter attendite, ut illum quoque discatis intellectum ad obediendum Christo in captivitatem redegisse (2. *Cor.* 10. 5) : ut discatis, si aliena possumus in captivitatem redigere, multo magis nos in propriis negotiaturos, quæstumque facturos. Pontifex erat anni illius Caiphas : nam et hoc fuit Judaicæ improbitatis : quoniam dignitatem sacerdotalem adeo deturpabant, ut venales pontifices redderent. Antea vero non ita fiebat, sed sola morte pontificis sacerdotium terminabatur : tum vero etiam viventes honore se abdicabant. Cum igitur illius anni pontifex esset Caiphas, Judæos adversus Christum armabat ac dicebat : Hunc mori oportet : cum tamen nihil haberet quod ei objiceret, sed invidia solum tabesceret. Ea namque invidiæ est conditio, talem acceptorum beneficiorum mercedem rependit. Unde insidiarum causam aperiens dicebat, *Expedit ut unus homo moriatur, et non tota gens pereat* (*Joan.* 11. 50). Hujus verbi virtus vide quo pacto in nostras partes transierit, ut intelligas verbum quidem fuisse sacerdotis, at sensum spiritualem fieri potuisse. *Expedit ut unus homo moriatur, et non tota gens pereat. Hoc autem a semetipso non dicebat*, inquit, *sed cum esset pontifex anni illius, prophetavit* (*Ib. v.* 51), quod mori Christum oporteret non modo pro Judæis, sed et pro tota gente : propterea dicebat, *Expedit ut unus moriatur homo, et non tota gens pereat.* Vides potentiam Dei, quo pacto linguam cogat inimicorum pro veritate verba facere?

5. *Neophyti qui veri sint.* — Ut igitur Scripturæ sacræ titulos non prætermittamus, sufficienter hæc dicta sint, si forte recordemini : cuperem autem etiam dicere quis sit auctor libri, et quando, quaque de causa illum scripserit. Sed hæc interim mente teneamus ; illa vero crastino die, si Deus voluerit, resti-

tuemus. Statui namque, quod reliquum est, sermonem ad nuper illuminatos convertere. Nuper autem illuminatos appello non eos, qui ante duos et tres, neque qui ante decem dies illuminati sunt tantum, sed eos etiam qui ante annum, atque adeo multo ante tempore : quandoquidem hos quoque sic appellari oportet. Si enim in excolenda anima nostra multum studii exhibuerimus, possumus et post decem annos nuper illuminati esse, si nobis ingenitam a baptismate juventutem conservaverimus. Neque enim nuper illuminatum efficit tempus, sed vita munda, cum fieri possit, ut post duos etiam dies, qui sibi non caveat, appellationis hujus dignitatem amittat. Atque hujus rei vobis exemplum proferam, quo pacto qui nuper illuminatus erat, statim post duos dies et gratiam et honorem nuper illuminati amiserit. Hoc autem exemplum idcirco a me profertur, ut cum lapsum istum videritis, salutem vestram in tuto constituatis. Non enim tantum eorum exemplo vobis proposito qui steterunt, sed eorum etiam, qui supplantati sunt, corrigendi estis et sanandi. Simon Magus conversus erat, inquit, et baptizatus adhaerebat Philippo, videns signa : sed post paucos dies statim ad propriam reversus est nequitiam, et suam salutem emere pecunia volebat. Quid ergo nuper illuminato dixit Petrus? *In felle amaritudinis et obligatione iniquitatis video te esse : quocirca Deum roga, si forte remittatur tibi hæc nequitia* (*Act.* 8 23. 22). Nondum ingressus est certamina, et statim indigno venia casu prolapsus est. Ut igitur post duos dies cadere possumus, et nuper illuminati appellationem et gratiam perdere : ita quoque post decem ac viginti annos, et ad finem usque vitæ possumus præclarum hoc atque venerandum nomen ac rem conservare. Atque hoc Paulus testatur apostolus, qui in senectute maxime illustris fuit. Nam quoniam a natura non est hæc juventus, sed utriusque propositi compotes sumus ; ut vel senescamus, vel juvenes maneamus, a nostro pendet arbitrio. In corpore quidem licet omne studium quis adhibeat, licet omnem lapidem moveat, licet illud minime vexet, licet domi contineat, licet laboribus illud et continuis operibus non affligat : tamen ex lege naturæ sic quoque plane senectus illud invadet. In anima vero non ita fit : sed si illam minime vexes, neque sæcularibus eam laboribus curisque mundanis excrucies, juventutem suam perpetuo retinet, illæsamque conservat. Nonne videtis has in cælo fixas stellas? Jam per annos sexies mille nobis lucent, nec ipsarum ulla facta est obscurior. Quod si ubi naturæ res est, ita recens et vividum lumen remansit : ubi voluntatis res est, nonne multo magis tale permanebit, quale ab initio refulsit? Imo vero si velimus, non tale tantum permanebit, sed splendidius etiam erit, sic ut ipsos etiam solis radios æmuletur. Vin' tu intelligere quo pacto possumus etiam post longum tempus esse nuper illuminati? Audi quibus verbis Paulus homines multo ante tempore illuminatos alloquatur : *Inter quos lucetis sicut luminaria in mundo, verbum vitæ continentes ad gloriam meam* (*Philipp.* 2. 15. 16). Veterem laceramque vestem exuistis, spirituali unguento delibuti estis, liberi omnes facti estis : nemo deinceps ad priorem redeat servitutem. Bellum quoddam ac certamen sunt res istæ.

Athletarum probatio in Olympicis. — Nemo certat, qui servus sit : nemo militat qui sit famulus : sed si servus deprehendatur, ex albo militum cum supplicio ejicitur. Neque vero in hac tantum militia, sed et in Olympicis certaminibus idem iste mos obtinet. Post triginta enim dies hic transactos, in suburbium illos eductos circumvehunt, et toto sedente theatro clamat præco : Num quis hunc accusat? ita ut omni servilis conditionis suspicione depulsa, in certamina pedem inferat. Quod si diabolus in agones suos servos non admittit, quo pacto tu, cum peccati servus evaseris, in Christi certamen ingredi audes? Illic quidem ait præco, Num quis hujus sit accusator? hic vero Christus non ita dicit, sed quamvis omnes ante baptismum illum accusent, dicit, Ego illum admittam et servitute liberabo, atque in libertatem vindicatum in certamina introducam. Vides agonothetæ benignitatem? Non ea quærit quæ præcesserint ; sed eorum quæ consequuntur, exigit rationem. Cum servus esses, mille accusatores habebas, conscientiam, peccata, dæmones omnes. Nullus me, inquit, illorum adversum te commovit, neque te meis certaminibus indignum censui, sed ad luctas admisi, non ob tuam dignitatem, sed ob meam benignitatem. Mane igitur ac decerta, sive currendum sit, sive pugilatu, sive pancratio certandum sit, ne occulte, ne temere, nec in vanum decertes. Audi quid egerit Paulus. Confestim ubi de lavacro ascendit, statim post baptismum decertabat, prædicabat, quoniam hic est Filius Dei, et Judæos jam inde a primo die confundebat (*Act.* 9. 22). At tu prædicare non potes, neque verbum doctrinæ habes? Igitur operibus et conversatione actionumque splendore doce. *Luceat* enim, inquit, *lux vestra coram hominibus, ut videant opera vestra bona, et glorificent Patrem vestrum qui in cælis est* (*Matth.* 5. 16). Non potes Judæos voce confundere? Fac ut tua conversatione confundantur, fac ut commoveantur tua mutatione gentiles. Cum enim viderint eum qui lascivus, pravus, ac negligens et corruptus erat, subito fuisse mutatum, et post mutationem ex gratia mutationem ex conversatione exhibuisse, nonne confundentur, et dicent id quod de cæco Judæi quondam dicebant, *Hic est, Non est ille, Imo ipse est* (*Joan.* 9. 8. 9)? Sunt enim hæc verba hominum confusorum, de nomine sibi noto dubitare, inter se dissidere, propriæ conscientiæ minime credere, ac ne suis quidem oculis. Ille cæcitatem corporalem abjecit, tu spiritualem cæcitatem abjecisti ; ille in solem hunc respexit, tu in justitiæ solem respice. Agnovisti Dominum : fac igitur ea quæ hac agnitione sint digna, ut et cælorum regnum assequaris, gratia et benignitate Domini nostri Jesu Christi, per quem et cum quo Patri gloria, honor, imperium, una cum sancto ac vivifico Spiritu, nunc et semper, et in sæcula sæculorum. Amen.

πρὸς τοὺς νεοφωτίστους ἀγαγεῖν τὸν λόγον. Νεοφωτίστους δὲ λέγω, οὐχὶ τοὺς πρὸ δύο καὶ τριῶν, οὐδὲ πρὸ δέκα ἡμερῶν φωτισθέντας μόνον, ἀλλὰ καὶ τοὺς πρὸ ἐνιαυτοῦ, καὶ τοὺς πρὸ πλείονος χρόνου· καὶ γὰρ καὶ τούτους οὕτω χρὴ καλεῖν. Εἰ γὰρ πολλὴν σπουδὴν ἐπιδεικνύμεθα περὶ τὴν ἑαυτῶν ψυχήν, ἔξεστι καὶ μετὰ δέκα ἔτη εἶναι νεοφωτίστους, ἐὰν τὴν νεότητα τὴν ἀπὸ τοῦ φωτίσματος ἐγγινομένην ἡμῖν διασώσωμεν. Οὐδὲ γὰρ ὁ χρόνος ποιεῖ νεοφώτιστον, ἀλλ' ὁ βίος ὁ καθαρός· ἐγχωρεῖ γὰρ καὶ μετὰ δύο ἡμέρας ἀπολέσαι τὸ ἀξίωμα τῆς προσηγορίας τὸν μὴ προσέχοντα. Καὶ τούτου παράδειγμα ὑμῖν ἐρῶ, πῶς νεοφώτιστος εὐθέως ἀπώλεσε μετὰ δύο ἡμέρας καὶ τὴν χάριν τοῦ νεοφωτίστου καὶ τὴν τιμήν. Λέγω δὲ τὸ παράδειγμα, ἵνα ἰδόντες τὸ πτῶμα, ἀσφαλίσησθε τὴν ἑαυτῶν σωτηρίαν. Οὐ γὰρ ἀπὸ τῶν ἑστώτων ὑμᾶς μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν ὑπεσκελισμένων διορθοῦσθαι χρὴ καὶ θεραπεύειν. Σίμων ὁ μάγος μετεβάλετο, φησὶ, καὶ βαπτισθεὶς προσκαρτερῶν ἦν τῷ Φιλίππῳ, θεωρῶν τὰ σημεῖα· ἀλλὰ μετ' ὀλίγας ἡμέρας εὐθέως ἐπανῆλθεν ἐπὶ τὴν ἑαυτοῦ κακίαν, καὶ διὰ χρημάτων ἐβούλετο τὴν σωτηρίαν πρίασθαι. Τί οὖν φησι τῷ νεοφωτίστῳ ὁ Πέτρος; *Εἰς χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας ὁρῶ σε ὄντα· διὸ δεήθητι τοῦ Κυρίου, εἰ ἄρα ἀφεθήσεταί σοι ἡ κακία αὕτη.* Οὕπω ἐνέβη εἰς τοὺς ἀγῶνας, καὶ εὐθέως ἔπεσεν εἰς πτῶμα ἀσύγγνωστον. Ὅσπερ οὖν ἔστι μετὰ δύο ἡμέρας πεσεῖν, καὶ ἀπολέσαι τὴν προσηγορίαν τοῦ νεοφωτίστου καὶ τὴν χάριν, οὕτω καὶ μετὰ δέκα ἔτη καὶ εἴκοσι καὶ μέχρι τῆς ἐσχάτης ἡμέρας ἔστιν ἔχειν καὶ λαμπρὸν τοῦτο καὶ σεμνὸν ὄνομά τε καὶ πρᾶγμα. Καὶ τούτου μάρτυς ἀπόστολος Παῦλος, ἐν γήρᾳ διαλάμψας μειζόνως. Ἐπειδὴ γὰρ ἡ νεότης αὕτη οὐκ ἀπὸ φύσεως, ἀλλ' ἐκατέρας προαιρέσεως ἡμεῖς ἐσμεν κύριοι, καὶ τὸ γηρᾶσαι καὶ μεῖναι νέους ἐν ἡμῖν ἐστι κείμενον. Ἐπὶ μὲν γὰρ τοῦ σώματος κἂν ἅπαντά τις ἐπισπουδάζῃ, κἂν ἅπαντά τις πραγματεύηται, καὶ μὴ κατατρίβῃ τὸ σῶμα, κἂν ποιῇ μένειν ἔνδον, κἂν μὴ κατατείνῃ τοῖς πόνοις αὐτὸ καὶ τοῖς συνεχέσιν ἔργοις, πάντως κατὰ τὸν τῆς φύσεως νόμον καὶ οὕτως αὐτὸ καταλήψεται τὸ γῆρας· ἐπὶ δὲ τῆς ψυχῆς οὐχ οὕτως· ἀλλ' ἂν μὴ κατατρίβῃς αὐτὴν, μηδὲ [59] κατατείνῃς πόνοις βιωτικοῖς καὶ κοσμικαῖς φροντίσι, μένει διαπαντὸς ἀκραιφνῆ τὴν νεότητα διατηροῦσα. Οὐχ ὁρᾶτε τούτους τοὺς ἀστέρας τοὺς ἐν τοῖς οὐρανοῖς; Ἑξακισχίλια λοιπὸν ἡμῖν ἔτη φαίνουσι, καὶ οὐδεὶς αὐτῶν ἀμαυρότερος γέγονεν. Εἰ δὲ ἔνθα φύσις, οὕτως ἔμεινεν ἀκμαῖον τὸ φῶς· ἔνθα προαίρεσις, οὐ πολλῷ μᾶλλον μενεῖ τοιοῦτον, οἷον ἐξ ἀρχῆς ἔλαμψε; Μᾶλλον δὲ, ἐὰν ἐθέλωμεν, οὐ τοιοῦτον μόνον μενεῖ, ἀλλὰ καὶ λαμπρότερον ἔσται, ὡς καὶ πρὸς αὐτὰς ἁμιλλᾶσθαι τὰς ἡλιακὰς ἀκτῖνας. Βούλει μαθεῖν πῶς ἔξεστι καὶ μετὰ χρόνον εἶναι νεοφωτίστους; Ἄκουσον τί φησιν ὁ Παῦλος πρὸς ἀνθρώπους πρὸ πολλοῦ τοῦ χρόνου πεφωτισμένους· *Ἐν οἷς φαίνεσθε ὡς φωστῆρες ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντες εἰς καύχημα ἐμοί.* Ἀπεδύσασθε τὸ παλαιὸν καὶ διερρωγὸς ἱμάτιον, ἠλείψασθε τὸ μύρον τὸ πνευματικὸν, ἐλεύθεροι πάντες ἐγένεσθε· μηδεὶς λοιπὸν ἐπὶ τὴν δουλείαν ἐπανερχέσθω τὴν πρωτέραν. Πόλεμός ἐστι τὰ πράγματα καὶ ἀγών.

Οὐδεὶς ἀγωνίζεται δοῦλος, οὐδεὶς στρατεύεται οἰκέτης· ἀλλ' ἐὰν ἀλῷ δοῦλος ὤν, μετὰ τιμωρίας ἐκβάλλεται τοῦ τῶν στρατιωτῶν καταλόγου. Οὐχ ἐπὶ τῆς στρατείας δὲ ταύτης, ἀλλὰ καὶ ἐπὶ τῶν Ὀλυμπιακῶν ἀγώνων τὸ αὐτὸ τοῦτο ἔθος κρατεῖ. Μετὰ γὰρ τὰς τριάκοντα ἡμέρας τὰς ἐνταῦθα ἀναγαγόντες αὐτοὺς εἰς τὸ προάστειον περιάγουσι, καὶ τοῦ θεάτρου καθημένου παντὸς, βοᾷ ὁ κήρυξ, Μή τις τούτου κατηγορεῖ; ὥστε αὐτὸν ἀποσκευασάμενον τῆς δουλείας τὴν ὑποψίαν, οὕτως εἰς τοὺς ἀγῶνας ἐμβῆναι. Εἰ δὲ ὁ διάβολος οὐ δέχεται δούλους εἰς τοὺς ἀγῶνας τοὺς ἑαυτοῦ, πῶς σὺ τολμᾷς δοῦλος γενόμενος τῆς ἁμαρτίας εἰς τοὺς ἀγῶνας ἐμβῆναι τοῦ Χριστοῦ; Ἐκεῖ μὲν ὁ κήρυξ λέγει, Μή τις τούτου κατήγορος; ἐνταῦθα δὲ ὁ Χριστὸς οὐχ οὕτω λέγει· ἀλλὰ κἂν ἅπαντες αὐτοῦ κατηγορήσωσι πρὸ τοῦ βαπτίσματος, λέγει, Ἐγὼ δέξομαι αὐτὸν, καὶ ἀποσκευάσομαι τῆς δουλείας, καὶ ποιήσας ἐλεύθερον εἰς τοὺς ἀγῶνας εἰσάξω. Εἶδες φιλανθρωπίαν ἀγωνοθέτου; Οὐ ζητεῖ τὰ πρότερα, ἀλλὰ τῶν μετὰ ταῦτα εὐθύνας ἀπαιτεῖ. Ὅτε δοῦλος ἦς, μυρίους εἶχες κατηγόρους, τὸ συνειδὸς, τὰ ἁμαρτήματα, τοὺς δαίμονας ἅπαντας. Οὐδείς με, φησὶν, ἐκείνων ἐκίνησε κατὰ σοῦ, οὐδὲ ἐνόμισά σε ἀνάξιον τῶν ἀγώνων τῶν ἐμῶν, ἀλλ' ἐδεξάμην εἰς τὰ παλαίσματα, οὐκ ἀπὸ τῆς ἀξίας τῆς σῆς, ἀλλ' ἀπὸ τῆς ἐμῆς φιλανθρωπίας. Μένε τοίνυν καὶ ἀγωνίζου, κἂν τρέχειν δέῃ, κἂν πυκτεύειν, κἂν παγκρατιάζειν· μὴ ἀδήλως, μηδὲ ἁπλῶς, μηδὲ εἰκῇ. Ἄκουσον τί ἐποίησεν ὁ Παῦλος· Εὐθέως ἀπὸ τῶν ναμάτων ἀναβὰς, αὐτίκα ἀπὸ τοῦ βαπτίσματος ἠγωνίζετο, ἐκήρυττεν ὅτι οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ· καὶ συνέχυνε τοὺς Ἰουδαίους ἀπὸ πρώτης. Ἀλλ' οὐ δύνασαι κηρῦξαι σὺ, οὐδὲ ἔχεις διδασκαλικὸν λόγον; Οὐκοῦν δίδαξον διὰ τῶν ἔργων καὶ τῆς πολιτείας, διὰ τῆς λαμπρότητος τῶν πράξεων. *Λαμψάτω* γὰρ, φησὶ, *τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.* Οὐ δύνασαι συγχέειν Ἰουδαίους διὰ τῆς φωνῆς; Ποίησον αὐτοὺς συγχυθῆναι διὰ τῆς πολιτείας, ποίησον καὶ Ἕλληνας [60] θορυβηθῆναι διὰ τῆς μεταβολῆς. Ὅταν γὰρ ἴδωσι τὸν πρὸ τούτου ἀσελγῆ, τὸν πονηρὸν, τὸν ἠμελημένον, τὸν διεφθαρμένον, ἀθρόον μεταβεβλημένον, καὶ μετὰ τῆς μεταβολῆς τῆς κατὰ τὴν χάριν, μεταβολὴν τὴν κατὰ τὴν πολιτείαν ἐνδεικνύμενον, οὐ συγχυθήσονται καὶ ἐροῦσιν, ὅπερ ἐπὶ τοῦ τυφλοῦ οἱ Ἰουδαῖοι ἔλεγόν ποτε, *Οὗτός ἐστιν, οὐκ ἔστιν οὗτος, αὐτός ἐστι;* Συγχεχυμένων γὰρ ταῦτα τὰ ῥήματα, ἀμφιβάλλειν περὶ τοῦ γνωρίμου, διαστασιάζειν πρὸς ἑαυτοὺς, τῷ οἰκείῳ συνειδότι μὴ πιστεύειν, μηδὲ τοῖς ἑαυτῶν ὀφθαλμοῖς. Ἀπέβαλεν ἐκεῖνος τὴν σωματικὴν πήρωσιν, ἀπέβαλες σὺ τὴν ψυχικὴν πήρωσιν· ἀνέβλεψεν ἐκεῖνος εἰς τὸν ἥλιον τοῦτον, ἀνάβλεψον σὺ πρὸς τὸν ἥλιον τῆς δικαιοσύνης. Ἐπέγνως τὸν Δεσπότην· ἄξια τοίνυν πρᾶξον τῆς ἐπιγνώσεως· ἵνα καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτύχῃς, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ δόξα, τιμὴ, κράτος, ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Συνάξεως διὰ χρόνου ἐν τῇ παλαιᾷ ἐκκλησίᾳ γενομένης, εἰς τὴν ἐπιγραφὴν τῶν Πράξεων τῶν ἀποστόλων, καὶ ὅτι χρησιμώτερος βίος ἐνάρετος σημείων καὶ θαυμάτων, καὶ κατὰ τί διαφέρει πολιτεία σημείων.

α'. Διά χρόνου πρὸς τὴν μητέρα ἡμῶν ἐπανήλθομεν πάλιν, τὴν ποθεινὴν καὶ ἐπέραστον ταύτην ἅπασιν ἐκκλησίαν, πρὸς τὴν μητέρα ἡμῶν καὶ τῶν ἐκκλησιῶν ἁπασῶν. Μήτηρ μὲν γάρ, οὐχ ὅτι τῷ χρόνῳ πρεσβυτέρα μόνον ἐστὶν, ἀλλ' ὅτι καὶ ὑπὸ ἀποστολικῶν ἐθεμελιώθη χειρῶν· διὰ τοῦτο πολλάκις καὶ κατασκαφεῖσα διὰ τὸ ὄνομα τοῦ Χριστοῦ, πάλιν ὠρθώθη διὰ τῆς δυνάμεως τοῦ Χριστοῦ. Οὐ γὰρ αἱ ἀποστολικαὶ μόνον αὐτὴν ἐθεμελίωσαν χεῖρες, ἀλλὰ καὶ τοῦ Δεσπότου τῶν ἀποστόλων ἡ ἀπόφασις ἐτείχισεν αὐτὴν καινῷ καὶ παραδόξῳ τειχισμοῦ τρόπῳ. Οὐ γὰρ ξύλα καὶ λίθους συνθεὶς, οὕτως ὠκοδόμησε τὸν περίβολον, οὐδὲ τάφρον ἔξωθεν περιελάσας, καὶ σκόλοπας καταπήξας, καὶ πύργους ἀναστήσας, οὕτως αὐτὴν ἠσφαλίσατο· ἀλλ' ἐφθέγξατο δύο ῥήματα ψιλὰ μόνον, καὶ ταῦτα ἤρκεσεν ἀντὶ τείχους αὐτῇ, καὶ πύργου, καὶ τάφρου, καὶ ἀσφαλείας ἁπάσης. Καὶ τίνα ἐστὶ τὰ ῥήματα ταῦτα, ἃ τοσαύτην ἔχει τὴν ἰσχύν; *Ἐπὶ τῇ πέτρᾳ ταύτῃ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν· καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς.* Τοῦτό ἐστι τὸ τεῖχος, τοῦτο ὁ περίβολος, τοῦτο ἡ ἀσφάλεια, τοῦτο λιμὴν καὶ καταφυγή. Σὺ δέ μοι σκόπει κἀντεῦθεν τοῦ τείχους τὸ ἀῤῥαγές. Οὐ γὰρ εἶπεν, ὅτι ἀνθρώπων ἐπιβουλαὶ οὐ κατισχύσουσιν αὐτῆς μόνον, ἀλλ' ὅτι οὐδ' αὐταὶ αἱ μηχαναὶ τοῦ ᾅδου· *Πύλαι* γὰρ, φησὶν, *ᾅδου οὐ κατισχύσουσιν αὐτῆς.* Οὐκ εἶπεν, Οὐ [61] προσβαλοῦσιν αὐτῇ, ἀλλ' ὅτι *Οὐ κατισχύσουσιν αὐτῆς*· προσβαλοῦσι μὲν γὰρ, οὐ περιέσονται δὲ αὐτῆς. Ἀλλὰ τί ποτέ ἐστι, *Πύλαι ᾅδου*; τάχα γὰρ ἀσαφὲς τὸ εἰρημένον. Μάθωμεν τί ἐστι πύλη πόλεως, καὶ τότε εἰσόμεθα τί ἐστι πύλη ᾅδου. Πύλη πόλεώς ἐστιν εἴσοδος ἡ εἰς τὴν πόλιν· οὐκοῦν καὶ πύλη ᾅδου ἐστὶ κίνδυνος εἰς τὸν ᾅδην φέρων. Ὅ τοίνυν λέγει, τοιοῦτόν ἐστιν· Ἂν τοιοῦτοι κίνδυνοι καταῤῥαγῶσι καὶ προσβάλωσιν, ὡς πρὸς αὐτὸν ἐνεγκεῖν ἡμᾶς τὸν ᾅδην, ἀπερίτρεπτος ἡ Ἐκκλησία μένει. Ἠδύνατο μὲν γὰρ μὴ ἀφεῖναι πεῖραν αὐτὴν λαβεῖν τῶν δεινῶν· τίνος οὖν ἕνεκεν ἀφῆκεν; Ὅτι πολλῷ μεῖζόν ἐστι τοῦ κωλῦσαι τοὺς πειρασμοὺς τὸ συγχωρήσαντα τοὺς πειρασμοὺς ἐλθεῖν, μηδὲν ἀφεῖναι δεινὸν ἐκ τῆς ἐπαγωγῆς τούτων παθεῖν. Διὰ τοῦτο ἀφῆκε πάντας ἐπελθεῖν τοὺς πειρασμοὺς, ἵνα δοκιμωτέραν αὐτὴν ἐργάσηται· *Ἡ γὰρ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν.* Καὶ ἵνα τὴν δύναμιν τὴν ἑαυτοῦ μετὰ πλείονος ἐπιδείξηται περιουσίας, ἐξ αὐτῶν τῶν πυλῶν τοῦ θανάτου ἐξαρπάζει αὐτήν. Διὰ τοῦτο καὶ τὸ κλυδώνιον εἴασε γενέσθαι, καὶ βαπτισθῆναι τὸ σκάφος οὐκ εἴασεν. Οὕτω καὶ κυβερνήτην θαυμάζομεν, οὐχ ὅταν ἐξ οὐρίας πλέων, οὐδ' ὅταν κατὰ πρύμναν ἱσταμένου τοῦ πνεύματος διασώσῃ τὸ σκάφος· ἀλλ' ὅταν τῆς θαλάσσης στασιαζούσης, καὶ τῶν κυμάτων ἀγριουμένων, καὶ τοῦ χειμῶνος καταῤῥηγνυμένου, τὴν τέχνην πρὸς τὴν τῶν ἀνέμων ἀντιστήσας φορὰν, ἐκ μέσου τοῦ χειμῶνος ἐξαρπάσῃ τὸ πλοῖον. Οὕτω καὶ ὁ Χριστὸς ἐποίησε. Καθάπερ πλοῖον ἐν θαλάττῃ τὴν Ἐκκλησίαν ἐν τῇ οἰκουμένῃ φέρεσθαι πάλιν ἀφεὶς, οὐ κατέλυσε τὴν ζάλην, ἀλλ' ἐξήρπασε τῆς ζάλης· οὐ κατέστειλε τὴν θάλασσαν, ἀλλ' ἠσφαλίσατο τὴν ναῦν· καὶ διανισταμένων τῶν πανταχοῦ δήμων, καθάπερ κυμάτων ἀγρίων, καὶ προσβαλόντων αὐτῇ τῶν πνευμάτων τῶν πονηρῶν, καθάπερ χαλεπῶν ἀνέμων, καὶ πάντοθεν ἐγειρομένου τοῦ χειμῶνος, πολλὴν τῇ Ἐκκλησίᾳ τὴν γαλήνην ἐποίει· καὶ τὸ δὴ θαυμαστὸν, ὅτι οὐ μόνον ὁ χειμὼν οὐ κατέκλυσε τὴν ναῦν, ἀλλ' ὅτι καὶ τὸν χειμῶνα ἡ ναῦς κατέλυσεν. Οἱ γὰρ διωγμοὶ οἱ συνεχεῖς οὐ μόνον οὐ κατεπόντισαν τὴν Ἐκκλησίαν, ἀλλὰ καὶ διελύθησαν ὑπὸ τῆς Ἐκκλησίας. Πῶς καὶ τίνα τρόπον, καὶ πόθεν; Ἀπὸ τῆς ἀποφάσεως ταύτης τῆς λεγούσης, *Πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς.* Πόσα ἔκαμον Ἕλληνες, ὥστε τὸ ῥῆμα τοῦτο καθελεῖν, ὥστε ἄχυρον ποιῆσαι τὴν ἀπόφασιν, καὶ οὐκ ἔσχυσαν καταλῦσαι; Θεοῦ γὰρ ἡ ἀπόφασις ἦν. Καὶ καθάπερ πύργον ἐξ ἀδαμαντίνων λίθων συγκείμενον, σιδήρῳ συνδεδεμένον ἀκριβῶς, οἱ πολέμιοι πανταχόθεν βάλλοντες, οὔτε τὴν οἰκοδομὴν χαυνοῦσιν, οὔτε τὴν ἁρμονίαν παραλύουσιν, ἀλλ' ἀπέρχονται τὸν μὲν πύργον μηδὲν καταβλάψαντες, μηδὲ ποιήσαντές τι κακὸν, τὴν δὲ ἑαυτῶν καταλύσαντες δύναμιν· οὕτω δὴ καὶ τὸ ῥῆμα τοῦτο, καθάπερ πύργον ὑψηλὸν ἐν μέσῃ τῇ οἰκουμένῃ μετὰ ἀσφαλείας τετειχισμένον, οἱ Ἕλληνες πανταχόθεν βάλλοντες, αὐτόν τε ἰσχυρὸν ἀπέφηναν, τὴν δὲ ἑαυτῶν καταλύσαντες ἰσχὺν, οὕτως ἀπέθανον. Τί γὰρ οὐκ ἐμηχανήσαντο κατὰ τῆς ἀποφάσεως ταύτης; Στρατόπεδα παρεσκευάζετο, ὅπλα ἐκινεῖτο, βασιλεῖς καθωπλίζοντο, δῆμοι διηγείροντο, πόλεις διανίσταντο, δικασταὶ παρωξύνοντο, ἅπαν τιμωρίας [62] εἶδος ἐπενοεῖτο· οὐδεὶς παρελιμπάνετο κολάσεως τρόπος· πῦρ, καὶ σίδηρος [a], καὶ θηρίων ὀδόντες, καὶ κρημνοὶ, καὶ καταποντισμοὶ, καὶ βάραθρον, καὶ ξύλον, καὶ σταυρὸς, καὶ κάμινος, καὶ πάντα ὅσα ὤφθη πώποτε βασανιστήρια εἰς μέσον ἐφέροντο· ἀπείρων ὄγκος ἄφατος, τιμῶν ὑποσχέσεις ἄφατοι, ὥστε ἐκείνῳ μὲν φοβῆσαι τῷ τρόπῳ, τούτῳ δὲ ἑλῦσαι καὶ δελεάσαι. Οὐδὲν γοῦν ἀπάτης, οὐ βίας παρελιμπάνετο εἶδος. Καὶ γὰρ πατέρες παῖδας παρέδωκαν, καὶ παῖδες πατέρας ἠγνόησαν· μητέρες ὠδίνων ἐπελάθοντο· καὶ οἱ τῆς φύσεως ἀνετράπησαν νόμοι. Ἀλλ' ὅμως οἱ θεμέλιοι τῆς Ἐκκλησίας οὐδὲ οὕτως ἐσαλεύθησαν· ἀλλὰ διὰ τῆς συγγενείας αὐτῆς ὁ πόλεμος ἦρετο καὶ τῶν τει-

[a] Πῦρ καὶ σίδηρος. Ab his verbis incipit ms. Mox idem ξύλον καὶ τροχὸς καὶ σταυρός. Mox ἐφέρετο. Ἀπειλῶν ὄγκος ἀφόρητος... Infra οὐδὲν οὖν ἀπάτης... παῖδας προέδωκαν.

CUM IN VETERI ECCLESIA LONGO INTERVALLO CELEBRATA COLLECTA ESSET, SERMO HABITUS IN INSCRIPTIONEM ACTORUM APOSTOLORUM : ET VITAM CUM VIRTUTE ACTAM UTILIOREM ESSE SIGNIS AC MIRACULIS : ET QUATENUS DIFFERAT A SIGNIS CONVERSATIO (*a*).

1. *Ecclesia nec persecutionibus nec alio modo vincitur.* — Rursus ad matrem nostram longo intervallo reversi sumus, ad desideratam et caram omnibus hanc ecclesiam, ad nostram et omnium ecclesiarum matrem. Nam mater quidem est non quod antiquior tantum sit tempore : sed quod apostolorum manibus sit fundata : quam ob causam multoties propter Christi nomen eversa, Christi virtute rursus est erecta. Neque enim apostolicæ tantum manus illam fundarunt, sed et ipsius apostolorum Domini decretum illam novo et inusitato munitionis genere munivit. Non enim coagmentatis lignis et lapidibus septa construxit, neque fossa exterius ducta circumdedit aut palis defixis, aut turribus exædificatis illam munivit ; sed duo nuda solum verba protulit, et hæc illi fuerunt instar muri, et turris, et fossæ, et cujusvis loco munimenti. Et quæ tandem illa sunt verba, quæ tantam vim obtinent ? *Super hanc petram ædificabo Ecclesiam meam : et portæ inferi non prævalebunt adversus eam* (*Matth.* 16. 18). Hoc murus est, hoc septum, hoc munimentum, hoc portus et refugium. Tu vero quam inexpugnabilis sit hic murus, inde perpende. Neque enim hominum tantum insidias adversus eam dixit non prævalituras, sed nec ipsas inferni machinas. *Portæ* enim, inquit, *inferi non prævalebunt adversus eam.* Non dixit, In illam non irruent, sed, *Adversus eam non prævalebunt :* nam irruent illæ quidem, sed illam non superabunt. Sed quid illud est, *Portæ inferi?* forte namque obscurum est dictum. Discamus quid sit porta urbis, et tunc sciemus quid sit porta inferi. Porta urbis est aditus in urbem : itaque porta inferi est periculum, quod ad inferos tendit. Quod igitur ait, est ejusmodi : licet irruant et impetum faciant tanta pericula, ut ad ipsum nos præcipites agant infernum, Ecclesia manet immota. Poterat ille quidem non permittere, ut nulla mala experiremur : cur ergo permisit ? Quod multo magis sit, quam tentationes prohibere, si dum advenire tentationes sinit, nihil tamen ex earum incursu mali nos ferre permittat ; ideirco omnes accidere tentationes sivit, ut probatiorem illam redderet : siquidem *Tribulatio patientiam operatur, patientia vero probationem* (*Rom.* 5. 3. 4). Atque ut majori cum excessu virtutem suam ostendat, ex ipsis eam portis eripit mortis. Propterea tempestatem sivit excitari : et mergi cymbam minime sivit. Sic gubernatorem quoque laudamus, non cum secundis ventis navigans, neque cum a puppi flantibus auris incolumem navim servat ; sed cum mari procellis agitato, ac fluctibus effervescentibus, ac tempestate commota suam artem adversus impetum ventorum opponit, et navigium ex mediis procellis salvum educit. Ita fecit et Christus. Dum tamquam navigium in mari Ecclesiam rursus in mundo ferri permisit, neque fluctus sedavit, sed ex fluctibus eripuit : non mare compescuit, sed navim communivit ; et cum surgerent undique populi, tamquam sævi fluctus, et maligni spiritus tamquam adversi quidam venti in eam irruerent, excitata undique tempestate, multam attulit Ecclesiæ tranquillitatem : quodque permirum sane fuit, non modo navim procella non obruit, sed et procellam cymba sedavit. Nam continuæ persequutiones non modo Ecclesiam non submerserunt, sed ab Ecclesia sunt sedatæ. Quo tandem pacto, et quorum opera ? Hujus sententiæ nimirum ita pronuntiatæ, *Portæ inferi non prævalebunt adversus eam* (*Matth.* 16. 18). Quam multa Græci moliti sunt, ut verbum hoc tollerent, ut sententiam irritam redderent, neque potuerunt dissolvere ? Dei quippe sententia erat. Et quemadmodum turrim ex adamantinis structam lapidibus, ferro firmiter junctam, hostes undique si verberent, neque structuram laxant, neque coagmentationem dissolvunt, sed illæsa turri manente, nec ullis incommodis affecta, suisque viribus exhaustis discedunt : sic nimirum et verbum hoc tamquam altam quamdam turrim in medio orbis terrarum firmiter communitam, cum Græci undique verberassent, cum illam firmam reddiderunt, tum suis viribus fractis mortem obierunt. Quid enim adversus hanc sententiam non machinati sunt ? Exercituum delectus habebatur, arma movebantur, reges armabantur, populi commovebantur, urbes insurgebant, judices excandescebant, omne supplicii genus excogitabatur, nullus pœnæ modus omittebatur, ignis, ferrum, dentes ferarum, præcipitia, submersiones, barathrum, equuleus, crux et fornax, et omnia quæ umquam visa sunt tormenta, in medium proferebantur : ingens minarum agmen, honorum pollicitationes innumeræ, ut illa quidem ratione terrerent, hac vero mollirent et allicerent. Nullum igitur fraudis, nullum violentiæ genus prætermittebatur. Nam et patres filios prodebant, et filii patres non agnoscebant, matres suorum partuum obliviscebantur, et naturæ leges evertebantur. Verumtamen ne sic quidem Ecclesiæ fundamenta concussa sunt : et quamvis ab ejus propinquis bellum indi-

(*a*) Collata cum Ms. Colbertino 3058, qui deficit initio et fine. Non alium hactenus Codicem nancisci potuimus. Ibid., *in Palæa seu veteri Ecclesia.* Libanius in Antiochico ait, Antiochiam in duas fuisse urbes divisam, alteram παλαιάν, hoc est, antiquam, quæ secundum Orontis fluvii oram longum occupabat terræ spatium : alteram novam, in ejusdem fluvii insula sitam, forma rotunda, quæ quinque pontibus antiquæ jungebatur. In παλαιᾷ seu antiqua exstabat vetus ecclesia, ab apostolis fundata, ut dicit homiliæ initio Chrysostomus : ideoque apostolica vocatur a Theodoreto : et in Chronico Alexandrino Palæa item ecclesia dicitur. Cujus appellationis duplex videtur causa fuisse, et quod in veteri urbe sita, et quod antiquitus ab apostolis fundata fuisset; quæ licet multoties propter Christi nomen eversa, multoties erecta denuo fuerit, παλαιᾷ tamen, seu veteris nomen non amiserat etiam tempore auctoris Chronici Alexandrini; Palæam Antiochiæ memorat Athanasius tomo ad Antiochenos p. 771.

ctum esset, non tamen ad muros usque ipsius pervenit, propter illud verbum quod sic habuit, *Portæ inferi non prævalebunt adversus eam*. Noli enim id spectare, quod verbum erat, sed, quod verbum Dei : siquidem cælum verbo firmavit Deus (*Psal.* 32. 6), et terram verbo super aquas fundavit (*Psal.* 103. 5), et effecit, ut hæc densa gravisque natura ab illa levi fluxaque sustentaretur, et mare, cujus vis indomita, quod tot fluctibus ac procellis se extollit, imbecilli vallo arenæ undique per verbum suum vallavit. Ergo qui cælum verbo firmavit, qui terram fundavit, qui mare circumvallavit, quid miraris, si Ecclesiam cælo, terra marique pretiosiorem rursus hoc verbo munivit?

2. *Ecclesia quomodo fundata.* — Quando igitur adeo stabile est et inconcussum ædificium, adeo inexpugnabile munimentum, qua ratione apostoli jecerint fundamenta, videamus, quam profundam fossam duxerint, ut inconcussum fieret ædificium. Non profundam fossam duxerunt, neque tanto labore indiguerunt. Quid ita? Vetus invenere fundamentum, quod a prophetis jactum erat. Ut igitur homo, qui maximam domum ædificaturus sit, postquam vetus et firmum ac stabile fundamentum offendit, non vectibus fundamenta subvertit, non lapides loco movet, sed immotum sinens, novum ædificium imponit : sic et apostoli cum magnum istud exstructuri essent ædificium, Ecclesiam, quæ ubique terrarum erigitur, non profundam fossam duxerunt, sed invento veteri fundamento prophetarum, illud minime subverterunt, nec ædificium et doctrinam immutarunt : sed illa intacta suam deinde imposuere doctrinam, hanc scilicet novam Ecclesiæ fidem. Atque ut intelligas vetus illos fundamentum loco non movisse, sed super illud ædificasse, sapientem ipsum architectum Paulum audi, nobis exactam ædificationis diligentiam declarantem : siquidem ipse sapiens est architectus. *Ut sapiens* enim *architectus*, inquit, *fundamentum posui* (1. *Cor.* 3. 10). Sed videamus, qua ratione fundamentum ipsum posuerit. Super aliud, inquit, fundamentum vetus prophetarum. Unde id constat? *Jam non estis hospites*, inquit, *sed cives sanctorum, superædificati super fundamentum apostolorum et prophetarum* (*Eph.* 2. 19. 20). Vides fundamentum, et fundamentum, alterum prophetarum, alterum apostolorum, quod supra positum est. Et quod sane mirum est, non statim post prophetas venerunt apostoli, sed multum interea tempus elapsum est. Quid ita? Quod ita faciant optimi quique architecti : ubi jecerint fundamentum, non confestim ædificium superimponunt, ne forte dum mollis ac recens est fundamenti structura, grave parietum pondus minime ferre possit. Propterea cum longo tempore firmari lapides siverint, ubi recte coagmentatos illos viderint et compactos, tunc et parietum molem imponunt. Ita quoque fecit Christus, cum prophetarum fundamentum in auditorum mentibus defigi, ac firmum fieri doctrinam sivisset, quando immobile vidit ac stabile ædificium esse, quando defixa dogmata sacra, sic ut possent novam etiam hanc philosophiam ferre, tunc apostolos misit, qui supra fundamentum prophetarum Ecclesiæ parietes excitarent. Idcirco non dixit, ædificati super fundamentum prophetarum, sed *Superædificati*, supra scilicet ædificati. Sed quo pacto fuerint ædificati, videamus.

Explanatio tituli Act. Apost.; differentia quæ inter actionem et miraculum; altera differentia inter miraculum et actum. — Unde vero id cognoscemus? Unde, quæso, aliunde, quam ex Actorum libro, de quo et superioribus diebus disseruimus? Fortasse namque debitum inde vobis exiguum aliquod debemus, quod hodierno die necesse est persolvamus. Quodnam igitur illud est debitum? Ipsum titulum libri interpretari studeamus. Non enim facilis est et apertus, sicut plurimi arbitrantur, sed inquisitione multa indiget. Quisnam igitur est libri titulus? *Acta Apostolorum*. Nonne dilucida res videtur esse, nonne clara omnibus, atque manifesta? Sed si velitis assequi ea quæ dicuntur, quanta tituli hujus profunditas sit, videbitis. Cur enim non dixit, Miracula Apostolorum? cur non inscripsit, Signa Apostolorum, aut Virtutes ac prodigia Apostolorum, sed tantum *Acta Apostolorum?* Non enim idem sunt acta et signa, non idem acta et miracula; non idem sunt, acta et prodigia et virtutes : sed multum inter utraque discrimen est. Est enim actum opus propriæ cujusque diligentiæ, miraculum vero divini muneris est beneficium. Vides quanta sit inter actum et miraculum differentia? Actum est humanorum sudorum effectus, miraculum divinæ liberalitatis est specimen : actum a nostra voluntate ducit initium, miraculum a gratia divina trahit originem, et hoc cælestis est auxilii, illud humani est arbitrii. Actum ex utroque contexitur, ex nostra diligentia et ex gratia divina : miraculum solam exhibet cælestem gratiam, neque sudoribus nostris indiget. Actum est probis moribus esse, castum, modestum, iræ imperare, cupiditates subigere, largiri eleemosynas, benignitatem exhibere, omnem virtutem exercere : hoc est actio et labor et sudor noster. Miraculum est dæmones abigere, excæcatos oculos aperire, leprosorum corpora mundare, resoluta membra compingere, mortuos suscitare, alia ejusmodi mira opera patrare. Vides quantum sit inter acta et miracula discrimen, inter conversationem et signa, inter diligentiam nostram et gratiam Dei?

3. Vis et alterum tibi discrimen ostendam? Vestra enim causa hodierno die institutus est hic a me sermo, ut quid sit miraculum signumque discatis[1]. Majus quidem est miraculum, ac formidabilius, ac naturam nostram exsuperat : actio vero et conversatio res quidem est signis minor, sed utilior et fructuosior; est quippe laborum præmium et diligentiæ merces. Atque ut intelligas fructuosiorem esse atque utiliorem signo actionem, actio quidem bona etiam sine signis eos, a quibus peracta fuerit, introducit in cælum : miraculum autem et signum absque conversatione deducere ad vestibula illa non possunt. Quo vero pacto id fiat, ostendam : vos autem animadvertite,

[1] Colb., *Oportet enim vos illa verba omnino intelligere, nempe miraculum et signum.*

χῶν αὐτῆς οὐχ ἥψατο, διὰ τὸ ῥῆμα ἐκεῖνο τὸ λέγον, *Ὅτι πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς*. Μὴ γὰρ ἔδῃς, ὅτι ῥῆμα ἦν, ἀλλ' ὅτι ῥῆμα Θεοῦ. Καὶ γὰρ τὸν οὐρανὸν ῥήματι ἐστερέωσεν ὁ Θεὸς, καὶ τὴν γῆν ῥήματι ἐθεμελίωσεν ἐπὶ τῶν ὑδάτων, τὴν πυκνὴν ταύτην καὶ βαρεῖαν φύσιν ἐπὶ τῆς χαυνοτάτης ἐκείνης καὶ διαῤῥεούσης ποιήσας φέρεσθαι· καὶ τὴν θάλασσαν τὴν ἀφόρητον [a] ταῖς βίαις, ἐκείνην τὴν τοσαῦτα ἔχουσαν κύματα, ἀσθενεῖ τειχίῳ τῇ ψάμμῳ πανταχόθεν ἐτείχισε διὰ ῥήματος. Ὁ τοίνυν διὰ ῥήματος τὸν οὐρανὸν στερεώσας, τὴν γῆν θεμελιώσας, τὴν θάλασσαν περιφράξας, τί θαυμάζεις, εἰ τὴν οὐρανοῦ καὶ γῆς καὶ θαλάσσης τιμιωτέραν Ἐκκλησίαν διὰ τοῦ ῥήματος τούτου πάλιν ἐτείχισεν;

β'. Ἀλλ' ἐπειδὴ οὕτως ἡ οἰκοδομὴ ἄσειστος, οὕτω τὸ τεῖχος ἀῤῥαγὲς, ἴδωμεν πῶς κατεβάλλοντο οἱ ἀπόστολοι τοὺς θεμελίους, πόσον βάθος ἔσκαψαν, ὥστε ἄσειστον γενέσθαι τὴν οἰκοδομήν. Οὐκ ἔσκαψαν βάθος, οὐκ ἐδεήθησαν πόνου τοσούτου. Διὰ τί; Παλαιὸν εὗρον θεμέλιον καὶ ἀρχαῖον, τὸν τῶν προφητῶν. Καθάπερ οὖν ἄνθρωπος μέλλων οἰκίαν μεγίστην οἰκοδομεῖν, ἐπειδὰν εὕρῃ θεμέλιον παλαιὸν καὶ ἰσχυρὸν καὶ ἀῤῥαγῆ, οὐκ ἀναμοχλεύει τὸν θεμέλιον, οὐ κινεῖ τοὺς λίθους, ἀλλ' ἀφεὶς ἑστάναι ἀκίνητον, οὕτως ἐπιτίθησι τὴν νέαν καὶ πρόσφατον οἰκοδομήν· οὕτω καὶ οἱ ἀπόστολοι μέλλοντες τὸ μέγα τοῦτο οἰκοδόμημα οἰκοδομεῖν, τὴν πανταχοῦ τῆς οἰκουμένης Ἐκκλησίαν ἱδρυμένην, οὐ διέσκαψαν βάθος, ἀλλ' εὑρόντες παλαιὸν θεμέλιον, τὸν τῶν προφητῶν, οὐκ ἀνεμόχλευσαν ἐκεῖνον, οὐκ ἐκίνησαν τὴν οἰκοδομὴν καὶ τὴν διδασκαλίαν, ἀλλ' ἀφέντες αὐτὴν μένειν ἀκίνητον, οὕτως ἐπέθηκαν τὴν παρ' ἑαυτῶν διδασκαλίαν, τὴν νέαν ταύτην τῆς Ἐκκλησίας πίστιν. Καὶ ἵνα μάθῃς ὅτι οὐκ ἐκίνησαν τὸν παλαιὸν θεμέλιον, ἀλλ' ἐπάνω αὐτοῦ ᾠκοδόμησαν, ἄκουσον αὐτοῦ τοῦ σοφοῦ ἀρχιτέκτονος Παύλου λέγοντος ἡμῖν τῆς οἰκοδομῆς τὴν ἀκρίβειαν· αὐτὸς γάρ ἐστιν ὁ σοφὸς ἀρχιτέκτων. *Ὡς σοφὸς γὰρ*, φησὶν, *ἀρχιτέκτων θεμέλιον τέθεικα*. Ἀλλ' ἴδωμεν πῶς αὐτὸν τέθεικε τὸν θεμέλιον. Ἐπάνω, φησὶν, ἑτέρου θεμελίου παλαιοῦ, τοῦ τῶν προφητῶν. [63] Πόθεν τοῦτο δῆλον; *Οὐκ ἔτι ἐστὲ ξένοι*, φησὶν, *ἀλλὰ συμπολῖται τῶν ἁγίων, ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν*. Εἶδες θεμέλιον καὶ θεμέλιον, τὸν μὲν τῶν προφητῶν, τὸν δὲ τῶν [b] ἀποστόλων ἀνωτέρω κείμενον. Καὶ τὸ δὴ θαυμαστὸν, οὐκ εὐθέως μετὰ τοὺς προφήτας ἦλθον οἱ ἀπόστολοι, ἀλλὰ πολὺς μεταξὺ παρεγένετο χρόνος. Τί δήποτε; Ὅτι οἱ ἄριστοι τῶν οἰκοδόμων τοῦτο ποιοῦσιν· ἐπειδὰν καταβάλλωνται θεμέλιον, οὐκ εὐθέως ἐπιτιθέασι τὴν οἰκοδομὴν, ἵνα μὴ ἀπαλωτέρα καὶ πρόσφατος οὖσα τοῦ θεμελίου ἡ ἐργασία, ἀδυνατήσῃ τῶν τειχῶν ἐνεγκεῖν τὸ βάρος. Διὰ τοῦτο ἀφέντες χρόνῳ πολλῷ παγῆναι τοὺς λίθους, ἐπειδὰν ἴδωσιν ἀκριβῶς σφιγέντας, τότε ἐπιτιθέασι καὶ τῶν τοίχων τὸ βάρος. Οὕτω καὶ ὁ Χριστὸς ἐποίησεν· ἀφεὶς παγῆναι τὸν θεμέλιον τῶν προφητῶν ἐν ταῖς τῶν ἀκουσάντων ψυχαῖς, καὶ γενέσθαι βεβαίαν τὴν διδασκαλίαν, ὅτε εἶδεν ἄσειστον οὖσαν τὴν οἰκοδομὴν [c], ὅτε παγέντα τὰ δόγματα τὰ ἱερὰ, ὥστε δυνηθῆναι τὴν κατὰ τὴν καινὴν φιλοσοφίαν ἐνεγκεῖν, τότε ἀπέστειλε τοὺς ἀποστόλους, ἐπὶ τῷ θεμελίῳ τῶν προφητῶν τοὺς τοίχους τῆς Ἐκκλησίας ἀναστήσοντας. Διὰ τοῦτο οὐκ εἶπεν, Οἰκοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν προφητῶν, ἀλλ' *Ἐποικοδομηθέντες*, ἐπάνω οἰκοδομηθέντες. Ἀλλ' ἴδωμεν πῶς ᾠκοδομήθησαν.

Πόθεν οὖν εἰσόμεθα; Πόθεν ὃς ἄλλοθεν, ἀλλ' ἢ ἀπὸ τῆς βίβλου τῶν Πράξεων, περὶ ἧς καὶ ἐν ταῖς ἔμπροσθεν ὑμῖν ἡμέραις διελέχθημεν; Τάχα γάρ τι καὶ μικρὸν ἐκεῖθεν ὑμῖν ὀφείλομεν χρέος, ὅπερ ἀνάγκη καταθεῖναι σήμερον. Τί οὖν ἐστι τὸ χρέος; Αὐτὴν τοῦ βιβλίου τὴν ἐπιγραφὴν ἑρμηνεῦσαι σπουδάσωμεν. Οὐ γὰρ ψιλή τίς ἐστι καὶ σαφὴς, καθὼς πολλοὶ νομίζουσιν, ἀλλὰ δεῖται καὶ ἐξετάσεως. Τίς οὖν ἡ ἐπιγραφὴ τοῦ βιβλίου; *Πράξεις ἀποστόλων*. Οὐ δοκεῖ σαφὲς εἶναι; οὐ δοκεῖ γνώριμον, καὶ ὅῆλον ἅπασιν; Ἀλλ' ἂν παρακολουθῆτε τοῖς λεγομένοις, ὄψεσθε ὅσον τὸ βάθος τῆς ἐπιγραφῆς ταύτης. Διὰ τί γὰρ οὐκ εἶπε, Θαύματα ἀποστόλων; διὰ τί οὐκ ἐπέγραψε, Σημεῖα ἀποστόλων, ἢ Δυνάμεις καὶ τέρατα ἀποστόλων· ἀλλὰ *Πράξεις ἀποστόλων*; Οὐ γὰρ τὸ αὐτό ἐστι πράξεις καὶ σημεῖα, οὐ τὸ αὐτὸ πράξεις καὶ θαύματα· οὐ τὸ αὐτό ἐστι πράξεις, καὶ τέρατα, καὶ δυνάμεις· ἀλλὰ πολλὴ ἡ διαφορὰ τούτων ἑκατέρων. Πρᾶξις μὲν γάρ ἐστιν οἰκείας σπουδῆς κατόρθωμα, θαῦμα δὲ θείας δωρεᾶς χάρισμα. Εἶδες ὅσον τὸ μέσον πράξεως καὶ θαύματος; Πρᾶξις ἐστιν ἀνθρωπίνων ἱδρώτων συντέλεσμα, θαῦμά ἐστι θείας φιλοτιμίας ἐπίδειξις· πρᾶξις ἐστιν ἐκ τῆς ἡμετέρας προαιρέσεως τὴν ἀρχὴν ἔχουσα, θαῦμά ἐστιν ἐκ τῆς τοῦ Θεοῦ χάριτος τὰ προοίμια λαμβάνον, καὶ τὸ μὲν τῆς ἄνωθεν ῥοπῆς, τὸ δὲ τῆς κάτωθεν γνώμης. Πρᾶξις ἐξ ἀμφοτέρων ὑφαίνεται, καὶ ἐξ ἡμετέρας σπουδῆς, καὶ ἐκ θείας χάριτος· τὸ δὲ θαῦμα γυμνὴν ἐπιδείκνυται τὴν ἄνωθεν χάριν, οὐδὲν τῶν ἡμετέρων ἱδρώτων δεόμενον. Πρᾶξίς ἐστιν ἐπιεικῆ [64] εἶναι, σώφρονα, μέτριον, ὀργῆς κρατεῖν, ἐπιθυμίας καταγωνίζεσθαι, ἐλεημοσύνας ποιεῖν, φιλανθρωπίαν ἐπιδείκνυσθαι, ἅπασαν ἀσκεῖν ἀρετήν· τοῦτο πρᾶξίς ἐστι, καὶ πόνος, καὶ ἱδρὼς ἡμέτερος. Θαῦμά ἐστι δαίμονας ἀπελαύνειν, τυφλωθέντας ὀφθαλμοὺς ἀνοίγειν, λεπρῶν τὰ σώματα καθαίρειν, διαλελυμένα μέλη σφίγγειν, νεκροὺς ἐγείρειν, ἕτερα τοιαῦτα θαυματουργεῖν. Εἶδες πόσον τὸ μέσον πράξεων καὶ θαυμάτων, πολιτείας καὶ σημείων, τῆς ἡμετέρας σπουδῆς καὶ τῆς τοῦ Θεοῦ χάριτος;

γ'. Βούλει καὶ ἑτέραν σοι δείξω διαφοράν; Διὰ γὰρ ὑμᾶς σήμερον ἅπαντα τὸν λόγον τοῦτον ἐκίνησα, ὥστε μαθεῖν τὸ θαῦμα καὶ τὸ σημεῖον. Τὸ θαῦμα μεῖζον μέν [d] ἐστι, καὶ φρικωδέστερον, καὶ τὴν ἡμετέραν ὑπερβαῖνον φύσιν· ἡ δὲ πρᾶξις καὶ ἡ πολιτεία ἔλαττον μὲν τῶν σημείων, χρησιμώτερον δὲ καὶ κερδαλεώτερον [e]· πόνων γάρ ἐστιν ἀμοιβὴ καὶ σπουδῆς μισθός. Καὶ ἵνα μάθῃς ὅτι ἡ πρᾶξις τοῦ σημείου κερδαλεωτέρα καὶ χρησιμωτέρα, πρᾶξις μὲν ἀγαθὴ καὶ χωρὶς σημείων εἰς τὸν οὐρανὸν τοὺς κατωρθωκότας εἰσήγαγε, θαῦμα δὲ καὶ σημεῖα χωρὶς πολιτείας οὐκ ἴσχυσε πρὸς τὰ πρόθυρα χειραγωγῆσαι ἐκεῖνα. Καὶ πῶς, ἐγὼ δείξω· ὑμεῖς δὲ παρατηρεῖτε πῶς τὴν προεδρίαν α!

[a] Colb. ἀφόρητον, Savil. et Morel. ἀπόῤῥητον.
[b] Colb. προφητῶν κατώτερον, τὸν δὲ τῶν.
[c] Colb. εἶδεν εὐτονοῦσαν τὴν οἰκοδομήν. Paulo post idem δυνηθῆναι τὸ βάρος τῆς κατά. Infra διὰ τοῦτο οὐκ εἶπεν. οἰκοδ. Hanc lectionem, in Morel. et Savil. vitiatam, ex Colb. restituimus.
[d] Colb. δεῖ γὰρ ὑμᾶς... τοῦτον μαθεῖν, τὸ θαῦμα καὶ τὸ σημεῖον. Μεῖζον μέν.
[e] Colb. χρησιμωτέρα δὲ καὶ κερδαλεωτέρα.

πράξεις ἔχουσι κατὰ τὴν τῶν μισθῶν ἀμοιβήν· πῶς τὰ μὲν σημεῖα καθ' ἑαυτὰ ὄντα οὐ σώζει τοὺς ποιοῦντας, ἡ δὲ πρᾶξις καθ' ἑαυτὴν οὖσα, οὐδενὸς ἑτέρου δεῖται πρὸς σωτηρίαν τῶν κεκτημένων. *Πολλοί ἐροῦσί μοι*, φησὶν ὁ Χριστὸς, *ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· Κύριε, Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν;* τοῦτο σημεῖον καὶ θαῦμα· *Οὐ τῷ σῷ ὀνόματι δαιμόνια πολλὰ ἐξεβάλομεν, καὶ δυνάμεις πολλὰς ἐποιήσαμεν;* Ὁρᾷς πανταχοῦ σημεῖα καὶ θαύματα· ἴδωμεν τί φησιν ὁ Θεός. Ἐπειδὴ γυμνὰ τὰ θαύματα, καὶ οὐδαμοῦ πολιτεία, *Πορεύεσθε*[a], φησὶν, *ἀπ' ἐμοῦ, οὐκ οἶδα ὑμᾶς, οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.* Εἰ οὐκ οἶδας αὐτοὺς, πῶς οἶδας αὐτοὺς, εἰ ἐργάζονται τὴν ἀνομίαν; Ἵνα μάθῃς, ὅτι τὸ, *Οὐκ οἶδα ὑμᾶς*, οὐκ ἀγνοίας ἐστὶν, ἀλλὰ μίσους καὶ ἀποστροφῆς. *Οὐκ οἶδα ὑμᾶς.* Τίνος ἕνεκεν, εἰπέ μοι; *Οὐ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν;* Διὰ τοῦτο γὰρ ὑμᾶς μισῶ καὶ ἀποστρέφομαι, φησὶν, ὅτι οὐδὲ ταῖς δωρεαῖς βελτίους ἐγένεσθε, ὅτι τοσαύτης ἀπολαύσαντες τιμῆς ἐμείνατε ἐπὶ τῆς αὐτῆς κακίας. *Πορεύεσθε ἀπ' ἐμοῦ, οὐκ οἶδα ὑμᾶς.*

Τί οὖν; Τὸ παλαιὸν ἀνάξιοι ἐλάμβανον χαρίσματα, καὶ διεφθαρμένοι τὸν βίον σημεῖα ἐπεδείκνυντο, καὶ θείας ἀπήλαυον δωρεᾶς, τῆς πολιτείας οὐκ ἐπιμελούμενοι τῆς ἀρίστης; Ἀπήλαυον διὰ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, οὐ διὰ τὴν οἰκείαν ἀξίαν. Ἔδει γὰρ πανταχοῦ σιταρῆναι τῆς εὐσεβείας τὸν λόγον, ἐπειδὴ ἀρχὴ καὶ προοίμια τῆς πίστεως ἦν. Καθάπερ οὖν γηπόνος ἄριστος νεόφυτον δένδρον τοῖς κόλποις τῆς γῆς ἄρτι παρακατατιθέμενος, ἁπαλὸν ὑπάρχον ἔτι πολλῆς ἐπιμελείας [65] ἀξιοῖ, πανταχόθεν περιφράττων, τειχίζων καὶ λίθοις καὶ ἀκάνθαις, ὥστε μὴ ὑπὸ ἀνέμων ἀνασπασθῆναι, μήτε ὑπὸ θρεμμάτων ἀδικηθῆναι, μήτε ὑπὸ ἄλλης τινὸς ἐπηρεασθῆναι βλάβης· ἐπειδὰν δὲ παγὲν καὶ πρὸς ὕψος ἀναδραμὸν ἴδῃ, περιαιρεῖ τὰ τειχία· ἀρκεῖ γὰρ αὐτὸ τὸ δένδρον πρὸς τὸ μηδὲν τοιοῦτον παθεῖν· οὕτω καὶ ἐπὶ τῆς πίστεως γέγονεν. Ὅτε νεόφυτος ἦν, ὅτε ἀπαλὴ ὑπῆρχεν, ὅτε προσφάτως ἐν ταῖς τῶν ἀνθρώπων κατεβλήθη ψυχαῖς, πολλῆς ἐπιμελείας ἠξιοῦτο πάντοθεν· ἐπειδὴ δὲ ἐπάγη καὶ ἐρριζώθη καὶ πρὸς ὕψος ἀνέδραμεν, ἐπειδὴ πᾶσαν τὴν οἰκουμένην ἐπλήρωσε, καὶ περιῆρε τὰ τειχία, καὶ τὰ ἀσφαλίσματα λοιπὸν ἀνεῖλεν ὁ Χριστός. Διὰ τοῦτο παρὰ μὲν τὴν ἀρχὴν καὶ ἀναξίοις χαρίσματα ἐδίδοτο· χρείαν γὰρ εἶχε τὸ παλαιὸν[b], τῆς πίστεως ἕνεκα, ταύτης τῆς βοηθείας· νῦν δὲ οὐδὲ ἀξίοις δίδοται· ἡ γὰρ ἰσχὺς τῆς πίστεως οὐκέτι ταύτης δεῖται τῆς συμμαχίας. Καὶ ἵνα μάθῃς ὅτι οὐκ ἐψεύδοντο ἐκεῖνοι, ἀλλὰ ἀληθῶς σημεῖα ἐποίησαν, καὶ ἀναξίοις ἀνθρώποις χαρίσματα ἐδίδοτο, καὶ ἵνα πρὸς τοῖς εἰρημένοις καὶ ἕτερόν τι κατορθωθῇ, καὶ τὴν τοῦ Θεοῦ δωρεὰν αἰδεσθέντες ἐκεῖνοι ἀποθῶνται τὴν πονηρίαν, Ἰούδας ὁ τῶν δώδεκα παρὰ πᾶσιν ὁμολογεῖται, ὅτι σημεῖα ἐποίει, ὅτι δαίμονας ἐξέβαλλεν, ὅτι νεκροὺς ἤγειρεν, ὅτι λεπροὺς ἐκάθηρεν· ἀλλ' ὅμως ἐξέπεσε τῆς βασιλείας τῶν οὐρανῶν. Οὐ γὰρ ἴσχυσεν αὐτὸν σῶσαι τὰ σημεῖα, ἐπειδὴ λῃστὴς, καὶ κλέπτης, καὶ τοῦ Δεσπότου προδότης ἐγένετο. Ὅτι μὲν τὰ σημεῖα οὐκ ἰσχύει σῶσαι χωρὶς πολιτείας ἀρίστης καὶ βίου καθαροῦ καὶ διηκριβωμένου, ἀπὸ τούτων ἀποδέδεικται· ὅτι δὲ πολιτεία οὐκ ἔχουσα τὴν ἀπὸ τῶν σημείων παραμυθίαν, οὐδὲ σύμμαχον λαβοῦσα ἐκείνην, ἀλλ' αὕτη καθ' ἑαυτὴν φανεῖσα, ἴσχυσε μετὰ παῤῥησίας εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἄκουσον αὐτοῦ τοῦ Χριστοῦ λέγοντος· *Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου.* Διὰ τί; ὅτι νεκροὺς ἤγειραν; ὅτι λεπροὺς ἐκάθηραν; ὅτι δαίμονας ἤλασαν; Οὐχί· ἀλλὰ διὰ τί; Πεινῶντα εἴδετέ με, φησὶ, καὶ ἐθρέψατε· διψῶντα, καὶ ἐποτίσατέ με· γυμνὸν, καὶ περιεβάλετέ με· ξένον, καὶ συνηγάγετε. Οὐδαμοῦ θαύματα, ἀλλὰ πανταχοῦ πολιτεία. Ὥσπερ οὖν ἐκεῖ πανταχοῦ θαύματα, καὶ εὐθέως κόλασις, ἐπειδὴ γυμνὰ τὰ θαύματα τῆς πολιτείας· οὕτω καὶ ἐνταῦθα πανταχοῦ πολιτεία, καὶ οὐδαμοῦ θαύματα, καὶ εὐθέως ἡ σωτηρία· ἐπειδὴ ἰσχύει καθ' ἑαυτὴν σῶσαι ἡ ἀρίστη πολιτεία τοὺς κεκτημένους αὐτήν. Διὰ τοῦτο καὶ ὁ μακάριος οὗτος, καὶ γενναῖος, καὶ θαυμάσιος Λουκᾶς οὕτως ἐπέγραψε τὸ βιβλίον, *Πράξεις ἀποστόλων*, οὐ θαύματα ἀποστόλων· καίτοι καὶ θαύματα πεποιήκασιν. Ἀλλ' ἐκεῖνα μὲν καιρῷ γέγονε, καὶ παρῆλθε· ταῦτα δὲ διὰ παντὸς τοῦ χρόνου πάντας ἐπιδείκνυσθαι χρὴ τοὺς σώζεσθαι μέλλοντας. Ἐπεὶ οὖν οὐ πρὸς τὰ σημεῖα, ἀλλὰ πρὸς τὰς πράξεις τῶν ἀποστόλων ὁ ζῆλος ἡμῖν, διὰ τοῦτο οὕτως τὸ βιβλίον ἐπέγραψεν. Ἵνα γὰρ μὴ λέγῃς, μᾶλλον δὲ [66] ἵνα μὴ λέγωσιν οἱ ῥᾴθυμοι, ἐπειδὰν αὐτοὺς παρακαλοῦμεν πρὸς τὴν μίμησιν τῶν ἀποστόλων, καὶ λέγομεν· Μίμησαι Πέτρον, ζήλωσον Παῦλον, γενοῦ κατὰ Ἰωάννην, ἀκολούθησον Ἰάκωβον· ἵνα μὴ λέγωσιν, Οὐ δυνάμεθα, οὐδὲ ἰσχύομεν, ἐκεῖνοι γὰρ νεκροὺς ἀνέστησαν, λεπροὺς ἐκάθηραν, ἐπιστομίζων ἡμῶν τὴν ἀναίσχυντον ἀπολογίαν, Σιώπα, φησὶ, πεφίμωσο· οὐ θαύματα, ἀλλὰ πολιτεία εἰς τὴν βασιλείαν εἰσάγει τῶν οὐρανῶν.

Ζήλωσον τοίνυν τὴν πολιτείαν τῶν ἀποστόλων, καὶ οὐδὲν ἔλαττον ἕξεις τῶν ἀποστόλων. Οὐ γὰρ τὰ σημεῖα ἀποστόλους ἐποίησεν, ἀλλ' ὁ βίος ὁ καθαρός Καὶ ὅτι τοῦτό ἐστι τὸ γνώρισμα τῆς ἀποστολικῆς εἰκόνος, καὶ τοῦ χαρακτῆρος τῶν μαθητῶν, ἄκουσον τοῦ Χριστοῦ τοῦτο δηλοῦντος τὸ σημεῖον. Χαρακτηρίζων γὰρ τῶν μαθητῶν τὰς εἰκόνας, καὶ δεικνὺς, τί ποτέ ἐστιν ἀποστολῆς γνώρισμα, οὕτως εἶπεν· *Ἐν τούτῳ γνώσονται πάντες, ὅτι μαθηταί μου ἐστέ.* Ἐν τούτῳ, ποίῳ; ἐν τῷ θαύματα ποιεῖν; ἐν τῷ νεκροὺς ἐγείρειν; Οὐχὶ, φησὶν· ἀλλ' ἐν τίνι; *Ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους.* Ἡ δὲ ἀγάπη οὐχὶ θαυμάτων, ἀλλὰ πολιτείας ἐστί. *Πλήρωμα γὰρ νόμου ἡ ἀγάπη.* Εἶδες τὸ γνώρισμα τῶν μαθητῶν; εἶδες τὴν εἰκόνα τῆς ἀποστολῆς; εἶδες τὴν μορφήν; εἶδες τὸν τύπον; μηδὲν πλέον ζήτει· ὁ γὰρ Δεσπότης ἀπεφήνατο, ὅτι ἀγάπη χαρακτηρίζει τοὺς μαθητάς. Ἂν τοίνυν ἔχῃς ἀγάπην, ἀπόστολος γέγονας, καὶ τῶν ἀποστόλων πρῶτος.

[a] Colb. δυνάμεις ἐποιήσαιμεν; ὁρᾷς πανταχοῦ σημεῖα καὶ θαύματα; οὐδαμοῦ πρᾶξις οὐδὲ πολιτεία. Ἴδωμεν οὖν, φησὶ, τί ὁ Χριστός. Ἐπειδὴ γυμνὰ τὰ θαύματα, καὶ οὐδαμοῦ πολιτεία καὶ πρᾶξις, Πορεύεσθε.

[b] Colb. το ἁπαλόν, edili τὸ παλαιόν.

qua ratione priorem locum obtineant actiones, cum de remuneratione mercedis agitur : qua ratione signa quidem, si sola sint, eos, qui illa patrarint, salvos non faciant : actio vero seorsim sumpta nulla re indigeat alia ad eos salvandos, qui eam possident. *Multi dicent mihi*, inquit Christus, *in illa die, Domine, Domine, nonne in nomine tuo prophetavimus?* hoc signum est et miraculum; *Nonne in nomine tuo dæmonia multa ejecimus, et in nomine tuo virtutes multas fecimus* (*Matth.* 7. 22)? Vides ubique signa et miracula : videamus quid dicat Deus. Quia nuda erant miracula, nec uspiam conversatio, *Discedite*, inquit, *a me, nescio vos, qui operamini iniquitatem* (*Ibid. v.* 23). Si non nosti eos, unde tibi innotuit eos iniquitatem operari? Ut intelligas illud, *Nescio vos*, non ignorantiæ, sed odii et aversionis esse. *Nescio vos.* Quam ob causam quæso? *Nonne in nomine tuo dæmonia ejecimus?* Propterea vos odio prosequor, et aversor, inquit, quia ne donis quidem acceptis meliores evasistis, quod tanto honore cumulati, in eadem malitia perstitistis. *Discedite a me, nescio vos.*

Cur olim charismata darentur indignis; vera miracula etiam indigni faciebant. — Quid igitur? Olim dona dabantur indignis, et qui vita erant et moribus depravatis, edebant miracula, et divinis ditabantur donis, licet optimam conversationem non curarent? Ditabantur illi quidem ob eximiam Dei benignitatem, non ob suam dignitatem. Erat enim religionis verbum ubique spargendum, quandoquidem initium et origo erat fidei. Ut igitur optimus agricola in novellam arborem, quam non ita pridem terræ sinui commendavit, dum adhuc tenera est, multam curam impendit, undique illam circumvallat, et lapidibus munit et spinis, ut ne a ventis evellatur, ne a pecoribus labefactetur[1], neve alio quodam incommodo lædatur; postquam autem radices egisse, et in sublime crevisse illam viderit, tum amovet munimenta : sufficit enim sibi ipsi arbor ad injurias tales repellendas : ita quoque in fide accidit. Quando nuper erat plantata, quando tenera erat, quando nuper in humanis animis fundata, omni ex parte multa in eam cura impendebatur : postquam autem coaluit, et radices egit, et in sublimitatem ascendit, postquam universum terrarum orbem complevit, munimenta removit Christus, et de cætero tutamina sustulit. Propterea initio quidem etiam indignis dabantur dona, quoniam hoc auxilio fidei fovendæ causa indigebat antiquitas : nunc autem neque dignis conceduntur; fidei quippe robur et firmitas hoc subsidio non eget. Atque ut intelligas nequaquam illos imposuisse, sed vere miracula edidisse, atque indignis hominibus dona fuisse concessa, utque præter ea, quæ dicta sunt, quiddam etiam aliud perficeretur, Deique munus illi reveriti nequitiam abjicerent, Judam unum ex duodecim omnes fatentur signa fecisse, dæmones ejecisse, mortuos suscitasse, leprosos mundasse : et tamen excidit a regno cælorum. Non enim illum salvum facere signa potuerunt, quia latro, fur, et proditor fuit Domini. Ac signa quidem sine optima conversatione, vitaque pura et exacta salvum facere minime posse demonstratum ex istis est : conversationem autem hoc signorum solatio destitutam, neque illo stipatam præsidio, sed quamvis sola compareat, posse cum fiducia in regnum cælorum introire, Christo docente condisces : *Venite, benedicti Patris mei, possidete paratum vobis regnum a constitutione mundi* (*Matth.* 25. 34). Quam ob causam? quia mortuos suscitarunt? quia leprosos mundarunt? quia dæmones expulerunt? Nequaquam : sed qua de causa? Esurientem me vidistis, inquit, et aluistis : sitientem, et dedistis mihi potum : nudum, et cooperuistis me : hospitem, et collegistis (*Ib. v.* 35. 36). Nusquam miracula, sed ubique conversatio. Ut igitur illic ubique miracula, et statim supplicium, quoniam conversatione destituta erant miracula : sic et hoc loco ubique conversatio, nec usquam miracula, et statim salus[1] : propterea quod per se sola possessores suos salvos facere potest optima conversatio. Idcirco etiam beatus hic et generosus ac mirabilis Lucas ita librum inscripsit, *Acta Apostolorum*, non miracula apostolorum : tametsi fecerant et ipsi miracula. Verum illa quidem certo tempore facta sunt, et præterierunt : hæc autem quovis tempore ab illis exhiberi opus est, qui salutem sunt adepturi. Quando igitur non miracula, sed acta nobis æmulanda proponuntur apostolorum, propterea librum sic inscripsit. Ut enim non diceres, vel potius ne dicerent desides, si quando illos ad imitationem apostolorum cohortamur, ac dicimus, Imitare Petrum, æmulare Paulum, similis esto Joanni, Jacobum sequere : ne dicerent, Non possumus, nec valemus : illi enim mortuos suscitabant, leprosos mundabant : hanc impudentem nostram excusationem reprimens. Tace, inquit, obmutesce, non miraculum, sed conversatio in regnum cælorum introducit.

Quæ notæ et indicia Apostoli. — Imitare igitur conversationem apostolorum, et nihil minus quam apostoli obtinebis. Neque enim signa fecerunt apostolos, sed vita munda. Atque hoc apostolicæ imaginis indicium esse, ac figuræ discipulorum, audi quo pacto Christus hoc signo demonstret. Cum enim imagines discipulorum effingeret, et quodnam apostolatus insigne sit, declararet, ita dixit : *In hoc cognoscent omnes, quod discipuli mei estis* (*Joan.* 13. 35). *In hoc*, in quo? in miraculis faciendis, in mortuis suscitandis? Nequaquam, inquit : sed in quo tandem? *In hoc cognoscent omnes, quia discipuli mei estis, si vos invicem diligatis.* Atqui dilectio non miraculorum est, sed conversationis : *Plenitudo* enim *legis est dilectio* (*Rom.* 13. 10). Vides discipulorum indicium? vides imaginem apostolatus? vides formam? vides figuram? Nihil amplius quære : quippe Dominus pronuntiavit caritatem discipulos exprimere. Si ergo caritatem habeas, apostolus factus es, et apostolorum primus.

[1] Hæc, *ne a pecoribus labefactetur*, μήτε ὑπὸ θρεμμάτων ἀδικηθῆναι, deerant in Editis, sed ex Coib. supplentur. Infra item quædam ex eodem resarciuntur.

[1] In hæc verba, *et statim salus*, Gr. καὶ εὐθέως ἡ σωτηρία, desinit Colbertinus Ms.

4. Vis aliunde hoc discere? Cum Christus Petrum alloqueretur, *Petre, diligis me plus his* (*Joan.* 21. 17)? ait. Nihil porro æque valet ad regnum cælorum obtinendum, ac si constet nos ita Christum diligere, ut a nobis diligendus est. Atque ita designavit indicium. Quodnam illud ergo est? et quid nos agere oportet, ut plus quam apostoli diligamus? an mortui suscitandi? an alia quæpiam edenda miracula? Nullo modo : sed quid agendum est? Ex ipso Christo, qui diligendus est, id audiamus. *Si* enim *amas me*, inquit, *plus his*, *pasce oves meas* (*Ibid.*). Ecce hic quoque conversatio laudem meretur. Nam curam gerere, compati solere, subsidio esse, quæ sua sunt minime quærere, cætera omnia, quæ pastorem oportet habere, conversationis hæc sunt omnia, non miraculorum aut signorum. At illi, dicet aliquis, propter miracula tales evaserunt. Non propter miracula, sed propter conversationem, et ob eam maxime celebres et illustres fuerunt. Propterea dicebat illis : *Luceat lux vestra coram hominibus*, *ut videant* homines, non miracula, sed *opera vestra bona*, *et glorificent Patrem vestrum qui in cælis est* (*Matth.* 5. 16). Vides ubique conversationem, ac vitam virtute præditam collaudari? Vis ostendam tibi et Petrum ipsum, hunc principem apostolorum, qui et eximiam conversationem præ se tulit, et miracula edidit quæ naturam humanam excedebant, et utraque inter se comparata, et miraculum, et conversationem, atque illum potius ob vitæ conversationem quam ob signa fuisse honore cumulatum? Hanc historiam audi : *Petrus et Joannes ascendebant in templum ad horam orationis nonam* (*Act.* 3. 1). Ne oscitanter hanc narrationem prætereas, sed in proœmio statim insistas, et quanta caritas esset, discas, quanta concordia, quantusque consensus, et qua ratione cuncta isti sibi invicem communicabant, et amicitiæ secundum Deum vinculo colligati cuncta faciebant, et in mensa, et in oratione, et in incessu, et in reliquis omnibus juncti apparebant. Quod si illi qui columnæ ac turres erant, qui multam apud Deum fiduciam habebant, mutuo indigebant auxilio, mutuoque subsidio corrigebantur, quanto magis nos imbecilles ac miseri, nullisque pretii homines mutuo auxilio indigemus? *Frater enim qui adjuvatur a fratre*, *quasi civitas firma* (*Prov.* 18. 19) : et rursus : *Ecce quid bonum, et quid pulchrum, nisi habitare fratres in unum* (*Psal.* 132. 1)? Petrus et Joannes erant, et Jesum in medio habebant : *Ubi enim fuerint duo vel tres congregati*, inquit, *in nomine meo*, *ibi sum in medio eorum* (*Matth.* 18. 20). Vides quantum sit in unum versari? Neque vero quovis modo in unum erant : nam et nunc in unum sumus omnes; sed in unum esse oportet vinculo caritatis, et voluntatis affectu : et quemadmodum corpora nostra sibi propinqua nunc sunt invicem ac sese in unum constringunt, sic etiam oportet corda constringi. *Petrus et Joannes ascendebant in templum.* Scissum est velum, desolata sunt sancta sanctorum, sublata est uni addicta loco adoratio. Clamat Paulus, ac dicit : *In omni loco puras manus levate* (1. *Tim.* 2. 8) Cur igitur isti currunt ad templum, ut orent? rursus ad Judaicam infirmitatem devoluti sunt? Absit! sed imbecillioribus sese attemperant, illudque Pauli dictum implent, quod ait : *Factus sum Judæis tamquam Judæus* (1. *Cor.* 9. 20). Imbecillibus se attemperant, ne illi maneant imbecilles. Alioquin autem illic quoque tota civitas congregabatur. Ut igitur optimi piscatores eos sinus in fluminibus sectantur, ubi pisces omnes conveniunt, ut facilius præda potiantur : ita nimirum et isti apostoli, spirituales piscatores, ad illum sinum festinabant, in quo tota civitas conveniebat, ut illic expanso evangelii reti facile præda potirentur. Hoc autem cum agerent, magistrum imitabantur. Nam ait Christus : *Quotidie apud vos eram in templo* (*Matth.* 26. 55)? Quare in templo? Ut qui in templo versabantur, caperet. Ita quoque isti tamquam oraturi quidem pergebant, sed doctrinam illic erant sparsuri. *In templum*, ut orarent, *circa horam orationis nonam.* Neque ipsam horam sine causa observarunt. Sæpe namque de hac hora dixi vobis, in ipsa paradisum fuisse reseratum, et latronem ingressum : in ipsa sublatum est maledictum, in ipsa terrarum orbis victima est oblata : in ipsa dissipatæ sunt tenebræ, in ipsa lux affulsit cum sensibilis, tum spiritualis. *Circa horam nonam.* Quando cæteri post prandium et ebrietatem alto sopiti somno dormiunt, tum illi sobrii atque vigilantes, ac multo amore succensi, ad orationem properabant. Quod si oratione illi indigebant, oratione tam assidua, tam exacta, qui tantam fiduciam habebant, qui nullius sibi criminis erant conscii, quid nos faciemus, qui vulneribus scatemus innumeris, nec illis orationis remedium adhibemus? Ingens telum est oratio. Vis nosse quam ingens sit telum oratio? Curam pauperum omittebant apostoli, ut plus illis otii ad vacandum orationi suppeteret. *Constituite namque*, inquit, *ex vobis viros boni testimonii septem : nos vero orationi et ministerio verbi instantes erimus* (*Act.* 6. 3).

5. Sed quod dicebam (non enim digrediendum est ab argumento sermonis, ut constet, Petrum et actionem exhibuisse, et miraculum edidisse, et ob actionem potius esse laudatum), ascendit ergo in templum, ut oraret : et ecce claudus ex utero matris suæ bajulabatur illic ad portam templi (*Act.* 3. 2). Ab ipso matris utero natura mutilata erat, et artem medicinæ vincebat ægritudo, ut Dei gratia magis appareret. Hic ergo claudus ad portam templi jacebat, et cum introeuntes illos vidisset, intendebat in eos, quærens eleemosynam ab ipsis accipere. Quid igitur Petrus? *Respice in nos* (*Act.* 3. 4), inquit. Ex aspectu solo constare potest quam pauper sit : non verbis opus est, non demonstratione, nec responsione, nec doctrina : vestitus ipse tibi pauperem indicat. Hoc ergo totum opus et recte factum est apostolatus, ut hæc ad pauperem dicas, ut remedium non tantum adhibeas egestati, ut dicas, Majores divitias videbis. *Argentum*, inquit, *et aurum non habeo : quod autem habeo*, *hoc tibi do : in nomine Jesu Christi surge*, *et ambula* (*Act.* 3. 6). Vides egestatem et divitias? egestatem quidem pecuniarum, sed divitias charismatum ac donorum.

δ'. Βούλει ἐτέρωθεν τοῦτο μαθεῖν; Πρὸς Πέτρον εἰπὼν ὁ Χριστὸς, *Πέτρε, φιλεῖς με πλέον τούτων*; φησί. Τούτου δὲ ἴσον οὐδὲν εἰς τὸ τυχεῖν βασιλείας οὐρανῶν, ἀλλ' ὅταν φανῶμεν τὸν Χριστὸν φιλοῦντες, ὡς φιλεῖν δεῖ. Καὶ τὸ γνώρισμα εἶπε. Τί ποτ' οὖν ἐστι τοῦτο; καὶ τί ποιοῦντες δυνάμεθα φιλεῖν πλέον τῶν ἀποστόλων; ἆρα τοὺς νεκροὺς ἐγείροντες; ἢ ἄλλα τινὰ θαύματα ἐπιδεικνύμενοι; Οὐδαμῶς· ἀλλά τί ποιοῦντες; Αὐτοῦ τοῦ φιλουμένου Χριστοῦ ἀκούσωμεν. *Εἰ γὰρ φιλεῖς με, φησὶ, πλέον τούτων, ποίμαινε τὰ πρόβατά μου.* Ἰδοὺ καὶ ἐνταῦθα πολιτεία εὐδοκιμεῖ. Τὸ γὰρ κηδεμονικὸν, τὸ συμπαθητικὸν, τὸ προστατικὸν, τὸ μὴ τὰ ἑαυτοῦ ζητεῖν, ἀλλὰ πάντα, ἃ τὸν ποιμαίνοντα ἔχειν δεῖ, πάντα ταῦτα πολιτείας ἐστὶν, οὐχὶ θαυμάτων, οὐδὲ σημείων. Ἀλλ' ἐκεῖνοι, φησὶ, διὰ τὰ θαύματα τοιοῦτοι γεγόνασιν. Οὐχὶ διὰ τὰ θαύματα, ἀλλὰ διὰ τὴν πολιτείαν, καὶ ἐντεῦθεν μάλιστα ἔλαμψαν. Διὰ τοῦτό φησιν αὐτοῖς· *Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ἵνα ἴδωσιν οἱ ἄνθρωποι οὐχὶ τὰ θαύματα, ἀλλὰ τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.* Ὁρᾷς πανταχοῦ τὴν πολιτείαν διαλάμπουσαν, τὸν βίον τὸν ἐνάρετον θαυμαζόμενον; Βούλει σοι δείξω καὶ αὐτὸν τὸν Πέτρον, τοῦτον τὸν κορυφαῖον τῶν ἀποστόλων, καὶ πολιτείαν ἐπιδειξάμενον μεγίστην, καὶ θαύματα ποιήσαντα ὑπερβαίνοντα ἀνθρωπίνην φύσιν, καὶ ἀμφότερα παράλληλα κείμενα, καὶ τὸ θαῦμα, καὶ τὴν πολιτείαν, καὶ ἀπὸ τῆς πολιτείας μᾶλλον, ἢ ἀπὸ τῶν σημείων τιμηθέντα; Ἄκουε τῆς ἱστορίας ταύτης· *Πέτρος καὶ Ἰωάννης ἀνέβαινον εἰς τὸ ἱερὸν περὶ τὴν ὥραν τῆς προσευχῆς τὴν ἐννάτην.* Μὴ παραδράμῃς [67] ἁπλῶς τὸ διήγημα, ἀλλ' εὐθέως ἐπίστα τῷ προοιμίῳ, καὶ μάθε πόση ἦν ἡ ἀγάπη καὶ ἡ συμφωνία καὶ ἡ ὁμόνοια, καὶ πῶς πανταχοῦ οὗτοι ἐκοινώνουν ἀλλήλοις, καὶ συνδεδεμένοι τῷ δεσμῷ τῆς κατὰ Θεὸν φιλίας, ἅπαντα ἔπραττον, καὶ ἐν τραπέζῃ καὶ ἐν εὐχῇ καὶ ἐν βαδίσει καὶ ἐν τοῖς ἄλλοις ἅπασι μετὰ ἀλλήλων ἐφαίνοντο. Εἰ δὲ ἐκεῖνοι οἱ στῦλοι, οἱ πύργοι, οἱ πολλὴν παῤῥησίαν ἔχοντες πρὸς τὸν Θεὸν, τῆς παρ' ἀλλήλων ἐδέοντο βοηθείας, καὶ ὑπὸ τῆς παρ' ἀλλήλων συμμαχίας διωρθοῦντο, πόσῳ μᾶλλον ἡμεῖς οἱ ἀσθενεῖς, καὶ ταλαίπωροι, καὶ οὐδενὸς ἄξιοι λόγου, τῆς ἀλλήλων δεησόμεθα βοηθείας; *Ἀδελφὸς γὰρ ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρά·* καὶ πάλιν· *Ἰδοὺ δὴ τί καλὸν, ἢ τί τερπνὸν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό;* Πέτρος καὶ Ἰωάννης ἦσαν, καὶ τὸν Ἰησοῦν εἶχον μέσον· *Ὅπου γὰρ ἂν ὦσι συνηγμένοι δύο ἢ τρεῖς, φησὶν, ἐν τῷ ὀνόματί μου, ἐγὼ ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν.* Εἶδες πόσον ἐστὶ τὸ ἐπὶ τὸ αὐτὸ εἶναι; Οὐχ ἁπλῶς δὲ ἦσαν ἐπὶ τὸ αὐτὸ, ἐπεὶ καὶ νῦν ἐπὶ τὸ αὐτὸ πάντες ἐσμέν· ἀλλ' ἐπὶ τὸ αὐτὸ εἶναι χρὴ τῷ συνδέσμῳ τῆς ἀγάπης, τῇ διαθέσει τῆς προαιρέσεως· καὶ ὥσπερ τὰ σώματα ἡμῶν ἐγγὺς ἀλλήλων ἐστὶ νῦν, καὶ συσφίγγεται ἐπὶ τὸ αὐτὸ, οὕτω καὶ τὰς καρδίας συσφίγγεσθαι χρή. *Πέτρος καὶ Ἰωάννης ἀνέβαινον εἰς τὸ ἱερόν.* Ἐσχίσθη τὸ καταπέτασμα, ἠρημώθη τὰ Ἅγια τῶν ἁγίων, ἀνῃρέθη ἡ ἐν ἑνὶ τόπῳ προσκύνησις. Ὁ Παῦλος βοᾷ λέγων· *Ἐν παντὶ τόπῳ ἐπαίροντες ὁσίους χεῖρας.* Τί τοίνυν τρέχουσιν αὐτοὶ εἰς τὸ ἱερὸν προσεύξασθαι; πάλιν ἐπὶ τὴν Ἰουδαϊκὴν ἦλθον ἀσθένειαν; Μὴ γένοιτο! ἀλλὰ συγκαταβαίνουσι τοῖς ἀσθενεστέροις, ἐκεῖνο πληροῦντες τὸ ῥῆμα Παύλου, τὸ λέγον· *Ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος.* Συγκαταβαίνουσι τοῖς ἀσθενέσιν, ἵνα μὴ μείνωσιν ἀσθενεῖς ἐκεῖνοι. Ἄλλως δὲ καὶ ἐκεῖ συνήγετο πᾶσα ἡ πόλις. Καθάπερ οὖν ἁλιεῖς ἄριστοι ἐκείνους τοὺς κόλπους τῶν ποταμῶν διώκουσιν, ἔνθα πάντες συλλέγονται οἱ ἰχθύες, ὥστε μετ' εὐκολίας ἐπιτυχεῖν τῆς θήρας· οὕτω δὴ καὶ οἱ ἀπόστολοι οὗτοι, οἱ πνευματικοὶ ἁλιεῖς, εἰς ἐκεῖνον τὸν κόλπον ἔσπευδον, ὅπου πᾶσα ἡ πόλις συνήγετο, ἵνα ἐκεῖ τὸ τοῦ Εὐαγγελίου δίκτυον ἁπλώσαντες, μετ' εὐκολίας τύχωσι τῆς ἄγρας. Τοῦτο δὲ ἐποίουν μιμούμενοι τὸν διδάσκαλον. Καὶ γὰρ ὁ Χριστός φησι· *Καθ' ἡμέραν μεθ' ὑμῶν ἤμην ἐν τῷ ἱερῷ.* Διὰ τί ἐν τῷ ἱερῷ; Ἵνα τοὺς ἐκ τοῦ ἱεροῦ λάβῃ. Οὕτω καὶ οὗτοι ἀπήρχοντο μὲν ὡς προσευξόμενοι, διδασκαλίαν δὲ ἔμελλον κατασπείρειν ἐκεῖ. *Εἰς τὸ ἱερὸν προσεύξασθαι περὶ τὴν ὥραν τῆς προσευχῆς τὴν ἐννάτην.* Οὐδὲ ἡ ὥρα αὐτοῖς ἁπλῶς παρατετήρηται. Καὶ γὰρ εἶπον ὑμῖν πολλάκις περὶ τῆς ὥρας ταύτης, ὅτι ἐν αὐτῇ παράδεισος ἀνεῴγη, καὶ ὁ λῃστὴς εἰσῆλθεν, ἐν αὐτῇ ἡ κατάρα ἀνῃρέθη, ἐν αὐτῇ ἡ θυσία τῆς οἰκουμένης προσηνέχθη, ἐν αὐτῇ τὸ σκότος ἐλύθη, ἐν αὐτῇ τὸ φῶς ἔλαμψε, καὶ τὸ αἰσθητὸν καὶ τὸ νοητόν. *Περὶ ὥραν ἐννάτην.* Ὅτε ἕτεροι ἀπὸ ἀρίστου καὶ μέθης καθεύδουσιν ὕπνον βαθὺν, τότε ἐκεῖνοι νήφοντες, καὶ διεγηγερμένοι, καὶ πολλῷ τῷ πόθῳ ζέοντες, ἐπὶ τὴν προσευχὴν ἔσπευδον. Εἰ δὲ ἐκεῖνοι εὐχῆς ἐδέοντο, εὐχῆς [68] οὕτω ἐκτενοῦς, εὐχῆς οὕτω διηκριβωμένης, οἱ τοσαύτην ἔχοντες παῤῥησίαν, οἱ μηδὲν ἑαυτοῖς συνειδότες πονηρὸν, τί ποιήσομεν ἡμεῖς, μυρίων γέμοντες τραυμάτων, οὐκ ἐπιτιθέντες δὲ τῆς εὐχῆς τὸ φάρμακον; Μέγα ὅπλον εὐχή. Βούλει μαθεῖν πῶς μέγα ὅπλον ἡ εὐχή; Προστασίας πενήτων παρέδραμον οἱ ἀπόστολοι, ἵνα πλείονα σχολὴν περὶ τὴν εὐχὴν ἔχωσι. *Καταστήσατε* γάρ, φησὶν, *ἐξ ὑμῶν ἄνδρας μαρτυρουμένους ἑπτά· ἡμεῖς δὲ τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσομεν.*

ε'. Ἀλλ', ὅπερ ἔλεγον (μὴ γὰρ ἐκπέσωμεν τῆς ὑποθέσεως, ὅτι ὁ μὲν Πέτρος καὶ πρᾶξιν ἐπεδείξατο, καὶ θαῦμα ἐποίησε, καὶ ἀπὸ τῆς πράξεως ἐπαινεῖται μᾶλλον), ἀνῆλθεν οὖν εἰς τὸ ἱερὸν προσεύξασθαι· καὶ ἰδοὺ χωλὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ, βασταζόμενος ἐκεῖ πρὸς τὴν θύραν τοῦ ἱεροῦ. Ἀπ' αὐτῶν τῶν ὠδίνων ἡ πήρωσις τῆς φύσεως ἦν, καὶ μεῖζον ἰατρικῆς τέχνης τὸ νόσημα, ἵνα μειζόνως ἐπιδειχθῇ ἡ τοῦ Θεοῦ χάρις. Οὗτος οὖν ὁ χωλὸς ἔκειτο πρὸς τὴν πύλην τοῦ ἱεροῦ· καὶ ἰδὼν αὐτοὺς εἰσιόντας, προσεῖχεν αὐτοῖς, ζητῶν ἐλεημοσύνην παρ' αὐτῶν λαβεῖν. Τί οὖν ὁ Πέτρος; *Βλέψον εἰς ἡμᾶς*, φησίν. Ἱκανὴ ἀπὸ τῆς ὄψεως ἡ ἀπόδειξις τῆς ἀκτημοσύνης· οὐ χρεία λόγων, οὐδὲ ἀποδείξεως, οὐδὲ ἀποκρίσεως, οὐδὲ διδασκαλίας· ὁ στυλισμός σοι δείκνυσι τὸν ἀκτήμονα. Τοῦτο οὖν ὅλον τὸ κατόρθωμα τῆς ἀποστολῆς, ἵνα ταῦτα λέγῃς πρὸς τὸν πένητα, ἵνα μὴ διορθώσῃ τὴν πενίαν μόνον, ἵνα εἴπῃς, Ὄψει μείζονα πλοῦτον. *Ἀργύριον*, φησὶ, *καὶ χρυσίον οὐκ ἔχω· ὃ δὲ ἔχω, τοῦτό σοι δίδωμι· ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἔγειραι, καὶ περιπάτει.* Εἶδες πενίαν καὶ πλοῦτον; πενίαν μὲν χρημά-

των, πλοῦτον δὲ χαρισμάτων. Οὐκ ἔλυσε πενίαν χρημάτων, ἀλλὰ διώρθωσε πενίαν φύσεως.

Ὅρα τὴν ἐπιείκειαν Πέτρου· *Βλέψον εἰς ἡμᾶς.* Οὐχ ὕβρισεν, οὐκ ἐλοιδορήσατο, ὃ πολλάκις ποιοῦμεν ἡμεῖς πρὸς τοὺς ἐντυγχάνοντας ἡμῖν, εὐθύνας ἐγκαλοῦντες αὐτοῖς, ὅτι καθεύδουσι. Μὴ γὰρ τοῦτο ἐπετάγης, ἄνθρωπε; Οὐκ ἐκέλευσέ σοι ἀργίαν ἐγκαλεῖν, ἀλλὰ πενίαν διορθοῦσθαι· οὐκ ἐποίησέ σε κατήγορον κακίας, ἀλλὰ ἰατρὸν κατέστησε συμφορᾶς· οὐχ ἵνα ὀνειδίζῃς νωθείαν, ἀλλ' ἵνα χεῖρα ὀρέγῃς τοῖς κειμένοις· οὐχ ἵνα κακίζῃς τρόπον, ἀλλ' ἵνα λύσῃς λιμόν. Ἡμεῖς δὲ τοὐναντίον ποιοῦμεν· ἀφέντες παραμυθήσασθαι τοὺς προσιόντας τῇ δόσει τῶν χρημάτων, καὶ προσεπιτρίβομεν αὐτῶν τὰ τραύματα ταῖς τῶν ἐγκλημάτων ἐπαγωγαῖς. Ἀλλὰ καὶ ἀπολογεῖται τῷ πένητι, καὶ μετ' ἐπιεικείας διαλέγεται· *Κλῖνον* γάρ, φησὶ, *πτωχῷ ἀλύπως τὸ οὖς σου, καὶ ἀποκρίθητι αὐτῷ ἐν πραότητι εἰρηνικά. Ἀργύριον καὶ χρυσίον οὐκ ἔχω· ὃ δὲ ἔχω, τοῦτό σοι δίδωμι· ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἔγειρε, καὶ περιπάτει.* Δύο ἐνταῦθά ἐστι, πολιτεία καὶ θαῦμα. Πολιτεία, τὸ, *Ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι·* πολιτείας γὰρ τὸ καταφρονεῖν τῶν γηΐνων πραγμάτων, τὸ ῥῖψαι τὰ ὑπάρχοντα, τὸ ὑπεριδεῖν τῆς παρούσης ματαιότητος· θαῦμα δὲ τὸ [69] ἐγεῖραι τὸν χωλὸν, τὸ διορθῶσαι τὰ μέλη τὰ πεπηρωμένα. Ἰδοὺ τοίνυν καὶ πολιτεία καὶ θαῦμα. Ἴδωμεν οὖν πόθεν ὁ Πέτρος καυχᾶται. Τί εἶπεν; Ὅτι θαύματα ἐποίησε; καίτοι θαύματα ἦν πεποιηκὼς τότε· ἀλλ' οὐκ εἶπε τοῦτο· ἀλλὰ τί; Ἰδοὺ ἡμεῖς ἀφήκαμεν τάντα, καὶ ἠκολουθήσαμέν σοι. Εἶδες τὴν πολιτείαν καὶ τὸ θαῦμα, καὶ τὴν πολιτείαν στεφανουμένην; Τί οὖν ὁ Χριστός; Τοῦτον ἀπεδέξατο καὶ ἐπῆνεσε. *Λέγω* γὰρ *ὑμῖν*, φησὶν, *ὅτι ὑμεῖς οἱ ἀφέντες οἰκίας*, καὶ τὰ λοιπά. Οὐκ εἶπεν, Οἱ ἀναστήσαντες νεκροὺς, ἀλλ' *Ὑμεῖς οἱ ἀφέντες τὰ ὑπάρχοντα ὑμῶν, καθήσεσθε ἐπὶ δώδεκα θρόνους*· καὶ πᾶς ὅστις ἀφῆκε τὰ ὑπάρχοντα αὐτῷ πάντα, ταύτης ἀπολαύσεται τῆς τιμῆς. Οὐ δύνασαι ἀναστῆσαι χωλὸν, καθάπερ ὁ Πέτρος; Ἀλλὰ δύνασαι εἰπεῖν, ὡς ἐκεῖνος· *Ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι.* Κἂν τοῦτο εἴπῃς, ἐγγὺς ἐγένου τοῦ Πέτρου· μᾶλλον δὲ οὐδὲ ἂν εἴπῃς, ἀλλ' ἐὰν ποιήσῃς. Οὐ δύνασαι ξηρὰν διορθῶσαι χεῖρα; Ἀλλὰ δύνασαι τὴν σεαυτοῦ χεῖρα ξηρὰν γινομένην ὑπὸ ἀπανθρωπίας ποιῆσαι ἐκταθῆναι διὰ φιλανθρωπίας. *Μὴ ἔστω* γὰρ, φησὶν, *ἡ χεὶρ σου ἐκτεταμένη εἰς τὸ λαβεῖν, ἐν δὲ τῷ διδόναι συνεσταλμένη.* Ὁρᾷς ὅτι οὐχ ἡ ξηρότης, ἀλλὰ καὶ ἀπάνθρωπία συστέλλει τὴν χεῖρα; Ἔκτεινον οὖν αὐτὴν διὰ φιλανθρωπίας καὶ ἐλεημοσύνης. Οὐ δύνασαι ἐκβαλεῖν δαίμονα; Ἀλλ' ἔκβαλε ἁμαρτίαν, καὶ μείζονα λήψῃ μισθόν. Εἶδες πῶς πανταχοῦ ἡ πολιτεία καὶ τὰ κατορθώματα μείζονα ἔπαινον ἔχει τῶν θαυμάτων, καὶ πλείονα τὴν ἀμοιβήν; Εἰ δὲ βούλει, καὶ ἑτέρωθεν τοῦτο δείξομεν. *Προσῆλθον* αὐτῷ, φησὶν, *οἱ ἑβδομήκοντα μαθηταὶ, καὶ ἔχαιρον, καὶ ἔλεγον· Κύριε, ἐν τῷ ὀνόματί σου καὶ τὰ δαιμόνια ἡμῖν ὑπακούουσι. Καὶ λέγει αὐτοῖς· Μὴ χαίρετε, ὅτι τὰ δαιμόνια ὑμῖν ὑπακούει, ἀλλὰ χαίρετε, ὅτι τὰ ὀνόματα ὑμῶν γέγραπται ἐν τοῖς οὐρανοῖς.* Ὁρᾷς πανταχοῦ τὴν πολιτείαν θαυμαζομένην;

ς'. Φέρε οὖν, ἀναλογισώμεθα τὰ εἰρημένα ἄνωθεν· Ἐν *τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους.* Ἰδοὺ ἀπὸ πολιτείας, οὐκ ἀπὸ θαυμάτων τὸ γνώρισμα τοῦ μαθητὰς εἶναι ἀποδέδεικται. *Πέτρε, φιλεῖς με πλέον τούτων; ποίμαινε τὰ πρόβατά μου.* Ἰδοὺ καὶ ἕτερον γνώρισμα, καὶ αὐτὸ πάλιν ἀπὸ πολιτείας. Τρίτον πάλιν γνώρισμα· *Μὴ χαίρετε, ὅτι τὰ δαιμόνια ὑμῖν ὑπακούει, ἀλλὰ χαίρετε, ὅτι τὰ ὀνόματα ὑμῶν γέγραπται ἐν τοῖς οὐρανοῖς.* Καὶ τοῦτο πολιτείας πάλιν κατόρθωμα. Βούλει καὶ τετάρτην ἀπόδειξιν τούτου μαθεῖν; *Λαμψάτω*, φησὶ, *τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ἵνα ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.* Ἰδοὺ καὶ ἐνταῦθα ἔργα φαίνεται. Καὶ ὅταν λέγῃ πάλιν· *Ὅστις ἀφῆκεν οἰκίαν, ἢ ἀδελφοὺς, ἢ ἀδελφὰς ἕνεκεν ἐμοῦ, ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει*, τὴν πολιτείαν ἐπαινεῖ, καὶ τὸν διηκριβωμένον βίον. Εἶδες τοὺς μαθητὰς ἀπὸ τοῦ φιλεῖν ἀλλήλους γνωριζομένους, τὸν δὲ ὑπὲρ τοὺς ἀποστόλους φιλοῦντα τὸν Χριστὸν ἀπὸ τοῦ ποιμαίνειν τοὺς ἀδελφοὺς φαινόμενον, τοὺς δὲ ὀφείλοντας χαίρειν, οὐκ ἀπὸ τοῦ δαίμονας ἐκβάλλειν, ἀλλ' ἀπὸ τοῦ ἐγγεγράφθαι ἐν [70] τῷ οὐρανῷ κελευομένους εὐφραίνεσθαι, καὶ τοὺς μὲν τὸν Θεὸν δοξάζοντας ἀπὸ τῆς τῶν ἔργων λαμπρότητος δεικνυμένους, τοὺς δὲ ζωῆς ἐπιτυχόντας καὶ ἑκατονταπλασίονα λαμβάνοντας, ἀπὸ τῆς τῶν παρόντων ἁπάντων ὑπεροψίας ἐπιτυχόντας ταύτης τῆς δωρεᾶς. Τούτους μίμησαι πάντας, καὶ δυνήσῃ καὶ μαθητὴς εἶναι, καὶ ἐν τοῖς φίλοις τοῦ Θεοῦ ἀριθμεῖσθαι, καὶ δοξάζειν τὸν Θεὸν, καὶ τῆς αἰωνίου ζωῆς ἀπολαῦσαι· καὶ οὐδὲν ἔσται σοι κώλυμα πρὸς τὸ τυχεῖν τῶν ἀγαθῶν ἁπάντων, τὸ μὴ ποιεῖν σημεῖα, ἐὰν πολιτείαν ἔχῃς διηκριβωμένην. Καὶ γὰρ αὐτὸς τοῦτο τὸ ὄνομα, Πέτρος, οὐκ ἀπὸ θαυμάτων καὶ σημείων ἔλαβεν, ἀλλ' ἀπὸ ζήλου καὶ φίλτρου γνησίου. Οὐδὲ γὰρ ἐπειδὴ νεκροὺς ἀνέστησεν, οὐδὲ ἐπειδὴ χωλὸν ἀνώρθωσεν, οὕτως ἐκλήθη· ἀλλ' ἐπειδὴ πίστιν μετὰ τῆς ὁμολογίας ἐπεδείξατο γνησίαν, τὸ ὄνομα τοῦτο ἐκληρονόμησε, *Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν.* Διὰ τί; Οὐχ ὅτι θαύματα ἐποίησεν, ἀλλ' ὅτι εἶπε· *Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος.* Ὁρᾷς ὅτι καὶ αὐτὸ τὸ Πέτρον κληθῆναι, οὐκ ἀπὸ θαυμάτων, ἀλλ' ἀπὸ ζήλου πεπυρωμένου ἔλαβε τὴν ἀρχήν. Ἀλλ' ἐπειδὴ Πέτρου ἐμνήσθην, εἰσῆλθέ μοι καὶ ἑτέρου Πέτρου μνήμη, τοῦ κοινοῦ πατρὸς, καὶ διδασκάλου, ὃς τὴν ἐκείνου διαδεξάμενος ἀρετὴν, καὶ τὴν καθέδραν ἐκληρονόμησε τὴν ἐκείνου. Ἓν γὰρ καὶ τοῦτο πλεονέκτημα τῆς ἡμετέρας πόλεως, τὸ τῶν ἀποστόλων τὸν κορυφαῖον λαβεῖν ἐν ἀρχῇ διδάσκαλον. Ἔδει γὰρ τὴν πρὸ τῆς οἰκουμένης ἁπάσης τὸ τῶν Χριστιανῶν ἀναδησαμένην ὄνομα, τὸν τῶν ἀποστόλων πρῶτον ποιμένα λαβεῖν. Ἀλλὰ λαβόντες αὐτὸν διδάσκαλον, οὐκ εἰς τέλος κατέσχομεν, ἀλλὰ παρεχωρήσαμεν τῇ βασιλίδι Ῥώμῃ· μᾶλλον δὲ εἰς τὸ τέλος αὐτὸν ἐσχήκαμεν· τὸ μὲν γὰρ σῶμα Πέτρου οὐ κατέχομεν, τὴν δὲ πίστιν Πέτρου κατέχομεν ὡς Πέτρον· τὴν δὲ πίστιν Πέτρου κατέχοντες, αὐτὸν ἔχομεν Πέτρον. Οὕτω καὶ τὸν ἐκείνου ζηλωτὴν ὁρῶν-

Non sustulit egestatem pecuniarum, sed egestatem naturæ correxit.

Non sunt contumeliis afficiendi pauperes. — Vide modestiam Petri : *Respice in nos.* Non contumeliis affecit, non conviciis lacessivit, ut fieri a nobis sæpe numero solet in eos, qui nobis supplices occurrunt, dum crimen illis objicimus, quod sint otio dediti. Num enim hoc tibi mandatum est, mi homo? Non tibi imperavit, ut desidiam illi objiceres, sed ut ipsius egestati remedium adhiberes; non te improbitatis accusatorem creavit, sed medicum calamitatis constituit; non ut segnitiem exprobrares, sed ut jacentibus manum porrigeres; non ut mores vituperares, sed ut famem sedares. At nos contrarium facimus : non dignamur ad nos accedentes pecuniæ largitione solari, sed et illorum vulnera criminum insuper exprobratione vellicamus. Quin etiam apud pauperem se excusat, ac modeste illum alloquitur : *Inclina* enim, inquit, *pauperi sine tristitia aurem tuam, et responde illi pacifica in mansuetudine* (*Eccli.* 4. 8). *Argentum et aurum non habeo : quod autem habeo, hoc tibi do : in nomine Jesu Christi surge, et ambula.* Duo sunt hoc loco, conversatio, et miraculum. Conversatio, *Argentum et aurum non est mihi* : conversationis enim et actionis est terrenas res despicere, facultates suas abjicere, præsentem spernere vanitatem : miraculum vero est claudum excitare, ac membra mutilata sanare. Ecce tibi ergo conversationem et miraculum. Videamus autem unde Petrus glorietur. Quid dixit? an se miracula edidisse? Tametsi fuerant tum edita ab ipso miracula : sed hoc non dixit; quid ergo? *Ecce nos reliquimus omnia, et secuti sumus te* (*Matth.* 19. 27). Vides conversationem et miraculum, et conversationi palmam tribui? Quid ergo Christus? Commendavit eum, laudavit. Dico enim vobis, inquit, quod vos qui reliquistis domos, et quæ sequuntur. Non dixit, Qui mortuos suscitastis, sed *Vos qui reliquistis bona vestra, sedebitis super sedes duodecim* (*Matth.* 19. 29) : et omnis, qui reliquerit omnia bona sua, honorem istum consequetur. Non potes claudum erigere, sicut Petrus? At potes dicere, ut ille : *Argentum et aurum non est mihi.* Quod si hoc dixeris, factus es propinquus Petro : imo vero non si dixeris, sed si feceris. Non potes aridam manum sanare? Sed potes manum tuam, quam inhumanitas aridam reddidit, per humanitatem extendere. *Non sit* enim, inquit, *porrecta manus tua ad accipiendum, et ad dandum collecta* (*Eccli.* 4. 36). Vides non ariditatem, sed inhumanitatem quoque manum contrahere? Extende igitur illam per humanitatem et eleemosynam. Non potes dæmonem ejicere? Sed peccatum ejice, majoremque mercedem accipies. Vides quo pacto conversatio et bona opera majorem quam miracula mercedem, et majus præmium merentur? Ac si velis, aliunde quoque id ostendemus. *Accesserunt ad eum*, inquit, *septuaginta discipuli, et gaudebant, dicebantque, Domine, in nomine tuo etiam dæmonia obediunt nobis. Et ait illis : Nolite gaudere, quia dæmonia vobis obediunt, sed gaudete, quia nomina vestra scripta sunt in cælis* (*Luc.* 10. 17. 20). Vides ubique conversationem laudari?

6. Age ergo retractemus quæ a nobis ante sunt dicta. *In hoc cognoscent omnes, quia discipuli mei estis, si vos invicem dilexeritis* (*Joan.* 13. 35). Ecce non ex miraculis, sed ex conversatione dignosci discipulos demonstratum est. *Petre, diligis me plus his? pasce oves meas* (*Id.* 21. 17). Ecce alterum indicium, et hoc rursus a conversatione sumptum. Tertium rursus indicium : *Nolite gaudere, quia dæmonia vobis obediunt, sed gaudete, quia nomina vestra scripta sunt in cælis.* Et hoc rursus conversationis est recte factum. Vis etiam quartam hujus rei demonstrationem cognoscere? *Luceat*, inquit, *lux vestra coram hominibus, ut videant opera vestra bona, et glorificent Patrem vestrum qui in cælis est* (*Matth.* 5. 16). Ecce hic quoque opera occurrunt. Et cum rursus ait : *Quisquis reliquerit domum, vel fratres, vel sorores propter me, centuplum accipiet, et vitam æternam possidebit* (*Matth.* 19. 29), conversationem laudat, et vitam exactam. Vides discipulos ex eo fuisse designatos, quod mutuo se diligerent, eum vero qui Christum supra apostolos diligebat ex eo innotuisse, quod fratres pasceret : eos porro qui gaudere debuerunt, non ex eo quod ejicerent dæmones, sed ex eo quod eorum nomina scripta in cælis essent, gaudere jussos esse, atque illos qui Deum glorificarent, ab operum splendore fuisse designatos; eos vero qui vitam assequerentur, et centuplum acciperent, idcirco ejusmodi munere donari, quod præsentia cuncta contempserint. Hos omnes imitare, et discipulus esse poteris, atque inter amicos Dei numerari, Deum glorificare, ac vita æterna potiri : nec impedimento ullo tibi esse poterit, quominus bona assequaris omnia, quod signa non facias, si conversationem mundam et exactam præ te feras. Nam et ipse Petrus hoc nomen non propter miracula vel signa recepit, sed propter zelum, amoremque sincerum. Neque enim quia mortuos suscitarat, aut quia claudum erexerat, sic appellatus est; sed quia fidem cum confessione sinceram exhibuerat, hoc nomen obtinuit. *Tu es Petrus, et super hanc petram ædificabo Ecclesiam meam* (*Matth.* 16. 18). Quam ob causam? Non quia fecit miracula, sed quia dixit, *Tu es Christus Filius Dei vivi.* Vides ipsam etiam Petri appellationem non a miraculis, sed ab ardenti zelo initium duxisse? Verum quando Petri feci mentionem, subiit animum meum alterius Petri recordatio, communis patris et doctoris (*a*), qui cum illi in virtute successisset, etiam illius cathedram est adeptus. Hæc enim est una etiam nostræ civitatis prærogativa dignitatis, quod principem apostolorum ab initio doctorem acceperit. Æquum enim erat, ut ea, quæ nomine Christianorum ante universum orbem terrarum ornata fuit, primum apostolorum pastorem acciperet. Sed cum eum doctorem accepissemus, non in perpetuum retinuimus, sed regiæ civitati Romæ illum concessimus : imo vero in perpetuum ipsum retinuimus : nam corpus quidem Petri non

(*a*) Episcopum Antiochenum Flavianum intelligit.

retineamus, sed Petri fidem tamquam Petrum retineamus : porro dum Petri fidem retinemus, ipsum Petrum habemus. Ita cum imitatorem illius cernamus, ipsum cernere videmur : siquidem Joannem Christus Heliam appellavit, non quod Helias esset Joannes, sed quod in spiritu Heliæ ac virtute venisset. Sicut igitur Joannes, quoniam in spiritu Heliæ ac virtute venerat, Helias dicebatur : ita hic quoque, quoniam in confessione ac fide Petri advenit, merito illius etiam appellatione donabitur. Nam conversationis cognatio nominum etiam communionem parit. Oremus autem omnes, ut ad senectutem etiam Petri perveniat : siquidem apostolus jam senex vitam finivit. *Cum enim senueris*, inquit, *tunc cingent te, et ducent quo tu non vis* (*Joan.* 21, 18). Precemur autem et huic longam vitæ conversationem : si enim producatur ejus senectus, efficiet, ut magis vegeta sit et vivida spiritualis juventus nostra : quam utinam ætate florentem ac vividam nos perpetuo conservare contingat cum illius precibus, et hujus Petri, tum gratia et benignitate Domini nostri Jesu Christi, cui gloria et imperium una cum Spiritu sancto, nunc et semper, et in sæcula sæculorum. Amen.

QUOD UTILIS SIT LECTIO SACRARUM SCRIPTURARUM, ET QUOD SERVITUTE ET INCOMMODIS OMNIBUS INEXPUGNABILEM REDDAT EUM, QUI FUERIT EIS INTENTUS : ET QUOD APOSTOLORUM NOMEN MULTARUM DIGNITATUM SIT NOMEN, ET QUOD EXTERNIS MAGISTRATIBUS, IPSISQUE ADEO REGIBUS MULTO MAJOREM HABEANT POTESTATEM ET AUCTORITATEM APOSTOLI : ET IN FINE, AD NUPER BAPTIZATOS (*a*).

1. *Alacritas auditorum laudata. Scripturæ lectio cum prato collata.* — Cum egestatem mentis meæ considero, torpeo et refugio, ad habendum coram tanto populo sermonem invitatus : cum autem animi vestri alacritatem respicio, sic ut nullum vos capiat unquam audiendi fastidium, fiduciam resumo et excitor, ac prompto animo ad doctrinæ stadium me accingo. Possetis enim vos, si vel in animam incurrissetis lapideam, hac vestra audiendi cupiditate ac studio penna quavis leviorem illam reddere. Et quemadmodum quæ in latibulis animalia delitescunt ac media hyeme se intra rupes abscondunt, ubi æstatem viderint apparere, latibula deserunt, et cum reliquis animantibus congregantur, ac simul nobiscum exsultant : sic et animus noster, qui tamquam in latibulum quoddam imbecillitatis conscientiæ se abdebat, cum vestræ caritatis desiderium intuetur, latibulum deserit, et vobiscum congregatur, et in hoc spirituali divinoque prato, in paradiso Scripturæ præclaris Scripturarum saltibus simul vobiscum exsultat. Est enim spirituale pratum, ac deliciarum paradisus sacrarum lectio Scripturarum, et paradisus deliciarum multo illo melior paradiso. Hunc paradisum non in terra, sed in fidelium animabus plantavit Deus : hunc paradisum non in Edem, nec ad orientem uno circumscriptum loco posuit, sed ubique terrarum expandit, et in fines orbis terrarum extendit. Atque ut intelligas in universum orbem terrarum expansas esse Scripturas, audi prophetam dicentem : *In omnem terram exivit sonus eorum, et in fines orbis terræ verba eorum* (*Psal.* 18. 5. *Rom.* 10. 18). Sive ad ludos te conferas, quos oriens primos sol respicit, sive ad oceanum te conferas, sive ad Britannicas illas insulas, sive in Euxinum pontum naviges, sive ad australes partes abeas, omnes ubique audies de iis quæ in Scriptura sunt philosophantes, alia quidem voce, sed non alia fide, ac lingua quidem diversa, sed mente consona. Nam linguæ quidem sono differunt, religionis autem modo non differunt : et lingua quidem barbare loquuntur, sed animi sensu philosophantur : solœcismos faciunt sono, sed pietatem moribus colunt.

Paradisi flumina quæ. Cum fonte comparatur Scriptura. — Vides amplitudinem paradisi ad fines orbis terrarum extensi? Illic serpens non est, locus est a feris immunis, ac Spiritus sancti gratia munitur. Habet et fontem hic paradisus, quemadmodum ille, fontem ex quo innumera nascuntur flumina, non quatuor tantum. Non enim Trigrim, nec Euphratem, nec Ægyptium Nilum, nec Indum Gangem, sed innumeros fons iste fluvios effundit. Quis hoc dicit? Deus ipse, qui fluvios nobis istos largitus est : *Qui enim credit in me*, inquit, *sicut dixit Scriptura, flumina de ventre ejus fluent aquæ vivæ* (*Joan.* 7. 38). Vides ut non quatuor flumina, sed infinita ab illo fonte profluant? Neque vero multitudine tantum, sed etiam natura fons est mirabilis : neque enim aquæ fluenta sunt, sed Spiritus dona. Fons iste in singulas fidelium mentes dividitur, et non minuitur : dividitur, et non consumitur : dispertitur, et minor non fit; apud omnes integer, et in singulis integer. Talia namque sunt Spiritus dona. Vis tu fluentorum istorum ubertatem cognoscere? vis aquarum naturam cognoscere? quo pacto his non similes, sed his meliores sunt et mirabiliores? Audi rursus Christum ipsum Samaritanæ dicentem, ut ubertatem fontis agnoscas. *Aqua, quam ego dabo*, inquit fideli, *fiet in eo fons aquæ salientis in vitam æternam* (*Joan.* 4. 14). Non dixit, exeuntis, non dixit, effusæ, sed, *Salientis*, per

(*a*) Collata cum Ms. Colbert. 3038, ubi magna pars homiliæ in principio desideratur.

τες, αὐτὸν δοκοῦμεν ὁρᾷν· καὶ γὰρ τὸν Ἰωάννην Ἠλίαν ἐκάλεσεν ὁ Χριστὸς, οὐκ ἐπειδὴ Ἠλίας ἦν ὁ Ἰωάννης, ἀλλ' ἐπειδὴ ἐν πνεύματι καὶ δυνάμει ἦλθεν Ἠλίου. Καθάπερ οὖν ὁ Ἰωάννης, ἐπειδὴ ἐν πνεύματι καὶ δυνάμει ἦλθεν Ἠλίου, Ἠλίας ἐλέγετο, οὕτω καὶ οὗτος, ἐπειδὴ ἐν ὁμολογίᾳ καὶ πίστει Πέτρου παραγέγονεν, εἰκότως ἂν καὶ τῆς προσηγορίας ἐκείνης ἀξιωθείη. Ἡ γὰρ τῆς πολιτείας συγγένεια καὶ τὴν κοινωνίαν τῶν ὀνομάτων ποιεῖ. Εὐξώμεθα δὲ πάντες καὶ εἰς τὸ Πέτρου γῆρας αὐτὸν ἐλθεῖν· καὶ γὰρ ὁ Ἀπόστολος ἐν γήρᾳ τὸν βίον κατέλυσεν. *Ὅταν γὰρ*, φησὶ, *γηράσῃς, τότε ζώσουσί σε, καὶ ἄξουσιν ὅπου σὺ θέλεις.* Αἰτήσωμεν δὴ καὶ τούτῳ μακρὰν πολιτείαν· ἐκτεινόμενον γὰρ αὐτοῦ τὸ γῆρας τὴν ἡμετέραν νεότητα τὴν πνευματικὴν μᾶλλον ἀκμάζειν ποιεῖ· ἣν γένοιτο διαπαντὸς ἐν ἀκμῇ τηρηθῆναι, εὐχαῖς μὲν ἐκείνου καὶ τούτου τοῦ Πέτρου, χάριτι δὲ καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

[71] *Ὅτι χρήσιμος ἡ τῶν Γραφῶν ἀνάγνωσις, καὶ ὅτι δουλείᾳ καὶ περιστάσει πραγμάτων ἀχείρωτον ποιεῖ τὸν προσέχοντα, καὶ ὅτι τὸ ὄνομα τῶν ἀποστόλων πολλῶν ἐστιν ἀξιωμάτων ὄνομα, καὶ ὅτι τῶν ἔξωθεν ἀρχόντων καὶ αὐτῶν τῶν βασιλευόντων πολλῷ μείζονα κέκτηνται δύναμιν οἱ ἀπόστολοι καὶ ἐξουσίαν· καὶ πρὸς τῷ τέλει πρὸς νεοφωτίστους.*

α'. Ὅταν μὲν εἰς τὴν πτωχείαν τῆς διανοίας ἴδω τῆς ἐμαυτοῦ, ναρκῶ καὶ ἀναδύομαι, πρὸς διάλεξιν τοσούτου δήμου καλούμενος· ὅταν δὲ εἰς τὴν προθυμίαν ἀναβλέψω τὴν ὑμετέραν, καὶ τὸ τῆς ἀκροάσεως ἀκόρεστον, θαῤῥῶ καὶ διανίσταμαι, καὶ μετὰ προθυμίας πρὸς τὸ τῆς διδασκαλίας ἀποδύομαι στάδιον. Ἱκανοὶ γὰρ ὑμεῖς καὶ λιθίνην λαβόντες διάνοιαν, πτεροῦ παντὸς κουφοτέραν ἐργάσασθαι τῇ περὶ τὴν ἀκρόασιν ἐπιθυμίᾳ τε καὶ σπουδῇ. Καὶ καθάπερ τὰ φωλεύοντα τῶν ζώων ἐν μέσῳ τῷ χειμῶνι πρὸς τὰς πέτρας καταδυόμενα, ἐπειδὰν ἴδῃ τὸ θέρος φανὲν, ἀφίησι τὴν κατάδυσιν, καὶ μετὰ τῶν λοιπῶν ζώων ἀγελάζεται, καὶ κοινῇ μεθ' ἡμῶν σκιρτᾷ· οὕτω καὶ ἡ ψυχὴ ἡ ἡμετέρα ὥσπερ εἴς τινα φωλεὸν τῆς ἀσθενείας τοῦ συνειδότος καταδυομένη, ὅταν ἴδῃ τὸν πόθον τῆς ὑμετέρας ἀγάπης, ἀφίησι τὸν φωλεὸν, καὶ μεθ' ὑμῶν ἀγελάζεται, κοινῇ μεθ' ὑμῶν σκιρτᾷ τὰ καλὰ τῶν Γραφῶν σκιρτήματα, ἐν τῷ πνευματικῷ καὶ θείῳ λειμῶνι, ἐν τῷ παραδείσῳ τῆς Γραφῆς. Καὶ γὰρ πνευματικὸς λειμών, καὶ παράδεισος τρυφῆς ἡ τῶν θείων Γραφῶν ἐστιν ἀνάγνωσις, παράδεισος δὲ τρυφῆς ἐκείνου τοῦ παραδείσου βελτίων. Τοῦτον τὸν παράδεισον οὐκ ἐν τῇ γῇ, ἀλλ' ἐν ταῖς τῶν πιστευόντων ψυχαῖς ἐφύτευσεν ὁ Θεός· τοῦτον τὸν παράδεισον οὐκ ἐν Ἐδὲμ, οὐδὲ κατὰ ἀνατολὰς ἔθετο ἐν ἐνὶ περιγράψας χωρίῳ, ἀλλὰ πανταχοῦ τῆς γῆς ἐξήπλωσε, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης ἐξέτεινε. Καὶ ὅτι πανταχοῦ τῆς οἰκουμένης τὰς Γραφὰς ἥπλωσεν, ἄκουσον τοῦ προφήτου λέγοντος· *Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.* Κἂν πρὸς Ἰνδοὺς ἀπέλθῃς, οὓς πρώτους ἀνίσχων ὁ ἥλιος ὁρᾷ, κἂν εἰς τὸν ὠκεανὸν ἀπέλθῃς, κἂν πρὸς τὰς Βρεταννικὰς νήσους ἐκείνας, κἂν εἰς τὸν Εὔξεινον πλεύσῃς πόντον, κἂν πρὸς τὰ νότια ἀπέλθῃς μέρη, πάντων ἀκούσῃ πανταχοῦ τὰ ἀπὸ τῆς Γραφῆς φιλοσοφούντων, φωνῇ μὲν ἑτέρᾳ, πίστει δὲ οὐχ ἑτέρᾳ, καὶ γλώσσῃ μὲν διαφόρῳ, διανοίᾳ δὲ συμφώνῳ. Ὁ μὲν γὰρ φθόγγος τῆς γλώσσης, ἐνήλλαχται, ὁ δὲ τρόπος τῆς εὐσεβείας οὐκ ἐνήλλακται· καὶ βαρβαρίζουσι μὲν τῇ γλώττῃ, φιλοσοφοῦσι δὲ τῇ γνώμῃ· καὶ σολοικίζουσι μὲν τῷ φθόγγῳ, εὐσεβοῦσι δὲ τῷ τρόπῳ.

Εἶδες παραδείσου μῆκος πρὸς τὰ πέρατα τῆς οἰκουμένης ἐκτεταμένου; Ἐνταῦθα οὐκ ἔστιν ὄφις, καθαρὸν τῶν θηρίων ἐστὶ τὸ χωρίον, καὶ τῇ τοῦ Πνεύματος τειχίζεται χάριτι. Ἔχει καὶ πηγὴν ὁ παράδεισος οὗτος, καθάπερ ἐκεῖνος, πηγὴν μυρίων ποταμῶν [72] μητέρα, οὐχὶ τεσσάρων. Οὐ γὰρ τὸν Τίγρητα, οὐδὲ τὸν Εὐφράτην, οὐδὲ τὸν Αἰγύπτιον Νεῖλον, οὐδὲ τὸν Ἰνδὸν Γάγγην, ἀλλὰ μυρίους ἀφίησι ποταμοὺς αὕτη ἡ πηγή. Τίς ταῦτά φησιν; Αὐτὸς ὁ τοὺς ποταμοὺς ἡμῖν χαρισάμενος Θεός· *Ὁ πιστεύων γὰρ εἰς ἐμέ*, φησὶ, *καθὼς εἶπεν ἡ Γραφὴ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος.* Εἶδες πῶς οὐχὶ τέσσαρες ποταμοὶ, ἀλλὰ ἀδιόριστοι ἀπὸ τῆς πηγῆς ἐκείνης ἐκχέοντες; Οὐ τῷ πλήθει δὲ μόνον, ἀλλὰ καὶ τῇ φύσει θαυμαστὴ ἡ πηγή· οὐ γὰρ ὕδατός ἐστι τὰ νάματα, ἀλλὰ Πνεύματος τὰ χαρίσματα. Αὕτη ἡ πηγὴ καθ' ἑκάστην ψυχήν ἐστι τῶν πιστῶν μεριζομένη, καὶ οὐ μειουμένη· μεριζομένη, καὶ οὐ δαπανωμένη· κατακερματιζομένη, καὶ οὐκ ἐλαττουμένη· παρὰ πᾶσιν ὁλόκληρος, καὶ ἐν ἑκάστῳ ὁλόκληρος. Τοσαῦτα γὰρ τοῦ Πνεύματος τὰ χαρίσματα. Βούλει μαθεῖν τὴν δαψίλειαν τῶν ναμάτων τούτων; βούλει μαθεῖν τῶν ὑδάτων τὴν φύσιν; πῶς οὐκ ἔοικε τούτοις, ἀλλὰ βελτίω τούτων καὶ θαυμασιώτερά ἐστιν; Ἄκουσον πάλιν αὐτοῦ τοῦ Χριστοῦ λέγοντος τῇ Σαμαρείτιδι, ἵνα μάθῃς τὴν δαψίλειαν τῆς πηγῆς. *Τὸ ὕδωρ, ὃ ἐγὼ δώσω*, φησὶ, *τῷ πιστῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον.* Οὐκ εἶπεν, ἐξιόντος, οὐκ εἶπε, προχεομένου, ἀλλὰ, *ἁλλομένου*, διὰ τῶν ἁλμάτων τὴν ἀφθονίαν ἡμῖν ἐμφαίνων. Ἐκεῖνα

τῶν χρηναίων ὑδάτων ἐξάλλεσθαι καὶ πηδᾷν παντα-χόθεν εἰωθεν, ἅπερ ἂν αἱ πηγαὶ ἐν τοῖς κόλποις μὴ δύνανται κατέχειν, ἀλλὰ νικώμεναι τῇ συνεχείᾳ τῆς ἐπιῤῥοῆς πανταχόθεν αὐτὰ ἀναβλύζουσι. Βουλόμενος οὖν τὴν δαψίλειαν τῶν ναμάτων δεῖξαι, εἶπεν, *ἁλλομένου*, οὐκ, ἐξιόντος. Βούλει καὶ τὴν φύτιν αὐτῆς καταμαθεῖν; Μάνθανε ἀπὸ τῆς χρείας. Οὐ γὰρ εἰς ζωὴν τὴν παροῦσαν, ἀλλ' εἰς ζωὴν αἰώνιόν ἐστι χρησίμη. Διατρίψωμεν τοίνυν ἐν τῷ παραδείσῳ τούτῳ, παρακαθεζώμεθα τῇ πηγῇ, μὴ πάθωμεν ὅπερ ἔπαθεν ὁ Ἀδάμ, καὶ ἐκπέσωμεν τοῦ παραδείσου· μὴ δεξώμεθα συμβουλὴν ὀλεθρίαν, μὴ παραδεξώμεθα τὴν ἀπάτην τοῦ διαβόλου· μένωμεν ἔνδον· πολλὴ γὰρ ἡ ἐντεῦθεν ἀσφάλεια· μένωμεν ἐν τῇ ἀναγνώσει τῶν Γραφῶν τούτων. Καθάπερ γὰρ οἱ πηγῇ παρακαθήμενοι, καὶ τῆς αὔρας ἐκείνης ἀπολαύοντες, καὶ καύσωνος ἐπικειμένου τὴν ὄψιν συνεχῶς ἐπικλύζοντες, ἀποκρούονται τὸ πνῖγος τοῖς νάμασι, καὶ δίψους διενοχλοῦντος ῥᾳδίως ἰῶνται τὸ πάθος, ἐγγύθεν τὸ φάρμακον ἀπὸ τῆς πηγῆς ἔχοντες· οὕτως ὁ παρὰ τὴν πηγὴν τῶν θείων Γραφῶν παρακαθήμενος, κἂν ἐπιθυμίας ἀτόπου φλόγα διενοχλοῦσαν ἴδῃ, ῥᾳδίως ἀπὸ τῶν ναμάτων ἐκείνων τὴν ψυχὴν ἀποκλύσας ἀπεκρούσατο τὴν φλόγα· κἂν ὀργὴ διακαὴς ἐνοχλῇ, τὴν καρδίαν καθάπερ λέβητα ὑποκαιόμενον ἀναβράσσουσα, μικρὸν τοῦ νάματος ἐπιστάξας, εὐθέως κατέστειλε τοῦ πάθους τὴν ἀναισχυντίαν· καὶ ἐκ πάντων τῶν πονηρῶν λογισμῶν, ὥσπερ ἐκ μέσης φλογὸς, ἐξαρπάζει τὴν ψυχὴν ἡ τῶν θείων Γραφῶν ἀνάγνωσις.

β'. Διὸ καὶ ὁ προφήτης ὁ μέγας Δαυὶδ ἐκεῖνος, εἰδὼς τὴν ὠφέλειαν τὴν ἀπὸ τῆς ἀναγνώσεως τῶν Γραφῶν, τὸν διηνεκῶς προσέχοντα ταῖς Γραφαῖς καὶ τῆς ὁμιλίας ταύτης ἀπολαύοντα παρεικάζει φυτῷ ἀεὶ τεθηλότι, παρὰ τοὺς ῥύακας ἑστηκότι τῶν ὑδάτων, οὑτωσὶ λέγων· *Μακάριος ἀνὴρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν, καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη, καὶ ἐπὶ καθέδραν* [73] *λοιμῶν οὐκ ἐκάθισεν· ἀλλ' ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτὸς, καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων.* Καθάπερ γὰρ τὸ ξύλον ἐκεῖνο τὸ παρὰ τὰς διεξόδους τῶν ὑδάτων πεφυτευμένον, παρ' αὐτοὺς τοὺς ῥύακας ἑστηκὸς, διηνεκῆ τῆς ἀρδείας ἔχον τὴν χορηγίαν, πάσῃ ἀέρων ἀνωμαλίᾳ ἀχείρωτον γίνεται, καὶ οὔτε ἀκτῖνα θερμοτέραν γενομένην δέδοικεν, οὔτε τὸν ἀέρα μεταπεσόντα εἰς αὐχμὸν εὐλαβεῖται· ἱκανὴν γὰρ ἔχον ἐναποκεκλεισμένην ἐν ἑαυτῷ τὴν νοτίδα, πάσης ἡλιακῆς θέρμης πλεονεξίαν ἔξωθεν προσβαλοῦσαν εὐθέως ἀποκρούεται καὶ διωθεῖται· οὕτω καὶ ψυχὴ παρὰ τοὺς ῥύακας ἑστηκυῖα τῶν θείων Γραφῶν, καὶ ποτιζομένη διηνεκῶς, ἐκεῖνα τὰ νάματα καὶ τὴν δρόσον τοῦ Πνεύματος ἐν ἑαυτῇ συνάγουσα, πρὸς πᾶσαν πραγμάτων περίστασιν ἀχείρωτος ἔσται, κἂν νόσος, κἂν ἐπήρεια, κἂν συκοφαντία, κἂν λοιδορίαι, κἂν σκώμματα, κἂν πᾶσα ῥᾳθυμία, κἂν πάντα τὰ τῆς οἰκουμένης κακὰ εἰς τὴν τοιαύτην κατασκήψῃ ψυχήν, εὐκόλως ἀποκρούεται τὴν πύρωσιν τῶν παθῶν, ἀπὸ τῆς τῶν Γραφῶν ἀναγνώσεως ἱκανὴν παράκλησιν ἔχουσα. Οὔτε γὰρ δόξης μέγεθος, οὐ δυναστείας ὄγκος, οὐ φίλων παρουσία, οὐκ ἄλλο οὐδὲν τῶν ἀνθρωπίνων οὕτω τὸν ἐν ὀδύνῃ παραμυθήσασθαι δυνήσεται, ὡς ἡ τῶν θείων Γραφῶν ἀνάγνωσις. Τί δήποτε; Ὅτι ἐκεῖνα μὲν ἐπίκηρα καὶ φθαρτά, διὸ καὶ φθαρτὴ αὐτῶν ἡ παράκλησις· ἡ δὲ τῶν Γραφῶν ἀνάγνωσις, Θεοῦ ὁμιλία ἐστίν. Ὅταν οὖν ὁ Θεὸς τὸν ἐν ἀθυμίᾳ παρακαλῇ, τί τῶν ὄντων αὐτὸν εἰς ἀθυμίαν ἐμβαλεῖν δύναται;

Προσέχωμεν τοίνυν τῇ ἀναγνώσει, μὴ τὰς δύο μόνον ταύτας ὥρας (οὐ γὰρ ἀρκεῖ ἡμῖν εἰς ἀσφάλειαν ἡ ψιλὴ αὕτη ἀκρόασις), ἀλλὰ διηνεκῶς· καὶ ἕκαστος οἰκαδε ἀναχωρήσας τὰ Βιβλία μετὰ χεῖρας λαμβανέτω, καὶ τῶν εἰρημένων ἐπερχέσθω τὰ νοήματα, εἴ γε μέλλῃ διηνεκῆ καὶ ἀρκοῦσαν ἔχειν τὴν ἀπὸ τῆς Γραφῆς ὠφέλειαν. Καὶ γὰρ τὸ ξύλον ἐκεῖνο, τὸ παρὰ τοὺς ῥύακας ἑστηκὸς, οὐ δύο καὶ τρεῖς ὥρας ὁμιλεῖ τοῖς ὕδασιν, ἀλλὰ πᾶσαν μὲν ἡμέραν, πᾶσαν δὲ νύκτα. Διὰ τοῦτο κομᾷ τοῖς φύλλοις, διὰ τοῦτο βρίθει τῷ καρπῷ ἐκεῖνο τὸ ξύλον, κἂν μηδεὶς αὐτὸ ἀνθρώπων ποτίζῃ· ἐπειδὴ παρὰ τοὺς ῥύακας ἔστηκεν αὐτὸ, διὰ τῶν ῥιζῶν ἐπισπᾶται τὴν νοτίδα, καὶ ὥσπερ διά τινων πόρων παραπέμπει τὴν ὠφέλειαν παντὶ τῷ σώματι· οὕτω καὶ ὁ συνεχῶς ἀναγινώσκων τὰς θείας Γραφὰς, καὶ παρὰ τοὺς ῥύακας αὐτῶν ἑστηκὼς, κἂν μηδένα ἔχῃ τὸν ἑρμηνεύοντα, διὰ τῆς συνεχοῦς ἀναγνώσεως, ὥσπερ διά τινων ῥιζῶν, πολλὴν ἐπισπᾶται τὴν ὠφέλειαν. Διὰ τοῦτο καὶ ἡμεῖς τὰς φροντίδας ὑμῶν εἰδότες, τοὺς περισπασμοὺς, τὰς ἀσχολίας τὰς πολλὰς, ῥῆμα καὶ καταμικρὸν ὑμᾶς προσάγομεν τοῖς νοήμασι τῶν Γραφῶν, τῷ σχολαίῳ τῆς ἐξηγήσεως μόνιμον ποιοῦντες τῶν λεγομένων τὴν μνήμην. Καὶ γὰρ ὄμβρος ῥαγδαῖος μὲν καταῤῥηγνύμενος, κατακλύζει τὴν ἐπιφάνειαν, καὶ τὸ βάθος οὐδὲν ὠφελεῖ· ῥῆμα δὲ καὶ καταμικρὸν ἐλαίου δίκην ἐνιζάνων τῷ προσώπῳ τῆς γῆς, ὥσπερ διά τινων φλεβῶν τῶν πόρων αὐτῆς πρὸς τὸ βάθος διολισθαίνων, τὰς λαγόνας αὐτῆς ἐμπλήσας νοτίδος, εὐπορωτάτην ποιεῖ πρὸς [74] τὴν τῶν καρπῶν φοράν. Διὸ καὶ ἡμεῖς τὸν πνευματικὸν τοῦτον ὄμβρον ῥῆμα ταῖς ὑμετέραις ἐνίεμεν ψυχαῖς· αἱ μὲν γὰρ Γραφαὶ νεφέλαις ἐοίκασι πνευματικαῖς, τὰ δὲ ῥήματα καὶ νοήματα ὄμβρῳ προσέοικε πολλῷ τούτου βελτίονι· καὶ διὰ τοῦτο τὸν πνευματικὸν τοῦτον ὄμβρον καταμικρὸν ὑμῖν ἐνίεμεν, ἵνα πρὸς αὐτὸ τὸ βάθος χωρήσῃ τὰ ῥήματα. Διὰ τοῦτο τετάρτην σήμερον ἡμέραν ἔχοντες ἐξηγήσεως, οὐδέπω μίαν ἐπιγραφὴν παρελθεῖν ἠδυνήθημεν, ἀλλ' ἔτι περὶ αὐτὴν στρεφόμεθα. Βέλτιον γὰρ μικρὸν διασκάπτοντας χωρίον, καὶ πρὸς τὸ βάθος καταβαίνοντας πολὺν τῶν ἀναγκαίων εὑρίσκειν τὸν θησαυρὸν, ἢ πολλὰς ἀρούρας ἐπιόντας ἄνωθεν, ἁπλῶς καὶ εἰκῇ ταλαιπωρεῖσθαι καὶ μάτην. Καίτοι οἶδα πολλοὺς πρὸς τὴν βραδύτητα ταύτην δυσχεραίνοντας· ἀλλ' οὐ μέλει μοι τῆς ἐκείνων κατηγορίας, ἀλλὰ μέλει μοι τῆς ὑμετέρας ὠφελείας. Οἱ ὀξύτερον βαδίζειν δυνάμενοι τοὺς βραδυτέρους τῶν ἀδελφῶν ἀναμενέτωσαν· οὗτοι μὲν γὰρ ἐκείνους ἀναμεῖναι δύνανται, οἱ δὲ ἀσθενέστεροι πρὸς ἐκείνους ἑαυτοὺς παρεκτεῖναι οὐκ ἰσχύουσι. Διὰ τοῦτο καὶ ὁ Παῦλός φησιν, ὅτι οὐκ ὀφείλομεν τοὺς ἀσθενεῖς ἀναγκάζειν πρὸ καιροῦ, πρὸς τὴν τελειότητα τῶν δυνατῶν ἐκτείνεσθαι μὴ δυναμένους· ἀλλ' ὅτι ἡμεῖς ὀφείλομεν οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν. Ὠφελείας ἡμῖν μέλει τῆς ὑμετέρας, οὐκ ἐπιδείξεως ἁπλῶς· διὰ τοῦτο ἐνδιατρίβομεν τοῖς νοήμασι.

γ'. Τῇ μὲν οὖν πρώτῃ ἡμέρᾳ ὅτι οὐχ ἁπλῶς παρατρέχειν χρὴ τὰς ἐπιγραφὰς ἔλεγον, ὅτε καὶ τὸ ἐπίγραμμα

saltus abundantiam nobis exprimens. Illæ fontanæ solent aquæ prosilire, atque undique erumpere, quas continere sinu fontes nequeunt, sed fluctus frequentia victi undique illas scaturientes effundunt. Cum igitur laticum copiam vellet indicare, *Salientis* dixit, non exeuntis. Vis etiam naturam ejus cognoscere? Ex usu cognosce. Non enim ad vitam præsentem, sed ad vitam æternam est utilis. In hoc igitur paradiso versemur : assideamus fonti, ne nobis accidat id quod Adamo accidit, et paradiso excidamus : ne perniciosum consilium admittamus, ne diaboli fraudem suscipiamus : maneamus intus : quippe multa inde securitas : in lectione Scripturæ istius permaneamus. Ut enim ii, qui fonti assident, et aura illa fruuntur, et æstu ingruente faciem frequenter immergunt, laticibus æstivum calorem depellunt, et sitis, qua vexantur, malo medentur, dum illis de propinquo fonte remedium suppetit : sic qui sacrarum fonti Scripturarum assidet, licet nefariæ libidinis flamma cruciari se sentiat, cum animam laticibus illis perfuderit, facile flammam repellit : sive fervida infestet iracundia, quæ tamquam succensum lebetem cor inflammat, si modicum aquæ instillet, confestim iræ importunitatem compescet : et ex omnibus pravis cogitationibus animam tamquam ex media flamma eripiet sacrarum lectio Scripturarum.

2. Quam ob causam etiam magnus ille propheta David, cum probe sciret, quanta ex lectione Scripturæ manet utilitas, eum qui Scripturis perpetuo sit intentus, et earum colloquio fruatur, cum planta comparat quæ semper floreat, juxta rivos aquarum sita, dum ita loquitur : *Beatus vir, qui non abiit in consilio impiorum, et in via peccatorum non stetit, et in cathedra pestilentiæ non sedit : sed in lege Domini voluntas ejus, et in lege ejus meditabitur die ac nocte : et erit tamquam lignum, quod plantatum est secus decursus aquarum* (*Psal.* 1, 1-3). Ut enim lignum illud secus aquarum decursus plantatum, et juxta rivos situm, dum perenni aquarum copia irrigatur, nulla intemperie aeris lædi potest, et neque solis radios acrius incalescentes reformidat, neque graviori æstu sævientem aerem pertimescit; cum enim inclusum in se sufficientem humorem habeat, omnem radii solaris exterius ingruentem ardorem statim depellit ac discutit : sic etiam anima quæ juxta sacrarum rivos Scripturarum sedet, ac perpetuo rigatur, dum latices illos, roremque Spiritus in semetipsa colligit, omnibus rerum humanarum incommodis resistet invicta; sive morbus, sive contumelia, sive calumnia, sive vituperia, sive scommata, sive pigritia quævis, sive cuncta mundi mala in ejusmodi animam impetum faciant, facile perturbationum incendium propulsabit, cum sufficienti lectionis Scripturæ solatio roboretur. Nam neque gloriæ magnitudo, neque potentiæ majestas, nec amicorum præsentia, nec aliud quidquam ex rebus humanis animum adeo tristitia confectum solari poterit, ac sacrarum lectio Scripturarum. Quid ita? Quod illa quidem caduca sint, et interitui obnoxia, quam ob causam et obnoxium interitui est ipsorum solatium : at lectio Scripturæ colloquium est cum Deo. Quando igitur eum qui tristitia sit affectus consolatur Deus, quid ex rebus creatis ipsum in mœrorem potest conjicere?

Ad lectionem Scripturæ sacræ hortatur. Scriptura cum nubibus collata. — Lectioni ergo simus intenti, non duas tantum has horas (non enim ad securitatem sufficit hæc auditio nuda), sed perpetuo : quisque domum reversus Libros sacros in manus sumat, et eorum quæ dicta sunt sensus percurrat, si quidem perpetuam et sufficientem utilitatem percipere cupiat ex Scriptura. Nam et lignum illud juxta rivos situm non ad duas et tres horas cum aquis versatur, sed omni die omnique nocte. Propterea foliis vernat, propterea fructu gravatur lignum illud, licet nullus ex hominibus illud irriget : quoniam juxta rivos est consitum, radicibus humorem attrahit, et quasi per meatus quosdam in totum corpus utilitatem transfundit : sic et is qui Scripturas sacras assidue legit, et juxta rivos illarum residet, licet neminem habeat, qui interpretetur, frequenti lectione quasi radicibus quibusdam utilitatem haurit. Idcirco nos quibus sollicitudines vestræ sunt notæ, occupationes, ac negotia multa, sensim ac paulatim vos ad Scripturæ sensa deducimus, ac lentitudine expositionis efficimus, ut eorum, quæ dicta sunt, memoria tenacius adhærescat. Nam et imber si vehemens irrumpat, superficiem terræ inundat, et profundo nihil prodest : sin autem sensim et pedetentim in morem olei in terræ faciem se insinuet, quasi per venas quasdam per meatus ejus ad profundum delabitur, ejusque viscera humore complens ad fruges ubertim pariendas fecundissimam illam reddit. Propterea nos quoque spiritualem hunc imbrem animabus vestris paulatim immittimus : siquidem Scripturæ spiritualibus sunt nubibus similes, at voces et sensus imbri similes sunt longe isto præstantiori : atque idcirco spiritualem hunc imbrem sensim vobis infundimus, ut ad fundum ipsum verba permeent. Eo fit, ut cum ad quartum jam diem expositionem produxerimus, necdum tamen unam inscriptionem potuerimus præterire, sed adhuc circa illam versemur. Satius enim est, ut exiguo perfosso agro, cum ad fundum descenderimus, multum illic rerum necessariarum thesaurum offendamus, quam si cum arva multa superficie tenus percurrerimus, frustra, temere, et incassum nos affligamus. At scio equidem multos hanc tarditatem ægre ferre; sed illorum ego reprehensionem nihil curo, sola mihi vestra curæ est utilitas. Qui celerius possunt incedere, tardiores fratres exspectent : nam isti quidem exspectare illos possunt, at infirmiores illos assequi minime possunt. Idcirco etiam Paulus non debere nos ait imbecilliores ante tempus urgere, cum ad robustorum perfectionem se ipsos minime possint extendere : sed debere nos firmiores imbecillitates infirmorum sustinere (1. *Cor.* 8. 9). Nos de vestra sumus utilitate solliciti, non ut nos temere ostentemus : atque idcirco sensibus immoramur.

3. *Homiliarum in principium Actorum ordo; quid significet nomen Apostoli. Christus a sensilibus ad spiri-*

tualia deducit. — Itaque primo die non esse temere prætereundas inscriptiones dicebam, quo tempore titulum vobis altaris legi, ac Pauli sapientiam ostendi, qui militem alienum, quippe in adversariorum acie stabat, ad cohortes suas transtulit. In hoc desiit priori die tota doctrina : post illam secundo die, qui libri esset illius auctor, quæsivimus, et invenimus Dei gratia Lucam evangelistam, multisque vobis demonstrationibus rem in quæstione positam probavimus, quarum aliæ clariores, abstrusiores aliæ fuerunt. Scio namque multos ex auditoribus ea, quæ postremo loco dicta sunt, assequutos non esse : nec tamen idcirco subtiliores sensus confidenter persequi desistemus. Itaque ea quæ clariora sunt, simplicioribus, profundiora vero proderunt his, qui acutius intuentur. Variam quippe mensam esse oportet ac differentem, quandoquidem et differens est eorum qui invitati sunt appetitus. Primo igitur die de inscriptione, secunda vero die de eo qui librum scripsit, tertia die heri disseruimus apud eos qui advenerant de initio scripturæ, et ostendimus, sicut illi norunt qui audierunt, quid sit actum, quid sit miraculum, et quid sit conversatio, quid signum et prodigium ac virtus, et quantum inter utraque sit discrimen : qua ratione alterum majus sit, utilius alterum : et qua ratione alterum solum per se regnum acquirit, alterum nisi operum subsidium assumat, extra vestibulum illud ejicitur. Hodie reliquum inscript..nis operæ pretium est dicamus, et quid significet Apostoli nomen ostendamus. Neque enim nudum est nomen hoc, sed magistratus est appellatio, maximi magistratus, magistratus maxime spiritualis, magistratus cælestis. Sed attendite diligenter. Nam quemadmodum in rebus sæcularibus magistratus sunt multi, non tamen ejusdem omnes dignitatis, sed alii majores, alii minores : exempli causa, ut ab inferiori enumerationem ordiamur, est Defensor civitatis ; est illo sublimior gentis Præses ; est alius post illum magistratus major : est rursus Magister militum : est Præfectus ; est sublimior istis magistratus, dignitas Consulum : et omnes quidem hi sunt magistratus, sed non ejusdem omnes dignitatis : ita multi sunt spirituales magistratus non æquales dignitate : porro major omnibus est dignitas Apostolatus. A sensibilibus enim rebus ad spiritualia quasi manu ducendi estis. Ita fecit et Christus, de Spiritu disserens aquæ meminit. *Qui enim bibit ex aqua hac, sitiet iterum*, inquit; *qui autem biberit ex aqua, quam ego dabo ei, non sitiet in æternum* (*Joan.* 4. 13). Vides eum a sensilibus ad spiritualia mulierculam illam deducere? Sic nos etiam agimus, et ab inferioribus ad superiora conscendimus, ut magis perspicua fiat oratio. Propterea cum de magistratu loqueremur, non spiritualis tantum mentionem fecimus, sed sensibilis magistratus, ut ab hoc vos ad illum manu duceremus. Audistis quot sæculares magistratus enumeraverimus, et quo pacto alii quidem majores, alii vero sint minores, et quo pacto Consulum magistratus quasi culmen et caput præ reliquis cunctis emineat : videamus spirituales etiam magistratus. Spiritualis est magistratus, Prophetiæ magistratus : est alter Evangelistæ, est Pastoris, est Doctoris, est donorum, est curationum, est interpretationis linguarum. Hæc omnia nomina quidem sunt donorum, res autem magistratuum ac potestatum. Propheta magistratus est : apud nos is qui dæmones ejicit, magistratus est : apud nos Pastor et Doctor spiritualis est magistratus : verum his omnibus major est Apostolicus magistratus. Unde vero id constat? Quod omnes istos præcedat Apostolus. Et quemadmodum inter sensibiles magistratus Consul, sic inter spirituales Apostolus honoris gaudet prærogativa. Audiamus ipsum Paulum enumerantem dignitates, et in sublimiori loco Apostolicam collocantem. Quid igitur ait ille? *Quosdam quidem posuit Deus in Ecclesia, primum apostolos, secundo prophetas, tertio doctores, et pastores, exinde gratias curationum* (1. *Cor.* 12. 28).

Apostolatus dignitas quanta. Quid per genera linguarum intelligat.—Vides fastigium dignitatum? vides Apostolum sublimem sedere, nec ullum ipsum præcedere, aut sublimiorem illo esse? Primum enim Apostolos dicit, secundo Prophetas, tertio Doctores et Pastores : deinde gratias curationum, opitulationes, gubernationes; genera linguarum. Neque vero tantum principatus est cæterarum dignitatum Apostolatus, sed etiam radix ac fundamentum. Et quemadmodum caput in sublimiori loco situm non modo principatus est corporis atque dominatus, sed etiam radix (siquidem nervi, qui corpus regunt, oriuntur ex illo, et ex ejus cerebro nati, ac spiritus largitione ditati, deinde totum animal moderantur), sic et Apostolatus non modo tamquam principatus ac dominatus præ cæteris donis eminet, sed omnium quoque radices comprehensas apud se retinet. Ac Propheta quidem Apostolus esse non potest et Propheta : sed Apostolus est etiam omnino Propheta, et gratias habet curationum, et genera linguarum, et interpretationes linguarum : propterea principatus et radix est gratiarum.

4. Porro ut hæc ita se habere constet, testem vobis adduco Paulum. Prius tamen dicere convenit, quid illud tandem sit, genera linguarum? Quid igitur est genera linguarum? Olim is qui baptizatus fuerat, et crediderat, statim ad Spiritus manifestationem diversis linguis loquebatur. Nam quoniam adhuc imbecilliores erant hominum illius ævi, et spiritualia dona non poterant oculis carneis contueri, sensibile donum dabatur, ut innotesceret spirituale, quique baptizatus fuerat, statim lingua nostra et Persica, et Indica, et Scythica loquebatur ; sic ut eum Spiritu sancto donatum esse intelligerent infideles. Ac signum quidem sensibus subjectum erat, talis inquam vox ; siquidem corporis sensu illam audiebant : spiritualem autem, et quæ minime cernebatur, Spiritus gratiam subjectum sensibus signum istud omnibus manifestam reddebat. Et hoc signum genera linguarum appellabatur. Qui enim unicam a natura linguam habebat, beneficio gratiæ variis ac differentibus linguis loquebatur : ac videre erat hominem

ὑμῖν ἀνέγνων τοῦ βωμοῦ, καὶ τὴν σοφίαν ἐπέδειξα Παύλου, τὸν ἀλλότριον στρατιώτην καὶ ἐν τῇ παρατάξει τῶν ἐχθρῶν ἑστηκότα πρὸς τὴν οἰκείαν φάλαγγα μεταστήσαντος[a]. Εἰς τοῦτο ἐν τῇ πρώτῃ ἡμέρᾳ κατέληξεν ἡ διδασκαλία πᾶσα· μετ' ἐκείνην ἐν τῇ δευτέρᾳ ἡμέρᾳ ἐζητήσαμεν τίς ἦν ὁ τὸ βιβλίον γράψας· καὶ εὕρομεν τῇ τοῦ Θεοῦ χάριτι Λουκᾶν τὸν εὐαγγελιστήν, καὶ διὰ πλειόνων ἀποδείξεων ὑμῖν παρεστήσαμεν τὸ ζητούμενον, τῶν μὲν σαφεστέρων, τῶν δὲ βαθυτέρων. Οἶδα γὰρ ὅτι τοῖς ἐσχάτοις τῶν εἰρημένων πολλοὶ τῶν ἀκουσάντων οὐ παρηκολούθησαν· ἀλλ' ὅμως οὐ διὰ τοῦτο ἀποστησόμεθα τοῦ κατατολμᾷν λεπτοτέρων νοημάτων. Τὰ μὲν οὖν σαφέστερα τοῖς ἀφελεστέροις, τὰ δὲ βαθύτερα τοῖς ὀξύτερον ἐνορῶσιν ἔσται χρήσιμα. Ποικίλην γὰρ εἶναι δεῖ τὴν τράπεζαν καὶ διάφορον, ἐπειδὴ καὶ διάφορος ἡ τῶν κεκλημένων ἐπιθυμία. Τῇ μὲν οὖν πρώτῃ ἡμέρᾳ περὶ ἐπιγραφῆς, τῇ δὲ δευτέρᾳ ἡμέρᾳ περὶ τοῦ γράψαντος τὸ βιβλίον, τῇ τρίτῃ ἡμέρᾳ χθὲς πρὸς τοὺς παραγενομένους περὶ τῆς ἀρχῆς τῆς γραφῆς διελέχθημεν, καὶ ἐδείξαμεν, καθάπερ ἴσασιν οἱ ἀκηκοότες, τί μέν ἐστι πρᾶξις, τί δέ ἐστι θαῦμα, καὶ τί μέν ἐστι πολιτεία, τί δέ ἐστι σημεῖον, καὶ τέρας, καὶ δύναμις, καὶ πόσον τὸ μέσον ἑκατέρων· καὶ πῶς τὸ μὲν μεῖζον, τὸ δὲ χρησιμώτερον· καὶ πῶς τὸ μὲν καθ' ἑαυτὸν[b] ὂν βασιλείαν προξενεῖ, τὸ δὲ ἐὰν μὴ λάβῃ τὴν ἀπὸ τῆς πράξεως συμμαχίαν, ἔξω τῶν προθύρων ἐκείνων ἐκβάλλεται. Σήμερον [75] ἀναγκαῖον εἰπεῖν τὸ ἐπίλοιπον τῆς ἐπιγραφῆς, καὶ δεῖξαι τί ποτέ ἐστι τὸ ὄνομα τῶν ἀποστόλων. Οὐδὲ γὰρ ψιλόν ἐστι τὸ ὄνομα τοῦτο, ἀλλ' ἀρχῆς ἐστι προσηγορία, ἀρχῆς μεγίστης, ἀρχῆς τῆς πνευματικωτάτης, ἀρχῆς τῆς ἄνω. Ἀλλὰ διανάστητε. Καθάπερ γὰρ ἐν τοῖς βιωτικοῖς πράγμασίν εἰσιν ἀρχαὶ πολλαί, οὐ πᾶσαι δὲ τῆς αὐτῆς ἀξίας, ἀλλ' αἱ μὲν μείζους, αἱ δὲ ἐλάττους· οἷον, ἵνα ἀπὸ τῆς κατωτέρας τὸν ἀριθμὸν ποιησώμεθα, ἔστιν ὁ τῆς πόλεως ἔκδικος· ἔστιν ἀνώτερος ἐκείνου ὁ τοῦ ἔθνους ἡγεμών· ἔστι μετ' ἐκεῖνον ἕτερος ἄρχων μείζων· ἔστι πάλιν ὁ στρατηλάτης· ἔστιν ὁ ὕπαρχος· ἔστιν ἀνωτέρα τούτων ἀρχή, ἡ τῶν ὑπάτων ἀρχή· καὶ πᾶσαι μὲν αὗται ἀρχαί, οὐ πᾶσαι δὲ τῆς αὐτῆς ἀξίας· οὕτω καὶ τῶν πνευματικῶν πολλαὶ μὲν ἀρχαί, οὐ πᾶσαι δὲ τῆς αὐτῆς ἀξίας· πασῶν δὲ μείζων ἡ τῆς ἀποστολῆς ἀξία. Καὶ γὰρ ἀπὸ τῶν αἰσθητῶν ὑμᾶς ἐπὶ τὰ νοητὰ χειραγωγεῖν δεῖ. Οὕτω καὶ ὁ Χριστὸς ἐποίησε, περὶ Πνεύματος διαλεγόμενος ὕδατος ἐμνημόνευσεν. *Ὁ γὰρ πίνων ἐκ τοῦ ὕδατος τούτου διψήσει πάλιν*, φησίν· *ὁ δὲ πίνων ἐκ τοῦ ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα.* Ὁρᾷς ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὰ νοητὰ χειραγωγοῦντα τὸ γύναιον; Οὕτω καὶ ἡμεῖς ποιοῦμεν, καὶ κάτωθεν ἀναβαίνομεν ἄνω, ὥστε εὐσημότερον γενέσθαι τὸν λόγον. Διὰ τοῦτο περὶ ἀρχῆς διαλεγόμενοι, οὐ πνευματικῆς ἐμνήσθημεν ἀρχῆς, ἀλλ' αἰσθητῆς, ἵνα ἀπὸ ταύτης πρὸς ἐκείνην ὑμᾶς χειραγωγήσωμεν. Ἠκούσατε πόσας ἠριθμήσαμεν ἀρχὰς βιωτικάς, καὶ πῶς αἱ μὲν μείζους, αἱ δὲ ἐλάττους, καὶ πῶς ἡ τῶν ὑπάτων ἀρχὴ καθάπερ κορυφὴ καὶ κεφαλὴ πᾶσιν ἐπίκειται· ἴδωμεν καὶ τὰς ἀρχὰς τὰς πνευματικάς. Ἔστιν ἀρχὴ πνευματικὴ, προφητείας ἀρχή· ἔστιν ἑτέρα ἀρχὴ εὐαγγελισμοῦ, ἔστι ποιμένος, ἔστι διδασκάλου, ἔστι χαρισμάτων, ἔστιν ἰαμάτων, ἔστιν ἑρμηνείας γλωσσῶν. Ταῦτα πάντα ὀνόματα μέν ἐστι χαρισμάτων, πράγματα δὲ ἀρχῶν καὶ ἐξουσιῶν. Ὁ προφήτης ἄρχων ἐστί· παρ' ἡμῖν ὁ δαίμονας ἐξελαύνων ἄρχων ἐστί· παρ' ἡμῖν ὁ ποιμὴν καὶ διδάσκαλος ἄρχων ἐστὶ πνευματικός· ἀλλὰ τούτων ἁπάντων μείζων ἐστὶν ἀρχὴ ἡ ἀποστολική. Καὶ πόθεν τοῦτο δῆλον; Ὅτι πρὸ πάντων ὁ ἀπόστολος τούτων ἐστί. Καὶ καθάπερ ὁ ὕπατος ἐν ταῖς αἰσθηταῖς ἀρχαῖς, οὕτως ὁ ἀπόστολος ἐν τοῖς πνευματικοῖς τὴν προεδρείαν ἔχει. Αὐτοῦ τοῦ Παύλου ἀκούσωμεν ἀριθμοῦντος τὰς ἀρχάς, καὶ ἐν τῷ ὑψηλοτέρῳ χωρίῳ τὴν ἀποστολικὴν καθίζοντος. Τί οὖν οὗτός φησιν; *Οὓς μέν ἔθετο ὁ Θεὸς ἐν τῇ Ἐκκλησίᾳ, πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους, καὶ ποιμένας· εἶτα χαρίσματα ἰαμάτων.*

Εἶδες κορυφὴν ἀρχῶν; εἶδες ὑψηλὸν καθήμενον τὸν ἀπόστολον, καὶ οὐδένα πρὸ ἐκείνου ὄντα, οὔτε ἀνώτερον; Πρῶτον γὰρ ἀποστόλους φησί, δεύτερον προφήτας, τρίτον διδασκάλους καὶ ποιμένας· εἶτα χαρίσματα ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν. Οὐκ ἀρχὴ δὲ μόνον ἐστὶν ἡ ἀποστολὴ τῶν ἄλλων ἀρχῶν, ἀλλὰ καὶ ὑπόθεσις καὶ ῥίζα. Καὶ καθάπερ ἡ κεφαλὴ ἐν τῷ ὑψηλοτέρῳ τοῦ παντὸς [76] καθημένη, οὐ μόνον ἀρχὴ τοῦ σώματός ἐστι καὶ ἐξουσία, ἀλλὰ καὶ ῥίζα (τὰ γὰρ νεῦρα τὰ διοικοῦντα τὸ σῶμα ἐξ ἐκείνης τικτόμενα, καὶ ἐξ αὐτοῦ βλαστάνοντα τοῦ ἐγκεφάλου, καὶ τὴν τοῦ πνεύματος δεχόμενα χορηγίαν, οὕτως ἅπαν οἰκονομεῖ τὸ ζῶον), οὕτω καὶ ἡ ἀποστολὴ οὐ μόνον ὡς ἀρχὴ καὶ ἐξουσία τοῖς λοιποῖς ἐπίκειται χαρίσμασιν, ἀλλὰ καὶ τὰς ἁπάντων ῥίζας ἐν ἑαυτῇ συλλαβοῦσα κατέχει. Καὶ ὁ μὲν προφήτης οὐ δύναται εἶναι καὶ ἀπόστολος καὶ προφήτης· ὁ δὲ ἀπόστολος καὶ προφήτης ἐστὶ πάντως, καὶ χαρίσματα ἔχει ἰαμάτων, καὶ γένη γλωσσῶν, καὶ ἑρμηνείας γλωσσῶν· διὸ ἀρχὴ καὶ ῥίζα ἐστὶ τῶν χαρισμάτων.

δ'. Καὶ ὅτι ταῦτα οὕτως ἔχει, Παῦλον ὑμῖν παράγω μάρτυρα. Πρῶτον δὲ ἀναγκαῖον εἰπεῖν, τί ποτέ ἐστι γένη γλωσσῶν. Τί οὖν ἐστι γένη γλωσσῶν; Τὸ παλαιὸν ὁ βαπτισθεὶς καὶ πιστεύσας εὐθέως πρὸς τὴν φανέρωσιν τοῦ Πνεύματος διαφόροις ἐλάλει γλώσσαις. Ἐπειδὴ γὰρ ἔτι ἀσθενέστερον διέκειντο οἱ τότε, καὶ τὰ νοητὰ χαρίσματα ὁρᾷν οὐκ ἠδύναντο τοῖς ὀφθαλμοῖς τῆς σαρκὸς, ἐδίδοτο αἰσθητὸν χάρισμα, ὥστε τὸ νοητὸν[c] γενέσθαι καταφανές· καὶ ὁ βαπτισθεὶς εὐθέως καὶ τῇ ἡμετέρᾳ γλώσσῃ, καὶ τῇ τῶν Περσῶν, καὶ τῇ τῶν Ἰνδῶν, καὶ τῇ τῶν Σκυθῶν ἐφθέγγετο, ὥστε μαθεῖν καὶ τοὺς ἀπίστους, ὅτι Πνεύματος ἁγίου ἠξίωτο. Καὶ ἦν τὸ μὲν σημεῖον αἰσθητὸν, ἡ τοιαύτη φωνὴ λέγω· τῇ γὰρ αἰσθήσει τοῦ σώματος αὐτῆς ἤκουον· τὴν δὲ νοητὴν καὶ οὐχ ὁρωμένην τοῦ Πνεύματος χάριν πᾶσι τὸ αἰσθητὸν τοῦτο σημεῖον κατάδηλον ἐποίει. Καὶ τοῦτο τὸ σημεῖον ἐκαλεῖτο γένη γλωσσῶν. Ὁ γὰρ μίαν γλῶσσαν ἔχων ἀπὸ τῆς φύσεως, ποικίλαις ἐλάλει γλώσσαις καὶ διαφόροις ἀπὸ τῆς χάριτος· καὶ ἦν ἰδεῖν ἄνθρωπον ἕνα μὲν τῷ ἀριθμῷ, ποικίλον δὲ

[a] Φάλαγγα μεταστήσαντος. Hic incipit ms. Colb.
[b] Ms. Colb. καθ' ἑαυτό.
[c] Legebatur :... χάρισμα, τὸ νοητόν. Addidimus ὥστε, postulantibus sensu, Saxil. in marg., Venet in Emendationibus. Edit.

τοῖς χαρίσμασι, καὶ διάφορα στόματα ἔχοντα, καὶ διαφόρους γλώσσας. Ἴδωμεν οὖν πῶς ὁ Ἀπόστολος καὶ τοῦτο εἶχε τὸ χάρισμα, καὶ τὰ ἄλλα πάντα. Περὶ μὲν τούτου οὕτω λέγει· *Πάντων ὑμῶν μᾶλλον γλώσσαις λαλῶ.* Εἶδες πῶς ἔχει τὰ γένη τῶν γλωσσῶν, καὶ οὐκ ἔχει μόνον, ἀλλὰ καὶ μετὰ πλείονος ὑπερβολῆς ἢ οἱ λοιποὶ πάντες πιστοί; Οὐ γὰρ εἶπεν, ὅτι Γλώσσαις ἔχω λαλεῖν μόνον, ἀλλὰ καὶ, *Πάντων ὑμῶν μᾶλλον γλώσσαις λαλῶ.* Τὴν δὲ προφητείαν, ἣν εἶχε, δι' ἐκείνων δείκνυσι τῶν ῥημάτων, οὕτω λέγων· *Τὸ δὲ Πνεῦμα ῥητῶς λέγει, ὅτι ἐν ὑστέροις καιροῖς ἐνστήσονται καιροὶ χαλεποί·* ὅτι δὲ τὰ ἐν ὑστέροις καιροῖς λέγειν, προφητεία ἐστὶ, παντὶ που δῆλον. Καὶ πάλιν, *Τοῦτο δὲ γινώσκετε, ὅτι ἐν ἐσχάτοις καιροῖς ἐνστήσονται καιροὶ χαλεποί·* καὶ πάλιν, *Λέγω δὲ ὑμῖν ἐν λόγῳ Κυρίου, ὅτι ἐν παρουσίᾳ αὐτοῦ ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας.* Καὶ τοῦτο δὲ προφητεία ἐστίν. Εἶδες πῶς γένη γλωσσῶν καὶ προφητείας ἔχει; Βούλει μαθεῖν πῶς ἔχει καὶ χαρίσματα ἰαμάτων; Ἀλλὰ τάχα τοῦτο οὐδὲ τῆς ἀπὸ τῶν λόγων ἀποδείξεως δεῖται, ὅταν ἴδωμεν οὐ μόνον τοὺς ἀποστόλους, ἀλλὰ καὶ τὰ ἱμάτια αὐτῶν [77] χαρίσματα ἰαμάτων ἔχοντα. Ὅτι δὲ καὶ διδάσκαλος ἦν τῶν ἐθνῶν, πολλαχοῦ τοῦτο λέγει, καὶ ὅτι τῆς οἰκουμένης ἀντελαμβάνετο πάσης, καὶ διεκυβέρνα τὰς Ἐκκλησίας. Ὅταν οὖν ἀκούσῃς, πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον ποιμένας καὶ διδασκάλους, χαρίσματα ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν, μάθε ὅτι πᾶσα ἡ χορηγία τῶν λοιπῶν χαρισμάτων, ὥσπερ ἐν κεφαλῇ, τῇ ἀποστολῇ ἐναπόκειται. Ἆρ' οὐ ψιλὸν ἐνομίζετε τοὔνομα τῶν ἀποστόλων πρὸ τούτου; Ἰδοὺ νῦν ἔγνωτε πόσον βάθος ἔχει νοήματος τὸ ὄνομα. Ταῦτα δὲ εἰρήκαμεν, οὐκ οἰκείας δυνάμεως ἐπίδειξιν ποιούμενοι· οὐ γὰρ ἡμέτερα τὰ λεγόμενα, ἀλλὰ τῆς τοῦ Πνεύματος χάριτος τῶν ῥᾳθυμοτέρων τὴν νωθρίαν διεγειρούσης, ὥστε μηδὲν παρατρέχειν ἁπλῶς.

Εἰκότως ἄρα ὑπατείαν πνευματικὴν ἐκαλέσαμεν τὴν ἀποστολήν. Ἄρχοντες γάρ εἰσιν ὑπὸ Θεοῦ χειροτονηθέντες οἱ ἀπόστολοι· ἄρχοντες, οὐκ ἔθνη καὶ πόλεις διαφόρους λαμβάνοντες, ἀλλὰ πάντες κοινῇ τὴν οἰκουμένην ἐμπιστευθέντες. Καὶ ὅτι ἄρχοντές εἰσι πνευματικοὶ, καὶ τοῦτο ἀποδεῖξαι πειράσομαι, ἵνα μετὰ τὴν ἀπόδειξιν μάθητε, ὅτι τοσούτῳ βελτίους εἰσὶν οἱ ἀπόστολοι τῶν ἀρχόντων τῶν βιωτικῶν, ὅσῳ αὐτοὶ οἱ βιωτικοὶ ἄρχοντες τῶν παίδων τῶν παιζόντων ἀμείνους εἰσί. Πολὺ γὰρ μείζων αὕτη ἐκείνης ἡ ἀρχὴ, καὶ μᾶλλον τὴν ἡμετέραν συνέχει ζωὴν, καὶ ταύτης ἀρθείσης πάντα οἴχεται καὶ διαλέλυται. Τί ποτ' οὖν ἐστιν ἀρχῆς σύμβολον, καὶ τίνα ἔχειν τὸν ἄρχοντα χρή; Δεσμωτηρίου ἐξουσίαν, ὥστε τοὺς μὲν δῆσαι, τοὺς δὲ λῦσαι, τοὺς μὲν ἐκβάλλειν, τοὺς δὲ ἐμβάλλειν κύριός ἐστιν· ἀφεῖναι πάλιν χρημάτων ὀφλήματα, καὶ τοὺς μὲν ἀπολῦσαι ὄντας ὑπευθύνους, τοὺς δὲ κελεῦσαι ἀποδοῦναι κύριός ἐστιν· εἰς θάνατον πάλιν ἀπαγαγεῖν, καὶ ἀπὸ τοῦ θανάτου καλέσαι· μᾶλλον δὲ τοῦτο ἄρχοντος μὲν οὐκ ἔστι, βασιλέως δὲ μόνον· μᾶλλον δὲ οὐδὲ βασιλέως ὁλόκληρόν ἐστι τὸ δῶρον. Οὐ γὰρ ἀπὸ θανάτου καλεῖ τὸν ἀπιόντα, ἀλλ' ἐξ ἀπαγωγῆς μόνον, καὶ ἀπόφασιν μὲν λῦσαι δύναται, ἀπὸ θανάτου δὲ ἀνακαλέσασθαι οὐ δύναται· καὶ τὸ μὲν χεῖρον [a] ἔχει, τοῦ βελτίονος δὲ ἀπεστέρηται. Ἀπὸ τῆς ζώνης δὲ πάλιν δοκιμάζομεν τὸν ἄρχοντα, ἀπὸ τῆς τοῦ κήρυκος φωνῆς, ἀπὸ τῶν ῥαβδούχων, ἀπὸ τοῦ ὀχήματος [b], ἀπὸ τοῦ ξίφους· ταῦτα γὰρ πάντα ἀρχῆς σύμβολα. Ἴδωμεν τοίνυν καὶ τὴν τῶν ἀποστόλων ἀρχὴν, εἰ ταῦτα ἔχει τὰ σύμβολα· ἔχει μὲν, οὐ τοιαῦτα δὲ, ἀλλὰ πολλῷ βελτίονα. Καὶ ἵνα μάθῃς ὅτι ταῦτα μὲν ὀνόματα πραγμάτων, ἐκεῖνα δὲ ἀλήθεια πραγμάτων· ἵνα μάθῃς τὸ μέσον τῶν παιδίων τῶν παιζόντων ἀρχὰς, καὶ τῶν ἀρχῶν τῶν ἐχόντων τὰς ἀρχάς· καὶ, εἰ βούλεσθε, ἀπὸ τοῦ δεσμωτηρίου πρῶτον ἀριθμήσομεν. Καὶ γὰρ εἰρήκαμεν, ὅτι κύριος τοῦ δῆσαι καὶ λῦσαί ἐστιν ὁ ἄρχων. Ὅρα δὴ ταύτην τὴν ἀρχὴν τοὺς ἀποστόλους ἔχοντας. [78] *Ὅσους γὰρ ἂν δήσητε ἐπὶ τῆς γῆς,* φησὶν, *ἔσονται δεδεμένοι ἐν τοῖς οὐρανοῖς· καὶ ὅσους ἂν λύσητε ἐπὶ τῆς γῆς ἔσονται λελυμένοι ἐν οὐρανοῖς.* Εἶδες δεσμωτηρίου, καὶ δεσμωτηρίου ἐξουσίαν· καὶ τὸ μὲν ὄνομα τὸ αὐτὸ, τὸ δὲ πρᾶγμα οὐ τὸ αὐτό. Δεσμὰ, καὶ δεσμά· ἀλλὰ τὰ μὲν ἐπὶ τῆς γῆς, τὰ δὲ ἐν οὐρανῷ. Οὐρανὸς γάρ ἐστιν αὐτοῖς τὸ δεσμωτήριον. Μάθε τοίνυν τὸ μέγεθος τῆς ἀρχῆς. Ἐπὶ τῆς γῆς καθήμενοι φέρουσι τὴν ψῆφον, καὶ τῆς ψήφου ἡ δύναμις διαβαίνει τοὺς οὐρανούς. Καὶ καθάπερ οἱ μὲν βασιλεῖς καθήμενοι ἐν μιᾷ πόλει ψηφίζονται καὶ νομοθετοῦσιν, ἡ δὲ τῶν ψηφισμάτων καὶ τῶν νόμων δύναμις πᾶσαν διατρέχει τὴν οἰκουμένην· οὕτω καὶ τότε, οἱ μὲν ἀπόστολοι ἐν ἑνὶ τόπῳ καθήμενοι ταῦτα ἐνομοθέτουν· ἡ δὲ τῶν νόμων δύναμις, καὶ τῶν δεσμῶν τούτων, οὐχὶ τὴν οἰκουμένην μόνον διέτρεχεν, ἀλλὰ καὶ εἰς αὐτὸ τὸ ὕψος τῶν οὐρανῶν ἀνέβαινεν. Εἶδες δεσμωτήριον, καὶ δεσμωτήριον· τὸ μὲν ἐπὶ γῆς, τὸ δὲ ἐν οὐρανῷ, τὸ μὲν σωμάτων, τὸ δὲ ψυχῶν· μᾶλλον δὲ καὶ ψυχῶν καὶ σωμάτων· οὐ γὰρ σώματα ἐδέσμουν μόνον, ἀλλὰ καὶ ψυχάς.

ε'. Βούλει μαθεῖν πῶς κύριοι ἦσαν καὶ ὀφλήματα ἀφεῖναι; Καὶ γὰρ καὶ ἐνταῦθα πολὺ τὸ διάφορον ὄψει· οὐ γὰρ ὀφλήματα χρημάτων, ἀλλ' ὀφλήματα ἁμαρτημάτων ἀφίεσαν· *Ὧν γάρ,* φησὶν, *ἀφῆτε τὰς ἁμαρτίας, ἀφέωνται αὐτοῖς· καὶ ὧν ἂν κρατῆτε, κεκράτηνται.* Τί μετὰ τοῦτο ἀποδεῖξαι χρὴ, ὅτι καὶ εἰς θάνατον ἔπεμπον, καὶ ἀπὸ θανάτου πάλιν ἐκάλουν, οὐκ ἐξ ἀποφάσεως μόνης, καὶ ἀπαγωγῆς, ἀλλὰ καὶ ἐκ θανάτου τοὺς κειμένους ἤδη καὶ διαφθαρέντας ἀνιστῶντες; Ποῦ τοίνυν κατεδίκασαν; ποῦ δὲ ἀπήλλαξαν θανάτου; Ὁ Ἀνανίας καὶ ἡ Σάπφειρα ἱεροσυλίας ἑάλωσαν· εἰ γὰρ καὶ τὰ ἑαυτῶν ἔκλεψαν χρήματα, ἀλλ' ὅμως ἱεροσυλίας τὸ τόλμημα ἦν· μετὰ γὰρ τὴν ὑπόσχεσιν οὐκ ἔτι ἦν αὐτῶν τὰ χρήματα. Τί οὖν ὁ Ἀπόστολος; Ἄκουσον πῶς, καθάπερ ἐν δικαστηρίῳ καθήμενος, τὸν ἱερόσυλον εἰσάγει, καὶ πεῦσιν προσάγει καθάπερ δικαστὴς, καὶ τότε τὴν ἀπόφασιν ἐπ-

[a] Colb. λῦσαι δύναται· ἀλλ' ἐμβάλλειν μὲν εἰς θάνατον δύναται, ἀπὸ θανάτου δὲ ἀνακαλέσασθαι οὐ δύναται· καὶ τὸ μὲν χεῖρον.

[b] Colb. ἀπὸ τοῦ ὀχήματος, *a curru*, quæ lectio germana ex sequentibus arguitur. Editi σχήματος.

numero quidem unum, varium autem donis, ac diversa possidentem ora, linguasque diversas. Videamus itaque quo pacto Apostolus hoc quoque donum haberet, et alia omnia. De hoc quidem ita loquitur: *Magis quam vos omnes linguis loquor* (1. *Cor.* 14. 18). Vides ut genera linguarum habeat, nec solum habeat, sed majori cum ubertate quam cæteri omnes fideles? Non enim dixit modo, Linguis loqui possum, sed *Magis quam omnes vos linguis loquor*. Prophetiam autem qua præditus erat, illis verbis indicabat, cum diceret: *Spiritus autem manifeste dicit, quod in novissimis temporibus instabunt tempora periculosa* (2. *Tim.* 3. 1. *coll.* 1. *Tim.* 4. 1): porro quæ novissimis temporibus evenient dicere, prophetiam esse nemo ignorat. Et rursus, *Hoc scitote, quod in novissimis temporibus instabunt tempora periculosa* (2. *Tim.* 3. 1): et rursus, *Dico enim vobis in verbo Domini, quoniam in adventu ejus nos qui vivimus, qui residui sumus, non prævenietnus eos, qui dormierunt* (1. *Thess.* 4. 14). Hoc quoque prophetia est. Vides illum et genera linguarum et prophetias habuisse? Vis etiam discere, quo pacto gratias curationum habuerit? Sed hoc fortasse verborum demonstratione non indiget, cum non Apostolos tantum, sed ipsorum etiam vestes gratiis curationum præditas fuisse videamus. Doctorem autem gentium se fuisse multis in locis testatur, ac se toti terrarum orbi subvenisse, et Ecclesias gubernasse. Cum igitur audieris, primum Apostolos, deinde Prophetas, tertio Pastores ac Doctores, gratias curationum, opitulationes, gubernationes, genera linguarum, disce reliquarum gratiarum copiam omnem tamquam in capite in Apostolatu residere. Numquid nudum esse nomen Apostolorum antea censebatis? Ecce, quanta profunditas sensuum hoc ex nomine comprehensa novistis. Hæc autem a nobis dicta sunt, non ut nostram virtutem ostentaremus: neque enim nostra sunt quæ dicuntur, sed gratiæ Spiritus quæ negligentiorum segnitiem excitat, ut nihil temere prætermittat.

Apostolatus Consulatus spiritualis. — Merito igitur spiritualem Consulatum appellavimus Apostolatum. Sunt enim a Deo designati magistratus Apostoli; magistratus, quibus non gentes urbesque variæ tribuuntur, sed quorum omnium fidei simul totus orbis terrarum committitur. Porro magistratus illos esse spirituales demonstrare conabor, ut ex demonstratione intelligatis tanto meliores sæcularibus magistratibus esse Apostolos, quanto ipsi magistratus sæculares ludentibus pueris antecellunt. Multo quippe magistratus iste præstantior est illo, magisque vitam nostram continet, eoque sublato omnia pessumdantur et pereunt. Quodnam igitur est magistratus insigne, et quænam sunt, quæ habere debet hic magistratus? Potestatem in carcerem, sic ut alios vincire compedibus, alios solvere, alios educere, alios possit conjicere: rursus pecuniarum debita dimittere, atque alios qui obnoxii erant absolvere, aliis ut restituant imperare, ex ipsius pendet arbitrio: ad mortem rursus abducere, atque a morte revocare: vel potius hoc magistratus non est, sed Imperatoris solius: vel potius ne Imperatoris quidem est integrum donum. Neque enim revocat a morte defunctum, sed eum tantum, qui abducitur, ac sententiam quidem potest rescindere, sed non potest a morte revocare [1]; atque illud quidem habet quod deterius est, eo vero destitutus est, quod est præstantius. Rursus magistratum ex cingulo æstimamus, ex voce præconis, ex satellitibus, ex curru, ex gladio; hæc enim omnia magistratus sunt insignia. Videamus igitur num Apostolorum etiam magistratus hæc habeat insignia: habet ille quidem, sed non talia, verum multo præstantiora. Atque ut intelligas hæc quidem rerum esse nomina, illa vero rerum veritatem: ut quod sit discrimen intelligas inter pueros qui magistratus ludunt et eos qui magistratus, gerunt; ac si placet, a carcere initium enumerationis ducemus. Diximus enim in potestate situm esse magistratus, ut vinciat et solvat. Vide rursus hoc imperium esse penes Apostolos. *Quoscumque enim ligaveritis super terram*, inquit, *erunt ligati in cælis: et quoscumque solveritis super terram, erunt soluti in cælis* (*Matth.* 18. 18). Vides carceris, et carceris potestatem: et nomen quidem idem, rem autem minime eamdem. Vincula et vincula; sed alia in terra, in cælo alia. Cælum quippe carcer illis est. Cognosce igitur amplitudinem magistratus. In terris sedentes sententiam ferunt, et ad cælos usque penetrat virtus sententiæ. Et quemadmodum Imperatores in una quidem civitate residentes sententiam ferunt, ac leges sanciunt, ac sententiarum legumque vis universum orbem terrarum permeat: sic etiam tum temporis Apostoli quidem uno in loco residentes hæc sanciebant: porro legum virtus et vinculorum istorum non solum orbem terrarum pervadebat, sed ad ipsum cælorum fastigium ascendebat. Vides carcerem et carcerem, alterum in terris, alterum in cælis; alterum corporum, alterum animarum: imo vero et animarum et corporum: neque enim corpora tantum, sed etiam animas vinciebant.

5. *Debita dimittebant Apostoli.* — Vis intelligere, quo pacto in potestate illorum esset et debita dimittere? Siquidem hic quoque multum discriminis offendes; neque enim pecuniarum debita, sed peccatorum debita remittebant. *Quorum enim*, inquit, *remiseritis peccata, remittuntur eis, et quorum retinueritis, retenta sunt* (*Joan.* 20. 23). Quid post hæc opus est ostendere eos ad mortem transmisisse, ac rursus a morte revocasse, non post sententiam tantum latam, et jam abductos ad supplicium liberantes, sed reipsa defunctos et jam exstinctos a mortuis excitantes? Ubi ergo condemnarunt? ubi a morte vindicarunt? Ananias et Sapphira sacrilegii convicti jam fuerant: tametsi enim suas pecunias furati erant, fuit tamen crimen sacrilegii: quandoquidem post promissionem jam non erant illorum pecuniæ. Quid igitur Apostolus? Audi qua ratione, tamquam in judicio considens, sacrilegum ad judicium sistat, et interrogationem tamquam judex adhibeat,

[1] Colb., *sententiam potest rescindere; potest quidem morti tradere, a morte autem revocare non potest.*

ac sententiam deinde pronuntiet. Neque enim ante quam sciscitetur, fert sententiam : quamquam enim manifestum erat delictum, tamen ut nobis qui foris adstamus persuaderet justam a se ferri sententiam, propterea interrogationem adhibet his verbis utens : *Cur implevit satanas cor tuum, ut mentireris Spiritui sancto, et fraudares de pretio agri? Nonne manens tibi manebat, et venumdatum in tua erat potestate? Non es mentitus hominibus, sed Deo* (*Act.* 5. 3. 4). Quid igitur audiens ille sermones istos? Cecidit, et exspiravit. Vides ut gladium etiam habeant Apostoli? Cum dicentem Paulum audiveris, *In omnibus gladium Spiritus, quod est verbum Dei* (*Ephes.* 6. 17), recordare sententiæ istius, quod nusquam gladius sit, et solo verbo sacrilegus percussus ceciderit. Vidisti gladium exacutum ac nudatum? Nusquam ferrum, nusquam capulus, nusquam manus : sed loco manus lingua, verba proferens loco gladii, confestim illum occidit. Post hunc introivit uxor, et occasionem illi excusationis, ansam veniæ præbere voluit : propterea rursus interrogat, *Dic mihi, si tanti agrum vendidistis* (*Act.* 5. 8). Tametsi non tanti venditum sciebat : sed ut ipsam per interrogationem ad pœnitentiam invitaret, ac peccati se condemnaret, et illi veniam impertiret, idcirco eam interrogat : illa tamen in impudentia perseverabat; propterea in consortium supplicii mariti venit. Vides carceris potestatem? vides ut possint ad mortem mittere? Videamus id quod melius est, quo pacto rursus a morte revocent. Tabitha discipula mortua est, quæ multis eleemosynis celebris erat, et ad Apostolos statim curritur. Sciebant enim illos mortis ac vitæ potestatem habere : sciebant cælestem principatum delapsum in terras. Quid ergo Petrus? *Tabitha, surge* (*Act.* 9. 40), inquit. Nullo alio illi opus fuit, non ministris, non famulis; sed ad resurrectionem verba sufficerunt; vocem igitur audivit mors, et retinere mortuam non potuit. Vides quales sint judicum istorum voces? Siquidem externorum judicum voces imbecillæ sunt. Licet enim imperet ex illis quispiam, si famulus non obtemperet, res imperata interrumpitur : hic autem non est opus famulis; tantum dixit, et continuo factum est. Vides eorum carcerem, quod magistratus est insigne : vides, quo pacto peccata dimittant, quo pacto mortem discutiant, quo pacto in vitam revocent. Vis cingulum etiam illorum cognoscere? Siquidem cinctos illos misit Christus non corio, sed veritate; hoc cingulum sanctum et spirituale; propterea dicit : *Succincti lumbos vestros in veritate* (*Ephes.* 6. 14). Spiritualis enim est magistratus, quocirca nihil sensibile quærendum; *Omnis* quippe *gloria filiæ regis ab intus* (*Psalm.* 44. 14).

Carnifices habent Apostoli dæmonas. — Sed quid? num vis carnifices etiam videre? Carnifices sunt, qui reos virgis cædunt, qui in ligno suspendunt, et latera deradunt, qui castigant, qui puniunt. Visne igitur istos videre? Non homines habent, sed ipsum diabolum, et dæmones : qui corpore sunt et carne circumdati, ministras habebant incorporeas virtutes. Audi sane quo pacto cum auctoritate Paulus illis imperaret: siquidem de eo qui fornicatus erat, scribens dicebat : *Tradite hujusmodi satanæ in interitum carnis* (1. *Cor.* 5. 5). Rursus cum alii blasphemarent, hoc ipsum fecit : *Tradidi enim illos*, inquit, *satanæ, ut discant non blasphemare* (1. *Tim.* 1. 20). Quid restat ostendendum? num currus etiam illos habere? Sed ne hæc quidem nobis demonstratio deerit : siquidem Philippum, postquam eunuchum baptizavit, et sacris mysteriis initiavit, cum revertendum illi esset, rapuit ipsum Spiritus, et a deserto translatus Azoti repertus est (*Act.* 8. 39. 40). Vides currum alatum? vides celerius vento vehiculum? Rursus in paradisum pergere Apostolum oportuit, tanta itineris longinquitate, tam immenso dissitum intervallo : tum ille subito raptus illuc nullo negotio et in brevi momento temporis transferebatur (2. *Cor.* 12. 2). Tales igitur currus sunt : vox autem præconis est, et ipsa rursus magistratu digna. Non enim antecedebat illos homo vocem mittens, verum Spiritus gratia, et per miracula demonstratio quavis tuba clariorem vocem mittebat, atque ita viam illis ubique faciebat. Et quemadmodum in multa dignitate ac magnificentia constituti sunt magistratus, nec audent privati passim cum illis misceri : sic in Apostolis accidebat : *Cæterorum* enim, inquit, *nemo audebat se conjungere illis; sed magnificabat eos populus* (*Act.* 5. 13). Vides carceris potestatem, et remittendi debita facultatem, et gladios illos habuisse, cinguloque fuisse præcinctos, curru vectos, vocem præcedere quavis tuba clariorem, et in multa pompa illos fuisse ac splendore decoratos?

6. *Ad nuper illuminatos cohortatio.* — Jam operæ pretium fuerit et omnes illorum res præclare gestas indicare, et quæ illorum in orbem terrarum exstent beneficia. Nam et hoc magistratuum est, ut non honore tantum fruantur, sed et multam sollicitudinem et curam erga subditos præ se ferant. Sed jam plura dicta sunt, quam oportebat. Quocirca ad alium differens ista tractatum, ad eorum cohortationem, qui nuper illuminati sunt, traducere sermonem conabor. Nemo autem consilium existimet intempestivum : jam enim dixi non modo post decem et viginti dies, sed et post decem et viginti annos posse nuper illuminatos vocari eos, qui mysteriis initiati sunt, si vigiles et sobrii fuerint. Qua igitur optima ad illos cohortatione utemur? Si nimirum iis modum nativitatis in memoriam revocemus, et priorem et posteriorem, naturalem ac spiritualem, et quodnam sit inter utramque nativitatem discrimen, ostendamus. Imo vero necesse non est, ut ex nobis illi ista discant : ipse tonitrui filius de his ipsos admonebit, dilectus Christi Joannes. Quid igitur ille dicit? *Quotquot autem receperunt eum, dedit eis potestatem filios Dei fieri* (*Joan.* 1. 12) : deinde priorem illis nativitatem in memoriam revocans, et ex comparatione sanctitatem ac dignitatem præsentis gratiæ declarans, sic ait : *Qui non ex sanguinibus, neque ex voluntate viri, sed ex Deo nati sunt* (*Joan.* 1. 13). Uno verbo nobilitatem illorum expressit. O munda natalia! o spirituales partus! o nova puerperia! sine utero conceptio, sine ventre nativitas, sine carne

άγει. Οὐ γὰρ πρὸ τῆς ἐρωτήσεως ἡ ἀπόφασις· δήλη μὲν γὰρ ἦν ἡ ἁμαρτία· ἀλλ' ἵνα ἡμᾶς τοὺς ἔξωθεν περιεστῶτας πείσῃ, ὅτι δικαίως ἐπάγει τὴν ψῆφον, διὰ τοῦτο ποιεῖται τὴν ἐρώτησιν, οὕτω λέγων· *Διὰ τί ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν σου, ψεύσασθαί σε τὸ Πνεῦμα τὸ ἅγιον, καὶ νοσφίσασθαι ἀπὸ τῆς τιμῆς τοῦ χωρίου; Οὐχὶ μένον σοι ἔμενε, καὶ πραθὲν ἐπὶ τῇ σῇ ἐξουσίᾳ ὑπῆρχεν; Οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ Θεῷ.* Τί οὖν ἀκούων ἐκεῖνος τοὺς λόγους τούτους; Πεσὼν ἐξέψυξεν. Εἶδες πῶς καὶ ξίφος ἔχουσιν οἱ ἀπόστολοι; Ὅταν ἀκούσῃς Παύλου λέγοντος, ὅτι *Ἐπὶ πᾶσι τὴν μάχαιραν τοῦ Πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ*, ἀναμνήσθητι τῆς ἀποφάσεως ταύτης, ὅτι οὐδαμοῦ ξίφος, καὶ τῷ ῥήματι πληγεὶς ὁ ἱερόσυλος ἔπεσεν. Εἶδες μάχαιραν ἠκονημένην καὶ γεγυμνωμένην; Οὐδαμοῦ σίδηρος, οὐδαμοῦ λαβή, οὐδαμοῦ χεῖρες· ἀλλὰ ἀντὶ τῆς χειρὸς ἡ γλῶττα, τὰ ῥήματα ἀντὶ τῆς μαχαίρας ἐξενεγκοῦσα, εὐθέως ἐκεῖνον ἀπέσφαξε. Μετὰ [79] τοῦτον εἰσῆλθεν ἡ γυνή, καὶ ἐβούλετο αὐτῇ δοῦναι πρόφασιν ἀπολογίας, ἀφορμὴν συγγνώμης· διὰ τοῦτο πάλιν ἐρωτᾷ· *Εἰπέ μοι, εἰ τοσούτου τὸ χωρίον ἀπέδοσθε.* Καίτοι γε ᾔδει, ὅτι οὐ τοσούτου· ἀλλ' ἵνα αὐτὴν διὰ τῆς ἐρωτήσεως εἰς μετάνοιαν ἀγάγῃ, καὶ καταγνῷ τῶν ἡμαρτημένων, καὶ μεταδῷ συγγνώμης αὐτῇ, διὰ τοῦτο αὐτὴν ἐρωτᾷ· ἀλλ' ὅμως ἐκείνη μετὰ ταῦτα ἀναισχύντως διέκειτο· διὰ τοῦτο ἐκοινώνησε τῆς τιμωρίας τοῦ ἀνδρός. Εἶδες δεσμωτηρίου δύναμιν; εἶδες πῶς εἰσι κύριοι εἰς θάνατον πέμπειν; Ἴδωμεν καὶ τὸ βέλτιον, πῶς ἀπὸ θανάτου ἀποκαλοῦνται πάλιν. Ἡ Ταβιθά, ἡ μαθήτρια, ἐλεημοσύναις πολλαῖς κομῶσα ἀπέθανε· καὶ δρόμος εὐθέως ἐπὶ τοὺς ἀποστόλους. Ἤδεισαν γὰρ ὅτι καὶ θανάτου καὶ ζωῆς ἐξουσίαν εἶχον· ἤδεισαν τὴν ἄνω ἀρχὴν κάτω κατενεχθεῖσαν. Τί οὖν ἐλθὼν ὁ Πέτρος; *Ταβιθά, ἀνάστηθι*, φησίν. Οὐδεμιᾶς πραγματείας ἐδέησεν αὐτῷ, οὐχ ὑπηρετῶν, οὐ διακόνων· ἀλλ' ἦρκεσε τὰ ῥήματα πρὸς τὴν ἀνάστασιν· ἤκουσε γοῦν τῆς φωνῆς ὁ θάνατος, καὶ οὐκ ἴσχυσε κατασχεῖν τὴν νεκράν. Εἶδες οἷαι τῶν δικαστῶν τούτων αἱ φωναί [a]; Αἱ μὲν γὰρ τῶν ἔξωθεν δικαστῶν ἀσθενεῖς. Κἂν γὰρ ἐπιτάξῃ τις ἐκείνων, ὁ δὲ διακονῶν μὴ ὑπηρετήσῃ, διεκόπη τὸ προσταχθέν· ἐνταῦθα δὲ οὐ δεῖται διακόνων· ἀλλ' εἶπε, καὶ εὐθέως ἐγένετο. Εἶδες αὐτῶν τὸ δεσμωτήριον, ὅπερ ἀρχῆς ἐστι σύμβολον· εἶδες πῶς ἀφιᾶσιν ἁμαρτήματα, πῶς λύουσι θάνατον, πῶς εἰς ζωὴν ἐπανάγουσι. Βούλει μαθεῖν καὶ τὴν ζώνην αὐτῶν; Καὶ γὰρ ἐζωσμένους αὐτοὺς ὁ Χριστὸς ἔπεμψεν, οὐχὶ ἐν δέρματι, ἀλλ' ἐν ἀληθείᾳ· αὕτη ἡ ζώνη ἁγία καὶ πνευματική· καὶ διὰ τοῦτό φησι· *Περιεζωσμένοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ.* Καὶ γὰρ ἡ ἀρχὴ πνευματική, διὸ μηδὲν αἰσθητὸν ζήτει· *Πᾶσα γὰρ ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν.*

Ἀλλὰ τί; βούλει καὶ τοὺς δημίους ἰδεῖν; Δήμιοί εἰσιν οἱ τοὺς ὑπευθύνους μαστίζοντες, προσαρτῶντες τῷ ξύλῳ, διαξαίνοντες τὰς πλευράς, παιδεύοντες, κολάζοντες. Βούλει οὖν τούτους ἰδεῖν; Οὐκ ἀνθρώπους ἔχουσιν, ἀλλ' αὐτὸν τὸν διάβολον, καὶ τοὺς δαίμονας· οἱ σῶμα καὶ σάρκα περικείμενοι, τὰς ἀσωμάτους μάτους εἶχον ὑπηρετούσας δυνάμεις. Ἄκουσον γοῦν πῶς μετὰ αὐθεντίας ἐκείνοις ἐπέταττεν ὁ Παῦλος· περὶ γὰρ τοῦ πεπορνευκότος γράφων ἔλεγε· *Παραδότε τὸν τοιοῦτον τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός.* Πάλιν ἐφ' ἑτέρων βλασφημούντων τὸ αὐτὸ τοῦτο πεποίηκε· *Παρέδωκα γὰρ αὐτούς*, φησί, *τῷ Σατανᾷ, ἵνα παιδευθῶσι μὴ βλασφημεῖν.* Τί λοιπὸν ὑπολέλειπται δεῖξαι; ὅτι καὶ ὀχήματα ἔχουσιν; Ἀλλ' οὐδὲ ταύτης ἀπορήσομεν τῆς ἀποδείξεως· τὸν γὰρ Φίλιππον, ἐπειδὴ τὸν εὐνοῦχον ἐβάπτισε, καὶ πρὸς τὴν ἱερὰν μυσταγωγίαν ἐχειραγώγησεν, ἔδει δὲ αὐτὸν ἐπανελθεῖν, ἥρπασεν αὐτὸν τὸ Πνεῦμα, καὶ εὑρέθη εἰς Ἄζωτον ἀπὸ τῆς ἐρήμου. Εἶδες ὄχημα ὑπόπτερον; εἶδες ζεῦγος ἀνέμου σφοδρότερον; Πάλιν ἔδει τὸν ἀπόστολον εἰς τὸν παράδεισον ὁδεῦσαι, μῆκος οὕτω πολύ, καὶ διάστημα ἄπειρον· κἀκεῖνος πάλιν ἀθρόον ἁρπαγεὶς ἐκεῖ μετεφέρετο [80] ἀπονητί, καὶ ἐν βραχείᾳ καιροῦ ῥοπῇ. Τὰ μὲν οὖν ὀχήματα τοιαῦτα· ἡ δὲ τοῦ κήρυκος φωνή, καὶ αὕτη πάλιν ἀξία τῆς ἀρχῆς. Οὐ γὰρ ἄνθρωπος αὐτῶν προηγεῖτο, φωνὴν ἀφιεὶς, ἀλλ' ἡ τοῦ Πνεύματος χάρις, καὶ ἡ διὰ τῶν θαυμάτων ἀπόδειξις πάσης σάλπιγγος λαμπροτέραν ἠφίει φωνήν· οὕτως αὐτοῖς πανταχοῦ προσοδοποιεῖ. Καὶ καθάπερ οἱ ἄρχοντες ἐν πολλῇ περιφανείᾳ καθεστήκασι, τῶν ἰδιωτῶν οὐ τολμώντων αὐτοῖς ἁπλῶς ἀναμίγνυσθαι· οὕτω καὶ ἐπὶ τῶν ἀποστόλων ἐγίνετο· *Τῶν γὰρ λοιπῶν*, φησίν, *οὐδεὶς ἐτόλμα κολλᾶσθαι αὐτοῖς· ἀλλ' ἐμεγάλυνεν αὐτοὺς ὁ λαός.* Εἶδες δεσμωτηρίου δύναμιν, καὶ ἀφέσεως ὀφλημάτων ἰσχύν, καὶ ξίφος ἔχοντας, καὶ ζώνην ἐζωσμένους, καὶ ὀχήματι ὁδεύοντας, καὶ φωνὴν πάσης σάλπιγγος λαμπροτέραν προηγουμένην αὐτῶν, καὶ ἐν πολλῇ περιφανείᾳ ὄντας;

ς'. Ἀναγκαῖον δὴ καὶ τὰ κατορθώματα αὐτῶν δεῖξαι πάντα, καὶ ὅσα τὴν οἰκουμένην ὤνησαν. Καὶ γὰρ καὶ τοῦτο ἀρχόντων, τὸ μὴ τιμῆς ἀπολαύειν μόνον, ἀλλὰ καὶ πολλὴν ἐνδείκνυσθαι πρὸς τοὺς ἀρχομένους τὴν πρόνοιαν καὶ τὴν προστασίαν. Ἀλλὰ πλείονα τοῦ δέοντος καὶ τὰ εἰρημένα. Διὰ τοῦτο εἰς ἑτέραν ἀναβαλλόμενος ταῦτα διάλεξιν, πρὸς τὴν τῶν νεοφωτίστων παραίνεσιν παραγαγεῖν πειράσομαι λόγον. Μηδεὶς δὲ ἄκαιρον νομιζέτω τὴν συμβουλήν. Καὶ γὰρ ἔφθην εἰπὼν, ὅτι οὐ μετὰ δέκα καὶ εἴκοσι ἡμέρας μόνον, ἀλλὰ καὶ μετὰ δέκα καὶ εἴκοσι ἔτη δυνατὸν νεοφωτίστους καλεῖν τοὺς μεμυημένους, ἐὰν νήφωσι. Τίς οὖν ἂν γένοιτο πρὸς τούτους ἀρίστη παραίνεσις; Εἰ τοῦ τρόπου τῆς γεννήσεως αὐτοὺς ἀναμνήσαιμεν, καὶ τοῦ προτέρου, καὶ τοῦ δευτέρου, τοῦ φυσικοῦ, καὶ τοῦ πνευματικοῦ, καὶ τί τὸ μέσον ἑκατέρας τῆς γεννήσεως δείξαιμεν. Μᾶλλον δὲ οὐ δεῖ παρ' ἡμῶν αὐτοὺς ταῦτα μανθάνειν· αὐτὸς ὁ τῆς βροντῆς υἱὸς περὶ τούτων αὐτοῖς διαλέξεται, ὁ ἀγαπητὸς τοῦ Χριστοῦ Ἰωάννης. Τί οὖν ἐκεῖνός φησιν; *Ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι*· εἶτα ἀναμιμνήσκων αὐτοὺς τῆς προτέρας γεννήσεως, καὶ ἐκ συγκρίσεως τὸ σεμνὸν τῆς παρούσης χάριτος ἐνδεικνύμενος, οὕτω φησί· *Οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν.* Ἑνὶ ῥήματι αὐτῶν ἔδειξε τὴν εὐγένειαν. Ὦ καθαρῶν ὠδίνων! ὦ πνευματικῶν τόκων! ὦ καινῶν λοχευμάτων! χωρὶς μήτρας τίκτεται, χωρὶς γαστρὸς γέννησις, χωρὶς σαρ-

[a] Colb. αἱ φωναί. Editi male ζῶναι.

κὸς τόκος, τόκος πνευματικὸς, τόκος ἐκ χάριτος καὶ φιλανθρωπίας Θεοῦ, τόκος εὐφροσύνης γέμων καὶ χαρᾶς. Ἀλλ' οὐ τοιοῦτος ὁ πρότερος, ἀλλ' ἀπὸ θρήνων ἔχει τὴν ἀρχήν. Τὸ γὰρ παιδίον ἐκ τῆς μήτρας ὀλισθαῖνον καὶ ἐκ τῆς νηδύος καταφερόμενον, πρώτην φωνὴν μετὰ δακρύων ἐκβάλλει, καθάπερ τίς φησι· *Πρώτην φωνὴν τὴν ὁμοίαν ἅπασιν ἴσα κλαίων*. Διὰ θρήνων γὰρ ἡ εἴσοδος εἰς τὸν βίον, διὰ δακρύων προοίμια, τῆς φύσεως τὸ μέλλον ὀδυνηρὸν προαναφωνούσης. Τί κλαίει τὸ παιδίον εἰς φῶς ἐλθόν; Διὰ τοῦτο· πρὸ μὲν τῆς ἁμαρτίας ἔλεγεν ὁ Θεὸς, *Αὐξάνεσθε, καὶ πληθύνεσθε*, ὅπερ εὐλογίας ἦν· τὸ δὲ, *Ἐν λύπαις τέξῃ τέκνα*, μετὰ τὴν ἁμαρτίαν, ὅπερ τιμωρίας ἦν. Οὐ δάκρυα δὲ ἐν τῇ γεννήσει μόνον, ἀλλὰ [81] καὶ σπάργανα καὶ δεσμά· δάκρυα ἐν τῇ γεννήσει, δάκρυα ἐν θανάτῳ· σπάργανα ἐν γεννήσει, σπάργανα ἐν θανάτῳ· ἵνα μάθῃς ὅτι πρὸς θάνατον ἡ ζωὴ αὕτη τελευτᾷ, καὶ πρὸς ἐκεῖνο καταστρέφει τὸ τέλος. Ἀλλ' οὐχ ἡ γέννησις αὕτη. Οὐδαμοῦ δάκρυα καὶ σπάργανα, ἀλλὰ λελυμένος ὁ γεννηθεὶς, καὶ πρὸς ἀγῶνας παρεσκευασμένος· διὰ τοῦτο ἄφετοι οἱ πόδες καὶ αἱ χεῖρες, ἵνα τρέχῃ καὶ πυκτεύῃ· οὐδαμοῦ θρῆνος, οὐδαμοῦ δάκρυα ἐνταῦθα, ἀλλ' ἀσπασμοὶ, καὶ φιλίαι, καὶ περιπλοκαὶ τῶν ἀδελφῶν τὸ οἰκεῖον μέλος ἐπιγινωσκόντων, καὶ ὥσπερ ἐκ μακρᾶς ἀπολαβόντων ἀποδημίας. Ἐπειδὴ γὰρ πρὸ τοῦ φωτίσματος ἐχθρὸς ἦν, μετὰ δὲ τὸ φώτισμα γέγονε φίλος τοῦ κοινοῦ πάντων ἡμῶν Δεσπότου, διὰ τοῦτο πάντες συνηδόμεθα· διὰ τοῦτο καὶ τὸ φίλημα εἰρήνη καλεῖται, ἵνα μάθωμεν ὅτι πόλεμον κατέλυσεν ὁ Θεὸς, καὶ πρὸς τὴν οἰκείωσιν ἐπανήγαγε τὴν ἑαυτοῦ. Ταύτην οὖν τηρῶμεν διηνεκῶς, ταύτην φυλάττωμεν τὴν εἰρήνην, ταύτην ἐκτείνωμεν τὴν φιλίαν, ἵνα καὶ τῶν αἰωνίων ἐπιτύχωμεν σκηνῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ δόξα, τιμὴ, κράτος, ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὅτι οὐκ ἀκίνδυνον τοῖς ἀκροαταῖς τὸ σιγᾶν τὰ λεγόμενα ἐν ἐκκλησίᾳ, καὶ τίνος ἕνεκεν αἱ Πράξεις ἐν τῇ Πεντηκοστῇ ἀναγινώσκονται, καὶ διὰ τί οὐκ ἔδειξε πᾶσιν ἑαυτὸν ἀναστὰς ὁ Χριστὸς, καὶ ὅτι τῆς ὄψεως σαφεστέραν παρέσχε τὴν τῆς ἀναστάσεως ἀπόδειξιν τὴν διὰ τῶν σημείων τῶν ἀποστόλων.

—

α'. Τὸ μὲν πλέον τοῦ χρέους τοῦ συντεθέντος ἡμῖν ὑπὸ τῆς ἐπιγραφῆς τῶν Πράξεων τῶν ἀποστολικῶν ἐν ταῖς ἔμπροσθεν ὑμῖν κατεβάλομεν ἡμέραις· ἐπειδὴ δὲ ἔτι μικρὸν ἐναπέμεινε λεῖψανον, ἀνέστην καὶ τοῦτο κατα-θήσων ὑμῖν σήμερον. Εἰ δὲ μετ' ἀκριβείας φυλάττετε τὰ εἰρημένα, καὶ μετὰ πολλῆς κατέχετε σπουδῆς, ὑμεῖς ἂν εἰδείητε οἱ τὸ ἀργύριον ὑποδεξάμενοι, καὶ τῶν ἀργυρίων τούτων μέλλοντες τὸν λόγον διδόναι τῷ Δεσπότῃ κατὰ τὴν ἡμέραν ἐκείνην, ὅταν οἱ τὰ τάλαντα πιστευθέντες καλῶνται, καὶ τὰς εὐθύνας ὑπέχωσιν· ὅταν ἐλθὼν ὁ Χριστὸς ἀπαιτῇ τοὺς τραπεζίτας τὸ ἀργύριον τοῦτο μετὰ τῶν τόκων. *Ἔδει γάρ σε*, φησὶ, *καταβαλεῖν τὸ ἀργύριόν μου ἐπὶ τοὺς τραπεζίτας, καὶ ἐγὼ ἐλθὼν μετὰ τόκου ἂν ἀπήτησα αὐτό*. Ὦ τῆς πολλῆς καὶ ἀφάτου φιλανθρωπίας τοῦ Δεσπότου! Ἀνθρώπους κωλύων ἀπαιτεῖν τόκους, αὐτὸς ἀπαιτεῖ τόκους. Διὰ τί; Ἐπειδὴ ἐκεῖνος ὁ τόκος διαβεβλημένος ἐστὶ καὶ κατηγορίας ἄξιος· οὗτος δὲ ἐπαινετὸς καὶ πολλῆς ἀποδοχῆς ἐστιν ἄξιος. Ἐκεῖνος τοίνυν ὁ τόκος, ὁ τῶν χρημάτων λέγω, καὶ τὸν λαμβάνοντα, καὶ τὸν διδόντα ζημιοῖ, καὶ τοῦ μὲν λαμβάνοντος ἀπόλλυσι τὴν ψυχὴν, τοῦ δὲ διδόντος [82] ἐπιτρίβει τὴν πενίαν. Τί γὰρ ἂν γένοιτο χαλεπώτερον, ἀλλ' ἢ ὅταν τις τὴν πενίαν τοῦ πλησίον ἐμπορεύηται, καὶ τὰς τῶν ἀδελφῶν πραγματεύηται συμφοράς; ὅταν τις προσωπεῖον φιλανθρωπίας ἔχων πᾶσαν ἀπανθρωπίαν ἐπιδείκνυται, καὶ ὁ χεῖρα [a] μέλλων ὀρέγειν πρὸς τὸ βάραθρον ὠθῇ τὸν βοηθείας δεόμενον; Τί ποιεῖς, ἄνθρωπε; Οὐ διὰ τοῦτο πρὸς σὰς ἦλθε θύρας ὁ πένης, ἵνα αὐξήσῃς αὐτοῦ τὴν πενίαν, ἀλλ' ἵνα λύσῃς αὐτοῦ τὴν πενίαν· σὺ δὲ ταυτὸν ποιεῖς, οἷον οἱ τὰ δηλητήρια κεραννύντες φάρμακα· καὶ γὰρ ἐκεῖνοι τὴν συνήθη τροφὴν αὐτοῖς ἀναμίξαντες ἀνεπαίσθητον ποιοῦσι τὴν ἐπιβουλὴν, καὶ οὗτοι φιλανθρωπίας προσχήματι τῶν τόκων τὸν ὄλεθρον κρύψαντες, οὐκ ἐῶσιν αἰσθέσθαι τῆς βλάβης τοὺς μέλλοντας πίνειν τὸ θανάσιμον τοῦτο φάρμακον. Διόπερ εὔκαιρον, ὃ περὶ τῆς ἁμαρτίας εἴρηται, καὶ περὶ τῶν τοκιζόντων καὶ δανειζομένων εἰπεῖν. Τί δὲ περὶ τῆς ἁμαρτίας εἴρηται; *Πρὸς καιρὸν*, φησὶ, *γλυκαίνει τὸν λάρυγγα, ὕστερον δὲ πικρότερον χολῆς εὑρήσεις, καὶ ἠκονημένον μᾶλλον μαχαίρας διστόμου*. Τοῦτο τοίνυν καὶ ἐπὶ τῶν δανειζομένων γίνεται· ὅταν μὲν γὰρ λαμβάνῃ τὰ χρήματα ὁ δεόμενος, παραμυθίαν λαμβάνει μικράν τινα καὶ πρόσκαιρον· ὕστερον δὲ τῶν τόκων αὐξομένων, καὶ τοῦ φορτίου μείζονος τῆς δυνάμεως γενομένου, ἐκεῖνο τὸ γλυκὺ καὶ λιπάναν τὸν λάρυγγα πικρότερον χολῆς ὄψεται γινόμενον, καὶ ἠκονημένον μᾶλλον μαχαίρας διστόμου, τῶν πατρῴων πάντων ἀποστῆναι ἀθρόον ἀναγκαζόμενος.

β'. Ἀλλ' ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὰ πνευματικὰ τὸν λόγον μετάγωμεν. *Ἔδει σε*, φησὶ, *καταβαλεῖν τὸ ἀργύριόν μου ἐπὶ τοὺς τραπεζίτας*, ἐκείνου τοῦ ἀργυρίου τραπεζίτας ὑμᾶς καλῶν τοὺς τῶν ῥημάτων τούτων ἀκροατάς. Καὶ τίνος ἕνεκεν τραπεζίτας ὑμᾶς ἐκάλεσεν ὁ Θεός; Παιδεύων ἅπαντας τὴν αὐτὴν σπουδὴν ἐπιδείκνυσθαι περὶ τὴν δοκιμασίαν τῶν λεγομένων, ὅσην ἐκεῖνοι σπουδὴν ἔχουσι περὶ τὴν ἐξέτασιν καὶ εἴσοδον τῶν νομισμάτων. Καθάπερ γὰρ οἱ τραπεζῖται τὸ μὲν κίβδηλον καὶ παράσημον ἐκβάλλουσι νόμισμα, τὸ δὲ δόκιμον καὶ ὑγιὲς δέχονται, καὶ διακρίνουσι τὸ νόθον ἀπὸ τοῦ γνησίου· οὕτω καὶ σὺ ποίησον, καὶ μὴ πάντα παραδέχου λόγον, ἀλλὰ τὸν μὲν κίβδηλον καὶ διεφθαρμένον ἔκβαλλε ἀπὸ σοῦ. τὸν δὲ ὑγιῆ καὶ σωτηρίαν ἔχοντα παράπεμπε τῇ διανοίᾳ. Ἔστι γὰρ, ἔστι καὶ σοὶ ζυγὰ καὶ στάθμια

[a] Colb. καὶ ὡς χεῖρα.

partus, partus spirituales, partus ex gratia et benignitate Dei, partus lætitiæ plenus et gaudii. At ille prior talis minime fuit, sed a lamentis initium duxit. Siquidem ubi prodiit infans ex utero et ex alvo dejectus est, primam cum lacrymis vocem mittit, prout dixit quispiam : *Primam vocem similem omnibus æque plorans* (*Sap.* 7. 3). Per lamenta siquidem ingressus in vitam, per lacrymas exordia, dum futuras molestias natura prænuntiat. Cur plorat infans cum exit in lucem? Hac de causa : ante peccatum quidem dicebat Deus, *Crescite, et multiplicamini* (*Gen.* 1. 28), quod erat benedictionis : illud autem, *In dolore paries filios* (*Gen.* 3. 16), post peccatum dictum est, quod erat pœnæ. Neque vero lacrymæ in nativitate tantum, sed et fasciæ et vincula : lacrymæ in nativitate, lacrymæ in morte : fasciæ in nativitate, fasciæ in morte : ut intelligas vitam hanc in mortem desinere, et illo fine terminari. Sed talis non est hæc nativitas. Nusquam lacrymæ et fasciæ, sed solutus est qui nascitur, et ad certamen paratus : propterea sunt etiam liberi pedes, et manus, ut et currat et pugnet : nusquam lamenta, nusquam lacrymæ hic, sed salutationes et oscula, et amplexus fratrum qui suum membrum agnoscunt, et tamquam ex longinqua reversum peregrinatione recipiunt. Nam quoniam ante baptismum inimicus erat, post baptismum autem amicus est factus communis omnium nostrum Domini, propterea gratulamur omnes ; idcirco etiam osculum pax vocatur, ut discamus a Deo finitum esse bellum, et nos in amicitiam ejus receptos esse. Hanc igitur perpetuo conservemus, hanc pacem foveamus, hanc amicitiam augeamus, ut æterna quoque tabernacula consequamur, gratia et benignitate Domini nostri Jesu Christi, per quem et cum quo Patri gloria, honor, imperium, una cum sancto ac vivifico Spiritu, nunc et semper, et in sæcula sæculorum. Amen.

PERICULO NON CARERE, SI AUDITORES EA TACEANT, QUÆ IN ECCLESIA DICUNTUR, ET CUJUS REI GRATIA LEGANTUR ACTA APOSTOLORUM IN PENTECOSTE; ET CUR SEIPSUM NON OMNIBUS CHRISTUS OSTENDERIT, CUM SURREXISSET A MORTUIS; EUMQUE MULTO CLARIOREM IPSO CONSPECTU DEMONSTRATIONEM EXHIBUISSE RESURRECTIONIS PER MIRACULA, QUÆ SUNT AB APOSTOLIS EDITA (*a*).

1. *Usuram doctrinæ acceptæ exigit Deus. Usuras qui exigunt quam iniqui sint.* — Majorem debiti partem, quod ex occasione inscriptionis Actorum Apostolorum contraximus, superioribus vobis diebus exsolvimus : sed quoniam modicum adhuc reliquiarum quippiam restat, hoc quoque vobis hodierno die numeraturus exsurgo. An vero diligenter ea, quæ dicta sunt, conservetis, et studiose memoria teneatis, vos scitis qui pecunias accepistis, et a quibus istarum pecuniarum rationem in illo die exiget Dominus, cum illi, quorum fidei talenta commissa sunt, vocabuntur, et rationem reddent : cum Christus adveniet, et a numulariis hanc pecuniam exiget cum usuris. *Oportuit* enim, inquit, *te committere pecuniam meam numulariis, et veniens ego cum usura exegissem illam* (*Matth.* 25. 27). O magnam et ineffabilem Domini benignitatem! Qui hominibus prohibet usuras ne exigant, ipse exigit usuras. Quid ita? Quoniam damnanda est usura illa et accusationi obnoxia ; hæc autem laudabilis et commendatione digna. Itaque usura illa, pecuniarum, inquam, et eum qui accipit, et eum qui solvit, damno afficit : siquidem et ejus qui accipit, animam perdit, et ejus qui solvit, egestatem affligit. Quid enim crudelius fieri potest, quam cum ex proximi egestate quispiam quæstum facit, et in fratrum calamitatibus lucra sectatur? cum quis benignitatis larvam gestans, inhumanitatem omnem exercet, et qui porrigere manum debuerat, eum in barathrum propellit, qui subsidio indigebat? Quid facis, mi homo? Non idcirco ad tuas appulit fores pauper, ut ipsius augeas paupertatem, sed ut ipsum liberes paupertate : at tu perinde agis, atque illi qui venena miscent : quandoquidem ipsi dum illa consuetis cibis admiscent, occultas ita parant insidias : isti quoque dum benignitatis specie perniciosam usuram occultant, damni sui sensum capere non sinunt eos, qui letiferum illud sunt venenum hausturi. Quamobrem id quod de peccato dictum est, opportune poterit et de illis qui fœnori dant, et mutuum accipiunt, efferri. Quid porro dictum est de peccato? *Ad tempus*, inquit, *mulcet fauces tuas : postea vero amarius illud felle invenies, et magis acutum, quam gladium ancipitem* (*Prov.* 5. 3. 4). Hoc igitur et in iis accidit, qui fœnore accipiunt : siquidem cum pecunias accipit qui eis indiget, exiguo quopiam solatio ad tempus fruitur : postea vero ubi fœnus accrevit, et majus viribus factum est onus, dulce illud quod fauces impinguaverat, felle amarius sentiet factum esse, atque acutius gladio ancipiti, statimque bonis omnibus paternis cedere cogetur.

2. Verum enimvero a sensilibus ad ea quæ spiritualia sunt orationem traducamus. *Oportuit*, inquit, *te committere pecuniam meam numulariis* (*Matth.* 25. 27), illius pecuniæ numularios vos appellans verborum istorum auditores. Quam vero ob causam numularios vos Deus appellavit? Ut omnes doceat ad examinanda ea, quæ dicuntur, idem studium conferre, quod illi adhibent, cum exploranda vel inferenda sunt numismata. Nam ut numularii adulterinum et perperam signatum numisma repudiant, probum et integrum admittunt, et adulteratum a gemino distinguunt : ita fac tu quoque, neque sermonem quemvis admitte, sed adulterinum quidem, corruptumque abs te rejice, integrum autem et salutarem in tuam mentem admitte. Sunt enim, sunt etiam tibi stateræ

(*a*) Collata cum Ms. Colbert. 3038, in quo innumera menda. Hæc Homilia deest in Editione Savilii.

ac trutinæ, non ex ære ferroque conflatæ, sed ex morum castimonia et fide compositæ, atque his omnem sermonem examina. Propterea namque dixit, Estote probi trapezitæ, non ut in foro stantes pecunias numeretis, sed ut omni adhibito studio sermones examinetis : propterea Paulus quoque dixit apostolus, *Omnia probate, quod autem bonum est, tenete solum* (1. *Thess.* 5. 21). Neque vero propter explorationem tantum trapezitas appellavit, sed et propter eorum, quæ commissa sunt, distributionem. Nam et trapezitæ si pecunias acceptas tantum domi recludant, neque in alios illas distribuant, totus illis quæstus peribit; atque idem accidit auditoribus. Si enim acceptam doctrinam apud te concludas, nec in alios diffundas, tota tibi in nihilum recidet negotiatio. Propterea in illis quotidie videmus officinis homines ultro citroque commeare. Hoc igitur et in doctrina servetur : Siquidem apud numularios illos alios videmus pecunias committere, alios accipere statim et abire, idque toto die fieri quivis potest cernere. Hinc fit, ut quamvis propriæ minime sint illis pecuniæ, quia tamen ad ea, quæ necessaria sunt, illis utuntur, multum ex alienis lucrum colligatur. Ita fac tu quoque. Non sunt tua hæc eloquia, sed Spiritus sancti : si tamen illis probe uti noveris, multum tibi spirituale lucrum congeres : idcirco et Deus vos numularios appellavit. Cur autem sermonem pecuniam appellavit? Quod nimirum quemadmodum pecunia perfecta regis effigie insignita est (nisi enim eam expressam habeat, proba pecunia non est, sed dicitur adulterina), sic et doctrinam fidei figuram ac notam sermonis oportet perfectam habere. Rursus pecuniarum usus vitam omnem nostram continet, et contractuum omnium occasionem præbet, et seu sit emendum quidpiam, seu vendendum, per has cuncta peragimus. Hoc idem fit in doctrina, siquidem spiritualium occasio contractuum et radix est spiritualis hæc pecunia : quo fit, ut si quid a Deo cœmere voluerimus, numerato prius precum sermone, tum demum illud accipiamus, quod postulamus. Quod si negligentem fratrem videamus, atque pereuntem, si tamquam pecuniam doctrinæ sermonem numeraverimus, salutem ipsius lucrabimur, et vitam ememus.

Doctoris munere quisque fungi potest, quomodo. — Quam ob causam omni ope conatuque curandum est, ut omnia conservemus, ac memoria teneamus, ut in alios illa distribuamus, siquidem a nobis quoque usuræ pecuniarum istarum exiguntur. Attendamus igitur, dum eas recepimus, ut et in alios distribuere pecunias possimus; quandoquidem si velit, unusquisque nostrum docendi est præditus facultate. Non potes tantam Ecclesiam corrigere; at potes uxorem tuam monere. Non potes tantam alloqui multitudinem; at filium tuum potes ad saniorem mentem reducere. Non potes ad tantum populum doctrinæ sermonem dirigere; at potes servum tuum ad meliorem frugem revocare. Non excedit vires tuas discipulorum cœtus ille : non excedit sapientiam tuam modus ille doctrinæ : sed et facilius quam nos ipsi, vos illos omnes potestis emendare. Ego enim semel aut plurimumque in hebdomada vobiscum iterum versor, at tu perpetuo discipulos intra privatos parietes habes, et uxorem, et liberos, et servos, et vesperi, et in mensa, et toto die potes illos corrigere. Aliunde quoque facilior fit ista curatio, siquidem ego, dum tantam alloquor multitudinem, quinam morbus animam vestram divexet, ignoro; quapropter singulis in collectis omnia cogor medicamenta proponere; vos vero non ita facere necesse est, sed minori vobis cum labore licet amplioris fructum correctionis decerpere; vobis quippe probe nota sunt eorum peccata, qui sub eodem tecto vobiscum degunt : quocirca et celerius potestis medicinam adhibere.

3. Ne igitur, dilectissimi, contubernalium nostrorum curam omittamus, siquidem maxima pœna suppliciumque paratum est immensum illis, qui domesticos suos neglexerint. *Si quis enim*, inquit Paulus, *suorum, et maxime domesticorum curam non habet, fidem negavit, et est infideli deterior* (1. *Tim.* 5. 8). Vides, quo pacto Paulus eos feriat, qui domesticorum curam negligunt? Et quidem merito : qui enim domesticos suos negligit, inquit, quomodo alienos curabit? Scio me hac apud vos cohortatione frequenter usum esse, nec umquam uti desinam, tametsi deinceps innocens ego sum ab aliorum negligentia : *Oportuit* enim, inquit, *te pecuniam meam committere numulariis (Matth.* 25. 27), nec amplius quidquam requirit. Ego vero et pecuniam commisi, neque rationi ulli reddendæ sum obnoxius : verumtamen quantumvis innoxius sim, et a supplicio huic crimini proposito liberatus, tamquam pœnæ supplicioque obnoxius, ita salutis vestræ causa metuo et contremisco.

Cur longioribus exordiis utatur Chrysostomus. — Nemo igitur temere ac perfunctorie spirituales sermones auscultet : neque enim frustra et sine causa prolixa præmittuntur a me exordia, sed ut exactior eorum, quæ committuntur, fiat custodia : ne ubi temere aut incassum applauseritis, ac tumultuati fueritis, domum recedatis. Nihil enim ego vestras laudes curo, sed de vestra salute sum sollicitus. Nam illi quidem, qui in theatro certant, hujus rei mercedem a populo laudem accipiunt : nos vero hac de causa in hanc arenam non descendimus, sed ut propositam huic rei mercedem a Domino recipiamus. Propterea vos ad hoc frequenter adhortamur, ut ea, quæ dicuntur, in vestris mentibus alte defigantur. Ut enim plantæ, quæ profundas radices egerint, nullis ventorum incursibus concuti possunt : ita Scripturæ sententiæ quo altius fuerint in mente defixæ, minus facile negotiorum incursibus evelluntur. Dic enim, quæso, carissime, si filium fame confectum videres, an eum posses contemnere, neque omnia potius ferenda censeres, ut ejus posses famem mitigare? Ergone panis fame divexatum non despiceres, divinæ autem doctrinæ fame pereuntem potes contemnere? Quo pacto igitur dignus fueris, ut pater voceris? Siquidem multo gravior illa est hæc fames, quanto funestiorem in mortem desinit, unde majus in hoc studium conferendum est. *Educate* enim, inquit, *filios vestros in di-*

οὐκ ἀπὸ χαλκοῦ καὶ σιδήρου κατεσκευασμένα, ἀλλ' ἀπὸ ἁγνείας καὶ πίστεως συγκείμενα, καὶ διὰ τούτων δοκίμαζε λόγον ἅπαντα. Καὶ γὰρ διὰ τοῦτό φησι, Γίνεσθε τραπεζῖται δόκιμοι, οὐχ ἵνα ἐπὶ τῆς ἀγορᾶς ἑστῶτες τὰ ἀργύρια ἀριθμῆτε, ἀλλ' ἵνα τοὺς λόγους βασανίζητε μετὰ ἀκριβείας ἁπάσης· διὰ τοῦτο καὶ ὁ ἀπόστολος Παῦλός φησι· *Πάντα δοκιμάζετε, τὸ καλὸν δὲ κατέχετε μόνον.* Οὐ διὰ τὴν δοκιμασίαν δὲ μόνον ὑμᾶς τραπεζίτας ἐκάλεσεν, ἀλλὰ καὶ διὰ τὴν τῶν καταβαλλομένων νομήν. [83] Καὶ γὰρ τοῖς τραπεζίταις, ἐὰν μόνον ὑποδεχόμενοι τὰ χρήματα κατακλείωσιν οἶκοι, μηκέτι δὲ εἰς ἑτέρους διανέμωτιν, ἅπαν τὸ τῆς ἐμπορίας οἰχήσεται· οὕτω καὶ ἐπὶ τῶν ἀκροατῶν τὸ αὐτὸ τοῦτο γίνεται. Ἂν γὰρ δεξάμενος τὴν διδασκαλίαν παρὰ σαυτῷ κατασχῇς, μηκέτι δὲ εἰς ἑτέρους ἐκβάλῃς, πᾶσά σου ἡ πραγματεία διαρρυήσεται. Διὰ τοῦτο ἐπὶ τῶν ἐργαστηρίων ἐκείνων διὰ πάσης ἡμέρας εἴσοδόν τε καὶ ἔξοδον γινομένην ὁρῶμεν. Τοῦτο τοίνυν καὶ ἐπὶ τῆς διδασκαλίας γινέσθω. Καὶ γὰρ καὶ ἐπὶ τῶν τραπεζιτῶν ἐκείνων ὁρῶμεν τοὺς μὲν καταβάλλοντας χρήματα, τοὺς δὲ λαμβάνοντας εὐθέως, καὶ ἀπιόντας, καὶ τοῦτο διὰ πάσης ἡμέρας γινόμενον ἴδοι τις ἄν. Διὰ τοῦτο, καίτοι τῶν χρημάτων οὐκ ὄντων αὐτοῖς οἰκείων, ἐπειδὴ τῇ χρήσει πρὸς τὸ δέον κέχρηνται, διὰ τῶν ἀλλοτρίων πολλὴν ἑαυτοῖς συλλέγουσι τὴν εὐπορίαν. Οὕτω καὶ σὺ ποίησον. Οὐκ ἔστι ταῦτα τὰ λόγια σά, ἀλλὰ τοῦ Πνεύματος· ἀλλ' ὅμως ἐὰν ἀρίστην ἐπιδείξῃ τὴν χρῆσιν, πολλὴν ἑαυτῷ συνάξεις τὴν εὐπορίαν τὴν πνευματικήν· διὰ τοῦτο καὶ τραπεζίτας ὑμᾶς ἐκάλεσεν ὁ Θεός. Τίνος δὲ ἕνεκεν ἀργύριον τὸν λόγον ἐκάλεσεν; Ἐπειδὴ καθάπερ τὸ ἀργύριον τὸν χαρακτῆρα ἔχει ἀπηρτισμένον τὸν βασιλικὸν (κἂν γὰρ μὴ τοῦτον ἔχῃ, οὐκ ἔστιν ἀργύριον δόκιμον, ἀλλὰ κίβδηλον καλεῖται), οὕτω καὶ τὴν διδασκαλίαν τῆς πίστεως τὸν χαρακτῆρα τοῦ λόγου ἀπηρτισμένον ἔχειν δεῖ. Πάλιν τῶν ἀργυρίων ἡ χρῆσις πᾶσαν ἡμῶν συγκροτεῖ τὴν ζωήν, καὶ συμβολαίων ἁπάντων ὑπόθεσις γίνεται, κἂν ἀγοράσαι τι, κἂν πωλῆσαι δέῃ, διὰ τούτων ἅπαντα πράττομεν. Τοῦτο καὶ ἐπὶ τῆς διδασκαλίας γίνεται· τῶν γὰρ συμβολαίων πνευματικῶν ὑπόθεσίς ἐστι καὶ ῥίζα τὸ ἀργύριον τοῦτο τὸ πνευματικόν· ὅθεν κἂν παρὰ τοῦ Θεοῦ τι βουληθῶμεν ἀγοράσαι, τὸν λόγον τῆς εὐχῆς καταβαλόντες πρῶτον, οὕτω λαμβάνομεν ἅπερ αἰτοῦμεν. Κἂν ἀδελφὸν ἴδωμεν ἡμελημένον καὶ ἀπολλύμενον, τὴν σωτηρίαν αὐτοῦ κερδήσομεν, καὶ τὴν ζωὴν ἀγοράσομεν, τὸν λόγον τῆς διδασκαλίας καταβάλλοντες.

Διὸ χρὴ μετὰ ἀκριβείας ἁπάσης φυλάττειν καὶ κατέχειν ἅπαντα, ἵνα καὶ εἰς ἑτέρους αὐτὰ διανείμωμεν· καὶ γὰρ καὶ τόκους τῶν ἀργυρίων τούτων ἀπαιτούμεθα. Προσέχωμεν τοίνυν τῇ ὑποδοχῇ, ἵνα καὶ εἰς ἑτέρους διανεῖμαι δυνηθῶμεν τὰ ἀργύρια· καὶ γὰρ ἕκαστος, ἐὰν θέλῃ, δύναμιν ἔχει διδασκαλίας. Οὐ δύνασαι Ἐκκλησίαν ὀρθῶσαι τοσαύτην· ἀλλὰ δύνασαι τὴν γυναῖκα τὴν σὴν νουθετῆσαι. Οὐ δύνασαι πρὸς πλῆθος τοσοῦτον διαλεχθῆναι· ἀλλὰ τὸν υἱόν σου σωφρονίσαι δύνασαι. Οὐ δύνασαι πρὸς δῆμον τηλικοῦτον τὸν λόγον ἀποτεῖναι διδασκαλίας· ἀλλὰ τὸν οἰκέτην σου βελτίονα ἐργάσασθαι δύνασαι Οὐκ ἔστι σου μείζων τῆς δυνάμεως ἐκεῖνος τῶν μαθητῶν ὁ σύλλογος· οὐκ ἔστι σου πλέον τῆς συνέσεως ἐκεῖνο τῆς διδασκαλίας τὸ μέτρον, ἀλλὰ καὶ ἡμῶν εὐκολώτερον ὑμεῖς ἐκείνους πάντας ῥυθμίζειν δύνασθε. Ἐγὼ μὲν γὰρ ὑμῖν ἅπαξ τῆς ἑβδομάδος συγγίνομαι, ἢ καὶ δεύτερον πολλάκις· σὺ δὲ διαπαντὸς ἔνδον ἔχεις τῆς οἰκίας τοὺς μαθητάς, καὶ τὴν γυναῖκα, καὶ τὰ παιδία, καὶ τοὺς οἰκέτας, καὶ ἐν ἑσπέρᾳ, καὶ ἐν τραπέζῃ, καὶ διὰ πάσης ἡμέρας δύνασαι διορθοῦν αὐτούς. Καὶ ἑτέρωθεν δὲ ἡ ἰατρεία αὕτη εὐκολωτέρα γίνεται· ἐγὼ μὲν γὰρ ἐν πλήθει τοσούτῳ [84] διαλεγόμενος οὐκ οἶδα τὸ ἐνοχλοῦν ὑμῖν πάθος τῆς ψυχῆς, διὸ καὶ ἀναγκάζομαι καθ' ἑκάστην διδασκαλίαν ἅπαντα προτιθέναι τὰ φάρμακα· ὑμᾶς δὲ οὐχ οὕτω ποιεῖν ἀνάγκη, ἀλλ' ἔξεστιν ὑμῖν μετὰ ἐλάττονος πόνου πλείονα καρποῦσθαι τὴν διόρθωσιν· ἴστε γὰρ σαφῶς τὰ ἁμαρτήματα τῶν ὑμῖν συνοικούντων· διὸ καὶ ταχυτέραν δύνασθε ποιῆσαι τὴν θεραπείαν.

Γ'. Μὴ τοίνυν, ἀγαπητοί, ἀμελῶμεν τῶν συνοικούντων ἡμῖν· καὶ γὰρ μεγίστη κόλασις κεῖται καὶ ἄφατος τιμωρία τοῖς ἀμελοῦσι τῶν οἰκείων. *Εἰ γάρ τις*, φησὶν ὁ Παῦλος, *τῶν ἰδίων οὐ προνοεῖται, καὶ μάλιστα τῶν οἰκείων, τὴν πίστιν ἤρνηται, καὶ ἔστιν ἀπίστου χείρων.* Ὁρᾷς πῶς τῶν ἀμελούντων τῶν οἰκείων ὁ Παῦλος ἠκόντισε; Καὶ μάλα εἰκότως· ὁ γὰρ τῶν οἰκείων ἀμελῶν, φησὶ, πῶς τῶν ἀλλοτρίων ἐπιμελήσεται; Οἶδα πολλάκις ταῦτα παραινέσας ὑμῖν· ἀλλὰ καὶ παραινῶν οὐδέποτε παύσομαι, καίτοι γε ἐγὼ ἀνεύθυνος λοιπὸν τῆς τῶν ἑτέρων ῥᾳθυμίας εἰμί· *Ἔδει γάρ σε*, φησὶ, *καταβαλεῖν τὸ ἀργύριόν μου ἐπὶ τοὺς τραπεζίτας, καὶ πλέον οὐδὲν ἀπῄτησεν.* Ἐγὼ δὲ καὶ τὸ ἀργύριον κατέβαλον, καὶ λόγον οὐδένα ἔχω· ἀλλ' ὅμως καίτοι γε ἀνεύθυνος ὤν, καὶ τῆς τιμωρίας ἀπηλλαγμένος τῆς ἐπὶ τούτοις, καθάπερ ὑπεύθυνος ὢν κολάσεως καὶ τιμωρίᾳ, οὕτω δέδοικα καὶ τρέμω περὶ τῆς ὑμετέρας σωτηρίας.

Μηδεὶς τοίνυν ἁπλῶς μηδὲ ἡμελημένως ἀκουέτω τῶν λόγων τῶν πνευματικῶν· οὐδὲ γὰρ εἰκῇ καὶ μάτην μακρὰ ποιοῦμαι τὰ προοίμια, ἀλλ' ὥστε ἀσφαλεστέραν γίνεσθαι τῶν καταβαλλομένων τὴν φυλακήν, ὥστε μὴ μάτην μηδὲ ἁπλῶς κροτήσαντας καὶ θορυβήσαντας οἴκαδε ἀπελθεῖν. Οὐ γὰρ μέλει μοι τῶν παρ' ὑμῶν ἐπαίνων, ἀλλὰ φροντίζω τῆς ὑμετέρας σωτηρίας. Οἱ μὲν γὰρ ἐπὶ τῆς σκηνῆς ἀγωνιζόμενοι τὸν ὑπὲρ τούτου μισθὸν τὸν ἔπαινον παρὰ τοῦ δήμου λαμβάνουσιν· ἡμεῖς δὲ οὐκ ἐπὶ τούτοις ἀπεδυσάμεθα, ἀλλ' ἐπὶ τὸν παρὰ τοῦ Δεσπότου μισθὸν τὸν ἐπὶ τούτοις κείμενον λαβεῖν. Διὰ τοῦτο καὶ συνεχῶς ὑμῖν ταῦτα παρακελευόμεθα, ὥστε πρὸς τὸ βάθος τῆς διανοίας ὑμῶν καταβῆναι τὰ λεγόμενα. Καθάπερ γὰρ τῶν φυτῶν ὅσαπερ ἂν πρὸς τὸ βάθος παραπέμψῃ τὰς ῥίζας, ἄσειστα γίνεται ταῖς τῶν ἀνέμων προσβολαῖς· οὕτω καὶ τῶν νοημάτων ὅσῳπερ ἂν ἐν τῷ βάθει μένῃ τῆς διανοίας, οὐ ῥᾳδίως ὑπὸ τῆς τῶν πραγμάτων ἀνασπᾶται ἐπιβουλῆς. Εἰπὲ γάρ μοι, ἀγαπητὲ, εἰ λιμῷ τὸν παῖδα τηκόμενον εἶδες, ἆρα ἂν ἠνέσχου περιιδεῖν, ἀλλ' οὐχὶ πάντα ἂν ὑπέμεινας, ὥστε λῦσαι αὐτοῦ τὸν λιμόν; Εἶτα λιμῷ μὲν ἄρτου διαφθειρόμενον οὐκ ἂν περιεῖδες, λιμῷ δὲ θείας διδασκαλίας ἀπολλύμενον ἀνέχῃ περιορᾷν; Καὶ πῶς ἄξιος ἂν ἦς καλεῖσθαι πατήρ; Καὶ γὰρ οὗτος ὁ λιμὸς ἐκείνου χαλεπώτερος, ὅσῳ καὶ πρὸς μείζονα τελευτᾷ θάνατον, ὅθεν καὶ πλείονα ἐνταῦθα ποιεῖσθαι χρὴ τὴν σπουδήν. *Ἐκτρέφετε γάρ*, φησὶ, *τὰ τέκνα*

ὑμῶν ἐν παιδείᾳ [85] *καὶ νουθεσίᾳ Κυρίου.* Αὕτη καλλίστη πατέρων ἐπιμέλεια, αὕτη γνησία κηδεμονία γεγεννηκότων· οὕτω γὰρ ἐγὼ ἐπιγινώσκω τῆς φύσεως τὴν συγγένειαν, ἐὰν ἐν τοῖς πνευματικοῖς πλείονα ἐπιδείξωνται τὴν σπουδήν. Ἀλλὰ τῶν μὲν προοιμίων ἀρκετὸς ὁ λόγος· ἀνάγκη δὲ λοιπὸν καταβαλεῖν καὶ τὸ χρέος· διὰ γὰρ τοῦτο τὸν μακρὸν καὶ πολὺν τοῦτον ὑμῖν ἀπεμήκυνα λόγον, ἵνα μετὰ πάσης ὑποδέξησθε τὸ καταβαλλόμενον φυλακῆς. Τί οὖν τὸ ὄφλημα, ὅπερ ἀνεχωρήσαμεν ὀφείλοντες πρώην; ἢ καὶ τοῦτο τάχα ἐπιλέλησθε; Οὐκοῦν ἀνάγκη παρ' ἡμῶν ὑμᾶς[a] ὑπομνησθῆναι, καὶ πρότερον ἀναγνῶναι τὸ γραμματεῖον, δι' οὗ καὶ τὴν προτέραν καταβολὴν ἐποιησάμεθα, καὶ τίνα ἦν τὰ καταβληθέντα εἰπεῖν, ἵνα ἴδωμεν ἐκ τῶν καταβληθέντων τὰ λειπόμενα. Τίνα οὖν ἐστι τὰ καταβληθέντα πρότερον; Εἶπον ἐκεῖ τίς ἦν ὁ τὸ βιβλίον γράψας τῶν Πράξεων, καὶ τίς ὁ πατὴρ τοῦ λόγου τούτου· μᾶλλον δὲ οὐχ ὁ πατὴρ τοῦ λόγου, ἀλλ' ὁ διάκονος· οὐ γὰρ αὐτὸς ἔτεκε τὰ εἰρημένα, ἀλλ' αὐτὸς διηκόνησε τοῖς εἰρημένοις.

Εἶπον περὶ τῶν Πράξεων αὐτῶν, καὶ τί ποτ' οὖν βούλεται ἐνδείξασθαι τὸ τῶν Πράξεων ὄνομα· εἶπον καὶ περὶ τῆς τῶν ἀποστόλων προσηγορίας. Ἀνάγκη λοιπὸν εἰπεῖν, τίνος ἕνεκεν οἱ Πατέρες ἡμῶν ἐν τῇ Πεντηκοστῇ τὸ βιβλίον τῶν Πράξεων ἀναγινώσκεσθαι ἐνομοθέτησαν. Τάχα γὰρ μέμνησθε ὅτι καὶ τοῦτο τότε ὑπεσχόμεθα ἐρεῖν. Οὐ γὰρ ἁπλῶς οὐδὲ εἰκῇ τοὺς καιροὺς ἡμῖν τούτους παρετήρησαν οἱ Πατέρες, ἀλλὰ μετά τινος λόγου σοφοῦ πεποιήκασι τοῦτο· οὐχ ἵνα ὑπὸ ἀνάγκην καιρῶν τὴν ἐλευθερίαν ἡμῖν ὑποβάλωσιν, ἀλλ' ἵνα τῇ τῶν ἀσθενεστέρων πτωχείᾳ συγκαταβάντες, ἐπὶ τὸν πλοῦτον τῆς γνώσεως αὐτοὺς ἀναγάγωσι. Καὶ ὅτι διὰ τοῦτο παρατηροῦσι καιρούς, οὐχ ἑαυτοὺς τῇ ἀνάγκῃ τῆς παρατηρήσεως ὑποβάλλοντες, ἀλλὰ τοῖς ἀσθενεστέροις συγκατιέναι σπουδάζοντες, ἄκουσον τί φησιν ὁ Παῦλος· *Ἡμέρας παρατηρεῖτε καὶ μῆνας καὶ καιροὺς καὶ ἐνιαυτούς; Φοβοῦμαι μή πως εἰκῇ κεκοπίακα εἰς ὑμᾶς.* Σὺ δὲ οὐ παρατηρεῖς ἡμέρας καὶ καιροὺς καὶ ἐνιαυτούς; Τί οὖν; εἰ ἴδωμεν τὸν κωλύοντα παρατηρεῖν ἡμέρας καὶ μῆνας καὶ καιροὺς καὶ ἐνιαυτοὺς παρατηροῦντα ταῦτα, τί ἐροῦμεν, εἰπέ μοι; ὅτι μάχεται ἑαυτῷ, καὶ φιλονεικεῖ; Μὴ γένοιτο! ἀλλ' ὅτι τῶν παρατηρούντων τοὺς καιροὺς τὴν ἀσθένειαν ἀνελεῖν βουλόμενος συγκαταβαίνει διὰ τῆς παρατηρήσεως πρὸς ἐκείνους. Οὕτω καὶ ἰατροὶ ποιοῦσι, τῶν σιτίων τῶν διδομένων τοῖς νοσοῦσιν ἀπογεύονται πρότερον, οὐχ αὐτοὶ δεόμενοι τῶν σιτίων, ἀλλὰ τὴν ἐκείνων ἀσθένειαν διορθῶσαι σπουδάζοντες. Οὕτω καὶ ὁ Παῦλος ἐποίησεν· οὐδὲν δεόμενος τῆς παρατηρήσεως τῶν καιρῶν, τοὺς καιροὺς ἐτήρησεν, ἵνα τοὺς παρατηροῦντας ἀπαλλάξῃ τῆς ἀσθενείας τῆς κατὰ τὴν παρατήρησιν. Καὶ ποῦ παρετήρησε καιροὺς ὁ Παῦλος; Προσέχετε μετὰ ἀκριβείας, παρακαλῶ. *Τῇ δὲ ἐπιούσῃ*, φησὶ, *κατεπλεύσαμεν εἰς Μίλητον. Κεκρίκει γὰρ ὁ Παῦλος παραπλεῦσαι τὴν Ἔφεσον, ὅπως μὴ γένηται αὐτῷ χρονοτριβῆσαι ἐν τῇ Ἀσίᾳ. Ἔσπευδε γὰρ, εἰ δυνατὸν ἦν αὐτῷ, τὴν ἡμέραν τῆς Πεντηκοστῆς γενέσθαι εἰς Ἱεροσόλυμα.* Εἶδες πῶς ὁ λέγων, *Ἡμέρας μὴ παρατηρεῖσθε καὶ μῆνας καὶ καιροὺς*, τὴν ἡμέραν τῆς Πεντηκοστῆς παρετήρει;

[a] Sic correctum cum Venetis in Emend. Legebatur ἡμᾶς. Edit.

[86] δ'. Καὶ οὐ μόνον ἡμέραν παρετήρει, ἀλλὰ καὶ τόπον· οὐ γὰρ μόνον τὴν ἡμέραν τῆς Πεντηκοστῆς ἔσπευδε ποιῆσαι, ἀλλὰ καὶ ἐν Ἱεροσολύμοις αὐτὴν ἐπιτελέσαι. Τί τοῦτο ποιεῖς, ὦ μακάριε Παῦλε; Τὰ Ἱεροσόλυμα κατελύθη, ἠρημώθη τὰ Ἅγια τῶν ἁγίων τῇ τοῦ Θεοῦ ψήφῳ, ἡ πολιτεία ἡ προτέρα ἐλύθη. Σὺ πρὸς Γαλάτας βοᾷς λέγων· *Οἱ ἐν νόμῳ δικαιοῦσθαι προσδοκῶντες, τῆς χάριτος ἐξεπέσατε·* καὶ τί πάλιν ἡμᾶς πρὸς τὴν δουλείαν ἄγεις τοῦ νόμου; Οὐκ ἔστι μικρὸν τὸ κινούμενον, μαθεῖν εἰ μάχεται ἑαυτῷ ὁ Παῦλος. Οὐδὲ γὰρ ἡμέρας μόνον παρατηρεῖ ὁ Παῦλος, ἀλλὰ καὶ ἄλλα φυλάττει νομικὰ παραγγέλματα, καὶ βοᾷ λέγων τοῖς Γαλάταις· *Ἰδοὺ ἐγὼ Παῦλος λέγω ὑμῖν, ὅτι ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει.*

Οὗτος τοίνυν ὁ Παῦλος, ὁ λέγων ὅτι *Ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει*, φαίνεται αὐτὸς περιτέμνων τὸν Τιμόθεον. Εὑρὼν γὰρ, φησὶν, ὁ Παῦλος ἐν Λύστροις τινὰ νεανίαν, υἱὸν Ἰουδαίας γυναικὸς πιστῆς, πατρὸς δὲ Ἕλληνος, περιέτεμεν αὐτόν· οὐκ ἐβούλετο γὰρ ἀκρόβυστον πέμπειν διδάσκαλον. Τί τοῦτο ποιεῖς, ὦ μακάριε Παῦλε; ἀναιρεῖς τῷ λόγῳ τὴν περιτομὴν, καὶ βεβαιοῖς τῷ ἔργῳ πάλιν; Οὐ βεβαιῶ, φησὶν, ἀλλ' ἀναιρῶ διὰ τῶν ἔργων. Καὶ γὰρ υἱὸς γυναικὸς ἦν Ἰουδαίας πιστῆς ὁ Τιμόθεος, πατρὸς δὲ Ἕλληνος, ἀκροβύστου δὲ γένους. Ἐπεὶ οὖν ἔμελλεν αὐτὸν ὁ Παῦλος προπέμπειν τοῖς Ἰουδαίοις διδάσκαλον, οὐκ ἐβούλετο δὲ ἀκρόβυστον πέμψαι, ἵνα μὴ εὐθέως ἀπὸ τῶν προοιμίων ἀποκλείσῃ τὰς θύρας τῷ λόγῳ. Προοδοποιῶν τοίνυν τῇ ἀναιρέσει τῆς περιτομῆς, καὶ ἀνοίγων ὁδὸν τῇ διδασκαλίᾳ τοῦ Τιμοθέου, περιέθηκεν αὐτῷ περιτομὴν, ἵνα ἀνέλῃ περιτομήν. Διὰ τοῦτό φησιν, *Ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος*· οὐχ ἵνα Ἰουδαῖος γένηται, τοῦτο εἴρηκεν ὁ Παῦλος, ἀλλ' ἵνα τοὺς μένοντας Ἰουδαίους πείσῃ μηκέτι εἶναι Ἰουδαίους· διὰ τοῦτο καὶ τοῦτον περιέτεμεν, ἵνα ἀνέλῃ τὴν περιτομήν. Τῇ περιτομῇ τοίνυν κατὰ τῆς περιτομῆς ἐχρήσατο. Ἔλαβε γὰρ περιτομὴν καὶ ὁ Τιμόθεος, ἵνα δυνηθῇ παραδεχθῆναι ὑπὸ τῶν Ἰουδαίων, καὶ εἰσελθὼν κατὰ μικρὸν ἐξελκύσῃ ταύτης αὐτοὺς τῆς παρατηρήσεως. Εἶδες τίνος ἕνεκεν καὶ Πεντηκοστὴν καὶ περιτομὴν ἐτήρησεν ὁ Παῦλος; Βούλεσθε καὶ ἄλλα ὑμῖν ἀποδείξω νόμιμα τηροῦντα αὐτόν; Προσέχετε ἀκριβῶς. Ἀνῆλθέ ποτε εἰς Ἱεροσόλυμα, καὶ ἰδόντες αὐτὸν οἱ ἀπόστολοι ἔλεγον αὐτῷ· *Θεωρεῖς, ἀδελφὲ Παῦλε, πόσαι μυριάδες εἰσὶν Ἰουδαίων τῶν συνεληλυθότων, καὶ οὗτοι πάντες κατήχηνται περὶ σοῦ, ὅτι ἀποστασίαν ἀπὸ τοῦ νόμου διδάσκεις. Τί οὖν; Ποίησον ὃ σοι λέγομεν. Εἰσὶ παρ' ἡμῖν ἄνδρες εὐχὴν ἔχοντες ἐν ἑαυτοῖς· τούτους λαβὼν ἁγνίσθητι σὺν αὐτοῖς, καὶ ξύρησαι τὴν κεφαλὴν μετ' αὐτῶν, ἵνα ἔργῳ πιστωθῶσιν, ὅτι ὧν κατήχηνται περὶ σοῦ οὐδέν ἐστιν, ἀλλὰ τηρεῖς καὶ αὐτὸς τὸν νόμον τοῦ Μωϋσέως.* Εἶδετε συγκατάβασιν θαυμασίαν; Καιροὺς παρατηρεῖ, ἵνα ἀνέλῃ καιρῶν παρατήρησιν· περιτομὴν περιτίθησιν, ἵνα παύσῃ περιτομήν· θυσίαν προσάγει, ἵνα καθέλῃ τὴν παρατήρησιν τῶν θυσιῶν. Καὶ ὅτι διὰ τοῦτο ταῦτα ἐποίει, ἄκουσον αὐτοῦ λέγοντος· [87] *Ἐγενόμην τοῖς ὑπὸ νόμον, ὡς ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον κερδήσω, καὶ ἐλεύθερος ὢν ἐκ πάντων,*

sciplina et correptione Domini (*Ephes.* 6. 4). Hæc est patrum cura pulcherrima, hæc germana parentum sollicitudo : hinc ego naturæ cognationem agnosco, si plus in spiritualia studii conferant. Sed satis indultum sit proœmiis ; jam necesse est ad exsolutionem debiti veniamus : hac enim de causa prolixum hunc et copiosum texuimus vobis sermonem, ut ea quæ numerantur cum summa cautione suscipiatis. Quodnam ergo debitum fuit, quo contracto nuper discessimus? an vero illius forsan obliti estis? Itaque vobis in memoriam a nobis necesse est revocari, priusque syngraphamlegi, cujus opera prior solutio est peracta, et quænam fuerint a nobis numerata, dicendum est, ut ex iis quæ numerata sunt, quæ sint reliqua videamus. Quænam igitur prius a nobis numerata sunt? Dixi tum temporis a quo scriptus fuerit liber *Actorum*, et quis operis istius auctor fuerit : imo vero non quis auctor operis, sed quis minister : non enim ille quæ dicta sunt produxit, sed iis quæ dicta sunt ministravit.

Cur in Pentecoste legantur Acta Apostolorum. — Dixi de Actis ipsis, et quid tandem sibi velit nomen illud Actorum, dixi etiam de Apostolorum appellatione. Jam necesse est dicamus, qua de causa statuerint patres nostri, ut liber Actorum in Pentecoste legeretur. Fortasse namque meministis hoc quoque tum pollicitos nos esse dicturos. Neque enim temere et sine causa nobis hæc tempora patres observarunt, sed prudenti aliqua ratione ducti id egerunt : non ut libertatem nostram temporum necessitati subjicerent, sed ut dum se imbecilliorum attemperant egestati, ad cognitionis opes illos proveherent. Atque ut intelligas eos idcirco tempora observare, non ut se observationis subjiciant necessitati, sed quod imbecillioribus sese accommodare conentur, audi quid dicat Paulus : *Dies observatis, et menses, et tempora, et annos? Timeo, ne forte sine causa laboraverim in vobis* (*Gal.* 4. 10. 11). Tu autem nonne observas dies et tempora et annos? Jam vero si videamus eum, qui dies, et menses, et tempora, et annos observari vetat, hæc observare, quid, quæso, dicemus? num eum sibi repugnare secumque contendere? Absit; sed eum, quod vellet eorum tollere imbecillitatem, a quibus tempora observabantur, illis sese per observationem istam attemperare. Ita quoque faciunt medici, porrectos ægris cibos prius degustant, quamvis ipsi minime cibis indigeant, sed illorum studeant infirmitati mederi. Ita quoque Paulus egit, cum observatione temporum nihil indigeret, tempora observavit, ut eos, qui observabant, illa observandi imbecillitate liberaret. Ubi vero tandem tempora Paulus observavit? Attendite, quæso, diligenter. *Sequenti autem die*, inquit, *appulimus Miletum. Proposuerat enim Paulus præternavigare Ephesum, ne qua mora illi fieret in Asia. Festinabat enim, si possibile sibi esset, ut diem Pentecostes ageret Jerosolymis* (*Act.* 20. 15. 16). Vides, ut ille qui dicebat, *Ne observetis dies et menses et tempora*, diem Pentecostes observaret?

4. Neque vero diem tantum observabat, sed etiam locum : non enim solum Pentecostes diem ut ageret festinabat, sed etiam ut eam Jerosolymis celebraret. Quid facis, beate Paule? Destructa sunt Jerosolyma, desolata sunt sancta sanctorum sententia divina, prior religio sublata est. Nonne ad Galatas clamas et dicis : *Qui in lege justificari exspectatis, a gratia excidistis* (*Gal.* 5. 4)? et cur nos iterum sub legis servitutem redigis? Non est exigui momenti res, de qua agitur, ut discamus, num secum ipse Paulus pugnet. Neque enim dies observat tantummodo Paulus, sed et alia legis præcepta custodit, et clamat ad Galatas dicens : *Ecce, ego Paulus dico vobis, quoniam si circumcidamini, Christus vobis nihil proderit* (*Ibid. v.* 2).

Cur circumciderit Timotheum Paulus. — Hic igitur Paulus qui dicit, *Quoniam si circumcidamini, Christus vobis nihil proderit*, ipse Timotheum circumcidisse comperitur. Cum enim invenisset, inquit Scriptura, Paulus Lystris adolescentem quemdam filium mulieris Judææ fidelis, patris autem gentilis, eum circumcidit (*Act.* 16. 1 - 3) : nolebat enim præputium habentem doctorem mittere. Quid facis, beate Paule? verbis circumcisionem tollis, et rursus factis illam confirmas? Non confirmo, inquit, sed tollo factis. Siquidem mulieris Judææ fidelis filius erat Timotheus, patris autem gentilis et ex genere præputium habente. Quando igitur eum præmissurus erat Judæis doctorem Paulus, nolebat sane præputium habentem mittere, ne statim a principio verbo fores occluderet. Ut igitur ad tollendam circumcisionem viam sterneret, et doctrinæ Timothei aditum reseraret, circumcisionem illi apposuit, ut tolleret circumcisionem. Propterea dixit, *Factus sum Judæis tamquam Judæus* (1. *Cor.* 9. 20) : non ut Judæus fieret, hoc dixit Paulus, sed ut iis qui Judæi manebant, persuaderet, ut non amplius essent Judæi : propterea hunc etiam circumcidit, ut circumcisionem tolleret. Itaque circumcisione adversus circumcisionem est usus. Accepit enim et Timotheus circumcisionem, ut a Judæis posset admitti, et ingressus illos sensim ab hac observatione abduceret. Vides qua de causa et Pentecosten et circumcisionem Paulus observaret? Vultis et alia legitima vobis ostendam ab eo fuisse servata? Diligenter attendite. Ascendit aliquando Jerosolymam, et cum eum vidissent apostoli, dicebant ei : *Vides, frater Paule, quot millia sunt in Judæis, qui crediderunt, et omnes audierunt de te, quia discessionem doceas a lege. Quid ergo? Fac quod tibi dicimus : sunt apud nos viri votum habentes super se : his assumptis sanctifica te cum illis, et caput rade cum illis, ut re ipsa fides illis fiat, quia quæ audierunt de te falsa sunt, sed et ipse Moysis legem servas* (*Act.* 21. 20 - 24). Videtis condescensionem admirabilem? Observat tempora, ut observationem temporum tollat : circumcisionem adhibet, ut circumcisioni finem imponat : sacrificium offert, ut observationem auferat sacrificiorum. Hoc autem illum idcirco fecisse ut intelligas, audi ipsum hoc dicentem : *Factus sum iis qui sub lege sunt, quasi sub lege essem, ut eos qui sub lege erant, lucrifacerem : et cum liber essem ab omnibus, omnium*

me servum feci (1. *Cor.* 9. 21. 19). Hæc autem Paulus agebat, ut suum dominum imitaretur. Nam ut ille *Cum in forma Dei esset, non rapinam arbitratus est esse se æqualem Deo, sed semetipsum exinanivit formam servi accipiens* (*Philipp.* 2. 6. 7), et cum liber esset, factus est servus : sic et iste cum liber esset ex omnibus, omnium se servum fecit, ut omnes lucrifaceret. Naturam nostram assumens dominus factus est servus, ut liberos redderet servos : *Inclinavit cœlos, et descendit* (*Psal.* 17. 10), ut eos qui inferius manebant in cælum eveheret. *Inclinavit cœlos* : non dixit, Deliquit cœlos et descendit, sed *Inclinavit*, ut faciliorem tibi efficeret ascensum in cœlos. Hunc quoque pro viribus imitatus est Paulus, quocirca dicebat : *Imitatores mei estote, sicut et ego Christi* (1. *Cor.* 4. 16). Et quomodo tu, beate Paule, Christi imitator es factus? Quomodo? Quia nullibi quod mihi est utile quæro, sed quod multis, ut salvi fiant, et cum liber essem ex omnibus, omnium servum me feci. Nihil ergo melius est hac servitute, quippe quæ libertatem cæteris pariat. Spiritualis erat piscator Paulus; *Faciam* enim, inquit, *vos piscatores hominum* (*Matth.* 4. 19); quam ob causam et ista præstabat. Nam et piscatores cum piscem viderint hamum deglutire, non statim retrahunt, sed cedentes ad multum spatium sequuntur, et exspectant ut hamus recte defigatur, atque ita prædam tutius extrahant : sic et apostoli tum agebant : hamum doctrinæ verbi Judaicæ animæ injiciebant : at illi retrahebant temere, atque retinebant, et seipsos ad circumcisionem trahebant, ad festa et temporum observationes, ad sacrificia, ad capita radenda, et cætera talia peragenda : verum apostoli sequebantur illos ubique, nec retrahebant. Itaque sive circumcisionem quæras, inquit, non resisto, sed sequor : sive sacrificium requiras, sacrifico : sive radi velis me, qui a tua religione defeceram, adsum, et quod jusseris facio : sive Pentecosten observare præcipias, ne hic quidem reluctor, sed quocumque circumduxeris sequor, et cedo exspectans, ut hamus verbi defigatur, sic ut tuto possim totam nationem vestram a veteri cultu ac religione revocare. Propterea namque Epheso Jerosolymam veni. Vides quantum obsequeretur Paulus piscaturæ piscium verbo cedens? vides rursus temporum observationem, et circumcisionis indulgentiam ac sacrificiorum communionem initam idcirco esse, non ut ipsi ad veterem religionem redirent, sed ut illos qui figuris adhærebant, ad veritatem provecherent? Qui enim in sublimi loco sedet, si perpetuo maneat in sublimi, nunquam poterit eum, qui deorsum jacet, evehere, sed illum prius se demittere oportet, ac deinde istum exaltari. Propterea ex sublimitate religionis evangelicæ [1] descenderunt apostoli, ut a religionis Judaicæ humilitate ad sublimitatem illam Judæos provecherent.

5. *Cur legantur in Pentecoste Acta Apost.* — Sed temporum quidem observationem ac reliqua omnia utiliter et commode facta esse constat ex istis : reliquum est autem ut videamus qua de causa in Pentecoste liber Actorum legatur. Hac enim de causa hæc omnia proposuimus, ut, cum temporum observationem instare videritis, ne existimetis apostolos Judaicis ritibus velle se obstringere. Verum attendite diligenter, quæso : neque enim mediocrem quæstionem complectitur id quod dicturi sumus. In die crucis omnia leginus quæ ad crucem pertinent : in magno sabbato rursus, traditum esse Dominum nostrum, crucifixum esse, mortuum esse secundum carnem et sepulcro conditum : cur igitur non etiam Apostolorum Acta legimus post Pentecosten, quando et evenerunt, et initium duxerunt? Ac scio equidem hoc ignotum esse multis, quam ob causam ex ipso Actorum libro demonstremus istud necesse est, ut non a Pentecoste, sed a tempore, quod Pentecosten sequutum est, apostolorum acta initium duxisse intelligatis. Quocirca merito quæret aliquis, quam tandem ob causam statutum sit, ut historiam crucis in die crucis et passionis legamus : Apostolorum autem Acta non ipsis illis diebus aut illo tempore, quo patrata sunt, legamus, sed tempus præveniamus? Neque enim confestim, ubi Christus resurrexit, edita sunt miracula ab apostolis, sed quadraginta diebus cum ipsis vescebatur in terris. Cur autem diebus quadraginta fuerit cum illis versatus in terris, alio tempore declarabimus ; nunc ad propositum revertamur, et ostendamus Christum non statim post resurrectionem in cælos ascendisse, verum in terris commoratum esse diebus quadraginta cum discipulis, neque simpliciter commoratum, sed et vescentem cum ipsis, et in mensa cum illis recumbentem familiariter cum illis versatum esse, ac post dies tandem quadraginta in cælos ad Patrem ascendisse, ac nec tum quidem miracula illos edidisse, sed alios decem dies elapsos esse, cumque compleretur Pentecoste, missum ad eos Spiritum sanctum fuisse, tumque linguis demum igneis acceptis edere cœpisse miracula. Hæc autem omnia, dilectissimi, ex Scripturis demonstrabimus : exempli causa, quadraginta diebus cum ipsis versatum esse, Spiritum sanctum post Pentecosten descendisse, tumque linguas illos igneas accepisse, atque ab eo tempore miracula edi ab illis cœpisse. Quis igitur omnia ista commemorat? Discipulus Pauli, venerandus et magnus Lucas, dum ita incipit, et his verbis utitur : *Primum quidem sermonem feci de omnibus, o Theophile, quæ cœpit Jesus facere, et docere usque in diem, qua præcipiens apostolis per Spiritum sanctum, quos elegit, assumptus est. Quibus et præbuit seipsum vivum post passionem suam in multis argumentis, per dies quadraginta apparens eis, et loquens de regno Dei. Et convescens præcepit eis, ab Jerosolymis ne discederent* (*Act.* 1. 1-4). Vides quadraginta diebus in terris Dominum versatum esse post resurrectionem, de regno Dei loquentem et cum apostolis vescentem? Vides etiam cibum cum illis sumpsisse? *Et præcepit eis*, inquit, *ab Jerosolymis ne discederent, sed exspectarent promissionem Patris quam audistis, inquit, ex me : quia Joannes baptizavit aqua,*

[1] Colb., *angelicæ.*

πᾶσιν ἐμαυτὸν ἐδούλωσα. Ἐποίει δὲ ταῦτα ὁ Παῦλος μιμούμενος τὸν ἑαυτοῦ Δεσπότην. Καθάπερ γὰρ αὐτὸς *Ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών, καὶ ἐλεύθερος ὢν δοῦλος γέγονεν* · οὕτω καὶ οὗτος ἐλεύθερος ὢν ἐκ πάντων πᾶσιν ἑαυτὸν ἐδούλωσεν, ὥστε πάντας κερδᾶναι. Δοῦλος ἐγένετο τὴν φύσιν τὴν ἡμετέραν ἀναλαβὼν ὁ Δεσπότης, ἵνα τοὺς δούλους ἐλευθέρους ποιήσῃ· *Ἔκλινεν οὐρανοὺς, καὶ κατέβη*, ἵνα τοὺς κάτω μένοντας ἀναγάγῃ εἰς οὐρανόν. *Ἔκλινεν οὐρανούς*· οὐκ εἶπε· Κατέλιπεν οὐρανοὺς, καὶ κατέβη, ἀλλ' *Ἔκλινεν*, εὐκολωτέραν σοι τὴν ἄνοδον ποιῶν τὴν εἰς τοὺς οὐρανούς. Τοῦτον καὶ ὁ Παῦλος ἐμιμήσατο κατὰ δύναμιν, διὸ καὶ ἔλεγε· *Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ*. Καὶ πῶς σὺ, ὦ μακάριε Παῦλε, τοῦ Χριστοῦ ἐγένου μιμητής; Πῶς; Ἐπειδὴ οὐδαμοῦ ζητῶ " τὸ ἐμαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ὅπως σωθῶσι, καὶ ἐλεύθερος ὢν ἐκ πάντων, πᾶσιν ἐμαυτὸν ἐδούλωσα. Οὐδὲν τοίνυν ταύτης τῆς δουλείας βέλτιον, ἐλευθερίας γὰρ ἑτέροις αἰτία γίνεται. Ἁλιεὺς ἦν πνευματικὸς ὁ Παῦλος· *Ποιήσω γάρ ὑμᾶς*, φησὶν, *ἁλιεῖς ἀνθρώπων*· διὰ τοῦτο καὶ ταῦτα ἐποίει. Καὶ γὰρ καὶ οἱ ἁλιεῖς, ἐπειδὰν ἴδωσι τὸν ἰχθὺν καταπιόντα τὸ ἄγκιστρον, οὐκ εὐθέως ἀνθέλκουσιν, ἀλλ' ἐνδιδόντες μέχρι πολλοῦ διαστήματος ἀκολουθοῦσιν ἀναμένοντες ἐμπαγῆναι τὸ ἄγκιστρον καλῶς, ἵνα οὕτω μετὰ ἀσφαλείας τὴν θήραν ἑλκύσωσιν. Οὕτω καὶ οἱ ἀπόστολοι τότε ἐποίουν· ἐνέβαλλον τὸ ἄγκιστρον τῆς διδασκαλίας τοῦ λόγου ψυχῇ τῇ Ἰουδαϊκῇ, οἱ δὲ ἀνθεῖλκον εἰκῇ, καὶ κατέσχον εἰς περιτομὴν ἑαυτοὺς ἄγοντες, εἰς ἑορτὰς, εἰς καιρῶν παρατήρησιν, εἰς θυσίας, εἰς τὸ ξυρᾶσθαι καὶ ἕτερα τοιαῦτα ποιεῖν· οἱ δὲ ἀπόστολοι πανταχοῦ ἠκολούθουν αὐτοῖς, καὶ οὐκ ἀνθεῖλκον· ὥστε κἂν περιτομὴν ζητῇς, φησὶν, οὐκ ἀντιτείνω, ἀλλ' ἕπομαι· κἂν θυσίαν αἰτῇς, θύω, κἂν ξυρᾶσθαι βουληθῇς ἐμὲ τὸν ἀποστάντα τῆς σῆς πολιτείας, πάρειμι, καὶ ποιῶ τὸ κελευόμενον· κἂν Πεντηκοστὴν κελεύῃς παρατηρῆσαί με, οὐδὲ ἐνταῦθα φιλονεικῶ· ἀλλ' ὅπουπερ ἂν περιάγῃς, ἀκολουθῶ καὶ ἐνδίδωμι ἐμπαγῆναί σοι ἀνιμένων τοῦ λόγου τὸ ἄγκιστρον, ὥστε δυνηθῆναι μετὰ ἀσφαλείας ἅπαν ὑμῶν ἐξελκύσαι τὸ ἔθνος τῆς παλαιᾶς λατρείας καὶ πολιτείας. Διὰ τοῦτο γὰρ καὶ ἀπὸ Ἐφέσου εἰς Ἱεροσόλυμα ἦλθον. Ὁρᾷς πόσον παρηκολούθησεν ὁ Παῦλος τῇ ἀλείᾳ τῶν ἰχθύων ἐνδιδοὺς τῷ λόγῳ; ὁρᾷς ὅτι ἡ παρατήρησις τῶν καιρῶν, καὶ ἡ συγκατάβασις τῆς περιτομῆς, καὶ ἡ κοινωνία τῶν θυσιῶν διὰ τοῦτο ἐγίνετο, οὐχ ἵνα αὐτοὶ πρὸς τὴν παλαιὰν ἐπανέλθωσι πολιτείαν, ἀλλ' ἵνα ἐκείνους τοῖς τύποις παρακαθημένους πρὸς τὴν ἀλήθειαν ἐπαναγάγωσιν; Ὁ γὰρ ἐν ὕψει καθήμενος, ἐὰν διαπαντὸς ἐπὶ τοῦ ὕψους μένῃ, οὐδέποτε δυνήσεται τὸν κάτω κείμενον ἀναγαγεῖν, ἀλλὰ δεῖ πρότερον ἐκεῖνον ταπεινωθῆναι· καὶ τότε τοῦτον ὑψωθῆναι. Διὰ τοῦτο κατέβησαν οἱ ἀπόστολοι ἀπὸ τοῦ ὕψους τῆς πολιτείας τῆς εὐαγγελικῆς [b], ἵνα ἀπὸ τῆς ταπεινότητος τῆς πολιτείας τῆς Ἰουδαϊκῆς [88] ἀναγάγωσιν εἰς τὸ ὕψος ἐκεῖνο τοὺς Ἰουδαίους.

ε'. Ἀλλ' ὅτι μὲν ἡ τῶν καιρῶν παρατήρησις καὶ τὰ λοιπὰ πάντα χρησίμως καὶ συμφερόντως ἐγίνοντο, ἀπὸ τούτων δῆλον· ἴδωμεν δὲ λοιπὸν τίνος ἕνεκεν τὸ βιβλίον τῶν Πράξεων τῶν ἀποστόλων ἐν τῷ καιρῷ τῆς Πεντηκοστῆς ἀναγινώσκεται. Διὰ γὰρ τοῦτο ταῦτα πάντα ἐκινήσαμεν, ἵν', ὅταν ἴδητε καιρῶν παρατήρησιν ἐγκειμένην, μὴ νομίσητε πολιτείαν νοσεῖν Ἰουδαϊκὴν τοὺς ἀποστόλους. Ἀλλὰ προσέχετε μετὰ ἀκριβείας, παρακαλῶ· οὐ γὰρ μικρόν ἐστι ζήτημα τὸ μέλλον ῥηθήσεσθαι. Ἐν τῇ ἡμέρᾳ τοῦ σταυροῦ τὰ περὶ τοῦ σταυροῦ πάντα ἀναγινώσκομεν· ἐν τῷ σαββάτῳ τῷ μεγάλῳ πάλιν, ὅτι παρεδόθη ἡμῶν ὁ Κύριος, ὅτι ἐσταυρώθη, ὅτι ἀπέθανε τὸ κατὰ σάρκα, ὅτι ἐτάφη· τίνος οὖν ἕνεκεν καὶ τὰς Πράξεις τῶν ἀποστόλων οὐ μετὰ τὴν Πεντηκοστὴν ἀναγινώσκομεν, ὅτε καὶ ἐγένοντο, καὶ ἀρχὴν ἔλαβον; Καὶ οἶδα μὲν ὅτι πολλοὶ τοῦτο ἀγνοοῦσι· διόπερ ἀπὸ τοῦ βιβλίου τῶν Πράξεων αὐτὸ πιστώσασθαι ἀναγκαῖον, ἵνα μάθητε, ὅτι τὴν ἀρχὴν τῶν Πράξεων τῶν ἀποστολικῶν οὐχ ἡ Πεντηκοστὴ ἔχει, ἀλλ' ὁ καιρὸς ὁ μετὰ τὴν Πεντηκοστήν. Διὸ καὶ δικαίως ἄν τις ζητήσειε, τί δήποτε τὸν μὲν σταυρὸν ἐν τῇ ἡμέρᾳ τοῦ σταυροῦ καὶ τοῦ πάθους ἀναγινώσκειν νενομοθέτηται· τὰς δὲ Πράξεις τὰς ἀποστολικὰς οὐκ αὐταῖς ταῖς ἡμέραις ἀναγινώσκομεν, οὐδὲ τῷ καιρῷ καθ' ὃν ἐπράχθησαν, ἀλλὰ προφθάνομεν τὸν καιρόν. Οὐδὲ γὰρ εὐθέως ὅτε ἀνέστη Χριστὸς, θαύματα ἐποίουν οἱ ἀπόστολοι, ἀλλὰ τεσσαράκοντα ἡμέρας αὐτοῖς συνηλίζετο [c] ἐπὶ τῆς γῆς. Τίνος δὲ ἕνεκεν τὰς τεσσαράκοντα ἡμέρας αὐτοῖς συνεγένετο ἐπὶ τῆς γῆς, ἐν ἑτέρῳ καιρῷ δηλώσομεν· τέως δὲ ἐπὶ τὸ προκείμενον ἴωμεν τοῦ λόγου, δεικνύντες, ὅτι οὐκ εὐθέως εἰς τὸν οὐρανὸν ἀνέβη μετὰ τὴν ἀνάστασιν ὁ Χριστὸς, ἀλλὰ τεσσαράκοντα ἡμέρας ἐπὶ τῆς γῆς διέτριψε μετὰ τῶν μαθητῶν, καὶ οὐχ ἁπλῶς διέτριψεν, ἀλλὰ καὶ συναλιζόμενος, καὶ τραπέζης κοινωνῶν, καὶ ὁμιλίας μεταδιδοὺς, καὶ μετὰ τὰς τεσσαράκοντα ἡμέρας ἀνῆλθε πρὸς τὸν Πατέρα ἐν τοῖς οὐρανοῖς, καὶ οὐδὲ τότε ἐθαυματούργουν, ἀλλ' ἕτεραι δέκα ἐγίνοντο ἡμέραι, καὶ πληρουμένης τῆς Πεντηκοστῆς ἐπέμφθη αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ τότε λαβόντες τὰς πυρίνας γλώσσας ἤρξαντο ποιεῖν θαύματα. Ταῦτα δὲ πάντα, ἀγαπητοὶ, ἀπὸ τῶν Γραφῶν πιστωτόμεθα· οἷον ὅτι τεσσαράκοντα ἡμέρας αὐτοῖς συνεγένετο, ὅτι μετὰ τὴν Πεντηκοστὴν κατῆλθε τὸ Πνεῦμα τὸ ἅγιον, ὅτι τότε τὰς γλώσσας ἔλαβον τὰς πυρίνας, ὅτι τῶν σημείων ἔκτοτε ἤρξαντο. Τίς οὖν ταῦτα πάντα φησίν; Ὁ τοῦ Παύλου μαθητὴς, ὁ τίμιος καὶ μέγας Λουκᾶς, οὕτω ποιούμενος τὴν ἀρχὴν καὶ λέγων· *Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν, ἄχρι ἧς ἡμέρας ἐντειλάμενος τοῖς ἀποστόλοις διὰ Πνεύματος ἁγίου, οὓς ἐξελέξατο, ἀνελήφθη· οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα μετὰ τὸ παθεῖν αὐτὸν, ἐν πολλοῖς τεκμηρίοις, δι' ἡμερῶν τεσσαράκοντα ὀπτανόμενος αὐτοῖς, καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ* [89] *Θεοῦ. Καὶ συναλιζόμενος παρήγγειλεν αὐτοῖς ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι.* Ὁρᾷς ὅτι μετὰ τὴν ἀνάστασιν τεσσαράκοντα ἡμέρας ἐπὶ τῆς γῆς ἦν ὁ Κύριος, λέγων περὶ τῆς βασιλείας τοῦ Θεοῦ, καὶ συναλιζόμενος τοῖς ἀποστόλοις; ὁρᾷς ὅτι καὶ τραπέζης ἐκοινώνει; Καὶ *παρήγγειλεν αὐτοῖς*, φησὶν, *ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ Πατρὸς, ἣν ἠκούσατέ μου, φησὶν· ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτι-*

[a] Alii καὶ πῶς σὺ γίνῃ Χριστοῦ μιμητὴς· οὐ ζητῶ. Editi Χριστοῦ μαθητής.

[b] Colb. τῆς ἀγγελικῆς.

[c] Colb. συνεγίνετο.

σθήσεσθε ἐν Πνεύματι ἁγίῳ οὐ μετὰ πολλὰς ταύτας ἡμέρας. Ταῦτα δὲ ἔλεγεν ὁ Σωτὴρ ἐν ταῖς τεσσαράκοντα ἡμέραις. Οἱ μὲν οὖν συνελθόντες ἐπηρώτων αὐτὸν λέγοντες· Κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ; Εἶπε δὲ πρὸς αὐτούς· Οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιροὺς, οὓς ὁ Πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ· ἀλλὰ λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου Πνεύματος ἐφ' ὑμᾶς, καὶ ἔσεσθέ μοι μάρτυρες ἐν τῇ Ἱερουσαλὴμ, καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ, καὶ ἕως ἐσχάτου τῆς γῆς. Καὶ ταῦτα εἰπὼν, βλεπόντων αὐτῶν, ἐπήρθη, καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. Εἶδες πῶς καὶ τεσσαράκοντα ἡμέρας αὐτοῖς συνεγένετο ἐπὶ τῆς γῆς ὁ Χριστὸς, καὶ μετὰ τὰς τεσσαράκοντα ἡμέρας τότε ἀνελήφθη ἐν τοῖς οὐρανοῖς· ἀλλ' ἴδωμεν εἰ ἐν τῇ Πεντηκοστῇ τὸ Πνεῦμα ἐπέμφθη τὸ ἅγιον. Καὶ ἐν τῷ συμπληροῦσθαι, φησὶ, τὴν ἡμέραν τῆς Πεντηκοστῆς ἐγένετο ἄφνω ἦχος ἐκ τοῦ οὐρανοῦ ὡσεὶ φερομένης πνοῆς βιαίας, καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρὸς, καὶ ἐκάθισεν ἐφ' ἕνα ἕκαστον αὐτῶν. Εἴδετε ἀκριβῆ τὴν ἀπόδειξιν γεγενημένην, οἷον ὅτι τεσσαράκοντα ἡμέρας ἦν ἐπὶ γῆς ὁ Χριστὸς, καὶ οὐδὲ ἐθαυματούργουν οἱ ἀπόστολοι; Πῶς γὰρ ἔμελλον θαυματουργεῖν τὴν τοῦ ἁγίου καὶ ζωοποιοῦ Πνεύματος χάριν οὐδέπω ἔχοντες;

Εἴδετε, ὅτι μετὰ τὰς τεσσαράκοντα ἡμέρας [a] ἀνελήφθη εἰς τὸν οὐρανὸν ὁ Ἰησοῦς; εἴδετε πάλιν, ὅτι μετὰ τὰς δέκα ἡμέρας ἐθαυματούργουν οἱ ἀπόστολοι; Ἐν γὰρ τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς Πεντηκοστῆς κατεπέμφθη τὸ Πνεῦμα τὸ ἅγιον. Τοῦτο οὖν ἐστι λοιπὸν τὸ ζητούμενον, τίνος ἕνεκεν αἱ Πράξεις τῶν ἀποστόλων ἐν τῇ Πεντηκοστῇ ἀναγινώσκονται. Εἰ γὰρ τότε ἤρξαντο ποιεῖν τὰ σημεῖα οἱ ἀπόστολοι, ἦγουν μετὰ τὴν Κυρίου ἀνάστασιν, τότε ἔδει καὶ τὸ βιβλίον ἀναγινώσκεσθαι τοῦτο. Ὥσπερ γὰρ τὰ περὶ τοῦ σταυροῦ ἐν τῇ ἡμέρᾳ σταυροῦ ἀναγινώσκομεν, καὶ τὰ ἐν τῇ ἀναστάσει ὁμοίως, καὶ τὰ ἐν ἑκάστῃ ἑορτῇ γεγονότα τῇ αὐτῇ πάλιν ἀναγινώσκομεν, οὕτως ἔδει καὶ τὰ θαύματα τὰ ἀποστολικὰ ἐν ταῖς ἡμέραις τῶν ἀποστολικῶν σημείων ἀναγινώσκεσθαι.

ς'. Τίνος οὖν ἕνεκεν οὐ τότε αὐτὰ ἀναγινώσκομεν, ἀλλ' εὐθέως μετὰ τὸν σταυρὸν καὶ τὴν ἀνάστασιν, ἀκούσατε μετὰ ἀκριβείας τὴν αἰτίαν ἅπασαν. Μετὰ τὸν σταυρὸν εὐθέως ἀνάστασιν καταγγέλλομεν τοῦ Χριστοῦ, τῆς δὲ ἀναστάσεως ἀπόδειξίς ἐστι τὰ σημεῖα τὰ ἀποστολικὰ, τῶν δὲ σημείων ἀποστολικῶν διδασκαλεῖόν ἐστι τοῦτο τὸ βιβλίον. Ὁ τοίνυν μάλιστα πιστοῦται τὴν ἀνάστασιν τὴν Δεσποτικὴν, τοῦτο μετὰ τὸν σταυρὸν καὶ τὴν ζωηφόρον ἀνάστασιν εὐθέως οἱ Πατέρες ἐνομοθέτησαν ἀναγινώσκεσθαι. Διὰ [90] τοῦτο τοίνυν, ἀγαπητοὶ, μετὰ τὸν σταυρὸν καὶ τὴν ἀνάστασιν εὐθέως ἀναγινώσκομεν τὰ σημεῖα τῶν ἀποστόλων, ἵνα ἔχωμεν σαφῆ καὶ ἀναμφισβήτητον τῆς ἀναστάσεως τὴν ἀπόδειξιν. Οὐκ εἶδες αὐτὸν ἀναστάντα τοῖς ὀφθαλμοῖς τοῦ σώματος, ἀλλὰ βλέπεις αὐτὸν ἀναστάντα τοῖς ὀφθαλμοῖς τῆς πίστεως· οὐκ εἶδες αὐτὸν διὰ τῶν ὀμμάτων τούτων ἀναστάντα, ἀλλ' ὄψει αὐτὸν ἀναστάντα διὰ τῶν θαυμάτων ἐκείνων. Ἡ γὰρ τῶν σημείων ἐπίδειξις χειραγωγεῖ σε πρὸς τὴν τῆς πίστεως θεωρίαν. Ὅθεν τοῦ φανῆναι αὐτὸν ἀναστάντα πολλῷ μείζων ἦν ἀπόδειξις καὶ σαφεστέρα τὸ σημεῖα γίνεσθαι ἐν τῷ ὀνόματι αὐτοῦ. Βούλει μαθεῖν, πῶς τοῦτο μᾶλλον πιστοῦται τὴν ἀνάστασιν, ἢ εἰ ἐφάνη πᾶσιν ἀνθρώποις κατ' ὀφθαλμούς; Ἀκούσατε νουνεχῶς· καὶ γὰρ πολλοὶ τοῦτο ἐρωτῶσι, καὶ λέγουσι· Τίνος ἕνεκεν ἀναστὰς οὐκ εὐθέως ἐφάνη τοῖς Ἰουδαίοις; ἀλλὰ περιττὸς ὁ λόγος οὗτος καὶ μάταιος. Εἰ γὰρ ἔμελλε πρὸς τὴν πίστιν αὐτοὺς ἐπισπάσασθαι, οὐκ ἂν παρῃτήσατο μετὰ τὴν ἀνάστασιν φανῆναι πᾶσιν· ὅτι δὲ οὐκ ἔμελλεν αὐτοὺς ἐπισπάσασθαι φανεὶς αὐτοῖς μετὰ τὴν ἀνάστασιν, δείκνυσι διὰ τοῦ Λαζάρου. Τοῦτον γὰρ τετραήμερον νεκρὸν ἀναστήσας, ὀδωδότα, διεφθορότα, καὶ μετὰ τῶν χειριῶν δεδεμένον ποιήσας αὐτὸν ἐξελθεῖν ὑπὸ τὰς ἁπάντων ὄψεις, οὐ μόνον οὐκ ἐπεσπάσατο πρὸς τὴν πίστιν αὐτοὺς, ἀλλὰ καὶ παρώξυνεν· ἐλθόντες γὰρ ἐβουλήθησαν καὶ αὐτὸν ἀνελεῖν διὰ τοῦτο. Εἰ οὖν ἕτερον ἀνέστησε καὶ οὐκ ἐπίστευσαν, ἑαυτὸν ἀναστήσας εἰ ἔδειξεν ἑαυτὸν, οὐκ ἂν πάλιν ἐμάνησαν κατ' αὐτοῦ; Εἰ καὶ μηδὲν ἔμελλον ἀνύειν, ἀλλ' ὅμως διὰ τῆς ἐπιχειρήσεως ἔμελλον ἀσεβεῖν.

Ὥστε βουλόμενος αὐτοὺς ἀπαλλάξαι μανίας περιττῆς, ἔκρυψεν ἑαυτόν· μᾶλλον γὰρ ἂν ἐποίησεν ὑπευθύνους κολάσει, εἰ μετὰ τὸν σταυρὸν ἐφάνη. Διὰ τοῦτο φειδόμενος αὐτῶν ἔκρυψε μὲν ἑαυτὸν ἐκ τῆς ἐκείνων ὄψεως· ἔδειξε δὲ διὰ τῆς τῶν σημείων ἀποδείξεως. Τοῦ γὰρ ἰδεῖν αὐτὸν ἀναστάντα οὐκ ἔλαττον ἦν ἀκοῦσαι Πέτρου λέγοντος· *Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἔγειραι καὶ περιπάτει.* Καὶ ὅτι τοῦτο ἀναστάσεως μεγίστη ἀπόδειξις, καὶ εὐκολώτερον πρὸς πίστιν ἢ ἐκεῖνο τὸ πρότερον, καὶ μᾶλλον ἠδύνατο πεῖσαι τὰς διανοίας τῶν ἀνθρώπων τὸ σημεῖα φαίνεσθαι ἐν τῷ ὀνόματι αὐτοῦ γινόμενα, ἢ τὸ ἰδεῖν αὐτὸν ἀναστάντα, δῆλον ἐκεῖθεν. Ἀνέστη καὶ ἔδειξεν ἑαυτὸν τοῖς μαθηταῖς ὁ Χριστός· ἀλλ' ὅμως εὑρέθη τις ἀπιστῶν καὶ ἐν ἐκείνοις Θωμᾶς ὁ λεγόμενος Δίδυμος, καὶ ἐδεήθη τοῦ τὰς χεῖρας εἰσενεγκεῖν εἰς τοὺς τύπους τῶν ἥλων· ἐδεήθη δὲ καὶ τὴν πλευρὰν αὐτοῦ καταμαθεῖν. Εἰ δὲ ὁ μαθητὴς ἐκεῖνος ὁ τρεῖς χρόνους διατρίψας μετ' αὐτοῦ, ὁ τραπέζης Δεσποτικῆς κοινωνήσας, ὁ σημεῖα καὶ τέρατα θεασάμενος μέγιστα, ὁ ῥημάτων Δεσποτικῶν μετασχὼν, καὶ ἰδὼν αὐτὸν ἀναστάντα, οὐ πρότερον ἐπίστευσεν, ἕως ὅτε τοὺς τύπους τῶν ἥλων καὶ τῆς λόγχης τὰ τραύματα εἶδε· πῶς ἡ οἰκουμένη πιστεύειν ἔμελλεν, εἰπέ μοι, εἰ εἶδεν αὐτὸν [91] ἀναστάντα; Καὶ τίς ἂν ταῦτα εἴποι; Οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλὰ καὶ ἑτέρωθεν δείξομεν, ὅτι μᾶλλον ἔπειθε τὰ σημεῖα τοῦ θεάσασθαι κατ' ὄψιν ἀναστάντα. Ἀκούσαντες γὰρ οἱ ὄχλοι τοῦ Πέτρου τῷ χωλῷ λέγοντος, *Ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ ἔγειραι καὶ περιπάτει*, τρισχίλιοι ἐπίστευσαν καὶ πενταχισχίλιοι τῷ Χριστῷ ἄνδρες· ὁ δὲ μαθητὴς ἰδὼν ἀναστάντα ἠπίστησεν. Ὁρᾷς πῶς τοῦτο εὐκολώτερον μᾶλλον πρὸς τὴν τῆς ἀναστάσεως πίστιν; Ἐκεῖνο μὲν γὰρ καὶ ὁ οἰκεῖος μαθητὴς ἰδὼν ἠπίστησε· ταῦτα δὲ καὶ οἱ ἐχθροὶ θεασάμενοι ἐπί-

[a] Sic Colb., Morel. vero male τὰς δέκα ἡμέρας.

vos autem baptizabimini Spiritu sancto non post multos hos dies (*Act.* 1. 4. 5). Hæc autem in diebus illis quadraginta a Salvatore sunt dicta. *Igitur qui convenerant, interrogabant eum dicentes : Domine, si in tempore hoc restitues regnum Israel ? Dixit autem eis, Non est vestrum nosse tempora vel momenta, quæ Pater posuit in sua potestate; sed accipietis virtutem supervenientis Spiritus sancti in vos, et eritis mihi testes in Jerusalem, et in omni Judæa et Samaria, et usque ad ultimum terræ. Et cum hæc dixisset, videntibus illis, elevatus est, et nubes suscepit eum ab oculis eorum* (*Ib.* v. 6-9). Vides, quo pacto et cum ipsis quadraginta diebus versatus fuerit Christus in terris, et post quadraginta demum dies assumptus in cælos fuerit; sed videamus an in Pentecoste missus fuerit Spiritus sanctus. *Et cum compleretur*, inquit, *dies Pentecostes, factus est repente de cælo sonus tamquam advenientis spiritus vehementis, et apparuerunt illis dispertitæ linguæ tamquam ignis, seditque supra singulos eorum* (*Ib.* 2. 1 - 3). Videtis exactam demonstrationem allatam, ut constet quadraginta diebus in terris Christum esse versatum, nec ullum ab apostolis miraculum esse patratum ? Quomodo enim miracula patrare potuissent, cum necdum sancti ac vivifici Spiritus gratiam accepissent ?

Lectio Scripturæ in festis distributa. Cur post Resurrectionem Judæis non apparuerit Christus. — Videtis post quadraginta dies Jesum assumptum in cælos fuisse ? Videtis rursus post decem dies ab apostolis edita esse miracula ? Cum enim compleretur dies Pentecostes, demissus est Spiritus sanctus : hoc igitur quærendum restat, qua de causa in Pentecoste Acta legantur Apostolorum. Si enim tum signa facere cœperunt apostoli, hoc est post Domini resurrectionem, tum etiam hunc legi librum oportebat. Nam quemadmodum ea quæ ad crucem pertinent, in die legimus crucis, et in resurrectione item, et in singulis festis, quæ in singulis acciderunt, iterum legimus : sic et miracula oportuit apostolica in apostolicorum miraculorum diebus legi.

6. Cur igitur non illa tum legamus, sed statim post crucem, et resurrectionem, causam omnem diligenter attendite. Statim post crucem, resurrectionem Christi annuntiamus : porro demonstratio resurrectionis miracula sunt apostolica : atqui nihil aliud est liber iste, quam apostolicorum schola miraculorum. Quod igitur dominicæ resurrectionis maxime fidem facit, hoc statim post crucem et vitæ largitricem resurrectionem patres legi statuerunt. Hanc igitur ob causam, dilectissimi, statim post crucem ac resurrectionem miracula legimus apostolorum, ut manifestam et indubitatam resurrectionis probationem habeamus. Excitatum illum a mortuis corporeis oculis non vidisti, sed oculis fidei cernis illum a mortuis excitatum. Non vidisti illum his oculis a mortuis excitatum, at per illa miracula excitatum illum a mortuis intuebere. Ad illum enim fidei conspectum signorum exhibitio te deducit. Itaque multo major et evidentior illa fuit demonstratio, quod in ejus nomine signa fierent, quam quod excitatus ille a mortuis appareret. Visne intelligere, quo pacto majorem resurrectionis istud fidem faciat, quam si omnium hominum oculis sese intuendum obtulisset ? Prudenter attendite : si quidem multi quærunt, et dicunt : Quam ob causam, cum resurrexisset, non statim Judæis apparuit ? verum supervacaneus et vanus est iste sermo. Si enim ad fidem illos pellecturus fuisset, post resurrectionem omnibus apparere non recusasset : cæterum nequaquam eos se pellecturum fuisse, si post resurrectionem illis apparuisset, per Lazarum indicavit. Cum enim hunc quatriduanum mortuum, fœtentem, et corruptum suscitasset, et effecisset ut ligatus institis in conspectum omnium prodiret, non solum illos ad fidem non attraxit, sed etiam irritavit : venientes enim ipsum etiam interficere hac de causa voluerunt (*Joan.* 12. 10). Si ergo cum alterum a mortuis excitasset, non tamen crediderunt : si seipsum ostendisset a semetipso suscitatum, nonne in ipsum furore exarsissent ? Tametsi nihil ad effectum perducturi fuissent : tamen irrito conatu suam impietatem exercuissent.

Miraculorum vis ad probandam Resurrectionem. — Ut igitur eos superfluo furore liberaret, seipsum occultavit : majori enim illos supplicio obnoxios reddidisset, si post crucem apparuisset. Quocirca ut illis parceret, seipsum quidem ab oculis eorum subtraxit, sed editis tamen miraculis seipsum ostendit. Non enim minus erat, quam si excitatum a mortuis eum cernerent, quod Petrum dicentem audirent : *In nomine Jesu Christi surge et ambula* (*Act.* 3. 6). Atque hoc quidem plurimum valuisse ad resurrectionem adstruendam, atque ad fidem faciendam proclivius quam illud prius, faciliusque mentibus hominum persuadere potuisse miracula, quæ in ejus nomine facta cernebantur, quam si a mortuis excitatum illum vidissent, inde constabit. Resurrexit, et seipsum discipulis Christus ostendit : sed inventus est tamen aliquis et inter illos incredulus Thomas, qui dicitur Didymus, et opus illi fuit, ut in figuram clavorum manus inferret : opus fuit, ut et latus ejus palparet (*Joan.* 20. 24. *sqq.*). Quod si discipulus ille, qui tres cum illo annos exegerat, qui dominicæ particeps mensæ fuerat, qui signa conspexerat et prodigia maxima, qui loquentem illum audiverat, etiam cum illum a mortuis excitatum videret, non prius credidit, quam figuram clavorum et lanceæ vulnera conspexit : quomodo, quæso, totus orbis terrarum crediturus erat, si excitatum illum a mortuis conspexisset ? Quis hoc unquam dicere audeat ? Neque vero inde tantum, sed etiam aliunde constabit plus ad persuadendum signa valuisse, quam si resurgentem oculis se spectandum præbuisset. Cum enim Petrum audiissent turbæ claudo dicere, *In nomine Jesu Christi surge et ambula* (*Act.* 3. 6), tria millia et quinque millia virorum Christo crediderunt : at discipulus cum suscitatum vidisset, incredulus fuit. Vides aptius ad fidem faciendam resurrectionis hoc fuisse ? Nam illud quidem cum proprius discipulus ejus vidisset, incredulus fuit : at hæc cum etiam inimici spectassent,

crediderunt. Ita majus hoc illo fuit et evidentius, plusque ad illos alliciendos, valuit atque flectendos, ut resurrectioni fidem haberent. Quid dico Thomam? Siquidem ut scias ne cæteros quidem discipulos primo intuitu credidisse, prudenter attende. Noli tamen illos condemnare, dilectissime; si enim illos Christus non damnavit, neque tu illos damnes: videbant enim rem miram et inusitatam discipuli, primogenitum ipsum a mortuis excitatum: cæterum maxima ejusmodi miracula primo conspectu terrere consueverunt quousque in fidelium mentibus progressu temporis stabilitatem aliquam acquisiverint: quod etiam tunc discipulis evenit. Postquam enim Christus, qui a mortuis resurrexerat, dixit illis, *Pax vobis*, *Conturbati*, inquit, *et conterriti existimabant se spiritum videre, et dixit illis Jesus: Quid turbati estis* (*Luc.* 24. 36-38). Post hæc cum ostendisset eis manus et pedes, *Non credentibus illis præ gaudio et mirantibus dixit: Habetis hic aliquid, quod manducetur* (*Ibid. v.* 41)? quod hac ratione vellet illis fidem facere resurrectionis. Non persuadet tibi latus, inquit, neque vulnera? saltem mensa persuadeat.

7. Ut autem accurate cognoscas idcirco illum dixisse, *Habetis hic aliquid*, *quod manducetur?* ne forte simulacrum esse vel spiritum, aut phantasma putarent, sed veram ac subsistentem resurrectionem, audi quo pacto Petrus his comprobet resurrectionem. Cum enim dixisset, *Deus illum suscitavit, ac dedit manifestum eum fieri nobis testibus præordinatis*, deinde resurrectionis demonstrationem afferens adjecit: *Qui manducavimus et bibimus cum eo* (*Act.* 10. 40. 41). Propterea quoque alibi Christus cum mortuam suscitasset ut fidem faceret resurrectionis ait: *Date illi quod manducet* (*Marc.* 5. 43). Cum igitur audis eum præbuisse seipsum vivum per dies quadraginta illis apparentem, et cum illis vescentem, causam manducationis cognosce, non quod cibo nimirum indigeret, illum manducasse, sed quod discipulorum mederi vellet imbecillitati, unde prodigia et signa apostolorum liquet maximam resurrectionis demonstrationem exstitisse. Quapropter ait ipse quoque, *Amen*, *amen*, *dico vobis*, *Qui credit in me*, *opera*, *quæ ego facio*, *et ipse faciet*, *et majora horum faciet* (*Joan.* 14. 12). Nam quoniam crux cum intervenisset, plurimos scandalizaverat, idcirco pluribus illi miraculis opus fuit. Alioqui enim si, cum obiisset Christus, morte præpeditus mansisset, et sepultus, neque resurrexisset, ut aiunt Judæi, neque in cælum ascendisset, non solum majora postea fieri miracula post crucem non oportuisset, verum etiam ea, quæ prius facta fuerant, opus fuisset exstingui. Hic mihi diligenter attendite: indubitatæ quippe resurrectionis demonstrationem continent hæc quæ dicimus: quamobrem eadem rursus eloquar.

Cur post Passionem miracula majora. — Signa fecit antea Christus, mortuos suscitavit, leprosos mundavit, dæmones ejecit, crucifixus est deinde, atque, ut dicunt scelesti Judæi, non resurrexit a mortuis. Quid igitur illis dicemus? Hoc nimirum, Si non resurrexit, quomodo postea in nomine ipsius majora facta sunt signa? Nullus enim ex vivis cum obiisset, majora post obitum signa fecit: at hic majora et modo et natura fuerunt quæ consequuta sunt miracula. Siquidem natura fuere majora, cum Christi umbra nunquam mortuos suscitarit: at apostolorum umbra talia multa perfecit. Modo vero majora fuere signa, quod tum quidem ipse imperans miracula ederet: post passionem autem servi ejus augusto et sancto ejus nomine adhibito majora et sublimiora peragerent, ut amplius et gloriosius virtus ipsius effulgeret. Multo quippe majus fuit alterum nomen ipsius usurpantem talia miracula patrare, quam ipsum imperantem. Vides et natura et modo majora fuisse apostolorum signa, dilectissime, quæ Christi resurrectionem sequuta sunt? Itaque resurrectionis indubitata est demonstratio. Nam, ut ante dixi, et iterum dicam, si mortem obiisset Christus, et non resurrexisset, signa etiam interire oportuisset ac deleri: jam vero non modo deleta non sunt sed et illustriora deinde atque celebriora sunt facta. Si enim Christus non resurrexisset, numquam alii ejus in nomine talia signa fecissent. Eadem quippe virtus et ante passionem et post passionem edebat miracula: ac primum quidem per se, deinde vero per discipulos: ut autem evidentior et gloriosior fieret resurrectionis probatio, majora post crucem fiebant, et sublimiora prodigia. Unde vero constat, dicet infidelis, edita tum fuisse signa? Unde, quæso, crucifixum Christum fuisse constat? Ex sacris Litteris, inquam. Nam et signa tum fuisse facta et crucifixum fuisse Christum, ex sacris Litteris constat. Illæ enim et hæc et illa narrant. Quod si tu noster adversarius dicas apostolos signa non fecisse, majorem ipsorum ostendis virtutem, et gratiam divinam, quod absque signis tantum orbem terrarum potuerint ad pietatem traducere. Hoc enim maximum est et inusitatum miraculum, cum pauperes atque mendici, abjecti, illiterati, imperiti, viles, et numero duodecim tot urbes, gentes, populos, reges, tyrannos, philosophos, oratores, et totam propemodum terram absque signis potuerint ad se pertrahere. An vero cupis etiam nunc fieri signa cernere? Tibi ego illa et majora prioribus ostendam, non unum mortuum suscitatum, non visum uni cæco restitutum, sed discussas erroris tenebras, quæ totam terram occupaverant: non leprosum unum mundatum, sed tot gentes, quæ peccati lepram absterserunt, ac per lavacrum regenerationis mundatæ sunt. Quod signum majus his quæris, mi homo, cum tantam et tam repente factam mutationem conspicias?

8. *Fide sola cernitur Deus. Petrus quomodo crucifixus fuerit.* — Vin' tu intelligere, quo tandem pacto visum universo terrarum orbi restituerit Christus? Antea lignum et lapidem non existimabant homines lignum et lapidem esse, verum res sensus expertes deos vocabant, adeo excæcati erant: jam vero quid lignum sit, quidve lapis noverunt; quid sit Deus crediderunt. Sola quippe fide immortalis ac beata illa natura spectatur. Visne aliud quoque resurrectionis signum intueri? Ex ipsa discipulorum mente sum-

στευσαν. Οὕτω μεῖζον τοῦτο ἐκείνου καὶ σαφέστερον, καὶ μᾶλλον αὐτοὺς ἐπεσπᾶτο καὶ ἔπειθε πρὸς τὴν ἀνάστασιν. Καὶ τί λέγω τὸν Θωμᾶν; Ὅτι γὰρ οὐδὲ οἱ λοιποὶ μαθηταὶ ἐκ πρώτης ὄψεως ἐπίστευον, ἄκουσον νουνεχῶς. Ἀλλὰ μὴ καταγνῶς αὐτῶν, ἀγαπητέ· εἰ γὰρ ὁ Χριστὸς οὐ κατέγνω αὐτῶν, μηδὲ σὺ καταγνῶς αὐτῶν· καὶ γὰρ πρᾶγμα ξένον εἶδον οἱ μαθηταὶ καὶ παράδοξον, πρωτότοκον αὐτὸν ἐκ τῶν νεκρῶν ἀναστάντα· τὰ δὲ τοιαῦτα μέγιστα θαύματα ἐκ πρώτης ἐκπλήττειν εἴωθεν, ἕως ἂν τῷ χρόνῳ μόνιμα γένηται ἐν ταῖς τῶν πιστευόντων ψυχαῖς· ὅπερ οὖν καὶ ἐπὶ τῶν μαθητῶν ἐγένετο τότε. Ἐπειδὴ γὰρ ἀναστὰς ὁ Χριστὸς ἐκ νεκρῶν εἶπεν αὐτοῖς· *Εἰρήνη ὑμῖν, Πτοηθέντες*, φησὶν, *ἐκεῖνοι καὶ ἔμφοβοι γενόμενοι ἐδόκουν πνεῦμα θεωρεῖν, καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Τί τεταραγμένοι ἐστέ;* Καὶ μετὰ ταῦτα ἐπιδείξας αὐτοῖς τὰς χεῖρας καὶ τοὺς πόδας, καὶ *Ἀπιστούντων αὐτῶν ἀπὸ τῆς χαρᾶς, καὶ θαυμαζόντων, εἶπεν αὐτοῖς· Ἔχετέ τι βρώσιμον ἐνθάδε;* διὰ τούτων βουλόμενος αὐτοῖς τὴν ἀνάστασιν πιστώσασθαι. Οὐ πείθει σε, φησὶν, ἡ πλευρὰ, οὐδὲ τὰ τραύματα; πειθέτω κἂν ἡ τράπεζα.

ζ'. Ἵνα δὲ μάθῃς ἀκριβῶς, ὅτι διὰ τοῦτο εἶπεν, *Ἔχετέ τι βρώσιμον ἐνθάδε φαγεῖν*; ἵνα μὴ νομίσωσιν εἴδωλον εἶναι, μηδὲ πνεῦμα, μηδὲ φαντασίαν, ἀλλ' ἀληθῆ καὶ ἐνυπόστατον ἀνάστασιν, ἄκουσον, πῶς ὁ Πέτρος ἀπὸ τούτων πιστοῦται τὴν ἀνάστασιν. Εἰπὼν γὰρ ὅτι *Ἀνέστησεν αὐτὸν ὁ Θεὸς, καὶ ἔδωκεν αὐτὸν ἐμφανῆ γενέσθαι μάρτυσι τοῖς προκεχειροτονημένοις ἡμῖν*, εἶτα καὶ ἀπόδειξιν τῆς ἀναστάσεως τιθεὶς, ἐπήγαγεν· *Οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ*. Διὰ τοῦτο καὶ ἀλλαχοῦ ἀναστήσας νεκρὰν ὁ Χριστὸς, ἵνα πιστώσηται τὴν ἀνάστασιν ἔφη· *Δότε αὐτῇ φαγεῖν*. Ὅταν οὖν ἀκούσῃς, ὅτι παρέστησεν ἑαυτὸν ζῶντα δι' ἡμερῶν τεσσαράκοντα ὀπτανόμενος αὐτοῖς καὶ συναλιζόμενος, μάνθανε τῆς τραπέζης τὴν αἰτίαν, ὅτι οὐχὶ δεόμενος αὐτὸς τραπέζης ἔτρωγεν, ἀλλὰ βουλόμενος τὴν ἀσθένειαν διορθῶσαι τῶν μαθητῶν, ὅθεν δῆλον ὅτι τὰ τέρατα καὶ σημεῖα τῶν ἀποστόλων ἀπόδειξις ἦν μεγίστη τῆς ἀναστάσεως. Διὸ καὶ αὐτός φησιν· *Ἀμὴν, ἀμὴν, λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ, τὰ ἔργα ἃ ποιῶ ἐγὼ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει.* Ἐπειδὴ γὰρ ὁ σταυρὸς μεταξὺ παρεμπεσὼν ἐσκανδάλισε πλείστους, διὰ τοῦτο καὶ μειζόνων ἐδέησε μετὰ ταῦτα σημείων. Καίτοι γε εἰ τελευτήσας ὁ Χριστὸς ἐναπέμεινε τῷ θανάτῳ καὶ τῷ [92] τάφῳ, καὶ οὐκ ἀνέστη, καθάπερ οἱ Ἰουδαῖοί φασιν, οὐδὲ ἀνέβη εἰς τοὺς οὐρανούς, οὐ μόνον οὐκ ἔδει μείζονα γίνεσθαι τὰ μετὰ ταῦτα σημεῖα τὰ μετὰ τὸν σταυρὸν, ἀλλὰ καὶ τὰ πρότερα γινόμενα ἀποσβεσθῆναι ἐχρῆν. Προσέχετέ μοι μετὰ ἀκριβείας ἐνταῦθα· ἀναστάσεως γάρ εἰσιν ἀναμφισβητήτου ἀποδείξεις τὰ λεγόμενα, διὸ καὶ πάλιν τὰ αὐτὰ ἐρῶ.

Ἐποίησε σημεῖα πρὸ τούτου ὁ Χριστὸς, νεκροὺς ἤγειρε, λεπροὺς ἐκάθηρε, δαίμονας ἀπήλασεν· ἐσταυρώθη μετὰ ταῦτα, καὶ ὡς οἱ παράνομοι Ἰουδαῖοι λέγουσιν [a], οὐκ ἀνέστη ἐκ νεκρῶν. Τί οὖν ἂν εἴποιμεν πρὸς αὐτούς; Ὅτι εἰ μὴ ἀνέστη, πῶς μετὰ ταῦτα ἐν τῷ ὀνόματι αὐτοῦ μείζονα ἐγένετο σημεῖα; Οὐδεὶς γὰρ τῶν ζώντων τελευτήσας μείζονα σημεῖα ἐποίησε μετὰ τὴν τελευτὴν, ἐνταῦθα δὲ μείζονα καὶ τῷ τρόπῳ καὶ τῇ φύσει τὰ θαύματα μετὰ ταῦτα ἦν. Φύσει γὰρ μείζονα ἦν, ὅτι μὲν τοῦ Χριστοῦ οὐδέποτε σκιαὶ νεκροὺς ἀνέστησαν· ἐπὶ δὲ τῶν ἀποστόλων αἱ σκιαὶ αὐτῶν πολλὰ τοιαῦτα ἐποίουν. Τρόπῳ δὲ μείζονα ἐγένετο σημεῖα, ὅτι τότε μὲν αὐτὸς ἐπιτάττων ἐθαυματούργει· μετὰ δὲ τὸν σταυρὸν οἱ δοῦλοι αὐτοῦ τῷ σεβασμίῳ καὶ ἁγίῳ αὐτοῦ ὀνόματι χρώμενοι μείζονα καὶ ὑψηλότερα ἐποίουν, ὥστε μειζόνως αὐτοῦ καὶ ἐνδοξοτέρως διαλάμψαι τὴν ἰσχύν. Τοῦ γὰρ αὐτὸν ἐπιτάττειν πολλῷ μεῖζον ἦν τὸ ἕτερον τῷ ἐκείνου κεχρημένον ὀνόματι τοιαῦτα θαυματουργεῖν. Εἶδες, ἀγαπητὲ, καὶ τῇ φύσει καὶ τῷ τρόπῳ μείζονα ὄντα τὰ σημεῖα τῶν ἀποστόλων μετὰ τὴν ἀνάστασιν τοῦ Χριστοῦ; Οὐκοῦν ἀναμφισβήτητος ἡ ἀπόδειξις τῆς ἀναστάσεως. Ὑπερ γὰρ ἔλεγον, καὶ πάλιν ἐρῶ, εἰ ἐτετελευτήκει ὁ Χριστὸς, καὶ οὐκ ἀνέστη, ἔδει καὶ τὰ σημεῖα τελευτῆσαι καὶ ἀποσβεσθῆναι· νυνὶ δὲ οὐ μόνον οὐκ ἀπεσβέσθη, ἀλλὰ καὶ λαμπρότερα καὶ ἐνδοξότερα γέγονε μετὰ ταῦτα. Εἰ γὰρ μὴ ἀνέστη ὁ Χριστὸς, οὐκ ἂν ἕτεροι ἐν τῷ ὀνόματι αὐτοῦ τοιαῦτα σημεῖα ἐποίησαν. Ἡ αὐτὴ μὲν γὰρ δύναμις καὶ πρὸ τοῦ σταυροῦ καὶ μετὰ τὸν σταυρὸν ἐθαυματούργει· καὶ πρῶτον μὲν δι' ἑαυτοῦ, ὕστερον δὲ διὰ τῶν μαθητῶν· ἵνα δὲ σαφέστερα καὶ ἐνδοξότερα γένηται τῆς ἀναστάσεως ἡ ἀπόδειξις, μείζονα καὶ ὑψηλότερα μετὰ τὸν σταυρὸν ἐγένετο τὰ σημεῖα. Καὶ πόθεν δῆλον ὅτι σημεῖα γέγονε τότε; ὁ ἄπιστος ἐρεῖ Πόθεν δὲ καὶ δῆλον ὅτι ἐσταυρώθη ὁ Χριστός; Ἀπὸ τῶν θείων Γραφῶν, φησί. Καὶ γὰρ ὅτι σημεῖα γέγονε τότε καὶ ὅτι ἐσταυρώθη ὁ Χριστὸς, ἀπὸ τῶν ἁγίων Γραφῶν δῆλον. Ἐκεῖναι μὲν γὰρ καὶ ταῦτα κἀκεῖνα λέγουσιν. Εἰ δὲ λέγει ὁ ὑπεναντίος, ὅτι οὐκ ἐποίησαν σημεῖα οἱ ἀπόστολοι, μειζόνως αὐτῶν δεικνύεις τὴν δύναμιν καὶ τὴν θείαν χάριν, ὅτι χωρὶς σημείων τοσαύτην οἰκουμένην ἐπεσπάσαντο πρὸς θεοσέβειαν. Τοῦτο γὰρ μέγιστον σημεῖον καὶ παράδοξον θαῦμα, ὅταν οἱ πτωχοὶ, καὶ πένητες, καὶ εὐκαταφρόνητοι, καὶ ἀγράμματοι, καὶ ἰδιῶται, καὶ εὐτελεῖς, καὶ δώδεκα τὸν ἀριθμὸν, πόλεις τοσαύτας, καὶ ἔθνη, καὶ δήμους, καὶ βασιλεῖς, καὶ τυράννους, καὶ φιλοσόφους, καὶ ῥήτορας, καὶ πᾶσαν, ὡς εἰπεῖν, τὴν γῆν χωρὶς σημείων φαίνωνται πρὸς ἑαυτοὺς ἑλκύσαντες. Βούλει δὲ καὶ νῦν σημεῖα γινόμενα ἰδεῖν; Ἐγώ σοι δείξω καὶ μείζονα τῶν προτέρων, οὐχ ἕνα νεκρὸν ἐγειρόμενον, οὐχ ἕνα τυφλὸν ἀναβλέποντα, ἀλλὰ πᾶσαν τὴν γῆν τὸ σκότος τῆς [93] πλάνης ἀποθεμένην· οὐχ ἕνα λεπρὸν καθαιρόμενον, ἀλλ' ἔθνη τοσαῦτα τὴν λέπραν τῆς ἁμαρτίας ἀποσμήξαντα [b] καὶ διὰ τοῦ λουτροῦ παλιγγενεσίας καθαρθέντα. Τί τούτων τῶν σημείων μεῖζον ἐπιζητεῖς, ἄνθρωπε, ἀθρόον τοσαύτην τῆς οἰκουμένης μεταβολὴν ὁρῶν γεγενημένην;

τ'. Βούλει μαθεῖν πῶς ἀναβλέψαι τὴν οἰκουμένην ἐποίησεν ὁ Χριστός; Τὸ πρότερον τὸ ξύλον καὶ τὸν λίθον οὐκ ἐνόμιζον εἶναι ξύλον καὶ λίθον οἱ ἄνθρωποι, ἀλλὰ θεοὺς ἐκάλουν τὰ ἀναίσθητα, οὕτω; ἦσαν ἀποτετυφλωμένοι· νυνὶ δὲ εἶδον τί ξύλον, τί λίθος· ἐπίστευσαν τί Θεός. Πίστει γὰρ μόνῃ θεωρεῖται ἡ ἀνώλεθρος καὶ μακαρία φύσις ἐκείνη. Βούλει δὲ καὶ ἕτερον ἀναστάσεως ἰδεῖν σημεῖον; Ἀπὸ τῆς τῶν μαθητῶν γνώμης ὄψει καὶ τοῦτο μεῖζον γινόμενον μετὰ

[a] Colb. καὶ ὡς Ἕλληνες λέγουσι.

[b] Colb. ἀποσμηξάμενα.

τὴν ἀνάστασιν. Καὶ γὰρ παρὰ πᾶσιν ὡμολόγηται, ὅτι ὁ μὲν περὶ ζῶντα ἄνθρωπον εὐνοϊκῶς διακείμενος καὶ ἀποθανόντος ἴσως οὐδὲ μέμνηται· ὁ δὲ περὶ ζῶντα ἀγνωμόνως διατεθεὶς καὶ ἐγκαταλιπὼν περιόντα, πολλῷ μᾶλλον ἀποθανόντος ἐπιλήσεται. Ὅθεν οὐδεὶς τῶν ἀνθρώπων τὸν φίλον καὶ τὸν διδάσκαλον ἀφεὶς ζῶντα καὶ ἐγκαταλιπὼν, τελευτήσαντα περὶ πολλοῦ ποιεῖται, καὶ μάλιστα ὅταν κινδύνους μυρίους αὐτῷ προκειμένους ἀπὸ τῆς περὶ ἐκεῖνον σπουδῆς βλέπῃ. Ἀλλ' ἰδοὺ τοῦτο τὸ ἐπὶ μηδενὸς συμβαῖνον, ἐπὶ τοῦ Χριστοῦ καὶ τῶν ἀποστόλων ἐγένετο, καὶ οἱ ζῶντα αὐτὸν ἀρνησάμενοι καὶ ἐγκαταλιπόντες, καὶ συλληφθέντα ἀφέντες, καὶ ἀποπηδήσαντες, μετὰ μυρία ἐκεῖνα ὀνείδη καὶ τὸν σταυρὸν, οὕτω περὶ πολλοῦ πεποίηνται, ὡς καὶ τὰς ψυχὰς ἐπιδοῦναι τὰς ἑαυτῶν ὑπὲρ τῆς εἰς αὐτὸν ὁμολογίας καὶ πίστεως. Καίτοι γε εἰ καὶ τετελευτήκει [a] Χριστὸς καὶ οὐκ ἀνέστη, πῶς εἶχε λόγον τοὺς ἡνίκα ἔζη φυγόντας διὰ τὸν ἐπικείμενον κίνδυνον, ἡνίκα ἐτελεύτησε μυρίοις ἑαυτοὺς δι' ἐκεῖνον περιβάλλειν κινδύνοις; Οἱ μὲν οὖν ἄλλοι πάντες ἔφυγον, Πέτρος δὲ καὶ ἠρνήσατο μεθ' ὅρκου τρίτον, καὶ ὁ μεθ' ὅρκου τρίτον αὐτὸν ἀρνησάμενος καὶ θεραπαινιδίου φόβον εὐτελοῦς δείσας, ἐπειδὴ ἐτελεύτησε, βουλόμενος ἡμᾶς πεῖσαι διὰ τῶν πραγμάτων αὐτῶν, ὅτι εἶδεν αὐτὸν ἀναστάντα, οὕτως ἀθρόον μετεβάλλετο ὡς ὁλοκλήρου καταγελάσαι δήμου, καὶ εἰς μέσον τῶν Ἰουδαίων τὸ θέατρον εἰσπηδῆσαι καὶ εἰπεῖν, ὅτι ὁ σταυρωθεὶς καὶ ταφεὶς ἀνέστη ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ, καὶ εἰς τοὺς οὐρανοὺς ἀνέβη, καὶ μηδὲν αὐτὸν ὑποδεῖσθαι δεινόν. Πόθεν οὖν τὸ θαρρεῖν αὐτῷ ἐγένετο; Πόθεν ἄλλοθεν, ἀλλ' ἢ ἀπὸ τῆς πληροφορίας τῆς κατὰ τὴν ἀνάστασιν; Ἐπειδὴ γὰρ εἶδεν αὐτὸν, καὶ διελέχθη, καὶ περὶ τῶν μελλόντων ἤκουσε, διὰ τοῦτο ὡς ὑπὲρ ζῶντος κινδυνεύων λοιπὸν, οὕτως ἁπάντων κατετόλμησε τῶν δεινῶν, ἅτε δὴ καὶ πλείονα λαβὼν δύναμιν καὶ μεῖζον τὸ θάρσος ὡς ὑπὲρ αὐτοῦ ἀποθανεῖν, καὶ τῷ σταυρῷ κατὰ κεφαλῆς προσομιλῆσαι. Ὅταν τοίνυν ἴδῃς [b] καὶ σημεῖα μείζονα γινόμενα, καὶ τοὺς μαθητὰς πλείονα κεκτημένους εὔνοιαν περὶ αὐτὸν τοὺς πρότερον ἐγκαταλιπόντας αὐτὸν, καὶ [94] παῤῥησίαν μείζονα ἐπιδεικνυμένους, καὶ πανταχόθεν λαμπροτέραν γινομένην τῶν πραγμάτων τὴν μεταβολὴν, καὶ ἐπὶ τὸ πεπαῤῥησιασμένον καὶ φαιδρὸν προελθόντα ἅπαντα, μάνθανε δι' αὐτῆς τῶν πραγμάτων τῆς πείρας, ὅτι οὐ μέχρι θανάτου τὰ κατὰ τὸν Χριστὸν ἔμεινεν, ἀλλὰ ἀνάστασις αὐτὸν διεδέξατο, καὶ ζῇ καὶ μένει διηνεκῶς ὁ σταυρωθεὶς Θεὸς ἀναλλοίωτος. Οὐ γὰρ ἂν εἰ μὴ ἀνέστη καὶ ἔζη, μείζονα μετὰ ταῦτα σημεῖα εἰργάσαντο οἱ μαθηταὶ τῶν πρὸ τοῦ σταυροῦ γινομένων. Τότε μὲν γὰρ αὐτὸν καὶ οἱ μαθηταὶ ἐγκατέλιπον· νυνὶ δὲ αὐτῷ καὶ ἡ οἰκουμένη προστρέχει ἅπασα, καὶ οὐχὶ Πέτρος μόνον, ἀλλὰ καὶ ἕτεροι μυρίοι, καὶ πολλῷ πλέον μετὰ Πέτρον τῶν οὐχ ἑωρακότων αὐτὸν τὰς ψυχὰς ἐπέδωκαν τὰς ἑαυτῶν ὑπὲρ ἐκείνου, καὶ τὰς κεφαλὰς ἀπετμήθησαν, καὶ μυρία ἔπαθον δεινὰ, ὥστε τὴν εἰς αὐτὸν ὁμολογίαν ὑγιῆ καὶ ἀκέραιον ἔχοντας ἀπελθεῖν. Πῶς οὖν ὁ νεκρὸς καὶ ἐν τῷ τάφῳ μένων, ὡς σὺ λέγεις, ὦ Ἰουδαῖε, τοσαύτην καὶ ἐν τοῖς μετ' ἐκείνους ἅπασιν ἐπεδείξατο τὴν ἰσχὺν καὶ τὴν δύναμιν, πείθων αὐτοὺς αὐτὸν μόνον προσκυνεῖν, καὶ πάντα αἱρεῖσθαι ὑπομεῖναι καὶ πάσχειν ὑπὲρ τοῦ μὴ τὴν πίστιν ἀπολέσαι τὴν εἰς αὐτόν; Ὁρᾷς διὰ πάντων σαφῆ τῆς ἀναστάσεως τὴν ὑπόδειξιν, διὰ τῶν σημείων τῶν τότε, τῶν νῦν, διὰ τῆς εὐνοίας τῶν μαθητῶν τῶν τότε, τῶν νῦν, διὰ τῶν κινδύνων ἐν οἷς διετέλεσαν οἱ πιστεύσαντες; Βούλει καὶ τοὺς ἐχθροὺς ἰδεῖν πεφοβημένους αὐτοῦ τὴν ἰσχὺν καὶ τὴν δύναμιν, καὶ πολλῷ μᾶλλον μετὰ τὸν σταυρὸν ἀγωνιῶντας; Ἄκουε καὶ περὶ τούτων συνετῶς. *Θεωροῦντες γὰρ*, φησὶν, *οἱ Ἰουδαῖοι τὴν τοῦ Πέτρου παῤῥησίαν καὶ Ἰωάννου, καὶ καταλαβόμενοι, ὅτι ἄνθρωποι ἀγράμματοί εἰσι καὶ ἰδιῶται, ἐθαύμαζον*, καὶ ἠγωνίων, οὐκ ἐπειδὴ ἀγράμματοι ἦσαν, ἀλλ' ἐπειδὴ ἀγράμματοι ὄντες πάντων τῶν σοφῶν περιεγένοντο, καὶ *Τὸν ἄνθρωπον σὺν αὐτοῖς ὁρῶντες τὸν τεθεραπευμένον, οὐδὲν εἶχον ἀντειπεῖν*· καίτοι γε πρὸ τούτου ἀντέλεγον σημεῖα ὁρῶντες γινόμενα. Πῶς οὖν τότε οὐκ ἀντεῖπον; Ἀπέστησεν αὐτῶν τὴν γλῶτταν ἡ ἀόρατος τοῦ σταυρωθέντος δύναμις· ἐκεῖνος τὸ στόμα αὐτῶν ἐνέφραξεν· ἐκεῖνος τὴν παῤῥησίαν κατέστειλε· διὰ τοῦτο καὶ εἱστήκεισαν μηδὲν ἔχοντες ἀντειπεῖν. Ὅταν δὲ καὶ ἐφθέγξαντο, ὅρα πῶς τὴν δειλίαν ὁμολογοῦσι τὴν ἑαυτῶν. *Βούλεσθε*, φησὶν, *ἐπαγαγεῖν ἐφ' ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου;* Καὶ μὴν, εἰ ἄνθρωπός ἐστι ψιλὸς, τί δέδοικας αὐτοῦ τὸ αἷμα; πόσους ἀνεῖλες προφήτας, πόσους ἔσφαξας δικαίους, ὦ Ἰουδαῖε, καὶ οὐδενὸς αὐτῶν τὸ αἷμα ἐφοβήθης; τίνος ἕνεκεν ἐνταῦθα φοβῇ; Κατέσεισεν αὐτῶν ὄντως τὸ συνειδὸς ὁ σταυρωθεὶς, καὶ τὴν ἀγωνίαν ἣν εἶχον κρύψαι μὴ δυνάμενοι, καὶ ἄκοντες ἐπὶ τῶν ἐχθρῶν ὁμολογοῦσι τὴν οἰκείαν ἀσθένειαν. Καὶ ὅτε μὲν ἐσταύρουν αὐτὸν ἐβόων λέγοντες· *Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν*· οὕτω κατεφρόνουν τοῦ αἵματος αὐτοῦ. Μετὰ δὲ τὸν σταυρὸν ἰδόντες αὐτοῦ τὴν δύναμιν διαλάμπουσαν, φοβοῦνται καὶ ἀγωνιῶσι, καὶ λέγουσι· *Βούλεσθε* [95] *ἐπαγαγεῖν ἐφ' ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου;* Καίτοι γε εἰ πλάνος ἦν καὶ ἀντίθεος, καθὼς φατε, Ἰουδαῖοι παράνομοι, τίνος ἕνεκεν αὐτοῦ δεδοίκατε τὸ αἷμα; Καὶ γὰρ καὶ ἐγκαλλωπίζεσθαι ἔδει τῷ φόνῳ, εἰ τοιοῦτος ἦν. Ἀλλ' ἐπειδὴ τοιοῦτος οὐκ ἦν, διὰ τοῦτο τρέμουσιν.

θ'. Ὁρᾷς πανταχόθεν καὶ τοὺς ἐχθροὺς ἀγωνιῶντας καὶ δεδοικότας; εἶδες αὐτῶν τὴν ἀγωνίαν; Μάθε καὶ τοῦ σταυρωθέντος τὴν φιλανθρωπίαν. Ἐκεῖνοι μὲν γὰρ ἔλεγον· *Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ τέκνα ἡμῶν*· ὁ δὲ Χριστὸς οὐκ ἐποίησεν οὕτως· ἀλλὰ πρὸς τὸν Πατέρα καθικετεύων λέγει· *Πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσιν.* Εἰ γὰρ ἐγένετο τὸ αἷμα αὐτοῦ ἐπ' αὐτοὺς καὶ ἐπὶ τὰ τέκνα αὐτῶν, οὐκ ἂν ἀπὸ τῶν τέκνων αὐτῶν ἐγένοντο ἀπόστολοι· οὐκ ἂν ὁμοῦ τρισχίλιοι ἐπίστευσαν, οὐκ ἂν πενταχισχίλιοι. Ὁρᾷς πῶς ἐκεῖνοι μὲν ὠμοὶ καὶ ἀπηνεῖς περὶ τὰ ἔγγονα αὐτῶν ὄντες καὶ τὴν φύσιν αὐτὴν ἠγνόησαν, ὁ δὲ Θεὸς πατέρων ἁπάντων φιλανθρωπότερος, καὶ μητέρων φιλοστοργότερος γέγονεν;

[a] Legebatur οὐ τετελευτήκει, quod, postulante sensu, correximus, interpretem et Emend. Ven. secuti. Edit.

[b] Colb. τὸ θάρσος· οὐκ ἂν δὲ πλείονα δύναμιν ἔλαβεν παρὰ τοῦ νεκροῦ καὶ μένοντος ἐν τῷ θανάτῳ· ὅταν οὖν ἴδῃς.

ptum illud quoque majus videbis post resurrectionem affulsisse. Siquidem in confesso est apud omnes eum, qui erga viventem hominem benevole sit affectus, ipso mortuo fortasse ne quidem ejus meminisse: qui vero male affectus sit erga illum, dum viveret, et superstitem deseruerit, multo magis immemorem defuncti futurum. Quo fit, ut nemo qui amicum magistrumve superstitem reliquerit ac deseruerit, vita functum plurimi faciat, ac tum præcipue, cum propter exhibitam in eum benevolentiam mille pericula sibi viderit imminere. Ecce tamen illud quod nulli accidit, in Christo et discipulis evenit, et qui viventem illum negaverant ac deseruerant, et comprehensum reliquerant, et aufugerant, post innumera illa opprobria, et crucem, tanti eum fecerunt, ut pro ipsius confessione ac fide animas etiam suas exponerent. Enimvero si mortuus fuisset Christus, neque resurrexisset, qui fieri potuisset, ut qui, dum superstes esset, ob periculum imminens fugerant, eo jam vita functo, propter illum mille periculis seipsos objicerent? Ac cæteri quidem omnes fugerunt, Petrus vero etiam cum juramento ter illum negavit, et qui ter illum cum juramento negaverat, et vilis ancillulæ fuerat timore perculsus, posteaquam obierat, nobis rebus ipsis volens fidem facere se suscitatum illum a mortuis vidisse, sic repente mutatus est, ut integrum populum aspernaretur, et in medium Judæorum theatrum prosiliret, diceretque illum qui crucifixus fuerat ac sepultus, a mortuis die tertia, surrexisse atque in cælos ascendisse, neque se mali quidquam reformidare. Unde igitur factum erat, ut adeo confidens esset? Non aliunde sane, quam ex eo quod de resurrectione certior factus esset. Cum enim illum vidisset, atque alloquutus esset, deque rebus futuris verba facientem audiisset, hac de causa tamquam in gratiam hominis jam viventis periculum adiret, ita se malis omnibus objiciebat, utpote qui majori virtute corroboratus esset confidentiaque majori, sic ut pro ipso mortem oppeteret, et cruci capite in terram verso affigeretur. Cum ergo majora fieri signa videris, et discipulos majori cum benevolentia esse complexos, qui prius eum deseruerant, et majorem fiduciam præ se ferre, omni ex parte illustriorem rerum factam esse mutationem, omniaque tutiori ac jucundiori esse in statu collocata, tum ipso rerum experimento cognosce, res Christi non esse mortis finibus circumclusas, sed resurrectionem illi successisse, ac vivere, superstitemque perpetuo crucifixum manere Deum immutabilem et immortalem. Neque enim discipuli, nisi resurrexisset ac viveret, majora postea miracula patrassent, quam quæ crucem præcesserant. Nam tum temporis etiam discipuli reliquerunt eum: jam vero totus ad illum orbis terrarum accurrit, neque Petrus solum, sed et mille alii, ac multo plures post Petrum, ex illis qui illum minime viderunt, animas pro illo suas exposuerunt, capite truncati sunt, et innumera sunt mala perpessi, ut integra et illæsa ipsius confessione possent ex hac vita discedere. Quomodo ergo is qui mortuus erat et sepulcro conclusus, ut tu dicis, o Judæe, in omnibus qui sequuti sunt illos tantam vim exhibuit tantamque virtutem, ut eis persuaderet, solum illum ut adorarent, omniaque sustinere ac perpeti mallent, quam suam in illum fidem amittere? Vides in omnibus certam resurrectionis comprobationem elucere, cum ex signis quæ tum facta sunt, quæque nunc fiunt, tum ex discipulorum benevolentia, qui tum vivebant, et qui nunc vivunt, tum ex periculis in quibus semper fideles versabantur? Visne etiamnum hostes cernere potentiam ac virtutem ejus pertimescere, ac multo amplius post crucem æstuare? Audi sane prudenter, quid de his scriptum sit. *Cum enim viderent*, inquit Scriptura, *Judæi Petri in loquendo libertatem, et Joannis, atque animadverterent homines illos literarum rudes et imperitos esse, mirabantur* (*Act.* 4. 13), et metuebant non quod literas nescirent, sed quod cum illiterati essent omnes sapientes vincerent, *Cumque hominem cernerent, qui sanatus erat, nihil poterant contradicere* (*Ibid. v.* 14), tametsi antea contradicebant cum signa fieri viderent. Cur igitur tum minime contradicebant? Cohibebat illorum linguam virtus invisibilis crucifixi: ille os eorum obturabat, ille libertatem in dicendo compescebat: propterea stabant, neque poterant contradicere. Cum autem verba etiam protulerunt, vide quo pacto metum suum fateantur. *Vultis*, inquiunt, *inducere super nos sanguinem hominis istius* (*Ib.* 5. 28)? At enim si nudus homo est, cur ejus sanguinem pertimescis? quam multos prophetas occidisti, quam multos justos jugulasti, Judæe, nec ullius illorum sanguinem reformidasti? cur igitur hic reformidas? Vere conscientiam terrebat illorum crucifixus, suamque formidinem cum occultare non possent, vel etiam inviti suam coram inimicis imbecillitatem fatentur. Ac dum illum quidem crucifigerent, clamabant dicentes, *Sanguis ejus super nos, et super filios nostros* (*Matth.* 27. 25); adeo sanguinem ejus spernebant. Post passionem autem cum effulgentem illius virtutem intuentur, pertimescunt et æstuant, dicuntque: *Vultis inducere sanguinem hominis istius super nos?* At enim si seductor erat, et adversarius Dei, prout dicitis, scelesti Judæi, quam ob causam sanguinem ipsius timetis? Etenim si talis erat, illius etiam fuerat cæde gloriandum. Sed quoniam talis non erat, idcirco tremunt.

9. Vides undique et inimicos æstuare ac timere? vides illorum anxietatem? Crucifixi quoque benignitatem cognosce. Siquidem illi quidem dicebant: *Sanguis ejus super nos, et super filios nostros* (*Matth.* 27. 25): Christus autem non ita fecit; verum supplicans Patri ait, *Pater, dimitte illis: non enim sciunt, quid faciunt* (*Luc.* 23. 34). Si enim super illos sanguis fuisset, et super filios illorum, nequaquam ex illorum filiis delecti essent apostoli: nequaquam ter mille simul credidissent, neque quinquies mille. Vides ut illi quidem crudeles ac sævi cum in suos liberos essent, ipsam etiam naturam abnegarint, Deus autem patres omnes superaverit benignitate, ac filios majori quam matres fuerit amore complexus? San-

guis enim ejus super illos et super illorum filios fuit; super filios vero non omnes, sed super illos tantum, qui paternam impietatem et iniquitatem imitati sunt, et quotquot illis filii fuerunt non secundum naturæ successionem, sed secundum voluntatis insaniam, hi soli malis facti sunt obnoxii.

Jerusalem quando excisa. — Tu vero mihi bonitatem ac benignitatem Dei aliunde quoque considera. Non enim statim illis supplicium ac pœnam intulit, sed quadraginta et plures elabi post passionem annos sivit. Siquidem Salvator ipse Tiberio imperante cruci affixus est : at illorum civitas imperantibus Vespasiano ac Tito capta est. Cur igitur consequens tempus omisit? Voluit illis spatium ad pœnitentiam agendam præbere, ut peccata deponerent, ut crimina a se depellerent. Postquam autem temporis spatium ad pœnitentiam præstitutum habentes immedicabili se laborare morbo præ se tulerunt, tum demum supplicium illis ac pœnam intulit, et eversa illorum urbe per universum orbem terrarum eductos illos dispersit. Atque hoc benignitatis ejus opus fuit. Siquidem illos dispersit, ut Christum, quem cruci affixerant, ubique terrarum cernerent adorari, ut cum ab omnibus adoratum illum cernerent, ejusque virtutem perciperent, summam suam impietatem agnoscerent, eaque cognita ad veritatem redirent. Atque ipsa captivitas illis deinde doctrinæ, ac supplicium admonitionis occasionem afferebat : si enim in regione Judææ remansissent, veraces fuisse prophetas non agnovissent. Quid enim prophetæ dicebant? *Postula a me, et dabo tibi gentes hereditatem tuam, et possessionem tuam terminos terræ* (*Psal.* 2. 8). Itaque illos egredi oportuit ad terræ terminos, ut propriis oculis cernerent a Christo terræ terminos possideri. Rursus alius propheta dicit : *Et adorabunt eum singuli e loco suo* (*Soph.* 2. 11). Ergo illos per omnia terræ loca dispergi oportuit, ut unumquemque adorare illum proprius oculis cernerent. Rursus alius dixit : *Replebitur terra, ut cognoscat Dominum, sicut aqua multa ad operiendum maria* (*Hab.* 2. 14). In omnem igitur terram abire illos oportuit, ut repletam illam cognitione Domini viderent, et maria, hoc est spirituales istas Ecclesias, pietate redundantia. Propterea ubique terrarum dispersit illos Deus : si enim in Judæa resedissent, hæc ignorassent. Jam vero prophetas veraces esse, atque ipsum virtute pollere suorum oculorum experimento vult ipsos cognoscere : ut, si quidem probi gratique fuerint, ad veritatem per ista deducantur : sin autem in impietate perseverent, nullam habeant in tremenda die judicii excusationem. Propterea per universum orbem terrarum illos dispersit, ut et nos quidpiam inde lucri decerpamus, hoc est, dum prolatas illas de illorum dispersione prædictiones, deque Jerosolymorum eversione cernimus, quas et Daniel, dum abominationis desolationis mentionem facit (*Dan.* 9. 27), et Malachias dum ait : *Quia et in vobis claudentur januæ* (*Mal.* 1. 10), et David, et Isaias, et alii prophetæ multi de his prædixerunt, ut videntes eos qui Dominum tot injuriis affecerant, ita fuisse punitos, patria libertate privatos et suis omnibus legibus ac paternis traditionibus, virtutem ejus agnoscamus, quæ illa prædixit atque perfecit, atque inimici quidem ex nostris bonis potentiam illius intelligant, nos autem ex supplicio de illis sumpto immensam ejus benignitatem ac potentiam agnoscamus, nec unquam illum glorificare desinamus, ut et sempiterna atque ineffabilia bona consequamur, gratia et benignitate Domini nostri Jesu Christi, cum quo Patri gloria, una cum sancto et vivifico Spiritu, honor et imperium, nunc et semper, et in sæcula sæculorum. Amen.

Ἐγένετο μὲν γὰρ τὸ αἷμα αὐτοῦ ἐπ' αὐτοὺς καὶ ἐπὶ τὰ τέκνα αὐτῶν· ἐπὶ τὰ τέκνα δὲ οὐχὶ πάντα, ἀλλ' ἐπ' ἐκεῖνα μόνον τὰ μιμησάμενα τὴν πατρικὴν ἀσέβειαν καὶ παρανομίαν, καὶ ὅσοι ἦσαν αὐτοῖς υἱοὶ οὐ κατὰ τὴν τῆς φύσεως διαδοχήν, ἀλλὰ κατὰ τὴν τῆς προαιρέσεως μανίαν, οὗτοι μόνοι γεγόνασιν ὑπεύθυνοι τῶν κακῶν.

Σκόπει δέ μοι καὶ ἑτέρωθεν τὴν ἀγαθότητα καὶ φιλανθρωπίαν τοῦ Θεοῦ. Οὐ γὰρ εὐθέως ἐπήγαγεν ἐπ' αὐτοὺς τὴν κόλασιν καὶ τὴν τιμωρίαν, ἀλλὰ τεσσαράκοντα καὶ πλείονα ἔτη διέλιπε μετὰ τὸν σταυρόν. Αὐτὸς μὲν γὰρ ὁ Σωτὴρ ἐπὶ Τιβερίου ἐσταυρώθη· ἡ δὲ πόλις αὐτῶν ἐπὶ Οὐεσπασιανοῦ καὶ Τίτου ἑάλω. Τίνος οὖν ἕνεκεν τὸν μετὰ ταῦτα τοῦτον χρόνον διέλιπεν; Βουλόμενος αὐτοῖς δοῦναι καιρὸν μετανοίας, ὥστε ἀποδύσασθαι τὰ πεπλημμεληκένα, ὥστε ἀποκρύσασθαι τὰ ἐγκλήματα. Ἐπειδὴ δὲ καὶ προθεσμίαν μετανοίας λαβόντες ἔμενον ἀνιάτως ἔχοντες, ἐπήγαγε λοιπὸν αὐτοῖς τὴν κόλασιν καὶ τὴν τιμωρίαν, καὶ τὴν πόλιν καθελὼν ἐξήγαγεν αὐτοὺς διασπείρας πανταχοῦ τῆς οἰκουμένης, καὶ τοῦτο διὰ φιλανθρωπίαν ποιῶν. Διέσπειρε γὰρ αὐτοὺς, ἵνα πανταχοῦ τῆς οἰκουμένης προσκυνούμενον ἴδωσι τὸν ὑπ' αὐτῶν σταυρωθέντα Χριστὸν, ἵνα ὁρῶντες αὐτὸν προσκυνούμενον ὑπὸ πάντων καὶ μαθόντες αὐτοῦ τὴν δύναμιν, ἐπιγνῶσι τῆς οἰκείας ἀσεβείας τὴν ὑπερβολὴν, καὶ ἐπιγνόντες ἐπανέλθωσι πρὸς τὴν ἀλήθειαν. Καὶ λοιπὸν ἡ αἰχμαλωσία αὐτοῖς διδασκαλία ἐγίνετο, καὶ ἡ τιμωρία νουθεσία· εἰ γὰρ ἔμενον ἐπὶ τῆς Ἰουδαίας γῆς, οὐκ ἂν ἔγνωσαν τῶν προφητῶν τὴν ἀλήθειαν. Τί γὰρ καὶ ἔλεγον οἱ προφῆται; *Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς.* Ἔδει τοίνυν αὐτοὺς ἐξελθεῖν εἰς τὰ πέρατα τῆς γῆς, ἵνα ἴδωσιν οἰκείοις ὀφθαλμοῖς, ὅτι καὶ τὰ πέρατα τῆς γῆς κατέχει ὁ Χριστός. Πάλιν οὖν ἕτερος προφήτης λέγει· *Καὶ προσκυνήσουσιν αὐτῷ ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ.* Ἔδει τοίνυν αὐτοὺς εἰς ἅπαντα διασπαρῆναι τόπον τῆς γῆς, ἵνα ἴδωσιν οἰκείοις ὄμμασιν ἕκαστον ἐκ τοῦ τόπου αὐτοῦ προσκυνοῦντα αὐτόν. Πάλιν ἄλλος εἶπε· *Πλησθήσεται ἡ γῆ τοῦ γνῶναι τὸν Κύριον, ὡς ὕδωρ πολὺ καταλαλύψαι θαλάσσας.* Ἔδει τοίνυν [96] αὐτοὺς εἰς ἅπασαν τὴν γῆν ἀπελθεῖν, ὥστε ἰδεῖν αὐτὴν πεπληρωμένην τοῦ γνῶναι τὸν Κύριον, καὶ τὰς θαλάσσας, τουτέστι τὰς πνευματικὰς ταύτας Ἐκκλησίας, τῆς θεοσεβείας μεμεστωμένας. Διὰ ταῦτα διέσπειρεν αὐτοὺς ὁ Θεὸς πανταχοῦ τῆς γῆς· εἰ γὰρ ἐν Ἰουδαίᾳ ἐκάθηντο, ταῦτα ἂν ἠγνόησαν. Λοιπὸν βούλεται αὐτοὺς καὶ τῆς τῶν προφητῶν ἀληθείας καὶ τῆς αὐτοῦ δυνάμεως αὐταῖς ὄψεσι τὴν πεῖραν λαβεῖν· ἵνα ἐὰν μὲν εὐγνωμονῶσι, διὰ τούτων χειραγωγηθῶσι πρὸς τὴν ἀλήθειαν· ἂν δὲ ἐπιμένωσι τῇ ἀσεβείᾳ, μηδεμίαν ἔχωσιν ἀπολογίαν ἐν τῇ φοβερᾷ τῆς κρίσεως ἡμέρᾳ. Διὰ τοῦτο διέσπειρεν αὐτοὺς πανταχοῦ τῆς οἰκουμένης, ἵνα καὶ ἡμεῖς ἐκ τούτου κερδάνωμέν τι, τουτέστιν ἐκείνας τὰς προρρήσεις ὁρῶντες τὰς περὶ τῆς διασπορᾶς αὐτῶν εἰρημένας, τὰς περὶ τῆς ἁλώσεως τῶν Ἱεροσολύμων, ἃς καὶ ὁ Δανιὴλ τοῦ βδελύγματος τῆς ἐρημώσεως μνησθείς, καὶ ὁ Μαλαχίας εἰπών, *Ὅτι καὶ ἐν ὑμῖν συγκλεισθήσονται πύλαι,* καὶ ὁ Δαυὶδ καὶ ὁ Ἡσαΐας καὶ ἕτεροι πολλοὶ προφῆται περὶ τούτων προανεφώνησαν, ἵνα ὁρῶντες τοὺς περὶ τὸν Δεσπότην ἀγνώμονας γεγενημένους οὕτω κολαζομένους, ἐκπεπτωκότας τῆς ἐλευθερίας τῆς πατρικῆς καὶ τῶν οἰκείων ἁπάντων θεσμῶν τε καὶ πατρικῶν παραδόσεων, μάθωμεν αὐτοῦ τὴν δύναμιν τὴν προειποῦσαν αὐτὰ καὶ ἐργασαμένην, καὶ οἱ μὲν ἐχθροὶ διὰ τῶν ἡμετέρων ἀγαθῶν ἴδωσιν αὐτοῦ τὴν ἰσχύν· ἡμεῖς δὲ διὰ τῶν εἰς ἐκείνους τιμωριῶν μάθωμεν αὐτοῦ τὴν ἄφατον φιλανθρωπίαν καὶ δύναμιν, καὶ διὰ παντὸς δοξάζοντες αὐτὸν διατελῶμεν, ὅπως καὶ τῶν αἰωνίων καὶ ἀπορρήτων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ Πνεύματι τιμὴ καὶ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

MONITUM AD HOMILIAM IN ILLUD, SAULUS AUTEM, ETC.,

Hæc concionatus est Chrysostomus post quartam habitam in inscriptionem Actorum homiliam. Id vero liquet ex iis quæ num. 3 dicuntur : ubi etiam hujus concionis argumentum declaratur his verbis : *Totum igitur debitum inscriptionis vobis persolvimus, inscriptionis, inquam, Actorum apostolicorum : ut igitur initium libri attingeremus, ordo exigebat, ac doceremus, quid hoc sibi velit :* Primum quidem sermonem fecimus de omnibus, ô Theophile, quæ cœpit Jesus facere ac docere. *Verumtamen non sinit Paulus, ut hanc seriem ordinis sequar, sed ad se suaque recte facta linguam nostram invitat. Cupio namque videre illum introductum Damascum, non ferrea catena, sed Dominica voce vinctum.* Hic vides post Homilias in principium Actorum institutam concionem : vides item ejus argumentum. Habitam item hanc de qua nunc agimus, antequam tempus paschale dilaberetur, aperte narrat num. 4 : *Nam si, dum solam vobis,* ait, *inscriptionem legimus et enarramus, dimidium solemnitatis consumpsimus, si ab exordio initio facto in ipsum libri pelagus orationem immittere cœpissemus, quantum, quæso, temporis impendissemus, ut ad illas de Paulo narrationes perveniremus?* Et postea numero quinto non obscure significat illam homiliam, quæ nulla intermedia præcesserat, esse quartam in principium Actorum, in qua quæritur cur Acta Apostolorum in Pentecoste legantur. Hic namque sanctus doctor talia fatur : *Nonne in priore vobis collecta dicebam ea miracula, quæ crucem secuta sunt, iis majora quæ ipsam præcesserant exstitisse? Nonne id ostendi vobis et ex miraculis et ex discipulorum benevolentia; et quo pacto antea quidem Christus imperans mortuos suscitabat, postea vero servorum ejus umbra idipsum præstabat,* etc. Quæ omnia diserte narrantur in illa quarta Homilia in principium Actorum num. 7. Hæc igitur homilia quartam illam in principium Actorum procul dubio sequitur. Qui vero fuerint illi πρόεδροι qui tum in hac, tum in sequenti homilia memorantur, in Vita Chrysostomi ad calcem Operum adornanda disquiretur.

Die insequente post habitam Homiliam in illud, *Paulus autem adhuc spirans minarum,* etc., illam concionem habuit, quæ inscribitur *De nominum mutatione.* Quod argumentum ille in fine præcedentis homiliæ cœperat, hac proposita quæstione, cur Paulo, cur Petro, cur aliis in Veteri Testamento mutatum nomen fuerit. Id enim ipse narrat num. 2. *Neque enim,* ait, *de rebus trivialibus quæstionem habemus hodie, sed de re, quæ cœpit quidem hesterno die proponi, non potuit autem solutio quæstionis afferri, propter eorum multitudinem, quæ fuerant in medium prolata. Quid illud porro est? De nominum impositione quæstio erat, quæ Deus sanctis imposuit.* Et quibusdam interpositis : *Pauli præclara facinora narrare cupiebamus, jamque historiæ attigerumus exordium; et his verbis conceptum initium narrationis invenimus :* Saulus

---

[97-98] Ἀναγνωσθείσης περικοπῆς, « Σαῦλος δὲ ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόνου, » πάντων προσδοκώντων εἰς τὴν ἀρχὴν τοῦ θ' τῶν Πράξεων τὴν ὁμιλίαν λεχθήσεσθαι, ὅτι ἀναστάσεως ἀπόδειξις ἡ Παύλου κλῆσις.

α'. Ἆρα ταῦτα φορητά; ἆρα ταῦτα ἀνεκτά; Καθ' ἑκάστην ἡμέραν ἡμῖν ἡ σύναξις πρὸς τὸ ἔλαττον συστέλλεται· καὶ μεστὴ μὲν ἡ πόλις ἀνθρώπων, κενὴ δὲ ἡ ἐκκλησία ἀνθρώπων· μεστὴ μὲν ἡ ἀγορά, καὶ θέατρα, καὶ περίπατος· ἔρημος δὲ ὁ τοῦ Θεοῦ οἶκος· μᾶλλον δὲ, εἰ χρὴ τἀληθὲς εἰπεῖν, ἔρημος μὲν ἡ πόλις ἀνθρώπων, μεστὴ δὲ ἡ ἐκκλησία ἀνθρώπων. Ἀνθρώπους γὰρ οὐ τοὺς ἐπὶ τῆς ἀγορᾶς δεῖ καλεῖν, ἀλλὰ τοὺς ἐπὶ τῆς ἐκκλησίας ὑμᾶς· οὐκ ἐκείνους τοὺς ῥᾳθυμοῦντας, ἀλλ' ὑμᾶς τοὺς σπουδάζοντας· οὐκ ἐκείνους τοὺς περὶ τὰ βιωτικὰ κεχηνότας, ἀλλ' ὑμᾶς τοὺς τὰ πνευματικὰ τῶν βιωτικῶν προτιμῶντας. Οὐ γὰρ, εἴ τις σῶμα ἀνθρώπου καὶ φωνὴν ἔχει, οὗτος ἄνθρωπος· ἀλλ' εἴ τις ψυχὴν ἀνθρώπου, καὶ διάθεσιν ἔχει ψυχῆς. Ψυχῆς δὲ ἀνθρωπίνης οὐδὲν οὕτω τεκμήριον, ὡς τῶν θείων ἐρᾷν λογίων· ὥσπερ οὐδὲν οὕτω κτηνώδους καὶ ἀλόγου ψυχῆς δεῖγμα καὶ σημεῖον, ὡς τῶν θείων ὑπερορᾷν λογίων. Βούλει μαθεῖν, ὅτι οἱ θείας ἀκροάσεως ὑπερορῶντες, καὶ τὸ εἶναι ἄνθρωποι διὰ τῆς ὑπεροψίας ταύτης ἀπώλεσαν, καὶ τῆς εὐγενείας αὐτῆς ἐξέπεσαν; Οὐκ ἐμὸν ὑμῖν ἐρῶ λόγον, ἀλλὰ προφητικὴν ἐρῶ ῥῆσιν, τὴν ἐμὴν γνώμην κυροῦσαν, ἵν' εἰδῆτε ὅτι λόγων οὐκ ἐρῶντες πνευματικῶν, οὐδὲ ἄνθρωποι εἶναι δύνανται· ἵνα εἰδῆτε ὅτι ἔρημος ἡμῖν ἐστιν ἡ πόλις ἀνθρώπων. Ὁ γὰρ μεγαλοφωνότατος Ἡσαΐας, ὁ τῶν παραδόξων ὄψεων θεωρὸς, ὁ τὰ σε-

ET IN RELIQUAS DE MUTATIONE NOMINUM.

autem adhuc spirans minas et cædem in discipulos Domini. *Continuo turbavit nos immutatio nominis*, et cætera de nominum mutatione, quæ pluribus ille prosequitur ; ita ut hæc homilia sit ceu complementum præcedentis.

Hanc homiliam secutus est sermo ille, qui post Homilias in Genesim nonus numeratur : ubi duæ illæ, de quibus jamjam egimus, homiliæ diserte memorantur, et de mutatione nominis Abrahæ, deque aliorum nominum propriorum, quæ in Veteri Testamento sunt, significatione tractatur. In hoc sermone perinde atque in præcedentibus homiliis, longo proœmio usus est Chrysostomus. Hinc querelæ populi Antiocheni, hinc reprehensiones in Chrysostomum, ob nimiam nempe proœmiorum prolixitatem. Cujus querimoniæ occasione paucis elapsis diebus illam de ferendis reprehensionibus homiliam habuit, quam nos in serie Homiliarum de nominum mutatione ponimus ; quia ipsa, licet in prius editis distracta et procul ab aliis posita, sese prodit hoc ordine ponendam esse, num. 3, his verbis : *De Paulo autem sermo nobis nuper erat, quando de nominibus disserebamus, quærebamusque cur aliquando Saulus, postea vero Paulus vocatus fuerit. Inde vero digressi sumus ad veterem historiam, omnesque qui nomina habuerant examinavimus.* Pergit etiam in hac concione, ac disquirit cur Paulo nomen mutatum sit, et cur non statim ab ejus conversione, sed non modico post illam tempore sit mutatum.

Hanc aliquanto interposito tempore excepit Homilia in illud, *Paulus vocatus*, in cujus medio idem ipsum tangit argumentum, et tres priores homilias commemorat, his verbis : *Num, si recordamini, tres integros dies de solo hoc nomine disseruisse me scitis, dum causas afferrem, ob quas cum Saulus ante vocaretur, Paulus deinde vocatus est, et quamobrem non statim ad fidem conversus hanc appellationem accepit, sed ad multum tempus nomen retinuit, quod illi parentes imposuerant?* Quibus tres hasce priores de nominum mutatione homilias ita diserte commemorat, ut nulla supersit adversum suspicandi causa. Hæ porro quatuor homiliæ in prius editis misere distractæ, et, ut ita dicam, dissipatæ erant, ut non nisi ingenti labore posset earum series internosci, quemadmodum et præcedentes aliæ quatuor in Actorum inscriptionem ; quanto autem id lectorum dispendio acciderit, norunt ii, qui vel primoribus labris rem ecclesiasticam litterariam attigerunt.

Primæ, secundæ et quartæ homiliæ interpretatio Latina est Frontonis Ducæi, tertiæ vero homiliæ novam paravimus, quia vetus illa incerti versio non accurata erat.

CUM LECTUS ESSET ILLE TEXTUS, SAULUS AUTEM ADHUC SPIRANS MINAS ET CÆDEM, CUM EXSPECTARENT OMNES HOMILIAM IN PRINCIPIUM CAP. 9 ACTORUM HABENDAM, ET QUOD RESURRECTIONIS DEMONSTRATIO SIT PAULI VOCATIO.

1. *Homines non sunt, qui Dei verbum spernunt.* — Hæccine sunt ferenda ? hæccine sunt toleranda ? Singulis diebus eorum numerus nobis imminuitur, qui collectis intersunt : et plena quidem est hominum civitas, at ecclesia est hominibus vacua : plenum quidem est forum, et theatra, et porticus : domus autem Dei deserta est : imo vero, si verum dicendum est, destituta est hominibus civitas, et plena hominum est ecclesia. Siquidem homines appellandi sunt, non qui in foro, sed vos qui in ecclesia versamini : non illi socordes, sed vos diligentes : non illi, qui res sæculares ad stuporem usque mirantur, sed vos qui spiritualia præfertis sæcularibus. Non enim si quis hominis corpus ac vocem habeat, idcirco est homo : sed si quis hominis animam et affectionem animæ habeat. Porro humanæ animæ tale nullum est judicium, quam si divinorum eloquiorum amore ducatur : quemadmodum belluinæ ac rationis expertis animæ signum et argumentum tale nullum est, ac si eloquia divina contemnat. Vin' tu intelligere, quam vere qui divini verbi expositionem audire negligunt, per hunc contemptum homines esse desinant, et ipsa sua nativa nobilitate se spolient ? Non meum vobis sermonem proferam, sed propheticam vocem proferam, quæ sententiam meam confirmet, ut videatis eos qui spiritualium sermonum amantes non sunt ; ne homines quidem esse posse ; ut civitatem hominibus desertam nobis esse videatis. Nam Isaias qui sublimitate vocis aliis antecellit, qui mirabilium illarum spectator visionum fuit, cui con-

cessum est, ut cum adhuc esset carne circumdatus, Seraphinos videret, qui mysticum illum concentum audivit, is cum in urbem Judæorum metropolim hominibus refertam ingressus esset, Jerosolyma nimirum, atque in medio foro constitisset, cum toto populo circumseptus esset, cum significare vellet non hominem esse, qui propheticos sermones non audiret, clamans dicebat, *Veni, et non erat homo : vocavi, et non erat qui obediret* (*Isai.* 50. 2). Atque ut hoc esse dictum intelligas non ob raritatem eorum, qui adessent, verum ob eorum socordiam qui audirent, postquam dixit, *Veni, et non erat homo*, subjunxit, *Et non erat qui obediret*. Itaque aderant illi quidem, sed adesse non censebantur, quandoquidem prophetam non audiebant : propterea, quandoquidem venit, et non erat homo : vocavit, et non erat qui obediret, orationem ad elementa convertit, et ait : *Audi, cœlum, et auribus percipe, terra* (*Id.* 1. 2). Nam equidem ad homines, inquit, missus fueram, ad homines ratione ac mente præditos : quando autem neque ratione, neque sensu præditi sunt isti, propterea destituta sensu alloquor elementa, in reprehensionem eorum, qui cum honorati sensu fuissent, tamen honore illo non utuntur. Sic etiam alter propheta dixit Jeremias. Siquidem ille quoque in medio Judæorum cœtu cum stetisset, in eadem illa urbe, quasi nullus adesset, ita clamabat : *Ad quem loquar, et contestabor* (*Jer.* 6. 10)? Quid ais? cum tantam videas multitudinem, quæris, quem alloquuturus sis? Quæro equidem, inquit : siquidem multitudo corporum est, non hominum multitudo : corporum est multitudo, quæ auditu non pollent. Idcirco etiam adjecit : *Incircumcisæ sunt aures eorum, et audire non possunt*. Vides omnes istos eo quod non audiant, homines non esse? Ille dixit : *Veni, et non erat homo : vocavi, et non erat qui obediret* : hic dicit, *Ad quem loquar et contestabor? incircumcisæ sunt aures eorum, et audire non possunt*. Quod si eos qui aderant, propterea quod diligenter ad ea quæ dicebantur non attendebant, ne homines quidem esse dicunt prophetæ : quid dicemus nos de illis qui non modo non audiunt, sed ne ingredi quidem hæc vestibula sacra dignantur, de illis qui extra sacrum hunc gregem vagantur, qui procul ab ædibus istis maternis in triviis et angiportis tamquam insolentes ac socordes quidam pueruli versantur? Nam et illi, cum paternam domum deseruerint, alicubi foris oberrant, et totos dies in ludis puerilibus transigunt : quam ob causam et libertate, ac sæpenumero vita pueruli tales privantur. Nam cum in manus plagiariorum aut prædonum inciderint, sæpe morte negligentiæ suæ pœnas luunt. Siquidem arreptis ipsis cum aurea ornamenta sustulerint illi, aut fluminum undis suffocant, aut si quid mitius de illis statuerint, in longinquam illos regionem abductos ac servituti addictos divendunt. Idem istis etiam accidit. Cum enim longe a paterna domo et hujus templi frequentatione aberrarint, in hæreticorum ora incidunt, et in linguas hostium veritatis : tum illi cum tamquam plagiarii quidam ipsos invaserint, et aureo fidei ornatu spoliarint, confestim eos non in flumen projectos, sed in turbida dogmata fœtoris sui demersos enecant.

2. Vestrarum hoc partium fuerit, saluti fratrum consulere, atque ad nos illos reducere, licet resistant, licet reclament, licet lamententur. Puerilis est animi contentio ista et negligentia. Vos vero imperfectam adhuc atque ita misere affectam ipsorum animam corrigite; vestri muneris est, ut illis persuadeatis, ut homines fiant. Nam quemadmodum eum, qui humana aversetur alimenta, et cum pecudibus spinis herbisque pascatur, hominem esse minime dicemus : sic nimirum eum, qui veram et animæ convenientem humanæ escam oderit, quæ ex divinis constat eloquiis, in sæcularibus autem cœtibus et omni fœditate redundantibus circulis resideat, et iniquis alatur verbis, hominem appellare minime possumus. Siquidem apud nos homo est non is tantum qui pane vescatur, sed qui priusquam ullo cibo, divinis ac spiritualibus eloquiis perfruatur. Hoc autem hominem esse, disce ex his quæ Christus effatus est : *Non in solo pane vivet homo, sed in omni verbo, quod procedit de ore Dei* (*Matth.* 4. 4). Itaque duplex vitæ nostræ est alimentum, unum deterius, alterum vero præstantius : et hoc præcipue capessendum est, ut et animam alere possimus, neque fame illam torqueri sinamus. In vestra igitur potestate situm est, ut civitatem nobis hominum plenam efficiatis. Quando ergo destituta est hominibus ampla et populosa hæc civitas, æquum est ut patriæ vestræ hanc gratiam et munificentiam conferatis, ut transmissis ad eos quæ hic didiceritis, fratrum nobis animos reconcilietis. Tum enim mensæ participes nos fuisse comprobamus, non cum mensam laudamus tantum, sed cum iis, qui abfuerint, cibariorum quidpiam largiri possumus. Hoc et vos nunc agite, sicque alterutrum ex his duobus omnino eveniet, ut vel illis persuadeatis, ad nos ut redeant, vel si in eadem contentione perseverent, vestræ linguæ opera nutriantur, imo vero plane revertantur. Non enim potius eligent gratuita beneficentia nutriri, cum pro suo jure possint ipsi hac paterna mensa potiri. Sed hoc vos facere, vel fecisse, vel esse facturos plane confido credoque; quandoquidem frequenter ad hæc hortari vos non destiti, et vos quoque omni scientia repleti estis, qui et alios admonere possitis (*Rom.* 15. 14). Jam vero tempus est, ut nostram vobis hanc mensam apponamus, vilem quidem ipsam ac tenuem, et quæ multam penuriam præ se ferat, sed quæ optimo tamen cibi condimento, alacritate auditorum, instructa sit. Mensam enim efficit jucundissimam non ciborum sumptuositas solum, sed eorum etiam qui invitati fuerint appetitus : sic et lauta et magnifica mensa vilis ac tenuis apparebit, nisi fame pressi, qui adsunt, ad illam accedant; sic etiam vilis sumptuosa censebitur, si famelicos suos convivas acceperit. Idque cum probe nosset alius quispiam, non ex natura ciborum, sed ex affectu ac dispositione convivarum de mensarum magnificentia judicium ferri, his verbis utitur : *Anima, quæ in saturitate est, favis illudit : animæ autem egenti etiam*

ραφεὶμ ἰδεῖν καταξιωθεὶς ἔτι ὢν ἐν σαρκὶ, ὁ τοῦ μυστικοῦ μέλους ἐκείνου [a], οὗτος εἰς τὴν πόλιν τῶν Ἰουδαίων τὴν μητρόπολιν εἰσελθὼν τὴν πολυάνθρωπον, τὰ Ἱεροσόλυμα λέγω, ἐν μέσαις ταῖς ἀγοραῖς ἑστὼς, τοῦ δήμου παντὸς αὐτὸν περιεστῶτος, βουλόμενος δεῖξαι, ὅτι ὁ μὴ ἀκούων τῶν λόγων τῶν προφητικῶν, οὐκ ἔστιν ἄνθρωπος, ἐβόα λέγων· *Ἦλθον, καὶ οὐκ ἦν ἄνθρωπος· ἐκάλεσα, καὶ οὐκ ἦν ὑπακουσόμενος.* Καὶ ὅτι οὐ διὰ τὴν ἐρημίαν τῶν παρόντων, ἀλλὰ διὰ τὴν ῥᾳθυμίαν τῶν ἀκροωμένων τοῦτο εἶπεν, εἰπὼν, *Ἦλθον, καὶ οὐκ ἦν ἄνθρωπος*, ἐπῆγαγε, *καὶ οὐκ ἦν ὁ ὑπακουσόμενος.* Ὥστε παρῆσαν μὲν, οὐκ ἐνομίζοντο δὲ παρεῖναι, ἐπειδὴ τοῦ προφήτου οὐκ ἤκουον· διὰ τοῦτο ἐπειδὴ ἦλθε, καὶ οὐκ ἦν ἄνθρωπος, ἐκάλεσε, καὶ οὐκ ἦν ὁ ὑπακουσόμενος, πρὸς τὰ στοιχεῖα τρέπει τὸν λόγον, καί φησιν, *Ἄκουε, οὐρανὲ, καὶ ἐνωτίζου, γῆ.* Ἐγὼ μὲν γὰρ, φησὶ, πρὸς ἀνθρώπους ἀπεστάλην, πρὸς ἀνθρώπους νοῦν ἔχοντας· ἐπειδὰν δὲ οὔτε λόγον, οὔτε αἴσθησιν ἔχοντες ὦσι, διὰ τοῦτο τοῖς οὐκ ἔχουσιν [99] αἴσθησιν στοιχείοις διαλέγομαι, εἰς κατηγορίαν τῶν αἰσθήσει τετιμημένων μὲν, οὐ χρωμένων δὲ τῇ τιμῇ. Οὕτω καὶ ἕτερος προφήτης φησὶν ὁ Ἱερεμίας. Καὶ γὰρ καὶ ἐκεῖνος ἐν μέσῳ πλήθει τῶν Ἰουδαίων ἑστὼς, ἐν αὐτῇ τῇ πόλει, ὥσπερ οὐδενὸς παρόντος, οὕτως ἐβόα· *Πρὸς τίνα λαλήσω καὶ διαμαρτυροῦμαι;* Τί λέγεις; τοσοῦτον πλῆθος ὁρῶν, ἐρωτᾷς, πρὸς τίνα λαλήσεις; Ναὶ, φησὶ· τὸ πλῆθος γὰρ τῶν σωμάτων ἐστὶν, ἀλλ' οὐ πλῆθος ἀνθρώπων· σωμάτων ἐστὶ πλῆθος οὐκ ἐχόντων ἀκοήν. Διά τοι τοῦτο καὶ ἐπήγαγεν· *Ἀπερίτμητα τὰ ὦτα αὐτῶν, καὶ οὐ δύνανται ἀκούειν.* Ὁρᾷς ὅτι πάντες οὗτοι διὰ τὸ μὴ ἀκούειν οὐκ εἰσὶν ἄνθρωποι; Ἐκεῖνός φησιν, *Ἦλθον, καὶ οὐκ ἦν ἄνθρωπος, ἐκάλεσα, καὶ οὐκ ἦν ὁ ὑπακουσόμενος·* οὗτός φησι, *Πρὸς τίνα λαλήσω καὶ διαμαρτυροῦμαι; ἀπερίτμητα τὰ ὦτα αὐτῶν, καὶ οὐ δύνανται ἀκούειν.* Εἰ δὲ τοὺς παρόντας, ἐπειδὴ μὴ προσεῖχον μετὰ σπουδῆς τοῖς λεγομένοις, οὐδὲ ἀνθρώπους εἶναί φασιν οἱ προφῆται, τί ἂν εἴποιμεν ἡμεῖς περὶ τῶν οὐ μόνον οὐκ ἀκουομένων, ἀλλ' οὐδὲ ἐπιβῆναι τῶν ἱερῶν τούτων προθύρων ἀνεχομένων, περὶ τῶν ἔξω τῆς ἱερᾶς ταύτης ἀγέλης πλανωμένων, πόῤῥωθεν ὄντων τῆς μητρικῆς ταύτης οἰκίας, ἐν ἀμφόδοις καὶ στενωποῖς, καθάπερ τὰ ἄτακτα καὶ ῥάθυμα τῶν παιδίων; καὶ γὰρ ἐκεῖνα τὸν πατρῷον οἶκον ἀφέντα, ἔξω που πλανᾶται, ἐν ἀθύρμασι διημερεύοντα παιδικοῖς· διά τοι τοῦτο καὶ τῆς ἐλευθερίας καὶ τῆς ζωῆς πολλάκις ἐξέπεσε τὰ τοιαῦτα παιδία. Περιτυγχάνοντα γὰρ ἀνδραποδιστῶν ἢ λωποδυτῶν χερσὶ, θάνατον πολλάκις τὴν τιμωρίαν τῆς ῥᾳθυμίας ἔδωκαν. Λαμβάνοντες γὰρ ἐκεῖνοι αὐτὰ, καὶ τὸν χρυσοῦν ἀφελόμενοι κόσμον, ἢ ῥεύμασι ποταμῶν ἀποπνίγουσιν, ἢ ὅταν φιλανθρωπότερόν τι περὶ αὐτῶν βουλεύσωνται, εἰς τὴν ἀλλοτρίαν ἀπαγαγόντες γῆν, τὴν ἐλευθερίαν αὐτῶν ἀποδίδονται. Τοῦτο καὶ οὗτοι πάσχουσιν. Ἐπειδὰν γὰρ τοῦ πατρῴου οἴκου καὶ τῆς ἐνταῦθα διατριβῆς ἀποπλανηθῶσι, περιτυγχάνουσι στόμασιν αἱρετικῶν, καὶ ταῖς γλώσσαις τῶν τῆς ἀληθείας ἐχθρῶν· εἶτα, καθάπερ ἀνδραποδισταὶ λαβόντες αὐτοὺς ἐκεῖνοι, καὶ τὸν χρυσοῦν τῆς πίστεως ἀφελόμενοι κόσμον, ἀποπνίγουσιν εὐθέως, οὐκ εἰς ποταμοὺς ἐμβάλλοντες, ἀλλ' εἰς τὰ θολερὰ τῆς δυσωδίας αὐτῶν καταποντίζοντες δόγματα.

β'. Ὑμέτερον ἂν εἴη τῆς τῶν ἀδελφῶν τούτων προνοῆσαι σωτηρίας, καὶ ἐπαναγαγεῖν αὐτοὺς πρὸς ἡμᾶς, κἂν ἀνθέλκωσι, κἂν ἀντιτείνωσι, κἂν καταβοῶσι, κἂν ὀδύρωνται. Παιδικῆς ἡ φιλονεικία αὕτη καὶ ῥᾳθυμία διανοίας ἐστίν. Ἀλλ' ὑμεῖς διορθώσατε τὴν ἀτελέστερον ἔτι διακειμένην αὐτῶν ψυχήν· ὑμέτερόν ἐστι πεῖσαι γενέσθαι ἀνθρώπους αὐτούς. Ὥσπερ γὰρ τὸν ἀνθρωπίνην ἀποστρεφόμενον τροφὴν, ἀκάνθας δὲ καὶ βοτάνας μετὰ τῶν θρεμμάτων βοσκόμενον, οὐκ ἂν εἴποιμεν ἄνθρωπον εἶναι· οὕτω δὴ τὸν τὴν ἀληθῆ καὶ προσήκουσαν ἀνθρωπίνῃ ψυχῇ μισοῦντα τροφὴν, τὴν ἀπὸ τῶν θείων λογίων, ἐν δὲ βιωτικοῖς συλλόγοις καὶ συνεδρίοις ἀεὶ αἰσχρότητος γέμουσι καθήμενον, καὶ παράνομα βοσκόμενον ῥήματα, οὐκ ἂν εἴποιμεν ἄνθρωπον εἶναι. Ἄνθρωπος γὰρ καθ' ἡμᾶς, οὐκ εἴ τις ἄρτον τρέφοιτο μόνον, ἀλλ' εἴ τις [100] πρὸ τῆς τροφῆς ἐκείνης θείων λογίων μετέχοι καὶ πνευματικῶν. Καὶ ὅτι τοῦτο ἄνθρωπος, ἄκουσον τοῦ Χριστοῦ λέγοντος· *Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐν παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ.* Ὥστε διπλῆ τῆς ζωῆς ἡμῶν ἡ τροφὴ, ἡ μὲν ἐλάττων, ἡ δὲ βελτίων· καὶ δεῖ μάλιστα ταύτης ἀντιποιεῖσθαι, ὥστε καὶ τὴν ψυχὴν διατρέφειν, καὶ μὴ περιορᾷν αὐτὴν λιμῷ τηκομένην. Ὑμέτερον οὖν ἂν εἴη ποιῆσαι τὴν πόλιν ἡμῖν μεστὴν ἀνθρώπων. Ἐπειδὴ οὖν ἔρημός ἐστιν ἀνθρώπων ἡ μεγάλη αὕτη καὶ πολυάνθρωπος, δίκαιοι δ' ἂν εἴητε τοῦτον τῇ πατρίδι τὸν ἔρανον εἰσενεγκεῖν, καὶ τοὺς ἀδελφοὺς ἐπισπάσασθαι δεῖ, ἂν τὰ ἐντεῦθεν πρὸς ἐκείνους διακομίσητε. Καὶ γὰρ τραπέζης τότε πεῖθομεν ἀπολαύειν, οὐχ ὅταν ἐπαινῶμεν τὴν τράπεζαν μόνον, ἀλλὰ καὶ ὅταν τῶν ἐξ αὐτῆς ἐδεσμάτων τοῖς ἀπολειφθεῖσιν ἔχωμέν τι παρασχεῖν. Τοῦτο καὶ ὑμεῖς ποιήσατε νῦν, καὶ δυοῖν θάτερον ἔσται πάντως, ἢ πείσατε αὐτοὺς πρὸς ἡμᾶς ἐπανελθεῖν, ἢ μένοντες ἐπὶ τῆς αὐτῆς φιλονεικίας, διὰ τῆς ὑμετέρας τραφήσονται γλώττης, μᾶλλον δὲ ἐπανήξουσι πάντως. Οὐ γὰρ αἱρήσονται ἐν χάριτος τρέφεσθαι μέρει, παρὸν μετ' ἐξουσίας τῆς πατρικῆς ταύτης ἀπολαύειν τραπέζης. Ἀλλ' ὅτι μὲν τοῦτο ποιεῖτε, ἢ πεποιήκατε, ἢ ποιήσετε, πάνυ θαῤῥῶ καὶ πιστεύω· καὶ γὰρ αὐτὸς συνεχῶς ταῦτα παραινῶν οὐ διέλιπον· καὶ ὑμεῖς δὲ πεπληρωμένοι ἐστὲ πάσης γνώσεως, δυνάμενοι καὶ ἄλλους νουθετεῖν. Ὥρα δὴ λοιπὸν τὴν ἡμετέραν ὑμῖν παραθεῖναι τράπεζαν τὴν εὐτελῆ ταύτην καὶ πτωχὴν, καὶ πενίας μὲν πολλῆς γέμουσαν, ἔχουσαν δὲ ὄψον ἄριστον, ὑμῶν τῶν ἀκροωμένων τὴν ἐπιθυμίαν. Τράπεζαν γὰρ ἡδίστην οὐκ ἐδεσμάτων πολυτέλεια ποιεῖ μόνον, ἀλλὰ καὶ ἡ τῶν κεκλημένων ποιεῖ ὄρεξις· οὕτω λαμπρὰ τράπεζα εὐτελὴς φανεῖται, ὅταν μὴ μετὰ τοῦ πεινῆν προσβάλωσιν οἱ παρόντες· οὕτω καὶ ἡ εὐτελὴς πολυτελὴς δείκνυται, ὅταν πεινῶντας λάβῃ τοὺς δαιτυμόνας. Ὅπερ οὖν καὶ ἕτερός τις συνιδὼν, ὅτι οὐ τῇ φύσει τῶν ἐδεσμάτων, ἀλλὰ τῇ διαθέσει τῶν ἐστιωμένων ἡ πολυτέλεια κρίνεται τῶν τραπεζῶν, οὕτω πώς φησι· *Τυχὴ ἐν πλησμονῇ οὖσα, κηρίοις ἐμπαίζει,*

[a] Hic deesse videtur ἀκροατής.

ψυχῇ δὲ ἐνδεεῖ καὶ τὰ πικρὰ γλυκέα φαίνεται· οὐ τῆς φύσεως τῶν προκειμένων μεταβαλλομένης, ἀλλ' τῆς διαθέσεως τῶν ἐστιωμένων κλεπτούσης τὴν αἴσθησιν. Εἰ δὲ τὰ πικρὰ γλυκέα φαίνεται διὰ τὴν ἐπιθυμίαν τῶν κεκλημένων, πολλῷ μᾶλλον τὰ εὐτελῆ πολυτελῆ φαίνεται. Διὸ δὴ καὶ ἡμεῖς ἐσχάτῃ συζῶντες πενίᾳ, τοὺς φιλοτίμους τῶν ἑστιατόρων μιμούμεθα, καθ' ἑκάστην σύναξιν πρὸς τὴν ἡμετέραν καλοῦντες ὑμᾶς τράπεζαν. Ποιοῦμεν δὲ τοῦτο, οὐ τῇ τῆς οἰκείας εὐπορίας πεποιθότες, ἀλλὰ τῇ τῆς ὑμετέρας ἀκροάσεως θαῤῥοῦντες [a].

γ'. Τῆς μὲν οὖν ἐπιγραφῆς ὑμῖν τὸ χρέος ἅπαν κατεβεβλήκαμεν, τῆς ἐπιγραφῆς, φημὶ, τῶν Πράξεων τῶν ἀποστολικῶν. Ἀκόλουθον δὲ λοιπὸν ἦν καὶ τῆς ἀρχῆς ἅψασθαι τοῦ βιβλίου, καὶ εἰπεῖν τί ποτέ ἐστι· *Τὸν μὲν πρῶτον λόγον ἐποιησάμεν περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν.* Ἀλλὰ Παῦλος οὐκ ἀφίησί με χρήσασθαι τῇ [101] τάξει ταύτῃ τῆς ἀκολουθίας, πρὸς ἑαυτὸν καὶ τὰ οἰκεῖα κατορθώματα τὴν ἡμετέραν γλῶτταν καλῶν. Ἐπιθυμῶ γὰρ αὐτὸν ἰδεῖν εἰς Δαμασκὸν εἰσαγόμενον, δεδεμένον, οὐκ ἐν ἁλύσει σιδηρᾷ, ἀλλὰ φωνῇ δεσποτικῇ· ἐπιθυμῶ ἰδεῖν ἁλιευθέντα τὸν ἰχθὺν τοῦτον τὸν μέγαν, τὸν ἅπασαν ἀναβράσσοντα τὴν θάλασσαν, τὸν μυρία κύματα κατὰ τῆς Ἐκκλησίας ἐπεγείραντα· ἐπιθυμῶ ἰδεῖν αὐτὸν ἁλιευθέντα, οὐκ ἀγκίστρῳ, ἀλλὰ λόγῳ δεσποτικῷ. Καθάπερ γάρ τις ἁλιεὺς ἐπὶ πέτρας ὑψηλῆς καθήμενος, τὸν κάλαμον μετεωρίζων, ἀφ' ὑψηλοῦ τὸ ἄγκιστρον ἀφίησιν εἰς τὸ πέλαγος· οὕτω δὴ καὶ ὁ Δεσπότης ὁ ἡμέτερος, ὁ τὴν ἁλείαν δείξας τὴν πνευματικὴν, καθάπερ ἐφ' ὑψηλῆς πέτρας τῶν οὐρανῶν καθήμενος, ὥσπερ ἄγκιστρον τὴν φωνὴν ταύτην ἀφεὶς ἄνωθεν, καὶ εἰπὼν, *Σαῦλε, Σαῦλε, τί με διώκεις;* οὕτως ἡλίευσε τὸν ἰχθὺν τοῦτον τὸν μέγαν. Καὶ οἷον ἐπὶ τοῦ ἰχθύος γέγονεν, ὃν ἡλίευσε Πέτρος κατὰ τὸ πρόσταγμα τὸ δεσποτικὸν, τοιοῦτόν τι καὶ ἐπὶ τούτου συνέβη. Καὶ γὰρ καὶ οὗτος ὁ ἰχθὺς εὑρέθη στατῆρα ἔχων ἐν τῷ στόματι, στατῆρα μὲν, κίβδηλον δέ· εἶχε μὲν γὰρ ζῆλον, οὐ κατ' ἐπίγνωσιν δέ. Διὰ τοῦτο τὴν ἐπίγνωσιν αὐτῷ χαρισάμενος ὁ Θεὸς, δόκιμον ἐποίησε τὸ νόμισμα· καὶ ὅπερ ἐπὶ τῶν ἁλιευομένων ἰχθύων γίνεται, τοῦτο καὶ ἐπὶ τούτου γέγονε. Καθάπερ γὰρ ἐκεῖνοι τοῦ πελάγους εὐθέως ἀνελκυσθέντες ἀποτυφλοῦνται, οὕτω καὶ οὗτος δεξάμενος εὐθέως τὸ ἄγκιστρον, καὶ ἀνασπασθεὶς εὐθέως ἐπετυφλώθη· ἀλλ' ἐκείνη ἡ τύφλωσις πᾶσαν οἰκουμένην ἀναβλέψαι ἐποίησε. Ταῦτ' οὖν ἅπαντα ἰδεῖν ἐπιθυμῶ. Καὶ γὰρ εἰ πόλεμος ἡμῖν περιειστήκει βαρβαρικὸς, καὶ ἐπὶ τῆς παρατάξεως οἱ πολέμιοι μυρία παρεῖχον ἡμῖν πράγματα, εἶτα ὁ στρατηγὸς τῶν βαρβάρων, ὁ μυρία προσάγων μηχανήματα, καὶ πάντα συγχέων τὰ ἡμέτερα, καὶ πολλοῦ θορύβου καὶ ταραχῆς πληρῶν, καὶ τὴν πόλιν αὐτὴν ἀπειλῶν κατασκάψειν, καὶ παραδώσειν πυρὶ, καὶ δουλείαν ἡμῖν ἐπανατεινόμενος, ἐξαίφνης ὑπὸ τοῦ βασιλέως τοῦ ἡμετέρου δεθεὶς αἰχμάλωτος εἰς τὴν πόλιν ἦγετο, πάντες ἂν μετὰ γυναικῶν καὶ παιδίων πρὸς τὴν θεωρίαν ἐκείνην ἐξεπηδήσαμεν. Ἐπεὶ οὖν καὶ νῦν πόλεμος συνέστηκεν, Ἰουδαίων θορυβούντων ἅπαντα καὶ ταραττόντων, καὶ πολλὰ τῇ τῆς Ἐκκλησίας ἀσφαλείᾳ προσαγόντων μηχανήματα, τὸ δὲ κεφάλαιον τῶν πολεμίων ἦν ὁ Παῦλος, ὁ πάντων μείζονα καὶ ποιῶν καὶ λέγων, ὁ πάντα θορυβῶν καὶ ταράττων, ἔδησε δὲ αὐτὸν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ βασιλεὺς ὁ ἡμέτερος, ἔδησε καὶ αἰχμάλωτον εἰσήγαγε τοῦτον τὸν πάντα ἀνατρέποντα, οὐκ ἐξέλθωμεν ἅπαντες ἐπὶ τὴν θεωρίαν ταύτην, ὥστε ἰδεῖν αὐτὸν αἰχμάλωτον ἀγόμενον; Καὶ γὰρ οἱ ἄγγελοι τότε ἐκ τῶν οὐρανῶν ὁρῶντες αὐτὸν δεδεμένον καὶ εἰσαγόμενον, ἐσκίρτων· οὐκ ἐπειδὴ δεδεμένον εἶδον μόνον, ἀλλ' ἐπειδὴ ἐνενόουν ὅσους ἀνθρώπους ἀπὸ τῶν δεσμῶν λύειν ἔμελλεν· οὐκ ἐπειδὴ χειραγωγούμενον ἐθεάσαντο, ἀλλ' ἐπειδὴ ἐλογίζοντο, ὅσους ἀνθρώπους ἔμελλεν ἀπὸ τῆς γῆς εἰς τὸν οὐρανὸν χειραγωγεῖν ἐκεῖνος. Διὰ τοῦτο ἔχαιρον, οὐκ ἐπειδὴ πεπηρωμένον εἶδον, ἀλλ' ἐπειδὴ ἐνενόουν ὅσους ἔμελλεν ἀπὸ σκότους ἐξαγαγεῖν. Πορεύθητι γὰρ, φησὶν, εἰς τὰ ἔθνη, καὶ ἀπαλλάξας αὐτοὺς ἀπὸ σκότους, μεταστήσεις αὐτοὺς εἰς τὴν βασιλείαν τῆς ἀγάπης Χριστοῦ. [102] Διὰ ταῦτα τὸ προοίμιον ἀφεὶς, εἰς τὸ μέσον ἅλλεσθαι σπεύδω. Παῦλος γὰρ καὶ ὁ Παύλου πόθος ἠνάγκασεν ἡμᾶς πηδῆσαι τοῦτο τὸ πήδημα. Παῦλος καὶ ὁ Παύλου πόθος. Σύγγνωτέ μοι, μᾶλλον δὲ μὴ σύγγνωτε, ἀλλὰ καὶ ζηλώσατε τὸν ἔρωτα τοῦτον. Ὁ μὲν γὰρ ἄτοπον ἐρῶν ἔρωτα, εἰκότως συγγνώμην αἰτεῖ· ὁ δὲ τοιοῦτον ἐρῶν, καλλωπιζέσθω τῷ πόθῳ, καὶ πολλοὺς ποιείτω κοινωνοὺς τῆς ἐπιθυμίας, καὶ συνεραστὰς αὐτοῦ κατασκευαζέτω μυρίους. Εἰ μὲν γὰρ ἦν ὁδῷ βαδίζοντα καὶ τάξει προβαίνοντα, καὶ τὰ πρότερα εἰπεῖν, καὶ πρὸς τὰ μέσα φθάσαι, οὐκ ἂν τὴν ἀρχὴν ἀφέντες, εὐθέως ἐπὶ τὸ μέσον ἤλθομεν· ἐπειδὴ δὲ τῶν Πατέρων ὁ νόμος κελεύει μετὰ τὴν Πεντηκοστὴν ἀποτίθεσθαι τὸ βιβλίον, καὶ τῷ τέλει τῆς ἑορτῆς ταύτης συγκαταλύεται καὶ ἡ τοῦ βιβλίου ἀνάγνωσις, ἐφοβήθην μή ποτε περὶ τὰ προοίμια ἀσχολουμένων ἡμῶν καὶ διατριβόντων, προσεκδράμῃ τὴν ἡμετέραν ἄφιξιν τῆς ἱστορίας ἡ ἀκολουθία. Διὰ τοῦτο ἔδραμον ἀπὸ τῆς ἀρχῆς τοῦ διηγήματος, καὶ καθάπερ κεφαλῆς ὄπισθεν κατέχων τὸ προοίμιον τῆς ἱστορίας, κελεύσας μεῖναι καὶ στῆναι ὑμᾶς ἐν τῇ ἀρχῇ τῆς ὁδοῦ. Τῆς γὰρ τοῦ διηγήματος κεφαλῆς ἁψάμενος, θαῤῥῶν λοιπὸν ἅπασιν ἐπέξειμι τοῖς λοιποῖς, κἂν ἡ ἑορτὴ παρέλθῃ· οὐδεὶς γὰρ ἡμῖν ἀκαιρίαν ἐγκαλέσει, αὐτῆς τῆς κατὰ τὴν ἀκολουθίαν ἀνάγκης τῶν τῆς ἀκαιρίας ἐγκλημάτων ἀπαλλαττούσης ἡμᾶς· διὰ τοῦτο ἀπὸ τῶν προοιμίων ἐπὶ τὸ μέσον ἔδραμον. Ὅτι γὰρ οὐκ ἦν ὁδῷ βαδίζοντα πρὸς Παῦλον ἐλθεῖν, ἀλλὰ προεξέδραμεν ἂν τῆς ἡμετέρας γλώττης τὸ βιβλίον, καὶ τὰς θύρας ἡμῖν ἀπέκλεισεν ἄν, ἐξ αὐτοῦ τοῦ προοιμίου ποιήσω φανερὸν, εἰ καὶ ἤδη γέγονε τοῦτο δῆλον.

δ'. Εἰ γὰρ ἐπιγραφὴν μόνην ὑμῖν ἀναγινώσκοντες καὶ ἐξηγούμενοι, τὸ ἥμισυ τῆς ἑορτῆς ἀνηλώσαμεν, εἰ καὶ πρὸς τὸ πέλαγος αὐτὸ τοῦ βιβλίου ἀπὸ τοῦ προοιμίου ἀρξάμενοι, τὸν λόγον ἆραι ἐπεχειρήσαμεν, πόσον ἂν ἀνηλώσαμεν χρόνον, ὥστε φθάσαι εἰς τὰ κατὰ τὸν Παῦλον διηγήματα; Μᾶλλον δὲ ἐξ αὐτοῦ τοῦ προοιμίου δῆλον ὑμῖν τοῦτο ποιῆσαι πειράσομαι. *Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε.* Πόσα νομίζετε ἐνταῦθα εἶναι ζητήματα; Πρῶτον, τίνος ἕνεκεν ἀναμιμνήσκει αὐτὸν τοῦ πρωτέρου βιβλίου. Δεύτερον, τίνος ἕνεκεν λόγον καλεῖ, καὶ

[a] Hic deesse aliquid videtur.

amara dulcia videntur (*Prov.* 27. 7) : non quod eorum quæ apposita sunt, natura mutetur, sed quod eorum affectio, qui convivio sunt excepti, sensum decipiat. Quod si propter convivarum cupiditatem amara dulcia videntur, multo magis ea quæ vilia sunt, sumptuosa videbuntur. Atque idcirco nos quoque, summa licet inopia pressi, magnificos convivatores imitamur, dum singulis collectis ad nostram vos mensam invitamus. Id vero facimus non nostris opibus freti, sed quod de vestra auditione confidamus.

3. *Pauli conversi cum pisce comparatio.* — Totum igitur debitum inscriptionis vobis persolvimus, inscriptionis, inquam, Actorum apostolicorum. Ut igitur initium libri attingeremus, ordo exigebat, ac doceremus, quid hoc sibi velit : *Primum quidem sermonem fecimus de omnibus, o Theophile, quæ cæpit Jesus facere ac docere* (*Act.* 1. 1). Verumtamen non sinit Paulus ut hanc seriem ordinis sequar, sed ad se suaque recte facta linguam nostram invitat. Cupio namque videre illum introductum Damascum, non ferrea catena, sed dominica voce vinctum. Cupio videre piscatu captum piscem hunc magnum, qui totum exæstuans mare conturbat, qui fluctus innumeros adversus Ecclesiam excitat. Cupio videre ipsum piscatu captum non hamo, sed verbis Domini. Nam quemadmodum in sublimi rupe considens piscator, et arundinem attollens, hamum ab alto in mare demittit : sic nimirum et Dominus noster spiritualem exhibens piscaturam tamquam in sublimi cælorum rupe considens, velut hamo quodam desuper hac voce missa cum dixisset, *Saule, Saule, quid me persequeris* (*Act.* 9. 4)? piscem hunc ingentem piscatus est. Et quod in pisce contigit, quem jussu Domini piscatus est Petrus, hoc et in isto evenit. Siquidem hic quoque piscis in ore staterem habens inventus est; staterem quidem, sed adulterinum : quippe qui zelum haberet, sed non secundum scientiam. Propterea cum scientiam illi largitus esset Deus, probum illum nummum reddidit : et quod piscatu captis accidit piscibus, hoc et in isto accidit. Nam ut illi cum primum extracti e mari fuerint, confestim cæci fiunt : sic et iste confestim hamum excepit, et extractus confestim est excæcatus : verum excæcatio hæc effecit, ut totus orbis terrarum visum reciperet. Hæc igitur omnia cupio cernere. Nam si forte bellum nos barbaricum circumsideret, et in aciem dispositi hostes innumera nobis negotia facesserent, deinde barbarorum exercitus ductor, qui machinis nos oppugnaret innumeris, resque nostras omnes conturbaret, et tumultu ac perturbatione compleret, urbem ipsam funditus eversurum se minaretur, et igne succensurum, qui servitutem intentaret, confestim ab Imperatore nostro vinctus et captivus in urbem introduceretur, nonne omnes cum mulieribus et puerulis ad spectaculum illud exsiliremus? Quando igitur et nunc bellum est indictum, dum omnia confundunt turbantque Judæi, et multis machinis Ecclesiæ quietem ac securitatem oppugnant; caput autem et princeps hostium cum esset Paulus, qui majora quam cæteri faciebat, ac dicebat, qui cuncta miscebat et conturbabat, jam a Domino nostro Jesu Christo Imperatore nostro vinctus est, et captivus abductus qui cuncta susque deque vertebat, non ad spectaculum istud egrediemur omnes, ut captivum ipsum duci videamus? Nam et angeli cum e cælis ipsum duci captivum cernerent, exsultabant : non quod vinctum cernerent tantum, sed quia, quam multos homines a vinculis expediturus esset, cogitabant : non quod manu duci spectarent, sed quod mente versarent, quam multos homines in cælum e terris injecta manu esset introducturus. Propterea gaudebant, non quod excæcatum viderent, sed quod intelligerent, quantos esset e tenebris educturus : Proficiscere namque, inquit, ad gentes, et a tenebris liberatos in regnum eos dilectionis Christi transferes. Propterea misso exordio, ad medium propero transilire : nam Paulus et in Paulum amor hunc dare saltum nos coegit. Paulus et in Paulum amor. Ignoscite mihi : vel potius, nolite ignoscere, sed et amorem istum æmulamini. Nam is qui turpi amore correptus est, merito veniam postulat : qui vero ejusmodi amore flagrat, hac cupidine glorietur, multosque faciat desiderii istius participes et innumeros comparet sibi rivales. Si enim fieri posset ut recta via pergentes, et ordine progredientes priora diceremus, et ad ea quæ in medio sunt perveniremus, nequaquam omisso principio confestim ad medium venissemus : sed quoniam post Pentecosten deponi librum lex patrum jubet, et una cum fine solemnitatis hujus lectio libri terminatur, veritus sum, ne dum in exponendis proœmiis occupamur et immoramur, historiæ series nos prius effugeret, quam illam possemus attingere. Idcirco a principio narrationis ad alia properans, et proœmium historiæ tamquam a posteriori capitis parte prehensum retinens, manere vos jussi, et in principio viæ subsistere. Postquam enim narrationis caput attigero, confidenter deinceps quæ sequuntur, quamvis festum præterierit, cuncta percurram; neque vero nos accusare quisquam poterit, quod intempestivam narrationem afferamus, cum ordinis ipsius necessitas omni nos intempestivi argumenti accusatione liberet : quam ob causam a proœmio ad medium usque decurri. Non enim fieri potuisse, si recta via progressi essemus, ut ad Paulum perveniremus, sed linguam nostram prius evasurum fuisse librum, nobisque fores occlusurum, ex ipsius proœmii expositione demonstrabo, tametsi jam illud re ipsa patefactum est.

4. Nam si dum solam vobis inscriptionem legimus et enarramus, dimidium solemnitatis consumpsimus, si ab exordio initio facto in ipsum libri pelagus orationem immittere cœpissemus, quantum, quæso, temporis impendissemus, ut ad illas de Paulo narrationes perveniremus? Imo vero ex ipso proœmio vobis hoc ipsum conabor ostendere. *Primum quidem sermonem feci de omnibus, o Theophile* (*Act.* 1. 1). Quot existimatis hic esse quæstiones? Primum quidem, quam ob causam priorem librum in memoriam illi revocet. Secundo, quam ob causam *Sermonem* vocet,

et non Evangelium : tametsi Paulus Evangelium illum vocat, dum sic ait : *Cujus laus est in evangelio per omnes Ecclesias* (2. *Cor.* 8. 18), de Luca verba faciens. Tertio qua de causa dicat, *De omnibus quæ fecit Jesus.* Si enim Joannes Christi dilectus, qui tanta fiducia gratiaque apud illum valebat, cui datum fuerat, ut supra sacrum illud pectus recumberet, qui spiritus fontes inde hauserat, hic illud dicere minime ausus est, sed tantam cautionem adhibuit, ut diceret : *Si scribantur per singula omnia, quæ fecit Christus, nec ipsum arbitror mundum capere posse eos, qui scribendi sunt, libros* (*Joan.* 21. 25) : quomodo dicere hic ausus est : *Primum quidem sermonem feci de omnibus, o Theophile, quæ fecit Jesus* (*Luc.* 1. 1)? an vero parva nobis hæc quæstio videtur? Atque illic quidem, *Optime Theophile*, nomen cum laude positum est : neque enim hoc sine causa dictum est sanctis. Et forte illud ex parte demonstravimus, neque unum iota, neque apicem unum temere positum esse in Scripturis. Si ergo tot ac tantæ sunt in proœmio quæstiones, quantum nobis temporis impendendum fuisset, si omnia quæ sequebantur, voluissemus percurrere? Has ob causas, prætermissis quæ interjecta erant, coactus sum ad Paulum venire. Cur igitur propositis quæstionibus earum solutionem non adjecimus? Ut scilicet vos assuefaceremus non semper mansum excipere cibum, sed sæpenumero solutionem sententiis per vos ipsos adjungere, quod facere solent columbæ. Siquidem illæ pullos quamdiu quidem in nido manent, ore proprio nutriunt : postquam autem ejicere illos e nido possunt, eisque cernunt jam natas alas, non jam amplius id præstant, sed granum quidem ore gestant et ostentant : ubi vero pulli sperantes propius accesserint, dimissam in pavimentum escam matres per seipsos jubent colligere : sic et nos fecimus, dum accepto in ore spirituali cibo vos invitavimus tamquam solutionem more consueto exposituri : postquam autem advenistis, et vos excepturos sperastis, vos dimisimus, ut ipsi per vos sententias colligatis. Propterea proœmio derelicto ad Paulum festinamus. Dicturi porro sumus non ea solum quibus Ecclesiæ profuit, sed etiam ea quibus ei nocuit : nam et hæc e re nostra est oratio. Dicemus quo pacto verbum prædicationis oppugnaret, quo pacto Christo bellum inferret, quo pacto apostolos persequeretur, quo pacto hostili in eos animo esset, quo pacto Ecclesiæ plus negotii, quam cæteri omnes facesseret. Verumtamen neminem pudeat hæc audire de Paulo : non enim hæc sunt ejus accusationes, sed laudum potius occasiones. Non enim crimen est illi, cum prius improbus fuisset, bonum deinceps evasisse; sed si, cum prius virtute præditus fuisset, postea mutatus ad improbitatem descivisset; semper enim res ex fine judicantur. Nam et gubernatores, licet innumera sint passi naufragia, cum ad portum navem appulsuri sunt, si refertam mercibus onerariam deduxerint, nequaquam illos male functos esse munere suo dicimus, cum rei exitus omnia quæ præcesserant occultarit : et rursus athletas, licet multoties fuerint ante superati, modo in ea pugna vincant, in qua de corona agitur, nequaquam propter ea quæ præcesserunt, victoriæ præconiis defraudamus. Sic et erga Paulum nos geramus. Nam et ipse naufragia passus est innumera : sed cum ad portum appulsurus navem fuit, refertam mercibus onerariam deduxit. Et quemadmodum Judæ nihil profuit, discipulum prius fuisse, cum deinde factus sit proditor : ita nec isti quidquam nocuit antea persequutorem fuisse, cum evangelista deinceps evaserit. Hæc Pauli sunt præconia, non quod Ecclesiam subverterit, sed quod ipsam rursus ædificarit : non quod verbum Dei oppugnarit, sed quod, postquam verbum oppugnarat, ipse illud rursus amplificaverit : non quod apostolis bellum intulerit, non quod gregem dissiparit, sed quod, ubi dissipasset, illum ipse deinde congregarit.

5. *Pauli conversio magnum miraculum. Liberum arbitrium.* — Quid hoc admirabilius fieri possit? Lupus pastor est factus : qui sanguinem ovium absorbebat, sanguinem suum pro salute ovium fundere non cessavit. Vis tu intelligere quo pacto sanguinem ovium absorberet? quo pacto sanguinem ejus lingua stillaret? *Saulus autem adhuc spirans minas et cædem in discipulos Domini* (*Act.* 9. 1). Attamen iste qui minas et cædem spirabat, et sanctorum sanguinem fundebat, audi quo pacto sanguinem suum pro sanctis funderet. *Si secundum hominem*, inquit, *ad bestias pugnavi Ephesi* (1. *Cor.* 15. 32) : et rursus, *Quotidie morior* (*Ib. v.* 31) : et rursus, *Æstimati sumus sicut oves occisionis* (*Rom.* 8. 36). Atque hoc dicebat is qui aderat, cum Stephani sanguis funderetur, et erat consentiens neci ejus. Vides ut lupus pastor evaserit? Numquid non erubescitis, cum audiveritis antea persequutorem illum, et blasphemum et contumeliosum fuisse? Vidistis ut prior accusatio laudes ejus nova accessione cumularit? Nonne in priori vobis collecta dicebam ea miracula, quæ crucem sequuta sunt, iis majora quæ ipsam præcesserant exstitisse? nonne id ostendi vobis et ex miraculis et ex discipulorum benevolentia; et quo pacto antea quidem Christus imperans mortuos suscitabat, postea vero servorum ejus umbra idipsum præstabat? quo pacto tum quidem ille suo jussu miracula patrabat : postea vero servi ejus nomen ipsius usurpantes majora faciebant? nonne de hostibus dicebam, quo pacto conscientiam illorum perterrefaceret? quo pacto universo terrarum orbi imperaret? quo pacto majora fuerint post crucem miracula, quam quæ crucem præcesserant? Illius germana quæ se nunc ingerit est oratio. Quod enim majus hoc cerni possit miraculum, quod in Paulo contigit? Nam viventem quidem illum Petrus negavit, at mortuum Paulus confessus est. Porro mentem Pauli pellexisse atque expugnasse majus signum fuit, quam umbrarum opera mortuos suscitasse. Nam illic quidem sequebatur natura, neque imperanti contradicebat : hic vero in potestate liberi arbitrii situm erat, ut persuaderetur vel non persuaderetur; unde magna virtus ejus qui persuasit, ostenditur. Multo enim majus fuit voluntatem convertisse, quam naturam correxisse : majus igitur cæteris omni-

οὐχὶ Εὐαγγέλιων· καίτοι γε Παῦλος Εὐαγγέλιον αὐτὸ καλεῖ, οὑτωσὶ λέγων, *Οὗ ὁ ἔπαινος ἐν τῷ Εὐαγγελίῳ διὰ πασῶν τῶν Ἐκκλησιῶν*, περὶ τοῦ Λουκᾶ λέγων. Τρίτον, τίνος ἕνεκέν φησι, *Περὶ πάντων ὧν ἐποίησεν ὁ Ἰησοῦς*. Εἰ γὰρ Ἰωάννης, ὁ ἀγαπητὸς τοῦ Χριστοῦ, ὁ τοσαύτης ἀπολαύσας παῤῥησίας, ὁ ἐπὶ τὸ στῆθος ἐκεῖνο τὸ ἅγιον κατακλιθῆναι καταξιωθείς, ὁ τὰς πηγὰς ἐκεῖθεν ἀρυσάμενος τοῦ Πνεύματος, οὗτος οὐκ ἐτόλμησε τοῦτο εἰπεῖν, ἀλλὰ τοσαύτῃ κέχρηται ἀσφαλείᾳ, ὡς εἰπεῖν, ὅτι *Εἰ ἐγράφετο καθ' ἓν πάντα ὅσα ἐποίησεν ὁ Χριστὸς, οὐδ' ἂν αὐτὸν οἶμαι χωρῆσαι τὸν κόσμον τὰ γραφόμενα βιβλία*· πῶς οὗτος ἐτόλμησεν εἰπεῖν, ὅτι *Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἐποίησεν ὁ Ἰησοῦς*; ἆρα μικρὸν ἡμῖν τὸ ζήτημα τοῦτο εἶναι δοκεῖ; [103] Κἀκεῖ μὲν, *Κράτιστε Θεόφιλε*, μετ' ἐγκωμίου τὸ ὄνομα· οὐδὲ γὰρ ἁπλῶς τοῦτο τοῖς ἁγίοις εἴρηται. Καὶ τάχα καὶ τοῦτο ἀπὸ μέρους ἐδείξαμεν, ὅτι οὐδὲ ἰῶτα ἓν, οὐδὲ μίαν κεραίαν ἁπλῶς ἔστιν ἰδεῖν ἐν ταῖς Γραφαῖς κειμένην. Εἰ τοίνυν ἐν τῷ προοιμίῳ τοσαῦτα ζητήματα, πόσον ἐμέλλομεν ἀναλίσκειν χρόνον τὰ ἐξῆς ἅπαντα ἐπιόντες; Διὰ ταῦτα ἠναγκάσθην τὸ ἐν μέσῳ παραδραμὼν, πρὸς Παῦλον ἐλθεῖν. Τίνος οὖν ἕνεκεν τὰ ζητήματα εἰπόντες, τὴν λύσιν αὐτῶν οὐκ ἐπηγάγομεν; Ἐθίζοντες ὑμᾶς μὴ διὰ παντὸς μεμασημένην δέχεσθαι τὴν τροφὴν, ἀλλὰ πολλαχοῦ καὶ αὐτοὺς ἐπάγειν τὴν λύσιν τοῖς νοήμασιν, ὅπερ ποιοῦσιν αἱ περιστεραί. Καὶ γὰρ ἐκεῖναι τοὺς νεοττοὺς, ἕως μὲν ἂν ἐν τῇ καλιᾷ μένουσι, τῷ οἰκείῳ τρέφουσι στόματι· ἐπειδὰν δὲ αὐτοὺς δυνηθῶσιν ἐξαγαγεῖν τῆς νοσσιᾶς, καὶ ἴδωσιν αὐτοῖς παγέντα τὰ πτερὰ, οὐκέτι τοῦτο λοιπὸν ποιοῦσιν, ἀλλὰ φέρουσι μὲν τὸν κόκκον ἐπὶ τοῦ στόματος καὶ δεικνύουσιν· ἐπειδὰν δὲ οἱ νεοττοὶ προσδοκήσαντες πλησίον ἔλθωσιν, αἱ μητέρες ἀφεῖσαι τὴν τροφὴν ἐπὶ τοῦ ἐδάφους, δι' ἑαυτῶν κελεύουσιν ἀναλέγεσθαι· οὕτω καὶ ἡμεῖς ἐποιήσαμεν, λαβόντες τὴν πνευματικὴν τροφὴν ἐπὶ τοῦ στόματος, ἐκαλέσαμεν ὑμᾶς, ὡς δηλώσοντες ὑμῖν συνήθως τὴν λύσιν· ἐπειδὴ δὲ προσήλθετε καὶ προσεδοκήσατε δέξασθαι, ἀφήκαμεν, ὥστε ὑμᾶς δι' ὑμῶν αὐτῶν ἀναδέξασθαι τὰ νοήματα. Διὰ τοῦτο τὸ προοίμιον ἀφέντες, πρὸς Παῦλον ἐπειγόμεθα. Ἐροῦμεν δὲ οὐχ ὅσα τὴν Ἐκκλησίαν ὠφέλησε μόνον, ἀλλ' ὅσα καὶ ἔβλαψε· καὶ γὰρ ἀναγκαῖος ἡμῖν οὗτος ὁ λόγος. Ἐροῦμεν πῶς ἐμαχήσατο τῷ λόγῳ τοῦ κηρύγματος, πῶς ἐπολέμησε τῷ Χριστῷ, πῶς ἐδίωξε τοὺς ἀποστόλους, πῶς τὰ τῶν πολεμίων ἐφρόνει, πῶς πάντων πλείονα παρεῖχε τῇ Ἐκκλησίᾳ πράγματα. Ἀλλὰ μηδεὶς αἰσχυνέσθω περὶ Παύλου ταῦτα ἀκούων· οὐ γάρ ἐστιν αὐτοῦ κατηγορήματα, ἀλλ' ἐγκωμίων ὑπόθεσις. Οὐ γὰρ κατηγορία αὐτῷ πρότερον ὄντα φαῦλον, ὕστερον γενέσθαι χρηστὸν, ἀλλὰ τὸ πρότερον ὄντα σπουδαῖον, ὕστερον μεταβάλλεσθαι πρὸς πονηρίαν· ἀπὸ γὰρ τοῦ τέλους ἀεὶ τὰ πράγματα κρίνεται. Καὶ γὰρ τοὺς κυβερνήτας, κἂν μυρία ναυάγια ὑπομείνωσιν, ὅταν μέλλωσιν εἰς τὸν λιμένα καταίρειν, ἂν φορτίων πεπληρωμένην ὁλκάδα καταγάγωσιν, οὐ φαμὲν πεπρᾶχθαι κακῶς, τοῦ τέλους τὰ παρελθόντα ἀποκρύψαντος· καὶ τοὺς ἀθλητὰς πάλιν, κἂν μυρία πρότερον ἡττηθῶσι, τὴν δὲ περὶ τοῦ στεφάνου πάλην κρατήσωσιν, οὐκ ἀποστεροῦμεν τῶν ἐγκωμίων τῶν ἐπὶ τῇ νίκῃ διὰ τὰ πρότερα. Οὕτω καὶ ἐπὶ Παύλου ποιήσωμεν. Καὶ γὰρ καὶ οὗτος καὶ μυρία ναυάγια ὑπέμεινεν, ἀλλ' ὅτε εἰς τὸν λιμένα καταίρειν ἔμελλε, πεπληρωμένην ἐπήγαγε τῶν φορτίων τὴν ὁλκάδα. Καὶ ὥσπερ ὁ Ἰούδας οὐδὲν ὠφέλησε πρὸ τούτου μαθητὴς ὤν, εἶτα προδότης γενόμενος· οὕτω καὶ οὗτος οὐδὲν παρεβλάβη πρὸ τούτου διώκτης ὤν, μετὰ δὲ ταῦτα γενόμενος εὐαγγελιστής. Ἐγκώμια Παύλου ταῦτά ἐστιν, οὐκ ἐπειδὴ κατέσκαψε τὴν Ἐκκλησίαν, ἀλλ' αὐτὸς αὐτὴν πάλιν ᾠκοδόμησεν· οὐκ ἐπειδὴ ἐπόρθησε τὸν [104] λόγον, ἀλλ' ἐπειδὴ πορθήσας τὸν λόγον, αὐτὸς αὐτὸν πάλιν ηὔξησεν· οὐκ ἐπειδὴ ἐπολέμησε τοὺς ἀποστόλους, οὐκ ἐπειδὴ διεσπάραξε τὴν ἀγέλην, ἀλλ' ἐπειδὴ διασπαράξας, ὕστερον αὐτὸς αὐτὴν συνεκρότησε.

ε'. Τί τούτου παραδοξότερον γένοιτ' ἄν; Ὁ λύκος ἐγένετο ποιμήν· ὁ τὸ αἷμα τῶν προβάτων ἐκπίνων, οὐ διέλιπε τὸ αἷμα ἑαυτοῦ ἐκχέων ὑπὲρ τῆς τῶν προβάτων σωτηρίας. Βούλει μαθεῖν πῶς τὸ αἷμα τῶν προβάτων ἐξέπινε; πῶς ἡμαγμένη ἦν αὐτοῦ ἡ γλῶσσα; *Σαῦλος δὲ ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόνου εἰς τοὺς μαθητὰς τοῦ Κυρίου*. Ἀλλ' οὗτος ὁ ἀπειλῆς καὶ φόνου ἐμπνέων, καὶ τὸ αἷμα τῶν ἁγίων ἐκχέων, ἄκουσον πῶς τὸ αἷμα τὸ ἑαυτοῦ ἐξέχεεν ὑπὲρ τῶν ἁγίων. *Εἰ κατὰ ἄνθρωπον*, φησὶν, *ἐθηριομάχησα ἐν Ἐφέσῳ*· καὶ πάλιν, *Καθ' ἡμέραν ἀποθνήσκω*· καὶ πάλιν, *Ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς*. Καὶ ταῦτα ἔλεγεν ὁ παρὼν ὅτε ἐξεχεῖτο τὸ αἷμα Στεφάνου, καὶ ἦν συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ. Ὁρᾷς πῶς ὁ λύκος ποιμὴν ἐγένετο; Ἆρ' οὐκ αἰσχύνεσθε πρὸ τούτου ἀκούοντες ὅτι διώκτης ἦν καὶ βλάσφημος καὶ ὑβριστής; Εἴδετε πῶς μεῖζον αὐτοῦ ἐποίησε τὸ ἐγκώμιον ἡ προτέρα κατηγορία; Οὐκ ἔλεγον ὑμῖν ἐν τῇ προτέρᾳ συνάξει ὅτι τῶν πρὸ τοῦ σταυροῦ σημείων τὰ μετὰ τὸν σταυρὸν μείζονα ἐγένετο; οὐκ ἔδειξα ὑμῖν καὶ ἀπὸ τῶν σημείων, καὶ ἀπὸ τῆς εὐνοίας τῶν μαθητῶν, καὶ πῶς πρὸ τούτου μὲν ὁ Χριστὸς ἐπιτάττων ἤγειρε τοὺς νεκροὺς, ὕστερον δὲ αἱ σκιαὶ τῶν δούλων αὐτοῦ τοῦτο ἐποίουν; πῶς τότε μὲν αὐτὸς κελεύων ἐθαυματούργει, ὕστερον δὲ οἱ δοῦλοι αὐτοῦ τῷ ὀνόματι αὐτοῦ κεχρημένοι μείζονα ἐποίησαν; οὐκ εἶπον ὑμῖν περὶ τῶν ἐχθρῶν, πῶς διέσεισεν αὐτῶν τὸ συνειδός; πῶς ἐκράτησε τῆς οἰκουμένης ἁπάσης; πῶς μείζονα τὰ σημεῖα μετὰ τὸν σταυρὸν ἦν τῶν πρὸ τοῦ σταυροῦ; Ἀδελφὸς ἐκείνου καὶ ὁ σήμερον εἰσελθὼν λόγος. Τί γὰρ τοῦ κατὰ Παῦλον μεῖζον σημείου γένοιτ' ἄν; Ζῶντα μὲν γὰρ αὐτὸν καὶ ὁ Πέτρος ἠρνήσατο, ἀποθανόντα δὲ ὁ Παῦλος ὡμολόγησε. Τοῦ δὲ νεκροὺς ἐγεῖραι διὰ τῶν σκιῶν μεῖζον σημεῖον ἦν τὸ τὴν γνώμην Παύλου ἐπισπάσασθαι καὶ ἑλεῖν. Ἐκεῖ μὲν γὰρ ἡ φύσις εἵπετο, καὶ οὐκ ἀντέλεγε τῷ ἐπιτάττοντι· ἐνταῦθα δὲ προαίρεσις ἦν τοῦ πεισθῆναι, καὶ τοῦ μὴ πεισθῆναι κυρία· ὅθεν πολλὴ ἡ δύναμις τοῦ πείσαντος δείκνυται. Τοῦ γὰρ φύσιν διορθῶσαι τὸ προαίρεσιν μεταβαλεῖν πολλῷ μεῖζον ἦν· μεῖζον ἄρα τῶν ἄλλων

ἁπάντων σημεῖον ἐγένετο τὸ Παῦλον προσελθεῖν τῷ Χριστῷ μετὰ τὸν σταυρὸν καὶ τὸν τάφον. Καὶ γὰρ διὰ τοῦτο ἀφῆκεν αὐτὸν ὁ Χριστὸς πᾶσαν τὴν ἔχθραν ἐπιδείξασθαι, καὶ τότε ἐκάλεσεν, ἵνα ἀνύποπτον ποιήσῃ τῆς ἀναστάσεως τὴν ἀπόδειξιν, καὶ τὸν διδασκαλίας λόγον. Πέτρος μὲν γὰρ περὶ αὐτοῦ λέγων ἴσως ὑπωπτεύετο· εἶχε γάρ τις τῶν ἀναισχύντων εἰπεῖν τι. Εἶπον δὲ τῶν ἀναισχύντων, ὅτι κἀκεῖ φανερὰ ἡ ἀπόδειξις ἦν. Καὶ γὰρ καὶ ἐκεῖνος αὐτὸν ἠρνήσατο πρότερον, καὶ ἠρνήσατο μεθ' ὅρκου, ἀλλ' ὅμως τὸν αὐτὸν τοῦτον ὁμολογῶν ὕστερον καὶ τὴν ψυχὴν ἐπέδωκε τὴν ἑαυτοῦ. Εἰ δὲ μὴ ἀνέστη, [105] οὐκ ἂν ὁ ζῶντα ἀρνησάμενος, ὥστε μὴ ἀρνήσασθαι τελευτήσαντα, μυρίους ἂν θανάτους ὑπέμεινε· διὸ καὶ ἐπὶ Πέτρου φανερὰ ἡ ἀπόδειξις τῆς ἀναστάσεως ἦν. Πλὴν ἀλλ' ἐκεῖνο μὲν εἶχον οἱ ἀναίσχυντοι λέγειν, ὅτι ἐπειδὴ μαθητὴς αὐτοῦ ἦν, ἐπειδὴ τραπέζης ἐκοινώνησεν αὐτῷ, καὶ τρία ἔτη αὐτῷ συνεγένετο, ἐπειδὴ διδασκαλίας ἀπήλαυσεν, ἐπειδὴ ἐκολακεύθη ὑπ' αὐτοῦ ἀπατηθείς, διὰ τοῦτο κηρύττει αὐτοῦ τὴν ἀνάστασιν· ὅταν δὲ Παῦλον ἴδῃς τὸν οὐκ εἰδότα αὐτὸν, τὸν οὐκ ἀκούσαντα αὐτοῦ, τὸν οὐ μετασχόντα τῆς διδασκαλίας, τὸν καὶ μετὰ τὸν σταυρὸν αὐτῷ πολεμοῦντα, τὸν ἀποκτεννύντα τοὺς εἰς αὐτὸν πιστεύοντας, τὸν πάντα συγχέοντα καὶ ταράττοντα, τοῦτον ἐξαίφνης μεταβεβλημένον, καὶ τοῖς ὑπὲρ τοῦ κηρύγματος κάμασι πάντας παρελάσαντα τοὺς τοῦ Χριστοῦ φίλους, ποίαν ἔξεις λοιπὸν, εἰπέ μοι, ἀναισχυντίας πρόφασιν, ἀπιστῶν τῷ τῆς ἀναστάσεως λόγῳ; Εἰ γὰρ μὴ ἀνέστη ὁ Χριστὸς, τίς τὸν οὕτως ὠμὸν καὶ ἀπάνθρωπον, τίς τὸν ἐκπεπολεμωμένον καὶ ἠγριωμένον ἐπεσπάτο ἂν, καὶ πρὸς ἑαυτὸν ἐπηγάγετο; Εἰπὲ γάρ μοι, ὦ Ἰουδαῖε, τίς Παῦλον ἔπεισε προσελθεῖν τῷ Χριστῷ; Πέτρος; ἀλλ' Ἰάκωβος; ἀλλ' Ἰωάννης; Ἀλλ' οὗτοι πάντες αὐτὸν ἐδεδοίκεισαν καὶ ἔφριττον, καὶ οὐχὶ πρὸ τούτου μόνον, ἀλλὰ καὶ ὅτε τῶν φίλων ἐγένετο, ὅτε Βαρνάβας ἐπιλαβόμενος αὐτοῦ τῆς χειρὸς ἐπανήγαγεν εἰς Ἱεροσόλυμα, ἔτι ἐφοβοῦντο κολλᾶσθαι αὐτῷ· καὶ ὁ μὲν πόλεμος ἐλέλυτο, ὁ δὲ φόβος ἐπέμενε τοῖς ἀποστόλοις. Οἱ οὖν καταλλαγέντα αὐτὸν ἔτι φοβούμενοι, ἐχθρὸν ὄντα καὶ πολέμιον ἑτοίμων πεῖσαι; προσελθεῖν γὰρ ὅλως, ἢ στῆναι, ἢ διᾶραι στόμα, φανῆναι δὲ ὅλως ὑπέμενον; Οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν· οὐκ ἦν ἀνθρωπίνη σπουδὴ τὸ γινόμενον, ἀλλὰ θείας χάριτος. Εἰ τοίνυν νεκρὸς ἦν, ὡς φατε, ὁ Χριστὸς, καὶ ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ ἔκλεψαν αὐτὸν, πῶς μείζονα τὰ σημεῖα μετὰ τὸν σταυρὸν ἐγένετο; πῶς πλείων ἡ ἀπόδειξις τῆς δυνάμεως; Οὐ γὰρ μόνον μετέστησε τὸν πολέμιον, καὶ ἀρχηγὸν τῆς μάχης ὑμῶν· καίτοι εἰ καὶ τοῦτο μόνον ἐποίησε, μεγίστης δυνάμεως ἦν τὸ τὸν ἐχθρὸν καὶ πολέμιον λαβεῖν αἰχμάλωτον· νῦν δὲ οὐχὶ τοῦτο μόνον εἰργάσατο, ἀλλὰ καὶ τούτου πολλῷ μεῖζον. Οὐ γὰρ μόνον μετέστησεν, ἀλλ' οὕτως οἰκεῖον ἐποίησεν, οὕτως ἐπεσπάσατο πρὸς τὴν εὔνοιαν τὴν ἑαυτοῦ, ὡς καὶ αὐτῷ πάντα τῆς Ἐκκλησίας τὰ πράγματα ἐγχειρίσαι. *Σκεῦός* γάρ, φησὶν, *ἐκλογῆς μοί ἐστιν οὗτος, τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν καὶ βασιλέων*, καὶ πλείονα τῶν ἀποστόλων πεῖσαι κάμεῖν ὑπὲρ τῆς Ἐκκλησίας τῆς πρότερον ὑπ' αὐτοῦ πολεμουμένης.

ς'. Βούλει μαθεῖν πῶς αὐτὸν μετέστησε; πῶς αὐτὸν ᾐχμαλώτισε; πῶς αὐτὸν ἐπεσπάσατο; πῶς εἰς τοὺς πρώτους τῶν φίλων κατέλεξεν; Οὐδενὶ τῶν ἀνθρώπων τοσαῦτα ἐθάρρησεν εἰπεῖν ἀπόρρητα, ὅσα τῷ Παύλῳ. Καὶ πόθεν τοῦτο δῆλον; *Ἤκουσα ἄρρητα ῥήματα*, φησὶν, *ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι.* Εἶδες, ὁ ἐχθρὸς, ὁ πολέμιος πόσην εὔνοιαν ἐπεδείξατο; Διὰ [106] τοῦτο ἀναγκαῖον καὶ τὸν πρότερον βίον αὐτοῦ εἰπεῖν· καὶ γὰρ τὴν τοῦ Θεοῦ δείκνυσιν ἡμῖν φιλανθρωπίαν καὶ δύναμιν· φιλανθρωπίαν μὲν, ὅτι ἐβουλήθη τὸν τοσαῦτα κακὰ ἐργασάμενον σῶσαι, καὶ πρὸς ἑαυτὸν ἐπισπάσασθαι· δύναμιν δὲ, ὅτι βουληθεὶς ἴσχυσε. Καὶ τὴν Παύλου δὲ τοῦτο δείκνυσι ψυχὴν, ὅτι οὐδὲν πρὸς φιλονεικίαν ἐποίει, οὐδὲ ἀνθρωπίνῃ προκατειλημμένος δόξῃ, καθάπερ οἱ Ἰουδαῖοι· ἀλλὰ ζήλῳ πεπυρωμένος, οὐκ ὀρθῷ μὲν, ζήλῳ δὲ ὅμως· ὅπερ καὶ αὐτὸς ἐβόα λέγων, ὅτι *Διὰ τοῦτο ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ*· καὶ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν ἐκπληττόμενος ἔλεγεν· *Ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται Χριστὸς τὴν ἅπασαν μακροθυμίαν, πρὸς ὑποτύπωσιν δὲ τῶν μελλόντων πιστεύειν ἐπ' αὐτῷ εἰς ζωὴν αἰώνιον*· καὶ ἀλλαχοῦ πάλιν ἔλεγεν, ὅτι *Τὴν ἐνέργειαν τῆς δυνάμεως αὐτοῦ μάλιστα ἔδειξεν εἰς ἡμᾶς τοὺς πιστεύοντας.* Εἶδες πῶς καὶ τὴν φιλανθρωπίαν ἔδειξε τοῦ Θεοῦ, καὶ τὴν δύναμιν, καὶ τὸ τῆς ἑαυτοῦ γνώμης ἀδέκαστον ὁ πρότερος Παύλου βίος; Τοῦτο γοῦν Γαλάταις γράφων εἰς ἀπόδειξιν παρήγαγε, τοῦ μὴ δι' ἀνθρώπους μεταβαλέσθαι, ἀλλὰ θείᾳ μετενενῆχθαι δυνάμει. *Εἰ γὰρ ἀνθρώποις*, φησὶν, *ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἦμην.* Καὶ πόθεν δῆλον ὅτι οὐκ ἀνθρώποις ἀρέσκων, πρὸς τὸ κήρυγμα μετέστης; *Ἠκούσατε*, φησὶ, *τὴν ἐμὴν ἀναστροφήν ποτε ἐν τῷ Ἰουδαϊσμῷ, ὅτι καθ' ὑπερβολὴν ἐδίωκον τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, καὶ ἐπόρθουν αὐτήν.* Οὐκ ἂν δὲ, εἰ ἀνθρώποις ἀρέσκειν ἤθελε, μετέθετο πρὸς τὴν πίστιν. Διὰ τί; Ἐτιμᾶτο παρὰ Ἰουδαίοις, καὶ ἀδείας ἀπήλαυε πολλῆς, καὶ προεδρίας ἠξιοῦτο· οὐκ ἂν οὖν πρὸς ἐπικίνδυνον μετέστη βίον τὸν τῶν ἀποστόλων, τὸν δυσφημίας γέμοντα, τὸν συμφορῶν ἐμπεπλησμένον· ὥστε αὐτὴν (sic) ἀθρόᾳ μεταβολῇ καὶ μεταστάσει, καὶ τὸ καταλιπεῖν μὲν τὴν παρὰ Ἰουδαίοις τιμὴν καὶ τὸν ἀπόλεμον βίον, ἀνταλλάξασθαι δὲ τὴν τῶν ἀποστόλων ζωὴν, τὴν μυρίους ἔχουσαν θανάτους, μεγίστη γέγονεν ἀπόδειξις τοῦ μὴ δι' ἀνθρωπίνην τινὰ πρόφασιν μετατεθῆναι τὸν Παῦλον. Διὰ τοῦτο καὶ ἡμεῖς ἐβουλήθημεν τὸν πρότερον αὐτοῦ βίον εἰς μέσον ἀγαγεῖν, καὶ δεῖξαι τὸν πεπυρωμένον ζῆλον τὸν κατὰ τῆς Ἐκκλησίας, ἵν', ὅταν ἴδῃς τὴν πολλὴν προθυμίαν τὴν ὑπὲρ τῆς Ἐκκλησίας, θαυμάσῃς τὸν ποιοῦντα πάντα καὶ μετασκευάζοντα Θεόν. Διὰ τοῦτο καὶ ὁ μαθητὴς ὁ Παύλου τὰ πρότερα ἡμῖν μετ' ἀκριβείας διηγήσατο, καὶ πολλῆς ἐμφάσεως, οὕτως εἰπών· *Σαῦλος δὲ ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόνου εἰς τοὺς μαθητὰς*

bus signum fuit, Paulum post crucem et sepulturam ad Christum accessisse. Propterea namque permisit eum Christus omne odium præ se ferre, ac tum illum vocavit, ut resurrectionis probationem ac doctrinæ sermonem omni suspicione liberaret. Nam Petrus quidem si de eo loquutus esset, suspectus fuisset : potuisset enim impudens aliquis quidpiam dicere. Porro impudentem dixi, quoniam et illic manifesta fuit demonstratio. Siquidem ille quoque prius ipsum negavit, et cum juramento negavit : verumtamen hunc ipsum deinde dum confitetur, vel ipsam animam suam pro illo tradidit. Quod si non resurrexisset, numquam is, qui viventem negaverat, millies mortem toleraset, ne jam mortuum abnegaret : quo fit, ut etiam in Petro resurrectionis demonstratio manifesta fuisse videatur. Verumtamen de illo quidem impudentes dicere potuissent, eum propterea quod discipulus erat illius, propterea quod particeps ejus mensæ fuerat, ac tribus annis cum illo versatus fuerat; propterea quod ejus doctrina potitus erat; propterea quod in fraudem illectus blanditiis ejus fuerat, idcirco resurrectionem illius prædicare : cum vero Paulum videas, qui ipsum non viderat, qui ipsum non audiverat, qui doctrinæ particeps minime fuerat, qui etiam post crucem illi bellum indixerat, et eos qui in ipsum credebant, interficiebat, qui omnia miscebat ac turbabat, hunc subito mutatum in ferendis pro prædicatione verbi laboribus omnes Christi amicos superare, quæ tibi deinceps, quæso, impudentiæ occasio relinquetur, si resurrectionis verbo non credas? Si enim Christus non resurrexisset, quis hominem adeo crudelem et inhumanum, quis adeo infensum et efferatum sibi conciliasset et ad se attraxisset? Dic enim, quæso, Judæe, quis Paulo persuasit, ut Christo se adjungeret? num Petrus? num Jacobus? num Joannes? Atqui omnes isti eum timebant et horrebant, neque tantum ante hoc tempus, sed tum etiam cum in amicorum numerum relatus erat, quando manu prehensum illum Barnabas Jerosolymam introduxit, adhuc illi propius se adjungere timebant; ac sedatum quidem erat bellum, metus tamen adhuc in apostolis permanebat. An igitur illi qui reconciliatum adhuc timebant, cum inimicus et hostis esset, oratione flectere ausi essent? an vero ad illum accedere omnino, vel coram illo subsistere, vel os aperire, aut omnino apparere potuissent? Non ita se res habet, non ita est; nec humanæ diligentiæ facinus illud fuit, sed gratiæ divinæ. Si ergo mortuus erat Christus, ut dicitis, et cum venissent discipuli ejus, furati sunt eum, quomodo majora post crucem facta sunt miracula? quomodo amplior virtutis sequuta est demonstratio? Non enim tantum hostem sibi reconciliavit et principem ducemque pugnæ vestræ; tametsi, licet hoc solum fecisset, maxime fuit hoc potentiæ, inimicum et hostem abduxisse captivum; jam vero non hoc solum præstitit, sed et aliud multo majus. Non enim tantum sibi reconciliavit, sed ita sibi familiarem reddidit, sic eum ad amorem suum pellexit, ut ejus fidei Ecclesiæ negotia cuncta commiserit : *Vas* enim, inquit, *electionis est mihi iste, ut portet nomen meum coram gentibus, et regibus* (*Act.* 9. 15), eique persuaserit, ut plus quam apostoli pro Ecclesia laboraret, quam antea oppugnabat.

6. Vis tu intelligere quo pacto illum sibi reconciliarit? quo pacto familiarem reddiderit? quo pacto sibi adsciverit? quo pacto in numerum præcipuorum amicorum retulerit? Nulli hominum tam multa detegere arcana, quam multa Paulo est ausus. Unde vero id constat? *Audivi arcana verba*, inquit, *quæ non licet homini loqui* (2. *Cor.* 12. 4). Vides quantam inimicus et hostis benevolentiam exhibuerit? Quam ob causam operæ pretium fuerit priorem ejus vitam proferre : siquidem ita fiet, ut nobis Dei benignitas et potentia innotescat : benignitas quidem, quod eum, qui tam multa mala perpetraverat, servare voluerit, et sibi conciliare : potentiam vero, quod id, quod volebat, exsequi potuerit. Et vero animum Pauli hoc patefecit, quod nihil contentionis studio faceret, neque gloriæ humanæ cupiditate præoccupatus, quemadmodum Judæi : sed zelo succensus non recto illo quidem, sed zelo tamen, quod et ipse clamans dicebat : *Ideo misericordiam consequutus sum, quia ignorans feci in incredulitate* (1. *Tim.* 1. 13) : et benignitatem Dei obstupescens dicebat, *Ut in me primo ostenderet Christus omnem patientiam ad informationem eorum qui credituri sunt illi in vitam æternam* (*Ib. v.* 16). Et alibi rursus dicebat, *Operationem virtutis suæ maxime ostendit in nos qui credimus* (*Ephes.* 1. 19). Vides ut et benignitatem Dei et virtutem prior vita Pauli ostenderit, et quam incorrupta sinceraque mente præditus ipse fuerit? Sane quidem ad Galatas scribens hoc protulit, ut se hominum causa minime fuisse mutatum, sed divina virtute fuisse conversum probaret. *Si enim hominibus*, inquit, *placerem, Christi servus non essem* (*Gal.* 1. 10). Unde vero id constat te non ut hominibus placeres, ad prædicationem fuisse conversum? *Audistis*, inquit, *conversationem meam aliquando in Judaismo, quoniam supra modum persequebar Ecclesiam Dei, et expugnabam eam* (*Ib. v.* 13). Quod si hominibus placere voluisset, nequaquam ad fidem conversus fuisset. Quid ita? Colebatur a Judæis, et multa securitate fruebatur, ac præ cæteris honore afficiebatur : non igitur ad apostolorum vitam tot objectam periculis se transtulisset, quæ multa laborabat in amia, quæ tot calamitatibus redundabat : itaque quod illum honorem, quo apud Judæos fruebatur, repentina mutatione ac conversione, et vitam quietam deseruerit, et cum apostolorum vita commutaverit, innumeris objecta mortis generibus, maximum illud argumentum fuit non ob humanam quamdam occasionem Paulum esse conversum. Propterea nos etiam priorem ejus vitam in medium afferre voluimus, et ardentem zelum ejus ostendere, quo Ecclesiam oppugnabat, ut eum ejus pro Ecclesiæ defensione promptitudinem animi videris, Deum laudes, qui facit omnia et transformat. Propterea Pauli quoque discipulus diligenter nobis ac perspicue priora narravit, ita dicens : *Saulus autem adhuc spirans minas et cædem in discipulos Domini* (*Act.* 9. 1). Ac vellem equi-

dem ego quoque hodierno die proœmium inchoare, vellem ad initium narrationis aggredi; sed video pelagus quoddam sententiarum ex solo nomine se nobis obtrudere. Cogita namque quantam e vestigio nobis illud, *Saulus*, quæstionem moveat : siquidem aliud in epistolis positum nomen occurrit. *Paulus servus Jesu Christi, vocatus apostolus* (*Rom.* 1. 1) : *Paulus et Sosthenes : Paulus vocatus apostolus* (1. *Cor.* 1. 1) : *Ecce ego Paulus dico vobis* (*Galat.* 5. 2) : jam vero ut Paulus, et ubique Paulus appellatur, non autem Saulus dicitur. Cur igitur antea Saulus, postea vero Paulus vocatus est? Neque vero simplex est illa quæstio : statim enim Petrus accurrit : nam et ipse antea Simon dicebatur, postea vero Cephæ nomen accepit : et Zebedæi filii Jacobus et Joannes mutato nomine Filii tonitrui sunt appellati (*Marc.* 3. 16. 17). Nec in Novo solum Testamento, sed etiam in Veteri reperimus Abraham antea dictum Abram, postea Abraham ; et Jacob primum Jacob esse dictum, deinde Israel ; et Sarram primum Saram esse, deinde Sarram : et multas nobis hæc mutatio nominum parit quæstiones, ac vereor, ne multis fluminum effusis, fluentis doctrinæ sermonem velut obruam et suffocem. Nam quemadmodum in agro humido et irriguo ubicumque quis fodit, undique fontes scaturiunt : sic et in agro divinæ Scripturæ, ubicumque reseraveris, plurimos fluvios videbis erumpere : quam ob causam ne omnes illos simul hodierno die effundam, non mediocriter pertimesco. Quapropter rivum hunc nostrum claudens, caritatem vestram ad sacrum fontem præsulum istorum, magistrorumque transmittam limpidum illum, potabilem ac dulcem, quod ex spirituali petra fluentum manat. Mentem igitur ad excipiendam doctrinam, ad spirituales latices hauriendos paremus, ut fiat in nobis fons aquæ salientis in vitam æternam : quam nos omnes obtinere contingat, gratia et benignitate Domini nostri Jesu Christi, per quem et cum quo Patri gloria, honor, imperium, una cum sancto ac vivifico Spiritu, nunc et semper, et in sæcula sæculorum. Amen.

AD EOS QUI REPREHENDEBANT EUM OB PROLIXITATEM EORUM, QUÆ DICTA FUERANT, ET AD EOS QUI BREVITATEM ORATIONIS ÆGRE FEREBANT, DEQUE SAULI ET PAULI APPELLATIONE, ET CUR PRIMUS HOMO VOCATUS SIT ADAM, ET QUOD UTILITER AC FRUCTUOSE ; ATQUE IN EOS QUI RECENS FUERANT ILLUMINATI.

1. Quid quæso nobis agendum est hodierno die? Siquidem dum multitudinem vestram cerno, ne longius sermonem protraham, pertimesco. Cum enim provehitur longius doctrinæ sermo, video vos in angustias redactos vos invicem conculcare, atque hanc ex angustiis afflictionem, quo minus diligenter audiatis, impedire : nisi enim quietus sit ac tranquillus auditor, minime potest cum studio ad ea quæ dicuntur attendere.

Duo genera auditorum. — Cum igitur multitudinem vestram, ut dixi, video, ne longius sermonem protraham pertimesco, sed dum cupiditatem vestram considero, doctrinam contrahere reformido. Nam qui sitit, nisi prius poculum repletum viderit, ne labris quidem lubenter illud admovet, sed quamvis totum exhausturus non sit, totum repletum cernere concupiscit. Quamobrem, quo pacto me in hac concione gerere debeam, ignoro. Nam et brevitate sermonis laborem vestrum minuere volo, et orationis prolixitate vestram cupiditatem explere. Atqui utrumque istorum sæpenumero præstiti, ac ne semel quidem crimen effugi. Scio me persæpe, dum vobis parco, ante finem abrupisse sermonem, et in nos clamarunt ii, quorum animus satiari minime potest, qui sacris laticibus assidue fruuntur, sed numquam tamen explentur, *Beati illi, qui esuriunt, et sitiunt justitiam* (*Matth.* 5. 6), et istorum adversos clamores pertimescens rursus doctrinæ sermonem protraxi longius, et idcirco in crimen incurri. Nam qui sermonis brevitate delectantur, occurrentes orabant, ut ipsorum infirmitati parcerem, atque concionis prolixitatem contraherem. Dum igitur vos in angustias redactos intueor, sermonem silentio coercere studeo : dum vero vos angustiis pressos idcirco non recedere, sed ad longiorem cursum paratos esse, acuere linguam desidero. *Angustiæ mihi sunt undique* (*Dan.* 13. 22). Quid faciam? Nam is quidem qui uni domino servit, unique sententiæ cogitur famulari, facile domino potest placere, neque a proposito aberrare : at ego multos habeo dominos, qui tanto servire populo cogor, cujus diversa est sententia. Hæc autem non idcirco sunt a me dicta, quod servitutem ægre feram, absit, neque quod vestrum defugiam dominatum. Nihil enim mihi est hac servitute honorificentius. Non ita diademate ac purpura gloriatur Imperator, ut ego caritatis vestræ servitutem mihi honorificam duco. Siquidem illi regno mors succedit : huic autem servituti, si recte peracta fuerit, regnum cæleste præparatum est. Beatus enim est *Fidelis servus, et prudens, quem constituit dominus ejus, ut conservis suis det tritici mensuram. Amen dico vobis, super omnia bona sua constituet eum* (*Luc.* 12. 42. 44). Vides quantus sit servitutis hujus quæstus, si diligenter obita fuerit? Super omnia domini bona constituit. Non ergo defugio servitutem, quippe qui cum Paulo serviam. Nam et ille dicit : *Non nosmetipsos prædicamus, sed Christum Jesum Dominum : nos autem servos vestros propter Jesum* (2. *Cor.* 4. 5). Et quid dico Paulum? Si is qui in forma Dei erat, semetipsum exinanivit formam servi accipiens propter servos (*Philipp.* 2. 6. 7), quid magnum præsto, si ego servus fiam conservis ipse servus propter meipsum? Non ergo quod vestram servitutem detrectem, ista dixi, sed ut mihi venia detur, si forte minus convenientem omnium judicio

τοῦ Κυρίου. Ἐβουλόμην μὲν οὖν καὶ αὐτὸς ἄρξασθαι τοῦ προοιμίου σήμερον, ἐβουλόμην ἐμβαλεῖν εἰς τὴν ἀρχὴν τοῦ διηγήματος, ἀλλ' ὁρῶ πέλαγος νοημάτων ἀπὸ τοῦ ὀνόματος μόνον. Ἐννόησον γὰρ ὅσον εὐθέως ἡμῖν κινεῖ ζήτημα, τὸ, *Σαῦλος*, τοῦτο· ἐν γὰρ ταῖς Ἐπιστολαῖς ἕτερον ὄνομα ὁρῶ κείμενον· *Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ, κλητὸς ἀπόστολος· Παῦλος καὶ Σωσθένης· Παῦλος κλητὸς ἀπόστολος· Ἰδὲ ἐγὼ Παῦλος λέγω ὑμῖν·* νυνὶ δὲ ὡς Παῦλος, καὶ πανταχοῦ Παῦλος καλεῖται, ἀλλ' οὐχὶ Σαῦλος λέγεται. Τίνος οὖν ἕνεκεν πρὸ τούτου μὲν Σαῦλος, μετὰ δὲ ταῦτα Παῦλος [107] ἐκλήθη; Οὐκ ἔστι ψιλὸν τὸ ζήτημα· καὶ γὰρ Πέτρος εὐθέως ἐπιτρέχει· καὶ γὰρ κἀκεῖνος πρὸ τούτου μὲν Σίμων ἐλέγετο, μετὰ δὲ ταῦτα ὠνομάσθη Κηφᾶς· καὶ υἱοὶ Ζεβεδαίου, Ἰάκωβος καὶ Ἰωάννης, Υἱοὶ βροντῆς μετωνομάσθησαν. Καὶ οὐκ ἐν τῇ Καινῇ δὲ μόνον, ἀλλὰ καὶ ἐν τῇ Παλαιᾷ εὑρίσκομεν τὸν Ἀβραὰμ πρὸ τούτου μὲν Ἀβρὰμ λεγόμενον, μετὰ ταῦτα δὲ Ἀβραάμ· καὶ τὸν Ἰακὼβ νῦν μὲν Ἰακὼβ λεγόμενον, μετὰ δὲ ταῦτα Ἰσραήλ· καὶ τὴν Σάρραν πρὸ τούτου Σάραν λεγομένην, μετὰ δὲ ταῦτα Σάρραν· καὶ πολλὴν ἡμῖν τῶν ὀνομάτων ἡ μετάθεσις παρέχει τὴν ζήτησιν· καὶ δέδοικα μὴ, πολλὰ ῥεύματα ποταμῶν ἐξαίφνης ἀφεὶς, ἀποπνίξω τῆς διδασκαλίας τὸν λόγον. Καθάπερ γὰρ ἐν χωρίῳ νοτίδα ἔχοντι, ὅπουπερ ἂν διασκάψῃ τις, πηγαὶ πανταχόθεν ἐκπηδῶσιν· οὕτω καὶ ἐν τῷ χωρίῳ τῶν θείων Γραφῶν, ὅπουπερ ἂν διανοίξῃς, ποταμοὺς ἐξιόντας ὄψει πολλοὺς, ὅθεν καὶ πάντας αὐτοὺς ἀθρόον ἀφεῖναι τήμερον δέος ἐστὶν οὐ μικρόν. Διόπερ τὸν ἡμέτερον ἀποφράξας ῥύακα, παραπέμψω τὴν ὑμετέραν ἀγάπην πρὸς τὴν ἱερὰν πηγὴν τῶν προέδρων τούτων καὶ διδασκάλων τὴν καθαρὰν ταύτην καὶ πότιμον καὶ γλυκὺν, νᾶμα τὸ ἐξ αὐτῆς ἐξερχόμενον τῆς πέτρας τῆς νοητῆς. Παρασκευάσωμεν τοίνυν τὴν διάνοιαν πρὸς ὑποδοχὴν τῆς διδασκαλίας, ἀρύσασθαι τὰ πνευματικὰ νάματα, ἵνα γένηται ἐν ἡμῖν πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ δόξα, τιμὴ, κράτος, ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πρὸς τοὺς ἐγκαλοῦντας ὑπὲρ τοῦ μήκους τῶν εἰρημένων, καὶ πρὸς τοὺς δυσχεραίνοντας ὑπὲρ τῆς βραχυλογίας, καὶ περὶ τῆς τοῦ Σαύλου προσηγορίας καὶ Παύλου, καὶ τίνος ἕνεκεν Ἀδὰμ ὁ πρῶτος ἄνθρωπος ἐκλήθη, ὅτι χρησίμως καὶ συμφερόντως, καὶ εἰς τοὺς νεοφωτίστους.

α'. Τί ποτε ἄρα χρὴ ἡμᾶς ποιῆσαι τήμερον; Τὸ μὲν γὰρ πλῆθος ὑμῶν ὁρῶν, δέδοικα πρὸς μῆκος ἐκτεῖναι τὸν λόγον. Καὶ γὰρ ὅταν ἡ διδασκαλία μακροτέρω προβαίνῃ, ὁρῶ συμπατουμένους ὑμᾶς, στενοχωρουμένους, καὶ τὴν ἀπὸ τῆς στενοχωρίας θλῖψιν τῇ τῆς ἀκροάσεως ἀκριβείᾳ λυμαινομένην· ἀκροατὴς γὰρ ἀνέσεως οὐκ ἀπολαύων, οὐδὲ μετὰ σπουδῆς πρυσέχειν τοῖς λεγομένοις δύναιτ' ἄν.

Τὸ μὲν οὖν πλῆθος ὑμῶν, ὡς ἔφην, ὁρῶν, δέδοικα πρὸς μῆκος ἐκτεῖναι τὸν λόγον· τὸν δὲ πόθον ὑμῶν λογιζόμενος φοβοῦμαι συστεῖλαι τὴν διδασκαλίαν. Ὁ γὰρ διψῶν, ἐὰν μὴ πρότερον πεπλησμένην ἴδῃ τὴν φιάλην, οὐδὲ τοῖς χείλεσιν αὐτὴν ἡδέως ἂν προσαγάγοι· ἀλλὰ κἂν μὴ πᾶσαν αὐτὴν ἐκπίνειν μέλλοι, πᾶσαν αὐτὴν γέμουσαν ἰδεῖν [108] ἐπιθυμεῖ. Διὰ τοῦτο οὐκ ἔχω τί χρήσομαι τῇ δημηγορίᾳ. Καὶ γὰρ τῇ βραχυλογίᾳ τὸν κάματον ὑποτέμνεσθαι τὸν ὑμέτερον βούλομαι, καὶ τῷ μήκει τοῦ λόγου τὴν ἐπιθυμίαν ὑμῶν ἐμπλῆσαι. Ἀλλ' ἑκάτερα πολλάκις ταῦτα ἐποίησα, καὶ οὐδὲ ἅπαξ τὴν αἰτίαν διέφυγον. Οἶδα ὅτι πολλάκις φειδόμενος ὑμῶν πρὸ τοῦ τέλους κατέλυσα τὸν λόγον, καὶ κατεβόησαν ἡμῶν οἱ ψυχὴν ἀκόρεστον ἔχοντες, οἱ συνεχῶς μὲν τῶν θείων ἀπολαύοντες ναμάτων, οὐδέποτε δὲ ἐμπιπλάμενοι, οἱ *Μακάριοι ἐκεῖνοι, οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην*, καὶ τὰς παρὰ τούτων καταβοήσεις φοβηθεὶς πάλιν προῆλθον μέχρι πολλοῦ τὴν διδασκαλίαν ἐκτείνων, καὶ διὰ τοῦτο αἰτίαν ὑπέμενον. Οἱ γὰρ βραχυλογίας ἐρῶντες ἀπάντων παρεκάλουν τῆς αὐτῶν ἀσθενείας φείδεσθαι, καὶ συστέλλειν τὸ μῆκος τῶν λεγομένων. Ὅταν μὲν οὖν στενοχωρουμένους ὑμᾶς ἰδω, πρὸς σιγὴν συνελαύνω τὸν λόγον· ὅταν δὲ στενοχωρουμένους, καὶ οὐκ ἀφισταμένους, ἀλλ' ἐκκρεμαμένους πρὸς πλείονα δρόμον, τὴν γλῶτταν διεγείρειν ἐπιθυμῶ. *Στενά μοι πάντοθεν.* Τί πάθω; Ὁ μὲν γὰρ ἑνὶ δουλεύων κυρίῳ, καὶ μιᾷ γνώμῃ ὑπηρετεῖν ἀναγκαζόμενος, μετ' εὐκολίας ἀρέσκειν δύναται τῷ δεσπότῃ, καὶ μὴ διαμαρτάνειν· ἐγὼ δὲ πολλοὺς ἔχω δεσπότας, δήμῳ τοσούτῳ δουλεύειν ἀναγκαζόμενος διάφορον ἔχοντι γνώμην. Ταῦτα δὲ εἶπον οὐ δυσχεραίνων τὴν δουλείαν, μὴ γένοιτο, οὐδὲ δραπετεύων τὴν δεσποτείαν ὑμῶν. Οὐδὲν γάρ μοι τῆς δουλείας ταύτης σεμνότερον. Οὐχ οὕτω βασιλεὺς ἐπὶ τῷ διαδήματι καὶ τῇ πορφυρίδι μέγα φρονεῖ, ὡς ἐγὼ νῦν ἐπὶ τῇ δουλείᾳ τῆς ὑμετέρας ἀγάπης ἐγκαλλωπίζομαι. Ἐκείνην μὲν γὰρ τὴν βασιλείαν θάνατος διαδέχεται· ταύτην δὲ τὴν δουλείαν, ἂν ἀπαρτισθῇ καλῶς, βασιλεία οὐρανῶν ἀναμένει. *Μακάριος γὰρ ὁ πιστὸς δοῦλος καὶ φρόνιμος, ὃν κατέστησεν ὁ κύριος αὐτοῦ διδόναι τὸ σιτομέτριον τοῖς συνδούλοις αὐτοῦ. Ἀμὴν λέγω ὑμῖν, ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν.* Εἶδες πόσον τὸ κέρδος τῆς δουλείας ταύτης, ὅταν σπουδαίως γένηται; Ἐπὶ πᾶσι τοῖς ὑπάρχουσι τοῦ δεσπότου καθίσταται. Οὐ φεύγω τοίνυν τὴν δουλείαν· μετὰ γὰρ Παύλου δουλεύω. Καὶ γαρ ἐκεῖνός φησιν, ὅτι *Οὐχ ἑαυτοὺς κηρύττομεν, ἀλλὰ Χριστὸν Ἰησοῦν Κύριον, ἑαυτοὺς δὲ δούλους ὑμῶν διὰ Ἰησοῦν.* Καὶ τί λέγω Παῦλον; Εἰ ὁ ἐν μορφῇ Θεοῦ ὑπάρχων ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβὼν διὰ τοὺς δούλους, τί μέγα εἰ ὁ δοῦλος ἐγὼ δοῦλος ἐγενόμην τοῖς συνδούλοις δι' ἐμαυτόν; Οὐ τοίνυν δραπετεύων ὑμῶν τὴν δεσποτείαν ταῦτα εἶπον, ἀλλ' ἀξιῶν συγγνώμης τυχεῖν, ἐὰν μὴ ταῖς ἁπάντων γνώμαις;

κατάλληλον παραθῶμαι τὴν τράπεζαν. Μᾶλλον δὲ τοῦτο ποιήσατε ὃ λέγω νῦν. Ὑμεῖς οἱ μὴ δυνάμενοι ἐμπλησθῆναί ποτε, ἀλλὰ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, καὶ μακρῶν ἐπιθυμοῦντες λόγων, διὰ τὴν ἀσθένειαν τῶν ὑμετέρων ἀδελφῶν ἀνάσχεσθε τοῦ συνήθους περικοπτομένου μέτρου τῶν λόγων. Πάλιν ὑμεῖς οἱ βραχυλογίας ἐρῶντες καὶ ἀσθενέστερον διακείμενοι, διὰ τοὺς ἀδελφοὺς τοὺς ὑμετέρους τοὺς ἀκορέστους μικρὸν χαρτερήσατε πόνον, ἀλλήλων τὰ βάρη βαστάζοντες, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ. Οὐχ ὁρᾶτε τοὺς Ὀλυμπιακοὺς ἀθλητὰς εἰς μέσον τοῦ θεάτρου [109] ἑστῶτας, ἐν μεσημβρίᾳ μέσῃ καθάπερ ἐν καμίνῳ τῷ σκάμματι καὶ γυμνῷ τῷ σώματι τὴν ἀκτῖνα δεχομένους, ὥσπερ τινὰς ἀνδριάντας χαλκοῦς καὶ ἡλίῳ καὶ κονιορτῷ καὶ πνίγει μαχομένους, ἵνα τὴν τοσαῦτα ταλαιπωρήσασαν κεφαλὴν φύλλοις δάφνης ἀναδήσωνται; Ὑμῖν δὲ οὐ στέφανος δάφνης, ἀλλὰ στέφανος δικαιοσύνης πρόκειται τῆς ἀκροάσεως ὁ μισθὸς, καὶ οὐδὲ μέχρι μεσημβρίας μέσης ὑμᾶς κατέχομεν, ἀλλ' ἀπ' αὐτῶν τῶν προοιμίων τῆς ὑμετέρας ἕνεκα ὀλιγωρίας διαφλεμεν, ἔτι τοῦ ἀέρος ὄντος ψυχροτέρου, καὶ οὐ διαθερμαινομένου ταῖς ἀπὸ τῶν ἀκτίνων βολαῖς, οὐ γυμνῇ τῇ κεφαλῇ κελεύοντες ὑμᾶς τὴν ἀκτῖνα δέχεσθαι, ἀλλ' ὑπὸ τὸν θαυμαστὸν τοῦτον ἄγομεν ὄροφον, καὶ τὴν ἀπὸ τῆς στέγης παρέχομεν παραμυθίαν παντὶ τρόπῳ ἐπινοοῦντες ὑμῖν ἄνεσιν, ὥστε γενέσθαι τῶν λεγομένων μόνιμον τὴν ἀκρόασιν. Μὴ δὴ γενώμεθα μαλακώτεροι τῶν παιδίων τῶν ἡμετέρων τῶν εἰς διδασκαλεῖα βαδιζόντων· ἐκεῖνα πρὸ τῆς μεσημβρίας οὐ τολμᾷ ἀναχωρῆσαι οἴκαδε, ἀλλ' ἄρτι τοῦ γάλακτος ἀποσπασθέντα, ἄρτι τῆς θηλῆς ἀποστάντα, οὐδέπω οὐδὲ πέντε ἐτῶν ἡλικίαν ἄγοντα, ἐν νεαρῷ καὶ ἁπαλῷ σώματι πᾶσαν καρτερίαν ἐπιδείκνυται· κἂν πνῖγος, κἂν δίψος, κἂν ἄλλο ὁτιοῦν παρενοχλῇ, πρὸς μεσημβρίαν μέσην διακαρτερεῖ, καὶ ταλαιπωρεῖται ἐν τῷ διδασκαλείῳ καθήμενα. Εἰ καὶ μηδένα οὖν ἕτερον, ἐκεῖνα μιμησώμεθα τὰ παιδία ἡμεῖς οἱ ἄνδρες οἱ φθάσαντες εἰς μέτρον ἡλικίας. Εἰ γὰρ τοὺς λόγους τοὺς περὶ ἀρετῆς μὴ ἀνεχόμεθα ἀκούειν, τίς ἡμῖν πιστεῦσαι δυνήσεται, ὅτι τοὺς πόνους τοὺς ὑπὲρ τῆς ἀρετῆς ὑπομενοῦμεν; εἰ πρὸς τὴν ἀκρόασιν οὕτω βάναυσοι, πόθεν δῆλον, ὅτι πρὸς τὴν πρᾶξίν ἐσμεν διεγηγερμένοι; εἰ τὸ εὐκολώτερον παραπεμψώμεθα, πῶς τὸ δυσκολώτερον οἴσομεν; Ἀλλὰ πολλὴ ἡ στενοχωρία, πολλὴ ἡ βία. Ἀλλ' ἄκουσον ὅτι βιασταὶ ἁρπάζουσι τὴν βασιλείαν τῶν οὐρανῶν, ὅτι στενὴ καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν. Ἐπεὶ οὖν στενὴν καὶ τεθλιμμένην ὁδὸν βαδίζομεν, δεῖ ἡμᾶς καὶ ἑαυτοὺς στενοχωρεῖν καὶ θλίβειν, ἵνα δυνηθῶμεν διοδεῦσαι τὴν στενὴν καὶ τεθλιμμένην ὁδόν. Ὁ γὰρ ἐμπλατύνων ἑαυτὸν, οὐκ ἂν οὕτω ῥᾳδίως τὴν ἐστεμωμένην ὁδὸν διαδράμοι, ἀλλ' ὁ συνέχων, καὶ θλίβων, καὶ πιέζων.

β'. Οὐδὲ γὰρ περὶ τῶν τυχόντων ἐστὶν ἡμῖν ἡ ζήτησις τήμερον, ἀλλ' ὑπὲρ ζητήματος τὴν ἀρχὴν μὲν λαβόντος χθὲς, τὴν δὲ λύσιν μὴ λαβόντος διὰ τὸ πολλὰ γενέσθαι τὰ προβληθέντα. Τί δὴ τοῦτό ἐστι; Περὶ τῆς τῶν ὀνομάτων θέσεως ἐζητοῦμεν, ἅπερ ἐπέθηκε τοῖς ἁγίοις ὁ Θεός. Τοῦτο δὲ τὸ πρᾶγμα δοκεῖ μὲν ψιλὸν εἶναι, εἴ τις ἀκούσειε· πολὺν δὲ ἔχει θησαυρὸν, εἴ τις μετὰ ἀκριβείας προσέχοι. Καὶ γὰρ τὴν χρυσῖτιν γῆν τὴν ἐν τοῖς μετάλλοις κειμένην οἱ μὲν ἄπειροι καὶ ἁπλῶς ὁρῶντες γῆν νομίζουσιν εἶναι μόνον ψιλὴν, καὶ οὐδὲν πλέον ἔχειν τῆς ἑτέρας· οἱ δὲ τοῖς ὀφθαλμοῖς τῆς τέχνης καταμανθάνοντες ἴσασι τῆς γῆς ταύτης τὴν εὐγένειαν, καὶ τῷ πυρὶ παραδόντες αὐτῆς τὴν βάσανον, ἅπασαν αὐτῆς ἐκκαλύπτουσι τὴν ὑπεροχήν. Οὕτω δὴ καὶ ἐπὶ τῶν θείων Γραφῶν, οἱ μὲν ἁπλῶς [110] ἀναγινώσκοντες τὰ γράμματα, γράμματα εἶναι νομίζουσι ψιλὰ καὶ τῶν ἄλλων πλέον ἔχειν οὐδέν· οἱ δὲ τοῖς τῆς πίστεως ὀφθαλμοῖς αὐτὰ καταμανθάνοντες, καθάπερ ἐκεῖνοι τοῖς τῆς τέχνης ὀργάνοις, πυρὶ τοῦ Πνεύματος παραδιδόντες αὐτῶν τὴν ἐξέτασιν, ἅπαντα τὸν χρυσὸν αὐτῶν δύονται ῥᾳδίως. Πόθεν οὖν ἡ ἀρχὴ τῆς ζητήσεως γέγονεν; Οὐδὲ γὰρ ἁπλῶς ἐνεπέσαμεν εἰς τὴν πραγματείαν ταύτην, ἵνα μή τις ἡμῶν ἀκαιρίαν καταγινώσκῃ· ἀλλ' ἐπεθυμήσαμεν εἰπεῖν τὰ Παύλου κατορθώματα, τῶν Πράξεων τῶν ἀποστολικῶν ὑμῖν ὑπαναγινωσκομένων, καὶ ἡψάμεθα τοῦ προοιμίου τῆς ἱστορίας· ἠῦραμεν δὲ τὴν ἀρχὴν τοῦ διηγήματος οὕτως ἔχουσαν· *Σαῦλος δὲ ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόνου εἰς τοὺς μαθητὰς τοῦ Κυρίου.* Εὐθέως ὑμᾶς διετάραξεν ἡ τοῦ ὀνόματος ἐναλλαγή· εὑρίσκομεν γὰρ ἐν ταῖς Ἐπιστολαῖς ἁπάσαις, καὶ ἐν τοῖς προοιμίοις ἐκείνοις οὐ Σαῦλον αὐτὸν, ἀλλὰ Παῦλον καλούμενον, καὶ τοῦτο οὐκ ἐπὶ τούτου μόνου, ἀλλὰ καὶ ἐπὶ πολλῶν ἑτέρων γινόμενον. Καὶ γὰρ καὶ ὁ Πέτρος Σίμων ἐλέγετο πρὸ τούτου, καὶ τὰ τέκνα Ζεβεδαίου Ἰάκωβος καὶ Ἰωάννης Υἱοὶ βροντῆς μετωνομάσθησαν ὕστερον, καὶ ἐν τῇ Παλαιᾷ δὲ τὸ ἔθος αὐτὸ τοῦτο ἴδοι τις ἂν ἐπ' ἐνίων κρατῆσαν· καὶ γὰρ ὁ Ἄβραλμ πρότερον Ἀβρὰμ λεγόμενος μετὰ ταῦτα Ἀβραὰμ ἐκαλεῖτο, καὶ Σάρρα πρὸ τούτου Σάρα, μετὰ δὲ ταῦτα Σάρρα ὠνομάσθη, καὶ ὁ Ἰακὼβ δὲ μετὰ ταῦτα Ἰσραὴλ προσηγορεύετο· ἄτοπον οὖν ἔδοξεν ἡμῖν εἶναι τοσοῦτον ὀνομάτων θησαυρὸν παραδραμεῖν ἁπλῶς. Τοῦτο δὲ καὶ ἐπὶ ἀρχόντων τῶν ἔξωθεν συμβαῖνον εὕροι τις ἄν· καὶ γὰρ καὶ ἐκείνοις διπλοῦς ὁ χρηματισμὸς τῶν ὀνομάτων. Ὅρα δέ· *Διεδέξατο*, φησὶ, *τὸν Φήλικα Πόρτιος Φῆστος*· καὶ πάλιν, *Συνῆν τις τῷ ἀνθυπάτῳ καλουμένῳ Σεργίῳ Παύλῳ*· καὶ ὁ τὸν Χριστὸν ἐκδοὺς τοῖς Ἰουδαίοις Πόντιος Πιλάτος ἐλέγετο. Οὐ τοῖς ἄρχουσι δὲ μόνον, ἀλλὰ καὶ τοῖς στρατιώταις πολλάκις διπλᾶ τὰ ὀνόματα, καὶ τοῖς τὸν ἰδιωτικὸν ἀνῃρημένοις βίον ἀπὸ αἰτίας τινὸς καὶ ὑποθέσεως διπλῆ γέγονεν ἡ προσηγορία. Ἀλλ' ὑπὲρ μὲν ἐκείνων οὐδὲν ἡμῖν ὄφελος ζητεῖν πόθεν οὕτως ἐκλήθησαν· ὅταν δὲ ὁ Θεὸς ὀνομάζῃ, πᾶσαν ἐπιδείκνυσθαι σπουδὴν χρὴ ὡς εὑρεῖν τὴν αἰτίαν.

Οὐδὲν γὰρ ἁπλῶς οὔτε εἰκῇ οὔτε ποιεῖν οὔτε λέγειν ὁ Θεὸς εἴωθεν, ἀλλ' ἕκαστον μετὰ τῆς αὐτῷ προσηκούσης σοφίας. Τί δήποτε οὖν Σαῦλος ἐλέγετο, ὅτε ἐδίωκεν, καὶ Παῦλος μετωνομάσθη, ὅτε ἐπίστευσε; Τινές φασιν ὅτι ἡνίκα μὲν ἐθορύβει καὶ ἐτάραττε καὶ συνέχεεν ἅπαντα, καὶ τὴν Ἐκκλησίαν ἐσάλευε, Σαῦλος ἐλέγετο, δι' αὐτὸ τοῦτο τὸ σαλεύειν τὴν Ἐκκλησίαν, ἀπὸ τοῦ πράγματος λαβὼν τὴν προσηγορίαν· ἐπειδὴ δὲ ἀπέστη τῆς μανίας ἐκείνης καὶ τὴν ταραχὴν ἀπέθετο, καὶ τὸν πόλεμον κατέλυσε, καὶ τοῦ διώκειν ἐπαύσατο, πάλιν Παῦλος ἀπὸ τοῦ παύσασθαι

mensam apponam. Vel potius id agite, quod nunc dicam. Vos qui numquam expleri potestis, sed esuritis justitiam, ac sititis, prolixosque sermones expetitis, propter fratrum vestrorum imbecillitatem aliquid sinite de consueta sermonis mensura resecari. Rursus vos qui brevitatem orationis adamatis, et imbecilliores estis, gratia fratrum vestrorum, qui exsaturari non possunt, laborem exiguum tolerate, vestraque invicem onera portate, atque ita Christi legem adimplete (*Gal.* 6. 2). Nonne videtis Olympicorum ludorum athletas in medio stantes theatro in ipso meridie tamquam in fornace in stadio ac nudo corpore solis radios excipientes quasi statuas quasdam æreas, et cum sole, pulvere, æstuque pugnare, ut tot ærumnis vexatum caput lauri foliis coronetur? Vobis autem non laurea corona, sed justitiæ corona in præmium auditionis est proposita, neque ad medium usque meridiem vos detinemus, sed ab ipsis lucis exordiis vos dimittimus propter vestram ignaviam, dum adhuc aer est frigidus, nequedum radiorum crebris jactibus concalefactus; non capite nudo vos jubemus solis æstum excipere, sed sub eximium laquear istud deducimus, vosque tecti solatio et quocumque genere jucunditatis a nobis excogitato recreamus, ut ea, quæ dicta fuerint, diutius et constantius audire possitis. Ne igitur puerulis nostris molliores fiamus, qui scholas frequentant: illi ante meridiem domum non audent redire, sed non ita pridem a lacte depulsi, paulo ante avulsi ab ubere, cum nondum quinque annorum ætatem attigerint, in juvenili ac tenero corpore tolerantiam omnem præ se ferunt: quamvis æstus, quamvis sitis, quamvis aliud quidvis molestiam afferat, ad medium usque meridiem in schola sedentes tolerando ac patienter ferendo perseverant. Itaque si nullam alium, puerulos illos imitemur nos viri, qui ad justam ac perfectam ætatem pervenimus. Si enim institutos de virtute sermones audire non sustinemus, quis nobis credere poterit nos labores toleraturos pro virtute subeundos? si ad audiendum illiberales adeo simus ac sordidi, unde nos ad agendum promptiores fore constabit? si quod facilius est omittamus, quomodo quod difficilius est perferemus? At enim multæ sunt loci angustiæ, multa violentia. Audi, sane, quod regnum cœlorum rapiant violenti (*Matth.* 11. 12), quod arcta sit et angusta via, quæ ducit ad vitam (*Matth.* 7. 14). Quando igitur per arctam et angustam viam incedimus, nos etiam oportet nos ipsos coarctare et comprimere, ut arctam et angustam conficere viam possimus. Nam qui seipsum dilatat, non ita facile viam angustam percurret, sed qui seipsum cohibet, comprimit, et constringit.

2. *Nominum mutatio quanti facienda. Scripturæ sacræ quomodo legendæ.* — Neque enim de rebus trivialibus quæstionem habemus hodie, sed de re quæ cœpit quidem hesterno die proponi, non potuit autem solutio quæstionis afferri, propter eorum multitudinem, quæ fuerant in medium prolata. Quid illud porro est? De nominum impositione quæstio erat, quæ Deus sanctis imposuit. Res autem ista tenuis videtur esse, si quis audiat: multum vero continet thesaurum, si quis diligenter attendat. Nam et auream terram, quæ in fodinis reperitur, imperiti, et qui negligenter aspiciunt, terram nudam solum esse putant, neque quidquam amplius habere, quam aliam quamvis: qui vero artis oculis illam considerant, istius terræ nobilitatem noverunt, et dum illam in ignem injectam probant, omnem illius præstantiam patefaciunt. Sic nimirum in sacris Scripturis, qui oscitanter literas legunt, nudas esse literas arbitrantur, nec amplius quidquam in se continere quam cæteras: qui vero fidei oculis illas considerant, quemadmodum illi artis instrumentis, illarum probationem igni Spiritus committentes, totum illarum aurum facile cernent. Unde igitur quæstionis initium est ductum? Neque enim temere in hanc disceptationem incidimus, ne quis intempestivæ nos curiositatis condemnet: sed, cum apostolica vobis acta legerentur, Pauli præclara facinora narrare cupiebamus, jamque historiæ attigeramus exordium, et his verbis conceptum initium narrationis invenimus: *Saulus autem adhuc spirans minas et cædem in discipulos Domini* (*Act.* 9. 1). Continuo turbavit nos immutatio nominis: invenimus enim in omnibus epistolis, et in illarum exordiis non Saulum eum, sed Paulum appellari, et hoc non in hoc solo, sed et in multis aliis accidisse. Nam et Petrus Simon dicebatur, et filii Zebedæi Jacobus et Joannes Filii tonitrui mutato deinde nomine sunt vocati: et in Veteri Testamento hanc eamdem consuetudinem in quibusdam obtinuisse comperimus. Nam et Abraham prius Abram appellabatur, et Sarra prius Sara, deinde Sarra nominata est, et Jacob postea Israel est vocatus: absurdum igitur nobis est visum, si tantus a nobis thesaurus nominum temere præteriretur. Id vero in principibus etiam sæcularibus evenire comperimus: siquidem illi duplex quoque nomen assumunt. Vide autem: *Successit*, inquit, *Felici Porcius Festus* (*Act.* 24. 27): et rursus, *Erat quidam cum proconsule, qui vocabatur Sergius Paulus* (*Ib.* 13. 7), et qui Judæis Christum tradidit, Pontius Pilatus dicebatur. Neque vero principibus tantum, sed et militibus sæpe duplicia fuerunt nomina, et illi qui privatam vitam elegerant, ob causam et occasionem aliquam duplicem sortiti sunt appellationem. Sed de illis quidem nobis nihil proderit si quæramus, unde ita fuerint appellati: cum vero Deus nomen imposuit, omni studio incumbendum est, ut causam reperiamus.

Deus nihil facit frustra. Cur Paulus nomen mutaverit. — Neque enim temere aut sine causa quidquam vel facere Deus vel dicere consuevit, sed singula cum ea, quæ ipsi convenit, sapientia. Cur ergo tandem Saulus dicebatur, cum persequeretur, et Paulus mutato nomine dictus est, quando credidit? Nonnulli dicunt, quando turbabat, tumultuabatur, et miscebat omnia, Ecclesiamque exagitabat, Saulum illum fuisse dictum, et ab hac ipsa Ecclesiæ vexatione nomen esse sortitum: postquam autem ab illa recessit insania, turbasque ciere ac bellum inferre desiit,

rursus Paulum, cum pausam fecisset, mutato nomine dictum esse ; sed futilis et falsa est hæc oratio, atque idcirco a me prolata in medium, ne forte nudis quibusdam causarum expositionibus decipi vos sinatis. Primum enim parentes hoc illi nomen imposuerunt, non quod prophetæ quidam essent, et quod futurum erat præviderent. Deinde si propterea Saulus dicebatur, quoniam Ecclesiam exagitabat et vexabat, oportebat eum, cum exagitare desiisset Ecclesiam, continuo nomen quoque deponere : jam vero illum videmus, cum turbas ciere adversus Ecclesiam cessaret, nomen idcirco non deposuisse, verum adhuc Saulum esse appellatum. Ne vero putetis hæc idcirco a me dici, ut vos circumveniam, rem ipsam vobis a capite narrabo. *Ejecerunt*, inquit Scriptura, *Stephanum, et lapidabant eum, et testes deposuerunt vestimenta sua secus pedes adolescentis, qui vocabatur Saulus* (*Act.* 7. 57) ; et rursus, *Saulus autem erat consentiens neci ejus* (*Ibid. v.* 59); et alibi, *Saulus autem devastabat Ecclesiam, per domos intrans, et trahens viros ac mulieres* (*Ibid.* 8. 3); et rursus, *Saulus autem adhuc spirans minas ac cædem in discipulos Domini* (*Ib.* 9. 1); et rursus, *Audivit vocem dicentem sibi, Saule, Saule, quid me persequeris* (*Ibid.* 9. 4)? Itaque oportuit ex hoc tempore ut Sauli nomen abjiceret, siquidem a persequutione abstinebat. Num igitur confestim abjecit? Nequaquam, idque ex iis quæ sequuntur, liquet: animadvertite, quæso. *Surrexit Saulus de terra, apertisque oculis nihil videbat* (*Ib. v.* 8); et rursus, *Dixit autem Ananiæ Dominus : Vade in vicum, qui vocatur Rectus, et invenies in domo Judæ Saulum nomine* (*Ib. v.* 11); et rursus, *Introivit Ananias, et dixit, Saule frater, Dominus misit me, qui apparuit tibi in via, ut videas* (*Ib. v.* 17). Deinde cœpit prædicare, et confundebat Judæos, nec tamen ita nomen deposuit, sed adhuc Saulus dicebatur. *Notæ* enim, inquit, *factæ sunt Saulo insidiæ Judæorum* (*Ib. v.* 24). Num igitur his tantum in locis? Nequaquam, sed, *Facta est fames*, inquit, *et proposuerunt discipuli mittere Jerosolymam sanctis in ministerium. Miserunt autem per manum Barnabæ et Sauli* (*Ib.* 11. 29. 30). Ecce sanctis ministrat, et adhuc Saulus dicitur : et postea ingressus est Barnabas Antiochiam, et videns gratiam Dei, et magnam ibi esse multitudinem, profectus est Tarsum, ut quæreret Saulum (*Ib.* 22 *et sqq.*). Ecce multos convertit, et Saulus dicitur ; et rursus, *Erant*, inquit, *Antiochiæ in Ecclesia, quæ illic erat, prophetæ, et doctores, Symeon qui vocabatur Niger, et Lucius Cyrenæus, et Manahen, qui erat Herodis tetrarchæ collactaneus, et Saulus* (*Ib.* 13. 1). Ecce et doctor factus erat et propheta, et adhuc Saulus dicebatur. Et rursus, *Ministrantibus autem illis Domino, et jejunantibus, dixit Spiritus sanctus : Segregate mihi Barnabam et Saulum* (*Ib. v.* 2).

3. *Pauli nomen ubi primum occurrerit.* — Ecce etiam a Spiritu sancto segregatur, necdum tamen nomen deponit, sed quando venit Salamina, quando magum invenit, tunc ait Lucas de illo : *Saulus autem, qui et Paulus repletus Spiritu sancto dixit* (*Ib.* 13. 9). Hinc mutationis nominis initium est factum. Neque igitur defatigemur, dum rationem hanc impositionis nominum quærimus. Siquidem nominum inventio in sæcularibus quoque negotiis vim non-mediocrem obtinet. Nam et sæpenumero efficit, ut post multum tempus elapsum homines agnoscamus, et latentem cognationem patefacit inventio nominum, atque exortas in judicio dubitationes solvit, et pugnas tollit, et bellum exstinguit inventio nominum, ac sæpe pacis ineundæ occasionem suppeditat. Quod si sæcularibus in negotiis inventio nominum tantum valet, multo magis in spiritualibus. Sed prius necesse est, ut ipsas quæstiones accurate discernamus.

Nomina immutata in Veteri Testamento ; duæ quæstiones de nominum mutatione. — Primum ergo quæritur, qua de causa quibusdam sanctis Deus nomen imposuerit, quibusdam non imposuerit. Neque enim omnibus sanctis nomina imposuit ipse, neque in Novo, neque in Veteri Testamento ; quodque in Novo factum est, id etiam in Veteri, ut unum utriusque Testamenti Dominum esse cognoscas. Itaque in Novo quidem Simoni Christus Petri nomen imposuit, et filiis Zebedæi Jacobo et Joanni Filiorum tonitrui, solis istis : reliquorum autem discipulorum nemini, sed suas illis appellationes reliquit, quas a principio parentes illis imposuerant ; in Veteri autem Abrahamo nomen immutavit Deus et Jacob : non item Joseph, neque Samueli, neque Davidi, neque Heliæ, neque Elisæo, neque cæteris prophetis, sed ut priores illi appellationes retinerent, permisit. Hæc quidem prima est quæstio, quare quibusdam ex sanctis immutata sint nomina, quibusdam non item : secunda vero post illam est, cur ex his quibusdam in media ætate mutata sint nomina, quibusdam ab initio, atque ante ortum. Nam Petro quidem et Jacobo et Joanni in media ætate nomina Christus immutavit ; Joanni autem Baptistæ, priusquam etiam ex utero matris prodiret. *Venit enim angelus Domini, et dixit : Ne timeas, Zacharia : ecce uxor tua Elisabet pariet filium, et vocabis nomen ejus Joannem* (*Luc.* 1. 13). Vides impositum illi fuisse nomen, antequam nasceretur? Hoc et in Veteri accidit Testamento. Ut enim in Novo Petrus quidem et Jacobus et Joannes in virili ætate nomen aliud acceperunt, et duplici nomine sunt appellati, Joannes autem Baptista nomen accepit antequam nasceretur : sic et in Veteri Abrahamo quidem et Jacob in media ætate nomen est immutatum ; nam ille quidem Abram vocabatur, et Abraham vocatus est : hic vero Jacob vocabatur, et Israel est vocatus. Isaac autem non ita, sed antequam partu ederetur, nomen accepit ; et quemadmodum illic angelus dixit : *Uxor tua in utero concipiet, et pariet filium, et vocabis nomen ejus Joannem :* ita hic quoque Deus ad Abraham dixit : *Uxor tua Sarra pariet filium, et vocabis nomen ejus Isaac* (*Gen.* 17. 19). Una igitur hæc quæstio est, quare nonnullis mutatum sit nomen, nonnullis vero minime: altera vero ab illa, cur tandem nonnullis medio in ætatis decursu, nonnullis etiam antequam nascerentur ; idque in utroque Testamento. Nos autem ad po-

μετωνομάσθη· ἀλλ' ἕωλος οὗτος ὁ λόγος καὶ οὐκ ἀληθής, καὶ διὰ τοῦτο αὐτὸν τέθεικα εἰς μέσον, ἵνα μὴ παρακρούησθε ταῖς ψιλαῖς αἰτιολογίαις. Πρῶτον μὲν γὰρ οἱ γονεῖς αὐτῷ τοῦτο τεθείκασι τοὔνομα οὐχὶ προφῆταί τινες ὄντες, καὶ τὸ μέλλον προορῶντες. Ἔπειτα εἰ διὰ τοῦτο Σαῦλος ἐλέγετο, ἐπειδὴ τὴν Ἐκκλησίαν ἐσάλευε καὶ ἐτάραττεν, ἔδει παυσάμενον αὐτὸν τοῦ σαλεύειν τὴν Ἐκκλησίαν εὐθέως καὶ τὸ ὄνομα ἀποθέσθαι· νῦν δὲ ὁρῶμεν αὐτὸν τοῦ μὲν σάλου τῶν κατὰ τῆς Ἐκκλησίας ἀποστάντα, τὸ ὄνομα δὲ [111] οὐκ ἀπυθέμενον, ἀλλ' ἔτι Σαῦλον λεγόμενον. Καὶ ἵνα μὴ νομίσητε ὅτι παρακρουόμενος ὑμᾶς ταῦτα λέγω, ἄνωθεν ὑμῖν τοῦτο ἀπαριθμήσομαι. *Ἐξέβαλον τὸν Στέφανον*, φησὶ, *καὶ ἐλιθοβόλουν αὐτὸν, καὶ οἱ μάρτυρες ἀπέθεντο τὰ ἱμάτια αὐτῶν παρὰ τοὺς πόδας νεανίου καλουμένου Σαύλου*· καὶ πάλιν, *Σαῦλος δὲ ἦν συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ*· καὶ ἀλλαχοῦ, *Σαῦλος δὲ ἐλυμαίνετο τὴν Ἐκκλησίαν κατὰ τοὺς οἴκους εἰσπορευόμενος, σύρων τε ἄνδρας καὶ γυναῖκας*· καὶ πάλιν, *Σαῦλος δὲ ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόνου εἰς τοὺς μαθητὰς τοῦ Κυρίου*· καὶ πάλιν, *Ἤκουσε φωνὴν λέγουσαν αὐτῷ, Σαοὺλ, Σαοὺλ, τί με διώκεις*; Οὐκοῦν ἐντεῦθεν αὐτὸν ἔδει λοιπὸν ἀποθέσθαι τὸ ὄνομα, καὶ γὰρ ἀπέστη τοῦ διώκειν. Τί οὖν; εὐθέως ἀπέθετο; Οὐδαμῶς, καὶ τοῦτο ἐκ τῶν ἑξῆς δῆλον· σκοπεῖτε δέ· *Ἠγέρθη Σαῦλος ἀπὸ τῆς γῆς, καὶ ἀνεῳγμένων τῶν ὀφθαλμῶν αὐτοῦ οὐδένα ἔβλεπε*· καὶ πάλιν· *Εἶπε δὲ Κύριος τῷ Ἀνανίᾳ· Πορεύθητι εἰς τὴν ῥύμην καλουμένην Εὐθεῖαν, εὑρήσεις ἐν οἰκίᾳ Ἰούδα Σαῦλον ὀνόματι*· καὶ πάλιν, *Εἰσελθὼν ὁ Ἀνανίας εἶπε, Σαοὺλ ἀδελφὲ, ἀπέσταλκέ με ὁ Κύριος, ὁ ὀφθείς σοι ἐν τῇ ὁδῷ, ἵνα ἀναβλέψῃς*. Εἶτα ἤρξατο κηρύσσειν καὶ συνέχεε τοὺς Ἰουδαίους, καὶ οὐδὲ οὕτως τὸ ὄνομα ἀπέθετο, ἀλλ' ἔτι Σαῦλος ἐλέγετο. Ἐγνώσθη γὰρ, φησὶ, τῷ *Σαύλῳ ἡ ἐπιβουλὴ τῶν Ἰουδαίων*. Ἆρ' οὖν ἐνταῦθα μόνον; Οὐδαμῶς, ἀλλ', *Ἐγένετο λιμὸς*, φησὶ, *καὶ ὥρισαν οἱ μαθηταὶ πέμψαι εἰς Ἱεροσόλυμα τοῖς ἁγίοις εἰς διακονίαν. Ἔπεμψαν δὲ διὰ χειρὸς Βαρνάβα καὶ Σαύλου*. Ἰδοὺ διακονεῖ τοῖς ἁγίοις, καὶ ἔτι Σαῦλος λέγεται. Εἰσῆλθε καὶ μετὰ ταῦτα Βαρνάβας εἰς Ἀντιόχειαν, καὶ ἰδὼν τὴν χάριν τοῦ Θεοῦ, καὶ ὅτι πλῆθος ἦν ἐκεῖ πολὺ, ἐξῆλθεν εἰς Ταρσὸν ἀναζητῆσαι Σαῦλον. Ἰδοὺ καὶ ἐπιστρέφει πολλοὺς, καὶ Σαῦλος λέγεται· καὶ πάλιν· *Ἦσαν*, φησὶν, *ἐν Ἀντιοχείᾳ κατὰ τὴν οὖσαν Ἐκκλησίαν προφῆται καὶ διδάσκαλοι, Συμεὼν ὁ καλούμενος Νίγερ, καὶ Λούκιος ὁ Κυρηναῖος, Μαναήν τε Ἡρῴδου τοῦ τετράρχου σύντροφος, καὶ Σαῦλος*. Ἰδοὺ καὶ διδάσκαλος ἐγένετο καὶ προφήτης, καὶ ἔτι Σαῦλος ἐλέγετο. Καὶ πάλιν, *Λειτουργούντων δὲ αὐτῶν τῷ Κυρίῳ καὶ νηστευόντων, εἶπε τὸ Πνεῦμα τὸ ἅγιον· Ἀφορίσατέ μοι τὸν Βαρνάβαν καὶ τὸν Σαῦλον*.

γ'. Ἰδοὺ καὶ ἀφορίζεται ὑπὸ τοῦ Πνεύματος, καὶ οὐδέπω τὸ ὄνομα ἀποτίθεται, ἀλλ' ὅτε ἦλθεν εἰς Σαλαμῖνα, ὅτε τὸν μάγον εὗρε, τότε φησὶν ὁ Λουκᾶς περὶ αὐτοῦ· *Σαῦλος δὲ, ὁ καὶ Παῦλος, πλησθεὶς Πνεύματος ἁγίου, εἶπεν*. Ἐντεῦθεν ἡ ἀρχὴ τῆς μετονομασίας ἐγίνετο. Μὴ τοίνυν ἀποκάμωμεν τὸν περὶ τῶν ὀνομάτων τοῦτον ζητοῦντες λόγον. Ὀνομάτων γὰρ εὕρεσις καὶ ἐν τοῖς βιωτικοῖς πράγμασι πολλὴν ἔχει τὴν ἰσχύν. Καὶ γὰρ ἀναγνωρισμὸν διὰ πολλοῦ χρόνου πολλάκις εἰργάσατο, καὶ συγγένειαν λανθάνουσαν ἐφανέρωσεν ὀνομάτων εὕρεσις, καὶ ἀμφισβητήσεις ἐν δικαστηρίῳ ἔλυσε, καὶ μάχας καθεῖλε, καὶ πόλεμον ἔσβεσεν ὀνομάτων εὕρεσις, καὶ πολλάκις ὑπόθεσις εἰρήνης γέγονεν. Εἰ δὲ ἐν τοῖς βιωτικοῖς πράγμασι τοσαύτη ἡ δύναμις τῆς τῶν ὀνομάτων εὑρέσεως, πολλῷ μᾶλλον ἐν τοῖς πνευματικοῖς. Πρότερον δὲ ἀνάγκη αὐτὰ τὰ ζητήματα διακρῖναι μετὰ ἀκριβείας. Ζητεῖται τοίνυν [112] πρῶτον μὲν, διὰ τί τῶν ἁγίων τοὺς μὲν ὠνόμασεν ὁ Θεὸς, τοὺς δὲ οὐκ ὠνόμασεν. Οὐ γὰρ δὴ πάντας τοὺς ἁγίους αὐτὸς ὠνόμασεν, οὔτε ἐν τῇ Καινῇ, οὔτε ἐν τῇ Παλαιᾷ· καὶ ὅπερ γέγονεν ἐν τῇ Καινῇ, τοῦτο καὶ ἐν τῇ Παλαιᾷ, ἵνα μάθῃς, ὅτι εἷς ἐστιν ὁ Δεσπότης ἑκατέρων τῶν διαθηκῶν. Ἐν μὲν οὖν τῇ Καινῇ τὸν Σίμωνα ὁ Χριστὸς Πέτρον ὠνόμασε, καὶ τὰ τέκνα Ζεβεδαίου Ἰάκωβον καὶ Ἰωάννην Υἱοὺς βροντῆς, τούτους μόνους· τῶν δὲ λοιπῶν μαθητῶν οὐδένα, ἀλλ' ἀφῆκεν αὐτοὺς ἐν ταῖς προσηγορίαις, ἐν αἷς ἔθεντο αὐτοὺς οἱ γονεῖς ἐξ ἀρχῆς· ἐν δὲ τῇ Παλαιᾷ τὸν Ἀβραὰμ ὁ Θεὸς μετωνόμασε καὶ τὸν Ἰακώβ· οὔτε δὲ τὸν Ἰωσὴφ, οὔτε τὸν Σαμουὴλ, οὔτε τὸν Δαυΐδ, οὔτε τὸν Ἠλίαν, οὔτε τὸν Ἐλισσαῖον, οὔτε τοὺς λοιποὺς προφήτας, ἀλλ' ἀφῆκεν αὐτοὺς ἐπὶ τῆς προσηγορίας μένειν τῆς ἐν ἀρχῇ. Ἓν μὲν τοῦτο πρῶτον ζήτημά ἐστι, διὰ τί τῶν ἁγίων οἱ μὲν μετωνομάσθησαν, οἱ δὲ οὔ· δεύτερον δὲ μετ' ἐκεῖνο, διὰ τί τούτων οἱ μὲν ἐν μέσῃ τῇ ἡλικίᾳ μετωνομάζοντο, οἱ δὲ ἐξ ἀρχῆς, καὶ πρὸ αὐτῶν τῶν ὠδίνων. Τὸν μὲν γὰρ Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην ἐν μέσῃ τῇ ἡλικίᾳ μετωνόμασεν ὁ Χριστός· Ἰωάννην δὲ τὸν Βαπτιστὴν πρὸ αὐτῶν τῶν ὠδίνων. *Ἦλθε γὰρ ἄγγελος Κυρίου, καὶ εἶπε· Μὴ φοβοῦ, Ζαχαρία· ἰδοὺ ἡ γυνή σου Ἐλισάβετ τέξεται υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην*. Εἶδες πῶς πρὸ τῶν ὠδίνων ἡ προσηγορία; Τοῦτο καὶ ἐν τῇ Παλαιᾷ γέγονεν. Ὥσπερ γὰρ ἐν τῇ Καινῇ ὁ μὲν Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης εἰς ἄνδρας τελοῦντες μετωνομάσθησαν, καὶ διώνυμοι γεγόνασιν, Ἰωάννης δὲ ὁ Βαπτιστὴς πρὸ αὐτῶν τῶν ὠδίνων καὶ τῶν τόκων ἔλαβε τὴν προσηγορίαν· οὕτω καὶ ἐν τῇ Παλαιᾷ ὁ μὲν Ἀβραὰμ καὶ Ἰακὼβ ἐν μέσῃ τῇ ἡλικίᾳ μετωνομάζοντο· ὁ μὲν γὰρ ἐκαλεῖτο Ἀβράμ, καὶ ἐκλήθη Ἀβραάμ· ὁ δὲ ἐκαλεῖτο Ἰακὼβ, ἐκλήθη δὲ Ἰσραήλ. Ὁ δὲ Ἰσαὰκ οὐκ ἔτι οὕτως, ἀλλὰ πρὸ αὐτῶν τῶν ὠδίνων τὸ ὄνομα δέχεται· καὶ καθάπερ ἐκεῖ ὁ ἄγγελος εἶπεν· *Ἡ γυνή σου λήψεται ἐν γαστρὶ, καὶ τέξεται υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην*· οὕτω καὶ ἐνταῦθα ὁ Θεὸς εἶπε πρὸς τὸν Ἀβραάμ· *Ἡ γυνή σου Σάρρα τέξεται υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰσαάκ*. Ἓν μὲν οὖν τοῦτο ζήτημα, τίνος ἕνεκεν οἱ μὲν μετωνομάσθησαν, οἱ δὲ οὐκέτι· δεύτερον δὲ μετ' ἐκεῖνο, τί δήποτε οἱ μὲν ἐν μέσῃ τῇ ἡλικίᾳ, οἱ δὲ πρὸ αὐτῶν τῶν ὠδίνων, καὶ ταῦτα μὲν ἐν ἑκατέραις Διαθήκαις. Ἡμεῖς δὲ ἐπὶ τὸ δεύτερον ἴωμεν πρότερον· οὕτω γὰρ καὶ ἐκεῖνο σα-

φέστερον ἔσται· καὶ ἴδωμεν τοὺς ἐξ ἀρχῆς ὀνομασθέντας, καὶ ἀναβαίνοντες μετὰ (f. κατὰ) μικρὸν ἐπὶ τὸν πρῶτον ὀνομασθέντα ἄνθρωπον παρὰ τοῦ Θεοῦ ἔλθωμεν, ἵνα ἀπὸ τῆς ἀρχῆς τὰ ζητήματα τὴν λύσιν λαμβάνῃ. Τίνα οὖν πρῶτον ὠνόμασεν ὁ Θεός; Τίνα δὲ ἄλλον, ἀλλ' ἢ τὸν πρῶτον πλασθέντα; Οὐδὲ γὰρ ἦν ἄλλος ἄνθρωπος οὐδείς, ὥστε ἐπιθεῖναι αὐτῷ προσηγορίαν. Τίνα οὖν τοῦτον ὠνόμασεν; Ἀδὰμ τῇ Ἑβραίων φωνῇ· οὐ γάρ ἐστιν Ἑλληνικὸν τὸ ὄνομα, εἰς δὲ τὴν Ἑλλάδα [113] μεταβαλλόμενον, οὐδὲν ἄλλο δηλοῖ, ἀλλ' ἢ τὸν γήϊνον· τὸ γὰρ Ἐδὲμ τὴν παρθένον σημαίνει γῆν· τοιοῦτον δὲ ἦν τὸ χωρίον ἐκεῖνο, ἐν ᾧ τὸν παράδεισον ἐφύτευσεν ὁ Θεός. *Ἐφύτευσε γὰρ τὸν παράδεισον ὁ Θεὸς, φησὶν, ἐν Ἐδὲμ κατὰ ἀνατολάς·* ἵνα μάθῃς, ὅτι οὐκ ἀνθρωπίνων χειρῶν ἔργον ἦν ὁ παράδεισος· παρθένος γὰρ ἦν ἡ γῆ, καὶ οὔτε ἄροτρον δεξαμένη ἦν, οὔτε εἰς αὔλακα διανοιγεῖσα, ἀλλ' ἄπειρος οὖσα γεωργικῶν χειρῶν ἀπὸ ἐπιταγῆς μόνον ἐβλάστησε τὰ δένδρα ἐκεῖνα. Διὰ τοῦτο Ἐδὲμ αὐτὴν ἐκάλεσεν, ὅπερ ἐστὶ παρθένος γῆ· αὕτη ἡ παρθένος ἐκείνης τῆς Παρθένου τύπος ἦν. Ὥσπερ γὰρ αὕτη ἡ γῆ μὴ δεξαμένη σπέρματα ἐβλάστησεν ἡμῖν τὸν παράδεισον· οὕτω καὶ ἐκείνη μὴ δεξαμένη σπέρμα ἀνδρὸς ἐβλάστησεν ἡμῖν τὸν Χριστόν. Ὅταν οὖν εἴποι σοι ὁ Ἰουδαῖος, Πῶς ἔτεκεν ἡ παρθένος; εἰπὲ πρὸς αὐτὸν, Πῶς ἐβλάστησεν ἡ παρθένος γῆ τὰ δένδρα ἐκεῖνα τὰ παράδοξα; Τὸ γὰρ Ἐδὲμ παρθένος γῆ λέγεται τῇ Ἑβραίων γλώττῃ· καὶ εἴ τις διαπιστεῖ, τοὺς τῆς γλώττης τῆς Ἑβραίων ἐμπείρους διερωτάτω, καὶ θεάσεται ταύτην οὖσαν τὴν ἑρμηνείαν τοῦ Ἐδὲμ ὀνόματος. Οὐδὲ γὰρ ἐπειδὴ ἀγνοοῦσι λέγομεν, διὰ τοῦτο παραλογίσασθαι ὑμᾶς βούλομαι, ἀλλὰ σπουδάζοντες ἀχειρώτους ποιεῖν, ὥσπερ αὐτῶν τῶν ἐχθρῶν παρόντων τῶν ταῦτα εἰδότων, οὕτω μετὰ ἀκριβείας ἅπαντα ἑρμηνεύομεν. Ἐπειδὴ οὖν ἀπὸ τῆς Ἐδὲμ τῆς παρθένου γῆς ἐπλάσθη ἄνθρωπος, ἐκλήθη Ἀδὰμ συνώνυμος τῇ μητρί. Οὕτω καὶ ἄνθρωποι ποιοῦσι, τὰ τικτόμενα παιδία εἰς ὄνομα τῶν μητέρων καλοῦσι πολλάκις· οὕτω καὶ ὁ Θεὸς τὸν πλασθέντα ἄνθρωπον ἀπὸ τῆς γῆς εἰς ὄνομα τῆς μητρὸς ἐκάλεσεν Ἀδάμ. Ἐκείνη Ἐδὲμ, οὗτος Ἀδάμ.

δ'. Ἀλλὰ τί τὸ χρήσιμον; Ἄνθρωποι μὲν γὰρ καλοῦσιν εἰς ὄνομα τῶν μητέρων διὰ τὴν τιμὴν τῶν τεκουσῶν γυναικῶν· ὁ Θεὸς τίνος ἕνεκεν εἰς ὄνομα τῆς μητρὸς ἐκάλεσεν; τί μέγα ἢ μικρὸν οἰκονομῶν ἐντεῦθεν; Οὐδὲν γὰρ ἁπλῶς οὐδὲ εἰκῇ ποιεῖ, ἀλλὰ μετὰ λόγου καὶ σοφίας πολλῆς· *τῆς γὰρ συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός.*

Ἐδὲμ ἡ γῆ, Ἀδὰμ ὁ γήϊνος, ὁ χοϊκὸς, ὁ γηγενής. Διὰ τί οὖν οὕτως αὐτὸν ἐκάλεσεν; Ἀναμιμνήσκων αὐτὸν διὰ τοῦ ὀνόματος τῆς εὐτελείας τῆς κατὰ φύσιν, καὶ καθάπερ ἐν στήλῃ χαλκῇ τῇ προσηγορίᾳ καταστιθέμενος τὴν ταπεινότητα τῆς οὐσίας, ἵνα τὸ ὄνομα διδασκαλίαν ἔχῃ μετριοφροσύνης, ἵνα μὴ μείζονα τῆς οἰκείας ἀξίας ἔννοιαν λάβῃ. Ἡμεῖς μὲν γὰρ ὅτι γῆ ἐσμεν, ἴσμεν σαφῶς, καὶ ἀπ' αὐτῆς τῆς πείρας τῶν πραγμάτων· ἐκεῖνος δὲ οὐδένα λόγον περὶ αὐτοῦ ποτε λευτηκότα, οὐδὲ διηλυθότα εἰς κόνιν, ἀλλὰ πολὺ τὸ κάλλος ἦν αὐτῷ τοῦ σώματος, καὶ καθάπερ χρυσοῦ ἀνδριὰς ἀπὸ χωνευτηρίου ἄρτι προελθὼν, οὕτως ἀπέλαμπεν. Ἵνα μὴ οὖν τὸ ὑπερέχον τῆς δόξης εἰς ἀπόνοιαν αὐτὸν ἐπάρῃ, ἀντέστησεν αὐτῷ ὄνομα ἱκανὴν ταπεινοφροσύνης διδασκαλίαν ἔχον· ἔμελλε γὰρ αὐτῷ καὶ ὁ διάβολος προσελθὼν διαλέγεσθαι περὶ ἀπονοίας· ἔμελλεν ἐρεῖν αὐτῷ, ὅτι *Ἔσεσθε ὡς θεοί.* Ἵνα οὖν μεμνημένος τοῦ ὀνόματος τοῦ διδάσκοντος αὐτὸν, ὅτι γῆ ἐστι, μηδέποτε ἰσοθεΐαν φαντάζηται, διὰ τοῦτο προκαταλαμβάνει αὐτοῦ [114] τὸ συνειδὸς τῷ ὀνόματι, ἱκανὴν αὐτῷ διὰ τῆς προσηγορίας προαποτιθέμενος ἀσφάλειαν τῆς μελλούσης ἐπάγεσθαι παρὰ τοῦ πονηροῦ δαίμονος ἐπιβουλῆς, καὶ τῆς πρὸς τὴν γῆν αὐτὸν ἀναμιμνήσκων συγγενείας, καὶ ἐμφαίνων τῆς φύσεως τὴν εὐγένειαν ἅπασαν, καὶ μονονουχὶ λέγων, ὅτι Ἐὰν εἴποι σοι, ὅτι Ἔσῃ ὡς Θεὸς, ἀναμνήσθητι τοῦ ὀνόματος, καὶ ἱκανὴν ἔλαβες παραίνεσιν, ὥστε μὴ δέξασθαι τὴν συμβουλήν. Ἀναμνήσθητι τῆς μητρὸς, ἀπὸ τῆς συγγενείας ἐπίγνωθι τὴν εὐτέλειαν, οὐχ ἵνα τὴν ταπεινότητα μάθῃς, ἀλλ' ἵνα μηδέποτε εἰς ἀπόνοιαν ἐπαρθῇς. Διὰ τοῦτο καὶ Παῦλος ἔλεγεν, *Ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ ἐκ γῆς χοϊκός.* Τὸ γὰρ Ἀδὰμ ἑρμηνεύων ἡμῖν τί ποτέ ἐστιν, ἔλεγε τὸ, *Ἐκ γῆς χοϊκός· ὁ δεύτερος ἄνθρωπος ὁ Κύριος ἐξ οὐρανοῦ.* Ἀλλ' ἐπιπτῶσιν ἡμῖν οἱ αἱρετικοὶ λέγοντες· Ἰδοὺ οὐκ ἀνέλαβε σάρκα ὁ Χριστός· *Ὁ δεύτερος γὰρ, φησὶν, ἄνθρωπος ὁ Κύριος ἐξ οὐρανοῦ.* Ἀκούεις ὅτι *δεύτερος ἄνθρωπος*, καὶ λέγεις, ὅτι Οὐκ ἀνέλαβε σάρκα; Καὶ τί ταύτης ἀναισχυντίας γένοιτ' ἂν ἴσον; τίς γάρ ἐστιν ἄνθρωπος σάρκα οὐκ ἔχων; Διὰ γὰρ τοῦτο καὶ ἄνθρωπον καὶ δεύτερον αὐτὸν ἐκάλεσεν ἄνθρωπον, ἵνα ἴδῃς αὐτοῦ τὴν συγγένειαν, καὶ ἀπὸ τοῦ ἀριθμοῦ καὶ ἀπὸ τῆς φύσεως. Τίς οὖν ἐστι, φησὶν, ὁ δεύτερος ἄνθρωπος; *Ὁ Κύριος ἐξ οὐρανοῦ.* Ἀλλ' ὁ τόπος με σκανδαλίζει, φησὶ, καὶ τὸ λέγεσθαι *Ἐξ οὐρανοῦ.* Ὅταν ἀκούσῃς, ὅτι πρῶτος ἄνθρωπος Ἀδὰμ ἐκ γῆς χοϊκὸς, ἆρα γήϊνον αὐτὸν νομίζεις εἶναι; ἆρα χοϊκὸν ὑποπτεύεις μόνον εἶναι, μὴ ἔχειν δὲ δύναμιν ἀσώματον, τὴν ψυχὴν λέγω καὶ τὴν ἐκείνης φύσιν; Καὶ τίς ἂν τοῦτο εἴποι; Ὥσπερ οὖν περὶ τοῦ Ἀδὰμ ἀκούων, ὅτι χοϊκὸς ἦν, οὐκ ἔρημον τῆς ψυχῆς τὸ σῶμα ὑποπτεύεις, οὕτως ἀκούων, *Ὁ Κύριος ἐξ οὐρανοῦ*, μὴ ἀθέτει τὴν οἰκονομίαν διὰ τὸ προσκεῖσθαι, *Ἐξ οὐρανοῦ.* Τέως μὲν οὖν τὸ πρῶτον ὄνομα ἱκανὴν ἔλαβεν ἀπολογίαν· Ἀδὰμ γὰρ ἐκλήθη ἀπὸ τοῦ ὀνόματος τῆς μητρὸς, ἵνα μὴ μεῖζον φρονῇ τῆς οἰκείας δυνάμεως· ἵνα ἀχείρωτος γένηται πρὸς τὴν ἀπάτην τοῦ διαβόλου· καὶ γὰρ ἔλεγεν· *Ἔσεσθε ὡς θεοί.* Δεῦρο δὴ λοιπὸν, καὶ ἐφ' ἕτερον τὸν πρὸ αὐτῶν τῶν τόκων ὀνομασθέντα παρὰ τοῦ Θεοῦ μεταβάντες καταπαύσωμεν τὸν λόγον. Τίς οὖν μετὰ τὸν Ἀδὰμ ὑπὸ τοῦ Θεοῦ προσηγορίαν ἔλαβε πρὶν ἢ γενέσθαι; Ὁ Ἰσαάχ· Ἰδοὺ γὰρ, φησὶν, ἡ γυνή σου *Σάῤῥα λήψεται ἐν γαστρὶ, καὶ τέξεται υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰσαάκ.* Ἐπειδὴ δὲ ἔτεκεν αὐτὸν, ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰσαὰκ λέγουσα· *Γέλωτά μοι ἐποίησεν ὁ Θεός.* Διὰ τί; Τίς γὰρ, φησὶν, ἀναγγελεῖ τῷ Ἀβραὰμ, ὅτι *Σάῤῥα θηλάζει υἱόν*; Προσέχετέ μοι ἀκριβῶς ἐνταῦθα, ἵνα

steriorem prius aggrediamur ; sic enim prior quoque dilucidior fiet : eosque qui ab initio nomen acceperunt videamus, ac pedetentim ascendentes ad primum hominem veniamus, cui a Deo nomen est impositum, ut ab ipso initio quæstionum solutio derivetur.

Terra virgo Edem, Virginis Matris figura. — Quis ergo prius a Deo nomen accepit? Quis vero alius, quam qui primus formatus est? Neque enim alius erat homo, cui nomen posset imponi. Qualem igitur appellationem accepit? Adam voce Hebraica dictus est : neque enim Græcum est nomen, sed in Græcam linguam versum nihil aliud significat, quam terrenum : siquidem Edem terram virginem sonat ; talis porro fuit locus ille, in quo paradisum Deus plantavit. *Plantavit enim Deus*, inquit Scriptura, *paradisum in Edem ad Orientem* (*Gen.* 2. 8) ; ut intelligas non humanarum opus manuum fuisse paradisum : siquidem terra fuit virgo, quæ neque vomerem experta erat, neque sulco exarata, sed nullis agricolarum manibus culta solo jussu plantas illas germinarat. Propterea Edem illam appellavit, quod terram virginem significat. Hæc virgo figura virginis illius fuit. Nam quemadmodum terra ista nullo excepto semine paradisum nobis germinavit : sic et illa nullo viri semine suscepto Christum nobis germinavit. Quando igitur dicet tibi Judæus, Quomodo virgo peperit? dic tu illi : Quomodo terra virgo stupendas illas arbores germinavit? Siquidem Hebræa lingua Edem dicitur terra virgo : quod si fidem habere quis renuat, Hebrææ linguæ peritos interroget, et hanc veram esse nominis Edem interpretationem comperiet. Non enim quoniam eos alloquimur qui linguam illam non tenent, idcirco vos velim fallere : sed in id unum incumbimus, ut inexpugnabiles vos reddamus, et tamquam præsentibus inimicis qui ista noverunt, ita cuncta diligenter interpretamur. Quoniam igitur ex Edem terra virgine formatus est homo, matri cognominis Adam vocatus est. Ita faciunt homines quoque, liberos qui nascuntur sæpe nominibus matrum appellant : ita Deus etiam formatum ex terra hominem, de nomine matris Adam dixit. Illa Edem, hic Adam.

4. Sed quæ tandem inde dimanat utilitas? Homines enim nomine matrum vocant, ob honorem quem deferunt matribus, quæ pepererunt : Deus autem quam ob causam nomine matris appellavit? quid magni, vel exigui hoc agendo disposuit? Nihil enim temere aut sine causa facit, sed multa cum ratione ac sapientia : quippe *Cujus sapientiæ non est numerus* (*Psal.* 146. 5).

Adam quid sonet ; cur a terra nomen Adami. — Edem terra, Adamus terrenus, pulvereus, e terra genitus. Cur igitur sic illum appellavit? Suam nimirum illi vilitatem naturalem hoc nomine in memoriam revocavit, et tamquam in æreo cippo substantiæ humilitatem exaravit, ut ex nominis sui magisterio modestiam discat, neque majorem, quam par sit, de sua dignitate opinionem concipiat. Nam nos quidem terram nos esse probe novimus, idque nobis ipsa rerum experientia compertum est : at ille neminem ante se viderat, qui mortem obiisset, neque in cinerem redactum, sed eximia corporis pulchritudine pollebat, et tamquam statua quædam aurea, quæ recens e conflatoria fornace prodiisset, ita fulgebat. Ne igitur propter eximiam speciem superbia efferretur, illi nomen opposuit, cujus magisterio sufficienter ad humilitatem informaretur : accedens enim diabolus ad superbiam verbis illum suis incitaturus erat, eique dicturus, *Eritis sicut dii* (*Gen.* 3. 5). Ut igitur nominis sui recordaretur, a quo terram se esse docebatur, nec umquam æqualem se Deo futurum opinionis errore sibi fingeret, propterea conscientiam ejus præoccupat, et nominis subsidio sufficienti eum adversus insidias a scelerato dæmone struendas cautione præmunit, dum et suæ cum terra cognationis illum admonet, et omnem illi naturæ suæ nobilitatem declarat, hoc propemodum illi dicens : Si forte dixerit tibi, eris sicut Deus, nominis tui recordare, et sufficienti admonitione instrueris, ut ne consilium admittas. Recordare matris, et cognationis agnosce vilitatem, non ut humilitatem discas, sed ne umquam superbia intumescas. Propterea Paulus quoque dicebat : *Primus homo de terra terrenus.* Quid enim sit Adam nobis interpretans aiebat illud : *De terra terrenus, secundus homo ipse Dominus de cælo* (1. *Cor.* 15. 47). Sed invadunt nos hæretici, ac dicunt : Ecce carnem Christus non assumpsit : ait enim Paulus, *Secundus homo, Dominus de cælo.* Audis *secundus homo*, et dicis eum carnem non assumpsisse? Quis talem umquam impudentiam vidit? quis enim homo esse potest, qui carnem non habeat? Idcirco enim et hominem et secundum hominem appellavit, ut cum ex numero, tum ex natura cognationem ejus agnoscas. Quis igitur, inquit, secundus est homo? *Dominus de cælo.* At enim scandalizat me locus, inquit, et quod dicatur *de cælo.* Cum audis primum hominem Adamum esse de terra terrenum, numquid esse terrestrem ipsum arbitraris? numquid terrenum esse tantum suspicaris, neque virtutem quamdam incorpoream habere, animam, inquam, ejusque naturam? Et quis hoc dicat? Ut igitur cum de Adamo audis terrenum ipsum fuisse, non destitutum anima fuisse corpus suspicaris : ita cum audis, *Dominus de cælo*, noli incarnationem negare, quod adjiciatur, *de cælo.* Itaque jam primum nomen sufficienti defensione communitum est : Adamus enim vocatus est de nomine matris, ne ultra quam vires ejus ferant, de se magnifice sentiat, et diaboli fraudibus nullis possit expugnari. Siquidem aiebat : *Eritis sicut dii.* Age nunc quod reliquum est, ad alterum gradum facientes, qui ante partum ipsum a Deo nomen accepit, finem dicendi faciamus. Quis igitur post Adamum a Deo nomen priusquam nasceretur accepit? Isaac. *Ecce* enim, inquit, *uxor tua Sarra concipiet in utero, et pariet filium, et vocabis nomen ejus Isaac* (*Gen.* 17. 19). *Cum autem peperisset eum, vocavit nomen ejus Isaac, dicens : Risum fecit mihi Deus* (*Ib.* 21. 3. 6). Quare vero? *Quis enim*, inquit, *annuntiabit Abraham, quod Sarra filium lactet* (*Ibid. v.* 7)? Hic mihi diligenter attendite, ut miraculum

videatis. Non dixit, quod pepererit, sed quod *lactet* puerulum. Nam ne forte quis suppositilium puerulum existimaret, genuini partus fidem faciebant lactis fontes : itaque ex recordatione nominis ipse quoque de mirabili generatione satis superque instruebatur. Propterea dicit : *Risum fecit mihi Deus*, quoniam videre erat mulierem senectute confectam, quæ in canitie longæva lactentem puerulum educabat. At ille risus gratiam divinam in memoriam revocabat, et lactentis nutricatio miraculi editi fidem faciebat : neque enim naturæ opus illud erat, sed totum fuit gratiæ præclarum facinus tribuendum. Propterea Paulus quoque dicit, *Secundum Isaac promissionis filii sumus* (*Gal.* 4. 28). Nam quemadmodum illic operabatur gratia : ita hic quoque prodiit ille ex utero jam frigido et effeto. Ascendisti tu ex aquis gelidis : quod igitur illi fuit uterus, tibi lavacrum fuit aquarum. Vides partus cognationem? vides gratiæ concordiam? vides ubique naturam otiari, et totum Dei virtutem operari? Idcirco *Secundum Isaac promissionis sumus filii*. At enim una restat adhuc quæstio : dixit de nobis, quod *Non ex sanguinibus, neque ex voluntate carnis* simus (*Joan.* 1. 13). Quo tandem pacto? Neque Isaac ex sanguinibus fuit : *Desierant enim Sarræ fieri muliebria ejus* (*Gen.* 18. 11). Obturati erant lactis fontes, sublata erat generationis materia, inutilis naturæ erat officina, tumque virtutis suæ Deus specimen edidit. Ecce appellationis Isaac doctrinam habemus absolutam. Restat enim, ut ad Abraham, et ad filios Zebedæi Petrumque veniamus : sed nè vobis nostræ orationis prolixitas tædium pariat, ad alterum sermonem ista differemus, et hic finem dicendi facientes vos cohortabimur, qui secundum Isaac nati estis, ut mansuetudinem ac modestiam Isaac imitemini, omnemque aliam ejus philosophiam; ut precibus justi illius et horum præsulum omnium adjuti, ad sinum Abrahæ cuncti pervenire possimus, gratia et benignitate Domini nostri Jesu Christi, per quem et cum quo Patri gloria, honor, imperium, simulque sancto et vivifico Spiritui, nunc et semper, et in sæcula sæculorum. Amen.

AD EOS QUI IPSUM REPREHENDERANT OB PROOEMIORUM PROLIXITATEM, QUOD UTILE SIT REPREHENSIONES ÆQUO ANIMO FERRE : ET CUR PAULO NON STATIM ATQUE CREDIDIT NOMEN MUTATUM EST, ITEMQUE QUOD NON EX NECESSITATE, SED EX LIBERA VOLUNTATE FACTA SIT HÆC MUTATIO, ET IN DICTUM ILLUD : SAULE, SAULE, QUID ME PERSEQUERIS (*Act.* 9. 4)?

1. *Quinam vere amici.*—Reprehenderunt nos amicorum quidam, quod prolixiora sermonum initia faceremus : an jure vel injuria reprehenderint, tunc intelligetis, cum audita defensione nostra, quasi in publico tribunali sententiam feretis. Ego vero, priusquam id ostendam, ob reprehensionem gratias ipsis refero : nam ex mei cura atque studio, non ex malo animo illa proficiscitur : amicum vero, non cum laudat modo, sed etiam cum reprehendit et corrigit, tunc me amare dixerim. Siquidem laudare omnia, tum quæ bene, tum quæ male se habent, id non amici, sed fallacis ac derisoris est : at laudare si quid boni, ac reprehendere si quid peccati admittatur, id vero amantis et curam habentis est. Atque ut discatis quod indiscriminatim omnia laudare et celebrare, non sit amici, sed decipientis : *Populе meus*, inquit, *qui vos beatos dicunt, ipsi vos decipiunt, et semitam pedum vestrorum exturbant* (*Isai.* 3. 12). Certe inimicum ne laudantem quidem admitto; amicum vero etiam reprehendentem amplexor. Ille etsi me deosculetur, insuavis est; hic etsi vulneret, amabilis : illius osculum suspicione plenum est, hujus vulnus curandi vim habet. Propterea dicit quidam : *Fideliora sunt vulnera amici, quam spontanea oscula inimici* (*Prov.* 27. 6). Quid dicis? Vulnera osculis meliora, inquit : non enim[1] ad naturam eorum quæ fiunt, sed ad affectionem eorum qui faciunt attendo. Vis discere quomodo fideliora sint vulnera amici, quam spontanea oscula inimici? Dominum osculatus est Judas; sed osculum erat proditione plenum; os veneno, lingua nequitia replebatur (*Matth.* 26. 49). Fornicarium apud Corinthios vulneravit Paulus; sed illi salutem conciliavit. Quomodo, inquies, vulneravit? Satanæ tradens : *Tradite*, inquit, *hujusmodi satanæ in interitum carnis.* Ad quid? *Ut spiritus salvus sit in die Domini Jesu* (1. *Cor.* 5. 5). Vidistin' vulnera salutis? vidistin' osculum proditione repletum? Sic *Fideliora sunt vulnera amici, quam spontanea oscula inimici.* Id non apud homines tantum, sed etiam apud Deum et apud diabolum exquiramus. Ille amicus, hic inimicus est; ille servator et curator, hic fraudulentus et inimicus. Hic aliquando osculatus est, ille vulneravit? Quomodo hic osculatus est, ille vulneravit? Hic dixit, *Eritis sicut dii*; ille vero, *Terra es, et in terram reverteris* (*Gen.* 3. 5. *et* 19). Uter magis profuit, an hic, qui dixit, *Eritis sicut dii*; an ille qui dixit, *Terra es, et in terram reverteris?* Hic mortem interminatus est, ille immortalitatem promisit; sed qui immortalitatem promisit, ex paradiso exturbavit : qui vero mortem interminatus est, in cælum invexit. Viden' quomodo *Fideliora sunt vulnera amici, quam spontanea oscula inimici?* Ideo antequam id demonstrarem, gratiam retuli iis, qui me arguunt. Illi namque sive jure sive injuria arguant, non exprobrandi, sed corrigendi

[1] Hæc sic forte melius legantur : *Quid dicis? vulnera osculis meliora? etiam, inquit : non enim*, etc., nam hic tropus apud Chrysostomum frequens est.

ἴδητε τὸ θαῦμα. Οὐκ εἶπεν, ὅτι ἔτεκε παιδίον, ἀλλ' ὅτι *θηλάζει* παιδίον. Ἵνα γὰρ μή τις ὑποβολιμαῖον εἶναι νομίσῃ τὸ παιδίον, αἱ τοῦ γάλακτος πηγαὶ τὸν τοκετὸν ἐνεγυήσαντο, ὥστε ἀναμιμνησκόμενος τοῦ ὀνόματος καὶ αὐτὸς ἱκανὴν εἶχε διδασκαλίαν τῆς παραδόξου γεννήσεως. Διὰ τοῦτό φησι, *Γέλωτά μοι ἐποίησεν ὁ Θεὸς*, ὅτι ἦν ἰδεῖν γυναῖκα γεγηρακυῖαν ἐν βαθυτάτῃ πολιᾷ τιθηνουμένην, ὑπομάζιον ἔχουσαν [115] παιδίον. Ἀλλ' ὁ γέλως τῆς τοῦ Θεοῦ χάριτος ὑπόμνησις ἦν, καὶ ἡ γαλακτοτροφία τὴν θαυματοποιίαν ἐπιστοῦτο· οὐδὲ γὰρ φύσεως ἔργον ἦν, ἀλλὰ τὸ πᾶν τῆς χάριτος κατόρθωμα ἐγίνετο. Διὰ τοῦτό φησι καὶ ὁ Παῦλος, *Κατὰ Ἰσαὰκ ἐπαγγελίας τέκνα ἐσμέν*. Ὥσπερ γὰρ ἐκεῖ ἡ χάρις εἰργάσατο· οὕτω καὶ ἐνταῦθα προῆλθεν ἐκεῖνος ἀπὸ μήτρας κατεψυγμένης. Ἀνέβης σὺ ἀπὸ ὑδάτων ψυχρῶν· ὅπερ οὖν ἐκείνῳ ἡ μήτρα, τοῦτό σοι ἡ κολυμβήθρα ἐγένετο τῶν ὑδάτων. Εἶδες τόκου συγγένειαν; εἶδες χάριτος συμφωνίαν; εἶδες πανταχοῦ τὴν φύσιν σχολάζουσαν, καὶ τὴν δύναμιν τοῦ Θεοῦ τὸ πᾶν ἐργαζομένην; Διὰ τοῦτο *Κατὰ Ἰσαὰκ ἐπαγγελίας τέκνα ἐσμέν*. Ἀλλ' ἓν ἐστιν ἔτι τὸ ζητούμενον· περὶ ἡμῶν εἶπεν, ὅτι *Οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκός*. Πῶς; Οὐδὲ Ἰσαὰκ ἐξ αἱμάτων· *Ἐξέλιπε γὰρ Σάῤῥᾳ τοῦ γίνεσθαι τὰ γυναικεῖα αὐτῆς*. Ἀπεσβέσθησαν αἱ τοῦ αἵματος πηγαί, ἀνῃρέθη τῆς γεννήσεως ἡ ὕλη, ἄχρηστον ἦν τῆς φύσεως τὸ ἐργαστήριον. καὶ ὁ Θεὸς τὴν δύναμιν ἐπεδείξατο τὴν ἑαυτοῦ. Ἰδοὺ καὶ τῆς τοῦ Ἰσαὰκ προσηγορίας ἀπηρτισμένην τὴν διδασκαλίαν ἔχομεν. Λείπεται μὲν γὰρ ἐπὶ τὸν Ἀβραὰμ, καὶ τοὺς υἱοὺς Ζεβεδαίου καὶ τὸν Πέτρον ἐλθεῖν· ἀλλ' ὥστε μὴ ἐνοχλῆσαι τῷ μήκει, εἰς ἑτέραν ταῦτα διάλεξιν ὑπερθέμενοι καταπαύσομεν τὸν λόγον, παρακαλέσαντες ὑμᾶς, τοὺς γεννηθέντας κατὰ τὸν Ἰσαάκ, μιμεῖσθαι τοῦ Ἰσαὰκ τὴν πραότητα καὶ τὴν ἐπιείκειαν καὶ τὴν ἄλλην ἅπασαν φιλοσοφίαν, ἵνα εὐχαῖς ἐκείνου τοῦ δικαίου καὶ τῶν προέδρων τούτων ἁπάντων εἰς κόλπους Ἀβραὰμ ἅπαντες καταντῆσαι δυνηθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ δόξα, τιμὴ, κράτος, ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πρὸς τοὺς ἐγκαλέσαντας ὑπὲρ τοῦ μήκους τῶν προοιμίων, καὶ ὅτι χρήσιμον τὸ φέρειν ἐλέγχους, καὶ τίνος ἕνεκεν οὐκ εὐθέως πιστεύσας μετωνομάσθη Παῦλος, καὶ ὅτι οὐκ ἐξ ἀνάγκης, ἀλλ' ἐκ προαιρέσεως γέγονεν αὐτῷ ἡ μεταβολὴ, καὶ εἰς τὸ ῥητόν· « Σαῦλε, Σαῦλε, τί με διώκεις; »

—

α'. Ἐνεκάλεσαν ἡμῖν τινες τῶν ἀγαπητῶν τῶν ἡμετέρων, ὅτι τοῦ λόγου τὰ προοίμια πρὸς μῆκος ἐκτείνομεν, καὶ εἰ μὲν δικαίως, ἢ ἀδίκως ἐνεκάλεσαν, τότε εἴσεσθε, ἐπειδὰν καὶ τὰ παρ' ἡμῶν ἀκούσαντες, ὡς ἐν κοινῷ δικαστηρίῳ τὴν ψῆφον ἐνέγκητε. Ἐγὼ δὲ καὶ πρὶν ἀποδεῖξαι τοῦτο, χάριν αὐτοῖς ἔχω τῶν ἐγκλημάτων· κηδεμονίας γὰρ, οὐ πονηρίας ἐστὶ τὰ ἐγκλήματα· καὶ τὸν φιλοῦντά με, οὐχ ὅταν ἐπαινῇ με μόνον, ἀλλὰ καὶ ὅταν ἐγκαλῇ καὶ διορθῶται, τότε φαίην ἂν ἔγωγε φιλεῖν. Τὸ μὲν γὰρ ἁπλῶς πάντα ἐπαινεῖν, καὶ τὰ καλῶς ἔχοντα, καὶ τὰ μὴ καλῶς, οὐκ ἔστι φιλοῦντος, ἀλλ' ἀπατεῶνος καὶ εἴρωνος· τὸ δὲ ἐπαινεῖν μὲν ἄν τι τῶν δεόντων γίνηται, ἐγκαλεῖν δὲ ἄν τι διαμαρτάνηται, τοῦτο φίλου καὶ κηδεμόνος. Καὶ ἵνα μάθητε, ὅτι τὸ ἁπλῶς πάντα ἐπαινεῖν καὶ μακαρίζειν ἐπὶ πᾶσιν, οὐκ ἔστι φίλου, ἀλλὰ πλανῶντος· *Λαός μου* γὰρ, φησὶν, *οἱ* [116] *μακαρίζοντες ὑμᾶς, πλανῶσιν ὑμᾶς, καὶ τὸν τρίβον τῶν ποδῶν ὑμῶν ἐκταράσσουσι*. Τὸν μὲν οὖν ἐχθρὸν οὐδὲ ἐπαινοῦντα δέχομαι, τὸν δὲ φίλον καὶ ἐγκαλοῦντα προσίεμαι. Ἐκεῖνος, κἂν φιλῇ με, ἀηδής ἐστιν· οὗτος, κἂν τραυματίζῃ με, ποθεινός ἐστιν· ἐκείνου μὲν φίλημα ὑποψίας γέμει, τούτου τὸ τραῦμα κηδεμονίαν ἔχει. Διὰ τοῦτό φησί τις· *Ἀξιοπιστότερα τραύματα φίλου, ἢ ἑκούσια φιλήματα ἐχθροῦ*. Τί λέγεις; Τραύματα φιλημάτων βελτίονα, φησίν· οὐ γὰρ [a] τῇ φύσει τῶν γινομένων, ἀλλὰ τῇ διαθέσει τῶν ποιούντων προσέχω. Βούλει μαθεῖν, πῶς ἀξιοπιστότερα τραύματα φίλου, ἢ ἑκούσια φιλήματα ἐχθροῦ; Ἐφίλησε τὸν Κύριον ὁ Ἰούδας, ἀλλὰ προδοσίας αὐτοῦ τὸ φίλημα ἦγεμεν. Ἰὸν αὐτοῦ τὸ στόμα εἶχε, πονηρίας ἡ γλῶσσα ἐπέπλητο. Τὸν παρὰ Κορινθίοις πεπορνευκότα ἐτραυμάτισεν ὁ Παῦλος, ἀλλ' ἔσωσε. Καὶ πῶς ἐτραυμάτισε; φησί. Τῷ Σατανᾷ παραδούς. *Παράδοτε* γὰρ, φησὶ, *τὸν τοιοῦτον τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός*. Διὰ τί; *Ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου Ἰησοῦ*. Εἶδες τραύματα σωτηρίαν ἔχοντα; εἶδες φίλημα προδοσίας γέμον; Οὕτως *Ἀξιοπιστότερα τραύματα φίλου, ἢ ἑκούσια φιλήματα ἐχθροῦ*. Τοῦτο μὴ ἐπ' ἀνθρώπων μόνον, ἀλλὰ καὶ ἐπὶ τοῦ Θεοῦ, καὶ ἐπὶ τοῦ διαβόλου ἐξετάσωμεν. Ὁ μὲν φίλος, ὁ δὲ ἐχθρός· ὁ μὲν σωτὴρ καὶ κηδεμών, ὁ δὲ ἀπατεὼν καὶ πολέμιος. Ἀλλ' ὁ μὲν ἐφίλησέ ποτε, ὁ δὲ ἐτραυμάτισε. Πῶς ὁ μὲν ἐφίλησεν, ὁ δὲ ἐτραυμάτισεν; Ὁ μὲν εἶπεν, *Ἔσεσθε ὡς θεοὶ*· ὁ δὲ εἶπε, *Γῇ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ*. Τίς οὖν ὠφέλησε μᾶλλον, ἐκεῖνος ὁ εἰπὼν, ὅτι *Ἔσεσθε ὡς θεοὶ*, ἢ οὗτος ὁ εἰπὼν, ὅτι *Γῇ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ*; Οὗτος θάνατον ἠπείλησεν, ἐκεῖνος ἀθανασίαν ἐπηγγείλατο· ἀλλ' ὁ μὲν ἀθανασίαν ἐπαγγειλάμενος, καὶ τοῦ παραδείσου ἐξέβαλεν· ὁ δὲ θάνατον ἀπειλήσας, εἰς τὸν οὐρανὸν ἀνήγαγεν. Εἶδες πῶς *Ἀξιοπιστότερα τραύματα φίλου, ἢ ἑκούσια φιλήματα ἐχθροῦ*; Διὰ τοῦτο καὶ πρὶν ἀποδεῖξαι, χάριν ἔχω τοῖς ἐγκαλοῦσιν. Οἱ μὲν γὰρ κἂν δικαίως, κἂν ἀδίκως ἐγκαλῶσιν, οὐκ ὀνειδίσαι

[a] Legendum forsan et distinguendum hoc modo : Τί λέγεις; τραύματα φιλημάτων βελτίονα; Ναὶ, φησὶν Οὐ γάρ, etc.

βουλόμενοι, ἀλλὰ διορθῶσαι, τοῦτο ποιοῦσιν· οἱ δὲ ἐχθροὶ, κἂν δικαίως ἐγκαλῶσιν, οὐχὶ διορθῶσαι, ἀλλ' ἐκπομπεῦσαι σπουδάζοντες ἐλέγχουσιν. Οὗτοι τοίνυν ἐπαινοῦντες, σπουδαιότερον ζητοῦσι ποιῆσαι, ἐκεῖνοι δὲ, κἂν ἐπαινῶσιν, ὑποσκελίσαι σπεύδουσι.

Πλὴν ὅπως ἂν ὁ ἔλεγχος κινῆται, μέγα ἀγαθὸν τὸ δύνασθαι φέρειν ἐλέγχους καὶ ἐγκλήματα, καὶ μὴ ἐκθηριοῦσθαι. *Ὁ γὰρ μισῶν ἐλέγχους, ἄφρων ἐστὶ*, φησίν. Οὐκ εἶπε, τοιούσδε ἢ τοιούσδε ἐλέγχους, ἀλλ' ἁπλῶς, ἐλέγχους. Εἰ μὲν γὰρ δικαίως ἐνεκάλεσεν ὁ φίλος, διόρθωσαι τὸ ἁμάρτημα· εἰ δὲ ἀλόγως ἐμέμψατο, τέως ἐπαίνεσον αὐτὸν τῆς γνώμης, ἀπόδεξαι τῶν σκοπῶν, χάριν ὁμολόγησον τῆς φιλίας· ἀπὸ γὰρ τοῦ σφόδρα φιλεῖν τὸ ἐγκαλεῖν γίνεται. Μὴ δυσχεραίνωμεν ἐλεγχόμενοι. Καὶ γὰρ μεγάλα ὀνίνησι τοῦτο τὴν ζωὴν τὴν ἡμετέραν, εἰ γίνοιτο παρὰ πάντων, εἰ καὶ ἐλέγχοιμεν τοὺς ἁμαρτάνοντας, καὶ ἁμαρτάνοντες φέροιμεν τοὺς ἐλέγχους εὐκόλως· ὅπερ γὰρ ἐπὶ τῶν τραυμάτων ἐστὶ τὰ φάρμακα, τοῦτο ἐπὶ τῶν ἁμαρτημάτων οἱ ἔλεγχοι· ὥσπερ οὖν ὁ τὰ φάρμακα [117] διακρουόμενος, ἀνόητος, οὕτω καὶ ὁ τοὺς ἐλέγχους μὴ καταδεχόμενος, ἄφρων. Ἀλλ' ἐκθηριοῦνται πολλοὶ πολλάκις, πρὸς αὐτοὺς ἐνισοῦντες καὶ λέγοντες· Σοφὸς, φησὶν, ἐγὼ καὶ συνετὸς τοῦ δεῖνος ἀνέξομαι; οὐκ εἰδότες, ὅτι τοῦτο αὐτὸ ἐσχάτης ἀνοίας τεκμήριον. *Εἶδον* γὰρ, φησὶν, *ἄνθρωπον δοκοῦντα σοφὸν εἶναι παρ' ἑαυτῷ, ἐλπίδα δὲ ἔχει μᾶλλον ὁ ἄφρων αὐτοῦ.* Διὰ τοῦτο καὶ Παῦλος λέγει, *Μὴ γίνεσθε φρόνιμοι παρ' ἑαυτοῖς.* Κἂν γὰρ μυριάκις εἶ σοφὸς, καὶ τὰ δέοντα συνορῶν, ἀλλ' ἄνθρωπος εἶ, καὶ χρείαν ἔχεις συμβούλου. Ὁ Θεὸς γὰρ μόνος ἐστὶν ἀνενδεὴς, καὶ μόνος οὐ δεῖται συμβούλου. Διὸ καὶ περὶ ἐκείνου μόνου λέγεται· *Τίς γὰρ ἔγνω νοῦν Κυρίου, ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο;* ἄνθρωποι δὲ, κἂν μυριάκις ὦμεν σοφοὶ, μυριάκις ἐλεγχόμεθα, καὶ τὸ τῆς φύσεως ἡμῶν ἀσθενὲς διαφαίνεται. *Οὐ γὰρ δύναται πάντα εἶναι ἐν ἀνθρώποις*, φησί. Διὰ τί; Ὅτι οὐκ ἀθάνατος υἱὸς ἀνθρώπου. Τί φωτεινότερον ἡλίου; Ἀλλ' ὅμως καὶ τοῦτο ἐκλείπει. Καθάπερ οὖν ἐκεῖνο τὸ φῶς τὸ λαμπρὸν, τὴν ἀπαστράπτουσαν ἀκτῖνα σκότος ἐπελθὸν ἀποκρύπτει· οὕτω πολλάκις καὶ τὴν σύνεσιν τὴν ἡμετέραν, καθάπερ ἐν σταθηρᾷ μεσημβρίᾳ λάμπουσαν καὶ διαφαινομένην, ἐπελθοῦσα ἄνοια ἀπέκρυψε πολλάκις· καὶ ὁ μὲν σοφὸς τὸ δέον οὐ συνεῖδεν, ὁ δὲ ἐλάττων ἐκείνου πολλῷ ὀξύτερον ἐκείνου τοῦτο ἐφώρασε. Καὶ τοῦτο γίνεται, ἵνα μήτε ὁ σοφὸς ἐπαίρηται, μήτε ὁ εὐτελὴς ἑαυτὸν ταλανίζῃ. Μέγα ἀγαθὸν ἐλέγχους δύνασθαι φέρειν, μέγα ἀγαθὸν δύνασθαι ἐλέγχειν· τοῦτο κηδεμονίας μεγίστης. Νυνὶ δὲ ἂν μὲν ἴδωμεν ἄνθρωπον τὸν χιτωνίσκον ἔχοντα παραλελυμένον ἐκ πλαγίων, ἢ τὴν ἄλλην στολὴν κακῶς περικειμένην, διορθοῦμεν καὶ ὑπομιμνήσκομεν· ἂν δὲ ἴδωμεν αὐτοῦ τὴν ζωὴν παραλελυμένην, οὐδὲ λόγον προΐεμεθα. Ἂν ἴδωμεν αὐτοῦ τὸν βίον ἀσχήμονα ὄντα, παρατρέχομεν· καίτοι τὰ μὲν τῶν ἱματίων, μέχρι γέλωτος, τὰ δὲ τῆς ψυχῆς, μέχρι κινδύνου καὶ τιμωρίας ἐστίν. Ὁρᾷς τὸν ἀδελφὸν, εἰπέ μοι, κατὰ κρημνοῦ φερόμενον, ἠμελημένον ἔχοντα βίον, οὐ συνορῶντα τὸ δέον, καὶ οὐκ ὀρέγεις χεῖρα, οὐκ ἀνιστᾷς ἐκ τοῦ πτώματος; οὐκ ἐγκαλεῖς; καὶ ἔλεγχε· ἀλλὰ τὸ μὴ προσκροῦσαι αὐτῷ καὶ φανῆναι ἐπαχθὴς προτιμᾷς τῆς ἐκείνου σωτηρίας; Καὶ ποίαν ἕξεις συγγνώμην παρὰ τοῦ Θεοῦ; τίνα ἀπολογίαν; Οὐκ ἤκουσας τί τοῖς Ἰουδαίοις ἐκέλευσεν ὁ Θεός· τὰ ὑποζύγια τῶν ἐχθρῶν μὴ περιορᾶν πλανώμενα, μηδὲ παρατρέχειν πεπτωκότα; Εἶτα Ἰουδαῖοι μὲν τὰ ἄλογα κελεύονται μὴ περιορᾶν τῶν ἐχθρῶν, ἡμεῖς δὲ τὰς ψυχὰς τῶν ἀδελφῶν καθ' ἑκάστην ὑποσκελιζομένας ἡμέραν περιοψόμεθα; Καὶ πῶς οὐκ ἐσχάτης τοῦτο ὠμότητος καὶ θηριωδίας, μηδὲ τοσαύτην ἀπονέμειν ἀνθρώποις πρόνοιαν, ὅσην τοῖς ἀλόγοις ἐκεῖνοι; Τοῦτο πάντα ἀνέτρεψε, τοῦτο τὸν βίον ἡμῶν συνέχεεν, ὅτι οὔτε ἐλεγχόμενοι φέρομεν γενναίως, οὔτε ἑτέρους ἐλέγχειν βουλόμεθα· διὰ γὰρ τοῦτο καὶ ἐπαχθεῖς ἐσμεν ἐλέγχοντες, ἐπειδὴ ἐκθηριούμεθα ἐλεγχόμενοι. Εἰ γὰρ ᾔδει ὁ ἀδελφὸς, ὅτι ἐλέγξας σε ἐπῃνεῖτο παρὰ [118] σοῦ, καὶ αὐτὸς ἐλεγχόμενος τὴν αὐτὴν ἀμοιβὴν ἀπέδωκεν ἄν.

β'. Βούλει μαθεῖν ὅτι κἂν σφόδρα συνετὸς ᾖς, κἂν σφόδρα ἀπηρτισμένος, κἂν πρὸς αὐτὴν τὴν ἄκραν κορυφὴν ἔλθῃς τῆς ἀρετῆς, χρείαν ἔχεις συμβούλου, καὶ διορθοῦντος καὶ ἐλέγχοντος; Ἄκουσον ἱστορίαν παλαιάν. Οὐδὲν Μωϋσέως ἦν ἴσον. Καὶ γὰρ *πραότατος*, φησὶν, *ἦν πάντων ἀνθρώπων ἐκεῖνος*, καὶ τῷ Θεῷ φίλος, καὶ τῆς ἔξωθεν φιλοσοφίας ἐνεπέπλητο, καὶ τῆς πνευματικῆς πλήρης ἦν συνέσεως. Ἐπαιδεύθη γὰρ, φησὶ, *Μωϋσῆς πᾶσαν σοφίαν Αἰγυπτίων*. Εἶδες ἀπηρτισμένην αὐτοῦ τὴν παίδευσιν; *Καὶ ἦν δυνατὸς ἐν λόγῳ, καὶ ἄλλῃ ἀρετῇ*. Ἀλλ' ἄκουσον καὶ ἑτέραν μαρτυρίαν. Πολλοῖς, φησὶ, προφήταις ὡμίλησεν ὁ Θεὸς, ἀλλ' οὐδενὶ οὕτως ὡμίλησεν· ἀλλὰ τοῖς μὲν ἄλλοις ἐν αἰνίγμασι καὶ δι' ὀνείρατων, τῷ δὲ Μωϋσῇ πρόσωπον πρὸς πρόσωπον. Τί μεῖζον τούτου ζητεῖς τεκμήριον τῆς ἀρετῆς ἐκείνου, ὅταν ὁ πάντων Δεσπότης τῷ δούλῳ ὡς φίλῳ διαλέγηται; Ἦν τοίνυν σοφὸς καὶ τὴν ἔξω καὶ τὴν ἔσω παιδείαν· ἦν δυνατὸς ἐν λόγῳ καὶ ἔργῳ· ἐπέτασσεν αὐτῇ τῇ κτίσει, ἐπειδὴ φίλος ἦν τοῦ Δεσπότου τῆς κτίσεως· ἐξήγαγε λαὸν τοσοῦτον ἐξ Αἰγύπτου· τὴν θάλασσαν ἔσχισε, καὶ πάλιν συνήγαγε· καὶ ἦν ἰδεῖν θαῦμα παράδοξον. Τότε γὰρ πρῶτον ἐπεῖδεν ἥλιος θάλασσαν οὐ πλεομένην, ἀλλὰ πεζευομένην, πέλαγος οὐχὶ κώπαις καὶ πλοίοις, ἀλλὰ ποσὶν ἵππων περώμενον. Ἀλλ' ὅμως ὁ σοφὸς, ὁ δυνατὸς ἐν λόγῳ καὶ ἔργῳ, ὁ φίλος τοῦ Θεοῦ, ὁ τῇ κτίσει ἐπιτάξας, ὁ τοσαύτῃ θαυματουργήσας, οὐ συνεῖδε πρᾶγμα πολλοῖς τῶν ἀνθρώπων εὐσύνοπτον· ἀλλ' ὁ μὲν κηδεστὴς αὐτοῦ, βάρβαρος ἄνθρωπος καὶ εὐτελὴς, συνεῖδεν αὐτὸ, καὶ εἰς μέσον ἤγαγεν· ἐκεῖνος δὲ αὐτὸ οὐχ εὗρε. Τί οὖν ἐστι τοῦτο; Ἀκούσατε, ἵνα μάθητε, ὅτι ἕκαστος συμβούλου δεῖται, κἂν κατὰ Μωϋσέα γένηται, καὶ ὅτι τὰ τοὺς μεγάλους λανθάνοντα καὶ θαυμαστοὺς τοὺς ἀνθρώπους, τοὺς μικροὺς καὶ εὐτελεῖς πολλάκις οὐκ ἔλαθεν. Ἐπειδὴ γὰρ ἐξῆλθεν ὁ Μωϋσῆς ἐξ Αἰγύπτου, καὶ ἦν ἐν τῇ ἐρήμῳ, εἱστήκει πλησίον αὐτοῦ ὁ λαὸς ἅπας, ἑξακόσιαι χιλιάδες, καὶ πᾶσι διέλυσε τὰ ἐγκλήματα τοῖς πρὸς ἀλλήλους ἀμφισβητοῦσιν. Ἰδὼν τοίνυν αὐτὸν ὁ κηδεστὴς τοῦτο ποιοῦντα ὁ Ἰοθὼρ, ἄνθρωπος καὶ ἀνόητος καὶ ἐν ἐρήμῳ βεβιωκὼς, καὶ οὔτε

animo id agunt; inimici vero, etiamsi jure arguant, non corrigendi, sed infamandi animo arguunt. Ili igitur dum laudant, id student ut meliorem efficiant; illi vero, etiamsi laudent, nihilominus supplantare conantur.

Reprehensionum utilitas. — Cæterum quoquo modo reprehensio accidat, magnum certe bonum est si quis reprehensiones criminationesque ita ferre possit, ut non exasperetur. *Qui* enim *odit increpationes*, ait Scriptura, *insipiens est* (*Prov.* 12. 1). Non dixit tales vel tales increpationes, sed tantum increpationes. Nam si jure arguat amicus, peccatum corrige; si absque ratione, lauda voluntatem, scopum ejus approba, amicitiæ gratiam confitere : ex magno quippe amore accusatio proficiscitur. Ne stomachemur, cum arguimur. Id admodum utile est vitæ nostræ, si ab omnibus fiat, si et peccantes arguamus, et dum labimur ab aliis argui libenter feramus : in peccatis enim idem sunt reprehensiones, quod in vulneribus remedia; quemadmodum igitur stultus est qui pharmaca rejicit, ita et insanus is, qui reprehensiones non admittit. Verum multi sæpe exasperantur, hæc apud se cogitantes et dicentes : Hunccine feram ego sapiens et prudens? ignorantes esse illud extremæ dementiæ argumentum. *Videbam* enim, inquit, *hominem, qui sibi videbatur sapiens, et majorem illo spem habet insipiens* (*Prov.* 26. 12). Eapropter et Paulus dicit : *Ne sitis prudentes apud vosmetipsos* (*Rom.* 12. 16). Licet enim mirum in modum sit sapiens et perspicax, attamen homo es et consilio opus habes. Solius enim Dei est nullius indigere, et nullo opus habere consiliario. Ideo de illo solo dicitur : *Quis enim novit sensum Domini, aut quis consiliarius ejus fuit* (*Rom.* 11. 34)? At nos homines quantumcumque sapientes, multoties tamen sumus reprehensione digni, atque hinc apparet naturæ nostræ infirmitas. *Non enim omnia esse possunt in hominibus* (*Eccli.* 17. 29), inquit. Quare? Quia filius hominis non est immortalis. Quid lucidius sole? Attamen et ille deficit. Sicut ergo fulgidam illam lucem et splendentem radium supervenientes tenebræ obtegunt : ita et intelligentiam nostram, quasi in meridie fulgentem et perspicuam inconsiderantia obrepens sæpe tenebrosam reddit acciditque ut sapiens quandoque non videat quod oportet, et is qui multo illi inferior est acutius illud perspiciat. Atque ita res se habet, ut neque sapiens se extollat, neque inferior illo sese miserum prædicet. Magnum bonum est, reprehensiones ferre : magnum item bonum posse reprehendere; nam hoc ad curam proximi maxime pertinet. Nunc vero si videamus hominem tunicam solutam et ex transverso habentem, aut aliud indumentum male positum, monemus et emendamus; si vero videamus vitam ejus dissolutam, ne verbum quidem proferimus. Si videamus vitam ejus indecoram, præterimus : tametsi ea quæ ad vestes pertinent, risum tantum, ea vero quæ ad animam, periculum et supplicium pariant. Cur vides fratrem per præcipitia ferri, de vita non curantem, nec eo, quo opus est, spectantem, nonne manum porrigis? nonne a lapsu erigis? nonne reprehendis et arguis? an pluris facis non importunum videri vel offendere, quam ejus salutem curare? Ecquam habiturus es apud Deum veniam? quam defensionem? Non audisti quid Judæis Deus præceperit, ut ne errantia inimicorum jumenta despicerent, et lapsa ne præterirent (*Exod.* 23. 4. 5. *et Deut.* 22. 1)? Itane Judæi quidem jubentur bruta inimicorum suorum non despicere, nos vero fratrum animas quotidie supplantatas despiciemus? Quomodo id non extremæ crudelitatis et ferini animi fuerit, non tantum curæ hominibus impendere, quantum illi jumentis? Hoc omnia subvertit, hoc vitam nostram confundit, quod nec reprehensi generose feramus, neque alios reprehendere velimus : ideo enim molesti sumus, cum arguimus, quia exasperamur, cum arguimur. Enimvero si sciret frater tuus, se abs te laudatum iri, si te argueret, reprehensus et ipse parem rependeret vicem.

2. Vis scire te, etiamsi admodum prudens esses, etiamsi perfectus, etiamsi ad summum virtutis apicem pervenisses, opus tamen habiturum esse consiliario, et eo qui te argueret ac reprehenderet? Audi veterem historiam. Nihil Moysi par erat : siquidem, *Mitissimus erat*, inquit Scriptura, *omnium hominum* (*Num.* 12. 3), Deo amicus, externa philosophia imbutus, spiritualique intelligentia plenus. *Eruditus* enim *erat*, inquit, *Moyses omni sapientia Ægyptiorum* (*Act.* 7. 22). Vides omnigenam eruditionem? *Eratque potens sermone et virtute.* Verum audi aliud quoque testimonium. Cum multis, inquit, prophetis conversatus est Deus; sed cum nullo sic conversatus est : nam cum aliis per ænigmata et somnia, cum Moyse vero facie ad faciem (*Deut.* 34. 10). Quod illo majus virtutis ejus indicium requiras, quando omnium Dominus servum quasi amicum alloquitur? Erat itaque sapiens tam peregrina, quam domestica institutione; erat potens sermone et opere, imperabat ipsi creaturæ, quia amicus erat Domini creaturæ; eduxit tantum populum ex Ægypto; mare divisit, atque iterum conjunxit : videreque erat stupendum miraculum (*Exod.* 33. 11). Tunc enim primum sol vidit mare, non navali, sed pedestri itinere transiri : pelagusque non remis et navigiis, sed equorum pedibus transfretari. Attamen ille sapiens, ille potens sermone et opere, amicus Dei, qui creaturæ imperabat, et tot miracula ediderat, non animadvertit rem, quam plerique mortalium facile perspiciunt; sed socer ejus barbarus et obscurus homo id animadvertit, et in medium protulit id, quod ille non excogitaverat. Quid igitur illud est? Audite, ut discatis unumquemque consiliario indigere, etiamsi Moysi conferri possit : multaque plerumque esse, quæ magni et admirabiles viri ignorant, quæ nullius pretii hominibus nota sunt. Cum enim Moyses egressus esset ex Ægypto, in desertoque ageret, aderat universa plebs ad sexcenta hominum millia, omniumque lites disceptationesque ille solvebat (*Exod.* 18). Quod ubi vidit socer ejus Jothor, homo imperitus, qui in deserto vitam egerat, nec legum politicæque consuetudinem

ullam habuerat, et ad hæc in impietate vivebat, quo quid certius insipientiæ argumentum? Nihil enim gentilibus est insipientius. Verumtamen ille barbarus, impius, insipiens, videns Moysem non ut par erat agere, ipsum reprehendit, sapientem inquam illum, prudentem, Dei amicum. Dixitque illi : *Quare illi stant coram te* (*Exod.* 18. 14)? et cum causam didicisset, ait : *Non recte tu facis* (*Ib. v.* 17). Consilium cum increpatione conjunctum ; neque tamen ille indignatus est, sed patienter tulit vir ille sapiens, prudens et Dei amicus, qui tot myriadibus præerat. Neque enim parvum hoc est, a barbaro et privato homine erudiri. Neque edita miracula, neque imperii magnitudo animum ejus extollebant : neque rubore suffundebatur, quod præsentibus subditis corriperetur ; sed cogitans se, etsi signa magna edidisset, humanæ tamen participem esse naturæ, cui multa sæpe ignota sunt, cum modestia consilium accepit. Multi contra, ne alieno videantur consilio egere, sæpe malunt utilitate consilii carere, quam suscepta admonitione peccatum emendare : imo malunt ignorare, quam discere, nescientes non esse crimen discere, sed potius ignorare ; non doceri, sed in inscitia degere ; non argui, sed peccare sine emendatione. Accidit enim etiam apud vilissimum hominem aliquid boni deprehendi, quod in sapiente magnoque viro plerumque non reperitur. Quod cum perpenderet Moyses, illum consulentem æquo audivit animo, et dicentem : *Fac tibi millenarios, centenarios, quinquagenarios, et decuriones ; et res graviores ad te referant, leviores autem ipsi solvant* (*Exod.* 18. 21. 22). His auditis ille non erubuit, non pudefactus est, non erubuit reveritus subditos : non dixit intra se : Me contemnent subditi, si dux cum sim ab alio quid faciendum sit didicero : sed obtemperavit, et consilium secutus est, neque præsentes, neque post futuros erubuit ; imo tanquam honestatus hac soceri correptione, non modo homines illos qui tunc erant, sed etiam eos qui ad hodiernum usque diem fuerunt, et qui in toto orbe futuri sunt usque ad Christi adventum, literis docuit, et se non potuisse quid facto opus esset videre, et soceri admonitionem amplexum esse. Nos vero si vel unum videamus hominem dum emendamur et corripimur, conturbamur, obstupescimus, et de vita nos excidisse putamus. At ille non item ; sed cum videret tot millia hominum præsentium ; imo tot millia hominum, qui tunc erant, et qui post fuerunt per totum orbem usque ad præsentem diem, non erubuit ; sed omnibus quotidie per literas denuntiat ea socerum vidisse, quæ ipse non animadverterat. Cur hoc fecit, et cur rem illam literis tradidit? Ut nobis auctor esset, ne altum sapiamus, quamvis omnium sapientissimi simus, neque aliorum consilia contemnamus, etiamsi omnium vilissimi sint. Si quid aliquis probe consulat, etsi famulus sit, admonitionem accipe ; si quid perniciosum quispiam vel in maxima dignitate positus consulat, sententiam repudies : non enim qualitas personarum consulentium, sed consilii natura spectanda semper est. Illud igitur Moyses fecit ut nos doceret non erubescendum esse cum redarguimur, etiamsi nobis universus populus adesset. Illud enim vere laus est non vulgaris, supremæque philosophiæ præconium, reprehensionem generose ferre. Non enim ita Jothor nunc laudamus et admiramur, quod Moysen correxerit, ut sanctum illum, quod tot præsentibus redargui non erubuerit, et rem gestam memoriæ tradiderit, his omnibus philosophiam suam ostendens, declaransque quantopere inanem hominum gloriam contemneret.

3. *Cur Chrysostomus longa proœmia ederet.* — At nos dum de proœmiorum prolixitate nos excusamus, rursus majus proœmium fecimus ; verum non temere neque sine causa : nam de rebus maximis admodumque necessariis vos alloquimur, ut fortiter feramus cum arguimur ; et ut alacriter arguamus corripiamusque eos qui peccant. Verum jam necesse est ut de prolixitate nos defendamus, ostendamusque cur longa faciamus proœmia. Cur ergo id facimus? Tantam multitudinem alloquimur, viros qui uxores habent, qui domibus præsunt, diurno opere vitam parant, in sæcularibus negotiis agunt. Neque illud tantum molestum est, quod perpetuo occupentur, sed quod semel in hebdomada ipsos hic excipiamus. Ut igitur intellectu facilia reddamus ea quæ dicimus, proœmiis clariorem exhibere doctrinam studemus. Ille enim cui nihil aliud est negotii, quam ut semper Scripturis vacet, non eget proœmiis, non apparatu : statim enim audito doctore, dictorum sensum percipit : is vero qui maxima temporis parte sæcularibus negotiis addictus est, et rarius brevique tempore hic comparet, nisi proœmia majoremque apparatum audiat, quæ sermonem semper præcedant et ipsi viam parent, absque lucro discedit. Neque hæc una nobis causa est prolixitatis proœmiorum, sed et alia non minor. Ex tanta quippe multitudine alii accedunt, alii sæpe non accedunt. Necesse itaque est eos qui accedunt laudibus ornare, eos vero qui absunt reprehendere : ut illi laudibus studiosiores evadant, hi increpationibus segnitiem ponant. Alia quoque adest proœmiorum necessitas. Argumentum sæpe prolixius tractamus, quod non uno die possumus ad finem deducere, sed et secunda et tertia et quarta sæpe opus est nobis expositione, ad unam eamdemque rem tractandam. Necessario igitur secunda die prioris doctrinæ finis est repetendus, ut ita finis cum principio cohærens clariorem auditori narrationem reddat, ne sine ulla serie posita oratio obscurior evadat. Ut vero discas orationem proœmio carentem a nemine intellectum iri, ecce jam sine proœmiis experimenti causa orationem ordior. *Respiciens autem Jesus dixit : Tu es Simon filius Jona, tu vocaberis Cephas, quod est interpretatum Petrus* (*Joan.* 1. 42). Videte num dictum illud intelligatis? an sciatis consequentiam, et qua de causa hæc dicta sint? quia nempe sine proœmio hæc protuli, perinde ac si quis hominem undique obtectum in theatrum adducat. Age ergo ipsum detegamus, jam dato proœmio. De Paulo autem sermo nobis nuper

νόμων οὔτε πολιτείας τινὶ κοινωνήσας ποτὲ, ἀλλ' ἐν ἀσιδείᾳ ζῶν, οὗ τί γένοιτ' ἂν μεῖζον ἀνοίας τεκμήριον; Οὐδὲν γὰρ Ἑλλήνων ἀνοητότερον. Ἀλλ' ὅμως ἐκεῖνος ὁ βάρβαρος, ὁ ἀσεβὴς, ὁ ἀνόητος, ἰδὼν οὐ δεόντως αὐτὸν ποιοῦντα, διώρθωσε τὸν Μωϋσέα, τὸν σοφὸν καὶ συνετὸν καὶ τοῦ Θεοῦ φίλον. Καὶ εἰπὼν πρὸς αὐτὸν, *Τί οὗτοι ἑστήκασιν ἐνώπιόν σου;* καὶ μαθὼν τὴν αἰτίαν λέγει· *Οὐκ ὀρθῶς σὺ τοῦτο ἐποίησας*, φησί. Μετ' ἐπιτιμήσεως ἡ συμβουλή· καὶ οὔτε οὕτως; ἠγρίανεν ἐκεῖνος, ἀλλ' ἠνείχετο ὁ σοφὸς, ὁ συνετὸς καὶ τοῦ Θεοῦ φίλος, τοσαύταις ἐφεστηκὼς μυριάσιν. Οὐδὲ γὰρ τοῦτο μικρὸν, τὸ παρὰ τοῦ βαρβάρου καὶ ἰδιώτου παιδεύεσθαι. Καὶ οὔτε τὰ θαύματα, ἅπερ εἰργάσατο, οὔτε τὸ μέγεθος τῆς ἀρχῆς αὐτὸν ἐπῆρεν, οὔτε τὸ παρόντων τῶν ὑπηκόων διορθοῦσθαι, ἐρυθριάσαι ἐποίησεν· ἀλλ' ἐννοήσας ὅτι εἰ καὶ μεγάλα αὐτῷ [119] εἴργασται σημεῖα, ἀλλ' ὅμως ἀνθρωπίνης φύσεως μετέχει, ἣν πολλὰ λανθάνει πολλάκις, μετ' ἐπιεικείας ἐδέξατο τὴν συμβουλήν. Πολλοὶ δὲ πολλάκις ὑπὲρ τοῦ μὴ φανῆναι δεόμενοι συμβουλῆς τῆς παρ' ἑτέρων, εἵλοντο προδοῦναι τὴν ὠφέλειαν τὴν ἀπὸ τῆς γνώμης, ἢ δεξάμενοι τὴν παραίνεσιν διορθῶσαι τὸ ἁμάρτημα· μᾶλλον ἀγνοεῖν ἢ μαθεῖν κατεδέξαντο, οὐκ εἰδότες ὅτι οὐ τὸ μαθεῖν ἔγκλημα, ἀλλὰ τὸ ἀγνοεῖν κατηγορία· οὐ τὸ διδάσκεσθαι, ἀλλὰ τὸ ἐν ἀμαθείᾳ εἶναι· οὐ τὸ ἐλέγχεσθαι, ἀλλὰ τὸ ἁμαρτάνειν ἀδιόρθωτα. Ἔστι γάρ, ἔστι καὶ παρὰ ἀνθρώπῳ μικρῷ καὶ εὐτελεῖ εὑρεθῆναί τι τῶν δεόντων, ὃ παρὰ τῷ σοφῷ καὶ μεγάλῳ πολλάκις οὐχ εὕρηται. Ὅπερ οὖν συνιδὼν ὁ Μωϋσῆς ἦκουε μετὰ πάσης ἐπιεικείας ἐκείνου συμβουλεύοντος, καὶ λέγοντος· *Ποίησόν σοι χιλιάρχους, ἑκατοντάρχους, πεντηκοντάρχους, δεκάρχους· καὶ τὸ ῥῆμα τὸ βαρὺ ἀνοίσουσιν ἐπὶ σέ, τὸ δὲ κοῦφον αὐτοὶ διαλύσονται.* Καὶ ἀκούσας οὐκ ἠσχύνθη, οὐκ ἠρυθρίασεν, οὐκ ἠδέσθη τοὺς ὑπηκόους, οὐκ εἶπε πρὸς ἑαυτὸν, ὅτι Καταγνώσονταί μου οἱ ἀρχόμενοι, εἰ ἄρχων ὢν παρ' ἑτέρου μανθάνω τὰ δέοντα· ἀλλὰ καὶ ἐπείσθη καὶ ἐποίησε τὸ πρόσταγμα, καὶ οὐ μόνον ἐκείνους οὐκ ἠσχύνθη τοὺς τότε, ἀλλ' οὐδὲ ἡμᾶς τοὺς μετὰ ταῦτα ἐσομένους· ἀλλ' ὥσπερ ἐγκαλλωπιζόμενος τῇ διορθώσει τῇ παρὰ τοῦ κηδεστοῦ γενομένῃ, οὐ τοὺς τότε μόνον ἀνθρώπους, ἀλλὰ καὶ τοὺς ἐξ ἐκείνου μέχρι σήμερον γενομένους, καὶ τοὺς αὖθις ἐσομένους μέχρι τῆς τοῦ Χριστοῦ παρουσίας κατὰ τὴν οἰκουμένην ἅπασαν διὰ τῶν γραμμάτων ἐδίδαξε, καὶ ὅτι αὐτὸς τὸ δέον συνιδεῖν οὐκ ἠδυνήθη, καὶ ὅτι τὴν διόρθωσιν ἐδέξατο παρὰ τοῦ κηδεστοῦ. Ἡμεῖς δὲ, ἐὰν ἄνθρωπον ἴδωμεν παρόντα ἐλεγχομένων ἡμῶν καὶ διορθουμένων, ὀλιγωρῶμεν, ἐξιστάμεθα, νομίζομεν τῆς ζωῆς ἐκπεπτωκέναι πάσης. Ἀλλ' οὐκ ἐκεῖνος· ἀλλ' ὁρῶν τοσαύτας χιλιάδας παρούσας οὐκ ἠρυθρίασε, μᾶλλον δὲ τοσαύτας μυριάδας τότε, τὰς ἐξ ἐκείνου μέχρι νῦν κατὰ τὴν γῆν ἅπασαν, ἀλλὰ κηρύττει πᾶσι καθ' ἑκάστην ἡμέραν διὰ τῶν γραμμάτων, ὅτι ὅπερ αὐτὸς οὐ συνεῖδε, τοῦτο ὁ κηδεστὴς συνεῖδε. Τίνος οὖν ἕνεκεν τοῦτο ἐποίησε, καὶ μνήμῃ παρέδωκε τὸ γεγενημένον; Ἵνα ἡμᾶς πείσῃ μηδέποτε ἐφ' ἑαυτοῖς μέγα φρονεῖν, κἂν ἁπάντων ὦμεν σοφώτεροι, μηδὲ ἀτιμάζειν τὰς παρ' ἑτέρων συμβουλίας, κἂν ἁπάντων ὦσιν εὐτελέστεροι. Ἂν μὲν γάρ τι τῶν δεόντων συμβουλεύσῃ τις, κἂν οἰκέτης ᾖ, δέξαι τὴν παραίνεσιν· ἂν δέ τι τῶν ὀλεθρίων, κἂν ἐν ἀξιώματι τυγχάνῃ μεγίστῳ, παράπεμψαι τὴν γνώμην· οὐ γὰρ τῇ ποιότητι τῶν προσώπων τῶν συμβουλευόντων, ἀλλ' αὐτῇ τῆς συμβουλῆς τῇ φύσει προσέχειν δεῖ πανταχοῦ. Ὅπερ οὖν καὶ Μωϋσῆς ἐποίησε, παιδεύων ἡμᾶς μὴ ἐρυθριᾷν ἐλεγχομένους, κἂν ὁλόκληρος ἡμῖν δῆμος παρῇ. Ἐγκώμιον γὰρ τοῦτο μέγιστον, καὶ ἔπαινος οὐχ ὁ τυχὼν, καὶ φιλοσοφίας ἔπαινος τῆς ἀνωτάτω, τὸ φέρειν ἔλεγχον γενναίως. Οὐχ οὕτω γὰρ τὸν Ἰοθὼρ ἐπαινοῦμεν καὶ θαυμάζομεν νῦν, ὅτι τὸν Μωϋσέα διώρθωσεν, ὡς ἐκπληττόμεθα τὸν ἅγιον ἐκεῖνον, ὅτι οὔτε ἠσχύνθη διορθούμενος τοσούτων παρόντων, καὶ μνήμῃ τὸ γεγενημένον παρέδωκε, διὰ πάντων τὴν αὐτοῦ φιλοσοφίαν δείξας, καὶ ὅτι μετὰ πολλῆς τῆς ὑπερβολῆς τὴν παρὰ τῶν πολλῶν κατεπάτησε δόξαν.

[120] γ'. Ἀλλὰ γὰρ ὑπὲρ προοιμίων ἀπολογούμενοι, πάλιν μεῖζον τὸ προοίμιον πεποιήκαμεν· ἀλλ' οὐχ ἁπλῶς οὐδὲ εἰκῇ, ἀλλ' ὑπὲρ τῶν μεγίστων ὑμῖν διαλεγόμενοι καὶ ἀναγκαιοτάτων, ἵνα γενναίως ἐλεγχόμενοι φέρωμεν, ἵνα προθύμως ἐλέγχωμεν τοὺς ἁμαρτάνοντας καὶ διορθῶμεν. Ἀνάγκη δὲ λοιπὸν ἀπολογήσασθαι ὑπὲρ τοῦ μήκους, καὶ εἰπεῖν τίνος ἕνεκεν μακρὰ ποιοῦμεν προοίμια. Τίνος οὖν ἕνεκεν τοῦτο ποιοῦμεν; Πλήθει τοσούτῳ διαλεγόμεθα, ἀνθρώποις γυναῖκας ἔχουσιν, οἰκίας προεστηκόσιν, ἐν ἐργασίᾳ καθημερινῇ ζῶσιν, ἐν βιωτικοῖς πράγμασι. Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δυσχερὲς, ὅτι διηνεκῶς εἰσιν ἠσχολημένοι, ἀλλ' ὅτι καὶ ἅπαξ τῆς ἑβδομάδος αὐτοὺς ἐνταῦθα λαμβάνομεν. Βουλόμενοι τοίνυν εὐσύνοπτα κατασκευάζειν αὐτοῖς τὰ λεγόμενα, διὰ τῶν προοιμίων σαφεστέραν ποιῆσαι τὴν διδασκαλίαν σπουδάζομεν. Ὁ μὲν γὰρ μηδὲν ἔργον ἔχων, ἀλλ' ἀεὶ ταῖς Γραφαῖς προσηλωμένος, οὐ δέεται προοιμίων, οὐ δεῖται κατασκευῆς, ἀλλ' ἀκούσας εὐθέως τοῦ λέγοντος, δέχεται τῶν λεγομένων τὴν διάνοιαν· ἄνθρωπος δὲ τὸν μὲν πλείω χρόνον πράγμασι βιωτικοῖς προσδεδεμένος, ὀλίγον δὲ καὶ βραχὺ ἐνταῦθα παραγενόμενος, ἂν μὴ προοιμίων ἀκούσῃ καὶ κατασκευῆς πλείονος, καὶ πανταχόθεν ἴδῃ προσδοποιηθέντα αὐτῷ τὸν λόγον, οὐδὲν κερδάνας ἀπέρχεται. Οὐ τοῦτο δὲ μόνον ἡμῖν ἐστιν αἴτιον τοῦ μήκους τῶν προοιμίων, ἀλλὰ καὶ ἕτερον οὐκ ἔλαττον τούτου. Τῶν γὰρ πολλῶν τούτων οἱ μὲν παραγίνονται, οἱ δὲ οὐ παραγίνονται πολλάκις. Ἀνάγκη τοίνυν τοὺς μὲν παραγενομένους ἐπαινέσαι, τοὺς δὲ μὴ παραγενομένους μέμψασθαι, ἵνα ἐκεῖνοι μὲν τοῖς ἐπαίνοις σπουδαιότεροι γένωνται, οὗτοι δὲ διὰ τῶν ἐγκλημάτων τὴν ῥᾳθυμίαν ἀποθῶνται. Ἔστι καὶ ἑτέρα χρεία προοιμίων ὑμῖν. Ὑποθέσεως ἁπτόμεθα μακροτέρας πολλάκις, ἣν οὐ δυνατὸν ἐν ἡμέρᾳ μιᾷ πρὸς τέλος ἀγαγεῖν, ἀλλὰ καὶ δευτέρας καὶ τρίτης καὶ τετάρτης ἡμῖν ἔστιν ὅτε ἐξηγήσεως εἰς τὴν αὐτὴν ἐδέησε πραγματείαν. Ἀνάγκη τοίνυν καὶ ταύτῃ τῇ δευτέρᾳ ἡμέρᾳ τὰ τέλη τῆς προτέρας διδασκαλίας ἀναλαβεῖν, ἵν' οὕτως ἁρμοσθὲν τῇ ἀρχῇ τὸ τέλος, σαφεστέραν ποιῇ τοῖς παροῦσι τὴν ἐξήγησιν, καὶ μὴ τῆς ἀκολουθίας ἀπηρτημένος ὁ λόγος ἀφανέστερος ᾖ τοῖς ἀκροαταῖς. Καὶ ἵνα μάθῃς ὅτι χωρὶς προοιμίων εἰσαγόμενος λόγος οὐδενὶ γνώριμος ἔσται, ἴδου χωρὶς προοιμίων αὐτὸν εἰσάγω νῦν πείρας ἕνεκεν. *Ἐμβλέψας δὲ αὐτῷ ὁ Ἰησοῦς εἶπε, Σὺ εἶ Σίμων υἱὸς Ἰωνᾶ, σὺ κληθήσῃ Κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος.* Ὁρᾶτε, μὴ συνίετε τὸ λεχθέν; μὴ ἴστε τὴν ἀκολουθίαν, τίνος ἕνεκεν εἴρηται; ἐπειδὴ χωρὶς προοιμίου αὐτὸ εἰσήγαγον, ταύτην ποιήσας, ὥσπερ ἂν εἴ τις ἄνθρωπον πάντοθεν περιβαλὼν εἰς τὸ θέατρον εἰσαγάγοι. Φέρε οὖν, αὐτὸν λοιπὸν ἐκκα-

λύ̓ωμεν, τὸ προοίμιον ἀποδόντες αὐτῷ. Περὶ Παύλου δὲ ὁ λόγος ἦν πρώην ἡμῖν ἐνταῦθα, ὅτε περὶ τῶν ὀνομάτων διελεγόμεθα, καὶ ἐζητοῦμεν, διὰ τί ποτὲ μὲν Σαῦλος, μετὰ δὲ ταῦτα Παῦλος ἐκλήθη. Ἐντεῦθεν ἐξέβημεν εἰς παλαιὰν ἱστορίαν, καὶ τοὺς ἔχοντας ἐπωνυμίας ἐξητάσαμεν ἅπαντας. Εἶτα ἐκεῖθεν καὶ Σίμωνος ἐμνήσθημεν, καὶ τῆς τοῦ Χριστοῦ φωνῆς λεγούσης πρὸς αὐτὸν, *Σὺ εἶ* [121] *Σίμων υἱὸς Ἰωνᾶ, σὺ κληθήσῃ Κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος*. Εἶδες πῶς τὸ πρὸ μικροῦ δόξαν ἀπορίας γέμειν, γνωριμώτερον ἐγένετο νῦν; Ὥσπερ γὰρ σῶμα κεφαλῆς, καὶ ῥίζης δένδρον, καὶ ποταμὸς δεῖται πηγῆς, οὕτω καὶ προοιμίων λόγος. Ἐπεὶ οὖν ἐστήσαμεν ὑμᾶς ἐπ' αὐτὴν τὴν ἀρχὴν τῆς ὁδοῦ, καὶ τὴν ἀκολουθίαν ἐδείξαμεν, ἀψώμεθα λοιπὸν αὐτοῦ τῆς ἱστορίας τοῦ προοιμίου. *Σαῦλος δὲ ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόνου εἰς τοὺς μαθητὰς τοῦ Κυρίου*.

Καὶ μὴν ἐν ταῖς Ἐπιστολαῖς Παῦλος καλεῖται· τίνος οὖν ἕνεκεν αὐτοῦ τὴν προσηγορίαν μετέβαλε τὸ Πνεῦμα τὸ ἅγιον; Καθάπερ δεσπότης οἰκέτην πριάμενος, εἶτα βουλόμενος αὐτὸν διδάξαι τὴν δεσποτείαν, μετατίθησιν αὐτοῦ τὸ ὄνομα· οὕτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐποίησε τότε. Καὶ γὰρ ἐξ αἰχμαλωσίας τὸν Παῦλον ἔλαβε, καὶ προσφάτως ἦν τῇ δεσποτείᾳ ταύτῃ προσελθών. Διὰ τοῦτο αὐτοῦ μετέβαλε τὴν προσηγορίαν, ἵνα μάθῃ κἀντεῦθεν τὴν δεσποτείαν ἐκεῖνος. Ὅτι γὰρ ὀνομάτων θέσις δεσποτείας ἐστὶ σύμβολον, μάλιστα μὲν καὶ ἐξ ὧν ποιοῦμεν δῆλον· γνωριμώτερον δὲ ἔσται ἐξ ὧν ἐπὶ τοῦ Ἀδὰμ ἐποίησεν ὁ Θεός. Βουλόμενος γὰρ αὐτὸν διδάξαι, ὅτι πάντων ἐστὶν ἄρχων καὶ δεσπότης, ἦγαγε πρὸς αὐτὸν πάντα τὰ θηρία, *Ἰδεῖν τί καλέσει αὐτά*, δεικνὺς ὅτι τῶν ὀνομάτων ἡ θέσις τὴν δεσποτείαν κυροῖ. Εἰ δὲ βούλοισθε καὶ ἐπ' ἀνθρώπων ἰδεῖν τοῦτο γινόμενον, καὶ μαθεῖν, ὅτι ἔθος πολλάκις τοῖς ἀπὸ αἰχμαλωσίας λαμβάνουσι δούλους μετατιθεῖν αὐτῶν τὰ ὀνόματα, ἀκούσατε τί ἐποίησεν ὁ τῶν Βαβυλωνίων βασιλεύς. Λαβὼν γὰρ οὗτος ἐκ τῆς αἰχμαλωσίας τὸν Ἀνανίαν καὶ Ἀζαρίαν καὶ Μισαὴλ, οὐκ ἀφῆκεν ἐπὶ τῶν προτέρων ὀνομάτων, ἀλλὰ Σεδράκ, Μισάκ, Ἀβδεναγὼ αὐτοὺς ἐκάλεσεν. Ἀλλὰ τίνος ἕνεκεν οὐκ εὐθέως αὐτὸν μετωνόμασεν, ἀλλ' ἀνέμεινε χρόνον γενέσθαι πολύν; Ὅτι εὐθέως εἰ αὐτὸν μετωνόμασε μεταστάντα, οὐκ ἂν ἐγένετο φανερὰ ἡ μεταβολὴ τοῦ Παύλου, καὶ ἡ πρὸς τὴν πίστιν μετάστασις. Ἀλλ' ὅπερ ἐπὶ τῶν οἰκετῶν συμβαίνει, ὅταν φυγόντες εὐθέως ἀμείψωσιν αὐτῶν τὰ ὀνόματα, ἀφανεῖς γίνονται, τοῦτο καὶ ἐπὶ τοῦ Παύλου γέγονεν ἄν· εἰ εὐθέως ἀφεὶς τοὺς Ἰουδαίους καὶ πρὸς ἡμᾶς ἐλθὼν μετωνομάσθη, οὐδεὶς ἂν ἔγνω ὅτι ὁ διώκτης αὐτός ἐστιν ὁ εὐαγγελιστής. Τὸ δὲ σπουδαζόμενον τοῦτο ἦν, μαθεῖν ὅτι ὁ διώκτης αὐτός ἐστι, καὶ ἀπόστολος γέγονε. Τοῦτο γὰρ ἦν ὃ συνεῖχε τοὺς Ἰουδαίους, ὅτι τὸν διδάσκαλον τὸν ὑπὲρ αὐτῶν ἱστάμενον, ηὕρισκον κατ' αὐτῶν ὄντα. Ἵνα οὖν μὴ ἡ τοῦ ὀνόματος ἀθρόα μεταβολὴ ἀποκρύψῃ τὴν μεταβολὴν τῆς προαιρέσεως, ἀφίησιν αὐτὸν μέχρι πολλοῦ τὴν προτέραν ἔχειν προσηγορίαν· ἵν', ὅταν μάθωσι πάντες, ὅτι αὐτός ἐστιν ὁ διώξας τὴν Ἐκκλησίαν ἔμπροσθεν, τότε λοιπὸν γνωρίμου γενομένου πᾶσι, μεταθῇ καὶ τὴν προσηγορίαν. Καὶ ὅτι τοῦτο αἴτιον, ἄκουσον αὐτοῦ λέγοντος· *Ἦλθον εἰς τὰ κλίματα τῆς Συρίας καὶ τῆς Κιλικίας· ἤμην δὲ ἀγνοούμενος τῷ προσώπῳ ταῖς Ἐκκλησίαις τῆς Ἰουδαίας ταῖς ἐν Παλαιστίνῃ*, φησίν. Εἰ δὲ ταῖς ἐν Παλαιστίνῃ ἠγνοεῖτο ἔνθα διέτριβε, πολλῷ μᾶλλον ταῖς ἀλλαχοῦ κειμέναις. Ἤμην δὲ ἀγνοούμενος τῷ προσώπῳ, φησὶν, οὐχὶ τῷ ὀνόματι. Διὰ τί Ἀγνοούμενος τῷ προσώπῳ; Οὐδεὶς γὰρ οὐδὲ ἰδεῖν αὐτὸν ἐτόλμα τῶν πιστῶν, ἡνίκα ἡμῖν ἐπολέμει· τοσούτου φόνου, τοσαύτης ἔγεμε μανίας. Διὸ πάντες ἀπεπήδων, πάντες ἔφευγον, εἴ που παραγενόμενον εἶδον, [122] καὶ οὐδὲ ἀντιβλέψαι ἐτόλμων· οὕτως ἦν ἐκτεθηριωμένος κατὰ τῶν πιστῶν· μόνον δὲ ἀκούοντες ἦσαν, ὅτι ὁ διώκων ἡμᾶς ποτε, νῦν εὐαγγελίζεται τὴν πίστιν ἣν ποτε ἐπόρθει. Ἐπεὶ οὖν τῷ μὲν προσώπῳ αὐτὸν ἠγνόουν, μόνον δὲ ἀκούοντες ἦσαν, εἰ τὸ ὄνομα αὐτοῦ μετεβλήθη εὐθέως, οὐκ ἂν οὐδὲ οἱ ἀκούοντες ἔγνωσαν, ὅτι ὁ διώκων τὴν πίστιν, οὗτος εὐαγγελίζεται. Ἐπειδὴ γὰρ τὸ πρότερον αὐτοῦ ὄνομα ᾔδεσαν, ὅτι Σαῦλος ἐλέγετο, εἰ μεταβληθεὶς εὐθέως Παῦλος ἐκλήθη, εἶτα ἀπήγγειλάν τινες αὐτοῖς, ὅτι Παῦλος εὐαγγελίζεται, ὁ διώκων τὴν Ἐκκλησίαν, οὐκ ἂν ἔγνωσαν ὅτι οὗτος ἐκεῖνος ἦν, διὰ τὸ μὴ Παῦλον αὐτὸν καλεῖσθαι, ἀλλὰ Σαῦλον. Διὰ τοῦτο ἀφῆκεν αὐτὸν μέχρι πολλοῦ τὴν προτέραν ἔχειν προσηγορίαν, ἵνα πᾶσι γνώριμος γένηται τοῖς πιστοῖς, καὶ τοῖς πρόρρωθεν οὖσι καὶ οὐχ ἑωρακόσιν αὐτόν.

δ'. Τίνος μὲν οὖν ἕνεκεν οὐκ εὐθέως μετεβλήθη αὐτοῦ τοὔνομα, ἱκανῶς ἀποδέδεικται. Ἀνάγκη λοιπὸν ἐπ' αὐτὴν ἐλθεῖν τοῦ λόγου τὴν ἀρχήν. *Σαῦλος δὲ ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόνου εἰς τοὺς μαθητὰς τοῦ Κυρίου*. Τί ἐστιν, *Ἔτι*; Τί γὰρ ἐποίησε πρὸ τούτου, ὅτι λέγει, *Ἔτι*; Τὸ γὰρ, *Ἔτι*, περὶ ἀνθρώπου πολλὰ κακὰ πεποιηκότος ἔμπροσθεν λέγεται. Τί οὖν ἐποίησε; Τί γὰρ οὐκ ἐποίησεν, εἰπέ μοι, κακόν; Αἱμάτων ἐνέπλησε τὰ Ἱεροσόλυμα τοὺς πιστοὺς ἀναιρῶν, τὴν Ἐκκλησίαν ἐπόρθει, τοὺς ἀποστόλους ἐδίωκε, τὸν Στέφανον ἔσφαξεν, οὐκ ἀνδρῶν, οὐ γυναικῶν ἐφείσατο. Ἄκουσον γοῦν τοῦ μαθητοῦ αὐτοῦ λέγοντος· *Σαῦλος δὲ ἐλυμαίνετο τὴν Ἐκκλησίαν, κατὰ τοὺς οἴκους εἰσπορευόμενος, σύρων τε ἄνδρας καὶ γυναῖκας*. Οὐδὲ γὰρ ἤρκει αὐτῷ ἡ ἀγορὰ, ἀλλὰ καὶ εἰς τὰς οἰκίας ἐπεπήδα· *Κατὰ τοὺς οἴκους γὰρ εἰσπορευόμενος*, φησί. Καὶ οὐκ εἶπεν, ἄγων, οὐδὲ, ἕλκων ἄνδρας καὶ γυναῖκας, ἀλλὰ, *Σύρων ἄνδρας καὶ γυναῖκας*· καθάπερ περὶ θηρίου διαλεγόμενος, Σύρων ἄνδρας καὶ γυναῖκας· καὶ οὐκ ἄνδρας μόνον, ἀλλὰ καὶ γυναῖκας. Οὐδὲ τὴν φύσιν ᾐδεῖτο, οὐδὲ τὸ γένος ἠλέει, οὐδὲ πρὸς τὴν ἀσθένειαν ἀπεκλᾶτο. Ζήλῳ γὰρ, οὐχὶ θυμῷ ταῦτ' ἐποίει. Διὰ τοῦτο οἱ μὲν Ἰουδαῖοι τὰ αὐτὰ ποιοῦντες ἄξιοι κατηγορίας· οὗτος δὲ τὰ αὐτὰ ποιῶν, ἄξιος συγγνώμης. Καὶ γὰρ ἀπ' αὐτῶν ὧν ἐποίουν δῆλοι ἦσαν, ὅτι ἐκεῖνοι μὲν τιμῆς ἕνεκεν καὶ δόξης τῆς παρὰ τῶν πολλῶν ταῦτα ἔπραττον· οὗτος δὲ οὐχ οὕτως, ἀλλὰ τῷ Θεῷ ζηλῶν, εἰ καὶ μὴ κατ' ἐπίγνωσιν· διὰ τοῦτο ἐκεῖνοι τὰς μὲν γυναῖκας ἠφίεσαν, τοῖς δὲ ἀνδράσιν ἐπολέμουν, ἐπειδὴ εἰς ἐκείνους ἐώρων τὴν ἑαυτῶν περιελθοῦσαν τιμήν· οὗτος δὲ, ἅτε ζηλοτυπῶν, πρὸς ἅπαντας ἵστατο. Ταῦτ' οὖν ἅπαντα ἐννοήσας ὁ Λουκᾶς, καὶ ὁρῶν αὐτὸν οὔπω κορεννύμενον, ἔλεγε· *Σαῦλος δὲ ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόνου εἰς τοὺς μαθητὰς τοῦ Κυρίου*. Οὐκ ἐκόρεσεν αὐτὸν ὁ φόνος Στεφάνου, οὐκ ἐνέπλησεν αὐτοῦ τὴν ἐπιθυμίαν ἡ δίωξις τῆς Ἐκκλησίας, ἀλλὰ περαιτέρω προῆει, καὶ οὐδαμοῦ ἵστατο τῆς μανίας· ζῆλος γὰρ ἦν. Ἀλλ' ἐπανελθὼν ἄρτι ἀπὸ τῆς σφαγῆς Στεφάνου, ἐδίωκε τοὺς ἀποστόλους· καὶ ταὐτὸν ἐποίει, ὥσπερ ἂν εἰ λύκος ἄγριος ἐπιπηδήσας ποίμνῃ προβάτων, καὶ ἀρνίον ἁρπάσας ἐκεῖθεν, καὶ τῷ οἰκείῳ σπαράξας στόματι,

erat, quando de nominibus disserebamus, quærebamusque cur aliquando Saulus, postea vero Paulus vocatus fuerit. Inde vero digressi sumus ad veterem historiam, omnesque qui cognomina habuerant examinavimus. Deinde Simonem commemoravimus, necnon Christum ipsi dicentem, *Tu es Simon filius Jona, tu vocaberis Cephas, quod est interpretatum Petrus.* Viden' quo pacto id quod difficultate plenum videbatur, nunc notius evaserit? Quemadmodum enim corpus capite, arbor radice, et flumen fonte indiget, sic et oratio proœmio. Itaque cum vos in viæ initium constituerimus, et consequentiam ostenderimus, jam historiæ proœmium tangamus.

Cur Paulo nomen sit mutatum. Cur non statim post conversionem mutatum ei nomen fuerit. — *Saulus autem adhuc spirans minarum et cædis in discipulos Domini* (*Act.* 9. 1). In Epistolis Paulus vocatur: cur ergo illi nomen mutavit Spiritus sanctus? Quemadmodum herus, empto servo, ut illi herilem potestatem indicet, ejus nomen mutat: ita et Spiritus sanctus tunc fecit. Ex captivitate namque Paulum acceperat, et nuper ille erat tali dominio subjectus. Ideo ejus nomen mutavit, ut inde ille dominium ediscceret. Nominum quippe impositio dominii est argumentum: quod palam est ex iis quæ quotidie geruntur, manifestius autem erit ex iis, quæ in Adamo fecit Deus. Cum vellet enim illum docere, quod ipse esset omnium princeps et dominus, adduxit ad eum omnia animalia, *Ut videret quid vocaret ea* (*Gen.* 2. 19), ostendens nominum impositionem dominium confirmare. Quod si velitis ita quoque apud homines factum fuisse conspicere, discereque, in more olim plerumque fuisse, ut servis in captivitatem abductis nomina mutarentur, audite quid fecerit rex Babyloniorum. Nam cum accepisset ex captivitate Ananiam, Azariam et Misaelem, non reliquit eis priora nomina, sed vocavit eos, Sedrac, Misac et Abdenago (*Daniel.* 1. 6. 7). Verum quænam causa fuit cur non statim Sauli nomen mutaret, sed post multum temporis? Quia si statim post Pauli conversionem ipsius nomen mutasset, conversio Pauli ad fidem non fuisset manifesta. Verum quod in famulis usu venire solet, qui si statim post fugam nomina mutent, occulti manent, idipsum in Paulo contigisset; si mox, ut relictis Judæis ad nos venit, nomen mutavisset, nemo scivisset eum qui persequutor erat, esse evangelistam, et apostolum factum esse. Illud enim Judæos cohibebat, quod quem doctorem penes se habuerant, tunc adversarium experirentur. Ne itaque subita nominis mutatio propositi mutationem obtegeret, multo illum tempore cum priori nomine reliquit: ut postquam omnes didicissent eum ipsum esse, qui Ecclesiam antea persequebatur, tunc re omnibus comperta, nomen mutaretur. Et quod ipsa vera sit causa, audi ipsum dicentem: *Veni in partes Syriæ et Ciliciæ: eramque ignotus facie Ecclesiis Judææ, quæ in Palæstina sunt* (*Gal.* 1. 21). Quod si Ecclesiis Palæstinæ, ubi degebat, ignotus erat, multo magis aliis. *Eram*, inquit, *ignotus facie*, at non nomine. Quare ignotus erat facie? Nemo enim ex fidelibus vel respicere ipsum audebat, cum nos oppugnaret: tanta cæde, tanto furore plenus erat. Quamobrem omnes resiliebant, omnes fugiebant sicubi adventantem viderent, neque ipsum vel respicere audebant: ita nempe efferatus contra fideles erat; id unum audiebant, cum qui olim ipsos persequebatur, nunc prædicare fidem, quam olim devastabat. Quoniam igitur de facie ipsum non noverant, sed ex auditu tantum, si nomen statim mutasset, ne ii quidem, qui audierant, cognovissent eum, qui fidem persequebatur, nunc evangelium prædicare. Quoniam enim prius noverant ipsum vocari Saulum, si statim mutato nomine Paulus dictus fuisset, deinde vero quidam ipsis renuntiasset, Paulum qui persequebatur Ecclesiam, jam evangelium prædicare, ignorassent an idem ipse esset, quia ille non Paulus, sed Saulus vocabatur. Ideo illum multo tempore cum priori nomine reliquit, ut omnibus esset fidelibus notus, etiam iis, qui procul erant, et non ipsum viderant.

4. Cur ergo non statim ejus nomen mutatum sit, jam satis demonstratum est. Operæ pretium jam fuerit ut initium sermonis repetamus. *Saulus autem adhuc spirans minarum et cædis in discipulos Domini* (*Act.* 9. 1). Quid sibi vult illud, *adhuc?* Quid antea fecit, ut dicat, *adhuc?* Nam illud, *adhuc*, de homine dicitur, qui antea multa mala fecerit. Quid ergo fecit? Imo quid, quæso, non mali fecit? Sanguine replevit Jerosolyma, fideles interfecit, Ecclesiam devastabat, apostolos persequebatur, Stephanum occidit; non viris, non mulieribus parcebat. Audi discipulum: *Saulus autem devastabat Ecclesiam, in domos ingrediens, trahens viros et mulieres* (*Act.* 8. 3). Non illi forum satis erat, sed in domos insiliebat: *In domos ingrediens*, ait. Neque dixit, ducens, vel evellens viros ac mulieres; sed, *Trahens viros ac mulieres:* ac si de fera loqueretur: *Trahens viros ac mulieres;* non viros solum, sed etiam mulieres. Neque naturam revereba-tur, neque sexus miserebatur, neque ob infirmitatem frangebatur. Zelo namque, non furore motus, hoc agebat. Ideo Judæi hoc ipsum facientes, criminatione digni; hic contra id agens, venia dignus est. Etenim illos palam erat honoris et inanis apud vulgus gloriæ causa illud agere; hic vero secus, sed zelo erga Deum permotus, etsi non secundum scientiam. Quamobrem illi, relictis mulieribus, viros impugnabant, quia in illos gloriam suam transisse videbant: hic autem, utpote zelo stimulante, universos adoriebatur. Hæc secum omnia reputans Lucas, vidensque illum nondum esse satiatum, dicebat: *Saulus autem adhuc spirans minarum et cædis in discipulos Domini.* Non satiavit eum cædes Stephani, non ejus explevit animum persequutio Ecclesiæ; sed ulterius procedebat: neque furendi finem faciebat: zelus quippe erat. Sed nuper reversus a cæde Stephani, apostolos persequebatur; idipsumque faciebat, ac si quis lupus sæviens in ovile ingressus, rapto agno, oreque discerpto, ex hoc raptu ferocior evaderet. Ita et Paulus apostolorum chorum invasit, indeque rapuit agnum Christi Stephanum, eoque di-

cerpto, hac cæde ferocior evasit. Propterea dicit, *adhuc*. Quamvis cujus animum non explevisset cædes hujusmodi? quem non placasset mansuetudo ejus, qui occidebatur; verbaque ejus, qui lapidibus obrutus pro lapidantibus sic precabatur: *Domine*, inquit, *ne statuas illis hoc peccatum* (*Act.* 7. 59)? Ideo persecutor factus est evangelista. Nam statim post cædem hic conversus est, illius vocem audivit Deus. Etenim dignus erat Stephanus qui audiretur tum propter futuram Pauli virtutem, tum propter propriam confessionem: *Domine, ne statuas illis hoc peccatum*. Audiant qui inimicos habent, qui injuria afficiuntur. Etsi enim sexcenta gravia patiaris, nondum lapidatus es, quemadmodum Stephanus. Et vide quid factum sit. Obstruebatur fons unicus Stephani, et aperiebatur alius, ex quo innumera manabant flumina. Postquam enim siluit os Stephani, mox sonuit tuba Pauli. Sic numquam Deus derelinquit usque in finem ad se currentes, sed dona præbet majora, quam ab inimicis auferantur. Non enim illi talem ab exercitu ejecerunt militem, qualem in ejus locum induxit Christus. *Saulus autem adhuc*. Aliud quiddam significat illud, *adhuc*: videlicet, illum adhuc furentem, adhuc ferocientem, adhuc vi furoris commotum, adhuc cæde ferventem attraxit Christus. Non enim exspectavit donec cessaret ægritudo, exstingueretur morbus, mansuetiorque fieret ille sic efferatus, et sic illum attraheret: verum in ipsa furoris vi ipsum cepit, ut ostenderet potentiam suam, quod in medio furore, æstuante animo, persecutorem vicerit et subegerit. Etenim medicum tunc admiramur, quando febrim invalescentem et ferventem in summo fervore exstinguere et penitus sedare potest: quod et in Paulo factum est. In ipsa quippe flammæ vehementia vox Domini, ceu ros superne manans, ipsum morbo penitus liberavit. *Saulus autem adhuc spirans minarum et cædis in discipulos Domini*, dimisit multitudinem, et deinde in principes impetum fecit. Quemadmodum enim is, qui arborem vult exscindere, dimissis ramis, radicem secat: sic et ille discipulos adortus est, quod radicem prædicationis resecare cuperet.

Martyres palmites ex Christo ceu radice pullulantes. Conversionis Pauli modus. — Verum non erant discipuli radix prædicationis, sed discipulorum Dominus. Quamobrem dicebat ille: *Ego sum vitis, vos palmites* (*Joan.* 15. 5). Illa vero radix inexpugnabilis est. Idcirco quanto plures resecabant palmites, tanto plures et majores iterum pullulabant. Exsectus itaque est Stephanus, et pullulavit Paulus, ac quotquot per Paulum crediderunt. *Factum est autem*, inquit, *cum oppropinquaret Damasco, subito circumfulsit eum lux de cælo: et cadens in terram, audivit vocem dicentem sibi: Saule, Saule, quid me persequeris* (*Act.* 9. 3. 4)? Quare non vox prius allata est, sed lux prius circumfulsit eum? Ut quiete vocem audiret. Quoniam enim is qui animo furoreque plenus aliquam rem perficere conatur, etiamsi innumeri vocent, non se convertit, totus operi intentus: ne idipsum in Paulo accideret, neve ille gestarum rerum furore ebrius vocem non adverteret, aut non audiret, animo ejus toto ad devastandum intento: excæcatis ante per lucem oculis, sedatoque animo, exstincta omni mentis perturbatione, factaque ingenti animi tranquillitate, vocem emisit, ut dejecta omni arrogantia, sobria mente dictis attenderet. *Saule, Saule, quid me persequeris* (*Act.* 9. 4)? Verba non tam arguentis, quam sese purgantis sunt. *Quid me persequeris?* In quo aut parvo aut magno accusare me potes? in quo a me læsus fuisti? an quod mortuos vestros suscitaverim? an quod leprosos mundaverim? quod dæmones fugaverim? Sed ideo adorare me, non persequi oportuit. Ut vero discas illud, *Quid me persequeris?* sese purgantis potius esse: audi quomodo Pater ejus iisdem verbis Judæos alloquatur. Quemadmodum enim hic dicit, *Saule, Saule, quid me persequeris?* sic et ille Judæis dicebat: *Populo meus, quid feci tibi; aut in quo contristavi te* (*Mich.* 6. 3)? *Saule, Saule, quid me persequeris?* Ecce supinus jaces, ecce sine catena alligatus es. Quemadmodum igitur si herus servum sæpe transfugam, multaque operatum mala, comprehensum et vinctum sic alloquatur, Quid vis tibi faciam? ecce jam ad manus venisti: ita et Christus Paulum correptum prostratumque, trementem videns ac formidantem, nihilque facere valentem, sic alloquitur: *Saule, Saule, quid me persequeris?* Quorsum ille furor evadet? quorsum insania? quorsum zelus intempestivus? quorsum vincula et circuitiones? quorsum efferatus ille animus? Jam immobilis eris, eumque quem persequeris, ne videre quidem poteris: et qui festinus undique circumcursabas, nunc ducente opus habes. Ideo namque nunc dicit ei, *Quid me persequeris?* ut disceret etiam præcedenti tempore ipso concedente omnia facta esse; neque illa infirmitatis fuisse, neque hæc, quæ jam fierent, crudelitatis esse; sed illa clementiæ, hæc providentiæ. Quid igitur Paulus, *Quis es, Domine* (*Act.* 9. 5)? Novit dominium ex concessione illa, virtutem ex cæcitate præsenti: demum potentiam confitetur. *Quis es, Domine?* Vidistin' gratum animum? vidistin' mentem libertate plenam? vidistin' conscientiam sinceram? Non reluctatus est, non contendit; sed statim Dominum agnovit. Non quemadmodum Judæi, cum viderent mortuos suscitatos, cæcos visum recipientes, leprosos mundatos, nedum ad tantarum rerum opificem accurrerent, seductorem etiam illum vocabant, omneque insidiarum genus apparabant: non sic utique Paulus, sed statim conversus est. Quid igitur Christus? *Ego sum Jesus, quem tu persequeris* (*Ibid.*). Cur non dixit, Ego sum Jesus, qui resurrexi, ego sum Jesus, qui in dextera Dei sedeo, sed, *Ego sum Jesus, quem tu persequeris?* Ut ejus mentem percelleret, ut ejus animam compungeret. Audi itaque Paulum post multum temporis, post innumera præclare gesta, hoc lamentantem: *Ego enim*, inquit, *sum minimus apostolorum, qui non sum dignus vocari apostolus, quia persecutus sum Ecclesiam* (*1. Cor.* 15. 9). Si vero post sexcenta præclare gesta, post tantum elapsum tempus, hoc lugebat, quanta verisimile est ipsum esse passum illo tempore,

θρασύτερος ὑπὸ τῆς ἁρπαγῆς ἐγένετο. Οὕτω καὶ Σαῦλος ἐπεπήδησε τῷ χορῷ τῶν ἀποστόλων, [123] ἥρπασεν ἐκεῖθεν τὸ ἀρνίον τοῦ Χριστοῦ, τὸν Στέφανον διεσπάραξεν, ἐγένετο λοιπὸν ὑπὸ τῆς σφαγῆς ταύτης θρασύτερος. Διὰ τοῦτό φησιν, Ἔτι. Καίτοι τίνα οὐκ ἂν ἐνέπλησεν ὁ φόνος ἐκεῖνος; τίνα οὐκ ἂν κατήδεσεν ἡ ἐπιείκεια τοῦ σφαττομένου, τὰ ῥήματα ἅπερ λιθαζόμενος ὑπὲρ τῶν λιθαζόντων ηὔχετο, *Κύριε, λέγων, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην*; Διὰ τοῦτο ὁ διώκτης εὐαγγελιστὴς γέγονεν. Εὐθέως γὰρ μετὰ τὸν φόνον οὗτος μετεβάλλετο, ἐκείνου τῆς φωνῆς ἤκουσεν ὁ Θεός. Καὶ γὰρ ἄξιος ἦν ἀκούεσθαι Στέφανος ὑπὲρ τὴν ἀρετὴν Παύλου τὴν ἐσομένην καὶ διὰ οἰκείαν ὁμολογίαν, *Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην*. Ἀκουέτωσαν ὅσοι ἐχθροὺς ἔχουσιν, ὅσοι πλεονεκτοῦνται. Κἂν γὰρ μυρία πάθῃς δεινά, οὐδέπω ἐλιθάσθης, καθάπερ ὁ Στέφανος. Καὶ ὅρα τί γίνεται. Ἐνεφράττετο μία πηγὴ ἡ τοῦ Στεφάνου, καὶ ἠνοίγετο ἑτέρα μυρίους ἀφιεῖσα ποταμούς. Ἐπειδὴ γὰρ ἐσίγησε τὸ στόμα Στεφάνου, ἦχησεν εὐθέως ἡ σάλπιγξ τοῦ Παύλου. Οὕτως οὐδέποτε ὁ Θεὸς εἰς τέλος ἐγκαταλιμπάνει τοὺς αὐτῷ προστρέχοντας, ἀλλὰ μείζονα ὧν ἀποστεροῦσιν οἱ ἐχθροὶ δίδωσιν αὐτὸς τὰ δῶρα. Οὐ γὰρ τοιοῦτον ἐξέβαλον ἀπὸ τῆς φάλαγγος στρατιώτην ἐκεῖνοι, οἷον ἀντεισήγαγεν ὁ Χριστός. *Σαῦλος δὲ ἔτι*. Καὶ ἄλλο τι δηλοῖ τὸ, *Ἔτι*, τοῦτο· οἷον, ὅτι ἔτι μαινόμενον, ἔτι ἀγριαίνοντα, ἔτι ἐν ἀκμῇ τοῦ θυμοῦ ὄντα, ἔτι τῷ φόνῳ ζέοντα ἐπεσπάσατο ὁ Χριστός. Οὐδὲ γὰρ ἀνέμεινε λῆξαι τὸ νόσημα, καὶ σβεσθῆναι τὸ πάθος, καὶ πραότερον γενέσθαι τὸν ἄγριον, καὶ οὕτως εἵλκυσεν· ἀλλ' ἐν αὐτῇ τῇ ἀκμῇ τῆς μανίας αὐτὸν ἐχειρώσατο, ἵνα δείξῃ τὴν ἑαυτοῦ δύναμιν, ὅτι ἐν μέσῃ τῇ βακχείᾳ τότε ἐκείνῃ ζέοντος ἔτι τοῦ θυμοῦ κρατεῖ καὶ περιγίνεται τοῦ διώκτου. Καὶ γὰρ ἰατρὸν τότε θαυμάζομεν μάλιστα, ὅταν δυνηθῇ τὸν πυρετὸν αἱρόμενον καὶ τὴν φλόγα τοῦ νοσήματος οὖσαν ἐν ἄκρᾳ σφοδρότητι κατασβέσαι καὶ παντελῶς ἀφανίσαι· ὃ καὶ ἐπὶ τοῦ Παύλου γέγονεν. Ἐν ἀκμῇ γὰρ αὐτὸν ὄντα τῆς φλογὸς, ὥσπερ τις δρόσος ἄνωθεν κατενεχθεῖσα, ἡ φωνὴ τοῦ Κυρίου τοῦ νοσήματος ἀπήλλαξε παντελῶς. *Σαῦλος δὲ ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόνου εἰς τοὺς μαθητὰς τοῦ Κυρίου*, ἀφῆκε τὸ πλῆθος, καὶ τοῖς ἄρχουσι λοιπὸν ἐπεπήδα. Ὥσπερ γὰρ ὁ δένδρον βουλόμενος ἐκτεμεῖν, τοὺς κλάδους ἀφεὶς, κάτωθεν ἐκκόπτει τὴν ῥίζαν, οὕτω δὴ καὶ οὗτος ἐπὶ τοὺς μαθητὰς ἦλθε, τὴν ῥίζαν τοῦ κηρύγματος βουλόμενος ἀνελεῖν.

Ἀλλὰ οὐκ ἦσαν ῥίζαι τοῦ κηρύγματος οἱ μαθηταὶ, ἀλλ' ὁ τῶν μαθητῶν Δεσπότης. Διὰ τοῦτο καὶ ἔλεγεν· *Ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα*. Ἐκείνη δὲ ἀκαταγώνιστος ἡ ῥίζα. Διὰ τοῦτο ὅσῳ πλείονα ἐξέτεμνον κλήματα, τοσούτῳ καὶ πλείονα καὶ μείζονα πάλιν ἐβλάστανεν. Ἐξετμήθη γοῦν Στέφανος, καὶ ἀνεβλάστησε Παῦλος καὶ οἱ διὰ Παύλου πιστεύσαντες. *Ἐγένετο δὲ*, φησὶν, *ἐν τῷ ἐγγίζειν αὐτὸν τῇ Δαμασκῷ, ἐξαίφνης περιήστραψεν αὐτὸν φῶς ἐκ τοῦ οὐρανοῦ, καὶ πεσὼν ἐπὶ τῆς γῆς ἤκουσε φωνὴν λέγουσαν αὐτῷ, Σαῦλε, Σαῦλε, τί με διώκεις*; Τίνος ἕνεκεν οὐχὶ πρῶτον ἡ φωνὴ ἠνέχθη, ἀλλὰ πρότερον φῶς αὐτὸν περιήστραψεν; Ἵνα μεθ' ἡσυχίας ἀκούσῃ τῆς φωνῆς. Ἐπειδὴ γὰρ ὁ πρός τι πρᾶγμα τεταμένος καὶ θυμοῦ πλήρης ὤν, κἂν μυρίοι καλῶσιν, οὐκ ἐπιστρέφεται, ὅλος τῆς προκειμένης ὑποθέσεως ὤν· ἵνα μὴ καὶ ἐπὶ Παύλου τοῦτο γένηται, καὶ μεθύων τῇ μανίᾳ τῶν [124] γεγενημένων παραπέμψηται τὴν φωνὴν, ἢ μηδὲ ἀκούσῃ τὴν ἀρχὴν, τὴν διάνοιαν ἅπασαν πρὸς τὴν λῃλασίαν ἐκείνην ἔχων, πρότερον διὰ τοῦ φωτὸς πτοήσας αὐτοῦ τοὺς ὀφθαλμοὺς, καὶ τὸν θυμὸν καταστείλας, καὶ σβέσας ἅπαντα τῆς ψυχῆς τὸν θόρυβον, καὶ πολλὴν ἐν τῇ διανοίᾳ γαλήνην ποιήσας, οὕτω τὴν φωνὴν ἀφῆκεν, ἵνα κατενεχθείσης τῆς ἀλαζονείας σώφρονι τῷ λογισμῷ προσέχῃ τοῖς λεγομένοις λοιπόν. *Σαῦλε, Σαῦλε, τί με διώκεις*; Οὐ τοσοῦτον ἐγκαλοῦντός ἐστιν, ὅσον ἀπολογουμένου. Τί με διώκεις; Τί μικρὸν ἢ μέγα ἐγκαλεῖν ἔχων ἐμοί; τί παρ' ἐμοῦ ἠδικημένος; ὅτι τοὺς νεκροὺς ὑμῶν ἀνέστησα; ὅτι τοὺς λεπροὺς ἐκάθηρα; ὅτι τοὺς δαίμονας ἀπήλασα; Ἀλλὰ διὰ ταῦτα προσκυνεῖσθαί με, οὐχὶ διώκεσθαι ἔδει. Καὶ ἵνα μάθῃς, ὅτι τὸ, *Τί με διώκεις*; ἀπολογουμένου μᾶλλόν ἐστιν, ἄκουσον πῶς καὶ ὁ Πατὴρ αὐτοῦ πρὸς τοὺς Ἰουδαίους τούτῳ κέχρηται τῷ ῥήματι. Ὥσπερ γὰρ οὗτος λέγει, *Σαῦλε, Σαῦλε, τί με διώκεις*; οὕτω κἀκεῖνος πρὸς τοὺς Ἰουδαίους φησί· *Λαός μου, τί ἐποίησά σοι, ἢ τί ἐλύπησά σε; Σαῦλε, Σαῦλε, τί με διώκεις*; Ἰδοὺ κεῖσαι πρηνὴς, ἰδοὺ δέδεσαι χωρὶς ἀλύσεως. Ὥσπερ οὖν ὅταν δεσπότης οἰκέτην πολλὰ περιφεύγοντα καὶ μυρία ἐργαζόμενον δεινὰ λαβὼν ὑπὸ χεῖρας, καὶ δήσας λέγοι πρὸς αὐτὸν δεδεμένον, Τί σοι βούλει ποιήσω νῦν; ἰδοὺ γέγονας ὑποχείριος· οὕτω καὶ ὁ Χριστὸς τὸν Παῦλον λαβὼν, ῥίψας πρηνῆ, καὶ ὁρῶν τρέμοντα καὶ δεδοικότα καὶ οὐδὲν ἐργάζεσθαι δυνάμενον, φησί· *Σαῦλε, Σαῦλε, τί με διώκεις*; Ποῦ οὖν ὁ θυμὸς ἐκεῖνος οἴχεται; ποῦ δὲ ἡ μανία; ποῦ δὲ ὁ ζῆλος ὁ ἄκαιρος; ποῦ τὰ δεσμὰ καὶ αἱ περιδρομαί; ποῦ δὲ ἡ ἀγριότης ἐκείνη; Ἀκίνητος μὲν ἔσῃ νῦν, καὶ οὐδὲ ἰδεῖν τὸν διωκόμενον δύνασαι· καὶ ὁ σπεύδων καὶ πανταχοῦ περιτρέχων, χειραγωγοῦ χρείαν ἔχεις νῦν. Διὰ γὰρ τοῦτο καὶ νῦν φησιν αὐτῷ, Τί με διώκεις; ἵνα μάθῃ ὅτι καὶ ἐν τῷ πρὸ τούτου χρόνῳ ἐκὼν αὐτῷ συνεχώρει· ὅτι οὔτε ἐκεῖνα ἀσθενείας ἦν, οὔτε ταῦτα ὠμότητος, ἀλλὰ καὶ ἐκεῖνα φιλανθρωπίας, καὶ ταῦτα κηδεμονίας. Τί οὖν ὁ Παῦλος, *Τίς εἶ, Κύριε*; Ἐπέγνω τὴν δεσποτείαν ἀπὸ τῆς συγχωρήσεως, ἔμαθε τὴν δύναμιν ἀπὸ τῆς τότε πηρώσεως, ὁμολογεῖ λοιπὸν τὴν ἐξουσίαν. *Τίς εἶ, Κύριε*; Εἶδες ψυχὴν εὐγνώμονα; εἶδες διάνοιαν ἐλευθερίας γέμουσαν; εἶδες συνειδὸς ἀδέκαστον; Οὐκ ἀντέτεινεν, οὐκ ἐφιλονείκησεν, ἀλλ' ἔγνω τὸν Δεσπότην εὐθέως. Οὐ καθάπερ Ἰουδαῖοι νεκροὺς ὁρῶντες ἀνισταμένους, πηροὺς ἀναβλέποντας, λεπροὺς καθαιρομένους, οὐ μόνον οὐ προσέτρεχον τῷ ταῦτα ποιοῦντι, ἀλλὰ καὶ πλάνον αὐτὸν ἐκάλουν, καὶ πάντα τρόπον ἐπιβουλῆς ἐκίνουν· ἀλλ' οὐχ ὁ Παῦλος οὕτως, ἀλλ' εὐθέως μετετίθετο. Τί οὖν ὁ Χριστός; *Ἐγώ εἰμι Ἰησοῦς, ὃν σὺ διώκεις*. Καὶ διὰ τί μὴ εἶπεν, Ἐγώ εἰμι Ἰησοῦς ὁ ἀναστὰς, ἐγὼ εἰμι Ἰησοῦς ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος, ἀλλ', *Ἐγώ εἰμι Ἰησοῦς, ὃν σὺ διώκεις*; Ἵνα πλήξῃ αὐτοῦ τὴν διάνοιαν, ἵνα κατανύξῃ αὐτοῦ τὴν ψυχήν. Ἄκουσον γοῦν Παύλου μετὰ πολλοὺς τοὺς χρόνους καὶ μυρία κατορθώματα τοῦτο θρηνοῦντος· *Ἐγὼ γάρ εἰμι*, φησὶν, *ὁ ἐλάχιστος* [125] *πάντων τῶν ἀποστόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος, διότι ἐδίωξα τὴν Ἐκκλησίαν*. Εἰ δὲ μετὰ μυρία κατορθώματα καὶ τοσούτους χρόνους τοῦτο ἐπένθει, τί εἰκὸς ἦν

αὐτὸν παθεῖν κατὰ τὸν καιρὸν ἐκεῖνον, κατόρθωμα μὲν οὐδέπω οὐδὲν ἔχοντά, τὴν δὲ δίωξιν ἑαυτῷ συνειδότα, καὶ τῆς φωνῆς ἐκείνης ἀκούοντα;

ε'. Ἀλλ' ἐπιφύονται ἡμῖν ἐνταῦθα· ὑμεῖς δὲ μὴ ἀποκάμητε, κἂν ἑσπέρα καταλάβοι· ὑπὲρ γὰρ τοῦ Παύλου πᾶς ἡμῖν ὁ λόγος, Παύλου τοῦ τριετίαν νύκτα καὶ ἡμέραν τοὺς μαθητὰς διδάσκοντος. Ἐπιφύονται τοίνυν τινὲς ἐνταῦθα, καὶ λέγουσι· Καὶ τί μέγα, ὅτι Παῦλος προσῆλθε; καὶ γὰρ μονονουχὶ ὥσπερ σχοῖνον περιβαλὼν αὐτοῦ τῷ τραχήλῳ ὁ Θεὸς τὴν φωνὴν ἐκείνην, οὕτως αὐτὸν εἵλκυσε πρὸς ἑαυτόν. Προσέχετε μετὰ ἀκριβείας. Καὶ γὰρ καὶ πρὸς Ἕλληνας κοινὸς ἡμῖν οὗτος ὁ λόγος, καὶ πρὸς Ἰουδαίους, οἳ τῆς οἰκείας ἀπιστίας προκάλυμμα νομίζουσιν εἶναι τὸ τοῦ δικαίου κατηγορεῖν, οὐκ εἰδότες ὅτι διπλῆν ἁμαρτάνουσιν ἁμαρτίαν, τήν τε οἰκείαν οὐκ ἀποτιθέμενοι πλάνην, καὶ τὸν ἅγιον τοῦ Θεοῦ τοιαύταις αἰτίαις ὑποβάλλειν ἐπιχειροῦντες. Ἀλλ' ἡμεῖς ὑπὲρ αὐτοῦ τὴν ἀπολογίαν τῇ τοῦ Θεοῦ χάριτι ποιησόμεθα. Τίς οὖν ἐστιν ἡ κατηγορία; Ἀνάγκῃ, φησίν, αὐτὸν ἐπεσπάσατο ὁ Θεός. Ποίᾳ ἀνάγκῃ, ἄνθρωπε; Ἐκάλεσεν αὐτὸν ἄνωθεν. Ὅλως πιστεύεις, ὅτι ἐκάλεσεν αὐτὸν ἄνωθεν; Οὐκοῦν καὶ σὲ καλεῖ τήμερον δι' ἐκείνης τῆς φωνῆς, ἀλλ' οὐχ ὑπακούεις. Ὁρᾷς ὅτι οὐχὶ ἀνάγκης ἦν τὸ πρᾶγμα; Εἰ γὰρ ἀνάγκη ἦν, καὶ σὲ ἔδει ὑπακούειν· εἰ δὲ σὺ οὐχ ὑπακούεις, εὔδηλον ὅτι κἀκεῖνος ἐκ προαιρέσεως ὑπήκουσε. Καὶ ἵνα μάθητε ὅτι πολὺ μὲν εἰς τὴν Παύλου σωτηρίαν ἡ κλῆσις, καθάπερ καὶ εἰς τὴν τῶν ἄλλων ἁπάντων ἀνθρώπων, οὐ μὴν ἔρημον αὐτὸν ἀφῆκεν εἶναι τῶν οἰκείων κατορθωμάτων καὶ τῶν διὰ τὴν βούλησιν ἐπαίνων, οὐδὲ ἐλυμήνατο αὐτοῦ τὸ αὐτεξούσιον, ἀλλ' ἐκὼν προσῆλθεν οὗτος καὶ ἐξ οἰκείας εὐγνωμοσύνης, ἐξ ἑτέρου παραδείγματος τοῦτο ποιήσω φανερόν. Ἤκουσαν οἱ Ἰουδαῖοι φωνῆς ἄνωθεν φερομένης, οὐχὶ τοῦ Υἱοῦ, ἀλλὰ τοῦ Πατρὸς, περὶ τοῦ Χριστοῦ λεγούσης περὶ τῶν Ἰορδανίων ῥείθρων [a], *Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς*, καὶ λέγουσιν ἐκεῖνοι *Οὗτός ἐστιν ὁ πλάνος*. Εἶδες φανερὸν πόλεμον; εἶδες δήλην μάχην; εἶδες ὅτι πανταχοῦ εὐγνωμοσύνης χρεία, καὶ ψυχῆς ἀδεκάστου, καὶ μὴ προκατειλημμένης πάθει; Ἴδοὺ καὶ ἐκεῖ φωνὴ, ἐνταῦθα φωνή· ἀλλ' ὁ μὲν ἐπείθετο, οἱ δὲ ἀντέλεγον. Καὶ οὐχὶ φωνὴ μόνον, ἀλλὰ καὶ τὸ Πνεῦμα ἐν εἴδει περιστερᾶς. Ἐπειδὴ γὰρ ἐβάπτιζε μὲν Ἰωάννης, ἐβαπτίζετο δὲ ὁ Χριστὸς, ἵνα μὴ τῷ ἀνθρωπίνῳ σχήματι προσέχοντες, τὸν βαπτίζοντα μείζονα τοῦ βαπτιζομένου εἶναι νομίσωσιν, ἦλθεν ἡ φωνὴ τοῦτον ἀπ' ἐκείνου διαιροῦσα. Καὶ ἐπειδὴ ἄδηλον ἦν περὶ τίνος ἔλεγεν ἡ φωνὴ ὅπερ ἔλεγεν, ἦλθε καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐν εἴδει περιστερᾶς, τὴν φωνὴν ἐπὶ τὴν κεφαλὴν ἕλκον τοῦ Χριστοῦ. Ἀλλ' ὅμως καὶ διὰ φωνῆς αὐτὸν ἐκήρυξε, καὶ διὰ τοῦ Πνεύματος ἔδειξε, καὶ μετὰ τοῦτο καὶ Ἰωάννης ἐβόα, ὅτι *Οὐκ εἰμὶ ἱκανὸς αὐτοῦ λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος*· καὶ μυρία ἕτερα καὶ διὰ ῥημάτων, καὶ διὰ πραγμάτων μαρτύρια ἐγένετο, καὶ πρὸς ἅπαντα ἀπετυφλώθησαν· μᾶλλον δὲ πάντα [126] μὲν συνεώρων, οὐδενὶ δὲ τῶν λεγομένων, οὐδὲ τῶν πραττομένων ἐπείθοντο, τῇ μανίᾳ τῇς παρὰ τῶν πολλῶν ὄκνης προκατειλημμένοι τὴν διάνοιαν. Ὅπερ οὖν καὶ ὁ εὐαγγελιστής φησιν, ὅτι πολλοὶ τῶν Ἰουδαίων ἐπίστευσαν εἰς αὐτὸν, διὰ δὲ τοὺς ἄρχοντας οὐχ ὡμολόγουν, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται. Καὶ αὐτὸς δὲ ὁ Χριστὸς ἔλεγε, *Πῶς δύνασθε πιστεύειν, δόξαν παρὰ ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες*; Ἀλλ' οὐχ ὁ Παῦλος οὕτως, ἀλλὰ μιᾶς μόνης ἀκούσας φωνῆς αὐτοῦ τοῦ διωκομένου, εὐθέως προσέδραμεν, εὐθέως ὑπήκουσε, καὶ πολλὴν ἐπεδείξατο τὴν μεταβολήν. Εἰ δὲ μὴ ἀπεκάμετε τῷ μήκει τῶν εἰρημένων, ἔτι εἰς ἐγγύτερον παράδειγμα ἄγω τὸν λόγον. Καὶ γὰρ καὶ τοῦ Υἱοῦ ἤκουσαν, καὶ οὕτως ἤκουσαν ὡς Παῦλος ἤκουσε, καὶ ἐν καιρῷ τοιούτῳ ἤκουσαν, οἵῳ Παῦλος ἤκουσε, καὶ οὐδὲ οὕτως ἐπίστευσαν. Καθάπερ γὰρ Παῦλος ὅτε ἐμαίνετο, ὅτε ἠγριαίνετο, ὅτε ἐπολέμει τοῖς μαθηταῖς, ἤκουσε τῆς φωνῆς, οὕτω καὶ Ἰουδαῖοι. Ποῦ, καὶ πότε; Ἐξῆλθον ἐν τῇ νυκτὶ μετὰ φανῶν καὶ λαμπάδων εἰς τὴν σύλληψιν αὐτοῦ· ἐνόμιζον γὰρ ἀνθρώπῳ ψιλῷ ἐπιτίθεσθαι. Βουλόμενος τοίνυν αὐτοὺς διδάξαι τὴν δύναμιν τὴν ἑαυτοῦ, καὶ ὅτι Θεός ἐστι, καὶ πρὸς κέντρα λακτίζουσι, λέγει αὐτοῖς, *Τίνα ζητεῖτε*; Ἔμπροσθεν αὐτοῦ καὶ πλησίον εἱστήκεισαν, καὶ οὐχ ἑώρων αὐτόν· ἀλλ' αὐτὸς ὁ ζητούμενος αὐτοὺς ἐχειραγώγει πρὸς τὴν εὕρεσιν τὴν ἑαυτοῦ, ἵνα μάθωσιν, ὅτι οὐκ ἄκων ἐπὶ τὸ πάθος ἔρχεται, ὅτι, εἰ μὴ ἐβούλετο συγχωρῆσαι, οὐκ ἂν περιεγένοντο. Πῶς γὰρ, οἱ μηδὲ εὑρεῖν αὐτὸν δυνηθέντες; Τί λέγω, εὑρεῖν αὐτὸν μὴ δυνηθέντες; Ἀλλ' οὔτε ἰδεῖν αὐτὸν παρόντα ἴσχυσαν· οὐ μόνον δὲ παρόντα οὐκ ἴσχυσαν ἰδεῖν, ἀλλὰ καὶ ἐρωτῶντι ἀποκρινόμενοι, οὐδὲ οὕτως ᾔδεσαν ὅστις ποτὲ ἦν ὁ παρών· οὕτω μεθ' ὑπερβολῆς ἁπάσης ἀπετύφλωσεν αὐτῶν τοὺς ὀφθαλμούς. Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ὑπτίους ἔρριψεν αὐτοὺς τῇ φωνῇ· εἰπόντος γάρ, Τίνα ζητεῖτε, ἀπῆλθον πάντες εἰς τὰ ὀπίσω ἀπὸ τῆς φωνῆς ταύτης. Ὥσπερ γὰρ τὸν Παῦλον ἡ φωνὴ κατέβαλε, καὶ πρηνῆ κεῖσθαι ἐποίησεν, οὕτω καὶ τούτους ἡ φωνὴ πάντας ἔρριψεν ὑπτίους· καὶ ὥσπερ οὗτος οὐκ ἔβλεπε τὸν διωκόμενον ὑπ' αὐτοῦ, οὕτως ἐκεῖνοι οὐκ ἔβλεπον τὸν ζητούμενον ὑπ' αὐτῶν· ὥσπερ οὗτος ἐν τῷ καιρῷ τῆς μανίας ἀπετυφλώθη, κἀκεῖνοι ἐν αὐτῷ τῷ καιρῷ τῆς μανίας ἀπετυφλώθησαν. Καὶ γὰρ ἐκεῖνος, ὅτε ἐπορεύετο δῆσαι τοὺς μαθητὰς, καὶ οὗτοι, ὅτε ἐξῆλθον δῆσαι τὸν Χριστὸν, ταὐτὰ ἔπαθον. Καὶ ἐκεῖ δεσμὰ, καὶ ἐνταῦθα δεσμά· καὶ ἐκεῖ δίωξις, καὶ ἐνταῦθα δίωξις· καὶ ἐκεῖ πήρωσις, καὶ ἐνταῦθα πήρωσις· καὶ ἐκεῖ φωνὴ, καὶ ἐνταῦθα φωνή· καὶ ὁμοία τῆς τοῦ Χριστοῦ δυνάμεως ἡ ἔνδειξις, ὅμοια τὰ φάρμακα, ἀλλ' οὐχ ὁμοία ἡ διόρθωσις· οἱ γὰρ κάμνοντες πολλὴν εἶχον διαφοράν. Τί γὰρ ἀναισθητότερον, τί δὲ ἀγνωμονέστερον ἐκείνων; Ἔπεσον ὀπίσω, καὶ πάλιν ἀνέστησαν, καὶ πάλιν ἐπέθεντο. Ἆρα τῶν λίθων οὐκ ἦσαν ἀναισθητότεροι; Καὶ ἵνα μάθωσιν, ὅτι οὗτός ἐστιν ὁ εἰπὼν αὐτοῖς, *Τίνα ζητεῖτε*; καὶ ῥίψας ὀπίσω αὐτοὺς, λέγει αὐτοῖς πάλιν, [127] ὅτε ἀνέστησαν, *Τίνα ζητεῖτε*; καὶ λέγουσιν, *Ἰησοῦν*· λέγει αὐτοῖς, *Εἶπον ὑμῖν, ὅτι ἐγώ εἰμι*· μονονουχὶ λέγων, Μάθετε ὅτι καὶ ὁ πρὸ τούτου εἰπὼν, *Τίνα ζητεῖτε*; καὶ ῥίψας ὑμᾶς, ἐγώ εἰμι. Ἀλλ' οὐδὲν πλέον ἐκ τούτου ἐγένετο, ἀλλ' ἔμειναν ἐπὶ τῆς αὐτῶν πωρώσεως. Ταῦτ' οὖν ἅπαντα ἐκ παραλλήλου συγκρίνων, μάνθανε ἀκριβῶς, ὅτι οὐκ ἐξ ἀνάγκης προσῆλθε Παῦλος, ἀλλ' ἀπὸ ψυχῆς εὐγνώμονος καὶ ἀδεκάστου συνειδότος.

ς'. Εἰ δὲ καρτερεῖτε καὶ ὑπομένετε, ἕτερον ἐγγύτερον τούτου λέγω πάλιν, ἀναντίῤῥητον ἔχον ἀπόδειξιν τοῦ μὴ κατ' ἀνάγκην τὸν Παῦλον προσεληλυθέναι τῷ

[a] Placet conjectura Savilii : περὶ τὰ Ἰορδάνια ῥεῖθρα. Ed.

cum nullum opus bonum penes se haberet, et illatæ persequutionis sibi conscius esset, dum illam vocem audiret?

5. *Probatur Paulum libere accessisse, non necessitate.* — Verum insurgunt contra nos quidam : vos autem ne defatigemini, appetente licet vespera : nam pro Paulo loquimur, pro Paulo, qui per triennium nocte dieque discipulos docuit. Insurgunt itaque jam adversum nos aliqui, et dicunt : Ecquid mirum si Paulus accesserit? cum Deus vocem illam quasi funem ad collum ejus injecerit, et sic illum ad se traxerit. Animum diligenter adhibete. Etenim hæc argutatio nobis communis est cum gentilibus et cum Judæis, qui incredulitatis suæ tegumentum id esse putant, si virum justum incusent, ignari se dupliciter peccare, et quod errorem suum non deponant, et quod sanctum Dei ejusmodi criminationibus impetant. Verum nos Dei gratia fulti, ejus defensionem suscipiemus. Quæ igitur accusatio est? Vi, inquiunt, illum attraxit Deus. Qua vi, mi homo? Superne vocavit eum. Credis omnino quod eum superne vocaverit? Atqui te quoque hodie vocat per illam vocem, et tu non obsequeris. Viden' non fuisse illud necessitatis? Nam si necessitatis fuisset, opus erat ut et tu obedires. Quod si tu non obedias, palam est eum ex voluntate obedivisse. Et ut discatis vocationem multum ad Pauli salutem contulisse, quemadmodum et ad aliorum omnium hominum, nec tamen illum bonis operibus, et laudibus, quæ merito voluntatis acquiruntur, vacuum reliquisse, neque liberum ejus arbitrium labefactasse, sed libentem cum proprio bonæ voluntatis motu accessisse : alio exemplo id planum faciam. Audierunt Judæi vocem superne loquentem, non Filii, sed Patris de Christo loquentis ad Jordanis fluenta, *Hic est Filius meus dilectus;* at illi dicunt, *Hic est seductor ille* (*Matth.* 3. 17. *et* 27. 63). Viden' manifestum bellum? viden' apertam pugnam? viden' ubique grato et benevolo animo esse opus, animaque sincera, neque affectu præoccupata? Ecce et illic vox, et hic vox : sed ille obtemperabat, hi repugnabant. Neque tantum vox auditur, sed Spiritus in columbæ specie videtur. Cum enim Joannes baptizaret, Christus vero baptizaretur, ne humanam figuram spectantes, baptizantem baptizato præstantiorem existimarent, venit vox quæ hunc ab illo distingueret. Et quia incertum esse videbatur de quonam vox illa loqueretur, venit Spiritus sanctus in specie columbæ, qui vocem in caput Christi duceret. Attamen et per vocem prædicavit, et per Spiritum ostendit, Joannesque postea clamabat, *Non sum dignus, qui corrigiam solvam calceamenti ejus* (*Luc.* 3. 16) : multa quoque alia tam verborum, quam operum testimonia accesserunt, et ad omnia in cæcitate manserunt; imo viderunt omnia, sed neque dictis neque factis credidere, præjudicatæ vulgi opinionis insania ipsorum mentem occupante. Quod etiam evangelista dicit : multos nempe Judæorum in illum credidisse; sed metu principum ipsum confiteri non ausos esse, ne a synagoga ejicerentur (*Joan.* 12. 42). Ipse vero Christus dicebat : *Quomodo potestis credere, qui gloriam ab invicem accipitis, et gloriam, quæ a solo Deo est, non quæritis* (*Joan.* 5. 44)? Verum non ita Paulus; sed una solum audita voce ejus, quem ille persequebatur, statim accurrit, statim obedivit, et magnam præ se tulit conversionem. Quod si dictorum prolixitate non defatigemini, ad aliud propinquius exemplum propero. Etenim et Filium audierunt, atque ita audierunt, ut Paulus audierat, et simili audierunt tempore, atque Paulus, neque tamen sic crediderunt. Nam sicut Paulus cum furëret, cum ferocior esset, cum discipulos impugnaret, vocem audivit, ita et Judæi. Ubinam, et quando? Egressi sunt noctu cum facibus et lampadibus ad comprehendendum illum; putabant enim se merum hominem adoriri. Cum igitur eos suam vellet docere virtutem, seque Deum esse, ipsosque contra stimulum calcitrare, dicit illis, *Quem quæritis* (*Joan.* 18. 4)? Coram eo et proxime stabant, neque illum videbant; verum is ipse, qui quærebatur, ipsos manu ducebat, ut se invenirent, ut ediscerent ipsum non invitum ad patiendum venire, et, si ipse non concessisset, numquam illos rem perfecturos fuisse. Quomodo enim, cum nec invenire illum possent, imo ne videre quidem præsentem? Non modo autem præsentem videre non potuerunt, sed cum sciscitanti responderent, ne sic quidem sciebant, quisnam tunc præsens esset : usque adeo oculos eorum excæcaverat. Imo ne id quidem tantum, sed etiam voce illos supinos prostravit : nam ut dixit, *Quem quæritis?* abierunt omnes retrorsum ab hac voce pulsi. Quemadmodum enim vox Paulum dejecit et resupinavit, sic et vox illos omnes prostravit supinos; et quemadmodum ille non videbat eum, quem persequebatur, ita et illi non videbant eum, quem quærebant; sicut ille tempore furoris sui excæcatus est, ita et illi tempore furoris sui sunt excæcati. Etenim ille cum iret vinctum discipulos, et hi cum exirent alligatum Christum, eadem passi sunt. Illic vincula, et hic quoque vincula; illic persequutio, hic etiam persequutio, illic cæcitas, hic item cæcitas; illic vox, hic quoque vox : similis utrobique Christi potentiæ demonstratio, similia remedia : at non similis emendatio; inter ægrotantes enim magnum discrimen. Quid enim stupidius, quid ingratius illis? Ceciderunt retrorsum, et rursus surrexerunt, rursus invaserunt. Annon ipsis lapidibus insensibiliores erant? Ut vero discerent hunc ipsum esse, qui dixerat illis, *Quem quæritis?* illosque retrorsum prostraverat : cum surrexissent, iterum dicit illis, *Quem quæritis?* Respondent illi, *Jesum.* Tum ille : *Dixi vobis, quia ego sum* (*Joan.* 18. 6); ac si diceret : Discite me eum ipsum esse, qui antea dixi vobis, *Quem quæritis?* vosque prostravi. Verum nihil hoc profuit, sed in cæcitate manserunt. Hæc omnia simul et accurate conferens, disce Paulum non ex necessitate accessisse, sed ex bono animo sinceraque conscientia.

6. *Alio exemplo probatur Paulum libere ad fidem accessisse. Deus non vim infert nolentibus, sed volentes trahit.* — Quod si id feratis patienterque toleretis,

aliud longe opportunius dicam, quo ineluctabiliter demonstratur Paulum non ex necessitate ad Dominum accessisse. Venit postea Paulus Salaminem Cypri, ibique invenit magum quemdam sibi obsistentem apud proconsulem Sergium. Paulus vero repletus Spiritu sancto dixit illi : *O plene omni dolo, et omni versutia, fili diaboli, non desines pervertere vias Domini rectas* (*Act.* 13. 10) ? Hæc persequutoris verba sunt. Gloriam Domino referamus, qui ipsum convertit. Antea audiebatis, quod devastaret Ecclesiam, in domos ingrediens, trahensque viros ac mulieres abriperet in carcerem. Videte quanta cum fiducia nunc pro prædicatione loquatur : *Non desines*, inquit, *pervertere vias Domini rectas ? Et nunc ecce manus Domini super te : et eris cæcus, et non videns usque ad tempus.* Idem remedium mago imposuit, quod sibi ipsi visum restituerat ; sed ille mansit in cæcitate : ut discas non vocationem modo Paulum adduxisse, sed etiam ejus propositum voluntatis. Nam si cæcitas sola id effecisset, in mago etiam idipsum evenire oportuisset : sed non ita factum est. Verum ille quidem excæcatus est, proconsul autem videns id, quod factum erat, credidit. Alius remedium accepit, et alius visum recuperavit. Videte quantum bonum sit probus animi affectus ; quantum vero malum inobsequentia et cordis durities. Excæcatus est magus : et ille nihil lucratus est, quod inobsequens fuerit ; proconsul vero Christum cognovit. Quod igitur sponte et ex proposito voluntatis accesserit Paulus, id satis jam demonstratum est. Id vero jam volo, vos id probe nosse, Deum nempe non vim inferre nolentibus, sed volentes trahere. Ideo namque dicit : *Nemo venit ad me, nisi Pater meus traxerit eum* (*Joan.* 6. 44). Qui vero trahit, volentem trahit, humique jacentem ac manum porrigentem. Et ut discatis ipsum nemini vim ferre, et si ipso volente nos nolimus, quæ ad salutem nostram spectant pessum ire ; non quod ejus voluntas infirma sit, sed quod nemini velit necessitatem inferre : hanc rem disquirere necesse est, quoniam multi sæpe in segnitiei suæ obtentum hac futili utuntur defensione : sæpeque moniti ut illuminationem seu baptisma suscipiant, vitæ institutum in melius commutent, aliaque similia bona opera exsequantur, tunc illi pigritantes et refugientes ita respondent : Si Deus voluerit, persuadebit mihi et convertar. Sane non criminor illos, sed admodum approbo, quod ad voluntatem Dei confugiant ; sed volo ut ea, quæ penes ipsos sunt, afferant, et sic dicant, Si Deus voluerit. Nam si te somno ac segnitiei dedens, non conteris bona edere opera, sed Dei tantum voluntatem objeceris, nihil eorum, quibus opus habes, adipisceris umquam. Nam, ut dicebam, necessitate ac vi neminem umquam adigit Deus : sed vult quidem omnes salvos fieri, nemini vero necessitatem inducit, quemadmodum et Paulus dicit : *Qui vult omnes homines salvos fieri, et ad agnitionem veritatis venire* (*1. Tim.* 2. 4). Quomodo igitur non omnes salvi fiunt, si vult omnes salvos fieri ? Quia non omnium voluntas ejus voluntatem sequitur ; Ille vero nemini vim infert. Sic et ad Jerusalem dicit : *Jerusalem, Jerusalem, quoties volui congregare filios tuos, et noluistis* (*Luc.* 13. 34) ? Quid igitur ? *Ecce relinquetur domus vestra deserta* (*Ib. v.* 35). Vide' quod etsi Deus velit nos salvos facere, nos autem accedere nolimus, in interitu maneamus ? Non enim invitum, non nolentem, ut sæpe repeto, sed libentem et volentem hominem ut salvum faciat Deus paratus est. Homines quidem famulis volentibus nolentibus dominari et imperare volunt, non ad servorum utilitatem, sed ad suam respicientes : Deus vero qui nemine indiget, cum tibi demonstrare velit se nulla rerum nostrarum indigentem, servitutem nostram expetere, sed ad utilitatem solum nostram respicere ; ac non ad usum suum, sed ad emolumentum nostrum se omnia facere : nisi sponte ac volentes gratiamque servitutis ipsi reddentes accedamus, invitos ac resilientes numquam cogit nec vi adigit ; ut ostendat, non se nobis gratiam servitutis, sed nos ipsi gratiam habituros esse dominii. Hæc itaque cum sciamus, Domini clementiam considerantes, dignum ejus benignitate, quantum facultas erit, vitæ institutum exhibeamus, ut et regnum cœlorum consequamur : quo nos consortes fieri contingat, gratia et humanitate Domini nostri Jesu Christi, cui gloria et imperium, una cum Patre et sancto Spiritu, nunc et semper, et in sæcula sæculorum. Amen.

REPREHENSIO

EORUM, QUI ABERANT AB ECCLESIA, ET COHORTATIO AD PRÆSENTES, UT CURAM GERANT FRATRUM : ET IN PROOEMIUM EPISTOLÆ AD CORINTHIOS, PAULUS VOCATUS (1. *Cor.* 1. 1), ET DE HUMILITATE.

1. *De paucitate auditorum loquitur ; amor propria facit quæ communia. Tabernacula peccatorum domus privatæ.* — Cum ad vestram paucitatem oculos meos converto, et collectis in singulis gregem nostrum minorem fieri cerno, mœreo simul et gaudeo : gaudeo quidem propter vos, qui adestis : mœreo vero propter illos, qui absunt. Nam vos quidem laudibus digni estis, quod nec ipsa paucitas negligentiores vos reddiderit : illi vero criminibus sunt obnoxii, quos neque studium vestrum ad majorem animi promptitudinem excitarit. Propterea beatos vos prædico, et æmulatione dignos censeo, quod nihil vobis illorum nocuerit negligentia : miseros autem illos prædico, et lacrymis prosequor, quod nihil eos studium vestrum potuerit adjuvare. Non enim prophetam audierunt dicentem : *Elegi abjectus esse in domo Dei magis, quam habitare in tabernaculis peccatorum* (*Psal.* 83. 11). Non dixit, Elegi habitare in domo Dei mei, neque versari, neque ingredi : sed, *Elegi abjectus esse.* Licet inter ultimos numerer, boni consulo, hac re conten-

Κυρίῳ. Ἦλθεν εἰς τὴν Σαλαμῖνα τῆς Κύπρου μετὰ ταῦτα ὁ Παῦλος, καὶ εὗρεν ἐκεῖ μάγον τινὰ ἀνθιστάμενον τῷ ὑπάτῳ Σεργίῳ. Ὁ δὲ Παῦλος πλησθεὶς Πνεύματος ἁγίου εἶπε πρὸς αὐτὸν, *Ὦ πλήρης παντὸς δόλου καὶ πάσης ῥαδιουργίας, υἱὲ διαβόλου, οὐ παύσῃ διαστρέφων τὰς ὁδοὺς Κυρίου τὰς εὐθείας;* Ταῦτα ὁ διώκτης. Δοξάσωμεν τοίνυν τὸν μεταβαλόντα αὐτόν. Πρὸ τούτου ἠκούετε ὅτι ἐλυμαίνετο τὴν Ἐκκλησίαν, κατὰ τοὺς οἴκους εἰσπορευόμενος, σύρων τε ἄνδρας καὶ γυναῖκας, παρεδίδου εἰς φυλακήν. Ὁρᾶτε πῶς παῤῥησιάζεται νῦν ὑπὲρ τοῦ κηρύγματος. *Οὐ παύσῃ διαστρέφων*, φησὶ, *τὰς ὁδοὺς Κυρίου τὰς εὐθείας; Καὶ νῦν ἰδοὺ χεὶρ Κυρίου ἐπὶ σὲ, καὶ ἔσῃ τυφλὸς μὴ βλέπων ἕως καιροῦ.* Τὸ φάρμακον τὸ ποιῆσαν αὐτὸν ἀναβλέψαι, τοῦτο ἐπέθηκε καὶ τῷ μάγῳ, ἀλλ' ἔμεινεν ἐπὶ τῆς πηρώσεως ἐκεῖνος· ἵνα μάθῃς ὅτι οὐχ ἡ χλῆσις μόνον προσήγαγε τὸν Παῦλον, ἀλλὰ καὶ ἡ αὐτοῦ ἐκείνου προαίρεσις. Εἰ γὰρ ἡ πήρωσις μόνη τοῦτο ἐποίησεν, ἐχρῆν καὶ ἐπὶ τοῦ μάγου τὸ αὐτὸ γενέσθαι· ἀλλ' οὐκ ἐγένετο. Ἀλλ' ἐκεῖνος μὲν ἐπηροῦτο, ὁ δὲ ἀνθύπατος ἰδὼν τὸ γεγενημένον ἐπίστευσεν. Ἄλλος ἐδέξατο τὸ φάρμακον, καὶ ἄλλος ἀνέβλεψεν. Εἴδετε πόσον ἐστὶν εὐγνωμοσύνη διανοίας, πόσον ἐστὶν ἀπείθεια καὶ σκληροκαρδία. Ἐγένετο πηρὸς ὁ μάγος· κἀκεῖνος μὲν οὐδὲν ἀπώνατο, ἀπειθὴς γὰρ ἦν, ἔγνω δὲ τὸν Χριστὸν ἀνθύπατος. Ἀλλ' ὅτι μὲν ἐκὼν καὶ ἐκ προαιρέσεως προσῆλθεν ὁ Παῦλος, ἱκανῶς ἀποδέδεικται. Βούλομαι δὲ τοῦτον ὑμᾶς ἀκριβῶς εἰδέναι τὸν λόγον, ὅτι μὴ βουλομένους οὐ βιάζεται ὁ Θεὸς, ἀλλὰ βουλομένους ἕλκει. Διὰ τοῦτο γάρ φησιν· *Οὐδεὶς ἔρχεται πρός με, ἂν μὴ ὁ Πατήρ μου ἑλκύσῃ αὐτόν.* Ὁ δὲ ἕλκων, τὸν βουλόμενον ἕλκει, τὸν κάτω κείμενον καὶ χεῖρα ὀρέγοντα. Καὶ ἵνα μάθητε ὅτι οὐδένα βιάζεται, ἀλλ' ἐὰν αὐτὸς θέλῃ, ἡμεῖς δὲ μὴ θέλωμεν, διαπίπτει τὰ τῆς σωτηρίας ἡμῶν, οὐκ ἐπειδὴ ἀσθενὲς αὐτοῦ τὸ βούλημα, ἀλλ' ἐπειδὴ ἀναγκάσαι οὐδένα θέλει, ἀναγκαῖον τοῦτον ἐξετάσαι τὸν λόγον, ἐπειδὴ πολλοὶ πολλάκις προφάσει ῥᾳθυμίας, τούτῳ κέχρηνται τῷ προσχήματι τῆς ἀπολογίας, καὶ παρακαλούμενοι πολλάκις ἐπὶ φώτισμα, ἐπὶ πολιτείας ἀρίστης μεταβολὴν, ἐφ' ἕτερα τοιαῦτα κατορθώματα, εἶτα καὶ ὡς ὀκνοῦντες καὶ ἀναδυόμενοι τοῦτο ἀποκρίνονται, ὅτι Ἐὰν θέλῃ ὁ Θεὸς, πείσει με, καὶ μεταθήσομαι. Καὶ οὐκ ἐγκαλῶ μὲν αὐτοῖς, ἀλλὰ καὶ σφόδρα ἀποδέχομαι, ὅτι καταφεύγουσιν ἐπὶ τὴν [128] βουλὴν τοῦ Θεοῦ· βούλομαι δὲ καὶ τὰ παρ' ἑαυτῶν εἰσφέρειν, καὶ οὕτω λέγειν, Ἐὰν θέλῃ ὁ Θεός. Ἂν γὰρ σαυτὸν ὕπνῳ καὶ ῥᾳθυμίᾳ παραδοὺς, μὴ ἐγχειρῇς μὲν ταῖς ἀγαθαῖς πράξεσι, τὸ δὲ τοῦ Θεοῦ θέλημα προβάλλῃ μόνον, οὐδέποτέ σοι οὐδὲν ἔσται τῶν δεόντων. Ὅπερ γὰρ ἔφην, ἀνάγκῃ καὶ βίᾳ οὐδένα προσάγεταί ποτε ὁ Θεός· ἀλλὰ θέλει μὲν ἅπαντας σωθῆναι, οὐκ ἀναγκάζει δὲ οὐδένα· καθὼς καὶ Παῦλός φησιν, *Ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν.* Πῶς οὖν οὐχ ἅπαντες σώζονται, εἰ θέλει πάντας σωθῆναι; Ἐπειδὴ οὐχ ἁπάντων τὸ θέλημα τῷ θελήματι αὐτοῦ ἕπεται, αὐτὸς δὲ οὐδένα βιάζεται. Οὕτω καὶ πρὸς τὴν Ἱερουσαλὴμ φησιν· *Ἱερουσαλὴμ, Ἱερουσαλὴμ, ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, καὶ οὐκ ἠθελήσατε;* Τί οὖν; *Ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος.* Ὁρᾷς ὅτι, κἂν θέλῃ ὁ Θεὸς σῶσαι, ἡμεῖς δὲ ἑαυτοὺς μὴ ἐπιδῶμεν, μένομεν ἐπὶ τῆς ἀπωλείας; Οὐ γὰρ ἄκοντα, οὐδὲ μὴ βουλόμενον, ὅπερ λέγω πολλάκις, ἀλλ' ἑκόντα καὶ προαιρούμενον παρεσκεύασται σώζειν ὁ Θεὸς τὸν ἄνθρωπον. Ἄνθρωποι μὲν γὰρ καὶ ἑκόντων καὶ ἀκόντων τῶν οἰκετῶν βούλονται [a] εἶναι καὶ δεσπόζειν· οὐ πρὸς τὸ τοῖς οἰκέταις συμφέρον, ἀλλὰ πρὸς τὴν οἰκείαν χρείαν ὁρῶντες αὐτῶν δεσπόζουσιν· ὁ δὲ Θεὸς ἀνενδεὴς ὢν, καὶ βουλόμενός σοι δεῖξαι, ὅτι οὐδενὸς τῶν ἡμετέρων δεόμενος, τῆς δουλείας ἡμῶν ἐφίεται, ἀλλ' εἰς ἓν μόνον σκοπῶν τὸ συμφέρον ἡμῖν, καὶ οὐ τῆς αὐτοῦ χρείας ἕνεκεν, ἀλλὰ τῆς ἡμετέρας ὠφελείας ἅπαντα πράττει, ἂν μὲν ἑκόντες καὶ βουλόμενοι καὶ χάριν αὐτῷ τῆς δουλείας εἰδότες προσέλθωμεν· ἄκοντας καὶ ἀποπηδῶντας οὐκ ἀναγκάζει, οὐδὲ βιάζεται, αὐτὸ τοῦτο δεικνὺς, ὅτι οὐχ αὐτὸς ἡμῖν χάριν τῆς δουλείας, ἀλλ' ἡμεῖς αὐτῷ χάριν τῆς δεσποτείας ἔχειν ὀφείλομεν. Ταῦτ' οὖν εἰδότες, καὶ τὴν τοῦ Δεσπότου φιλανθρωπίαν ἐννοοῦντες, ἀξίαν αὐτοῦ τῆς ἀγαθότητος κατὰ δύναμιν τὴν ἡμετέραν πολιτείαν ἐπιδειξώμεθα, ἵνα καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτύχωμεν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, ἅμα τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[a] Nic aliquid desiderari videtur, v. g. κύριοι.

ΕΠΙΤΙΜΗΣΙΣ

Κατὰ τῶν ἀπολειφθέντων, παραίνεσις πρὸς τοὺς παρόντας, εἰς τὸ κήδεσθαι τῶν ἀδελφῶν, καὶ εἰς τὸ προοίμιον τῆς πρὸς Κορινθίους ἐπιστολῆς, « Παῦλος κλητὸς, » καὶ περὶ ταπεινοφροσύνης.

—

α'. Ὅταν εἰς τὴν ὀλιγότητα ἀπίδω τὴν ὑμετέραν καὶ τὸ ποίμνιον θεάσωμαι καθ' ἑκάστην σύναξιν ἐλαττούμενον, καὶ ἀθυμῶ, καὶ χαίρω· χαίρω μὲν δι' ὑμᾶς τοὺς παρόντας, ἀθυμῶ δὲ δι' ἐκείνους τοὺς ἀπόντας. Ὑμεῖς μὲν γὰρ ἐπαίνων ἄξιοι, οὐδὲ ἀπὸ τῆς ὀλιγότητος ῥᾳθυμότεροι γεφόμενοι· ἐκεῖνοι δὲ ὑπεύθυνοι ἐγκλημάτων, οὐδὲ ἀπὸ τῆς ὑμετέρας [129] σπουδῆς εἰς προθυμίαν διεγειρόμενοι. Διὰ τοῦτο ὑμᾶς μὲν μακαρίζω καὶ ζηλωτοὺς εἶναί φημι, ὅτι οὐδὲν ὑμᾶς παρέβλαψεν ἡ ἐκείνων ὀλιγωρία· ἐκείνους δὲ ταλανίζω καὶ δακρύω, ὅτι οὐδὲν αὐτοὺς ὠφέλησεν ἡ ὑμετέρα σπουδή. Οὐκ ἠκουσαν γὰρ τοῦ προφήτου λέγοντος· *Ἐξελεξάμην παραῤῥιπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν.* Οὐκ εἶπεν, Ἐξελεξάμην κατοικεῖν ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου, οὐδὲ, διατρίβειν, οὐδὲ, εἰσιέναι· ἀλλ', *Ἐξελεξάμην παραῤῥιπτεῖσθαι.* Ἀγαπητόν μοι καὶ ἐν τοῖς ἐσχάτοις τετάχθαι· στέργω ἐν τούτῳ, κἂν τῶν προ-

θύρων ἐπιβῆναι καταξιωθῶ, φησί· μεγίστην ἡγοῦμαι δωρεάν, κἂν με τῶν τελευταίων ἀριθμήσειέ τις ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου. Τὸν κοινὸν Δεσπότην ὁ πόθος ἴδιον ποιεῖται· τοιοῦτον γὰρ ἡ ἀγάπη. *Ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου.* Ὁ φιλῶν οὐχὶ τὸν φιλούμενον μόνον ἐπιθυμεῖ ἰδεῖν, ἀλλὰ καὶ τὸν οἶκον ἐκείνου μόνον, ἀλλὰ καὶ τὸν πυλῶνα· οὐχὶ τὸν πυλῶνα τῆς οἰκίας μόνον, ἀλλὰ καὶ αὐτὸν τὸν στενωπὸν καὶ τὸ ἄμφοδον· καὶ κἂν ἱμάτιον, κἂν ὑπόδημα ἴδῃ τοῦ φιλουμένου, αὐτὸν νομίζει παρεῖναι τὸν φιλούμενον. Τοιοῦτοι ἦσαν οἱ προφῆται· ἐπειδὴ τὸν Θεὸν οὐχ ἑώρων τὸν ἀσώματον, ἑώρων τὸν οἶκον, καὶ διὰ τοῦ οἴκου τὴν ἐκείνου παρουσίαν ἐφαντάζοντο. *Ἐξελεξάμην παραῤῥιπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου μᾶλλον, ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν.* Ἕκαστος τόπος, ἕκαστον χωρίον, πρὸς τὴν σύγκρισιν τοῦ οἴκου τοῦ Θεοῦ, σκήνωμα ἁμαρτωλῶν ἐστι, κἂν δικαστήριον εἴπῃς, κἂν βουλευτήριον, κἂν τὴν ἑκάστου οἰκίαν. Κἂν γὰρ εὐχαὶ γίνωνται ἐκεῖ, κἂν ἱκετηρίαι, ἀλλ' ἀνάγκη καὶ φιλονεικίας γίνεσθαι καὶ μάχας καὶ λοιδορίας, καὶ συλλόγους ὑπὲρ βιωτικῶν φροντίδων· ὁ δὲ οἶκος οὗτος τούτων καθαρεύει πάντων· διὰ τοῦτο, ἐκεῖνα μὲν σκηνώματα ἁμαρτωλῶν, οὗτος δὲ οἶκος τοῦ Θεοῦ· καὶ καθάπερ λιμὴν πνευμάτων καὶ κυμάτων ἀπηλλαγμένος πολλὴν τοῖς ὁρμιζομένοις πλοίοις παρέχει τὴν ἀσφάλειαν, οὕτω δὴ καὶ ὁ τοῦ Θεοῦ οἶκος, ὥσπερ ἀπό τινος χειμῶνος τῶν ἔξωθεν πραγμάτων τοὺς εἰσιόντας ἐξαρπάζων, μετὰ πολλῆς παρέχει τῆς γαλήνης καὶ τῆς ἀσφαλείας ἑστάναι, καὶ τῶν θείων ἀκροᾶσθαι λογίων. Τοῦτο τὸ χωρίον ὑπόθεσίς ἐστιν ἀρετῆς, διδασκαλεῖον φιλοσοφίας· οὐκ ἐν συνάξει μόνον, ὅτε ἀκρόασις Γραφῶν καὶ διδασκαλία πνευματικὴ, καὶ συνέδριον Ἁγίων αἰδεσίμων· ἀλλὰ καὶ ἐν παντὶ τῷ λοιπῷ καιρῷ, ἐπίβηθι τῶν προθύρων μόνον, καὶ εὐθέως ἀπέθου τὰς φροντίδας τὰς βιωτικάς. Εἴσελθε τῶν προθύρων εἴσω, καὶ καθάπερ αὔρα τις πνευματικὴ περίστατα! σου τὴν ψυχήν. Αὕτη ἡ ἡσυχία εἰς φρίκην ἄγει, καὶ διδάσκει φιλοσοφεῖν· ἀνίστησι τὸ φρόνημα, καὶ οὐκ ἀφίησι μεμνῆσθαι τῶν παρόντων, μεθίστησί σε ἀπὸ γῆς εἰς τὸν οὐρανόν. Εἰ δὲ χωρὶς συνάξεως τοσοῦτον τὸ κέρδος τῆς ἐνταῦθα παρουσίας, ὅταν προφῆται πάντοθεν βοῶσιν, ὅταν ἀπόστολοι εὐαγγελίζωνται, ὅταν ὁ Χριστὸς ἐν μέσῳ εἱστήκῃ, ὅταν Πατὴρ ἀποδέχηται τὰ γινόμενα, ὅταν [130] Πνεῦμα ἅγιον παρέχῃ τὴν οἰκείαν ἀγαλλίασιν, πόσης μὲν ὠφελείας ἐμπλησθέντες οἱ παρόντες ἀπέρχονται! οἱ ἀπόντες δὲ πόσην ζημίαν ὑπομένουσιν!

Ἐβουλόμην εἰδέναι ποῦ διατρίβουσιν οἱ τῆς συνάξεως καταφρονήσαντες, τί κατέσχεν αὐτοὺς, καὶ τῆς ἱερᾶς ταύτης τραπέζης ἀπήγαγε, περὶ τίνων ἡ διάλεξις. Μᾶλλον δὲ οἶδα σαφῶς· ἢ γὰρ περὶ ἀτόπων καὶ καταγελάστων πραγμάτων διαλέγονται, ἢ βιωτικαῖς εἰσι προσηλωμένοι φροντίσιν· ἀμφοτέρων δὲ ἡ διατριβὴ συγγνώμης ἀπεστέρηται, καὶ κόλασιν ἔχει τὴν ἐσχάτην. Καὶ περὶ μὲν τῆς προτέρας οὐδὲ λόγου δεῖ, οὔτε ἀποδείξεως· ὅτι δὲ καὶ οἱ τὰ τῆς οἰκίας ἡμῖν προβαλόμενοι πράγματα, καὶ τὴν ἀφόρητον ἐκεῖθεν ἀνάγκην λέγοντες, οὐδὲ οὗτοι δύνανται συγγνώμης τυχεῖν, ἅπαξ τῆς ἑβδομάδος ἐνταῦθα καλούμενοι, καὶ οὐδὲ τότε ἀνεχόμενοι τὰ πνευματικὰ τῶν γηΐνων προτιμῆσαι πραγμάτων, ἀπὸ τῶν Εὐαγγελίων δῆλον. Καὶ γὰρ οἱ κληθέντες ἐπὶ τὸν γάμον τὸν πνευματικὸν, ταύτας προεβάλλοντο τὰς πρόφασεις, ὁ μὲν ὅτι ζεῦγος ὠνήσατο, ὁ δὲ ὅτι ἀγρὸν ἐπριάσατο, ὁ δὲ ὅτι νύμφην ἠγάγετο, ἀλλ' ἐκολάσθησαν ὅμως. Ἀναγκαῖαι μὲν αἱ αἰτίαι· ἀλλ' ὅταν ὁ Θεὸς καλῇ, ἀπολογίαν οὐκ ἔχουσι· μετὰ γὰρ τὸν Θεὸν ἡμῖν πάντα ἀναγκαῖα. Μετὰ τὴν ἐκείνου τιμὴν, τότε τὰ ἄλλα ἀπολαυέτω σπουδῆς. Τίς γὰρ οἰκέτης, εἰπέ μοι, πρὶν ἢ τὴν δεσποτικὴν πληρώσῃ διακονίαν, τῶν κατὰ τὴν ἰδίαν οἰκίαν ἐπιμελήσεταί ποτε; Πῶς οὖν οὐκ ατοπον ἐπ' ἀνθρώπῳ μὲν, ἔνθα ψιλὸν ὄνομα ἡ δεσποτεία, τοσαύτην τοῖς κυρίοις παρέχειν τὴν αἰδῶ καὶ τὴν ὑπακοὴν, τὸν δὲ ἀληθῶς Δεσπότην οὐχ ἡμῶν μόνον, ἀλλὰ καὶ τῶν ἄνω δυνάμεων, μηδὲ τῆς αὐτῆς τοῖς ἡμετέροις συνδούλοις ἀξιοῦν θεραπείας; Εἴθε ἦν δυνατὸν ὑμῖν εἰς τὸ συνειδὸς αὐτῶν εἰσελήλυθέναι, καὶ τότε εἴδετε ἂν καλῶς, πόσων τραυμάτων ἔγεμον, ὅσας ἀκάνθας εἶχον. Καθάπερ γὰρ γῆ, γεωργικῶν οὐκ ἀπολαύουσα χειρῶν, χερσοῦται καὶ ὑλομανεῖ· οὕτω καὶ ψυχὴ, πνευματικῆς οὐκ ἀπολαύουσα διδασκαλίας, ἀκάνθας καὶ τριβόλους ἐκπέμπει. Εἰ γὰρ ἡμεῖς οἱ καθ' ἑκάστην ἡμέραν τῆς τῶν προφητῶν καὶ ἀποστόλων μετέχοντες ἀκροάσεως, μόλις κατέχομεν θυμὸν, μόλις χαλινοῦμεν ὀργὴν, μόλις καταστέλλομεν ἐπιθυμίαν, μόλις ἐκβάλλομεν τηκεδόνα φθόνου, συνεχεῖς ἐπῳδὰς τὰς ἀπὸ τῶν θείων Γραφῶν ἐπᾴδοντες τοῖς ἡμετέροις πάθεσι, μόλις καταστέλλομεν τὰ ἀναίσχυντα θηρία· ἐκεῖνοι οἱ μηδέποτε ταύτης ἀπολαύοντες τῆς ἰατρείας, μηδὲ τῆς θείας ὑπακούοντες φιλοσοφίας, ποίαν σωτηρίας ἐλπίδα ἕξουσιν, εἰπέ μοι; Ἐβουλόμην δύνασθαι δεῖξαι τοῖς ὑμετέροις ὀφθαλμοῖς τὴν ἐκείνων ψυχὴν, καὶ εἴδετε ἂν ῥυπῶσαν, αὐχμῶσαν, κατακεχυμένην, καὶ τεταπεινωμένην, καὶ ἀπαῤῥησίαστον. Ὥσπερ γὰρ τὰ βαλανείων οὐκ ἀπολαύοντα σώματα αὐχμοῦ καὶ ῥύπου γέμει πολλοῦ· οὕτω καὶ ἡ ψυχὴ, διδασκαλίας οὐκ ἀπολαύουσα πνευματικῆς, πολλὴν τῶν ἁμαρτημάτων ἔχει περικειμένην αὐτῇ τὴν κηλῖδα. Καὶ γὰρ βαλανεῖόν ἐστι τὰ ἐνταῦθα πνευματικὸν, τῇ θέρμῃ τοῦ Πνεύματος πάντα ἀποσμῆχον ῥύπον· μᾶλλον δὲ οὐχὶ ῥύπον ἀποσμῆχον μόνον τὸ τοῦ Πνεύματος πῦρ, ἀλλὰ καὶ βαφήν. *Ἐὰν γὰρ ὦσι,* φησὶν, *αἱ ἁμαρτίαι* [131] *ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ·* κἂν μετὰ τῆς αὐτῆς, φησὶν, ἀκριβείας τῶν ἁμαρτημάτων ὁ ῥύπος δάκῃ τῆς ψυχῆς τὴν οὐσίαν, ὡς εἰς ἕξιν βαφῆς ἀκίνητον καταστῆναι, καὶ οὕτως ἐγὼ δύναμαι εἰς τὴν ἐναντίαν αὐτὴν καταστῆσαι ποιότητα· ἀρκεῖ γὰρ νεῦσαι, καὶ πάντα ἀφανίζεται τὰ ἁμαρτήματα.

β'. Ταῦτα λέγω, οὐχ ἵνα ὑμεῖς ἀκούσητε· οὐδὲ γὰρ ὑμεῖς δεῖσθε τῶν φαρμάκων, διὰ τὴν τοῦ Θεοῦ χάριν· ἀλλ' ἵνα ἐκεῖνοι δι' ὑμῶν μάθωσιν. Εἰ δὲ ἐδυνάμην εἰδέναι τοὺς τόπους ἐν οἷς συλλέγονται, οὐκ ἂν ἠνώχλησα τὴν ὑμετέραν ἀγάπην· ἀλλ' ἐπειδὴ ἀδύνατόν μοι ἐνὶ ὄντι τοσοῦτον εἰδέναι δῆμον, ὑμῖν ἐγχειρίζω τῶν ἀδελφῶν τῶν ὑμετέρων τὴν θεραπείαν· ἐπιμελήσασθε τῶν ἀδελφῶν τῶν οἰκείων, ἐπισπάσασθε, καλέσατε. Οἶδα ὅτι πολλάκις τοῦτο ἐποιήσατε· ἀλλ' οὐδὲν τὸ πολλάκις τοῦτο ποιῆσαι, ἀλλ' ἕως τότε ποιῆσαι, ἕως ἂν πείσητε καὶ ἑλκύσητε. Οἶδα ὅτι ἠνωχλήσατε, ὅτι φορτικοὶ πολλάκις ἐνομίσθητε, ὅτι

tus sum, si vel intrare vestibulum mihi concedatur, inquit ; magni beneficii loco duco, si vel in numerum referar postremorum in domo Dei mei. Communem Dominum amor ut proprium sibi vindicat : ea siquidem vis est caritatis. *In domo Dei mei.* Qui amat, non eum tantum videre desiderat quem amat, sed vel solam ejus domum, sed et vestibulum ; neque vestibulum tantum ædium, sed vel angiportum vel vicum, et si vel vestem, vel calceamentum viderit ejus quem amat, ipsum se videre arbitratur quem amat. Sic affecti fuerunt prophetæ : quoniam Deum incorporeum non videbant, domum videbant, et per domum præsentem illum cernere sibi videbantur. *Elegi abjectus esse in domo Dei mei magis, quam habitare in tabernaculis peccatorum.* Quivis locus, quodvis spatium cum domo Dei comparatum tabernaculum est peccatorum, sive forum dixeris, sive curiam, sive domum singulorum. Licet enim preces illic fiant, licet supplicationes, tamen illic contentiones et pugnas et convicia, conventusque fieri de sæcularibus curis necesse est : at hic locus ab his omnibus est immunis ; propterea peccatorum quidem illa sunt tabernacula, hæc vero domus est Dei : et quemadmodum portus a ventis et fluctibus liber multam navibus in eo stationem eligentibus præbet securitatem, sic nimirum et Dei domus tamquam ab externorum negotiorum tempestate abreptos eos, qui intraverint, in multa tranquillitate collocat et securitate, sacrorumque eloquiorum auditionis participes efficit. Hic locus virtutis est occasio, philosophiæ schola : non in collecta solum, dum Scripturæ sacræ recitantur, et doctrina spiritualis porrigitur, ac venerandorum patrum senatus adstat : sed quovis etiam reliquo tempore, vestibula tantum ingredere, tum tu subito sæculares omnes curas depones. Intra in vestibulum, et tamquam aura quædam spiritualis animam tuam afflabit. Hæc tranquillitas horrorem incutit, et philosophari docet : mentem erigit, neque sinit præsentium recordari, a terra in cælum te transfert. Quod si absque collecta tantum quæstum facis, quod hic verseris, quando undique prophetæ clamant, quando apostoli evangelium prædicant, quando stat Christus in medio, quando quæ fiunt suscipit Pater, quando lætitiam suam Spiritus sanctus impertit, quanta qui adsunt utilitate cumulati recedunt, quanto damno afficiuntur qui absunt ?

Dei cultus omnibus rebus præferendus. — Vellem scire ubinam versentur, qui collectæ interesse neglexerunt, quid eos detinuerit, et ab hac sacra mensa revocarit, de quibus inter se colloquantur. Imo vero jam probe novi ; aut enim de absurdis ac ridiculis rebus colloquuntur, aut sæcularibus curis affixi sunt : utraque porro venia digna non est occupatio, et extremo supplicio est obnoxia. Ac de priori quidem neque verba facere opus est, vel demonstrationem afferre : eos vero qui res domesticas nobis objiciunt, et inde se intolerabili urgeri necessitate causantur, ne istos quidem veniam obtinere posse, cum semel in hebdomada huc vocentur, ac ne tum quidem res spirituales terrenis anteferre dignentur, ex evangeliis constat. Nam et illi qui ad spirituales nuptias fuerant invitati, ejusmodi excusationes obtendebant, quod hic quidem jugum emisset, ille vero prædium sibi comparasset, ille sponsam duxisset (*Luc.* 14. 18-20) ; sed puniti sunt tamen. Necessariæ quidem sunt illæ causæ ; sed cum Deus invitat, nulla excusatione sunt dignæ ; Deo namque nobis sunt omnia necessaria posthabenda. Ubi ejus honori fuerit satisfactum, tum in alia studium impendatur. Quis enim, quæso, famulus, antequam domino debitum expleverit ministerium, domui suæ umquam providebit ? An non igitur absurdum est inter homines, ubi nudum nomen est dominatus, tantam heris reverentiam exhibere atque obedientiam ; verum autem Dominum, non nostrum solum, sed supernarum etiam virtutum, ne eodem quidem, quo conservos nostros, cultu et honore dignari ? Atque utinam fieri posset, ut in illorum conscientiam penetraretis, tum vero probe intelligeretis, quot vulneribus scaterent, quot spinas haberent. Ut enim terra, quæ manibus agricolarum exculta non est, deserta fit et sylvescit : haud secus anima, quæ spirituali doctrina non imbuitur, spinas et tribulos producit. Si enim nos qui quotidie lectione prophetarum fruimur et apostolorum, vix impetum animi cohibemus, vix iram frenamus, vix cupiditatem reprimimus, vix invidiæ tabem repellimus, licet assidua carmina ex Scripturis sacris deprompta nostris perturbationibus occinamus, vix impudentes istas bestuas cohibemus : illis quibus numquam ejusmodi est adhibita medicina, neque divinam philosophiam audiverunt, quæ salutis, quæso, spes est reliqua ? Vellem mihi liceret animam illorum oculis vestris subjicere, tum illam et sordidam et squalentem, confusam et abjectam ac pudore suffusam cerneretis. Nam quemadmodum quæ balneis non utuntur corpora squalore ac sordibus multis scatent : ita quæ spirituali doctrina exculta non est anima, multis sordibus peccatorum est obsita. Sunt enim balneum quoddam spirituale quæ hic fiunt, quod calore Spiritus sordes omnes abstergit ; imo vero non sordes tantum Spiritus ignis abstergit, sed etiam colorem. *Si enim fuerint*, inquit, *peccata vestra sicut phœniceum, sicut nivem dealbabo* (*Isai.* 1. 18) ; quamvis non minus tenaciter peccatorum sordes animæ naturæ adhæserint, ac si colorem ex tinctura immobilem contraxisset : ita possum ego contrariam in eam qualitatem inducere : sufficit enim solus nutus meus, ut omnia peccata deleantur.

2: *De fratribus solliciti esse debent ipsius auditores. Non rerum exitum, sed animi propositum Deus spectat ; Exemplum viduæ orantis.* — Hæc a me non eo fine dicuntur, ut vos audiatis : neque enim vel medicamentis indigetis, ob Dei benignitatem et gratiam ; sed ut illi per vos intelligant. Quod si loca scire potuissem, in quibus congregantur, nequaquam molestiam caritati vestræ exhibuissem : sed quoniam fieri nequit, ut ego qui unus sum, tam numerosum populum noverim, vestræ fidei fratrum vestrorum curationem committo : estote de fratribus vestris solliciti, conciliate vobis illos, invitate. Scio vos istud persæpe fecisse,

sed nihil est hoc persæpe fecisse, nisi eo usque faciatis, quoad persuaseritis et allexeritis. Scio vos importunos fuisse, scio molestos sæpenumero visos esse, quod non persuaseritis : ideoque negligentiores redditi estis ; sed consoletur vos Paulus, qui dicit, *Caritas omnia sperat, omnia credit, caritas numquam excidit* (1. *Cor.* 13. 7). Tu quod tui muneris est exsequere : quamvis curationem ille non admittat, tu apud Deum mercedem habes. Nam in terram quidem si semen jeceris, neque spicas produxerit, vacuis necesse est manibus inde discedas : at in anima non ita fit : sed tu quidem sparge doctrinam, et licet illa dictis tuis restiterit, integram nihilominus mercedem habes, nec minorem quam si fuisset persuasa : non enim simpliciter rerum exitum, sed animi propositum eorum qui laborant, attendit Deus, dum præmia solet decernere. Vos igitur hortor, ut quod faciunt, qui studiis theatrorum insaniunt, et in equorum certaminibus, hoc vos quoque faciatis. Quid illi porro faciunt? Jam ab ipsa vespera coeunt, et conveniunt inter se, et ad aliorum domos veniunt sub auroram, aliaque loca sibi designant, ut simul congregati majori cum voluptate ad satanicum spectaculum illud adscendant. Quemadmodum illi rei saluti animæ suæ noxiæ diligentem operam navant, seque mutuo deducunt : ita vos animæ vestræ curam gerite, vosque invicem servate : eumque futura erit collecta, ad ædes perge tui fratris, eumque foris pro vestibulo exspecta, atque egredientem retine : licet ab innumeris necessitatibus urgeatur, ne permittas, neve sinas sæculare aliquod negotium aggredi, priusquam ad ecclesiam illum adduxeris, et integræ collectæ persuaseris interesse : quamvis contendat, quamvis contradicat, quamvis innumeras excusationes obtendat, ne illi credas, nec acquiescas, sed dicens ac docens fore, ut tum illi cætera magis facilia et expedita reddantur, cum absoluta collecta, postquam particeps precum fuerit, patrumque benedictiones acceperit, deinceps ad illa properarit ; atque his ac pluribus aliis verbis cum ipsum devinxeris, ad sacram istam mensam deducito, ut duplicem mercedem obtineas, cum ob tuum, tum ob illius adventum. Omnino si tantum studii tantumque diligentiæ ad illos venandos et alliciendos, qui negligentiores sunt, adhibuerimus, salutem assequemur. Quantumvis enim negligentes sint, et impudentes, et truculenti, assiduitatem propositi vestri reveriti, tandem a negligentia desistent. Neque enim illo judice qui Deum non noverat, neque homines reverebatur, asperiores sunt, quantumvis sint duri ac stupidi : attamen illum crudelem, sævum, ferreum, adamantem illum unius mulieris viduæ constans assiduitas exoravit (*Luc.* 18. 2-5). Quanam igitur venia digni erimus, si, cum mulier vidua crudelem judicem, qui neque Deum timebat, nec homines reverebatur, inflectere potuerit, et ad beneficium conferendum impellere, nos fratres nostros multo illo tolerabiliores multoque modestiores allicere non potuerimus, dum ad propria illos commoda capessenda cohortamur? Hæc sæpe dixi, neque dicere cessabo, donec eos sanos videro, qui ægrotant. Singulis diebus illos quæro, donec opera vestra illos inveniam. A vobis etiam summopere contendo, ut eodem cum animi dolore, cum quo hæc a me nunc dicantur, cum eodem labore negligentiores disquiratis. Non enim mihi tantum, sed et vobis Paulus præcepit, ut membrorum vestrorum curam geratis. *Consolamini* enim, inquit, *invicem in verbis istis, sicut et facitis :* et rursus, *Ædificate alterutrum* (1 *Thes.* 5. 11). Magna quippe merces eos manet, qui de fratribus sunt solliciti, maximumque supplicium illis imminet, qui salutem illorum minime curant et negligunt.

3. *Auditio aut lectio Scripturæ, sine intellectu, nil prosunt ; commonefactio dictorum superius.* — Quamobrem valde confido credoque vos ea quæ diximus magna cum animi alacritate præstituros : quam ob causam hic adhortandi finem faciens, ad Pauli mensam deducere vos conabor. *Paulus vocatus apostolus* (1. *Cor.* 1. 1). Hæc sæpenumero et a vobis audita, et a nobis sunt lecta ; sed non legere tantum, verum etiam intelligere quæ dicuntur oportet : alioqui nullum nobis lucrum ex lectione constabit. Siquidem thesaurus, si superne calcetur, divitias non ostendit ; sed effodiendus est prius, et postquam infra descenderis, omnem deinde quæstum invenies : ita quoque fit in Scripturis ; non sola sufficit lectio ad reconditos bonorum thesauros indicandos, nisi profundum scruteris. Si lectio sufficeret, non dixisset eunucho Philippus : *Putasne intelligis quæ legis* (*Act.* 8. 30)? Si lectio sufficeret, Judæis Christus non dixisset : *Scrutamini Scripturas* (*Joan.* 5. 39) : at is qui scrutatur, non superficie tenus subsistit, sed ad profundum ipsum usque descendit. Etenim in ipso exordio multum sensuum pelagus cerno. Atque in sæcularibus quidem epistolis salutationes quoquo modo fiunt, solum honorem cultumque deferentes : hic vero non ita, sed multa exordium sapientia redundat. Non enim Paulus est qui loquitur, sed qui animam ejus movet Christus. *Paulus vocatus.* Hoc nomen, Paulus, unum quidem est nudumque nomen : sed tantum sensuum thesaurum habet reconditum, quantum experientia comperistis. Nam si recordamini, tres integros dies de solo hoc nomine disseruisse me scitis, dum causas afferrem, ob quas cum Saulus antea vocaretur, Paulus deinde vocatus est, et qua de causa non statim ad fidem conversus hanc appellationem accepit, sed ad multum tempus nomen retinuit, quod illi a principio parentes imposuerant : multamque Dei sapientiam et providentiam ex eo demonstravimus cum erga nos, tum erga sanctos illos exhibitam. Nam si liberis suis homines non temere nomen imponunt, sed vel a patre, vel ab avo, vel a majoribus cæteris nomina mutuantur : multo magis Deus servis suis non sine causa, nec sine ratione aliqua appellationes imposuit, sed majori cum judicio ac sapientia. Siquidem homines in honorem defunctorum, vel ad suam consolationem sæpenumero nominibus mortuorum filios suos appellant, eoque pacto per appellationem liberorum solatium sibi doloris excogitant, quem ex obitu defuncto-

οὐκ ἐπείσατε· καὶ τοῦτο ὑμᾶς ὀκνηροτέρους ἐποίησεν· ἀλλὰ παραμυθείσθω ὑμᾶς ὁ Παῦλος λέγων· *Ἡ ἀγάπη πάντα ἐλπίζει, πάντα πιστεύει, ἀγάπη οὐδέποτε ἐκπίπτει.* Σὺ τὸ σαυτοῦ ποίησον· κἂν ἐκεῖνος μὴ δέξηται τὴν θεραπείαν, σὺ τὸν μισθὸν ἔχεις παρὰ τῷ Θεῷ. Ἐπὶ μὲν γὰρ τῆς γῆς ἂν καταβάλῃς τὰ σπέρματα, καὶ μὴ ἐξενέγκῃ τοὺς ἀστάχυας, χεναῖς ἀνάγκη χερσὶν ἀπελθεῖν· ἐπὶ δὲ τῆς ψυχῆς οὐχ οὕτως· ἀλλὰ σὺ μὲν κατάβαλε τὴν διδασκαλίαν, ἐκείνη δὲ κἂν μὴ πεισθῇ τοῖς λεγομένοις, ἀπηρτισμένον ἔχεις τὸν μισθὸν, καὶ τοσοῦτον, ὅσον ἂν εἰ ἐπείσθη· οὐ γὰρ τῷ τέλει τῶν πραγμάτων ἁπλῶς, ἀλλὰ τῇ γνώμῃ τῶν πονούντων προσέχων ὁ Θεὸς, οὕτω τὰς ἀμοιβὰς ὁρίζειν εἴωθε. Παρακαλῶ οὖν ὑμᾶς, ὅπερ ποιοῦσιν οἱ περὶ τὰ θέατρα μεμηνότες πρὸς τὰς τῶν ἵππων ἀμίλλας, τοῦτο καὶ ὑμεῖς ποιήσατε. Τί δὲ ἐκεῖνοι ποιοῦσιν; Ἀπὸ ἑσπέρας ἀλλήλους [a] συντάσσονται, καὶ εἰς τὰς οἰκίας ἀλλήλων ἀπαντῶσιν ὑπὸ τὴν ἕω, καὶ τόπους ἑτέρους ἑαυτοῖς ἀφορίζουσιν, ἵν' ὁμοῦ συγκροτηθέντες, μετὰ πλείονος ἡδονῆς ἐπὶ τὴν σατανικὴν ἐκείνην ἀνέλθωσι θέαν. Ὥσπερ ἐκεῖνοι κατὰ τῆς ἑαυτῶν σπουδάζουσι ψυχῆς, καὶ ἀλλήλους συγκατασπῶσιν· οὕτως ὑμεῖς προνοήσατε τῆς ἑαυτῶν ψυχῆς, καὶ ἀλλήλους συνδιασώσατε, καὶ συνάξεως μελλούσης γίνεσθαι, ἐπὶ τὴν οἰκίαν ἀπάντησον τοῦ ἀδελφοῦ, καὶ ἀνάμεινον ἔξω τῶν προθύρων, καὶ ἐξελθόντα κάτασχε· κἂν μυρίαι καλῶσιν ἀνάγκαι, μὴ συγχωρήσῃς, μηδὲ ἐπιτρέψῃς ἅψασθαί τινος τῶν βιωτικῶν, πρὶν εἰς τὴν ἐκκλησίαν ἀγαγεῖν καὶ πεῖσαι τῆς συνάξεως μετασχεῖν ἁπάσης· κἂν φιλονεικῇ, κἂν ἀντιλέγῃ, κἂν μυρίας προβάληται προφάσεις, μὴ πεισθῇς, μηδὲ ἀνάσχῃ, ἀλλ' εἰπὼν καὶ διδάξας ὅτι καὶ τὰ ἄλλα αὐτῷ τότε μᾶλλον ἐξευμαρισθήσεται, ὅταν τὴν σύναξιν ἐπιτελέσας, καὶ κοινωνήσας εὐχῶν, καὶ εὐλογιῶν Πατέρων ἀπολαύσας, οὕτω πρὸς ἐκεῖνα [132] βαδίζει, καὶ τούτοις καὶ πλείοσι τούτων ἑτέροις λόγοις καταδήσας αὐτὸν, οὕτως ἄγε πρὸς τὴν ἱερὰν ταύτην τράπεζαν, ἵνα διπλοῦν ἔχῃς τὸν μισθὸν, καὶ ὑπὲρ τῆς ἑαυτοῦ, καὶ ὑπὲρ τῆς ἐκείνου παρουσίας. Πάντως, ἂν τοσαύτῃ καὶ σπουδῇ καὶ προθυμίᾳ περὶ τὴν ἄγραν τῶν ῥᾳθυμοτέρων χρησώμεθα, πιστευξόμεθα τῆς σωτηρίας. Κἂν γὰρ μυριάκις ὦσιν ὀλίγωροι καὶ ἀναίσχυντοι καὶ φονικοὶ, τὸ συνεχὲς ὑμῶν τῆς προαιρέσεως ἐρυθριάσαντες, ἀποστήσονταί ποτε τῆς ῥᾳθυμίας. Οὐ γάρ εἰσιν ἐκείνου τοῦ δικαστοῦ τοῦ τὸν Θεὸν οὐκ εἰδότος οὐδὲ ἀνθρώπους αἰσχυνομένου χαλεπώτεροι, κἂν μυριάκις ὦσιν ἀναίσθητοι· ἀλλ' ὅμως ἐκεῖνοι τὸν ὠμὸν, τὸν ἄγριον, τὸν σιδηροῦν, τὸν ἀδάμαντα μιᾶς γυναικὸς χήρας προσεδρεία συνεχὴς ἐδυσώπησε. Ποίας οὖν κἂν εἴημεν συγγνώμης ἄξιοι, εἰ γυναικὸς χήρας δικαστὴν ὠμὸν, καὶ μήτε τὸν Θεὸν φοβούμενον, μήτε ἀνθρώπους ἐντρεπόμενον, δυνηθείσης ἐπικάμψαι καὶ πεῖσαι δοῦναι τὴν χάριν, ἡμεῖς τοὺς ἀδελφοὺς τοὺς ἀνεκτοτέρους ἐκείνου πολλῷ, καὶ μετριωτέρους ἐκείνου, μὴ δυνηθείημεν ἐφελκύσασθαι, ὑπὲρ τῶν οἰκείων αὐτοὺς παρακαλοῦντες ἀγαθῶν; Ταῦτα πολλάκις εἶπον, καὶ λέγων οὐ πτύσομαι, ἕως ἂν ἴδω τοὺς νοσοῦντας ὑγιαίνοντας.

[a] Savil. in marg. conjicit ἀλλήλοις.

Καθ' ἑκάστην αὐτοὺς ἐπιζητῶ τὴν ἡμέραν, ἕως ἂν δυνηθῶ διὰ τῆς ὑμετέρας σπουδῆς αὐτοὺς εὑρεῖν. Δέομαι δὲ καὶ ὑμῶν, μετὰ τῆς αὐτῆς ὀδύνης, μεθ' ἧς ταῦτα λέγω νῦν, μετὰ τοῦ αὐτοῦ πόνου τὴν ἔρευναν ποιεῖσθαι τῶν ῥᾳθυμοτέρων. Καὶ γὰρ οὐχ ἐμοὶ μόνον, ἀλλὰ καὶ ὑμῖν Παῦλος ἐπέταξε τῶν οἰκείων φροντίζειν μελῶν. *Παρακαλεῖτε* γὰρ, φησὶν, *εἷς τὸν ἕνα ἐν τοῖς λόγοις τούτοις, καθὼς καὶ ποιεῖτε·* καὶ πάλιν· *Οἰκοδομεῖτε ἀλλήλους.* Καὶ γὰρ ὁ μισθὸς μέγας τοῖς τῶν ἀδελφῶν κηδομένοις, καὶ τιμωρία μεγίστη τοῖς ἀμελοῦσι καὶ καταφρονοῦσι τῆς σωτηρίας αὐτῶν.

γ'. Ὅθεν σφόδρα θαῤῥῶ καὶ πεπίστευκα, ὅτι μετὰ πολλῆς τῆς προθυμίας ποιήσετε τὰ εἰρημένα· καὶ διὰ τοῦτο ἐνταῦθα ταύτην τὴν παραίνεσιν στήσας, ἐπὶ τὴν Παύλου τράπεζαν ὑμᾶς ἀγαγεῖν πειράσομαι. *Παῦλος κλητὸς ἀπόστολος.* Ταῦτα πολλάκις καὶ ὑμεῖς ἠκούσατε, καὶ ἡμεῖς ἀνέγνωμεν· ἀλλ' οὐκ ἀναγινώσκειν μόνον, ἀλλὰ καὶ ἐπιγινώσκειν χρὴ τὰ λεγόμενα· ἐπεὶ κέρδος οὐδὲν ἡμῖν ἔσται τῆς ἀναγνώσεως. Καὶ γὰρ θησαυρὸς ἄνωθεν πατούμενος οὐκ ἐνδείκνυται τὸν πλοῦτον, ἀλλὰ χρὴ διορύξαι πρῶτον αὐτὸν, καὶ καταβῆναι κάτω, καὶ οὕτως ἅπασαν τὴν εὐπορίαν εὑρεῖν· οὕτω καὶ ἐπὶ τῶν Γραφῶν· οὐκ ἀρκεῖ μόνον ἡ ἀνάγνωσις δεῖξαι τὸν τῶν ἀποκειμένων ἀγαθῶν θησαυρὸν, ἂν μὴ διερευνήσῃς τὸ βάθος. Εἰ ἦρκει ἀνάγνωσις, οὐκ ἂν εἶπεν ὁ Φίλιππος τῷ εὐνούχῳ, *Ἆρά γε γινώσκεις ἃ ἀναγινώσκεις;* εἰ ἦρκει ἡ ἀνάγνωσις, οὐκ ἂν εἶπεν ὁ Χριστὸς τοῖς Ἰουδαίοις, *Ἐρευνᾶτε τὰς Γραφάς·* ὁ δὲ ἐρευνῶν οὐ μέχρι τῆς ἐπιφανείας ἵσταται, ἀλλὰ πρὸς τὸ βάθος αὐτὸ καταβαίνει. Καὶ γὰρ πολὺ πέλαγος νοημάτων ἐν τοῖς προοιμίοις ὁρῶ. Ἐν μὲν γὰρ ταῖς βιωτικαῖς ἐπιστολαῖς αἱ προσρήσεις ἁπλῶς γίνονται, θεραπείαν ἐμφαίνουσαι μόνον· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ πολλῆς σοφίας γέμει τὸ προοίμιον. Οὐ γὰρ Παῦλός ἐστιν ὁ ψθεγγόμενος, ἀλλ' ὁ κινῶν τὴν ἐκείνου ψυχὴν Χριστός. [133] *Παῦλος κλητός.* Τὸ *Παῦλος* τοῦτο, ὄνομα μέν ἐστιν ἓν, καὶ ψιλὸν ὄνομα· τοσοῦτον δὲ ἔχει νοημάτων θησαυρὸν ἀποκείμενον, ὅσον διὰ τῆς πείρας ἔγνωτε. Εἰ γὰρ δὴ μέμνησθε, ἴστε ὅτι τρεῖς ἡμέρας ὁλοκλήρους ὑπὲρ τοῦ ὀνόματος τούτου διελέχθην μόνον, τὰς αἰτίας λέγων, δι' ἃς πρὸ τούτου Σαῦλος καλούμενος, μετὰ ταῦτα ἐκλήθη Παῦλος, καὶ τίνος ἕνεκεν οὐκ εὐθέως μεταστὰς πρὸς τὴν πίστιν, ἐδέξατο τὴν προσηγορίαν, ἀλλὰ μέχρι πολλοῦ διέμεινεν ἔχων τὸ ὄνομα, ὅπερ ἐξαρχῆς ἔθεντο οἱ γονεῖς· καὶ πολλὴν ἀπὸ τούτου τοῦ Θεοῦ σοφίαν καὶ κηδεμονίαν ἀνεδείκνυμεν, καὶ περὶ ἡμᾶς, καὶ περὶ τοὺς ἁγίους ἐκείνους γεγενημένην. Εἰ γὰρ ἄνθρωποι τοῖς αὐτῶν παιδίοις οὐχ ἁπλῶς ἐπιτιθέασι τὰ ὀνόματα, ἀλλὰ τὸ μὲν ἀπὸ τοῦ πατρὸς, τὸ δὲ ἀπὸ τοῦ πάππου, τὸ δὲ ἀφ' ἑτέρων προγόνων καλοῦντες· πολλῷ μᾶλλον ὁ Θεὸς τοῖς ἑαυτοῦ δούλοις οὐχ ἁπλῶς, οὐδὲ ἄνευ λόγου τινὸς τὰς προσηγορίας ἐπέθηκεν, ἀλλὰ μετὰ πλείονος σοφίας. Ἄνθρωποι μὲν γὰρ εἴς τε τιμὴν τῶν ἀπελθόντων, εἴς τε ἑαυτῶν παραμυθίαν πολλάκις τοῖς τῶν τετελευτηκότων ὀνόμασι τοὺς ἑαυτῶν υἱοὺς καλοῦσι, παραμυθίαν τινὰ τῆς τῶν κατοιχομένων τελευτῆς διὰ τῆς τῶν παίδων προσηγορίας ἐπινοοῦντες· ὁ δὲ Θεὸς ἀρετῆς ὑπόμνησιν καὶ διδασκα-

λίαν, ὥσπερ ἐν στήλῃ χαλκῇ, τῇ προσηγορίᾳ τῶν ἁγίων ἐναποτίθεται.

Τὸν γοῦν Πέτρον ἀπὸ τῆς ἀρετῆς οὕτως ἐκάλεσε, τὴν ἀπόδειξιν τῆς περὶ τὴν πίστιν στερρότητος ἐναποτιθέμενος αὐτοῦ τῷ ὀνόματι, ἵνα ἔχῃ διδάσκαλον διηνεκῆ, τὴν προσηγορίαν, τῆς τοιαύτης στερρότητος. Τοῦτο καὶ τὸν Ἰωάννην καὶ τὸν Ἰάκωβον ἐκάλεσεν, ἀπὸ τῆς κατὰ τὸ κήρυγμα μεγαλοφωνίας. Ἀλλ' ἵνα μὴ πάλιν τὰ αὐτὰ λέγων διενοχλῶ, ταῦτα ἀφεὶς, ἐκεῖνο ἐρῶ, ὅτι καὶ αὐτὰ καθ' ἑαυτὰ λεγόμενα τὰ ὀνόματα τῶν ἁγίων, καὶ τοῖς φιλοθέοις εἰσὶν αἰδέσιμα, καὶ τοῖς ἁμαρτάνουσι φοβερά. Τὸν γοῦν Ὀνήσιμον δραπέτην καὶ κλέπτην γενόμενον, καὶ τῶν δεσποτικῶν ὑφελόμενόν τι χρημάτων, ὑποδεξάμενος ὁ Παῦλος καὶ μεταβαλὼν, καὶ οὕτω πρὸς τὴν ἱερὰν χειραγωγήσας μυσταγωγίαν· εἶτα μέλλων ἀποδιδόναι τῷ δεσπότῃ πάλιν, τοῦτο πρὸς αὐτὸν ἔγραφε· *Διὸ πολλὴν ἐν Χριστῷ παρρησίαν ἔχων ἐπιτάσσειν σοι τὸ ἀνῆκον διὰ τὴν ἀγάπην, μᾶλλον παρακαλῶ, τοιοῦτος ὢν ὡς Παῦλος πρεσβύτης, νυνὶ δὲ καὶ δέσμιος ἐν Χριστῷ Ἰησοῦ.* Ὁρᾷς ὅτι τρία ἐπέθηκε, τὰ δεσμὰ τὰ διὰ τὸν Χριστὸν, τὴν πολιτείαν τὴν ἀπὸ τῆς ἡλικίας, τὴν αἰδῶ τὴν ἀπὸ τῆς προσηγορίας; Ἐπειδὴ γὰρ εἷς ἦν ὁ παρακαλῶν, τριπλοῦν ἐφιλονείκησε ποιῆσαι τὸν ὑπὲρ Ὀνησίμου δεόμενον, τὸν πρεσβύτην [a]. Ὁρᾷς ὅτι καὶ αὐτὰ τὰ ὀνόματα αἰδέσιμα τοῖς πιστοῖς ἐστι καὶ φιλόθεα; Εἰ γὰρ παιδίου φιλουμένου προσηγορία ὀνομασθεῖσα πολλάκις καὶ μὴ βουλόμενον τὸν πατέρα ἔπεισε δοῦναι τὴν χάριν διὰ τὸ πρὸς τὸ ὄνομα φίλτρον, πολλῷ μᾶλλον ἐπὶ τῶν ἁγίων συμβαίνειν τοῦτο εἰκὸς ἦν. Ὅτι δὲ καὶ τοῖς ἁμαρτάνουσι φοβερὰ ἦν, καθάπερ παιδίοις ῥαθυμοῦσι τὰ τῶν διδασκάλων [134] ὀνόματα, ἄκουσον πῶς Γαλάταις ἐπιστέλλων αὐτὸ τοῦτο ἠνίξατο. Ἐπειδὴ γὰρ εἰς ἀσθένειαν ἀπέκλιναν Ἰουδαϊκὴν, καὶ περὶ τὴν πίστιν αὐτὴν ἐκινδύνευον, βουλόμενος αὐτοὺς ἀναστῆσαι καὶ πεῖσαι μηδὲν Ἰουδαϊκὸν εἰσάγειν τῇ τοῦ Εὐαγγελίου διδασκαλίᾳ, οὕτως ἔγραφεν· *Ἰδὲ ἐγὼ Παῦλος λέγω ὑμῖν, ὅτι ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει.* Εἶπες, *Ἐγώ*· τίνος ἕνεκεν προστιθεὶς τὸ ὄνομα; τὸ γὰρ, Ἐγὼ, οὐκ ἦν ἱκανὸν δηλῶσαι τὸν γράφοντα; Ἀλλ' ἵνα μάθῃς ὅτι καὶ αὐτὴ ἡ τοῦ ὀνόματος παρενθήκη ἱκανὴ τῶν ἀκουόντων καθάψασθαι, διὰ τοῦτο προστίθησι τὴν προσηγορίαν, εἰς ὑπόμνησιν αὐτοὺς ἄγων τοῦ διδασκάλου. Καὶ ἡμεῖς δὲ τὸ αὐτὸ τοῦτο πάσχομεν· ὅταν γὰρ ἀναμνησθῶμεν τῶν ἁγίων, κἂν ἐν ῥαθυμίᾳ ὦμεν, διανιστάμεθα, κἂν ἐν καταφρονήσει, φοβούμεθα. Παῦλον γοῦν τὸν ἀπόστολον ὅταν ἀκούσω ἐγὼ, ἐννοῶ τὸν ἐν θλίψεσι, τὸν ἐν στενοχωρίαις, τὸν ἐν πληγαῖς, τὸν ἐν φυλακαῖς, τὸν ἐν τῷ βυθῷ νυχθήμερον γενόμενον, τὸν εἰς τρίτον ἁρπαγέντα οὐρανὸν, τὸν ἐν τῷ παραδείσῳ τὰ ἄρρητα ῥήματα ἀκούσαντα, τὸ σκεῦος τῆς ἐκλογῆς, τὸν νυμφαγωγὸν τοῦ Χριστοῦ, τὸν εὐξάμενον ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν. Καὶ καθάπερ σειρά τις χρυσῆ, τῶν κατορθωμάτων ὁ ὁρμαθὸς μετὰ τῆς τοῦ ὀνόματος μνήμης τοῖς μετὰ ἀκριβείας προσέχουσιν ἐπεισέρχεται· καὶ οὐ μικρὸν ἡμῖν ἀπὸ τούτου γίνεται κέρδος.

[a] Hic legendum videtur τὸν δεσμώτην, τὸν πρεσβύτην, τὸν Παῦλον, ut sensus quadret.

δ'. Ἐνῆν καὶ πλείονα τούτων εἰς τὴν προσηγορίαν εἰπεῖν· ἀλλ' ἵνα καὶ τῆς δευτέρας ἀψώμεθα λέξεως, ἐνταῦθα τὴν περὶ τοῦ ὀνόματος στήσας θεωρίαν, ἐπ' ἐκείνην βαδιοῦμεν λοιπόν. Ὥσπερ γὰρ τὸ *Παῦλος* ὄνομα πολλὴν παρέσχεν ἡμῖν εὐπορίαν, οὕτω καὶ τὸ *Κλητὸς*, εἰ βουληθείημεν αὐτὸ καταμαθεῖν μετὰ τῆς προσηκούσης σπουδῆς, τῆς ἴσης ἢ καὶ πλείονος ἐμπλήσειε θεωρίας ἡμᾶς. Καὶ καθάπερ ἀπὸ κόσμου, ἢ διαδήματος βασιλικοῦ λίθον ἕνα τις ἐξελὼν, καὶ οἰκίας λαμπρὰς καὶ πολυτελεῖς ἀγροὺς, καὶ οἰκετῶν ἀγέλας, καὶ ἕτερα πολλῷ πλείονα τούτων πρίασθαι δύναιτ' ἄν, τὸν μαργαρίτην ἀποδόμενος ἐκεῖνον· οὕτω δὴ καὶ ἐπὶ τῶν θείων ῥημάτων, ἂν μιᾶς ῥήσεως ἔννοιαν ἀναπτύξαι θελήσῃς, πολλήν σοι παρέξει πνευματικῆς εὐπορίας ὑπόθεσιν, οὐχ οἰκίας, οὐδὲ ἀνδράποδα, οὐδὲ πλέθρα γῆς κομίζουσα, ἀλλὰ θεοσεβείας καὶ φιλοσοφίας ἀφορμὰς ἐνιεῖσα ταῖς τῶν προσεχόντων ψυχαῖς. Σκόπει οὖν αὐτὸ τοῦτο τὸ *Κλητὸς*, εἰς ὅσην ἡμᾶς χειραγωγεῖ πραγμάτων ἱστορίαν πνευματικῶν. Δεῖ δὲ πρότερον μαθεῖν, τί ποτέ ἐστιν αὐτὸ τὸ *Κλητός*· καὶ δεύτερον ἐξετάσαι, τίνος ἕνεκεν Κορινθίοις ἐπιστέλλων μόνον καὶ Ῥωμαίοις οὕτως ἔγραψεν, ἄλλῳ δὲ οὐδενί. Οὐ γὰρ ἁπλῶς, οὐδὲ εἰκῇ τοῦτο ποιεῖ. Εἰ γὰρ ἡμεῖς τῶν ἐπιστολῶν τὰς προῤῥήσεις οὐχ ἁπλῶς ποιούμεθα, ἀλλ' ὑποδεεστέροις μὲν ἐπιστέλλοντες, Ὃ δεῖνα τῷ δεῖνι, γράφομεν, ὅταν δὲ ὁμοτίμοις, καὶ δεσπότην ἐν τῇ προῤῥήσει καλοῦμεν τὸν δεχόμενον τὴν ἐπιστολήν· ὅταν δὲ πολὺ τὴν ἀξίαν ὑπερέχωσι τὴν ἡμετέραν, καὶ ἕτερα πλείονα προστίθεμεν [135] ὀνόματα, μείζονα ἔχοντα τὴν θεραπείαν· εἰ οὖν ἡμεῖς τοσαύτῃ προνοίᾳ κεχρήμεθα, καὶ οὐχ ἑνὶ τρόπῳ πᾶσι γράφομεν, ἀλλὰ τῇ διαφορᾷ τῶν δεχομένων προσώπων καταλλήλους ποιούμεθα τὰς προσηγορίας· πολλῷ μᾶλλον ὁ Παῦλος, οὐχ ἁπλῶς, οὐδὲ εἰκῇ τούτοις μὲν οὕτως, ἐκείνοις δὲ ἑτέρως ἐπέστελλεν, ἀλλὰ μετά τινος σοφίας πνευματικῆς. Ὅτι μὲν οὐδενὶ τῶν ἄλλων ἐπιστέλλων, *κλητὸν* ἑαυτὸν ἐν τῷ προοιμίῳ τῆς Ἐπιστολῆς ἐκάλεσεν, ἔξεστιν ἡμῖν αὐτὰς τῶν Ἐπιστολῶν τὰς ἀρχὰς ἐπελθοῦσι τοῦτο μαθεῖν. Τίνος δὲ ἕνεκεν τοῦτο ἐποίει, ἡμέτερον ἂν εἴη λοιπὸν εἰπεῖν, ἐπειδὰν δείξωμεν πρότερον τί ἐστιν ὁ *κλητὸς*, καὶ τί διὰ τῆς ῥήσεως ἡμᾶς διδάξαι ὁ Παῦλος ἠθέλησε ταύτης. Τί ποτ' οὖν ἡμᾶς βούλεται διδάξαι διὰ τοῦ *κλητὸν* ἑαυτὸν καλέσαι; Ὅτι οὐχ αὐτὸς τῷ Δεσπότῃ προσῆλθε πρῶτος, ἀλλὰ κληθεὶς ὑπήκουσεν· οὐχ αὐτὸς ἐζήτησε καὶ εὗρεν, ἀλλ' εὑρέθη πλανώμενος· οὐχ αὐτὸς πρὸς τὸ φῶς ἀνέβλεψε πρῶτος, ἀλλὰ τὸ φῶς τὰς οἰκείας ἀκτῖνας πρὸς τὰς ὄψεις ἀφῆκε τὰς ἐκείνου, καὶ τοὺς ἔξω πηρώσας ὀφθαλμοὺς, οὕτω τοὺς ἔνδοθεν ἤνοιξε. Βουλόμενος οὖν ἡμᾶς παιδεῦσαι ὅτι τῶν κατορθωμάτων αὐτοῦ πάντων οὐδὲν ἑαυτῷ λογίζεται, ἀλλὰ τῷ κεκληκότι Θεῷ, *κλητὸν* ἑαυτὸν καλεῖ. Ὁ γὰρ τὰς πύλας μοι τοῦ σκάμματος ἀνοίξας, φησὶ, καὶ τὸ στάδιον, οὗτος καὶ τῶν στεφάνων αἴτιος γίνεται· ὁ τὴν ἀρχὴν παρασχὼν καὶ τὴν ῥίζαν καταβαλλόμενος, οὗτος καὶ τῶν βλαστησάντων μοι μετὰ ταῦτα καρπῶν παρέσχε μοι τὰς ἀφορμάς. Διὰ τοῦτο καὶ ἀλλαχοῦ πάλιν εἰπὼν, *Πλείονα πάντων ἐκοπίασα*, ἐπήγαγεν, *Οὐκ ἐγὼ δὲ, ἀλλ' ἡ χάρις ἡ σὺν ἐμοί*. Τὸ οὖν *Κλητὸς* ὄνομα οὐδενός ἐστιν ἔνδειξις

rum conceperant : Deus autem memoriam virtutis ac doctrinam tamquam in ærea columna in appellatione sanctorum recondit.

Petri nomen quid designet. Præceptorum nomina veneranda. — Petrum quidem certe a virtute sic vocavit, et in ejus nomine firmitatis fidei argumentum et indicium collocavit, ut appellatione sua, perpetua tamquam magistra quadam ejusmodi firmitatis, utatur (*Matth.* 16. 18). Joannem quoque ac Jacobum a magnitudine vocis in evangelio prædicando nota vocavit. Sed ne eadem rursus memorando molestiam pariat oratio nostra, his omissis illud dicam, ipsa sanctorum nomina seorsim semper religiosis et piis viris veneratione digna esse, ac peccatoribus formidanda. Onesimum quidem certe, qui fugitivus et fur exstiterat, et de pecunia herili quidpiam interverterat, cum suscepisset Paulus, eumque immutasset, atque ita sacris mysteriis initiasset; cum deinceps eum domino suo redditurus esset, hæc ad illum scripsit : *Propter quod multam fiduciam habens in Christo imperandi tibi quod ad rem pertinet propter caritatem, magis obsecro, cum sim talis, ut Paulus senex, nunc autem et vinctus in Christo Jesu* (*Phil. v.* 8. 9). Vides illum addidisse tria, vincula propter Christum, conversationem ob ætatem, et nominis reverentiam? Nam cum unus esset qui obsecrabat, triplicem eum conabatur efficere, qui pro Onesimo supplicabat, vinctum, senem, Paulum. Vides ipsa seorsim nomina veneranda esse fidelibus ac religiosa? Si enim dilecti filioli nomen usurpatum sæpe vel invitum parentem ad conferendum beneficium inflexit ob nominis amorem, multo magis in sanctis id habere locum decebat. Porro formidabilia quoque peccatoribus esse, quemadmodum pigris puerulis nomina magistrorum, audi quo pacto Paulus scribens ad Galatas subindicarit. Nam quoniam ad Judaicam infirmitatem declinarant, et de ipsa fide periclitabantur, cum illos vellet erigere ac illis persuadere, ut in evangelicam doctrinam nihil Judaicum introducerent, ita scripsit : *Ecce ego Paulus dico vobis, quoniam si circumcidamini, Christus vobis nihil proderit* (*Gal.* 5. 2). Dixisti, *Ego* : cur addidisti nomen? Num enim illud, *Ego*, sufficiebat ad eum indicandum qui scribebat? Ut nimirum discas ipsum nominis additamentum ad commovendos auditorum animos suffecisse, propterea nomen addit, ut eis memoriam refricet præceptoris. Idem quoque nobis accidit : cum enim nobis in memoriam sancti revocantur, tametsi desidia torpescimus, excitamur; licet contemnamus, terremur. Paulum quidem certe apostolum cum audio, animo intueor illum, qui in tribulationibus versabatur, in angustiis, in plagis, in carceribus, qui unius diei noctisque spatio in profundo maris fuit, qui tertium raptus in cælum fuit, qui in paradiso verba audivit arcana, vas electionis, Christi paranymphum, qui a Christo anathema esse pro fratribus optavit. Itaque tamquam aurea quædam catena recte factorum turba cum nominis memoria sese ingerit iis, qui diligenter attenderint : neque mediocre inde lucrum decerpitur.

4. *De dictione*, Vocatus, *agit; salutationes præmittuntur epistolis.* — Potuissemus his etiam plura de nomine dicere : sed ut secundam quoque dictionem attingamus, hic finita de nomine contemplatione, deinceps gradum ad illam faciemus. Ut enim nomen, *Paulus*, multum nobis lucri comparavit, ita et illud *Vocatus*, si convenienti studio velimus illud indagare, non minori vel etiam majori nos contemplatione complebit. Et quemadmodum si quis ex mundo aureo vel regio diademate lapillum unum eximat, et domos splendidas, et agros magni pretii, ac famulorum greges aliaque multo his majora coemere poterit, illa margarita divendita : ita quoque fiet in verbis sacris : si unius dictionis sensum velis evolvere, multam spiritualis tibi quæstus materiam præbebit; non quod domos aut mancipia vel terræ jugera tibi comparet, sed quod pietatis ac philosophiæ occasiones afferat eorum animabus, qui attenti ac seduli fuerint. Ipsum igitur illud, *Vocatus*, considera ad quantam spiritualium rerum historiam nos deducat. Prius autem illud discendum est, quid sit illud ipsum, *Vocatus*, ac deinde scrutandum, quam tandem ob causam ad Corinthios solum et ad Romanos (*Rom.* 1. 1), non ad ullum alium literas mittens ita scripserit. Neque enim sine causa vel temere id facit. Nam si nos epistolis non temere inscriptiones præfigimus, sed si ad inferiores literas mittamus, Talis tali, scribimus; cum autem ad æquales, etiam dominum in inscriptione vocamus eum, qui epistolam recipit; cum vero nostram dignitatem longe excedunt, alia quoque plura adjicimus nomina, quæ majorem cultum et honorem præ se ferant. Quod si nos tantam curam adhibemus, neque eodem modo ad omnes scribimus, sed pro varietate personarum quæ literas recipiunt, convenientes appellationes præmittimus : multo magis Paulus non temere, aut sine causa hoc modo ad hos, ad illos alio modo scribebat, sed cum aliqua spirituali sapientia. Ac nulli quidem alteri mittentem literas *vocatum* eum in exordio epistolæ seipsum appellasse, decursis ipsis epistolarum initiis discere possumus. Cur autem id ageret, jam nostrum est dicere, si prius quid sit, *vocatus*, demonstraverimus, quidque nos per hanc dictionem docere Paulus voluerit. Quid ergo docere nos vult Paulus, cum seipsum *vocatum* appellat? Se nimirum priorem ad Dominum non accessisse, verum vocatum obedivisse : non ipsum quæsivisse atque invenisse, sed cum aberrasset, inventum esse : non ipsum ad lucem respexisse primum, sed lucem radios suos in ejus palpebras vibrasse, et exterioribus oculis orbato, interiores deinde esse reseratos. Cum igitur docere nos vellet, se nullum ex suis recte factis omnibus sibiipsi tribuere, sed Deo qui vocavit, seipsum *vocatum* appellat. Nam qui stadii mihi fores aperuit, inquit, et scammatis, ille coronarum etiam est auctor : qui præbuit initium et radicem plantavit, hic mihi fructuum, qui deinde germinarunt, occasiones suppeditavit. Quapropter alibi quoque rursus cum dixisset, *Plus omnibus laboravi*, subjunxit, *Non ego autem, sed gratia, quæ mecum est* (1. *Cor.* 15. 10). Itaque nomen illud, *Vocatus*,

aliud nihil indicat, nisi Paulum nihil ex suis recte factis sibi proprium arbitrari, sed omnia Domino Deo tribuere. Quod utique Christus discipulos suos docebat dicens, *Non vos me elegistis, sed ego elegi vos* (*Joan.* 15. 16); atque apostolus istud ipsum rursus in eadem innuit epistola, cum ait : *Tunc cognoscam, sicut et cognitus sum* (1. *Cor.* 13. 12) : nunc enim, inquit, non ego prior cognovi, sed prior sum cognitus. Dum enim persequeretur et popularetur Ecclesiam, Christus eum vocavit dicens, *Saule, Saule, quid me persequeris* (*Act.* 9. 4)? propterea *vocatum* seipsum appellat. Quam ob causam ad Corinthios ita scribebat? Corinthus hæc metropolis est Achaiæ, ac spiritualibus donis abundabat, et merito sane : siquidem prima Pauli potita est lingua; et quemadmodum vitis quæ ab optimo ac diligenti agricola excolitur, multis luxuriat foliis, multis fructibus semper oneratur : ita nimirum et urbs illa cum tamquam optimum agricolam Pauli doctrinam prima esset experta, ejusque sapientia longo tempore se oblectasset, bonis omnibus florebat; neque vero spiritualibus tantum donis abundabat, sed et commoda sæcularia illi affatim suppetebant. Nam et profanæ eruditionis sapientia, et divitiis, et potentia cæteris urbibus antecellebat. Atque his illa inflabatur, et in superbiam efferebatur, et per superbiam in varias partes divisa est.

Arrogantia mala; Corinthii primi Pauli doctrina excultι. Profana sapientia non confert ad pietatem. — Ea quippe natura est arrogantiæ : caritatis vincula disrumpit et proximum avellit, et efficit ut seorsim apud se degat is, qui ab illa correptus fuerit. Et sicut paries, qui intumuerit, ædificium destruit : sic anima inflata ferre non potest se cum altero copulari : quod et Corintho tum evenit : inter se dissidebant, et in multas partes Ecclesiam dividebant : atque innumeros sibi alios doctores cum præfecissent, in curias et classes distributi dignitatem Ecclesiæ pessumdabant. Dignitas enim est Ecclesiæ, cum illi qui congregati sunt, optime inter se concordiam pacemque conservant.

5. Hæc autem omnia vobis demonstranda sunt, et Corinthios Pauli doctrina tum excultos fuisse primos, eos donis spiritualibus divites fuisse, et commodis sæcularibus antecelluisse, atque idcirco in superbiam elatos a se invicem esse divulsos, et hos quidem his, illos autem illis sese addixisse. Ut igitur intelligas primos eos doctrina Pauli excultos fuisse, audi quo pacto idipsum indicet Paulus : *Nam si multos*, inquit, *pædagogos habeatis in Christo, sed non multos patres. Nam in Christo Jesu per evangelium ego vos genui* (1. *Cor.* 4. 15) : atqui is qui gignit, primus in lucem producit quod genitum est. Et rursus, *Ego plantavi, Apollo rigavit* (1. *Cor.* 3. 6) : ostendens a se primum sparsam esse doctrinam. Porro donis eos spiritualibus redundasse inde constat : *Gratias ago Deo ob gratiam Dei, quæ data est vobis in Christo Jesu, quod in omnibus divites facti estis in illo, ita ut nihil vobis desit in ulla gratia* (1. *Cor.* 1. 4. 5). Et vero profanæ illos sapientiæ fuisse participes, satis nobis declaravit multis illis longisque sermonibus, quibus in sapientiam illam invehitur. Cum enim alia in epistola non facile id præstitisse reperiatur, hic prolixa illos accusatione insectatur : ac merito sane. Nam quoniam hinc tumor et fastus exortus est, illic etiam sectionem admovit sic dicens : *Non enim misit me Christus baptizare, sed evangelizare : non in sapientia verbi, ut non evacuetur crux Christi* (1. *Cor.* 1. 17). Vide quam acriter profanam sapientiam accuset, quod non modo nihil ad pietatem conferre videatur, sed etiam impedimentum et obstaculum fiat. Ut enim præclara corpora, et formosi pulchrique vultus, si quod ornatus exterius additamentum admittant, suæ pulchritudinis gloriam minuunt, quod fuci et pigmenta, et reliqua ejusmodi lenocinia et artificia formæ laudem divisam ad se trahant : quod si nihil eis addideris, pulchritudinem eorum magis detegis, dum sola forma decertat, et integra laude et commendatione perfruitur : ita fit in religione, et spirituali sponsa : si quid externum illi adjungas, sive divitias, sive potentiam, sive eruditionis vim, gloriam ejus perdis, nec sinis ut integra laus ejus appareat, sed in multas partes ejus gloriam dividis : sin eam solam sinas simplicem nudamque certare, amotis omnibus rebus humanis, tunc maxime pulchritudo ejus omnis apparebit, tunc invicta virtus ejus elucebit, cum neque divitiis indigens, neque sapientia, neque potentia, neque nobilitate, neque aliis ullis rebus humanis, omnia superare potuerit et subigere, dum per homines viles, abjectos, egenos, pauperes, idiotas, impiis oratoribus, philosophis, tyrannis, et universo terrarum orbe superior evadit.

Humana sapientia confunditur. — Propterea Paulus quoque dicebat : *Non veni per sublimitatem sermonis annuntians vobis testimonium Dei* (1. *Cor.* 2. 1) : et, *Quæ stulta sunt mundi elegit Deus, ut confundat sapientes* (1. *Cor.* 1. 27). Non simpliciter dixit, Quæ stulta sunt, sed, *Quæ stulta sunt mundi*; neque omnino quod, *Quæ stulta sunt mundi*, sint etiam stulta apud Deum : sed multi ex illis qui videntur hic esse insipientes, apud Deum sunt omnibus aliis sapientiores : quemadmodum nimirum multi qui egestate hic premuntur, omnibus apud Deum sunt opulentiores. Quandoquidem Lazarus etiam ille cum omnium pauperrimus esset in mundo, ditissimus omnium erat in cælis (*Luc.* 16. 20. *sqq.*). Stultitiam igitur mundi appellat eos, quibus lingua non est diserta, qui profana sapientia non sunt imbuti, qui eloquentia minime pollent. Et hos *Elegit*, inquit, *Deus, ut sapientes confundat.* Quo vero pacto, quæso, per hos illi confunduntur? Per ipsam rerum experientiam. Cum enim foris sedentem ac mendicantem viduam, ac sæpenumero corporis membris mutilatam de immortalitate animæ interrogaveris, de resurrectione corporum, de providentia Dei, de retributione pro meritis, de ratione illic reddenda, de tremendo judicio, de repositis eis, qui recte se gesserint, bonis, de suppliciis quæ peccatoribus Deus comminatus est, de aliis omnibus : cumque illa valde accurate magna cum fiducia et securitate responderit; philosophus autem et qui plu-

ἑτέρου, ἢ τὸ μηδὲν οἰκεῖον νομίζειν εἶναι Παῦλον τῶν οἰκείων κατορθωμάτων, ἀλλὰ πάντα ἀνατιθέναι τῷ Δεσπότῃ Θεῷ. Ὅπερ οὖν καὶ ὁ Χριστὸς τοὺς μαθητὰς ἐδίδασκε λέγων, *Οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς*· καὶ ὁ Ἀπόστολος τὸ αὐτὸ τοῦτο πάλιν ἐπὶ τῆς αὐτῆς Ἐπιστολῆς αἰνίττεται λέγων· *Τότε δὲ ἐπιγνώσομαι, καθὼς καὶ ἐπεγνώσθην*· νῦν γὰρ, φησὶν, οὐκ ἐγὼ πρῶτος ἐπέγνων, ἀλλ' αὐτὸς ἐπεγνώσθην πρῶτος. Διώκοντα γὰρ αὐτὸν καὶ πορθοῦντα τὴν Ἐκκλησίαν ὁ Χριστὸς ἐκάλεσε, λέγων· *Σαῦλε, Σαῦλε, τί με διώκεις;* Διὰ τοῦτο *κλητὸν* ἑαυτὸν καλεῖ. Τίνος ἕνεκεν Κορινθίοις οὕτως ἐπέστελλεν; Ἡ Κόρινθος αὕτη τῆς Ἀχαΐας μητρόπολίς ἐστι, καὶ πνευματικοῖς ἐκόμα χαρίσμασι· καὶ μάλα εἰκότως· τῆς γὰρ Παύλου γλώττης πρώτη ἀπήλαυσε, καὶ καθάπερ ἄμπελος, ἀρίστου τινὸς καὶ ἐπιμελοῦς ἀπολαύουσα γεωργοῦ, πολλοῖς μὲν κομᾷ τοῖς φύλλοις, πολλῷ δὲ τῷ καρπῷ βρίθει διηνεκῶς· οὕτω δὴ καὶ ἡ πόλις ἐκείνη, ὥσπερ τινὸς ἀρίστου γεωργοῦ, τῆς Παύλου διδασκαλίας μετασχοῦσα πρώτη, καὶ ἐπὶ πολὺν ἐντρυφήσασα χρόνον τῇ τούτου σοφίᾳ, πᾶσιν ἐτέθηλει τοῖς ἀγαθοῖς· οὐ πνευματικῶν δὲ αὕτη [a] χαρισμάτων περιουσία μόνη ἦν, ἀλλὰ καὶ βιωτικῶν πλεονεκτημάτων πολλὴν εἶχε τὴν ἀφθονίαν. Καὶ γὰρ σοφίᾳ λόγων τῶν ἔξωθεν, καὶ πλούτῳ καὶ δυναστείᾳ τῶν ἄλλων ἐκράτει πόλεων. Καὶ ταῦτα αὐτὴν ἐφύσησε καὶ πρὸς ἀπόνοιαν ἦρε, καὶ διὰ τῆς ἀπονοίας εἰς πολλὰ διέστησε μέρη.

Τοιαύτη γὰρ τῆς ὑπερηφανίας ἡ φύσις· τὸν τῆς ἀγάπης διαῤῥήγνυσι σύνδεσμον, καὶ τὸν πλησίον ἀποσχίζει, [136] καὶ καθ' ἑαυτὸν ἕκαστον εἶναι ποιεῖ τὸν κεκτημένον αὐτήν. Καὶ καθάπερ τοῖχος φυσηθεὶς διαλύει τὴν οἰκοδομὴν, οὕτω δὴ καὶ ψυχὴ φυσηθεῖσα τῆς πρὸς ἕτερον συναφείας οὐκ ἀνέχεται, ὃ δὴ καὶ ἡ Κόρινθος ἔπαθε τότε· καὶ πρὸς ἀλλήλους διεστασίαζον, καὶ εἰς πολλὰ μέρη τὴν Ἐκκλησίαν κατέτεμον, καὶ μυρίους ἑαυτοῖς ἑτέρους ἐπέστησαν διδασκάλους, καὶ κατὰ φρατρίας καὶ συμμορίας γενόμενοι ἐλυμήναντο τὸ τῆς Ἐκκλησίας ἀξίωμα. Ἐκκλησίας γὰρ ἀξίωμα, ὅταν σώματος ἀκολουθίαν πρὸς ἑαυτοὺς οἱ συλλεγόμενοι διατηρῶσι.

ε'. Δεῖ δὲ ταῦτα ἀποδεῖξαι ὑμῖν πάντα, ὅτι πρῶτοι Παύλου τῆς διδασκαλίας Κορίνθιοι τότε ἀπήλαυσαν, ὅτι χαρισμάτων ἦσαν πνευματικῶν πεπληρωμένοι, ὅτι καὶ βιωτικοῖς πλεονεκτήμασιν ἐκράτουν, ὅτι διὰ ταῦτα ἀπονοηθέντες ἀλλήλοις ἀπερράγησαν, καὶ οἱ μὲν τούτοις, οἱ δὲ ἐκείνοις προσένεμον ἑαυτούς. Ὅτι μὲν οὖν πρῶτοι τῆς Παύλου διδασκαλίας ἀπήλαυσαν, ἄκουσον πῶς αὐτὸ τοῦτο ὁ Παῦλος ᾐνίξατο· *Ἐὰν* γὰρ, φησὶ, *πολλοὺς παιδαγωγοὺς ἔχητε ἐν Χριστῷ Ἰησοῦ, ἀλλ' οὐ πολλοὺς πατέρας. Ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ Εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα*· ὁ δὲ γεννήσας πρῶτος εἰς φῶς ἄγει τὸ τεχθέν. Καὶ πάλιν, *Ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισε*· δεικνὺς ὅτι πρῶτος τὴν διδασκαλίαν κατεβάλλετο. Ὅτι δὲ χαρίσμασιν ἐκόμων πνευματικοῖς, ἐκεῖθεν δῆλον· *Εὐχαριστῶ τῷ Θεῷ μου ἐπὶ τῇ χάριτι τοῦ Θεοῦ, τῇ δοθείσῃ ὑμῖν ἐν Χριστῷ Ἰησοῦ, ὅτι ἐν παντὶ ἐπλουτίσθητε ἐν αὐτῷ, ὥστε ὑμᾶς μὴ ὑστερεῖσθαι ἐν μηδενὶ χαρίσματι.* Καὶ μὴν ὅτι σοφίας μετεῖχον τῆς ἔξωθεν, ἐξ ὧν πολλοὺς καὶ μακροὺς κατὰ τῆς σοφίας ἀποτείνει λόγους, δῆλον ἡμῖν ἐποίησεν. Οὐδαμοῦ γὰρ αὐτὸ ταχέως ἐν ἑτέρᾳ ποιήσας Ἐπιστολῇ, ἐνταῦθα καὶ πολλῇ κέχρηται τῇ κατηγορίᾳ· καὶ μάλα εἰκότως. Ἐπειδὴ γὰρ ἐντεῦθεν ἡ φλεγμονὴ γέγονεν, ἐκεῖ καὶ τὴν τομὴν ἐπήγαγεν, οὕτω λέγων· *Οὐ γὰρ ἀπέστειλέ με Χριστὸς βαπτίζειν, ἀλλ' εὐαγγελίζεσθαι, οὐκ ἐν σοφίᾳ λόγου, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ.* Ὅρα πόση κατηγορία τῆς ἔξωθεν σοφίας, ὅτι μὴ μόνον μηδὲν φαίνεται συντελοῦσα πρὸς τὴν εὐσέβειαν, ἀλλὰ καὶ ἐμπόδισμα καὶ κώλυμα γίνεται. Καθάπερ γὰρ τὰ λαμπρὰ τῶν σωμάτων, καὶ τῶν ὄψεων εὐειδεῖς καὶ καλαὶ, ἂν μέν τινα καλλωπισμοῦ προσθήκην ἔξωθεν λάβωσιν, εἰς τὴν τῆς οἰκείας εὐμορφίας βλάπτονται δόξαν, τῶν ὑπογραμμάτων καὶ τῶν ὑπογραφῶν καὶ τῆς ἄλλης ἐπιτεχνήσεως μεριζομένων πρὸς ἑαυτὰς τὸν τοῦ κάλλους ἔπαινον· ἂν δὲ μηδὲν ἐπαγάγῃς αὐταῖς, μᾶλλον αὐτῶν ἐκφαίνεις τὴν εὐμορφίαν, γυμνῆς καθ' ἑαυτὴν τῆς ὥρας ἀγωνιζομένης, καὶ ὁλόκληρον καρπουμένης τὸ θαῦμα· οὕτω καὶ ἐπὶ τῆς εὐσεβείας καὶ τῆς νύμφης τῆς πνευματικῆς, ἂν μέν τι τῶν ἔξωθεν ἐπεισαγάγῃς αὐτῇ, ἢ πλοῦτον, ἢ δυναστείαν, ἢ λόγων ἰσχὺν, ἐκένωσας τὴν δόξαν αὐτῆς, οὐκ ἄρεις ὁλόκληρον αὐτῆς φανῆναι τὸ θαῦμα, ἀλλ' εἰς πολλὰ καταμερίσας αὐτῆς τὴν δόξαν· ἐὰν δὲ ἀφῇς γυμνὴν καθ' ἑαυτὴν ἀγωνίζεσθαι, πάντα ἀποστήσας τὰ ἀνθρώπινα, τότε ἀκριβῶς αὐτῆς φανεῖται τὸ κάλλος ἅπαν, τότε ἐκλάμψει σαφῶς ἡ ἄμαχος ἰσχὺς, ὅταν μήτε πλούτου, μήτε σοφίας, μήτε δυναστείας, μήτε εὐγενείας, μήτε ἄλλου [137]τινὸς τῶν ἀνθρωπίνων δεηθεῖσα, πάντων δύνηται κρατεῖν καὶ περιγίνεσθαι, δι' ἀνθρώπων εὐτελῶν καὶ ταπεινῶν καὶ πεπορημένων καὶ πενήτων καὶ ἰδιωτῶν, καὶ ἀσεβῶν ῥητόρων καὶ φιλοσόφων καὶ τυράννων, καὶ τῆς οἰκουμένης κρατοῦσα ἁπάσης.

Διὸ καὶ Παῦλος ἔλεγεν· *Οὐκ ἦλθον καθ' ὑπεροχὴν λόγου, κηρύττων ὑμῖν τὸ μαρτύριον τοῦ Θεοῦ*· καὶ, *Τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεὸς, ἵνα καταισχύνῃ τοὺς σοφούς.* Οὐχ ἁπλῶς εἶπε, τὰ μωρὰ, ἀλλὰ, *Τὰ τοῦ κόσμου μωρά*· οὐ πάντως δὲ, ὅτι *τὰ τοῦ κόσμου μωρὰ*, καὶ παρὰ τῷ Θεῷ μωρά· ἀλλὰ πολλοὶ τῶν ἐνταῦθα δοκούντων εἶναι ἀνοήτων, παρὰ τῷ Θεῷ πάντων εἰσὶ τῶν ἄλλων σοφώτεροι· ὥσπερ οὖν καὶ πολλοὶ τῶν ἐν πενίᾳ ζώντων ἐνταῦθα, πάντων εἰσὶν εὐπορώτεροι παρὰ τῷ Θεῷ. Ἐπεὶ καὶ ὁ Λάζαρος ἐκεῖνος πάντων πτωχότερος ὢν ἐν τῷ κόσμῳ, πάντων ἦν εὐπορώτερος ἐν τοῖς οὐρανοῖς. Μωρίαν τοίνυν τοῦ κόσμου καλεῖ τοὺς οὐκ ἔχοντας γλῶτταν ἠκονημένην, τοὺς τῆς ἔξωθεν οὐ μετεσχηκότας σοφίας, τοὺς εὐγλωττίας ἀπεστερημένους. *Καὶ τούτους ἐξελέξατο*, φησὶν, *ὁ Θεὸς, ἵνα καταισχύνῃ τοὺς σοφούς.* Καὶ πῶς, εἰπέ μοι, διὰ τούτων ἐκεῖνοι καταισχύνονται; Διὰ τῆς τῶν πραγμάτων πείρας. Ὅταν γὰρ τὴν χήραν τὴν ἔξω καθημένην καὶ προσαιτοῦσαν, πολλάκις δὲ καὶ τὸ σῶμα ἀνάπηρον οὖσαν ἐξετάσῃς περὶ ἀθανασίας ψυχῆς, περὶ σωμάτων ἀναστάσεως, περὶ προνοίας Θεοῦ, περὶ τῆς κατ' ἀξίαν ἀντιδόσεως, περὶ τῶν εὐθυνῶν τῶν ἐκεῖ, περὶ τοῦ φοβεροῦ δικαστηρίου, περὶ τῶν ἀποκειμένων τοῖς κατορθοῦσιν ἀγαθῶν, περὶ τῶν ἠπειλημένων τοῖς ἁμαρτάνουσι τιμωριῶν, περὶ τῶν ἄλλων ἁπάντων· εἶτα μετὰ ἀκριβείας ἀποκρίνεται καὶ πληροφορίας πολλῆς· ὁ δὲ φιλόσοφος καὶ μέγα ἐπὶ κόμῃ καὶ βακτηρίᾳ

[a] Placet nota marginalis Savilii conjicientis αὐτῇ. Edit.

φρονῶν, μετὰ τοὺς παλλοὺς καὶ μακροὺς τῶν λόγων διαύλους, μετὰ τὰς πολλὰς καὶ ἀκαίρους ἀδολεσχίας, μηδὲ χάνειν δύναται, μηδὲ διᾶραι στόμα περὶ τούτων ἔχει· τότε γνώσῃ καλῶς, πῶς *Ἐξελέξατο τὰ μωρὰ τοῦ κόσμου ὁ Θεὸς, ἵνα καταισχύνῃ τοὺς σοφούς.* Ἅπερ γὰρ ἐκεῖνοι δι' ἀπόνοιαν καὶ ὑπερηφανίαν οὐκ ἠδυνήθησαν εὑρεῖν, τῆς μὲν τοῦ Πνεύματος ἑαυτοὺς ἀποστήσαντες διδασκαλίας, τοῖς δὲ οἰκείοις λογισμοῖς τὸ πᾶν ἐπιῤῥίψαντες, ταῦτα οἱ πτωχοὶ καὶ ἀπερῤῥιμμένοι, καὶ τῆς ἔξωθεν ἀπεστερημένοι παιδεύσεως, μετὰ ἀκριβείας ἔμαθον ἅπαντα, τῆς ἐκ τῶν οὐρανῶν ἐξαρτήσαντες ἑαυτοὺς διδασκαλίας. Οὐκ ἐνταῦθα δὲ μόνον ἵσταται κατηγορῶν τῆς ἔξωθεν σοφίας, ἀλλὰ καὶ ἕτερα τούτων πλείονα προστίθησι λέγων· *Ἡ σοφία τοῦ κόσμου τούτου μωρία παρὰ τῷ Θεῷ·* καὶ παραινῶν τοῖς ἀκούουσι πάλιν μετὰ πάσης αὐτοῖς ἀτιμίας καὶ σφοδρότητος ἔλεγεν· *Εἴ γάρ τις δοκεῖ, φησὶν, ἐν ὑμῖν σοφὸς εἶναι ἐν τῷ αἰῶνι τούτῳ, μωρὸς γενέσθω, ἵνα γένηται σοφός·* καὶ πάλιν· *Γέγραπται, Ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω·* καὶ πάλιν, *Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων, ὅτι εἰσὶ μάταιοι.*

ς'. Ἀλλ' ὅτι μὲν σοφίας μετεῖχον οἱ Κορίνθιοι, δῆλον ἐκ τούτων· ὅτι δὲ μέγα ἐφρόνουν καὶ ἐφυσῶντο, πάλιν ἐξ αὐτῆς τῆς Ἐπιστολῆς ἐστι φανερόν. Κατηγορήσας γάρ που τοῦ πεπορνευκότος, ἐπήγαγε λέγων· [138] *Καὶ ὑμεῖς δὲ πεφυσιωμένοι ἐστέ.* Ὅτι δὲ ἐκ τῆς ἀπονοίας πρὸς ἀλλήλους ἤριζον, καὶ αὐτὸ τοῦτο ἐδήλωσε πάλιν εἰπών· *Ὅπου γὰρ ἐν ὑμῖν ἔρις καὶ ζῆλος καὶ διχοστασίαι, οὐχὶ σαρκικοί ἐστε, καὶ κατὰ ἄνθρωπον περιπατεῖτε;* Καὶ τίς ὁ τῆς ἔριδος τρόπος; Εἰς πολλοὺς ἄρχοντας κατέτεμον ἑαυτοὺς, καὶ διὰ τοῦτό φησι· *Λέγω δὲ τοῦτο, ὅτι ἕκαστος ὑμῶν φησιν· Ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλῶ, ἐγὼ δὲ Κηφᾶ.* Ταῦτα ἔλεγεν, οὐχ ἐπειδὴ Παύλῳ καὶ Κηφᾷ καὶ Ἀπολλῷ προσένεμον ἑαυτοὺς, ἀλλὰ τοῖς ὀνόμασι τούτοις ἀποκρύψαι βούλεται τοὺς τῆς στάσεως αἰτίους γεγενημένους, ὥστε μὴ φανεροὺς καταστήσας, φιλονεικοτέρους ποιῆσαι, καὶ εἰς μείζονα ἀναισχυντίαν ἀγαγεῖν. Ὅτι γὰρ οὐ Παύλῳ καὶ Πέτρῳ καὶ Ἀπολλῷ προσένεμον ἑαυτοὺς, ἀλλ' ἑτέροις τισὶ, καὶ τοῦτο ἐκ τῶν ἑξῆς δῆλον. Ἐγκαλέσας γὰρ αὐτοῖς ἐπὶ τῇ διαστάσει ταύτῃ, πάλιν ἐπήγαγε λέγων· *Ταῦτα δὲ, ἀδελφοὶ, μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ Ἀπολλὼ δι' ὑμᾶς, ἵνα ἐν ὑμῖν μάθητε τὸ μὴ ὑπὲρ ὃ γέγραπται φρονεῖν, ἵνα μὴ εἷς ὑπὲρ τοῦ ἑνὸς μὴ φυσιοῦσθε κατὰ τοῦ ἑτέρου.* Πολλοὶ γὰρ τῶν ἰδιωτῶν οὐκ ἔχοντες οἴκοθεν ἐπαίρεσιν, οὐδὲ τοὺς πλησίον ὀάκνειν, προστησάμενοί τινας ἑαυτῶν ἄρχοντας, τοῖς ἐκείνων πλεονεκτήμασιν εἰς τὴν καθ' ἑτέρων ὑπερηφανίαν ἐκέχρηντο· καὶ ἡ τῶν διδασκόντων αὐτοὺς σοφία τῆς ἑτέρων αὐτοῖς ἀπονοίας ἐγένετο πρόφασις· ὅπερ ἐσχάτης δοξομανίας ἦν, οἴκοθεν οὐκ ἔχοντας ἐναβρύνεσθαι, ταῖς ἑτέρων ὑπεροχαῖς ἀποχρῆσθαι εἰς τὴν κατὰ τῶν ἀδελφῶν ὑπεροψίαν. Ἐπεὶ οὖν καὶ εἰς ἀπόνοιαν ἦρθησαν καὶ διεστασίαζον, καὶ εἰς πολλὰ κατέτεμνον μέρη ἑαυτοὺς, καὶ μέγα ἐφρόνουν ἐπὶ τῇ διδασκαλίᾳ, ὡς οἴκοθέν τε καὶ παρ' ἑαυτῶν εὑρόντες, ἀλλ' οὐχ ὡς ἄνωθεν δεξάμενοι καὶ ἐκ τῆς τοῦ Θεοῦ χάριτος τὰ τῆς ἀληθείας δόγματα, βουλόμενος αὐτῶν καταστεῖλαι τὸ φύσημα, εὐθέως ἀπὸ τῶν προοιμίων *κλητὸν* αὐτὸν ἐκάλεσε, μονονουχὶ λέγων· Εἰ ἐγὼ ὁ διδάσκαλος οὐδὲν οἴκοθεν εὗρον, οὔτε πρότερον αὐτὸς τῷ Θεῷ προσῆλθον, ἀλλὰ κληθεὶς τότε ὑπήκουσα, πῶς ὑμεῖς οἱ μαθηταὶ, καὶ παρ' ἐμοῦ τὰ δόγματα δεξάμενοι, δύνασθε μέγα φρονεῖν, ὡς αὐτοὶ τούτων εὑρέται γενόμενοι; Διὰ τοῦτο καὶ προῶν ἔλεγεν αὐτοῖς· *Τίς γάρ σε διακρίνει, τί δὲ ἔχεις ὃ οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών;*

Οὐδὲν οὖν ἄλλο ἐστὶ τὸ *Κλητὸς* τοῦτο, ἀλλ' ἢ ταπεινοφροσύνης διδασκαλία, καὶ τύφου καθαίρεσις, καὶ πάσης ἀλαζονείας καταστολή· οὐδὲν γάρ ἐστιν, οὐδὲν οὕτως ὁ συγχρατεῖν καὶ συνέχειν ἡμᾶς δύναιτ' ἄν, ὡς ταπεινοφροσύνη, καὶ μετριάζειν, καὶ τὸ καταστάλθαι καὶ μηδὲν μηδέποτε περὶ ἑαυτῶν μέγα φαντάζεσθαι. Ὅπερ καὶ ὁ Χριστὸς συνειδὼς, καὶ τῆς πνευματικῆς ἐκείνης διδασκαλίας ἀρχόμενος, ἀπὸ ταπεινοφροσύνης πρῶτον τῆς παραινέσεως ἦρξατο, καὶ τὸ στόμα ἀνοίξας, τοῦτον πρῶτον εἰσήνεγκε τὸν νόμον, οὕτως εἰπών· *Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι.* Καθάπερ γάρ τις οἰκίαν μεγάλην καὶ λαμπρὰν οἰκοδομεῖσθαι [139] μέλλων, ἀνάλογον καταβάλλεται τὸν θεμέλιον, ὥστε δυνηθῆναι τὸ μετὰ ταῦτα ἐπιτιθέμενον ἐνεγκεῖν βάρος· οὕτω δὴ καὶ ὁ Χριστὸς, τὴν μεγάλην ἐκείνην οἰκοδομὴν τῆς φιλοσοφίας ἐν ταῖς ψυχαῖς αὐτῶν ἐγείρων, ὥσπερ τινὰ θεμέλιον καὶ τρόπιν ἀσφαλῆ καὶ κρηπῖδα βεβαίαν καὶ ἀκίνητον, τὴν τῆς ταπεινοφροσύνης προκαταβάλλεται παραίνεσιν, εἰδὼς ὅτι ταύτης ἐῤῥιζωμένης ἐν ταῖς διανοίαις τῶν ἀκουόντων, ἅπαντα ἄλλα τῆς ἀρετῆς μέρη μετὰ ἀσφαλείας οἰκοδομεῖσθαι δύναται. Ὥσπερ οὖν ταύτης ἀπούσης, κἂν ἅπασάν τις τὴν λοιπὴν ἀρετὴν κατορθώσῃ, εἰκῆ καὶ μάτην καὶ εἰς οὐδὲν δέον ἐστὶ πεπονηκὼς, κατ' ἐκεῖνον τὸν ἐπὶ τῆς ψάμμου τὴν οἰκίαν οἰκοδομήσαντα, ὃς τὸν μὲν πόνον ὑπέμεινε, τοῦ δὲ κέρδους οὐκ ἀπῶνατο, ἐπειδὴ θεμέλιον οὐ κατέβαλεν ἀσφαλῆ· οὕτως ὁ χωρὶς ταπεινοφροσύνης ὁτιοῦν μετιὼν ἀγαθὸν, ἀπώλεσεν ἅπαντα καὶ διέφθειρε. Ταπεινοφροσύνην δὲ, οὐ τὴν ἐν ῥήμασι λέγω, οὐδὲ τὴν ἐπὶ τῆς γλώττης, ἀλλὰ τὴν ἐν τῇ διανοίᾳ, τὴν ἀπὸ τῆς ψυχῆς, τὴν ἐν συνειδότι, ἣν ὁ Θεὸς δύναται μόνος ὁρᾷν. Ἀρκεῖ τοῦτο τὸ πλεονέκτημα, καὶ καθ' ἑαυτὸ πολλάκις φαινόμενον, ἵλεω ποιῆσαι τὸν Θεόν. Καὶ τοῦτο ὁ τελώνης ἐδήλωσεν· οὐδὲν γὰρ ἔχων ἀγαθὸν, οὐδὲ ἀπὸ κατορθωμάτων φανῆναι δυνάμενος, εἰπὼν μόνον, *Ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ*, κατῆλθεν ὑπὲρ τὸν Φαρισαῖον δικαιωθείς· καίτοι γε οὐδὲ ταπεινοφροσύνης ἦσαν ἐκεῖνα τὰ ῥήματα, ἀλλ' εὐγνωμοσύνης μόνον. Ταπεινοφροσύνης μὲν γάρ ἐστιν ὅταν μεγάλα τις ἑαυτῷ συνειδὼς, μηδὲν μέγα περὶ αὐτοῦ φαντάζηται· εὐγνωμοσύνη δὲ, ὅταν, ἁμαρτωλὸς ὤν, αὐτὸ τοῦτο ὁμολογῇ. Εἰ δὲ ὁ μηδὲν ἑαυτῷ συνειδὼς ἀγαθὸν, ἐπειδὴ τοῦτο, ὅπερ ἦν, ὡμολόγησεν, οὕτω τὸν Θεὸν εἰς εὔνοιαν ἐπεσπάσατο, πόσης ἀπολαύσονται παῤῥησίας οἱ πολλὰ μὲν ἔχοντες ἑαυτῶν κατορθώματα εἰπεῖν, πάντων δὲ ἐκείνων ἐπιλανθανόμενοι, καὶ εἰς τοὺς ἐσχάτους ἑαυτοὺς ἀριθμοῦντες;

rimum coma et baculo gloriatur, post multa longaque spatia sermonum, post importunam multamque garrulitatem ne hiscere quidem potuerit, neque de istis verba facturus valuerit os diducere : tum probe intelliges, quo pacto *Deus elegerit stulta mundi, ut sapientes confunderet.* Nam quæ præ nimia superbia fastuque reperire illi minime potuerunt, tum quod seipsos a disciplina Spiritus sejunxissent, tum quod omnia propriis cogitationibus commisissent, hæc mendici et abjecti ac profanæ eruditionis expertes omnia exacte didicerunt, cum a cælesti disciplina penderent. Neque vero contentus est horum tenus profanam sapientiam incusare, sed et alia plura subjungit, dicens : *Sapientia hujus mundi stultitia est apud Deum* (1. *Cor.* 3. 19); et auditores rursus adhortans cum contemptu ac vehementia dicebat : *Si quis enim videtur*, inquit, *inter vos sapiens esse in hoc sæculo, stultus fiat, ut sit sapiens* (*Ib.* v. 18); et rursus, *Scriptum est, Perdam sapientiam sapientum, et prudentiam prudentum reprobabo* (1. *Cor.* 1. 19); et rursus, *Dominus novit cogitationes hominum, quoniam vanæ sunt* (1. *Cor.* 3. 20).

6. Ac sapientia quidem præditos fuisse Corinthios ex his liquet; eos autem superbos fuisse atque animis inflatos ex eadem epistola manifestum est. Cum enim uspiam eum qui fornicatus erat, reprehendisset, adjecit dicens : *Et vos inflati estis* (1. *Cor.* 5. 2). Porro præ nimia arrogantia inter se illos contendisse ac jurgatos esse rursus indicavit, cum dixit : *Cum enim sit inter vos contentio, et zelus, et dissidia, nonne carnales estis, et secundum hominem ambulatis* (1. *Cor.* 3. 3)? Quisnam autem fuit contentionis ille modus? In varios se rectores ac principes dividebant, atque idcirco dicit : *Hoc autem dico, quod unusquisque vestrum dicit, Ego sum Pauli, ego autem Apollo, ego vero Cephæ* (1. *Cor.* 1. 12). Hæc autem dicebat non quod Paulo et Cephæ et Apollo se attribuerent, sed his nominibus obtegere voluit eos, qui seditionis auctores fuerant, ne si eos manifestaret, contentiosiores atque adeo impudentiores redderet. Non enim Paulo et Petro et Apollo seipsos illos attribuisse, sed aliis quibusdam, ex his quæ sequuntur liquet. Cum enim ipsos propter hoc dissidium castigasset, rursus adjunxit dicens : *Hæc autem, fratres, transfiguravi in me et Apollo propter vos, ut in vobis discatis, ne supra quam scriptum est sapiatis, ne unus adversus alterum infletur pro alio* (1. *Cor.* 4. 6). Multi enim ex imperitis cum non possent ex domesticis meritis efferri, neque proximos insectari ac mordere, cum sibi quosdam principes ac rectores præfecissent, illorum meritis ac virtutibus ad fastum et insolentiam adversus alios utebantur, et ex eorum, a quibus edocti fuerant, sapientia occasionem arrogantiæ adversus cæteros arripiebant : quod summi et insani gloriæ amoris fuit, cum ii qui propriis meritis gloriari non possent, aliorum excellentia ad insolentiam contemptumque fratrum abuterentur. Quoniam igitur et in superbiam elati erant, et inter se dissidebant, atque in varias partes seipsos diviserant, et propter doctrinam gloriabantur, tamquam propria illam industria sibi comparassent, neque cœlitus ac divina ex gratia veritatis dogmata recepissent, volens eorum tumorem ac fastum reprimere, statim a principio seipsum *vocatum* appellavit, hoc propemodum dicens : Si ego magister nihil mea industria adinveni, neque prior ipse ad Deum accessi, sed cum vocatus essem, tum demum dicto audiens fui, quomodo vos discipuli, quique a me dogmata accepistis, superbire potestis, perinde quasi adinventa hæc a vobis fuissent? Quocirca prius etiam dicebat illis : *Quis enim te discernit? quid autem habes, quod non accepisti? Si autem accepisti, quid gloriaris, quasi non acceperis* (1. *Cor.* 4. 7)?

Prima lex humilitatis. — Nihil igitur aliud est istud vocabulum *Vocatus*, nisi disciplina humilitatis et fastus depressio et omnis arrogantiæ repressio : nihil enim est quod nos ita continere ac cohibere possit, ut humilitas, et moderate agere, ac modestum esse, nihilque de se magnum animo fingere. Quod et Christus intelligens ac spiritualem illam doctrinam tradere incipiens, a cohortatione ad humilitatem illam inchoavit, atque os aperiens primum tulit hanc legem ita dicens : *Beati pauperes spiritu* (*Matth.* 5. 3). Nam quemadmodum is qui magnas et magnificas ædes fuerit ædificaturus, conveniens jacit fundamentum, ut eam, quæ postea imponetur, molem ferre possit : ita nimirum etiam Christus, cum ingens illud ædificium philosophiæ in illorum animabus erigeret, tamquam fundamentum, et carinam et basim firmam et immobilem, cohortationem humilitatis ponit prius; cum probe noverit, postquam hæc in auditorum mentibus radices egerit, reliqua omnia virtutum genera ædificari tuto posse. Ut igitur si hæc defuerit, licet reliquas omnes virtutes quis opere ipso exhibeat, frustra et incassum ac sine ullo fructu labores suscepit, illi persimilis, qui domum suam super arenam construxit, qui laborem quidem exantlavit, quæstum autem nullum fecit, propterea quod firmum fundamentum minime jecit (*Matth.* 7. 26. 27) : ita quisquis absque humilitate quidvis boni peragit, omnia perdit ac destruit. Humilitatem autem dico, non eam quæ in verbis, neque quæ in lingua, sed quæ in mente, in anima, in conscientia sita est, quam solus cernere Deus potest. Sufficit unum istud bonum, si vel solum sæpenumero appareat, ut propitium Deum reddat. Atque hoc publicanus ostendit : qui cum boni haberet nihil, neque recte factis insignis posset videri, cum solummodo dixisset, *Propitius esto mihi peccatori* (*Luc.* 18. 13), potius quam Pharisæus justificatus descendit, tametsi non humilitatis erant illa verba, sed modestiæ et æquitatis tantum. Siquidem humilitatis est, cum quis magnarum a se gestarum rerum conscius nihil de se magnificum animo fingit : modestia vero et æquitas, cum is, qui peccator est, istud ipsum fatetur. Quod si is, qui nihil a se boni gestum noverat, quoniam id quod erat confessus est, ita sibi Dei benevolentiam conciliavit : quantam apud eum fiduciam obtinebunt ii, qui cum multa sua possent commemorare præclara facinora, illorum omnium obliti sese in numerum rejecerint postremorum?

Quod utique Paulus quoque fecit : cum enim justorum omnium primus esset, primum se esse dicebat peccatorum (1. *Tim.* 1. 15); neque dicebat solum, sed et credebat, cum a præceptore didicisset, postquam omnia fecerimus, debere nos servos inutiles nos vocare (*Luc.* 17. 10). Istud est humilitas, istum imitemini qui recte factis insignes estis, publicanum vero vos qui peccatorum pleni estis : et confiteamur quod sumus, percutiamus pectus, et menti nostræ persuadeamus, ut nihil magnum de se concipiat. Si enim ita fuerimus affecti, sufficit hoc nobis ad oblationem et sacrificium : sicut et David dicebat : *Sacrificium Deo spiritus contribulatus ; cor contritum et humiliatum Deus non despiciet* (*Psal.* 50. 19). Non simpliciter dixit *humiliatum*, sed et *contritum;* quod enim est contritum, confractum est : neque enim potest, quantumvis cupiat, efferri. Ita nos quoque non humiliemus tantum animam nostram, sed conteramus etiam et compungamus : conteritur autem, dum suorum perpetuo peccatorum recordatur. Si ita illam humiliaverimus, ne si velit quidem in superbiam erigi poterit, dum a conscientia tanquam freno quodam correpta, ne se erigat, reprimetur, et ad modestiam servandam in omnibus compelletur. Ita poterimus et apud Deum gratiam invenire : *Quanto* enim *major es*, inquit, *tanto magis teipsum humilia, et invenies gratiam apud Deum* (*Eccli.* 3. 20). Porro qui gratiam apud Deum invenerit, nihil sentiet molestiæ, sed et in hac vita poterit cum Dei gratia cuncta illa adversa facile pertransire, ac repositas in altera vita peccatoribus pœnas effugere, præcedente ubique gratia Dei, et omnia illi propitia et placida reddente : quam utinam omnes obtinere possimus in Christo Jesu Domino nostro, per quem et cum quo Patri gloria, una cum sancto Spiritu, nunc et semper, et in sæcula sæculorum. Amen.

MONITUM

Nullam hæc concio præ se fert temporis notam, qua vel annus deprehendi vel internosci valeat Antiochiæne an Constantinopoli habita fuerit. Cæterum omnes styli notæ hic Chrysostomum auctorem designant; ut mirum sit virum doctum et accuratum Hermantium eam in νοθείας suspicionem vocare non dubitavisse, quem ideo jure refellit Tillemontius, et styli proprietate permotus et Catalogi Augustani per-

IN DICTUM ILLUD APOSTOLI, NON SOLUM AUTEM, SED ET GLORIAMUR IN TRIBULATIONIBUS, SCIENTES QUOD TRIBULATIO PATIENTIAM OPERATUR (*Rom.* 5. 3), ET RELIQUA (a).

1. *Labores pro virtute subeundi.* — Laboriosum est quidem agricolæ boves jungere, vomerem trahere, sulcum ducere, semina spargere, hyemem ferre, frigus tolerare, fossam circumducere, ingruentem aquarum copiam a satis arcere, fluminum ripas altiores reddere, ac per medium agrum profundiores sulcos ducere : sed hæc operosa, quæque multo labore illum fatigant, levia fiunt ac facilia, dum spe concipit segetem vernantem agricola, falcem exacutam, ac repletam manipulis aream et fruges maturas, quæ multa cum lætitia domum deferuntur. Sic et gubernator sævis audacter se fluctibus committit, tempestatem et furens pelagus sæpe contemnit, ventos instabiles, marinas procellas, et longas peregrinationes ferre novit, cum sarcinas mercium secum reputat et negotiationis portus, et immensas opes inde comparandas intuetur. Nec aliter miles fert vulnera, jaculorum nubem excipit, famem tolerat, frigus, longas peregrinationes, et in acie subeunda pericula, dum tropæa, victorias, et coronas secum reputat, quæ inde pariuntur. Ad quid autem hæc commemoravimus, aut quid hæc exempla sibi volunt? Hinc nimirum occasionem arripere placuit vos ad audiendum cohortandi, atque ad labores pro virtute subeundos incitandi. Nam si propter spem futurorum, idque ut eorum aliquis ea bona consequi possit, quæ cum hac vita finiuntur, hæc illi sustinent, multo magis vos oportet in audiendo perseverare, ut spirituali doctrina imbuamini, ac pro vita æterna pugnam generose sudoresque tolerare. Nam illorum quidem incerta spes est ac temporaria, et sæpe dum sola exspectatione lactantur, vitam finiunt, spe quidem se oblectantes, sed rebus ipsis necdum appropinquantes, tametsi graves illas difficultates exantlarint. Exempli causa, post multos illos labores ac sudores agricola nonnumquam, dum falcem exacuit, et ad messem se comparat, vel immissa ærugine, vel locustarum multitudine, vel immodica pluvia incidente, vel alia quapiam importata calamitate ex aeris intemperie, vacuis manibus domum revertitur, postquam labores quidem sustinuit, sed speratis frugibus excidit. Pari ratione gubernator dum mercium copia lætatur, expansis magna cum voluptate velis cum multa maria fuerit emensus, in ipso persæpe portus ingressu vel occurrente rupe vel ad saxum in mari latens aut ad scopulum aliquem allisa navi, ac inopinato ejusmodi casu perculsus, cunctis mercibus amissis, post infinita illa

(a) Collata cum Mss. Regio 2345, et Colbertino 49.

Καθάπερ οὖν καὶ ὁ Παῦλος ἐποίησε· πρῶτος γὰρ ἁπάντων ὧν τῶν δικαίων, πρῶτον ἑαυτὸν τῶν ἁμαρτωλῶν ἔλεγεν εἶναι· οὐκ ἔλεγε δὲ μόνον, ἀλλὰ καὶ ἐπέπειστο παρὰ τοῦ Διδασκάλου μαθών, ὅτι μετὰ τὸ πάντα ποιῆσαι ἀχρείους δούλους ἑαυτοὺς χρὴ καλεῖν. Τοῦτό ἐστι ταπεινοφροσύνη, τοῦτον ζηλώσατε οἱ κατορθώματα ἔχοντες, τὸν δὲ τελώνην ὑμεῖς οἱ ἁμαρτημάτων γέμοντες, καὶ ὁμολογῶμεν ὥσπερ ἐσμὲν, καὶ τὸ στῆθος πλήττωμεν, καὶ τὴν διάνοιαν πείθωμεν μηδὲν μέγα περὶ ἑαυτῶν φαντάζεσθαι. Ἂν γὰρ οὕτως ὦμεν διακείμενοι, ἀρκεῖ τοῦτο ἡμῖν εἰς προσφορὰν καὶ θυσίαν· καθάπερ καὶ ὁ Δαυὶδ ἔλεγε· *Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.* Οὐχ ἁπλῶς εἶπε *τεταπεινωμένην*, ἀλλὰ καὶ *συντετριμμένην*· τὸ γὰρ συντετριμμένον, καὶ διακεκλασμένον· οὐδὲ γὰρ, ἐὰν βούληται, ἐπαρθῆναι δύναται. Οὕτω δὴ καὶ ἡμεῖς μὴ ταπεινώσωμεν μόνον τὴν ψυχὴν τὴν ἡμετέραν, ἀλλὰ καὶ συντρίψωμεν καὶ κατανύξωμεν· συντρίβεται δὲ οἰκείων ἁμαρτημάτων μεμνημένη συνεχῶς. Ἂν οὕτως αὐτὴν ταπεινώσωμεν, οὐδὲ βουλομένη πρὸς τῦφον ἀναστῆναι δυνήσεται, ὥσπερ τινὸς χαλινοῦ τοῦ [140] συνειδότος ἐπιλαμβανομένου διεγειρομένης αὐτῆς, καὶ καταστέλλοντος καὶ πείθοντος μετριάζειν ἐν ἅπασιν. Οὕτω δυνησόμεθα παρὰ τῷ Θεῷ καὶ χάριν εὑρεῖν· *Ὅσῳ γὰρ μείζας εἶ*, φησὶ, *τοσούτῳ ταπείνου σεαυτόν, καὶ ἐνώπιον Κυρίου εὑρήσεις χάριν.* Ὁ δὲ παρὰ τῷ Θεῷ χάριν εὑρὼν οὐδενὸς αἰσθήσεται χαλεποῦ, ἀλλὰ καὶ ἐνταῦθα δυνήσεται μετὰ τῆς τοῦ Θεοῦ χάριτος ἐκεῖνα ἅπαντα μετ' εὐκολίας διαδραμεῖν τὰ δεινὰ, καὶ τὰς ἐκεῖ κειμένας τοῖς ἁμαρτάνουσι διαφυγεῖν τιμωρίας, τῆς χάριτος τοῦ Θεοῦ πανταχοῦ προηγουμένης, καὶ πάντα ἐξευμενιζούσης αὐτῷ· ἧς γένοιτο πάντας ἡμᾶς ἀπολαύειν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

IN HOMILIAM DE GLORIA IN TRIBULATIONIBUS.

antiqui in notis supra editi testimonio; in quo Catalogo sincera Chrysostomi opera accurate recensentur, et hæc ibidem quartadecima locatur.

Interpretatio Latina est Frontonis Ducæi.

Εἰς τὸ ἀποστολικὸν ῥητὸν τὸ λέγον, « Οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν, εἰδότες ὅτι ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, » καὶ τὰ ἑξῆς.

—

αἰ. Ἐπίφθονον μὲν γηπόνῳ τὸ ζεῦξαι βόας, καὶ ἄροτρον ἑλκύσαι, καὶ αὔλακα ἀνατεμεῖν, καὶ σπέρματα καταβαλεῖν, καὶ ἀνασχέσθαι χειμῶνος, καὶ κρυμὸν ἐνεγκεῖν, καὶ περιελάσαι τάφρον, καὶ πλεονεξίαν ὑδάτων ἐπιοῦσαν τοῖς σπέρμασιν ἀποκρούσασθαι, καὶ ὄχθας ποταμῶν ὑψηλοτέρας ἐργάσασθαι, καὶ διὰ μέσης τῆς ἀρούρας βαθυτέρας αὔλακας ἀνατεμεῖν· ἀλλὰ τὰ ἐπίπονα ταῦτα, καὶ μόχθον ἔχοντα, κοῦφα γίνεται καὶ ῥᾴστα, ὅταν ταῖς ἐλπίσιν ὁ γεωργὸς ἴδῃ κομῶντα τὰ λήϊα, καὶ τὴν δρεπάνην ἠχουμένην, καὶ τὴν ἅλωνα τῶν δραγμάτων ἐμπεπλησμένην, καὶ τὸν καρπὸν ὥριμον μετὰ πολλῆς τῆς εὐφροσύνης εἰκαδε εἰσκομιζόμενον. Οὕτω καὶ κυβερνήτης ἀγρίων κυμάτων κατατολμᾷ, καὶ χειμῶνος, καὶ μαινομένης θαλάττης πολλάκις καταφρονεῖ, καὶ πνευμάτων ἀστάτων, καὶ διαπεντίους κλύδωνας καὶ μακρὰς οἴδε φέρειν ἀποδημίας, ὅταν τὰ φορτία ἀναλογίζηται, καὶ τοὺς τῆς ἐμπορίας λιμένας, καὶ τὸν ἐκ τούτων ἄπειρον πλοῦτον τικτόμενον ἴδῃ. Οὕτω καὶ στρατιώτης τραύματα φέρει, καὶ νέφη βελῶν ἀποδέχεται, καὶ λιμὸν ὑποφέρει, καὶ κρυμὸν, καὶ τὰς μακρὰς ἀποδημίας, καὶ τοὺς ἐπὶ τῆς παρατάξεως [141] κινδύνους, ἐντεῦθεν τὰ τρόπαια καὶ τὰς νίκας καὶ τοὺς στεφάνους ἀναλογιζόμενος. Ἀλλὰ τίνος ἕνεκεν τούτων ἐμνήσθην; ἢ τί μοι βούλεται ταῦτα τὰ παραδείγματα; Παράκλησιν ὑμῖν ἐντεῦθεν πρὸς τὴν ἀκρόασιν εἰσαγαγεῖν βούλομαι, καὶ παραμυθίαν πρὸς τοὺς ὑπὲρ τῆς ἀρετῆς ἱδρῶτας. Εἰ γὰρ τῶν εἰρημένων ἕκαστος τὸ ἐπίπονον κοῦφον ἡγεῖται διὰ τὴν τῶν μελλόντων ἐλπίδα. καὶ ταῦτα, εἰ καί τις αὐτῶν ἐπιτυχεῖν δυνηθείη, τῷ παρόντι συγκαταλυόμενα βίῳ, πολλῷ μᾶλλον ὑμᾶς τὴν ὑπὲρ τῆς πνευματικῆς διδασκαλίας ἀκρόασιν ἀνέχεσθαι χρὴ, καὶ τὴν ὑπὲρ τῆς ἀϊδίου ζωῆς παράταξίν τε καὶ τοὺς ἱδρῶτας γενναίως φέρειν. Τοῖς μὲν γὰρ ἄδηλα τὰ τῆς προσκαίρου ἐλπίδος ἐστὶ, καὶ ἐν προσδοκίᾳ μόνῃ τῶν χρηστῶν πολλάκις γενόμενοι, τὸν βίον οὕτω κατέλυσαν, ἐντρυφήσαντες μὲν ταῖς ἐλπίσιν, ἐπὶ δὲ τῶν ἔργων αὐτῶν οὐκ ἐγγίσαντες, καὶ δὴ διὰ ταῦτα τὰ χαλεπώτερα ὑπομείναντες. Οἷόν τι λέγω· Μετὰ τοὺς πολλοὺς ἐκείνους πολλάκις πόνους τε καὶ ἱδρῶτας ὁ γηπόνος ἐνίοτε ἐν αὐτῷ τῷ τὴν δρεπάνην ἀκονᾷν, καὶ πρὸς τὸν ἄμητον παρασκευάζεσθαι, ἐρυσίβης κατενεχθείσης, ἢ πλήθους ἀκρίδων, ἢ κέρα τοῦ μέτρου τῆς ἐπομβρίας γενομένης, ἢ ἑτέρα, τινὸς πληγῆς ἐπενεχθείσης ἐκ τῆς τῶν ἀέρων ἀνωμαλίας, ἀπῆλθε κεναῖς οἴκαδε χερσὶ, τὸν μὲν πόνον ἅπαντα ὑπομείνας, τοῦ δὲ καρποῦ τῆς ἐλπίδος ἐκπεσών. Καὶ ὁ κυβερνήτης δὲ ὁμοίως χαίρων τῷ πλήθει τῶν φορτίων, καὶ μετὰ πολλῆς τῆς ἡδονῆς τὰ ἱστία πετάσας, καὶ περάσας πολὺ πέλαγος, ἐν αὐτῷ πολλάκις τῷ στόματι τοῦ λιμένος, ἢ σπιλάδος ἐμπεσούσης, ἢ ὑφάλῳ καὶ σκοπέλῳ τινὶ προσαράξας, ἢ ἄλλῃ τινὶ τοιαύτῃ ἀδοκήτῳ περιστάσει πληγεὶς, πάντα τὸν φόρτον ἀπώλεσε, καὶ μόλις τὸ ἑαυτοῦ σῶμα γυμνὸν διέσωσε μετὰ τοὺς μυρίους κινδύνους

ἐκείνους. Οὕτω καὶ ὁ στρατιώτης μυρίοις πολλάκις παραταξάμενος πολέμοις, καὶ ἀποχρωσάμενος τοῖς ἐναντίους, καὶ τῶν ἐχθρῶν περιγενόμενος, καὶ ἐν αὐτῇ ὢν τῇ προσδοκίᾳ τῆς νίκης, τὴν ζωὴν μεταλλάξας ἀπῆλθεν, οὐδενὸς ὅλως ἐκ τῶν μόχθων καὶ τῶν κινδύνων ἀπολαύσας χρηστοῦ. Τὰ δὲ ἡμέτερα οὐ τοιαῦτα· τάς τε γὰρ ἐλπίδας αἰωνίους ἔχει ἀκινήτους τε καὶ βεβαίας, καὶ οὐ τῷ προσκαίρῳ τούτῳ συγκαταλυομένας βίῳ, ἀλλὰ πρὸς τὴν ἀκήρατον καὶ μακαρίαν ἐκείνην καὶ διαιωνίζουσαν ζωὴν, καὶ οὐ μόνον ἀνωμαλίᾳ ἀέρων καὶ ἀδοκήτων πραγμάτων περιστάσει οὐκ ἐπιβουλευομένας, ἀλλ' οὐδὲ αὐτῷ τῷ θανάτῳ διαλυομένας. Ἀπὸ τῶν ἐλπίδων δὲ αὐτῶν ἴδοι τις ἂν καὶ ἐν αὐτοῖς τοῖς τυχοῦσι λάμποντα αὐτῶν τὸν καρπὸν, καὶ πολλὴν καὶ μεγάλην οὖσαν τὴν ἀμοιβήν. Διὰ τοῦτο ὁ μακάριος Παῦλος ἐβόα, λέγων· *Οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσι.* Παρακαλῶ μὴ παραδράμωμεν τὸ εἰρημένον ἁπλῶς· ἀλλ' ἐπειδὴ, οὐκ οἶδα πῶς, πάλιν ἡμᾶς ὁ λόγος εἰς τὸν τοῦ καλοῦ κυβερνήτου Παύλου λιμένα εἰσήγαγεν, ἐντρυφήσωμεν τῇ λέξει, βραχείᾳ μὲν οὔσῃ, πολλῇ δὲ ἡμᾶς παιδευούσῃ φιλοσοφίᾳ. Τί ποτ' οὖν ἐστιν ἄρα τὸ εἰρημένον, καὶ τί τοῦτο εἰπὼν ἡνίξατο ἡμῖν, λέγων, *Οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσι*; Μικρὸν, εἰ δοκεῖ, ἀνωτέρω τὸν τῆς διδασκαλίας λόγον ἀγάγωμεν, καὶ πολλὴν ὀψόμεθα τὴν [142] σαφήνειαν, καὶ τὴν τῶν νοημάτων δύναμιν ἐκεῖθεν τικτομένην ἡμῖν. Ἀλλὰ μηδένα τὸ σῶμα καταμαλακιζέτω· ἀλλ' ἀντὶ δρόσου γενέσθω ἡ τῆς πνευματικῆς ἀκροάσεως ἐπιθυμία. Καὶ γὰρ περὶ θλίψεως ἡμῖν ὁ λόγος καὶ ἐπιθυμίας ἀγαθῶν αἰωνίων, καὶ ὑπομονῆς, καὶ τῆς ἐκ τούτων γινομένης ἀμοιβῆς τοῖς οὐκ ἀναπεπτωκόσι. Τί ποτ' οὖν ἐστι τὸ, *Οὐ μόνον*; Ὁ γὰρ τοῦτο εἰρηκὼς [a], εἰπεῖν ἡμῖν πολλὰ καὶ ἕτερα δείκνυσι προϋπηργμένα ἀγαθά· καὶ μετ' ἐκείνων καὶ τοῦτο προστίθησι, τὸ ἀπὸ τῆς θλίψεως· διὸ καὶ ἔλεγεν ὁ αὐτός· *Οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν.* Ὥστε δὲ σαφέστερον γενέσθαι τὸ εἰρημένον, βραχεῖαν ὥραν ἀνάσχεσθε, μακροτέραν ἡμῶν ποιουμένων τὴν διδασκαλίαν τῷ λόγῳ.

Ἐπειδὴ γὰρ κατηγγέλθη ὑπὸ τῶν ἀποστόλων τὸ θεῖον κήρυγμα, καὶ περιῆσαν πανταχοῦ τῆς οἰκουμένης σπείροντες τῆς εὐσεβείας τὸν λόγον, καὶ πρόρριζον ἀνασπῶντες τὴν πλάνην, καὶ τοὺς πατρώους τῶν ἀσεβῶν καταλύοντες νόμους, καὶ παρανομίαν ἅπασαν ἐλαύνοντες, καὶ τὴν γῆν ἐκκαθαίροντες, καὶ εἰδώλων μὲν καὶ ναῶν καὶ βωμῶν καὶ πανηγύρεων τῶν ἐκεῖθεν καὶ τελετῶν κελεύοντες ἀποπηδᾶν, ἐπιγινώσκειν δὲ τὸν τῶν ὅλων ἕνα καὶ μόνον Θεὸν, καὶ τὰς μελλούσας ἀναμένειν ἐλπίδας, καὶ περὶ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος διελέγοντο, καὶ περὶ ἀναστάσεως ἐφιλοσόφουν, καὶ περὶ βασιλείας οὐρανῶν διελέγοντο· διὰ ταῦτα πόλεμος ἀνήφθη χαλεπὸς, καὶ πολέμων ἁπάντων ὁ τυραννικώτατος, καὶ πάντα θορύβου καὶ ταραχῆς καὶ στάσεως ἔγεμε, καὶ πόλεις ἅπασαι, καὶ δῆμος ἅπας, καὶ οἰκία, καὶ οἰκουμένη καὶ ἀοίκητος, ἅτε δὴ τῶν παλαιῶν ἐθῶν διασαλευομένων, καὶ τῆς ἐπὶ τοσοῦτον κατασχούσης προλήψεως διασειομένης, καινῶν δὲ εἰσαγομένων δογμάτων, καὶ ὧν μηδεὶς μηδέποτε ἤκουσε· πρὸς ταῦτα βασιλεῖς ἠγρίαινον, καὶ ἄρχοντες ἐδυσχέραινον, καὶ ἰδιῶται ἐταράττοντο, καὶ ἀγοραὶ ἐθορυβοῦντο, καὶ δικαστήρια ἐχαλέπαινε, καὶ ξίφη ἐγυμνοῦτο, καὶ ὅπλα παρεσκευάζετο, καὶ νόμοι ἠγανάκτουν. Ἐκεῖθεν τιμωρίαι καὶ κολάσεις καὶ ἀπειλαὶ καὶ πάντα συνεκινεῖτο τὰ ἐν ἀνθρώποις εἶναι δοκοῦντα δεινά. Ὥσπερ θαλάττης μαινομένης καὶ χαλεπὰ ναυάγια ὠδινούσης, οὐδὲν ἄμεινον τὰ τῆς οἰκουμένης διέκειτο, πατρὸς παῖδα διὰ τὴν εὐσέβειαν τότε ἀποκηρύττοντος, καὶ νύμφης πρὸς πενθερὰν σχιζομένης, καὶ ἀδελφῶν διαιρουμένων, καὶ δεσποτῶν κατὰ τῶν οἰκετῶν ἀγαναχτούντων, καὶ τῆς φύσεως σχεδὸν πρὸς ἑαυτὴν στασιαζούσης, καὶ οὐκ ἐμφυλίου μόνον, ἀλλὰ καὶ συγγενικοῦ διὰ πάσης οἰκίας διιόντος πολέμου. Ὁ γὰρ λόγος μαχαίρας δίκην εἰσιών, καὶ τὸ νοσοῦν ἀπὸ τοῦ ὑγιαίνοντος τέμνων, πολλὴν ἐποίει πανταχοῦ τὴν στάσιν εἶναι, καὶ τὴν φιλονεικίαν, καὶ πανταχόθεν μυρίας αἱρεσθαι κατὰ τῶν πιστευόντων παρεσκεύασεν ἐπαχθείας καὶ μάχας. Ἐντεῦθεν οἱ μὲν εἰς δεσμωτήρια ἀπήγοντο, οἱ δὲ εἰς δικαστήρια, οἱ δὲ τὴν ἐπὶ θάνατον φέρουσαν ὁδόν· καὶ τῶν μὲν αἱ οὐσίαι ἐδημεύοντο, οἱ δὲ καὶ τῆς πατρίδος καὶ τῆς ζωῆς αὐτῆς πολλάκις ἐξέπιπτον, καὶ πανταχόθεν νιφάδων πυκνότερα περιεστήκει τὰ κακά· ἔνδοθεν μάχαι, ἔξωθεν φόβοι, παρὰ τῶν φίλων, παρὰ τῶν ἀλλοτρίων, παρ' αὐτῶν τῶν τῇ φύσει συνδεδεμένων ἀλλήλοις [143].

β'. Ταῦτ' οὖν ὁρῶν ὁ μακάριος Παῦλος, ὁ τῆς οἰκουμένης παιδοτρίβης, ὁ τῶν οὐρανίων δογμάτων διδάσκαλος, ἐπειδὴ τὰ μὲν δεινὰ ἐν χερσὶν ἦν καὶ πρὸ τῶν ὀφθαλμῶν πραττόμενα, τὰ δὲ χρηστὰ ἐν ἐλπίσι μόνον καὶ ἐπαγγελίαις, βασιλεία οὐρανῶν, λέγω, καὶ ἀνάστασις, καὶ τῶν ἀγαθῶν ἐκείνων λῆξις τῶν πάντα νοῦν καὶ λόγον ὑπερβαινόντων· κάμινοι δὲ καὶ τήγανα καὶ ξίφη καὶ τιμωρίαι καὶ παντοδαπαὶ κολάσεις καὶ θάνατοι οὐκ ἐν ἐλπίσιν, ἀλλ' ἐν πείρᾳ· οἱ δὲ πρὸς ταῦτα ἀγωνίζεσθαι μέλλοντες, ἀρτίως ἀπὸ βωμῶν καὶ εἰδώλων καὶ τρυφῆς καὶ ἀκολασίας καὶ μέθης εἰσποιηθέντες, ἦσαν τῇ πίστει, οὐδὲν ὑψηλὸν περὶ τῆς ἀϊδίου ζωῆς τέως μεμελετηκότες ἐννοεῖν, ἀλλὰ τῶν παρόντων ἀντεχόμενοι μᾶλλον· καὶ εἰκὸς τούτων πολλοὺς μικροψυχεῖν καὶ ἐκλύεσθαι, καὶ ἀναπίπτειν καθ' ἑκάστην πολιορκουμένους ἡμέραν· ὅρα τί ποιεῖ ὁ τῶν ἀπορρήτων κοινωνὸς, καὶ πρόσεχε τῇ Παύλου σοφίᾳ. Συνεχῶς περὶ τῶν μελλόντων αὐτοῖς διαλέγεται, καὶ τὰ βραβεῖα ὑπ' ὄψιν ἄγει, καὶ δείκνυσι τοὺς στεφάνους, ἀλείφων αὐτοὺς καὶ παραμυθούμενος ταῖς τῶν αἰωνίων ἀγαθῶν ἐλπίσι. Καὶ τί φησι; *Λογιζόμεθα γὰρ, ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς.* Τί γάρ μοι λέγεις, φησὶ, τραύματα καὶ βωμοὺς καὶ δημίους καὶ τιμωρίας καὶ λιμοὺς καὶ δημεύσεις καὶ πενίαν καὶ δεσμὰ καὶ ἀλύσεις; πάντα ὅσα βούλει τίθει τὰ δοκοῦντα ἐν ἀνθρώποις δεινὰ, καὶ οὐδὲν ἄξιον λέγεις τῶν ἐπάθλων ἐκείνων καὶ τῶν στεφάνων καὶ τῶν ἀμοιβῶν. Τὰ μὲν γὰρ τῷ παρόντι συγκαταλύεται βίῳ, τὰ δὲ ἐν τῷ ἀπείρῳ αἰῶνι τέλος οὐκ ἔχει· καὶ τὰ μὲν παροδεύει πρόσκαιρα ὄντα, τὰ δὲ παραμένει διηνεκῶς ἀῤῥήτα συνυπάρχοντα. Ὅπερ καὶ ἀλλαχοῦ τοῦτο αὐτὸ αἰνιττόμενος ἔλεγε·

[a] Duo Mss. εὑρηκώς, Editi εἰρηκώς.

pericula vix salvo corpore nudus evadit. Sic et miles postquam innumeris sæpe pugnavit in præliis, adversarios repulit, hostesque devicit, dum in ipsa victoriæ exspectatione versatur, nullis penitus commodis ex laboribus periculisque reportatis e vita discedit. At ejusmodi non sunt res nostræ : spes enim æternas, immotas, et firmas habent, quæque cum hac vita minime terminantur, sed ad immortalem beatamque vitam illam ac perpetuo duraturam spectant, et non modo nullis ex aeris intemperie vel inopinato rerum eventu patent incursibus, sed nec ab ipsa morte possunt deleri. Quin etiam dum sola spe fovemur, ejus in quovis etiam e vulgo fructus elucet, et quanta illi merces debeatur. Propterea beatus etiam Paulus clamabat dicens : *Non solum autem, sed et gloriamur in tribulationibus* (*Rom.* 5. 3). Ne, quæso, leviter præteramus, quæ dicta sunt : sed quando, nescio quo casu, sermo nos rursus ad præclari gubernatoris Pauli portum appulit, in hujus dicti consideratione libenter immoremur, brevis quidem illius, sed a quo multa philosophia erudimur. Quid tandem est ergo quod dicit, et quid his nobis indicat verbis, *Non solum autem, sed et gloriamur in tribulationibus?* Paulo altius, si placet, doctrinæ sermonem ordiamur, et multam inde nobis perspicuitatem videbimus ac vim sententiarum emergere. Sed neminem corpus in mollitiem ac pigritiam resolvat : quin potius tamquam rore quodam spiritualis doctrinæ cupiditate recreetur. Etenim de tribulatione verba facimus, de cupiditate bonorum æternorum, de patientia, deque mercede, quam illi obtinent, qui minime supini sunt ac desides. Quid igitur sibi vult illud, *Non solum?* Qui enim his verbis utitur, de multis aliis bonis se loquutum esse indicat, quæ præcesserint, et cum illis istud adjicere, quod ex tribulatione nascitur : quam ob causam et ipse dicebat, *Non solum autem, sed et gloriamur in tribulationibus.* Ut autem dilucidiora fiant hæc verba, nos ad brevem horam sustinete, dum prolixiori sermone doctrinam exponimus.

Adversarii fidei Christianæ quam multi; persequutiones variæ initio prædicationis. Inducitur Paulus de futuris disserens. Cur ingemiscat creatura. — Cum enim promulgata fuisset ab apostolis prædicatio divina, et omnes orbis terrarum plagas religionis sermonem illi serentes obirent, errorem radicitus exstirparent, patrias impiorum leges rescinderent, iniquitatem omnem exterminarent, terram expurgarent, atque ab idolis quidem, a fanis, altaribus, feriis ac ceremoniis inde nascentibus resilire juberent; unum autem, et solum universorum Deum agnoscere, spes futuras exspectare; deque Patre, Filio, ac Spiritu sancto dissererent, de resurrectione philosopharentur, ac de regno cælorum verba facerent : idcirco bellum exarsit grave, omniumque sævissimum, omnia tumultu, perturbatione, ac seditione redundabant, urbes omnes, populi ac domus omnes, omnis regio sive inculta esset, sive deserta : quod nimirum antiquæ consuetudines labefactarentur, et quæ tamdiu obtinuerat, anticipata opinio convelleretur, cum nova dogmata inveherentur, quæ nemo umquam audiverat : adversus ista sæviebant reges, indignabantur magistratus, privati tumultuabantur, fora perturbabantur, tribunalia concitabantur, stringebantur enses, arma parabantur, et leges succensebant. Inde supplicia, pœnæ, minæque, ac cuncta commovebantur, quæ inter homines gravia censentur. Quemadmodum cum iratum est mare, atque infesta naufragia parturit, nihilo meliori erat in statu orbis terrarum, cum religionis causa tum filium pater abdicaret a socru nurus dissideret, fratres dividerentur, domini in famulos indignarentur, natura quodammodo in seipsam seditione commota insurgeret, nec civile tantum, sed gentile quoddam bellum domos omnes pervaderet. Verbum enim gladii in morem penetrans, et quod morbidum erat a sano resecans, magnam ubique seditionem et contentionem excitabat, et efficiebat, ut innumeræ undique adversus fideles inimicitiæ pugnæque insurgerent. Hinc fiebat, ut in carcerem alii detruderentur, alii ad judicia raperentur, et ad viam quæ tendit ad mortem : atque horum quidem bona publicabantur, illi vero et patria, et vita ipsa persæpe privabantur, et omni ex parte crebrius quam nix decidat, malis obsidebantur : intus pugnæ, foris timores, ab amicis, ab alienis, ab ipsis qui naturæ necessitudine conjuncti erant.

2. Hæc igitur cum cerneret beatus Paulus, ille terrarum orbis præceptor, et cælestium dogmatum doctor, cum res quidem adversæ in manibus essent, et ante oculos versarentur, res autem prosperæ in spe tantum et promissione, regnum, inquam, cælorum, et resurrectio, ac bonorum illorum adeptio, quæ cogitationem omnem ac sermonem excedunt : fornaces autem, sartagines, gladii, supplicia, tormentorum et mortium genera omnia non spe, sed experientia perciperentur : qui vero adversus hæc omnia certaturi erant, non ita pridem ab altaribus, ab idolis, a deliciis, a luxuria et ebrietate ad fidem traducti fuissent, neque dum ad sublime quidquam de vita æterna versandum animo assuefacti, sed rebus præsentibus potius inhærerent : et verisimile esset fore, ut multi eorum fatiscerent, conciderent animis, ac deficerent, cum singulis diebus obsiderentur : vide quid ille faciat, qui arcanorum particeps cælestium fuerat, et sapientiam Pauli considera. De futuris assidue disserit apud illos, ponit ob oculos præmia, coronas ostendit, incitat eos, et spe bonorum æternorum consolatur. Quid autem dicit? *Existimamus enim quod non sunt condignæ passiones hujus temporis ad futuram gloriam, quæ revelabitur in nobis* (*Rom.* 8. 18). Quid enim mihi vulnera, inquit, objicis, altaria, carnifices, supplicia, famem, proscriptiones, paupertatem, vincula et compedes? quæcumque volueris propone, quæ ab hominibus gravia censentur; nihil tamen præmiis illis, coronis, ac retributionibus dignum commemoras. Nam ista quidem una cum hac vita finiuntur, illa vero in infinito illo ævo finem non habent : hæc temporaria cum sint, prætereunt : illa cum sint immortalia, perpetuo permanent. Quod ipsum et alio loco subindicans dicebat

Id quod in præsenti est momentaneum et leve tribulationis (2. *Cor.* 4. 17) : sic quantitate qualitatem imminuit, et acerbitatem mitigat temporis brevitate. Quoniam enim gravia natura sua erant et molesta, quæ tum illis accidebant, brevitate molestiam mimit dicens : *Id enim quod in præsenti est momentaneum et leve tribulationis nostræ, supra modum in sublimitate æternum gloriæ pondus operatur in nobis, non contemplantibus nobis quæ videntur, sed quæ non videntur. Quæ enim videntur, temporalia sunt : quæ autem non videntur, æterna sunt* (2. *Cor.* 4. 17. 18). Et rursus ut ad cognoscendam bonorum illius vitæ magnitudinem illos provehat, creaturam ipsam ob præsentia mala dolentem et congementem introducit, ac futura tamquam valde jucunda vehementer optantem, dum sic ait : *Etenim creatura congemiscit, et simul parturit usque adhuc* (*Rom.* 8. 22). Qua de causa gemit? qua de causa parturit? Dum illa nimirum futura bona præstolatur, et in melius mutationem desiderat. *Nam et ipsa*, inquit, *creatura liberabitur a servitute corruptionis, in libertatem gloriæ filiorum Dei* (*Ib. v.* 21) Cum vero audis eam gemere ac parturire, noli ratione præditam illam arbitrari, sed idioma Scripturæ intellige. Cum enim vult Deus hominibus magnum aliquid ac jucundum per prophetas annuntiare, ipsas etiam res inanimatas fingit miraculorum, quæ fiunt, magnitudinem percipere, non quod sensu præditam esse creaturam dicamus, sed ut per ea quæ hominibus quadrant, magnitudo miraculorum exprimi possit. Hoc nimirum et nos dicere solemus, cum inopinatum quid acciderit [psam urbem esse contristatam, solum ipsum mœstius esse redditum] (*a*), et cum de sævis ac terribilibus sermo fit hominibus ac ferina mente præditis, ita quis plerumque loquitur : Ipsa fundamenta concussit, ipsi lapides eum timuerunt : non quod hunc lapides re vera timuerint, sed ut summam cordis ejus feritatem et furorem possint exprimere. Hac etiam de causa mirabilis propheta David ea, quæ Judæis evenerant, bona commemorans, eamque voluptatem, qua perfusi erant, cum Ægypto liberati sunt, dicebat : *In exitu Israel de Ægypto, domus Jacob de populo barbaro, facta est Judæa sanctificatio ejus, Israel potestas ejus. Mare vidit et fugit, Jordanis conversus est retrorsum. Montes exsultaverunt ut arietes, et colles sicut agni ovium, a facie Domini* (*Psal.* 113. 1-4). Hoc vero nullus evenisse umquam audivit. Nam mare quidem et Jordanis retrorsum Dei jussu conversa sunt : montes autem et colles non exsultaverunt, sed, ut ante dixi, cum summam voluptatem vellet exprimere, ac relaxationem ex Ægyptiaca vexatione quæ illis contigerat, res etiam inanimatas exsultare dicebat, ac tripudiare propter ea bona, quæ illis obvenerant : quemadmodum cum triste quidpiam nuntiare voluerit, quod nostri nobis peccata pepererint, ait, *Lugebit vinum, lugebit et vitis* (*Hesai.* 24. 7) : et alibi, *Viæ Sion lugent* (*Thren.* 1, 4) : sed et lacrymari res sensu destitutas ait, *Muri filiæ Sion deducite lacrymas* (*Thren.* 2. 18) :

(*a*) Quæ uncinis claudunter deerant in Editis, sed habentur in Mss. et a Frontone Ducæo lecta sunt.

imo et terram ipsam et Judæam lugere dicit atque ebriam esse tristitia, non quod hæc elementa id sentiant, sed, ut ante dixi, prophetarum unusquisque dum indicare vult ingentem bonorum magnitudinem, quæ Deus largitur, et suppliciorum, quæ propter scelera nostra nobis infliguntur, ita loquitur : quam ob causam beatus etiam Paulus creaturam ingemiscentem ac dolentem introducit, ut Dei donorum exprimere possit magnitudinem, quæ nos post hanc vitam excipient.

3. *Magnitudo rerum quas adepti sumus.* — Verum hæc omnia sunt in spe, dicet quispiam : pusillanimis autem ac miser homo, non ita pridem ab idololatria liberatus, neque dum sciens de rebus futuris philosophari, non admodum his sermonibus corrigitur, sed in præsenti tempore consolationem aliquam optat invenire. Idcirco nimirum et sapiens hic magister, cuique nota sunt omnia, non modo ex bonis futuris consolatur, sed ex præsentibus etiam commodis cohortatur. Ac primum quidem ea, quæ jam orbi terrarum obvenerant, bona commemorat, quæ non in spe et exspectatione sita erant, sed quibus reipsa fruebantur : quæ futurorum, et eorum quæ sperantur maxima est et evidentissima demonstratio : cumque bene longum de fide sermonem texuisset, atque patriarchæ Abraham mentionem fecisset, qui licet reluctante natura speravit tamen se patrem futurum, exspectavit et credidit, quapropter et tandem fuit : inde ducta occasione cohortatur, ut numquam ad ratiocinationum infirmitatem delabamur, sed animos nostros magnitudine fidei erigamus, attollamus, et alta sapiamus : deinde rerum, quas adepti jam sumus, explicat dignitatem. Quænam illa porro est? Quod nimirum Filium suum, inquit, unigenitum, genuinum, dilectissimum, hunc Deus pro nobis sceleratis servis dedit, et innumeris peccatis gravatos, tantisque delictorum oneribus oppressos non a peccatis solum liberavit, sed et justos effecit, nihil grave imperans aut laboriosum aut molestum, sed fidem a nobis tantum requirens justos reddidit, sanctos effecit, in Dei filios adoptavit, heredes regni instituit, Unigeniti coheredes renuntiavit, resurrectionem promisit, corporum incorruptionem, conditionem et sortem eamdem cum angelis, quæ rationem omnem ac mentem exsuperat, habitationem in cælis, conversationem cum ipso, ac Spiritus sancti gratiam jam inde nobis effudit, a diaboli nos possessione liberavit, nos a dæmonum servitute vindicavit, peccatum destruxit, maledictionem sustulit, inferorum portas confregit, paradisum aperuit, non angelum, non archangelum, sed ipsum Unigenitum pro salute nostra misit, sicut per prophetam inquit, *Non legatus, neque angelus, sed ipse Dominus salvos nos fecit* (*Hesai.* 63. 9). Hæc nonne sexcentis splendidiora sunt coronis? quod sanctificati sumus? quod justificati? quod per fidem? quod unigenito Dei Filio pro nobis descendente? quod Patre Filium suum dilectissimum propter nos tradente? quod Spiritum sanctum accepimus? quod cum omni facilitate? quod copiosa gratia donoque potiti sumus? His itaque dictis et cum

Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως τῇ ποσότητι τὴν πιλότητα ὑποτεμνόμενος, καὶ τῷ χρόνῳ τὸ φορτικὸν παραμυθούμενος. Ἐπειδὴ γὰρ τῇ φύσει βαρέα καὶ φορτικὰ ἦν τὰ τότε συμβαίνοντα, τῷ προσκαίρῳ τὸ φορτικὸν αὐτῶν ὑποτέμνεται, λέγων· *Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως ἡμῶν καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται ἡμῖν, μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα. Τὰ γὰρ βλεπόμενα, πρόσκαιρα· τὰ δὲ μὴ βλεπόμενα, αἰώνια.* Καὶ πάλιν ἀνάγων αὐτοὺς εἰς τὴν ἔννοιαν τοῦ μεγέθους τῶν τότε ἀγαθῶν, αὐτὴν εἰσάγει τὴν κτίσιν ὀδυνωμένην καὶ συστενάζουσαν ἐπὶ τοῖς παροῦσι μοχθηροῖς, καὶ σφόδρα ἐπιθυμοῦσαν τὰ μέλλοντα, ὡς πάνυ ὄντα χρηστά, λέγων οὕτω· *Καὶ γὰρ ἡ κτίσις συστενάζει καὶ συνωδίνει ἄχρι τοῦ νῦν.* Τίνος ἕνεκεν στενάζει; τίνος ἕνεκεν ὠδίνει; Τὰ μέλλοντα ἐκεῖνα προσδοκῶσα ἀγαθὰ καὶ ἐπιθυμοῦσα τὴν ἐπὶ τὸ βέλτιον μεταβολήν. *Καὶ γὰρ καὶ αὐτὴ*, φησὶν, *ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ.* Ὅταν δὲ ἀκούσῃς, ὅτι στενάζει καὶ ὠδίνει, μὴ λογικὴν εἶναι νόμιζε, ἀλλὰ μάνθανε τῆς Γραφῆς τὸ εἰδός. Ὅταν γὰρ βούληται ὁ Θεὸς [144] μέγα καὶ χρηστὸν ἀναγγεῖλαι τοῖς ἀνθρώποις διὰ τῶν προφητῶν, καὶ αὐτὰ τὰ ἄψυχα αἰσθάνεσθαι ποιεῖ τῶν γινομένων θαυμάτων τὸ μέγεθος· οὐχ ἐπειδὴ αἰσθάνεσθαι τὴν κτίσιν φαμὲν, ἀλλ' ἵνα τῶν θαυμάτων τὸ μέγεθος παραστῆσαι δυνηθῇ ἐκ τῶν συμβαινόντων τοῖς ἀνθρώποις. Τοῦτο δὴ καὶ ἡμῖν ἔθος λέγειν, ὅταν τι τῶν ἀδοκήτων συμβῇ, [ὅτι αὐτὴ ἡ πόλις ἐστύγνασεν, αὐτὸ τὸ ἔδαφος σκυθρωπὸν ἐγένετο·] καὶ ἐπὶ τῶν φοβερῶν δὲ ἀνθρώπων καὶ θηριώδη θυμὸν ἐχόντων τοῦτο αὐτὸ εἴποι τις ἄν· ὅτι αὐτὰ τὰ θεμέλια διέσεισεν, αὐτοὶ οἱ λίθοι αὐτὸν ἐτρόμαξαν· οὐκ ἐπειδὴ ὄντως οἱ λίθοι τοῦτον ἐτρόμαξαν, ἀλλ' ἵνα τὴν ὑπερβολὴν τῆς θηριώδους καρδίας αὐτοῦ καὶ τὸν θυμὸν παραστῆσαι δυνηθῶσι. Διὰ δὴ τοῦτο καὶ ὁ θαυμάσιος προφήτης Δαυὶδ ἀπαγγέλλων τὰ ἀγαθὰ τὰ τοῖς Ἰουδαίοις συμβάντα, καὶ τὴν ἡδονὴν τὴν ἐκ τῆς ἐλευθερίας Αἰγύπτου ἐγγινομένην αὐτοῖς, ἔλεγεν· *Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, οἴκου Ἰακὼβ ἐκ λαοῦ βαρβάρου, ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ, Ἰσραὴλ ἐξουσία αὐτοῦ· ἡ θάλασσα εἶδε, καὶ ἔφυγεν, ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω· τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοὶ, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων, ἀπὸ προσώπου Κυρίου.* Καὶ τοῦτο οὐδαμοῦ γενόμενον ἤκουσέ τις. Ἡ μὲν γὰρ θάλασσα, καὶ ὁ Ἰορδάνης ἀνεστράφη εἰς τὰ ὀπίσω προστάγματι τοῦ Θεοῦ· τὰ δὲ ὄρη καὶ οἱ βουνοὶ οὐκ ἐσκίρτησαν· ἀλλ', ὅπερ ἔφθην εἰπὼν, τὴν ὑπερβολὴν τῆς ἡδονῆς παραστῆσαι βουλόμενος, καὶ τὴν ἄνεσιν τὴν ἐκ τῆς τῶν Αἰγυπτίων κακώσεως ὑπηργμένην αὐτοῖς, καὶ αὐτὰ τὰ ἄψυχα σκιρτᾷν ἔλεγε καὶ πηδᾷν ἐπὶ τοῖς συμβεβηκόσιν αὐτοῖς χρηστοῖς· ὡς ὅταν τι καὶ λυπηρὸν ἀπαγγεῖλαι βούληται ἐξ ἡμετέρας ἁμαρτίας τικτόμενον, φησὶν· *Πενθήσει οἶνος, πενθήσει καὶ ἄμπελος·* καὶ ἀλλαχοῦ· *Ὁδοὶ Σιὼν πενθοῦσιν·* ἀλλὰ καὶ δακρύειν τὰ ἀναίσθητα λέγει· *Τεῖχος γὰρ θυγατρὸς Σιὼν, κατάγαγε δάκρυα*, φησί· καὶ αὐτὴν δὲ τὴν γῆν, καὶ Ἰουδαίαν πενθεῖν λέγει καὶ μεθύειν τῇ λύπῃ οὐχ ὡς τῶν στοιχείων αἰσθανομένων ταύτων, ἀλλ' ὅπερ ἔφθην εἰπὼν, ἕκαστος τῶν προφητῶν τὴν ὑπερβολὴν τῶν ἐκ Θεοῦ χορηγουμένων ἡμῖν ἀγαθῶν, καὶ τῶν τιμωριῶν τῶν ἐκ τῆς ἡμετέρας κακίας ἐπαγομένων ἡμῖν παραστῆσαι θέλων· διὸ δὴ καὶ ὁ μακάριος Παῦλος καὶ αὐτὸς τὴν κτίσιν εἰσάγει στενάζουσαν καὶ ὀδυνωμένην, ἵνα τὸ μέγεθος τῶν δωρεῶν τοῦ Θεοῦ τῶν μετὰ ταῦτα διαδεξομένων ἡμᾶς παραστῆσαι δυνηθῇ.

γ'. Ἀλλὰ ταῦτα πάντα, φησὶν, ἐν ἐλπίσιν· ὁ δὲ μικρόψυχος καὶ ταλαίπωρος ἄνθρωπος, καὶ νῦν τῆς εἰδωλολατρείας ἀπαλλαγεὶς, καὶ οὐκ εἰδὼς περὶ τῶν μελλόντων φιλοσοφεῖν, οὐ σφόδρα τούτοις διορθοῦται τοῖς λόγοις, ἀλλὰ ζητεῖ καὶ ἐν τῷ παρόντι καιρῷ εὑρέσθαι τινὰ παραμυθίαν. Διὰ δὴ τοῦτο καὶ ὁ σοφὸς οὗτος διδάσκαλος, καὶ πάντα εἰδὼς, οὐκ ἀπὸ τῶν μελλόντων μόνον παραμυθεῖται[b] ἀγαθῶν, ἀλλὰ καὶ ἀπὸ τῶν παρόντων ἀλείφει χρηστῶν. Καὶ πρῶτον μὲν τὰ ὑπηργμένα προλέγει τῇ οἰκουμένῃ ἀγαθὰ, τὰ οὐκ [145] ἐν ἐλπίσι καὶ προσδοκίᾳ, ἀλλ' ἐν πείρᾳ καὶ ἀπολαύσει γενόμενα (ἅπερ καὶ τῶν μελλόντων καὶ ἐλπιζομένων μεγίστη καὶ σαφεστάτη ἀπόδειξίς ἐστι), καὶ πολὺν περὶ πίστεως κατατείνας τὸν λόγον, καὶ τοῦ πατριάρχου Ἀβραὰμ μνημονεύσας (καὶ τῆς φύσεως ἀπαγορευούσης τοῦ πατέρα αὐτὸν ἔσεσθαι, ἤλπισε καὶ προσεδόκησε, καὶ ἐπείσθη ἔσεσθαι, διὸ καὶ ἐγένετο), κἀκεῖθεν ἀνάγων εἰς τὸ μὴ δεῖν ποτε εἰς τὴν τῶν λογισμῶν καταπίπτειν ἀσθένειαν, ἀλλὰ τῷ μεγέθει τῆς πίστεως ὀρθοῦσθαι καὶ διανίστασθαι καὶ ὑψηλὰ φρονεῖν· μετὰ ταῦτα λέγει καὶ τῶν ὑπηργμένων τὸ μέγεθος. Τί δὲ τοῦτό ἐστιν; Ὅτι τὸν Υἱὸν, φησὶ, τὸν μονογενῆ, τὸν γνήσιον, τὸν ἀγαπητὸν, τοῦτον ὁ Θεὸς ὑπὲρ ἡμῶν τῶν ἀγνωμόνων ἔδωκεν οἰκετῶν, καὶ τοὺς μυρίοις βεβαρημένους ἁμαρτήμασι, καὶ τοσούτοις φορτίοις πιεζομένους πλημμελημάτων, οὐχὶ τῶν ἁμαρτημάτων ἀπήλλαξε μόνον, ἀλλὰ καὶ δικαίους εἰργάσατο, οὐδὲν φορτικὸν, οὐδὲ ἐπίπονον ἐπιτάξας, οὐδὲ ἐπαχθὲς, ἀλλὰ πίστιν ζητήσας παρ' ἡμῶν μόνον, καὶ δικαίους ἐποίησε καὶ ἁγίους κατεσκεύασε, καὶ υἱοὺς Θεοῦ ἀπέφηνε, καὶ βασιλείας κληρονόμους ἀπέδειξε, καὶ τοῦ Μονογενοῦς συγκληρονόμους ἀπειργάσατο, καὶ ἀνάστασιν ἐπηγγείλατο, καὶ ἀφθαρσίαν σωμάτων, καὶ λῆξιν μετὰ ἀγγέλων, πάντα λόγον καὶ νοῦν ὑπερβαίνουσαν, καὶ τὴν ἐν οὐρανοῖς διατριβήν, καὶ τὴν μετ' αὐτοῦ ὁμιλίαν καὶ ἁγίου Πνεύματος ἐντεῦθεν ἤδη χάριν ἐξέχεε, καὶ τῆς τοῦ διαβόλου κατοχῆς ἡμᾶς ἀπήλλαξε, καὶ τῶν δαιμόνων ἡμᾶς ἐρρύσατο, καὶ τὴν ἁμαρτίαν κατέλυσε, καὶ τὴν κατάραν ἠφάνισε, καὶ ᾅδου πύλας συνέκλασε, καὶ τὸν παράδεισον ἠνέῳξεν, οὐκ ἄγγελον, οὐκ ἀρχάγγελον, ἀλλ' αὐτὸν ἀπέστειλε τὸν Μονογενῆ ὑπὲρ τῆς σωτηρίας τῆς ἡμετέρας, ὡς φησι διὰ τοῦ προφήτου· *Οὐ πρέσβυς, οὐδὲ ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν ἡμᾶς.* Ταῦτα οὐ μυρίων στεφάνων λαμπρότερα; ὅτι ἡγιάσθημεν; ὅτι ἐδικαιώθημεν; ὅτι διὰ πίστεως; ὅτι τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ ἐξ οὐρανῶν κατελθόντος ὑπὲρ ἡμῶν; ὅτι τοῦ Πατρὸς τὸν ἀγαπητὸν αὐτοῦ δεδωκότος δι' ἡμᾶς; ὅτι Πνεῦμα ἅγιον ἐδεξάμεθα; ὅτι μετ' εὐκολίας ἁπάσης; ὅτι χάριτος ἀφάτου καὶ δωρεᾶς ἀπελαύσαμεν; Ταῦτα τοίνυν εἰπὼν, καὶ διὰ μικρῶν

[a] Colbertinus τὴν ὑπερβολὴν τῆς ἡδονῆς παραστῆσαι βουλόμενος, καὶ τὴν ἄνεσιν τὴν ἐκ τῆς τῶν Αἰγυπτίων,... τὴν ὑπερβολὴν τῶν ἐκ τοῦ Θεοῦ χορ.

[b] Sic Morel., Savil. ex conj. in marg., et unus cod Savil. in textu et alius προθυμεῖται.

ῥημάτων ἅπαντα δηλώσας, πάλιν εἰς τὴν ἐλπίδα τὸν λόγον κατέλυσεν. Εἰπὼν γάρ, *Δικαιωθέντες οὖν ἐκ πίστεως, εἰρήνην ἔχομεν πρὸς τὸν Θεὸν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ τὴν προσαγωγὴν ἐσχήκαμεν τῇ πίστει εἰς τὴν χάριν ταύτην, ἐν ᾗ ἑστήκαμεν*, ἐπήγαγε· *Καὶ καυχώμεθα ἐπὶ τῇ ἐλπίδι τῆς δόξης τοῦ Θεοῦ*. Ἐπεὶ οὖν εἶπε τὰ μὲν γεγενημένα, τὰ δὲ μέλλοντα· τὸ μὲν γὰρ δικαιωθῆναι, καὶ τὸ τὸν Υἱὸν ὑπὲρ ἡμῶν σφαγῆναι, καὶ τὸ δι' αὐτοῦ τῷ Πατρὶ προσαχθῆναι, καὶ τὸ χάριτος ἀπολαῦσαι, καὶ δωρεᾶς, καὶ τὸ ἁμαρτημάτων ἀπαλλαγῆναι, καὶ τὸ εἰρήνην ἔχειν πρὸς τὸν Θεὸν, καὶ τὸ ἁγίου Πνεύματος μετασχεῖν, ταῦτα γεγενημένων ἐστί· τὰ δὲ μέλλοντα ἦν, ἡ δόξα ἐκείνη ἡ ἀπόῤῥητος· ὃ καὶ αὐτὸ ἐπήγαγε, λέγων· *Ἐν ᾗ ἑστήκαμεν, καὶ καυχώμεθα ἐπὶ ἐλπίδι τῆς δόξης τοῦ Θεοῦ*· ἡ [146] δὲ ἐλπὶς, ὥσπερ ἔφθην εἰπὼν, οὐ σφόδρα ἱκανὴ τὸν μικρόψυχον ὀρθῶσαι καὶ ἀναστῆσαι ἀκροατήν· ὅρα τί ποιεῖ πάλιν, καὶ θέασαι τὴν εὐτονίαν Παύλου, καὶ τὴν φιλόσοφον γνώμην. Ἀπὸ γὰρ αὐτῶν τῶν δοκούντων λυπεῖν καὶ θορυβεῖν καὶ ταράττειν τὸν ἀκροατὴν, ἀπ' αὐτῶν τούτων ἀναπλέκει τῆς παρακλήσεως καὶ τοῦ καυχήματος τοὺς στεφάνους. Ἐπειδὴ γὰρ ταῦτα πάντα κατέλεξε, λοιπὸν ἐπάγει λέγων· Οὐ μόνον ταυτα λέγω, ἅπερ εἶπον, φησὶν, οἷον τὸ, ὅτι ἡγιάσθημεν, ὅτι ἐδικαιώθημεν, ὅτι διὰ τοῦ Μονογενοῦς, ὅτι χάριτος ἀπηλαύσαμεν, ὅτι εἰρήνης, ὅτι δωρεᾶς, ὅτι ἁμαρτημάτων ἀφέσεως, ὅτι Πνεύματος ἁγίου κοινωνίας, ὅτι μετ' εὐκολίας ἁπάσης, ὅτι καὶ χωρὶς μόχθων, καὶ χωρὶς ἱδρώτων, ὅτι πίστει μόνῃ, ὅτι τὸν Υἱὸν ἔπεμψε τὸν μονογενῆ, ὅτι τὸ μὲν ἔδωκε, τὸ δὲ ἐπηγγείλατο, δόξαν ἄῤῥητον, ἀφθαρσίαν, σωμάτων ἀνάστασιν, λῆξιν ἀγγελικὴν, τὴν μετὰ Χριστοῦ διαγωγὴν, τὴν ἐν οὐρανοῖς διατριβήν· ταῦτα γὰρ ἅπαντα παρέστησεν ἐν τῷ εἰπεῖν, *Καὶ καυχώμεθα ἐπ' ἐλπίδι τῆς δόξης τοῦ Θεοῦ*.

Οὐ τοίνυν ταῦτα λέγει μόνον τὰ γενόμενα καὶ τὰ ἐσόμενα, ἀλλὰ καὶ αὐτὰ τὰ δοκοῦντα εἶναι ἐν ἀνθρώποις λυπηρὰ, τὰ δικαστήρια λέγω, τὰς ἀπαγωγὰς, τοὺς θανάτους, τὰς ἀπειλὰς, τοὺς λιμοὺς, τὰς βασάνους, τὰ τήγανα, τὰς καμίνους, τὴν λεηλασίαν, τοὺς πολέμους, τὰς πολιορκίας. τὰς μάχας, τὰς στάσεις, τὰς φιλονεικίας, καὶ ταῦτα τίθησιν ἐν τάξει δωρεᾶς καὶ κατορθωμάτων. Οὐ γὰρ ἐπ' ἐκείνοις μόνοις τοῖς εἰρημένοις χαίρειν δεῖ καὶ γεγηθέναι, ἀλλὰ καὶ ἐν τούτοις καυχᾶσθαι χρὴ, ὡς ὅταν λέγῃ· *Νῦν χαίρω ἐν τοῖς παθήμασί μου ὑπὲρ ὑμῶν, καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου*. Εἶδες ψυχὴν εὔτονον, καὶ γνώμην ὑψηλὴν, καὶ φρόνημα ἀπερίτρεπτον, οὐκ ἐπὶ τοῖς στεφάνοις καλλωπιζόμενον μόνον, ἀλλὰ καὶ ἐπὶ τοῖς ἀγωνίσμασιν ἐνηδυνόμενον; οὐκ ἐπὶ ταῖς ἀμοιβαῖς χαίροντα, ἀλλὰ καὶ ἐπὶ τοῖς παλαίσμασιν ἐναβρυνόμενον; οὐκ ἐπὶ ταῖς ἀντιδόσεσιν εὐφραινόμενον, ἀλλὰ καὶ ἐν αὐτῷ τῷ παγκρατίῳ καυχώμενον; Μὴ γάρ μοι λέγε τὴν βασιλείαν τῶν οὐρανῶν, μηδὲ τοὺς στεφάνους ἐκείνους τοὺς ἀκηράτους, μηδὲ τὰ βραβεῖα, ἀλλ' αὐτὰ τὰ παρόντα, τὰ θλίψιν ἔχοντα καὶ μόχθον καὶ ταλαιπωρίαν πολλήν· ταῦτα εἰς μέσον ἄγε, καὶ δυνήσομαι δεῖξαι, ὅτι ἐπὶ τούτοις καυχᾶσθαι δεῖ μᾶλλον μειζόνως. Ἐπὶ μὲν γὰρ τῶν ἔξωθεν ἀγώνων τὰ μὲν παλαίσματα τὸν πόνον ἔχει, ὁ δὲ στέφανος τὴν ἡδονήν· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ καὶ πρὸ τῶν στεφάνων αὐτὰ τὰ παλαίσματα πολὺ φέρει τὸ καύχημα. Καὶ ἵνα μάθητε ὅτι ταῦτα τοῦτον ἔχει τὸν τρόπον, ἀναλογίσασθε ἕκαστον τῶν ἁγίων τῶν ἐφ' ἑκάστης γενεᾶς, ὡς φησιν· *Ὑπόδειγμα λάβετε, ἀδελφοὶ, τῆς κακοπαθείας καὶ τῆς ὑπομονῆς* [a], *τοὺς προφήτας, οἳ ἐλάλησαν τὸν λόγον ἐν ὀνόματι Κυρίου*. Ἀλλὰ γὰρ καὶ οὗτος ὁ νῦν ἡμῖν τὸν ἀγῶνα τοῦτον προτείνας, καὶ τὸ παρὸν πνευματικὸν θέατρον συγκροτήσας, Παῦλον λέγω, μετὰ τὸ τὰς μυρίας αὐτὸν ἐκείνας ἑκάστου τῶν ἁγίων καταλέξαι ταλαιπωρίας, ἃς μηδὲ ῥᾴδιον νῦν κατὰ λόγον διεξιέναι, ἐπάγει λέγων· *Περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν* [b] *ἄξιος ὁ κόσμος* [147], καὶ ἐπὶ τούτοις πᾶσιν ἀγαλλόμενοι. Τοῦτο δὲ αὐτὸ ἴδοι τις ἄν, ὅτε μετὰ τὴν φυλακὴν καὶ τὰς λοιδορίας μαστιχθέντες ἀπηλαύνοντο, τί φησιν; *Οἱ μὲν οὖν ἐπορεύοντο χαίροντες ἀπὸ προσώπου τοῦ συνεδρίου, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἀτιμασθῆναι*.

δ'. Ἀλλὰ γὰρ καὶ ἐπὶ ἡμῶν ταῦτα γέγονε· καὶ εἰ βούλοιτό τις, ἐνθυμηθήτω ἃ λέγω, ἐν τῷ καιρῷ τῶν διωγμῶν οἷα συνέβαινεν. Εἰσῄει παρθένος ἁπαλὴ καὶ ἀπειρόγαμος, κηροῦ μαλακώτερον ἔχουσα σῶμα· εἶτα τῷ ξύλῳ προσηλωθεῖσα πάντοθεν, διωρύττετο τὰς πλευρὰς καταξεομένη, καὶ κατερῤῥεῖτο τῷ αἵματι, καὶ καθάπερ νυμφευομένη μᾶλλον καὶ ἐν παστάδι καθημένη. οὕτω μετ' εὐνοίας [c] ἔφερε τὰ γινόμενα διὰ τὴν βασιλείαν τῶν οὐρανῶν, ἐν αὐτοῖς τοῖς ἀγῶσι στεφανουμένη. Ἐννόησον ἡλίκον ἦν ἰδεῖν τύραννον μετὰ στρατοπέδων καὶ ξιφῶν ἠχουμένων καὶ ὅπλων τοσούτων ἀπὸ μιᾶς κόρης νικώμενον. Ὁρᾷς ὅτι καὶ αὐτὴ ἡ θλῖψις καύχησιν ἔχει μεγίστην; Καὶ μαρτυρεῖτε τοῖς λεγομένοις ὑμεῖς. Οὔπω γὰρ τῶν μαρτύρων ἀπολαβόντων τὰς ἀμοιβὰς, οὐδὲ τὰ βραβεῖα καὶ τοὺς στεφάνους, ἀλλ' εἰς κόνιν διαλυθέντων καὶ τέφραν, μετὰ πάσης προθυμίας συντρέχομεν εἰς τὰς ἐκείνων τιμὰς, καὶ θέατρον συγκροτοῦμεν πνευματικὸν, καὶ ἀνακηρύττομεν τούτους, καὶ στεφανοῦμεν αὐτοὺς διά τε τὰ τραύματα καὶ τὸ αἷμα, διὰ τὰς βασάνους καὶ τὰς πληγὰς, διὰ τὰς θλίψεις ἐκείνας καὶ τὰς στενοχωρίας· οὕτω καὶ αὐταὶ αἱ θλίψεις καύχημα ἔχουσι καὶ πρὸ τῆς ἀμοιβῆς. Ἐννόησον ἡλίκος ἦν ὁ Παῦλος τότε τὰ δεσμωτήρια οἴκων, καὶ εἰς δικαστήρια ἐπαγόμενος, πῶς περίβλεπτος, πῶς λαμπρὸς, καὶ περιφανὴς παρὰ πᾶσιν ἐφαίνετο, μάλιστα δὲ παρ' ὧν ἐπολεμεῖτο, καὶ ἐπεβουλεύετο. Καὶ τί λέγω, ἀνθρώποις περίβλεπτος, ὅπου γε καὶ τοῖς δαίμοσι τότε μᾶλλον ἦν φοβερὸς, ὅτε ἐμαστίζετο; Ὅτε δὲ ἐδεσμεῖτο, ὅτε ἐναυάγει, τότε τὰ μέγιστα εἰργάζετο σημεῖα, τότε μειζόνως περιεγένετο τῶν ἀντικειμένων δυνάμεων. Εἰδὼς οὖν καλῶς τὸ ἀπὸ τῶν θλίψεων τούτων προσγινόμενον τῇ ψυχῇ κέρδος, ἔλεγεν· *Ὅταν ἀσθενῶ, τότε δυνατός εἰμι*· εἶτα ἐπάγει· *Διὸ εὐδοκῶ ἐν ἀσθενείαις, ἐν ὕβρεσιν, ἐν ἀνάγκαις, ἐν διωγμοῖς*,

[a] Colb. κακοπαθείας καὶ τῆς μακροθυμίας.

[b] Mss. δέρμασιν ἐν ἐρημίαις πλανώμενοι, καὶ ὄρεσι, καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς, διωκόμενοι, ὑστερούμενοι ὧν οὐκ ἦν.

[c] Mss. μετ' εὐκολίας, Editi μετ' εὐνοίας.

paucis verbis omnia declarasset, rursus commemoratione spei sermonem finivit. Cum enim dixisset, *Justificati igitur ex fide pacem habemus ad Deum per Dominum nostrum Jesum Christum, per quem et habuimus accessum per fidem in gratiam, in qua stamus*, adjecit, *Et gloriamur in spe gloriæ Dei* (*Rom.* 5. 1. 2). Postquam igitur dixit partim quæ jam evenerant, partim quæ eventura erant : nam quod justificati quidem sumus, quodque pro nobis et immolatus est Filius, et quod per eum accessum ad Patrem obtinuimus, quod gratiam et donum adepti sumus, quod a peccatis liberati sumus, quod ad Deum pacem habemus, et Spiritus sancti participes fuimus, hæc ex iis sunt quæ jam evenerunt : quæ vero sunt eventura, gloria nimirum est illa ineffabilis, quod ipsum etiam adjecit dicens : *In qua stamus, et gloriamur in spe gloriæ Dei* (*Rom.* 5. 2) : porro spes, ut ante dixi, ad pusillanimem auditorem erigendum et excitandum non admodum est idonea : vide quid rursus faciat, et constantiam Pauli considera ac philosophicam mentem. Ex illis enim ipsis, quæ tristitiam aut perturbationem afferre videbantur, et auditorem turbare, ex his consolationis et gloriationis coronas contexit. His enim omnibus enumeratis deinceps adjicit dicens : Non solum hæc aio, quæ nunc dixi, quod nimirum sanctificati sumus, quod justificati, quod per Unigenitum, quod gratia potiti sumus, quod pace, quod dono, quod remissione peccatorum, quod communicatione Spiritus sancti, quod omni cum facilitate, quod absque labore, absque sudore, quod sola fide, quod Filium misit unigenitum, quod unum quidem largitus est, alterum vero promisit, ineffabilem gloriam, immortalitatem, resurrectionem corporum, conditionem et sortem angelicam, consuetudinem cum Christo, habitationem in cælis : hæc enim omnia verbis illis complexus est, *Gloriamur in spe gloriæ Dei* (*Rom.* 5. 2).

Ipsæ afflictiones sunt lætitiæ occasiones. — Non hæc igitur solum dicit, quæ contigerunt, et quæ sunt futura : sed ea quoque ipsa, quæ inter homines molesta censentur, tribunalia nimirum, carceres, mortes, minas, famem, tormenta, sartagines, fornaces, depræ dationem, bella, oppugnationes, pugnas, seditiones, contentiones, hæc quoque refert in numerum donorum ac recte factorum. Non enim ob illa solum, quæ dicta sunt, lætandum est atque gaudendum, sed in his etiam gloriandum, ut cum ait, *Nunc gaudeo in passionibus meis pro vobis, et adimpleo ea quæ desunt passionum Christi in carne mea* (*Col.* 1. 24). Vides animam fortem, mentem sublimem, spiritum invictum, qui non ob coronas tantum gloriatur, sed et certaminibus ipsis oblectatur? non solum ob præmia gaudet, sed in luctis etiam exsultat? non modo propter retributiones lætatur, sed et ipso pancratio gloriatur? Ne mihi enim regnum cælorum commemora, neque coronas illas immarcescibiles, nec præmia, sed res ipsas præsentes, in quibus multa inest afflictio, labor, et molestia plurima : hæc profer in medium, et ostendere potero propter ista multo amplius esse gloriandum. Nam in profanis quidem agonibus laborem habent certamina, coronæ autem, voluptatem : hic vero non ita; sed ante coronas ipsa certamina multam occasionem afferunt gloriandi. Atque ut hæc ita se habere intelligatis, unumquemque sanctorum per singulas generationes considerate, ut inquit ille, *Exemplum accipite, fratres, laboris et patientiæ, prophetas, qui loquuti sunt verbum in nomine Domini* (*Jac.* 5. 10). Quinetiam hic ipse qui nobis hoc certamen proposuit, et hoc spirituale theatrum convocavit, Paulus, inquam, postquam innumeras singulorum sanctorum afflictiones recensuit, quas neque nunc persequi numerando facile fuerit, adjungit dicens : *Circuierunt in melotis, in pellibus caprinis egentes, angustiati, afflicti : quibus dignus non erat mundus*[1] (*Hebr.* 11. 37. 38), et tamen propter hæc omnia lætabantur. Hoc vero cernere quivis potest, quando post carcerem, et probra cæsi verberibus ejiciebantur : quid ait? *Et illi quidem ibant gaudentes a conspectu consilii, quoniam digni habiti sunt pro nomine Jesu contumeliam pati* (*Act.* 5. 41).

4. *Martyrum egregia certamina. Paulus dæmonibus terribilis in afflictionibus.*— Verum enim vero hæc nostra etiam ætate contigerunt; ac si velit, cogitet quivis ea quæ dico, qualia tempore persequutionum acciderint. Ingrediebatur virgo tenera et innupta, cera quavis mollius habens corpus, tum affixa equuleo derasis lateribus perfodiebatur, et sanguine tota perfusa erat; at perinde quasi sponsa esset potius, et in thalamo sederet, ita libenter ea quæ fiebant ob regnum cælorum perferebat, in ipsis certaminibus coronam percipiens. Cogita quale spectaculum esset tyrannum cernere cum suis exercitibus, cum acuminatis ensibus, cum tot armis, quæ ab una puella vincebantur. Vides ipsam etiam afflictionem cum maxima gloriatione esse conjunctam? Vos vero nobis testes eorum estis quæ diximus. Cum enim nondum mercedes neque præmia receperint martyres, nec coronas, sed in pulverem ac cinerem abierint, summo studio ad eorum honores concurrimus, ac theatrum spirituale convocamus, victores eos renuntiamus, et coronamus propter vulnera, sanguinem, tormenta, plagas, afflictiones illas et angustias : sic fit ut et ipsæ afflictiones gloriationem suam habeant vel ante retributionem. Cogita quantus vir esset tum temporis Paulus, cum carceres habitaret, et ad tribunalia traheretur, quam conspicuus, quam celebris et illustris apud omnes appareret, præcipue vero apud eos, a quibus oppugnabatur et insidiis appetebatur. Sed quid ego conspicuum hominibus eum fuisse dico, quando vel ipsis dæmonibus tum magis fuit formidabilis, cum virgis cæderetur? Cum vero esset in vinculis, cum naufragia pateretur, tum maxima edebat miracula, tum magis adversarias potestates superabat. Cum igitur probe nosset, quantum ex his afflictionibus animæ lucrum obveniret, dicebat : *Cum infirmor, tunc potens sum* : deinde addit : *Propter quod placeo mihi in infirmitatibus, in contumeliis, in necessitatibus, in per-*

[1] Mss. post, *caprinis*, addunt, *in solitudinibus errantes, et montibus, et cavernis, et antris terræ, nisi, egentes, quibus dignus non erat mundus.*

sequutionibus, in angustiis, ut *inhabitet in me virtus Christi* (2. *Cor.* 12. 10. 9). Idcirco etiam cum ad quosdam scriberet Corinthi degentes, et in eos invehereturr, qui de se magnifice sentiebant, alios vero damnabant, epistolæ formam exprimens nobis, coactus est suorum recte factorum imaginem depingere, idque non ex signis, non ex miraculis, non ex honore, non ex deliciis, sed ex carceribus, ex judiciis, ex fame, ex frigore, ex bellis, ex insidiis, ejusmodi verbis eos alloquens : *Ministri Christi sunt, ut minus sapiens dico, plus ego*, et indicans illud *Plus*, et in quo emineret, inquit, *In laboribus amplius, in carceribus abundantius, in plagis supra modum, in mortibus frequenter* (2. *Cor.* 11. 23), et quæ sequuntur : *Si gloriari oportet, in iis quæ infirmitatis meæ sunt gloriabor* (2. *Cor.* 11. 30).

Gloria voluptatem affert. Præmium justorum in hac vita. — Vides eum in his multo amplius gloriari, quam ob splendidas coronas sibi placere, atque idcirco dicere, *Non solum autem, sed et gloriamur in tribulationibus?* Quid est autem illud, *Non solum?* Non solum, inquit, non animum despondemus afflicti ærumnis oppressi, sed tamquam majorem ad honorem gloriamque provecti, gloriamur potius ob ea, quæ nobis contingunt, incommoda. Deinde quoniam maximam oriri gloriam, laudem et jactationem ex tribulationibus dixit, gloriam vero certum est voluptatem afferre : ubi enim voluptas est, omnino est etiam gloria : ubi vero talis gloria, ibi omnino est etiam voluptas : postquam igitur affligi splendidum quid et illustre esse demonstravit, et gloriationis occasionem afferre, alium ejus effectum maximum narrat fructumque summum ac stupendum. Quis ille porro sit videamus. *Scientes igitur*, inquit, *quod tribulatio patientiam operatur, patientia autem probationem, probatio vero spem, spes autem non confundit* (*Rom.* 5. 3 - 5). Quid est, *Scientes quod tribulatio patientiam* (*a*) *operatur?* Hunc maximum fructum habet, quod hominem afflictum robustiorem reddit. Nam quemadmodum arbores, quæ in umbrosis ac ventorum expertibus locis aluntur, cum externa specie prospere germinent, molles fiunt atque fungosæ, et facile quovis incursu læduntur ; quæ vero in excelsis montium verticibus sitæ sunt, a multis magnisque ventis agitantur, intemperiem aeris assidue ferunt, gravissima tempestate pulsantur, et multa nive feriuntur, ferro quovis robustiores evadunt : pari ratione corpora, quæ multis ac variis in deliciis educantur, quæ mollibus vestimentis ornantur, quæ continuis balneis et unguentis ungantur, ac diversi generis alimentis præter usum necessarium delicate fruuntur, prorsus ad sudores laboresque pro religione subeundos inutilia redduntur, maximoque supplicio sunt obnoxia : sic nimirum et animæ, quæ miseriarum expertem vitam ducunt, quæ deliciis affluunt, quæ libenter præsentibus rebus sunt deditæ, ac vitam doloris expertem præferunt afflictionibus pro regno cœlorum more sanctorum omnium subeundis, cera quavis molliores et imbecilliores effectæ, igni pabulum exponuntur æterno ; quæ vero periculis, laboribus et ærumnis afflictionis Dei causa tolerandæ sunt expositæ, atque in ipsis enutritæ, ferro ipso vel adamante solidiores fiunt ac generosiores, et ex eo quod assidue vexentur, inexpugnabiles adversariis redduntur, et invictum quemdam patientiæ ac fortitudinis habitum acquirunt. Et quemadmodum ii, qui cum primum navim conscendunt, nauseant et capitis vertigine laborant turbati ac fastidio correpti : qui vero multa longaque maria sunt emensi, qui millies se fluctibus audacter commiserunt, et crebra sunt passi naufragia, peregrinationem ejusmodi confidenter aggrediuntur : sic nimirum et anima, quæ multas sustinuit tentationes, et magnas pertulit afflictiones, laboribus deinceps assuefacta, et sibi comparato habitu patientiæ, non amplius est meticulosa, nec terroribus obnoxia, nec ingruentibus malis turbatur : sed assidua rerum quæ accidunt exercitatione, ac frequenti casuum meditatione roborata, quæcumque insurgunt incommoda fert facillime. Hoc itaque peritus ille cælestis conversationis architectus indicans dicebat : *Non solum autem, sed et gloriamur in tribulationibus* : quoniam ante regni coronarumque cælestium adeptionem maximum hinc præmium reportamus, dum per assiduas afflictiones tolerantior anima nostra redditur, et ratio fortior evadit. Hæc igitur omnia cum nobis explorata sint, dilectissimi, generose quæcumque accidunt adversa toleremus, quod, cum ita Deo visum fuerit, ad utilitatem nostram id fiat, neque spem abjiciamus, nec animis concidamus, afflictionum impressione prostrati, sed fortiter stantes pro collatis in nos beneficiis perpetuo gratias Deo agamus, ut et præsentibus fruamur bonis et futura dona consequamur, gratia, misericordia, et benignitate Domini nostri Jesu Christi, cum quo Patri gloria et imperium, simulque sancto ac vivifico Spiritui, nunc et semper, et in sæcula sæculorum. Amen.

(*a*) Reg. totum refert Pauli locum.

ἐν παθήμασιν, ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ. Διὰ τοῦτο καὶ πρός τινας ἐν Κορίνθῳ διατρίβοντας, καὶ πρὸς τούτους ἀποτεινόμενος μεγαλοφρονοῦντας ἐφ' ἑαυτοῖς, τῶν δὲ λοιπῶν καταψηφιζομένους, τὸν χαρακτῆρα τῆς Ἐπιστολῆς[a] ἀπογράφων, ἀνάγκην ἔσχεν ἐντεῦθεν τῶν καθ' ἑαυτὸν κατορθωμάτων συνθεῖναι ἡμῖν τὴν εἰκόνα, καὶ τοῦτο οὐκ ἀπὸ τῶν σημείων, οὐκ ἀπὸ τῶν θαυμάτων, οὐκ ἀπὸ τῆς τιμῆς, οὐκ ἀπὸ τῆς ἀνέσεως, ἀλλ' ἀπὸ τῶν δεσμωτηρίων, καὶ τῶν δικαστηρίων, καὶ τοῦ λιμοῦ, καὶ τοῦ ψύχους, καὶ τῶν πολέμων, καὶ τῶν ἐπιβουλῶν, οὕτω λέγων αὐτοῖς· *Διάκονοι Χριστοῦ εἰσι· παραφρονῶν λαλῶ, ὑπὲρ ἐγώ·* καὶ δεικνὺς τὸ, Ὑπέρ, καὶ τὴν ὑπεροχὴν, φησίν· *Ἐν κόποις περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν φυλακαῖς περισσοτέρως, ἐν θανάτοις πολλάκις,* καὶ τὰ ἑξῆς· *Εἰ καυχᾶσθαι δεῖ, τὰ τῆς ἀσθενείας μου καυχήσομαι.*

Ὁρᾷς αὐτὸν ἐν τούτοις μᾶλλον [148] μειζόνως καυχώμενον, ἢ ἐπὶ λαμπροῖς στεφάνοις ἐγκαλλωπιζόμενον, καὶ διὰ τοῦτο λέγοντα· *Οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσι;* Τί δέ ἐστι τὸ, *Οὐ μόνον;* Οὐ μόνον, φησὶν, οὐκ ἐκκακοῦμεν θλιβόμενοι καὶ ταλαιπωροῦντες, ἀλλ' ὡς ἐπὶ μείζονι προκόπτοντες τιμῇ καὶ δόξῃ, καυχώμεθα μᾶλλον ἐπὶ τοῖς συμβαίνουσι θλιβεροῖς. Εἶτα, ἐπειδὴ δόξαν ἔφησεν εἶναι μεγίστην καὶ καύχημα ἀπὸ τῶν θλίψεων καὶ καλλωπισμόν· ἡ δὲ δόξα εὔδηλον ὅτι καὶ ἡδονὴν ἔχει· ὅπου γὰρ ἡδονὴ, πάντως ὅτι καὶ δόξα, ὅπου δὲ δόξα τοιαύτη, πάντως καὶ ἡδονή· ἐπειδὴ τοίνυν ἔδειξε λαμπρὸν καὶ περιφανὲς τὸ θλίβεσθαι καὶ ποιοῦν καλλωπίζεσθαι, λέγει ἕτερον αὐτοῦ κατόρθωμα μέγιστον, καὶ καρπὸν μέγιστόν τινα καὶ παράδοξον. Τίς δὲ οὗτός ἐστιν, ἴδωμεν. *Εἰδότες οὖν,* φησὶν, *ὅτι ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμὴν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει.* Τί ἐστίν· *Εἰδότες ὅτι ἡ θλῖψις ὑπομονὴν κατεργάζεται;* Τοῦτο μέγιστον ἔχει τὸν καρπὸν, ἰσχυρότερον ποιεῖ τὸν θλιβόμενον τοῦτο. Καθάπερ γὰρ τῶν δένδρων τὰ μὲν σκιατροφούμενα καὶ ἐν ἀπηνέμοις ἑστηκότα χωρίοις, εὐβαλοῦντα τῇ ἰδέᾳ, μαλακώτερα γίνεται καὶ χαῦνα, πάσῃ ἀνέμων προσβολῇ ταχέως βλαπτόμενα· τὰ δὲ ἐν κορυφαῖς ὀρέων ὑψηλοτέροις ἑστῶτα, καὶ πολλοῖς καὶ μεγάλοις ῥιπιζόμενα τοῖς ἀνέμοις, καὶ ἀνωμαλίαν ἀέρων συνεχῆ φέροντα, καὶ χαλεπωτάτῃ ζάλῃ κλονούμενα, καὶ χιόνι πολλῇ βαλλόμενα, σιδήρου παντὸς ἰσχυρότερα μᾶλλον καθέστηκε· καὶ σώματα δὲ ὁμοίως τὰ πολλαῖς καὶ ποικίλαις ἡδοναῖς συστρεφόμενα, καὶ μαλακοῖς ἱματίοις κοσμούμενα, καὶ συνεχέσι λουτροῖς καὶ μύροις κεχρημένα, καὶ πολυειδέσι τροφαῖς ὑπὲρ τὴν χρείαν τρυφῶντα, παντάπασιν ἄχρηστα πρὸς τοὺς ὑπὲρ τῆς εὐσεβείας ἱδρῶτας καὶ πόνους καθίστανται, κολάσεως ὄντα μεγίστης ὑπεύθυνα· οὕτω δὴ καὶ ψυχαὶ, αἱ μὲν τὸν ἀταλαίπωρον βίον μετιοῦσαι, καὶ ἀνέσεως γέμουσαι, καὶ τὸ ἡδέως διακεῖσθαι πρὸς τὰ παρόντα, καὶ τὸν ἀνάλγητον τοῦ διὰ τὴν βασιλείαν θλίβεσθαι κατὰ τοὺς ἁγίους ἅπαντας προτιμῶσαι βίον, κηροῦ παντὸς μαλακώτεραι μᾶλλον καὶ ἀσθενέστεραι καθιστάμεναι, αἰωνίου πυρὸς κατάβρωμα πρόκεινται· αἱ δὲ κινδύνοις καὶ πόνοις καὶ ταλαιπωρίαις τῆς διὰ τὸν Θεὸν θλίψεως ἐπιδεδομέναι, καὶ ἐν αὐταῖς συστρεφόμεναι, αὐτοῦ τοῦ σιδήρου ἢ τοῦ ἀδάμαντος στερρότεραι καὶ γενναιότεραι μᾶλλόν εἰσιν ἐκ τοῦ συνεχῶς πάσχειν κακῶς, τοῖς ἐπιοῦσιν ἀχείρωτοι καθιστάμεναι, καὶ ἕξιν τινὰ προσλαβοῦσαι ὑπομονῆς καὶ ἀνδρείας ἀκαταμάχητον. Καὶ καθάπερ οἱ μὲν πρῶτον νηὸς ἐπιβάντες ναυτιῶσί τε καὶ ἰλιγγιῶσι, ταραττόμενοι καὶ θορυβούμενοι ἀηδίᾳ καὶ σκοτοδινίᾳ κατεχόμενοι· οἱ δὲ πολλὰ καὶ μακρὰ διαβάντες πελάγη, καὶ μυρίων κυμάτων κατατολμήσαντες, καὶ ναυαγίων συνεχῶν ἀνασχόμενοι, μετὰ τοῦ θαρρεῖν ἅπτονται τῆς τοιαύτης ἀποδημίας· οὕτω δὴ καὶ ἡ ψυχὴ πολλοὺς ὑπομείνασα πειρασμοὺς, καὶ μεγάλας θλίψεις ἀνασχομένη, ἐν μελέτῃ λοιπὸν πόνων καὶ ἕξει καρτερίας [149] καθίσταται, οὐχ ὑπάρχουσα ψοφοδεὴς, οὐδὲ εὐπτόητος, οὐδὲ ταραττομένη τοῖς προσπίπτουσι λυπηροῖς, ἀλλ' ἀπὸ τῆς συνεχοῦς γυμνασίας τῶν συμβαινόντων, καὶ τῆς πυκνῆς μελέτης τῶν γινομένων, μετὰ πολλῆς τῆς εὐκολίας ἅπαντα φέρουσα τὰ ἐπιόντα δεινά. Τοῦτο τοίνυν ὁ σοφὸς ἀρχιτέκτων τῆς οὐρανίου πολιτείας δηλῶν, ἔλεγεν· *Οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν·* ὅτι πρὸ τῆς βασιλείας καὶ τῶν οὐρανίων στεφάνων μέγιστον ἐντεῦθεν καρπούμεθα τὸν μισθὸν, ἀπὸ τοῦ συνεχῶς θλίβεσθαι καρτερικωτέρας τῆς ψυχῆς ἡμῶν γινομένης, καὶ τῶν λογισμῶν ἰσχυροτέρων κατασκευαζομένων. Ταῦτ' οὖν ἅπαντα εἰδότες, ἀγαπητοὶ, φέρωμεν γενναίως τὰ προσπίπτοντα λυπηρὰ, διά τε τὸ τῷ Θεῷ δοκοῦν, καὶ ἐπὶ τῷ ἡμετέρῳ συμφέροντι, καὶ μὴ ἀλύωμεν, μήτε ἀναπίπτωμεν τῇ τῶν πειρασμῶν ἐπαγωγῇ, ἀλλὰ καὶ μετὰ ἀνδρείας ἁπάσης ἱστάμενοι, εὐχαριστῶμεν τῷ Θεῷ διηνεκῶς ὑπὲρ πασῶν τῶν εἰς ἡμᾶς τελουμένων εὐεργεσιῶν, ἵνα καὶ τῶν παρόντων ἀπολαύσωμεν ἀγαθῶν, καὶ τῶν μελλουσῶν ἐπιτύχωμεν δωρεῶν, χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ δόξα καὶ τὸ κράτος, ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[a] Montf. conjicit ἀποστολῆς. Vide hujus tomi Præfationem, col. 14.

MONITUM AD HOMILIAM IN ILLUD,

Hujus homiliæ exordium prorsus simile est procemio Concionis in debitorem decem millium talentorum : in utroque enim auditoribus gratulatur Chrysostomus, quod post diuturnum morbum, sui amantem cœtum, et abs se pari animi affectu redamatum, sibi quasi ex longinqua peregrinatione reduci iterum convenire et alloqui liceat. Inde vero arguunt viri quidam docti, cum illa prior Homilia de decem millium talentorum debitore Antiochiæ procul dubio habita fuerit anno 387, hanc verisimiliter Constantinopoli dictam fuisse. Non enim, inquiunt, eodem exordio usus esset in una eademque urbe ; sed cum Antiochiæ ægritudine levatus, hoc exorsus esset modo, postea quoque Constantinopoli, post restauratam iterum valetudinem, idem procemium apud auditores, quorum nullus sic unquam exorsum audierat,

[150] *Εἰς τὴν ἀποστολικὴν ῥῆσιν τὴν λέγουσαν, « Οἴδαμεν ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν, » καὶ περὶ ὑπομονῆς, καὶ ὅσον τῶν θλίψεων τὸ κέρδος.*

—

α'. Ὡς διὰ μακροῦ τοῦ χρόνου πρὸς ὑμᾶς παραγενόμενος, οὕτω διάκειμαι σήμερον. Εἰ γὰρ καὶ οἶκοι καθειργμένος ἐτύγχανον διὰ τὴν τοῦ σώματος ἀῤῥωστίαν, ἀλλ' ὡς μακράν που ἀπῳκισμένος τῆς ὑμετέρας ἀγάπης, οὕτω διεκείμην. Ὁ γὰρ φιλεῖν εἰδὼς ἀκριβῶς, ὅταν μὴ ἐξῇ τῷ φιλουμένῳ συγγίνεσθαι, κἂν τὴν αὐτὴν πόλιν οἰκῇ, τῶν ἐν ἀλλοτρίᾳ διατριβόντων οὐδὲν ἔλαττον διακείσεται. Καὶ τοῦτο ἴσασιν ὅσοι φιλεῖν ἴσασι. Σύγγνωτε τοίνυν ἡμῖν, παρακαλῶ· οὐ γὰρ ἀπὸ ῥᾳθυμίας ἡμῖν ὁ χωρισμὸς οὗτος γέγονεν, ἀλλ' ἀσθενείας σώματος ἦν ἡ σιγή. Καὶ οἶδα μὲν ὅτι χαίρετε νῦν πάντες ὑμεῖς ὅτι ἀπεθέμεθα τὴν ἀῤῥωστίαν· ἐγὼ δὲ χαίρω, οὐχ ὅτι τὴν ἀῤῥωστίαν μόνον ἀπεθέμην, ἀλλ' ὅτι καὶ τὰ ποθούμενα ὑμῶν πρόσωπα πάλιν ὁρᾶν δύναμαι, καὶ ἐντρυφᾶν ὑμῶν τῇ κατὰ Θεὸν ἀγάπῃ. Καὶ καθάπερ οἱ πολλοὶ τῶν ἀνθρώπων, μετὰ τὴν ἀπαλλαγὴν τῆς ἀῤῥωστίας, φιάλας καὶ ποτήρια καὶ ψυχρὰ νάματα ἐπιζητοῦσιν· οὕτως ἐμοὶ πάσης εὐφροσύνης ἡδυτέρα καθέστηκεν ἡ συνουσία ἡ ὑμετέρα, καὶ τοῦτό μοι καὶ ὑγιείας ὑπόθεσις, καὶ εὐφροσύνης ἀφορμή. Φέρε οὖν, ἐπειδὴ διὰ τὴν τοῦ Θεοῦ χάριν ἀλλήλους ἀπελάβομεν, ἀποδῶμεν ὑμῖν τὸ χρέος τῆς ἀγάπης, εἴ γε ἔστιν ἀποδοθῆναι τοῦτό ποτε. Τοῦτο γὰρ μόνον τὸ ὄφλημα τέλος οὐκ ἐπίσταται· ἀλλ' ὅσῳ ἀποδίδοται, τοσούτῳ τὸ ὄφλημα ἐπιτείνεται· καὶ καθάπερ ἐπὶ τῶν χρημάτων τοὺς μηδὲν ὀφείλοντας ἐπαινοῦμεν, οὕτως ἐνταῦθα τοὺς πολλὰ ὀφείλοντας μακαρίζομεν. Διὰ τοῦτο καὶ ὁ τῆς οἰκουμένης διδάσκαλος Παῦλος γράφων ἔλεγε· *Μηδενὶ μηδὲν ὀφείλετε, ἀλλ' ἢ τὸ ἀγαπᾶν ἀλλήλους*, βουλόμενος ἡμᾶς τοῦτο τὸ χρέος καὶ ἀεὶ ἀποδιδόναι, καὶ ἀεὶ ὀφείλειν, καὶ μηδέποτε τὴν ὀφειλὴν ταύτην καταλύειν, μέχρις ἂν τὴν παροῦσαν ζωὴν καταλύσωμεν. Ὥσπερ οὖν τὰ χρήματα ὀφείλειν, βαρὺ καὶ ἐπαχθὲς, οὕτω τὸ τὴν ὀφειλὴν ταύτην μὴ ἀεὶ ὀφείλειν, κατηγορίας ἄξιον. Καὶ ἵνα μάθῃς ὅτι τοῦτο οὕτως ἔχει, ἄκουε τῆς σοφίας τοῦ θαυμαστοῦ τούτου διδασκάλου, ὅπως τὴν παραίνεσιν εἰσήγαγε. Πρότερον γὰρ εἰπών· *Μηδενὶ μηδὲν ὀφείλετε*· τότε ἐπήγαγεν· *Εἰ μὴ τὸ ἀγαπᾶν ἀλλήλους*· βουλόμενος πᾶσαν ἡμῶν τὴν ὀφειλὴν ἐνταῦθα κενοῦσθαι, καὶ τοῦτο τὸ χρέος θέλων ἀδιάλυτον μένειν διηνεκῶς. Τοῦτο γάρ ἐστι μάλιστα τὸ συγχροτοῦν καὶ συσφίγγον τὴν ζωὴν τὴν ἡμετέραν. Ἐπεὶ οὖν ἔγνωμεν ὅσον τῆς ὀφειλῆς ταύτης τὸ κέρδος, καὶ ὅτι ἐν τῷ ἀποδίδοσθαι μᾶλλον αὔξεται, φέρε, καὶ ἡμεῖς τὴν ὀφειλὴν, ἣν ὀφείλομεν ὑμῖν, οὐκ ἀπὸ ῥᾳθυμίας οὐδὲ ἀπὸ ἀγνωμοσύνης τινὸς, ἀλλ' ἀπὸ τῆς συμβάσης ἀῤῥωστίας, σήμερον, καθ' ὅσον οἷόν τε, [151] ἐκτῖσαι σπουδάζωμεν, μικρά τινα διαλεχθέντες πρὸς τὴν ὑμετέραν ἀγάπην, ὑπόθεσιν τῆς διαλέξεως ποιησάμενοι αὐτὸν τοῦτον τὸν θαυμαστὸν τῆς οἰκουμένης διδάσκαλον· καὶ ἅπερ σήμερον γράψων Ῥωμαίοις διελέγετο, ταῦτα εἰς μέσον ἀγαγόντες ἀναπολήσωμεν, καὶ διὰ μακροῦ τοῦ χρόνου τὴν ἑστίασιν τὴν πνευματικὴν παραθῶμεν ὑμῶν τῇ ἀγάπῃ. Τίνα δέ ἐστι τὰ ἀναγνωσθέντα, ἀναγκαῖον εἰπεῖν, ἵν' ὑπομνησθέντες τῶν εἰρημένων, μετὰ πλείονος τῆς εὐκολίας δέξησθε τὰ παρ' ἡμῶν λεγόμενα. *Οἴδαμεν*, φησὶν, *ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν*. Τί βούλεται αὐτὸ τοῦτο τὸ προοίμιον; Οὐδὲν γὰρ ἁπλῶς, οὐδὲ εἰκῇ φθέγγεται ἡ μακαρία αὕτη ψυχὴ, ἀλλὰ κατάλληλα ἀεὶ τοῖς ὑποκειμένοις πάθεσι προσάγει τὰ φάρμακα τὰ πνευματικά.

Τί οὖν ἐστιν ὃ φησιν ; Ἐπειδὴ πολλοὶ πανταχόθεν οἱ πειρασμοὶ περιεστοιχίζοντο τοὺς τότε τῇ πίστει προσιόντας, καὶ ἐπάλληλα ἦν τὰ παρὰ τοῦ ἐχθροῦ μηχανήματα, καὶ συνεχεῖς αἱ ἐπιβουλαὶ, καὶ οὐκ ἐτρέμουν οἱ τῷ κηρύγματι πολεμοῦντες, τοὺς μὲν εἰς δεσμωτήρια ἐμβάλλοντες, τοὺς δὲ εἰς ἀπαγωγὰς, τοὺς δὲ εἰς μυρία ἕτερα βάραθρα καθέλκοντες· διὰ τοῦτο καθάπερ στρατηγὸς ἄριστος, ὁρῶν μετὰ πολλοῦ θυμοῦ πνέοντα τὸν ἀντίπαλον, περιιὼν τοὺς οἰκείους πανταχόθεν διεγείρει, νευροῖ, ἀλείφει, θαρσαλεωτέρους καθίστησι, προθυμοτέρους ποιεῖ πρὸς τὸ τὰς χεῖρας ἀντᾶραι κατὰ τοῦ πολεμίου, καὶ μὴ δεδοικέναι τὰς ἐκείνου καταδρομὰς, ἀλλὰ στερρῷ τῷ φρονήματι ἐξ ἐναντίας ἱσταμένους καὶ αὐτὴν αὐτοῦ συγκόπτειν, εἰ οἷόν τε, τὴν ὄψιν, καὶ μὴ καταπλήττεσθαι τὴν πρὸς αὐτὸν ἀντίστασιν· τὸν αὐτὸν δὲ τρόπον καὶ ὁ μακάριος οὗτος, ἡ οὐρανομήκης ψυχὴ, διεγείρει βουλόμενος τῶν πιστῶν τὰ φρονήματα, καὶ κάτω κείμενον, ὡς εἰπεῖν, αὐτῶν τὸν λογισμὸν ἀνορθῶσαι ἐπειγόμενος, οὕτως ἤρξατο λέγων· *Οἴδαμεν*

SCIMUS AUTEM QUONIAM DILIGENTIBUS DEUM OMNIA, ETC.

usurpaverit. Id non prorsus absimile vero videtur ; sed cum Chrysostomus Antiochiæ frequenter adversa valetudine laboraverit, ut ex multis ejus homiliis arguitur, et alioquin eadem in urbe Antiochiæ non modo proœmia, sed etiam conciones integras, retractatas, et parumper mutatas, intercurrente quodam annorum spatio, repetere solitus sit, ut jam sæpe vidimus : nihil officit quominus, quod anno 387 Antiochiæ proœmium dixerat, aliquot postea elapsis annis, morbo aliquo (nam frequenter ægrotabat) levatus, idem ipsum eadem in urbe repeteret. Potuit igitur Antiochiæ, potuit et Constantinopoli hanc homiliam habere : in utra autem urbe habuerit, non ita facile est augurari.

Interpretatio Latina est Frontonis Ducæi.

IN DICTUM ILLUD APOSTOLI, SCIMUS AUTEM, QUONIAM DILIGENTIBUS DEUM OMNIA COOPERANTUR IN BONUM (*Rom.* 8. 28), ET DE PATIENTIA, ET QUANTUM LUCRUM EX TRIBULATIONIBUS ORIATUR (*a*).

1. *Chrysostomi amor erga suos auditores. Caritatis debitum numquam solvitur.* — Quasi longo veniam ad vos intervallo, sic affectum hodierno die me sentio. Quamquam enim domo conclusus propter corporis infirmitatem manebam : tamen perinde quasi alicubi procul a vestra caritate translatus degerem, sic animo afficiebar. Qui enim sincere diligere novit, cum in congressum venire non datur ejus quem diligit, quamvis eamdem urbem incolat, non aliter afficitur ac si in aliena regione versaretur. Hoc norunt qui vere diligunt. Ignoscite igitur nobis, quaeso : non enim ex negligentia nostra separatio ista ortum habuit, sed silentii causam infirmitas corporis attulit. Ac vos quidem gaudere nunc omnes scio, quod ægritudinem deposuerimus : ego vero gaudeo non modo quod ægritudinem deposuerim, sed quod optatos vultus vestros rursus intueri possim, et caritate vestra secundum Deum oblectari. Et quemadmodum plurimi homines, cum et morbo fuerint recreati, phialas et pocula, gelidosque latices quærunt : ita mihi lætitia quavis jucundior exstitit congressus vester, et hoc mihi sanitatis materia fuit, et occasio gaudii. Age igitur, quandoquidem Dei beneficio nos invicem recuperavimus, caritatis vobis debitum persolvamus, siquidem ullo tempore possit illud persolvi. Hoc enim solum debitum finem nescit ; sed quanto magis dissolvitur, tanto magis debitum augetur : et quemadmodum in re pecuniaria laudamus eos qui nihil debent, ita hic eos, qui multa debent, beatos prædicamus. Idcirco magister orbis terrarum Paulus scribens dicebat : *Nemini quidquam debeatis, nisi ut invicem diligatis* (*Rom.* 13. 8), quod nimirum velit nos hoc debitum et semper solvere, et semper debere, nec unquam hoc æs alienum solvere, donec vitam præsentem absolverimus. Ut igitur pecunias debere grave ac molestum est, ita debitum hoc non semper debere crimini est obnoxium. Atque ut hoc ita esse cognoscas, audi mirabilis istius doctoris sapientiam, quo pacto cohortationem induxerit. Cum enim ante dixisset, *Nemini quidquam debeatis*, tum adjunxit, *Nisi ut invicem diligatis*, quasi hoc velit, ut omne hic debitum dispungamus, et hoc æs alienum perpetuum ac numquam dissolubile perseveret. Hoc enim est præcipue quod vitam nostram continet, et constringit. Quando igitur, quanta ex hoc debito manet utilitas, scimus, et dum persolvitur, magis illud augeri, age, nos quoque debitum, quod non ex inertia quapiam, vel improbitate ac fraude aliqua, sed ex eventu morbi contraximus, hodie, quantum in nobis situm erit, reddere studeamus, et paucis vestram caritatem alloquentes argumentum sermonis ab hoc ipso orbis terrarum doctore ducamus : et quæ ad Romanos hodie scribens dicebat, hæc in medium adducta expendamus, ac longo intervallo spiritualem caritati vestræ mensam instruamus. Quæ vero lecta sint, operæ pretium fuerit indicare, ut de iis quæ dicta sunt admoniti, facilius quæ a nobis dicentur, percipere valeatis. *Scimus*, inquit, *quoniam diligentibus Deum omnia cooperantur in bonum* (*Rom.* 8 28). Quid sibi vult hoc exordium ? Nihil enim temere aut frustra loquitur beata hæc anima, sed convenientia semper objectis ægritudinibus spiritualia medicamenta solet adhibere.

Persequutiones Christiani patiuntur. — Quid igitur est hoc quod ait ? Quandoquidem multa undique tentationes eos circumsidebant, qui tum accedebant ad fidem, et frequentes ab hoste machinæ admovebantur, et continuæ tendebantur insidiæ, neque prædicationis evangelii adversarii quiescebant, sed alios in carcerem conjiciebant, alios in exsilium mittebant(*b*), alios in alia præcipitia trahebant : propterea quemadmodum optimus imperator, cum hostem videt acrem iracundiam spirantem, circumiens suos excitat undique, corroborat, instruit, audaciores reddit, alacriores efficit, ut manus contra adversarium attollant, nec illius incursiones reformident, sed animo forti se illi opponant, ipsum ejus vultum, si possint, vulnerent, nec illi resistere pertimescant : non aliter beatus iste, hæc anima ad cælum usque sublimis, fidelium volens animos excitare, et humi jacentem, ut ita dicam, illorum cogitationem erigere studens, ita dicere occæpit : *Scimus autem quoniam diligentibus*

(*a*) Collat. cum Ms. Regio 1974.
(*b*) Hunc locum secundis curis retractavit Montf. Vide hujus tomi Præfat., col. 14.

Deum omnia coöperantur in bonum (*Rom.* 8. 28). Vides prudentiam apostolicam? Non dixit, Scio, sed, *Scimus*, ut ipsos ad assensum præbendum orationi pelliceret, quod diligentibus Deum omnia cooperentur in bonum. Animadverte, quam accurate loquatur apostolus. Non dixit, Qui Deum diligunt, evitant mala, liberantur a tentationibus; sed, *Scimus*, inquit, hoc est, persuasum nobis est, certiores facti sumus, ipsa rerum experientia edocti demonstrationes accepimus : *Scimus quoniam diligentibus Deum omnia cooperantur in bonum.*

2. *Verborum Apostoli quanta vis. Macedones ingrati in apostolos. Cur ejectus dæmon fuerit.* — Quantam huic brevi dictioni vim inesse arbitramini? *Omnia*, inquit, *cooperantur in bonum.* Noli enim mihi hujus vitæ commoda commemorare, neque jucunditatem tantum aut securitatem animo volvas, sed etiam contraria, carceres, tribulationes, insidias, quotidianos incursus, ac tum dictionis vim accurate cognosces. Ac ne forte ad longe petenda exempla caritatem vestram abducam, paucula quædam, si lubet, ex iis quæ beato isti acciderunt, in medium proferamus, et vim istius verbi cognoscetis. Nam cum regiones omnes circumiens, pietatis verbum spargens, spinas evellens, veritatem in singulorum animis plantare contendens, ad urbem quamdam appulisset Macedoniæ, quemadmodum beatus Lucas, is qui librum Actorum composuit, nobis enarravit, ancillam quamdam, quæ malignum habebat spiritum, neque tacere poterat, sed circuibat, et ubique illos dæmonis opera patefacere volebat, multa cum auctoritate, solo verbo ac jussu tamquam verberonem quemdam abigens, illam a pravo dæmone liberasset : cum illius urbis incolas oportuisset tamquam benefactores suos ac salutis suæ vindices deinceps apostolos intueri, atque omni eos officiorum genere prosequentes, tantum beneficium remunerari, illi plane contraria rependunt. Atque audi quo pacto illos remunerentur. *Videntes*, inquit, *domini ejus, quia exivit spes quæstus eorum, apprehendentes Paulum et Silam perduxerunt in forum ad principes, et offerentes eos magistratibus, cum multas eis plagas imposuissent, miserunt eos in carcerem, præcipientes custodi, ut diligenter eos custodiret* (*Act.* 16. 19-23). Videtis summam illius urbis incolarum improbitatem? videtis apostolorum patientiam ac tolerantiam? Exspectate paulisper, et Dei videbitis benignitatem. Cum enim sapiens sit ac solers, non in principio nec in exordiis mala tollit, sed cum incrementum acceperint adversariorum molimina, et rebus ipsis athletarum probata patientia fuerit, et innotuerit, tum subsidium suum præbet : ne dicere possit ullus, illos idcirco sponte periculis se objicere, quod se nihil molestum passuros esse confidant. Hanc nimirum ob causam quosdam etiam ineffabili quadam sapientia in malis derelinquit, quosdam eripit, ut ex omnibus discas summam ejus benignitatem, ipsumque majora illis præmia præparantem, mala frequenter augeri permittere. Ita hoc etiam loco fecit. Post tantum miraculum ac beneficium, quod impudente illo dæmone ejecto contulerant, virgis illos cædi permisit, et in carcerem mitti. Hinc enim maxime Dei virtus etiam elucebat. Quapropter et beatus hic dicebat : *Libentissime gloriabor in infirmitatibus meis, ut inhabitet in me virtus Christi*; et rursus, *Cum infirmor, tunc potens sum* (2. *Cor.* 12. 9. 10), infirmitatem continuas tentationes appellans. Sed quæret fortasse quispiam hoc loco, cujus rei gratia dæmonem expulerint nihil ipsis contradicentem, sed potius illos patefacientem; spatio quippe multorum dierum clamabat dicens : *Isti homines servi Dei excelsi sunt, qui annuntiant nobis viam salutis* (*Act.* 16. 17). Ne mireris, carissime : nam et hoc prudentiæ fuit apostolicæ ac beneficii Spiritus sancti. Licet enim contrarium illis diceret nihil, ne tamen inde fidem sibi dæmon aliquam conciliaret, et in aliis simpliciores subdole posset attrahere, propterea cum illi os obturasset, ejecit, neque sivit ea proloqui, quæ dignitatem et captum ejus excedebant. Hoc autem præstitit, ut domini sui vestigiis insisteret : nam ad illum etiam accedentes dicebant : *Scimus te quis sis, sanctus Dei* (*Luc.* 4. 34), et tamen hæc dicentes eos ejiciebat. Id vero fiebat in accusationem impudentium Judæorum, quod illi quidem miracula quotidie cernentes et innumera prodigia fieri, non crederent : dæmones autem agnoscerent, eumque Dei Filium faterentur.

3. *Pauli et Silæ fervor et liberatio. Vis hymnorum quanta sit; cur hæc media nocte fierent.* — Sed ad seriem instituti sermonis redeamus. Ut igitur discatis, quo pacto diligentibus Deum omnia cooperentur in bonum, totam vobis historiam operæ pretium fuerit recitari, ut inde cognoscatis quo pacto post verbera, post carcerem, omnia Dei gratia in bonum mutarit. Sed videamus, qua ratione beatus id Lucas indicet dicens : *Cum autem tale præceptum accepisset carceris custos, misit eos in interiorem carcerem, et pedes eorum strinxit ligno* (*Act.* 16. 24). Animadverte quo pacto augeantur mala, ut apostolorum etiam patientia fiat illustrior, et immensa Dei virtus omnibus manifesta reddatur. Audi vero quid sequatur : addit enim, *Media autem nocte Paulus et Silas orantes laudabant Deum* (*Ib. v.* 25). Vide animum excitatum, vide vigilem mentem : ne temere præteramus quæ dicta sunt, dilectissimi. Non enim sine causa tempus ipsum designavit dicens, *Media autem nocte*, sed quod vellet ostendere, id gestum esse eo tempore, quo cæteris omnibus dulcis advenit somnus, et palpebras consopit, et quo ii, præcipue qui multis doloribus ac molestiis sunt obsessi somno corripi solent : tum igitur, inquit, cum undique somni vis dominaretur et vigeret, tunc illi *Orantes Deum laudabant*, et hoc suæ in illum caritatis maximum indicium edebant. Nam quemadmodum nos quoties doloribus corporis divexamur, propinquorum congressum requirimus, ut intentionem doloris illorum alloquio mitigemus : sic etiam hi sancti amore in Dominum inflammati, ac sacros hymnos offerentes ne sensum quidem illarum molestiarum capiebant, sed toti in orationem incumbebant, et mirabilem il-

δὲ ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν. Ὁρᾷς τὴν σύνεσιν τὴν ἀποστολικήν; Οὐκ εἶπεν, Οἶδα, ἀλλ', *Οἴδαμεν*, καὶ αὐτοὺς εἰς συγκατάθεσιν ἐφελκόμενος τῶν λεγομένων, ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν. Σκόπει ἀκρίβειαν ῥημάτων ἀποστολικῶν. Οὐκ εἶπεν, Οἱ ἀγαπῶντες τὸν Θεὸν διαφεύγουσι τὰ δεινὰ, ἐλευθεροῦνται τῶν πειρασμῶν· ἀλλ', *Οἴδαμεν*, φησὶ, τουτέστι, πεπείσμεθα, πεπληροφορήμεθα, δι' αὐτῆς τῶν πραγμάτων τῆς πείρας τὰς ἀποδείξεις [a] εἰλήφαμεν· *Οἴδαμεν ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν.*

β'. Πόσην οἴεσθε δύναμιν ἔχειν τὴν βραχεῖαν ταύτην λέξιν; *Πάντα*, φησὶ, *συνεργεῖ εἰς ἀγαθόν*· μὴ γάρ μοι τὰ χρηστὰ ἐνταῦθα εἴπῃς, μηδὲ τὴν ἄνεσιν καὶ τὴν ἄδειαν μόνον λογίσῃ ἀλλὰ καὶ τὰ ἐναντία, τὰ δεσμωτήρια, τὰς θλίψεις, τὰς ἐπιβουλὰς, τὰς καθημερινὰς ἐφόδους, καὶ τότε δψει μετὰ ἀκριβείας τοῦ ῥήματος τὴν δύναμιν. Καὶ ἵνα μὴ μακρὰν που ἀγάγω τὴν ὑμετέραν ἀγάπην, εἰ βούλεσθε, μικρά τινα τῶν τῷ μακαρίῳ τούτῳ συμβάντων εἰς μέσον ἀγάγωμεν, καὶ δψεσθε τοῦ ῥήματος τὴν ἰσχύν. Ἐπειδὴ γὰρ περιιὼν πανταχοῦ, σπείρων τὸν τῆς [152] εὐσεβείας λόγον, τὰς ἀκάνθας ἀνασπῶν, καὶ τὴν ἀλήθειαν ἐν τῇ ἑκάστου ψυχῇ καταφυτεύειν ἐπειγόμενος, γενόμενος κατά τινα πόλιν τῆς Μακεδονίας, καθὼς ὁ μακάριος Λουκᾶς, ὁ τὸ τῶν Πράξεων βιβλίον συνθεὶς, ἡμῖν διηγήσατο, παιδίσκην τινὰ πνεῦμα πονηρὸν ἔχουσαν, καὶ σιγᾶν οὐκ ἀνεχομένην, ἀλλὰ περιοῦσαν καὶ πανταχοῦ κατηδήλους αὐτοὺς διὰ τοῦ δαίμονος ποιεῖν βουλομένην, μετὰ πολλῆς τῆς ἐξουσίας, λόγῳ καὶ ἐπιτάγματι, καθάπερ τινὰ μαστιγίαν ἀπελάσας, ἠλευθέρωσεν ἐκείνην τοῦ πονηροῦ δαίμονος· δέον τοὺς τὴν πόλιν ἐκείνην οἰκοῦντας, ὡς εὐεργέτας λοιπὸν καὶ σωτῆρας βλέπειν τοὺς ἀποστόλους, καὶ παντὶ θεραπείας τρόπῳ περὶ αὐτοὺς χρησαμένους ἀμείψασθαι τῆς τοσαύτης εὐεργεσίας, οἱ δὲ τοῖς ἐναντίοις ἀμείβονται. Καὶ ἄκουε τίσιν αὐτοῖς ἀμείβονται. *Ἰδόντες*, φησὶν, *οἱ κύριοι αὐτῆς, ὅτι ἐξῆλθεν ἡ ἐλπὶς τῆς ἐργασίας αὐτῶν, ἐπιλαβόμενοι τὸν Παῦλον καὶ τὸν Σίλαν, εἵλκυσαν εἰς τὴν ἀγορὰν ἐπὶ τοὺς ἄρχοντας, καὶ προσήγαγον αὐτοὺς τοῖς στρατηγοῖς, καὶ πολλὰς ἐπιθέντες ἐκείνοις πληγὰς, ἔβαλον εἰς φυλακὴν, παραγγείλαντες τῷ δεσμοφύλακι ἀσφαλῶς τηρεῖν αὐτούς.* Εἴδετε πονηρίας ὑπερβολὴν τῶν τὴν πόλιν ἐκείνην οἰκούντων; εἴδετε τῶν ἀποστόλων ὑπομονὴν καὶ καρτερίαν; Μικρὸν ἀναμείνατε, καὶ δψεσθε καὶ τοῦ Θεοῦ τὴν φιλανθρωπίαν. Σοφὸς γὰρ ὢν καὶ εὐμήχανος, οὐκ ἐν ἀρχῇ καὶ ἐν προοιμίοις λύει τὰ δεινὰ, ἀλλ' ὅταν αὐξηθῇ πάντα τὰ παρὰ τῶν ἐναντίων, καὶ δειχθῇ διὰ τῶν πραγμάτων τῶν αὐτοῦ ἀθλητῶν ἡ ὑπομονὴ, τότε καὶ τὴν οἰκείαν ῥοπὴν ἐπιδείκνυται· ἵνα μηδεὶς ἔχῃ λέγειν, ὅτι διὰ τοῦτο ἐπιπηδῶσι τοῖς κινδύνοις, διὰ τὸ θαῤῥεῖν ὅτι οὐδὲν ἀηδὲς πείσονται. Διά τοι τοῦτό τινας μὲν καὶ ἐναφίησι τοῖς δεινοῖς, ἀποῤῥήτῳ τινὶ σοφίᾳ χρώμενος, τινὰς δὲ καὶ ἐξαρπάζει, ἵνα διὰ πάντων μάθῃς αὐτοῦ τὴν ὑπερβάλλουσαν φιλανθρωπίαν, καὶ ὅτι μείζους αὐτοῖς τὰς ἀμοιβὰς ταμιευόμενος, συγχωρεῖ πολλάκις ἐπιτείνεσθαι τὰ δεινά. Οὕτως οὖν καὶ ἐνταῦθα ποιεῖ. Μετὰ γὰρ τὴν τοσαύτην θαυματουργίαν καὶ τὴν εὐεργεσίαν, ἣν ἐπεδείξαντο ἀπελάσαντες τὸν ἀναίσχυντον ἐκεῖνον δαίμονα, συνεχώρησε καὶ μαστιχθῆναι καὶ εἰς δεσμωτήριον ἐμβληθῆναι. Ἐντεῦθεν γὰρ μάλιστα διεδείκνυτο καὶ ἡ τοῦ Θεοῦ δύναμις. Διὸ καὶ ὁ μακάριος οὗτος ἔλεγεν· *Ἥδιστα οὖν καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου, ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμοὶ ἡ δύναμις τοῦ Χριστοῦ.* Καὶ πάλιν· *Ὅταν ἀσθενῶ, τότε δυνατός εἰμι*, ἀσθένειαν τοὺς πειρασμοὺς λέγων τοὺς ἐπαλλήλους. Ἀλλ' ἴσως ἄν τις διαπορήσειεν ἐνταῦθα, τίνος ἕνεκεν ἀπήλασαν τὸν δαίμονα οὐδὲν ἐναντίον αὐτοῖς λέγοντα, ἀλλὰ μᾶλλον καὶ καταδήλους αὐτοὺς ποιοῦντα· ἐπὶ πολλὰς γὰρ ἡμέρας ἐβόα λέγων, ὅτι *Οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσὶν, οἵτινες καταγγέλλουσιν ἡμῖν ὁδὸν σωτηρίας.* Μὴ ξενισθῇς, ἀγαπητέ· καὶ τοῦτο γὰρ τῆς συνέσεως ἦν τῆς ἀποστολικῆς καὶ τῆς τοῦ Πνεύματος χάριτος. Εἰ γὰρ καὶ μηδὲν αὐτοῖς ἐναντίον ἔλεγεν, ἀλλ' ἵνα μὴ ἐντεῦθεν ἀξιόπιστος γενόμενος ὁ δαίμων, καὶ ἐν τοῖς ἄλλοις ὑποσύρειν δύνηται τοὺς ἀφελεστέρους, διὰ τοῦτο ἐπιστομίσας αὐτὸν ἀπήλασεν, οὐ συγχωρήσας αὐτῷ τὰ ὑπὲρ τὴν ἀξίαν φθέγγεσθαι. Τοῦτο δὲ ἐποίει, ἀκολουθῶν τῷ οἰκείῳ Δεσπότῃ· ἐπεὶ καὶ ἐκείνῳ προσιόντες [153] ἔλεγον, *Οἴδαμέν σε τίς εἶ, ὁ ἅγιος τοῦ Θεοῦ*· καὶ ὅμως ταῦτα λέγοντας αὐτοὺς ἀπήλαυνεν. Ἐγίνετο δὲ τοῦτο εἰς κατηγορίαν τῶν ἀναισχύντων Ἰουδαίων, ὅτι ἐκεῖνοι μὲν καθ' ἑκάστην ἡμέραν θαύματα ὁρῶντες καὶ μυρία παράδοξα γινόμενα, ἠπίστουν, οἱ δὲ δαίμονες ἐπεγίνωσκον, καὶ Υἱὸν αὐτὸν τοῦ Θεοῦ ὡμολόγουν.

γ'. Ἀλλ' ἐπὶ τὴν ἀκολουθίαν ἐπανέλθωμεν τοῦ λόγου. Ἵνα τοίνυν μάθητε ὅπως τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθὸν, ἀναγκαῖον πᾶσαν ὑμῖν ἀναγνῶναι ταύτην τὴν ἱστορίαν, ἵνα καὶ ἐντεῦθεν γνῶτε, ὅπως μετὰ τὰς πληγὰς, μετὰ τὸ δεσμωτήριον, εἰς ἀγαθὸν ἅπαντα αὐτοῖς μετέβαλεν ἡ τοῦ Θεοῦ χάρις. Ἀλλ' ἴδωμεν πῶς τοῦτο δείκνυσιν ὁ μακάριος Λουκᾶς λέγων· *Παραγγελίαν δὲ τοιαύτην εἰληφὼς ὁ δεσμοφύλαξ ἔβαλεν αὐτοὺς εἰς τὴν ἐσωτέραν φυλακὴν, καὶ τοὺς πόδας αὐτῶν ἠσφαλίσατο εἰς τὸ ξύλον.* Σκόπει πῶς ἐπιτείνεται τὰ δεινὰ, ἵνα καὶ ἡ ὑπομονὴ τῶν ἀποστόλων λαμπροτέρα γένηται, καὶ ἡ ἅφατος τοῦ Θεοῦ δύναμις καταδηλος ἅπασι καταστῇ. Ἄκουε δὲ καὶ τὸ ἑξῆς. Ἐπάγει γὰρ, *Κατὰ δὲ τὸ μεσονύκτιον Παῦλος καὶ Σίλας προσευχόμενοι ὕμνουν τὸν Θεόν.* Ὅρα ψυχὴν ἐπτερωμένην, ὅρα διάνοιαν νηφουσαν· μὴ ἁπλῶς παραδράμωμεν, ἀγαπητοὶ, τὸ εἰρημένον. Οὐ γὰρ εἰκῇ καὶ τὸν καιρὸν ἡμῖν ἐπεσημήνατο, εἰπὼν, *Κατὰ δὲ τὸ μεσονύκτιον*, ἀλλὰ βουλόμενος δεῖξαι, ὅτι, ὅτε τοῖς ἄλλοις ἅπασιν ἡδὺς ὁ ὕπνος ἐφίσταται [b] καὶ κοιμίζει τὰ βλέφαρα, μάλιστα δὲ τοὺς ἐν ὀδύναις πολλαῖς καθεστῶτας εἰκὸς κατὰ τὸν καιρὸν ἐκεῖνον τοῦ ὕπνου καθέλκεσθαι, τότε τοίνυν, φησὶν, ὅτε πάντοθεν περιεγένετο ἡ τοῦ ὕπνου τυραννὶς, τότε ἐκεῖνοι *Προσευχόμενοι ὕμνουν τὸν Θεὸν*, τῆς περὶ αὐτὸν ἀγάπης μέγιστον δεῖγμα τοῦτο ποιούμενοι. Καθάπερ γὰρ ἡμεῖς ὑπὸ ἀλγημάτων σωματικῶν ἐνοχλούμενοι, τὴν τῶν γνησίων συνουσίαν ἐπιζητοῦμεν, ἵνα ἐκ τῆς πρὸς ἐκείνους διαλέξεως τὴν ἐπίτασιν τῆς ὀδύνης παραμυθησώμεθα· οὕτω καὶ οἱ ἅγιοι οὗτοι τῷ πόθῳ τῷ περὶ τὸν Δεσπότην πυρούμενοι, καὶ τοὺς ἱεροὺς ὕμνους ἀναφέροντες, οὐδὲ αἴσθησιν ἐλάμβανον τῶν ὀδυνῶν

[a] Reg. πείρας πολλάκις τὰς ἀποδ.

[b] Reg. ἐφίπταται.

ἐκείνων, ἀλλ' ὅλοι τῆς ἱκετηρίας ἐγίνοντο, καὶ τὴν θαυμαστὴν ἐκείνην ὑμνῳδίαν ἀνέφερον, καὶ λοιπὸν ἐκκλησία ἐγένετο τὸ δεσμωτήριον, καὶ ὁ τόπος ἅπας ἡγιάζετο διὰ τῆς ὑμνῳδίας τῶν ἁγίων ἐκείνων. Καὶ ἦν ἰδεῖν θαυμαστὰ καὶ παράδοξα πράγματα, ἀνθρώπους τῷ ξύλῳ προσδεδεμένους, καὶ οὐδὲν ἐμποδιζομένους πρὸς τὴν ὑμνῳδίαν. Τὸν γὰρ νήφοντα καὶ ἐγρηγορότα, καὶ ζέοντα πόθον ἔχοντα περὶ τὸν Θεὸν, οὐδὲν κωλῦσαι δυνήσεταί ποτε τῆς πρὸς τὸν Δεσπότην συνουσίας· *Θεὸς* γὰρ, φησὶν, *ἐγγίζων ἐγώ εἰμι*, καὶ *οὐ Θεὸς πόρρωθεν*· καὶ πάλιν ἀλλαχοῦ, *Ἔτι λαλοῦντός σου ἐρῶ· Ἰδοὺ πάρειμι*. Ἔνθα γὰρ ἂν ᾖ διάνοια νήφουσα, πτεροῦται ὁ λογισμὸς καὶ ἀπαλλάττεται, ὡς εἰπεῖν, τοῦ συνδέσμου τοῦ σώματος, καὶ πρὸς τὸν ποθούμενον ἀνίπταται, καὶ τῆς γῆς ὑπερορᾷ, καὶ τῶν ὁρωμένων ἀνωτέρω γενόμενος, πρὸς ἐκεῖνον ἐπείγεται· ὃ δὴ καὶ ἐπὶ τῶν ἁγίων τούτων γεγένηται. Ὅρα γὰρ τὴν παραχρῆμα τῶν ὕμνων ἐνέργειαν, καὶ ὅπως καὶ ἐν δεσμωτηρίῳ γενόμενοι καὶ τῷ ξύλῳ προσδεδεμένοι, καὶ μετὰ γοητῶν καὶ δεσμίων [a] συναναμιγέντες, [154] οὐ μόνον οὐδὲν παρεβλάβησαν, ἀλλὰ καὶ ταύτῃ μᾶλλον ἐξέλαμψαν, καὶ τῷ φωτὶ τῆς οἰκείας ἀρετῆς κατηύγασαν ἅπαντας τοὺς τὸ δεσμωτήριον οἰκοῦντας. Ἡ γὰρ φωνὴ τῶν ἱερῶν ὕμνων ἐκείνων εἰς τὴν ἑκάστου τῶν δεσμωτῶν εἰσιοῦσα ψυχὴν, μετέπλαττεν αὐτὴν, ὡς εἰπεῖν, καὶ μετερρύθμιζεν. Ἄφνω γὰρ, φησὶ, *σεισμὸς ἐγένετο μέγας, ὥστε σαλευθῆναι τὰ θεμέλια τοῦ δεσμωτηρίου, ἀνεῴχθησάν τε παραχρῆμα αἱ θύραι ἅπασαι, καὶ πάντων τὰ δεσμὰ ἀνέθη*. Εἶδες τῶν ὕμνων τῶν εἰς τὸν Θεὸν τὴν δύναμιν; Οὐ μόνον αὐτοὶ παρακλήσεως ἀπέλαυσαν οἱ τοὺς ὕμνους ἀναφέροντες, ἀλλὰ καὶ πάντων τὰ δεσμὰ λυθῆναι παρεσκεύασαν· ἵνα δειχθῇ διὰ τῶν πραγμάτων αὐτῶν, ὅπως *Τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν*. Ἰδοὺ γὰρ καὶ πληγαὶ, καὶ δεσμωτήριον, καὶ ξύλον, καὶ μετὰ τῶν δημίων διαγωγὴ, καὶ ὅμως ταῦτα ἀγαθῶν ὑπόθεσις γεγένηται καὶ εὐδοκιμήσεως ἀφορμὴ, οὐκ αὐτοῖς μόνον, οὐδὲ τοῖς οἰκοῦσι τὸ δεσμωτήριον δεσμίοις, ἀλλὰ καὶ αὐτῷ τῷ δεσμοφύλακι. *Ἔξυπνος* γὰρ, φησὶ, *γενόμενος ὁ δεσμοφύλαξ, καὶ ἰδὼν τὰς θύρας ἀνεῳγμένας τῆς φυλακῆς, σπασάμενος μάχαιραν, ἔμελλεν ἑαυτὸν ἀναιρεῖν, νομίσας ἐκπεφευγέναι τοὺς δεσμίους*. Ὅρα μοι ἐνταῦθα τοῦ Θεοῦ τὴν φιλανθρωπίαν πάντα λόγον ὑπερβαίνουσαν. Τίνος γὰρ ἕνεκεν κατὰ τὸ μεσονύκτιον ἅπαντα ταῦτα γίνεται; Οὐδενὸς ἑτέρου χάριν, ἀλλ' ἵνα ἀθόρυβον καὶ ἐν ἡσυχίᾳ τὸ πρᾶγμα οἰκονομηθῇ, καὶ τὴν σωτηρίαν πραγματεύσωνται τοῦ δεσμοφύλακος. Τοῦ γὰρ σεισμοῦ γενομένου καὶ τῶν θυρῶν ἀνοιχθεισῶν, τὰ δεσμὰ ἀνέθη πάντων τῶν αὐτόθι, καὶ οὐδεὶς αὐτῶν ἐκπηδῆσαι συνεχωρήθη Σκόπει μοι καὶ ἄλλην ἐνταῦθα Θεοῦ σοφίαν. Τὰ μὲν γὰρ ἄλλα πάντα γέγονεν, ὁ σεισμὸς, λέγω, καὶ ἡ τῶν θυρῶν ἄνοιξις, ἵνα μάθωσι διὰ τῶν ἔργων ἅπαντες, τίνες ἦσαν οἱ τότε τὸ δεσμωτήριον οἰκοῦντες, καὶ ὅτι οὐχ οἱ τυχόντες εἰσὶν ἄνθρωποι· οὐδενὶ δὲ ἐξελθεῖν ἐγένετο, ἵνα μὴ κινδύνων ἀφορμὴ γένηται τοῦτο τῷ δεσμοφύλακι. Καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, ἄκουσον πῶς, ὅτε μόνον ὑπώπτευσε τοῦτο γεγενῆσθαι ὁ δεσμοφύλαξ, καὶ ἐνόμισέ τινας ἐκπεφευγέναι, καὶ τῆς ζωῆς αὐτῆς κατεφρόνησε. *Σπασάμενος* γὰρ, φησὶ, *μάχαιραν, ἔμελλεν ἑαυτὸν ἀναιρεῖν*. Ἀλλ' ὁ πανταχοῦ νήφων καὶ ἐγρηγορῶν, ὁ μακάριος Παῦλος, τῇ οἰκείᾳ φωνῇ ἐξήρπασε τῆς φάρυγγος τοῦ θηρίου τὸ ἀρνίον. *Ἐφώνησε* γὰρ *φωνῇ μεγάλῃ, λέγων, Μηδὲν πράξῃς σεαυτῷ κακόν· ἅπαντες γάρ ἐσμεν ἐνθάδε*. Ὦ ταπεινοφροσύνης ὑπερβολή! οὐκ ἐφρόντισε μέγα ἐπὶ τοῖς γεγενημένοις, οὐ κατεξανέστη τοῦ δεσμοφύλακος, οὐδὲν ὑπέρογκον φθέγξασθαι κατεδέξατο· ἀλλὰ μετὰ τῶν δεσμωτῶν, μετὰ τῶν δημίων, μετὰ τῶν κακούργων ἑαυτὸν κατηρίθμησε, λέγων· *Ἅπαντές ἐσμεν ἐνθάδε*. Εἶδες αὐτὸν πολλῇ τῇ ταπεινοφροσύνῃ χρώμενον, καὶ οὐδὲν πλέον ἑαυτῷ νέμοντα τῶν αὐτόθι κακούργων; Ὅρα καὶ τὸν δεσμοφύλακα λοιπὸν, οὐχ ὡς ἑνὶ τῶν ἄλλων προσιόντα. *Θαρρήσας* γὰρ *καὶ αἰτήσας φῶτα, εἰσεπήδησε, καὶ ἔντρομος ὑπάρχων, προσέπεσε τῷ Παύλῳ καὶ τῷ Σίλᾳ, καὶ προαγαγὼν αὐτοὺς ἔξω, ἔφη· Κύριοι, τί* [155] *με δεῖ ποιεῖν, ἵνα σωθῶ;* Εἴδετε πῶς *Τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν*; εἴδετε τοῦ διαβόλου τὴν μηχανὴν, ὅπως διελύθη; ὅπως ἄκυρα αὐτοῦ γέγονε τὰ μηχανήματα; Ἐπειδὴ γὰρ ἀπήλασαν τὸν δαίμονα, παρεσκεύασεν εἰς τὸ δεσμωτήριον αὐτοὺς ἐμβληθῆναι, νομίζων ἐμποδίζειν τὸν δρόμον τοῦ κηρύγματος διὰ τούτου. Ἀλλ' ἰδοὺ καὶ τὸ δεσμωτήριον ἐμπορίας αὐτοῖς ὑποθέσεις γεγένηται πνευματικῆς.

δ'. Ἆρα καὶ ἡμεῖς, ἂν νήφωμεν, οὐ μόνον ἐν ἀνέσει ὄντες, ἀλλὰ καὶ ἐν θλίψεσι, κερδαίνειν δυνάμεθα, καὶ τότε μᾶλλον, ἢ ἐν ἀνέσει. Ἡ γὰρ ἄνεσις, ὡς ἐπὶ τὸ πλεῖστον, ῥᾳθυμοτέρους ἐργάζεται· ἡ δὲ θλῖψις νήφειν παρασκευάζουσα, ἀξιοῦσθαι ποιεῖ καὶ τῆς ἄνωθεν ῥοπῆς, καὶ μάλιστα, ὅταν διὰ τὴν εἰς τὸν Θεὸν ἐλπίδα τὴν ὑπομονὴν ἐπιδεικνύμεθα καὶ τὴν καρτερίαν ἐν πάσαις ταῖς ἐπαγομέναις θλίψεσι. Μὴ τοίνυν ἀλγῶμεν, ἐπειδὰν θλιβώμεθα, ἀλλὰ μᾶλλον χαίρωμεν· τοῦτο γὰρ ἡμῶν ἡ τῆς εὐδοκιμήσεως ὑπόθεσις. Διὰ τοῦτο καὶ Παῦλος ἔλεγεν, *Οἴδαμεν δὲ ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν*. Ἀλλ' ἴδωμεν τὴν ζέουσαν ψυχὴν τῶν ἁγίων τούτων. Ἐπεὶ οὖν ἤκουσαν τοῦ δεσμοφύλακος λέγοντος, *Τί με δεῖ ποιεῖν, ἵνα σωθῶ;* ἆρα ὑπερέθεντο; ἆρα ἀνεβάλοντο; ἆρα ἠμέλησαν πρὸς τὴν κατήχησιν; Οὐδαμῶς· ἀλλὰ τί πρὸς αὐτὸν ἐκεῖνοι; *Πίστευσον ἐπὶ τὸν Κύριον Ἰησοῦν Χριστὸν, καὶ σωθήσῃ σὺ, καὶ πᾶς ὁ οἶκός σου*. Ὅρα κηδεμονίαν ἀποστολικήν. Οὐκ ἀρκοῦνται τῇ αὐτοῦ σωτηρίᾳ, ἀλλὰ δι' ἐκείνου βούλονται καὶ τοὺς προσήκοντας αὐτῷ πάντας σαγηνεῦσαι εἰς τὸν τῆς εὐσεβείας λόγον, καιρίαν διδόντες τῷ διαβόλῳ τὴν πληγήν *Καὶ ἐβαπτίσθη αὐτὸς καὶ οἱ αὐτοῦ πάντες παραχρῆμα, καὶ ἠγαλλιάσατο πανοικὶ πεπιστευκὼς τῷ Θεῷ*.

Ἐντεῦθεν παιδευόμεθα μηδέποτε ἐν τοῖς πνευματικοῖς μηδὲ τὸ τυχὸν ἀναβάλλεσθαι, ἀλλὰ πάντοτε καιρὸν ἐπιτήδειον ἡγεῖσθαι τὸν παραπίπτοντα. Εἰ γὰρ νυκτὸς οὔσης οἱ ἅγιοι οὗτοι ὑπερθέσθαι οὐκ ἠνέσχοντο, ποίαν ἕξομεν ἀπολογίαν ἡμεῖς, ἐν ἑτέρῳ καιρῷ παρατρέχοντες πνευματικῶν κέρδος; Εἶδες ἐκκλησίαν τὸ δεσμωτήριον γινόμενον; εἶδες τὸ καταγώγιον τῶν δημίων, εὐκτήριον οἶκον ἐξαίφνης ἀποδειχθέντα, καὶ τὴν μυσταγωγίαν ἐκεῖ τελουμένην;

[a] Reg. δημίων.

lum hymnorum cantum offerebant, ac deinceps carcer ecclesia fiebat, et illorum sanctorum cantu totus ille locus sanctificabatur. Ac videre erat res miras et insuitatas, homines ligno alligatos, neque tamen quominus hymnos canerent quidquam impediri. Vigilem enim et attentum, et ardenti in Deum amore correptum nihil unquam poterit a colloquio cum Domino prohibere : *Deus* enim, inquit, *appropinquans ego sum, et non Deus longe* (*Jerem.* 23. 23) ; et alibi rursus, *Adhuc loquente te dicam, Ecce adsum* (*Isai.* 58. 9). Ubi siquidem vigilans animus fuerit, excitatur ratio, et propemodum corporis vinculis liberatur, et evolat ad eum quem diligit, terram despicit, et quæ sunt oculis subjecta exsuperans ad illum festinat : quod utique sanctis etiam istis contigit. Vide namque celerem et efficacem hymnorum vim, et quo pacto cum in carcere versarentur, et alligati ligno essent, atque impostoribus et captivis admixti, non modo nihil passi sint detrimenti, sed et hac ratione splendidiores evaserint, et omnes, qui carcerem incolebant, virtutis suæ radiis collustrarint. Quippe illa sacrorum vox hymnorum cum in animam uniuscujusque captivorum penetrasset, transmutavit illam propemodum, ac reformavit. *Subito* enim, inquit, *terræ motus factus est magnus, ita ut moverentur fundamenta carceris, et statim aperta sunt omnia ostia, et universorum vincula soluta sunt* (*Act.* 16. 26). Vides, hymnorum, qui Deo canuntur, virtutem ? Non illi modo, qui obtulerunt hymnos, solatium percepe-runt, sed etiam effecerunt, ut omnium vincula solverentur : ut factis ipsis innotesceret, quo pacto *Deum diligentibus omnia cooperentur in bonum*. Ecce namque verbera, carcer, compedes, et cum carnificibus conversatio, et tamen hæc omnia bonorum materia fuerunt et occasio gloriæ, non ipsis tantum nec illis qui carcerem incolebant captivis, sed et ipsi custodi carceris. *Expergefactus* enim, inquit, *custos carceris, et videns januas apertas carceris, evaginato gladio volebat se interficere, æstimans fugisse vinctos* (*Ib. v.* 27). Tu mihi hoc loco Dei benignitatem considera, quam nulla exprimere potest oratio. Cur enim media nocte fiunt hæc omnia ? Nullam aliam ob causam, nisi ut provideatur, ut sine turbis et tranquille res succedat, et saluti custodis carceris consulatur. Cum enim terræ motus accidisset, et reseratæ fores essent, omnium qui erant ibi soluta sunt vincula, nec ulli permissum est, ut inde discederet. Aliam quoque Dei sapientiam hic contemplare. Nam alia quidem evenerunt, terræ motus, inquam, et reseratio januarum, ut rebus ipsis omnes intelligerent quales illi essent, qui tunc carcerem habitabant, neque vulgares homines esse : porro nemini contigit ut exiret, ne quod inde periculum custodi carceris crearetur. Atque ut hoc verum esse intelligas, audi quo pacto, cum id accidisse suspicaretur custos carceris, et aufugisse quosdam putaret, etiam vitam suam contempserit. *Evaginato* enim, inquit, *gladio, volebat se interficere* : sed qui vigil ubique atque expergefactus erat, beatus Paulus, ex helluæ faucibus sua voce agnum eripuit. *Clamavit enim voce magna dicens, Nihil tibi mali feceris ; universi enim hic sumus* (*Act.* 16. 28). O incredibilem humilitatem ! Non elatus est in superbiam ob ea quæ acciderant, non in custodem carceris insurrexit, nullum arrogans dictum illi excidit, sed cum vinctis, cum lictoribus, cum maleficis seipsum numerabat, dicens : *Universi hic sumus*. Vides insignis eum humilitatis exemplum edere, nec sibi plus quam maleficis cæteris, qui illic erant, tribuere ? Vide jam quo pacto carceris etiam custos non tamquam ad unum ex aliis ad illum accedat : confidentior enim factus, *Petitoque lumine introgressus est, et tremefactus procidit Paulo et Silæ, et producens eos foras ait : Domini, quid me oportet facere, ut salvus fiam* (*Ib. v.* 29. 30)? Videtis quo pacto *Diligentibus Deum omnia cooperentur in bonum* ? Videtis diaboli machina quo pacto fuerit dissoluta ? quo pacto in nihilum machinationes ejus reciderint ? Nam cum dæmonem ejecissent, ut in carcerem conjicerentur effecit, ratus se hoc pacto prædicationis cursui obicem oppositurum. Sed ecce carcer etiam quæstus illis materiam spiritualis objecit.

4. *Afflictio diligentes reddit et attentos.* — Ergo possumus nos quoque, si sapimus ac vigiles sumus, non modo cum res secundæ sunt, sed et cum affligimur, lucrum acquirere, ac tum etiam magis, quam cum secundis rebus fruimur. Inertiores enim plerumque nos reddunt secundæ res : afflictiones autem dum vigiles nos reddunt, auxilium nobis cæleste conciliant, ac tum præcipue, cum propter spem in Deum patientiam, et in omnibus, quæ inferuntur, afflictionibus tolerantiam exhibemus. Ne igitur doleamus, si quando tribulemur, sed potius gaudeamus : id enim nobis in occasionem gloriæ vertit. Propterea Paulus etiam dicebat, *Scimus autem, quoniam diligentibus Deum omnia cooperantur in bonum*. Sed ardentem sanctorum istorum animum videamus. Cum igitur custodem carceris dicentem audissent : *Quid me oportet facere, ut salvus fiam* (*Ib. v.* 30)? num distulerunt ? num cunctati sunt? num catechismo illum imbuere neglexerunt ? Nullo modo : sed quid ad eum ? *Crede in Dominum Jesum Christum, et salvus eris tu, et tota domus tua* (*Ib. v.* 31). Vide sollicitudinem apostolicam. Illius salute contenti non sunt, et omnes ejus domesticos in causa religionis acquirere Deo volunt, et letalem diabolo plagam infligere. *Et baptizatus est ipse, et domus ejus continuo, et lætatus est cum omni domo sua credens Deo* (*Ib. v.* 33. 34).

Numquam differendum in spiritualibus. Cur tentationes permittat Deus. — Hinc docemur, in spiritualibus ne tantillum quidem umquam differre, sed idoneum censere quodvis tempus, quod occurrerit. Si enim multa nocte nolebant hi sancti differre, quæ nobis venia dari poterit, si alio tempore spirituale lucrum omittamus ? Vides carcerem in ecclesiam esse conversum ? vides lictorum diversorium derepente domum orationis esse factum, et illic sacram initia-

tionem celebratam? Tanta res est vigilem esse, nec unquam spiritualia lucra negligere, sed idoneum quodvis tempus ad ejusmodi quæstum arbitrari. Recte itaque beatus hic dixit scribens, *Quoniam diligentibus Deum omnia cooperantur in bonum.* Hanc sententiam, quæso, nos omnes menti nostræ insculptam habentes nunquam indignemur, si quando in casus aliquos adversos incurrerimus, dum in hac vita versamur, aut in calamitates, aut in corporis ægritudines, aut in res alias molestas, sed multam exhibentes moderationem animi ac philosophiam, cuivis tentationi resistamus, cum nobis exploratum sit omni ex parte nos posse lucrum reportare, si vigiles et attenti fuerimus, atque ex tentationibus potius quam ex rebus secundis : nec unquam animo concidamus, cogitantes quantum sit patientiæ lucrum, sed nec illis simus infensi, qui tentationibus nos divexant. Licet enim illi etiam, ut consilium suum expleant, id agant : communis tamen Dominus hoc permittit, quod nos velit hac ratione spiritualem hunc quæstum facere, ac patientiæ mercedem obtinere. Si ergo quæ inferuntur mala cum gratiarum actione perferre possimus, non exiguam delictorum nostrorum partem delebimus. Si enim thesaurum hunc, et orbis terrarum doctorem quotidie periculis objici cum videret Dominus, permittebat, non quod athletam suum despiceret, sed quod longius illius virtuti stadium sterneret, ut splendidiores illi coronas redderet : quid nos dicemus qui peccatis scatemus innumeris, et idcirco frequenter tentationibus conflictamur, ut cum eorum causa pœnas dederimus, saltem aliquam misericordiæ partem exiguam impetremus, et in illo die tremendo bonis illis ineffabilibus perfruamur? Hæc autem cum animis nostris reputantes, adversus omnia constanter patienterque resistamus, ut et tolerantiæ mercedem a benigno Domino recipiamus, et peccatorum nostrorum multitudinem imminuere possimus, et æterna bona consequi, gratia et benignitate Domini nostri Jesu Christi, cum quo Patri, simulque Spiritui sancto gloria, imperium, et honor, nunc et semper, et in sæcula sæculorum. Amen.

MONITUM AD HOMILIAM IN ILLUD,

Licet de anno, quo hanc Chrysostomus pronuntiavit homiliam, nihil habeamus, ex iis, quæ num. 4 hujusce concionis dicuntur de imperatoria Curia, deque militari satellitio Imperatoris, ea Constantinopoli habita fuisse deprehenditur; et quidem, ut num. 2 narratur, æstate magnum in frequentia populi æstum pariente; quam obtendebant causam Constantinopolitani, cum quereretur Chrysostomus ecclesiam non frequentari, multosque a concionibus abesse suis : quos egregie retundit Chrysostomus : Si

ADVERSUS EOS,

QUI AD COLLECTAM NON OCCURRERUNT, ET IN DICTUM ILLUD APOSTOLI, SI ESURIERIT INIMICUS TUUS, CIBA ILLUM (*Rom.* 12, 20), ET DE INIMICITIARUM MEMORIA.

1. *Paucitatem auditorum queritur Chrysostomus; applausus auditorum respuit. Proverbium, Gutta cavat lapidem.* — Nihil, ut videtur, nobis profuit, quod sermonem longum nuper habuerimus, ut vestrum ad collectas veniendi studium excitaremus : rursus enim nobis filiis suis ecclesia destituta est. Quo fit ut rursus etiam gravis ac molestus videri cogar, sive dum præsentes castigo, sive dum absentes reprehendo : illos quidem, quod pigritiam non excusserint, vos vero quod salutem fratrum non curetis. Gravis ac molestus videri cogor, non mea vel mearum possessionum, sed vestra salutisque vestræ causa, qua mihi nihil est antiquius. Ægre ferat qui volet, importunum et impudentem appellet; ego vero semper hac de causa molestiam exhibere non desinam, nihil enim hac impudentia mihi fructuosius esse potest. Fortasse namque, fortasse, si minus alterius rei, saltem hujus vos pudebit, ut ne semper eamdem ob causam molestia vobis exhibeatur, et curam fratres vestros juvandi suscipietis. Quid enim mihi laudes prosunt, cum vos in virtute facere progressus non videam? Quod vero mihi damnum oritur ex silentio auditorum, cum vestram augeri conspiciam pietatem? Laus quippe dicentis est, non applausus, sed auditorum in pietate zelus ac studium; non tumultus excitatus, quo tempore sermo auditur, sed studium ac diligentia, quæ omni tempore exhibetur. Applausus ex ore simul egreditur,

Τοσοῦτόν ἐστι τὸ νήφειν, καὶ μηδέποτε παρατρέχειν τὰ πνευματικὰ κέρδη, ἀλλὰ πάντα καιρὸν ἐπιτήδειον ποιεῖσθαι πρὸς τὴν τοιαύτην ἐμπορίαν. Καλῶς ἄρα ἔλεγεν ὁ μακάριος οὗτος γράφων, *Ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν*. Ταύτην τὴν ῥῆσιν, παρακαλῶ, καὶ ἡμεῖς ἐγκεκολαμμένην ἔχοντες τῇ διανοίᾳ τῇ ἡμετέρᾳ, μηδέποτε ἀσχάλλωμεν, ἐπειδὰν λυπηροῖς τισι κατὰ τὸν βίον τοῦτον περιπέσωμεν, ἢ περιστάσεσιν, ἢ ἀῤῥωστίαις σωματικαῖς, ἢ ἑτέροις τισὶ λυπηροῖς πράγμασιν· ἀλλὰ πολλῇ κεχρημένοι τῇ φιλοσοφίᾳ, ἀντέχωμεν πρὸς πάντα πειρασμὸν, εἰδότες ὅτι, ἂν νήφωμεν, πανταχόθεν κερδαίνειν δυνάμεθα, καὶ μᾶλλον ἀπὸ τῶν πειρασμῶν ἢ ἀπὸ τῶν ἀνέσεων· καὶ μηδέποτε ἀλύωμεν, ἐννοοῦντες ὅσον τῆς ὑπομονῆς τὸ κέρδος, ἀλλὰ μηδὲ ἀπεχθῶς ἔχωμεν πρὸς τοὺς ἐπάγοντας ἡμῖν τοὺς [156] πειρασμούς. Εἰ γὰρ κἀκεῖνοι τὸν οἰκεῖον σκοπὸν πληροῦντες τοῦτο ποιοῦσιν, ἀλλ' ὁ κοινὸς Δεσπότης συγχωρεῖ, βουλόμενος ἡμᾶς καὶ διὰ τούτων ἐμπορεύσασθαι τὴν πνευματικὴν ἐμπορίαν, καὶ τῆς ὑπομονῆς λαβεῖν τὸν μισθόν. Ἐὰν οὖν δυνηθῶμεν εὐχαριστως ἐνεγκεῖν τὰ ἐπαγόμενα, οὐ μικρὸν μέρος τῶν πεπλημμεληκότων ἡμῖν διαλύσομεν. Εἰ γὰρ τὸν θησαυρὸν τοῦτον καὶ τῆς οἰκουμένης διδάσκαλον, καθ' ἑκάστην ἡμέραν κινδύνοις περιπίπτοντα ὁρῶν ὁ Δεσπότης ἠνείχετο, οὐ περιορῶν τὸν οἰκεῖον ἀθλητὴν, ἀλλὰ τὰ σκάμματα αὐτῷ μακρότερα κατασκευάζων, ἵνα τοὺς στεφάνους αὐτῷ λαμπροτέρους ἀπεργάσηται, τί ἂν εἴποιμεν ἡμεῖς, οἱ μυρίων γέμοντες ἁμαρτημάτων, καὶ διὰ ταῦτα πολλάκις τοῖς πειρασμοῖς περιπίπτοντες, ἵνα τὴν ὑπὲρ τούτων δίκην ἐνταῦθα δόντες, μικρᾶς γοῦν φιλανθρωπίας ἀξιωθῶμεν, ἐπὶ τῆς φοβερᾶς ἐκείνης ἡμέρας τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν ἀπολαύσαντες; Τοῦτο δὲ λογιζόμενοι παρ' ἑαυτοῖς, πρὸς ἅπαντα γενναίως ἀντέχωμεν, ἵνα καὶ τῆς ὑπομονῆς τὸν μισθὸν δεξώμεθα ἀπὸ τοῦ φιλανθρώπου Δεσπότου, καὶ τὸ πλῆθος τῶν ἡμῖν ἡμαρτημένων ὑποτεμέσθαι δυνηθῶμεν, καὶ τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

SI ESURIERIT INIMICUS TUUS, CIBA ILLUM.

calor in causa est, inquit, cur adeo frequentatis forum, ubi æstus, strepitus, turba populi tanta, nulla re solares radios cohibente : cum contra ecclesia, ubi ille concionabatur, perampla . alta. tabulis strata lapideis, æstum non modice temperaret. Hinc de inimicorum dilectione, deque beneficiis in illos conferendis præclare pro more loquitur.

Interpretatio Latina est Frontonis Ducæi.

---

[157] ΠΡΟΣ ΤΟΥΣ

Μὴ ἀπαντήσαντας εἰς τὴν σύναξιν, καὶ εἰς τὴν ἀποστολικὴν ῥῆσιν τὴν λέγουσαν, « Ἐὰν πεινᾷ ὁ ἐχθρός σου ψώμιζε αὐτὸν, », καὶ περὶ τοῦ μνησικακεῖν.

—

α'. Οὐδὲν, ὡς ἔοικεν, ὠφελήσαμεν, μακρὸν λόγον πρώην πρὸς ὑμᾶς ἀποτείναντες ὑπὲρ τῆς περὶ τὰς συνάξεις σπουδῆς· πάλιν γὰρ ἡμῖν ἔρημος ἡ ἐκκλησία τῶν τέκνων. Διὸ καὶ πάλιν ἀναγκάζομαι ἐπαχθὴς φανῆναι καὶ βαρὺς, ἐπιτιμῶν τοῖς παροῦσιν, ἐγκαλῶν τοῖς ἀπολειφθεῖσιν· ἐκείνοις μὲν, ὅτι τὴν ῥᾳθυμίαν οὐκ ἀπέθεντο, ὑμῖν δὲ, ὅτι τῆς τῶν ἀδελφῶν οὐκ ἀντελάβεσθε σωτηρίας. Ἀναγκάζομαι βαρὺς φανῆναι καὶ ἐπαχθὴς, οὐχ ὑπὲρ ἐμαυτοῦ καὶ τῶν ἐμῶν κτημάτων, ἀλλ' ὑπὲρ ὑμῶν καὶ τῆς ὑμετέρας σωτηρίας, ἧς οὐδὲν ἐμοὶ προτιμότερον. Ὁ βουλόμενος βαρυνέσθω, καὶ φορτικὸν καὶ ἀναίσχυντον καλείτω· ἐγὼ δὲ οὐ παύσομαι συνεχῶς ὑπὲρ τῶν αὐτῶν ἐνοχλῶν· τῆς γὰρ ἀναισχυντίας ταύτης οὐδὲν ἄμεινον ἐμοί. Ἴσως γὰρ, ἴσως, εἰ καὶ μηδὲν ἕτερον, τοῦτο γοῦν ἐρυθριάσαντες, τὸ μὴ συνεχῶς ὀχλεῖσθαι περὶ τῶν αὐτῶν, ἀντιλήψεσθέ ποτε τῆς κηδεμονίας τῶν ἀδελφῶν τῶν ὑμετέρων. Τί γάρ μοι τῶν ἐπαίνων ὄφελος, ὅταν ὑμᾶς μὴ θεάσωμαι προκόπτοντας κατ' ἀρετήν; τί δέ μοι βλάβος ἐκ τῆς σιγῆς τῶν ἀκουόντων, ὅταν αὐξομένην ὑμῶν ἴδω τὴν εὐλάβειαν; Ἔπαινος γὰρ τοῦ λέγοντος οὐχ ὁ κρότος, ἀλλ' ὁ περὶ τὴν εὐσέβειαν ζῆλος τῶν ἀκουόντων· οὐχ ὁ θόρυβος κατὰ τὸν καιρὸν τῆς ἀκροάσεως, ἀλλ' ἡ σπουδὴ ἡ διαπαντὸς τοῦ χρόνου. Ὁ κρότος ἐξῆλθεν ὁμοῦ τε τοῦ στόματος, καὶ εἰς ἀέρα διαχυθεὶς ἀπώλετο· τὸ δὲ βελτίονας γενέσθαι τοὺς ἀκούοντας, ἀγήρω καὶ ἀθάνατον φέρει τὸν μισθὸν καὶ τῷ λέγοντι καὶ τοῖς πειθο-

μένοι,. Θ τῆς βοῆς ὑμῶν ἔπαινος ἐνταῦθα τὸν λέγοντα ποιεῖ λαμπρὸν, ἡ δὲ τῆς ψυχῆς ὑμῶν εὐλάβεια πολλὴν ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ δίδωσι παῤῥησίαν τῷ διδάξαντι. Ὥστε, εἴ τις τῶν λεγόντων ἐρᾷ, μὴ τῶν κρότων, ἀλλὰ τῆς ὠφελείας τῶν ἀκουόντων ἐράτω. Οὐκ ἔστι τὸ τυχὸν κακὸν ἀδελφῶν ἀμελεῖν, ἀλλ' ἐσχάτη κόλασις, καὶ ἀπαραίτητος τιμωρία· καὶ τοῦτο ὁ τὸ τάλαντον καταχώσας ἐδήλωσεν. Οὐδὲν γοῦν ὑπὲρ τῆς οἰκείας ἐνεκαλεῖτο ζωῆς· οὐδὲ γὰρ ἐγένετο κακὸς περὶ τὴν καταθήκην· ὁλόκληρον γὰρ αὐτὴν ἀπέδωκεν· ἀλλ' ὅμως ἐγένετο κακὸς καὶ περὶ τὴν ἐργασίαν τῆς παρακαταθήκης. Οὐ γὰρ ἐδιπλασίασε τὸ πιστευθέν· διὸ καὶ ἐκολάζετο. Ὅθεν δῆλον, ὅτι κἂν ἡμεῖς σπουδαῖοι ὦμεν καὶ συγκεχροτημένοι, κἂν πολλὴν ἐπιθυμίαν ἔχωμεν περὶ τὴν ἀκρόασιν τῶν θείων Γραφῶν, οὐκ ἀρκεῖ πρὸς σωτηρίαν ἡμῶν. Διπλασιάσαι γὰρ χρὴ τὴν παρακαταθήκην, διπλῆ δὲ γίνεται, ὅταν μετὰ τῆς ἑαυτῶν σωτηρίας, καὶ τῆς ἑτέρων ἀντιλαμβανώμεθα προνοίας. Ἐπεὶ κἀκεῖνος εἶχεν, *Ἴδε ἔχεις τὸ σὸν σῶον*· ἀλλ' οὐκ ἤρκεσεν αὐτῷ τοῦτο πρὸς ἀπολογίαν. *Ἔδει* [158] γὰρ, φησὶ, *καταβαλεῖν ἐπὶ τοὺς τραπεζίτας τὸ κατα βληθέν*. Καί μοι σκόπει, πῶς κοῦφα τοῦ Δεσπότου τὰ ἐπιτάγματα. Ἄνθρωποι μὲν γὰρ τοὺς δανείζοντας χρήματα δεσποτικὰ καὶ τῆς ἀπαιτήσεως ὑπευθύνους ποιοῦσι. Σὺ κατέβαλες, σὺ, φησὶν, ἀπαίτησον· ἐμοὶ λόγος οὐδεὶς πρὸς τὸν δεξάμενον. Ὁ δὲ Θεὸς οὐχ οὕτως, ἀλλὰ καταβαλεῖν κελεύει μόνον, οὐκέτι δὲ καὶ τῆς ἀπαιτήσεως ἡμᾶς ὑπευθύνους ποιεῖ. Τοῦ συμβουλεῦσαι γάρ, οὐ τοῦ πεῖσαι κύριος ὁ λέγων ἐστί. Διὸ τῆς καταβολῆς ὑπεύθυνόν σε ποιῶ μόνον, φησὶ, τῆς δὲ ἀπαιτήσεως οὐκέτι. Τί τούτου κουφότερον; Ἀλλ' ὅμως σκληρὸν ἐκάλει τὸν οὕτως ἥμερον καὶ φιλάνθρωπον δεσπότην ὁ δοῦλος. Τοιαῦται γὰρ τῶν ἀγνωμόνων καὶ ῥᾳθύμων οἰκετῶν αἱ συνήθειαι· τῶν οἰκείων ἁμαρτημάτων εἰς τοὺς δεσπότας ἀεὶ μετατιθέασι τὰς αἰτίας. Διὰ τοῦτο στρεβλούμενος καὶ δεσμούμενος ἐκεῖνος εἰς τὸ σκότος ἐξήγετο τὸ ἐξώτερον. Ὅπερ ἵνα μὴ ἡμεῖς πάθωμεν, καταβάλλωμεν τὴν διδασκαλίαν ἐπὶ τοὺς ἀδελφοὺς, κἂν πείθωνται, κἂν μὴ πείθωνται. Πειθόμενοι μὲν γὰρ, καὶ ἑαυτοὺς καὶ ἡμᾶς ὠφελήσουσι· μὴ πειθόμενοι δὲ, αὐτοῖς μὲν ἀπαραίτητον ἐπισπῶνται κόλασιν, ἡμᾶς δὲ οὐδὲ τὸ τυχὸν παραβλάψαι δύναιντ' ἄν. Τὸ γὰρ ἡμέτερον ἐποιήσαμεν, συμβουλεύσαντες· εἰ δὲ μὴ πεισθοιντο, οὐδὲν ἡμῖν ἐκ τούτου γένοιτ' ἄν βλάβος. Ἔγκλημα γὰρ, οὐ τὸ μὴ πεῖσαι, ἀλλὰ τὸ μὴ συμβουλεῦσαι· μετὰ δὲ τὴν παραίνεσιν καὶ τὴν συμβουλὴν, τὴν διηνεκῆ καὶ τὴν συνεχῆ, οὐκέτι πρὸς ἡμᾶς, ἀλλὰ πρὸς ἐκείνους ἔσται ὁ λόγος τῷ Θεῷ. Ἐβουλόμην γοῦν εἰδέναι σαφῶς, ὅτι παραινοῦντες αὐτοὺς διατελεῖτε, καὶ εἰ διαπαντὸς μένουσιν ἐπὶ τῆς ῥᾳθυμίας ἐκεῖνοι, καὶ οὐκ ἂν ὑμῖν οὐδέποτε ἠνόχλησα· νῦν δέδοικα, μή ποτε ἐκ τῆς ὑμετέρας ὑπεροψίας καὶ ἀμελείας μένωσιν ἀδιόρθωτοι. Καὶ γὰρ ἀμήχανον ἄνθρωπον συνεχῶς ἀπολαύοντα παραινέσεως καὶ διδασκαλίας, μὴ γενέσθαι βελτίω καὶ σπουδαιότερον. Καὶ δημώδης μέν ἐστιν ἡ παροιμία, ἣν ἐρεῖν μέλλω· πλὴν ἀλλ' αὐτὸ τοῦτο συνίστησι. Πέτραν γὰρ κοιλαίνει, φησὶ, ῥανὶς ὑδάτων ἐνδελεχοῦσα. Καίτοι τί μαλακώτερον ὕδατος; τί δὲ πέτρας σκληρότερον; Ἀλλ' ὅμως ἡ ἐνδελέχεια τὴν φύσιν ἐνίκησεν. Εἰ δὲ φύσιν ἐνδελέχεια νικᾷ, πολλῷ μᾶλλον προαιρέσεως δύναιτ' ἂν περιγενέσθαι. Οὐκ ἔστι παίγνια ὁ Χριστιανισμὸς, ἀγαπητοὶ, οὐδὲ πρᾶγμα πάρεργον. Συνεχῶς ταῦτα λέγομεν, καὶ οὐδὲν πλέον ποιοῦμεν.

β'. Πῶς οἴεσθέ με δύνασθαι, ἀναμιμνησκόμενον ὅτι ἐν μὲν ταῖς πανηγύρεσι πελάγη θαλάττης μακρὰ μιμεῖται τῶν συνάξεων τὰ πλήθη, νῦν δὲ οὐδὲ τὸ πολλοστὸν τοῦ πλήθους ἐκείνου μέρος ἐνταῦθα συλλέγεται; Ποῦ νῦν εἰσιν οἱ διενοχλοῦντες ἡμᾶς ἐν ταῖς ἑορταῖς; Ἐκείνους ἐπιζητῶ, καὶ δι' ἐκείνους ὀδύρομαι, ἐννοῶν ὅσον πλῆθος ἀπόλλυται τῶν σωζομένων, ὅσην ἀδελφῶν ὑπομένω ζημίαν, πῶς εἰς ὀλίγους τὰ τῆς σωτηρίας περιίσταται, καὶ τὸ πλέον τοῦ σώματος τῆς Ἐκκλησίας μέρος νεκρῷ καὶ ἀκινήτῳ προσέοικε σώματι. Καὶ τί πρὸς ἡμᾶς, φησί; Πρὸς ὑμᾶς μὲν οὖν μάλιστα τοὺς μὴ θεραπεύοντας, τοὺς μὴ [159] παραινοῦντας καὶ συμβουλεύοντας, πρὸς ὑμᾶς οὐκ ἐπιτιθέντας ἀνάγκην, καὶ μετὰ βίας ἕλκοντας, καὶ τῆς πολλῆς ἀπάγοντας ῥᾳθυμίας. Ὅτι γὰρ οὐχ ἑαυτῷ χρήσιμον εἶναι χρὴ μόνον, ἀλλὰ καὶ πολλοῖς, ἐδήλωσεν ὁ Χριστὸς, ἄλας ἡμᾶς καὶ ζύμην καλέσας καὶ φῶς· ταῦτα δὲ ἑτέροις ἐστὶ χρήσιμα καὶ λυσιτελῆ. Καὶ γὰρ ὁ λύχνος οὐχ ἑαυτῷ φαίνει, ἀλλὰ τοῖς ἐν σκότῳ καθημένοις· καὶ σὺ λύχνος εἶ, οὐχ ἵνα τοῦ φωτὸς ἀπολαύσῃς μόνος, ἀλλ' ἵνα ἐκεῖνον τὸν πεπλανημένον ἐπαναγάγῃς. Τί γὰρ ὄφελος λύχνου, ὅταν μὴ φαίνῃ τῷ ἐν τῷ σκότει καθημένῳ; τί δὲ ὄφελος Χριστιανοῦ, ὅταν μηδένα κερδάνῃ μηδὲ πρὸς ἀρετὴν ἐπαναγάγῃ; Πάλιν τὸ ἅλας οὐχ ἑαυτὸ ἐπισφίγγει μόνον, ἀλλὰ καὶ τὰ σεσηπότα τῶν σωμάτων συστέλλει, καὶ οὐκ ἀφίησι διαῤῥυέντα ἀπολέσθαι. Οὕτω δὴ καὶ σὺ, ἐπειδὴ ἅλας σε κατεσκεύασεν ὁ Θεὸς πνευματικὸν, τὰ σεσηπότα μέλη, τουτέστι, τοὺς ῥᾳθύμους ἀδελφῶν καὶ βαναύσους ἐπίσφιγξον καὶ σύστειλον, καὶ τῆς ῥᾳθυμίας, ὥσπερ τινὸς σηπεδόνος, ἀπαλλάξας, ἕνωσον τῷ λοιπῷ σώματι τῆς Ἐκκλησίας. Διὰ τοῦτό σε καὶ ζύμην ἐκάλεσε· καὶ γὰρ καὶ ἡ ζύμη οὐχ ἑαυτὴν ζυμοῖ, ἀλλὰ τὸ λοιπὸν φύραμα τὸ πολὺ καὶ ἄφατον ἡ μικρὰ καὶ βραχεῖα. Οὕτω δὴ καὶ ὑμεῖς· εἰ καὶ ὀλίγοι ἐστὲ κατὰ τὸν ἀριθμὸν, ἀλλὰ πολλοὶ καὶ δυνατοὶ τῇ πίστει καὶ τῇ κατὰ Θεὸν γίνεσθε σπουδῇ. Ὥσπερ οὖν ἡ ζύμη οὐκ ἀσθενεῖ διὰ τὴν βραχύτητα, ἀλλὰ περιγίνεται διὰ τὴν ἐγκειμένην αὐτῇ θερμότητα καὶ τὴν τῆς ποιότητος δύναμιν· οὕτω δὴ καὶ ὑμεῖς δυνήσεσθε πολλῷ πλείους πρὸς τὴν αὐτὴν ὑμῖν ἐπαναγαγεῖν σπουδὴν, ἂν θέλητε. Εἰ δὲ τὸ θέρος προβάλλοιντο· καὶ γὰρ καὶ ταῦτα ἀκούω λεγόντων, ὅτι Σφοδρὸν τὸ πνῖγος νῦν, τὸ καῦμα ἀφόρη-

et in aerem diffusus interit ; quod autem meliores fiant auditores, incorruptam et immortalem cum dicenti, tum obtemperantibus mercedem affert. Clamoris vestri commendatio illustriorem oratorem hic reddit : at animæ vestræ pietas multam apud tribunal Christi doctori fiduciam acquirit. Itaque si quis eos qui sermonem habent, diligat, non applausus, sed utilitatem diligat auditorum. Non mediocre malum est fratrum curam non gerere, sed extremum supplicium est, et inevitabilis pœna : quod ipsum is qui talentum defoderat indicavit. Sane nihil ei vitio vertebatur, quod in vita peccasset, neque male quidquam in depositi custodia commiserat : integrum enim illud restituit : sed tamen in depositi negotiatione male se gesserat. Non enim id quod creditum fuerat duplicarat ; quam ob causam etiam pœnas dabat. Unde manifestum evadit, licet studiosi simus et instructi, licet ad sacram audiendam Scripturam multa cupiditate exardescamus, id tamen ad nostram salutem non sufficere. Duplicandum namque depositum est : porro duplum fit, quando cum salute nostra curam aliorum quoque suscipimus. Nam et ipse dixit, *Ecce salvum habes, quod tuum est ;* sed hoc ad excusationem illi satis non fuit. *Oportuit* enim, inquit, *te committere nummulariis quod tibi commissum est* (*Matth.* 25. 27). At tu mihi, quam levia sint Domini mandata, considera. Homines enim eos, qui pecunias heriles dant fœnori, etiam repetitioni reddunt obnoxios. Tu commisisti, tu, inquit, repete : nullum mihi cum eo qui recepit, negotium est. Deus vero non ita, sed committere jubet tantum, at non item repetitioni nos reddit obnoxios. Quippe in potestate oratoris est, ut consulat, non ut persuadeat. Quapropter ad committendum solum te obligo, non item ad repetendum. Quid hoc levius est ? Attamen durum appellabat tam mitem ac benignum dominum servus. Ea quippe improborum et inertium est consuetudo servorum : peccatorum suorum culpam semper in dominos suos rejiciunt. Idcirco cruciatus et compedibus vinctus ille in tenebras exteriores ejiciebatur. Quod ne nobis etiam accidat, doctrinam fratribus committamus, sive persuadeantur, sive non persuadeantur. Si enim persuasi fuerint, et de seipsis et de nobis bene merebuntur : si non fuerint persuasi, supplicium sibi accersent inevitabile, nobis autem ne tantillum quidem nocere poterunt. Quod enim nostri muneris fuit, præstitimus, cum consilium dederimus : quod si persuasi non fuerint, nihil inde possumus capere detrimenti. Siquidem crimen est, non si minime persuaseris, sed si minime consilium dederis : ubi vero cohortatione, consilioque continuo frequentique perfuncti fuerimus, non jam a nobis, sed ab illis rationem Deus exiget. Vellem equidem evidenter nosse vos illos assidue cohortando perseverare, et num in eadem semper illi negligentia persistant, nec umquam vobis molestiam exhiberem : jam vero timeo ne inertiæ incuriæque vestræ vitio maneant incorrecti. Neque enim fieri potest, ut qui cohortatione doctrinaque frequenter fruatur, melior studiosiorque non fiat. Ac vulgare quidem est illud proverbium, quod dicturus sum ; verumtamen hoc ipsum testatur. Stillula enim, inquit, mollis aquæ saxum assiduo cavat ictu. Tametsi quid aqua mollius ? quid saxo durius ? attamen assiduitas naturam vincit. Quod si naturam vincit assiduitas, multo magis voluntatem poterit superare. Non ludus est Christianismus, dilecti, nec res supervacanea. Continue ista dicimus, et nihil proficimus.

2. Quantum mihi censetis dolorem inuri, cum recordor festis quidem diebus vasta maris æquora collectarum turbas imitari, jam vero ne quotamvis quidem partem hic illius multitudinis congregari ? Ubi nunc sunt, qui nobis in solemnitatibus molestiam exhibent ? Illos requiro, et illorum causa lugeo, dum mihi venit in mentem, quanta pereat eorum multitudo, qui salvi erant, quantam faciam fratrum jacturam, quam exiguum in numerum redigantur, qui salutem adipiscantur, ut major pars corporis Ecclesiæ mortuo et immobili corpori assimiletur.

Non solis nobis nati sumus. Exemplo sanctorum sudores non metuendi. Ecclesiæ structura.—Quid illud ad nos attinet, dicet aliquis ? Ad vos quidem certe maxime attinet, qui non eos curatis, non adhortamini, non consilio juvatis, ad vos qui necessitatem non imponitis neque vi pertrahitis, et ab illa summa negligentia revocatis. Non enim tantum nobis prodesse nos debere, sed et multis, ostendit Christus, cum salem nos, ac fermentum, et lucem vocavit. Hæc enim aliis utilia sunt et commoda. Nam lucerna non sibi lucet, at illis qui sedent in tenebris : et tu lucerna es, non ut lumine solus fruaris, sed ut illum errantem reducas (*Matth.* 5. 13. 14). Quid namque prodest lucerna, quando in tenebris sedenti non lucet ? quæ porro utilitas Christiani, quando neminem lucratur, nec ad virtutem reducit ? Rursus non seipsum adstringit sal tantum, sed et corpora quæ corrumpuntur cohibet, neque diffluere ac perire permittit. Sic tu quoque ; quandoquidem spiritualem te salem Deus effecit, membra corrupta, hoc est desidiosos fratres, et qui mechanicas exercent artes, adstringe et colliga, desidiaque tanquam ulcere quopiam putrido liberatum cum reliquo Ecclesiæ corpore copulato. Propterea te fermentum appellavit : si quidem fermentum etiam non seipsum fermentat, sed reliquam massam ingentem licet et immensam, ipsum parvum cum sit et breve (*Id.* 13. 33). Sic nimirum vos quoque, quamquam numero pauci estis, multi tamen ac potentes estote fide ac studio erga cultum Dei. Ut igitur fermentum propter exiguitatem imbecille non est, sed propter insitum a natura calorem ac virtutem qualitatis exsuperat : sic vos nimirum multo plures poteritis ad eumdem fervorem ac studium reducere, si velitis. Quod si æstatem obtendant : siquidem hoc quoque illos audio dicentes, Vehemens nunc æstus est, atque intolerandi calores ; non possumus coarctari et in tanta turba

comprimi, undique sudore diffluentes, æstu gravati et in angustias redacti : pudet me illorum, mihi credite; sunt enim muliebres isti prætextus, vel potius ne illis quidem ad obtinendam veniam excusationes istæ sufficerent, quibus molliora sunt corpora et imbecillior natura. Quamquam autem ejusmodi defensionem responsione diluere turpe videbitur, necessarium est tamen. Si enim illi has obtendere excusationes non erubescunt, multo magis nos pudere non debet hæc refellere. Quid ergo hæc obtendentibus opponemus? Trium puerorum illis memoriam volo refricare, qui cum in fornace ac mediis flammis versarentur, cum undique se cernerent ignibus obsideri, qui in os, in oculos, in anhelitum ipsum incurrerent, sacrum illum et mysticum hymnum cum creaturis Deo canere non cessarunt, sed alacrius, quam si in prato versati fuissent, tum in medio rogo stantes communi Domino universorum laudes offerebant (*Dan.* 3) : et cum tribus his pueris leonum in Babylone, Danielis et lacus (*Id.* 6. 24); neque vero tantum hujus, sed et alterius lacus, ac prophetæ, lutique, quo ad collum usque suffocabatur Jeremias, ut recordentur, illos obsecro (*Jerem.* 38. 6). Et ex laculus istis ascendens, in carcerem introducere istos volo, qui calores obtendunt, Paulumque monstrare ac Silam compedibus illic præpeditos, vestigiis verberum plenos, quibus totum corpus vulneribus plagarumque fuerat multitudine laceratum, media nocte Deum laudantes et sacras illas vigilias celebrantes. An non enim absurdum est sanctos quidem illos, cum in fornace,. et igne, et lacu, et belluis, et luto, carcere, et compedibus, et plagis, et ergastulis, et intolerandis versarentur malis, nihil unquam horum culpare, sed multa cum animi contentione et ardore perpetuo precibus et hymnis sacris operam dare; nos qui non ullam exiguam, non magnam ex illis quæ enumeratæ sunt passionibus toleravimus, ob æstum et calorem modicum ac sudorem, nostræ ipsorum salutis curam deponere, ac relictis collectis foris vagari, nosque cœtibus depravandos immiscere, in quibus nihil non vitiosum est et corruptum? Tantus sacrorum eloquiorum est rus, et æstum objicis? *Aqua, quam ego dabo ei*, ait Christus, *fiet in eo fons aquæ salientis in vitam æternam* (*Joan.* 4. 14) : et rursus, *Qui credit in me, sicut dixit Scriptura, flumina de ventre ejus fluent aquæ vivæ* (*Id.* 7. 38). An tu, quæso, cum intus fontes habeas et flumina spiritualia, sensilem calorem times? at in foro, quæso, ubi tantus est strepitus, tot angustiæ, ac multus æstus, qui fit ut calores et solis ardorem non obtendas? Non enim, opinor, id dicere potes illic frigidiore licere aeris natura frui, hic vero totum nobis collectum calorem sævire ; quin potius contrarium penitus, hic quidem ubi crustis lapideis solum constratum est, et ob reliquam ædis sacræ fabricam (siquidem in immensam assurgit altitudinem), levior et frigidior est aer : at illic multus undique sol irradiat, multæ angustiæ, fumus, pulvis, et alia plura, quæ majorem istis molestiam exhibent. Ex quo intelligitur inertiæ et mollitiei animi, qui Spiritus sancti flamma sit destitutus, has ineptas excusationes esse tribuendas.

3. Hæc non tam ad illos a me dicta diriguntur, quam ad vos, qui non illos pertrahitis, qui non ab inertia revocatis, et ad salutarem hanc mensam adducitis. Ac servi quidem cum commune ministerium obituri sunt, advocant suos conservos : vos vero, a quibus hoc spirituale obsequium exhibendum est, conservos similis vestros hoc quæstu privari. Quid, si nolint ipsi, dicet aliquis? Efflce assidue instando, ut velint; si enim urgentes nos viderint, omnino volent. At enim prætextus hæc sunt et fictæ excusationes. Quam multi namque hic sunt patres, qui secum stantes non habent filios? Num etiam liberos huc pertrahere non poteras? Ex quo apparet cæteros quoque non ob inertiam tantum suam, sed et ob vestram incuriam foris manere. At licet non prius, nunc saltem excitamini, et cum membro suo quisque in ecclesiam ingrediatur, et pater filium, et genitorem filius, et viri uxores, et viros uxores, et servum herus, et frater fratrem, et amicus amicum excitet, et ad hunc conventum frequentandum instiget : imo vero non amicos tantum, sed inimicos etiam ad communem hunc bonorum thesaurum invitemus. Si curam viderit tuam inimicus, odium plane deponet.

Judæorum diligentia circa sabbatum. Sæcularia bene succedunt, si Deus colatur. — Dic illi : Non verecundaris, nec erubescis Judæos, qui tanta cum diligentia sabbatum custodiunt, atque ab ipsa jam vespera ab omni opere abstinent? Quod si die Parasceves solem videant ad occasum vergentem, et pacta rescindunt, et emptiones interrumpunt. Quod si quis cum ante vesperam emisset, vespere veniens pretium afferat, non sustinent accipere, nec pecuniam admittunt. Quid dico pretium rerum venalium, et pacta? quamvis thesaurum accipere liceret, lucrum illud malent amittere, quam legem violare. Ergone Judæi, tametsi legem intempestive custodiant, ita sunt accurate diligentes, et ita studiosi sunt observationis, quæ nihil eis prodest, imo etiam nocet : tu qui jam umbra superior es, cui solem justitiæ videre concessum est, qui jam ad cælorum municipatum pertines, ne eamdem quidem cum iis, qui vitio intempestive adhærent, sollicitudinem ac studium exhibes, tu cui veritas ipsa est credita; sed ad modicam diei partem huc vocatus, ne eam quidem sacrorum eloquiorum auditioni dignaris impendere? quam tandem veniam, quæso, mereri queas? quam vero poteris legitimam et justam excusationem afferre? Non potest fieri, plane non potest, ut qui tam negligens sit ac piger, umquam venia dignus habeatur, licet millies sæcularium negotiorum occupationes obtendat. Nescis, si huc veniens Deum adoraveris, et conventus istius particeps fueris, ea quæ præ manibus sunt negotia facilia tibi et expedita reddi? Sæcularibus curis premeris? Earum igitur causa

τον, οὐκ ἰσχύομεν στενοχωρεῖσθαι καὶ θλίβεσθαι ἐν τῷ πλήθει, ἱδρῶτι πάντοθεν περιῤῥεόμενοι καὶ ἀχθόμενοι τῇ θέρμῃ καὶ τῇ στενοχωρίᾳ· αἰσχύνομαι μὲν ὑπὲρ αὐτῶν, πιστεύσατε· γυναικώδεις γὰρ αἱ σκήψεις, μᾶλλον δὲ οὐδὲ ἐκείναις πρὸς συγγνώμην ἀρκοῦσαι αἱ προφάσεις, αἷς μαλακώτερα τὰ σώματα, καὶ ἀσθενεστέρα ἡ φύσις. Πλὴν εἰ καὶ αἰσχρὸν τὸ ἀποκρίνασθαι πρὸς τὴν τοιαύτην ἀπολογίαν, ἀλλ' ἀναγκαῖον ὅμως. Εἰ γὰρ ἐκεῖνοι τοιαῦτα προφασίζονται, καὶ οὐκ ἐρυθριῶσι, πολλῷ μᾶλλον ἡμᾶς οὐκ αἰσχύνεσθαι χρὴ πρὸς ταῦτα ἀντιλέγοντας. Τί οὖν εἶπω τοῖς ταῦτα προβαλλομένοις; Τῶν τριῶν παίδων ἀναμνῆσαι αὐτοὺς βούλομαι τῶν ἐν τῇ καμίνῳ καὶ ἐν τῇ φλογὶ, οἳ πανταχόθεν αὐτοῖς περιτρέχον τὸ πῦρ ὁρῶντες, καὶ τῷ στόματι καὶ τοῖς ὀφθαλμοῖς, καὶ αὐτῇ περιεχομένον τῇ ἀναπνοῇ, οὐκ ἐπαύσαντο τὸν ἱερὸν καὶ μυστικὸν ἐκεῖνον ὕμνον ᾄδοντες τῷ Θεῷ μετὰ τῆς κτίσεως, ἀλλὰ τῶν ἐν λειμῶνι διατριβόντων, ἐν μέσῃ τότε ἑστῶτες τῇ πυρᾷ, προθυμότερον τὴν εὐφημίαν τῷ κοινῷ τῶν ὅλων ἀνέπεμπον Δεσπότῃ· καὶ μετὰ τῶν τριῶν παίδων τούτων, τῶν λεόντων αὐτοῖς τῶν ἐν Βαβυλῶνι, καὶ τοῦ Δανιὴλ καὶ τοῦ λάκκου· οὐχὶ δὲ τούτου μόνου, ἀλλὰ καὶ ἑτέρου λάκκου καὶ προφήτου, καὶ βορβόρου μέχρι τραχήλου τὸν Ἱερεμίαν ἀποπνίγοντος ἀναμνησθῆναι πάλιν αὐτοὺς ἀξιῶ. Καὶ ἀπὸ τῶν λάκκων [160] ἀναβὰς, εἰσαγαγεῖν εἰς τὸ δεσμωτήριον βούλομαι τούτους τοὺς τὸ καῦμα προβαλλομένους, καὶ δεῖξαι τὸν Παῦλον ἐκεῖ καὶ τὸν Σίλαν τῷ ξύλῳ προσδεδεμένους, μωλώπων γέμοντας καὶ τραυμάτων, τῷ πλήθει τῶν πληγῶν ἅπαν καταξανθέντας τὸ σῶμα, ἐν μέσῃ τῇ νυκτὶ τὸν Θεὸν ὑμνοῦντας, καὶ τὴν ἱερὰν ἐκείνην παννυχίδα ἐπιτελοῦντας. Πῶς γὰρ οὐκ ἄτοπον τοὺς μὲν ἁγίους ἐκείνους, ἐν καμίνῳ, καὶ πυρὶ, καὶ λάκκῳ, καὶ θηρίοις, καὶ βορβόρῳ, καὶ δεσμωτηρίῳ, καὶ ξύλῳ, καὶ πληγαῖς, καὶ φυλακαῖς, καὶ τοῖς ἀφορήτοις ὄντας δεινοῖς, μηδὲν τούτων αἰτιᾶσθαι πώποτε, ἀλλὰ μετὰ πολλοῦ τοῦ τόνου καὶ προθυμίᾳ ζεούσῃ εὐχαῖς καὶ ὕμνοις ἱεροῖς ἐνδιατρίβειν διηνεκῶς, ἡμᾶς δὲ οὐ μικρὸν, οὐ μέγα τῶν ἀπηριθμημένων ὑπομείναντας παθῶν, διὰ καῦμα, καὶ θέρμην βραχεῖαν καὶ ἱδρῶτα, τῆς οἰκείας αὐτῶν ἀμελεῖν σωτηρίας, καὶ τὰς συνάξεις ἀφέντας ἔξω πλανᾶσθαι, συλλόγοις προσφθειρομένους οὐδὲν ἔχουσιν ὑγιές; Τοσαύτη δρόσος τῶν θείων λογίων, καὶ καῦμα προβάλλῃ; *Τὸ ὕδωρ, ὃ ἐγὼ δώσω αὐτῷ*, φησὶν ὁ Χριστὸς, *γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον*· καὶ πάλιν, *Ὁ πιστεύων εἰς ἐμὲ, καθὼς εἶπεν ἡ Γραφὴ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος*. Πηγὰς ἔχων, εἰπέ μοι, καὶ ποταμοὺς πνευματικοὺς, καῦμα δέδοικας αἰσθητόν; ἐπὶ δὲ τῆς ἀγορᾶς, εἰπέ μοι, ἔνθα τοσοῦτος θόρυβος καὶ στενοχωρία καὶ πολὺς ὁ καύσων, πῶς οὐ προβάλλῃ πνῖγος καὶ θέρμην; Οὐ γὰρ δὴ τοῦτο ἔχεις ἂν εἰπεῖν, ὅτι ἐκεῖ μὲν ψυχροτέρας τῆς τοῦ ἀέρος φύσεως ἔστιν ἀπολαύειν, ἐνταῦθα δὲ ἅπαν ἡμῖν συνῆκται τὸ πνῖγος, ἀλλὰ πᾶν τοὐναντίον, ἐνταῦθα μὲν καὶ ἀπὸ τῆς ὑποκειμένης πλακὸς, καὶ ἀπὸ τῆς ἄλλης τοῦ οἴκου κατασκευῆς (καὶ γὰρ εἰς ὕψος ἀνέστηκεν ἄφατον) κουφότερος καὶ ψυχρότερος ὁ ἀήρ· ἐκεῖ δὲ πολὺς μὲν ἥλιος πανταχοῦ, πολλὴ δὲ ἡ στενοχωρία καὶ καπνὸς καὶ κόνις, καὶ ἕτερα πολλῷ πλείονα τούτων ἐπιτείνοντα τὴν ἀηδίαν. Ὅθεν δῆλον, ὅτι ῥᾳθυμίας καὶ ψυχῆς ἀναπεπτωκυίας καὶ τῆς τοῦ Πνεύματος φλογὸς ἀπεστερημένης αὗται αἱ προφάσεις αἱ ἄλογοι.

γ'. Ταῦτα οὐχὶ πρὸς ἐκείνους τοσοῦτον ἀποτεινόμενος λέγω νῦν, ὅσον πρὸς ὑμᾶς τοὺς οὐκ ἐπισπωμένους, τοὺς οὐκ ἀνιστῶντας αὐτοὺς ἀπὸ τῆς ῥᾳθυμίας, καὶ πρὸς τὴν σωτηρίαν ταύτην ἕλκοντας τράπεζαν. Καὶ οἰκέται μὲν κοινὴν μέλλοντες ἐκπληροῦν διακονίαν, τοὺς αὑτῶν συνδούλους καλοῦσιν· ὑμεῖς δὲ ἐπὶ τὴν πνευματικὴν ταύτην μέλλοντες ἁπάντων ὑπηρεσίαν, περιορᾶτε τοὺς ὁμοδούλους τοῦ κέρδους ἀποστερουμένους. Τί οὖν, εἰ μὴ βούλοιντο, φησί; Ποίησον αὐτοὺς βουληθῆναι τῇ συνεχεῖ προσεδρείᾳ· ἂν γὰρ ἴδωσιν ἐπικειμένους ἡμᾶς, πάντως βουλήσονται. Ἀλλὰ γὰρ σκῆψις ταῦτα καὶ πρόφασις. Πόσοι γοῦν ἐνταῦθα πατέρες εἰσὶ καὶ τοὺς υἱοὺς οὐκ ἔχουσι μεθ' ἑαυτῶν ἑστῶτας; μὴ καὶ τῶν τέκνων ἐπισπάσασθαί σοι δύσκολον ἦν; Ὅθεν δῆλον ὅτι καὶ οἱ λοιποὶ οὐ παρὰ τὴν οἰκείαν ῥᾳθυμίαν μόνον, ἀλλὰ καὶ παρὰ τὴν ὑμετέραν ὑποψίαν ἔξω μένουσιν. Ἀλλ' εἰ καὶ μὴ πρότερον, νῦν γοῦν διανάστητε, καὶ μετὰ τοῦ μέλους ἕκαστος εἰς τὴν ἐκκλησίαν εἰσιέτω, καὶ πατὴρ υἱὸν, καὶ υἱὸς τὸν γεγεννηκότα, καὶ γυναῖκας ἄνδρες, καὶ ἄνδρας γυναῖκες, καὶ δεσπότης δοῦλον, καὶ ἀδελφὸς [161] ἀδελφὸν, καὶ φίλος φίλον διεγειρόντων καὶ παρορμώντων πρὸς τὴν ἐνταῦθα σύνοδον· μᾶλλον δὲ μὴ τοὺς φίλους μόνον, ἀλλὰ καὶ τοὺς ἐχθροὺς καλῶμεν ἐπὶ τὸν κοινὸν τοῦτον τῶν ἀγαθῶν θησαυρόν. Ἂν ἴδῃ σου τὴν πρόνοιαν ὁ ἐχθρὸς, καταλύσει τὴν ἀπέχθειαν πάντως.

Εἰπὲ πρὸς αὐτόν· Οὐκ αἰσχύνῃ Ἰουδαίους, οὐδὲ ἐρυθριᾷς, οἳ μετὰ τοσαύτης ἀκριβείας τὸ σάββατον φυλάττουσι, καὶ ἀπὸ τῆς ἑσπέρας αὐτῆς πάσης ἐργασίας ἀφίστανται; Κἂν ἴδωσι τὸν ἥλιον πρὸς δυσμὰς ἐπειγόμενον ἐν τῇ τῆς παρασκευῆς ἡμέρᾳ, καὶ συμβόλαια διακόπτουσι, καὶ πράσεις διατέμνουσι· κἂν πριάμενός τις παρ' αὐτῶν πρὸ τῆς ἑσπέρας, ἐν ἑσπέρᾳ τὴν τιμὴν ἔλθῃ κομίζων, οὐκ ἀνέχονται λαβεῖν, οὐδὲ ὑποδέξασθαι τὸ ἀργύριον. Καὶ τί λέγω τιμὴν ὠνίων καὶ συμβόλαια; κἂν θησαυρὸν ἐξῆν λαβεῖν, ἕλοιντ' ἂν ἀπολέσαι τὸ κέρδος, ἢ καταπατῆσαι τὸν νόμον. Εἶτα Ἰουδαῖοι μὲν, καὶ ταῦτα ἀκαίρως τηροῦντες τὸν νόμον οὕτως εἰσὶν ἀκριβεῖς, καὶ φυλακῆς ἀντέχονται οὐδὲν αὐτοὺς ὠφελούσης, ἀλλὰ καὶ καταβλαπτούσης· σὺ δὲ, ὁ τῆς σκιᾶς ἀνώτερος, ὁ τὸν ἥλιον τῆς δικαιοσύνης ἰδεῖν καταξιωθεὶς, ὁ πρὸς τὴν τῶν οὐρανῶν πολιτείαν τελῶν, οὐδὲ τὴν αὐτὴν ἐκείνοις ἐπιδείκνυσαι σπουδὴν τοῖς τῇ κακίᾳ προσεδρεύουσιν ἀκαίρως, ὁ τὴν ἀλήθειαν ἐγχειρισθεὶς, ἀλλὰ μικρὸν μέρος ἡμέρας ἐνταῦθα καλούμενος, οὐδὲ τοῦτο ὑπομένεις ἀναλῶσαι πρὸς τὴν τῶν θείων ἀκρόασιν λογίων; καὶ ποίας ἂν τύχοις συγγνώμης, εἰπέ μοι; τίνα δὲ ἕξεις ἀπολογίαν εἰπεῖν εὔλογον καὶ δικαίαν; Οὐκ ἔστιν, οὐκ ἔστι τὸν οὕτως ἀμελῆ καὶ ῥᾴθυμον συγγνώμης τυχεῖν ποτε, κἂν μυριάκις ἀνάγκας προβάλληται πραγμάτων βιωτικῶν. Οὐκ οἶδας, ὅτι ἐὰν ἐλθὼν προσκυνήσῃς τὸν Θεὸν, καὶ μετάσχῃς τῆς ἐνταῦθα διατριβῆς, μᾶλλόν σοι τὰ ἐν χερσὶν εὐμαρίζεται πράγματα; Βιωτικὰς ἔχεις φροντίδας; Διὰ ταύτας μὲν οὖν ἐνταῦθα ἀπάντησον, ἵνα τὴν εὐνοιαν

ἐπισπασάμενος τοῦ Θεοῦ διὰ τῆς ἐνταῦθα διατριβῆς, οὕτω μετ' ἀσφαλείας ἐξέλθῃς· ἵνα ἔχῃς αὐτὸν σύμμαχον, ἵνα ἀκαταγώνιστος γένῃ τοῖς δαίμοσιν ὑπὸ τῆς ἄνωθεν βοηθούμενος χειρός. Ἂν ἀπολαύσῃς εὐχῶν πατρικῶν, ἂν μετάσχῃς κοινῆς εὐχῆς, ἂν ἀκούσῃς θείων λογίων, ἂν ἐπισπάσῃ τοῦ Θεοῦ τὴν βοήθειαν, ἂν ταύτοις τοῖς ὅπλοις φραξάμενος οὕτως ἐξέλθῃς, οὐδὲ αὐτὸς ὁ διάβολος ἀντιβλέψαι δυνήσεταί σοι λοιπὸν, μήτι γε ἄνθρωποι πονηροὶ, σπουδάζοντες ἐπηρεάζειν καὶ συκοφαντεῖν. Ἂν δὲ ἀπὸ τῆς οἰκίας ἐπὶ τὴν ἀγορὰν ἔλθῃς, γυμνὸς τῶν ὅπλων τούτων εὑρεθεὶς, εὐχείρωτος ἔσῃ τοῖς ἐπηρεάζουσιν ἅπασι. Διὰ τοῦτο πολλὰ καὶ ἐν τοῖς κοινοῖς καὶ ἐν τοῖς ἰδίοις πράγμασι παρὰ γνώμην ἡμῖν ἀπαντᾷ, ὅτι οὐ περὶ τὰ πνευματικὰ πρῶτον ἐσπουδάκαμεν, καὶ τότε περὶ τὰ βιωτικά, ἀλλ' ἀντεστρέψαμεν τὴν τάξιν. Διὰ τοῦτο καὶ ἡ τῶν πραγμάτων ἀκολουθία καὶ εὐθύτης ἀντέστραπται, καὶ πολλῆς ἡμῖν ἅπαντα γέμει ταραχῆς. Πῶς οἴεσθέ με ὀδυνᾶσθαι καὶ ἀλγεῖν, ὅταν ἐννοήσω, ὅτι πανηγύρεως μὲν καὶ ἑορτῆς ἐπιστάσης, κἂν μηδεὶς ὁ καλῶν ᾖ, πᾶσα ἡ πόλις συντρέχει· [162] πανηγύρεως δὲ καὶ ἑορτῆς ἀπελθούσης, κἂν ἅπασαν τὴν ἡμέραν διατελέσωμεν διαῤῥηγνύντες ἑαυτοὺς καὶ καλοῦντες ὑμᾶς, οὐδεὶς ὁ προσέχων ἐστί; Ταῦτα γὰρ πολλάκις ἐν διανοίᾳ στρέφων, χαλεπῶς ἀνεστέναξα, καὶ πρὸς ἐμαυτὸν εἶπον· Τί δεῖ παραινέσεως, ἢ συμβουλῆς, συνηθείᾳ ἁπλῶς ἅπαντα ποιούντων ὑμῶν, καὶ οὐδὲν ἀπὸ τῆς διδασκαλίας πρυθυμοτέρων γινομένων τῆς ἡμετέρας; Ὅταν γὰρ ἐν ἑορταῖς μὲν μηδὲν δεήσητε τῆς παρ' ἡμῶν παραινέσεως, ἀπελθουσῶν δὲ ἐκείνων μηδὲν ὠφελῆσθε παρὰ τῆς ἡμετέρας διδασκαλίας, οὐχὶ περιττὸν ἡμῶν ἀποφαίνετε τὸν λόγον, τό γε εἰς ὑμᾶς ἧκον;

δ'. Τάχα ἀλγοῦσι πολλοὶ τῶν ταῦτα ἀκουόντων. Ἀλλ' οὐχ οὕτως οἱ ῥᾳθυμοῦντες ἴσασιν· εἰ γὰρ, ἂν ἀπέθεντο τὴν ὀλιγωρίαν, ὡς [a] ἡμεῖς οἱ καθ' ἑκάστην ἡμέραν τὰ ὑμέτερα μεριμνῶντες. Τί τοσοῦτον κερδαίνεις ἐκ τῶν ἔξωθεν πραγμάτων, ὅσον ζημιοῖς ἑαυτόν; Οὐκ ἔστιν ἐξ ἑτέρας συνάξεως ἢ συνόδου τοσοῦτον κέρδος λαβόντας ἀπελθεῖν, ὅσον ἀπὸ τῆς ἐνταῦθα διατριβῆς· κἂν δικαστήριον λέγῃς, κἂν βουλευτήριον, κἂν αὐτὰ τὰ βασίλεια. Οὐ γὰρ οἰκονομίαν τῶν ἐθνῶν καὶ πόλεων, οὐδὲ στρατοπέδων ἐπιστασίαν τοῖς ἐνταῦθα εἰσιοῦσιν ἐγχειρίζομεν, ἀλλ' ἑτέραν ἀρχὴν καὶ αὐτῆς τῆς βασιλείας σεμνοτέραν· μᾶλλον δὲ οὐχ ἡμεῖς ἐγχειρίζομεν, ἀλλ' ἡ τοῦ Πνεύματος χάρις.

Τίς οὖν ἐστιν ἡ ἀρχὴ ἡ τῆς βασιλείας σεμνοτέρα, ἣν οἱ ἐνταῦθα εἰσιόντες λαμβάνουσι; Παιδεύονται τῶν ἀτόπων κρατεῖν, βασιλεύειν ἐπιθυμίας πονηρᾶς, ἄρχειν ὀργῆς, ἀποστάσειν φθόνον, δουλοῦσθαι κενοδοξίαν. Οὐκ ἔστιν οὕτω βασιλεὺς σεμνὸς, ὁ ἐπὶ τοῦ θρόνου καθήμενος τοῦ βασιλικοῦ, καὶ διάδημα περικείμενος, ὡς ἄνθρωπος τὸν ὀρθὸν ἐν ἑαυτῷ λογισμὸν ἐπὶ τὸν θρόνον τῆς ἀρχῆς τῶν δουλοπρεπῶν παθῶν ἀναβιβάσας, καὶ τῇ κατ' ἐκείνων δεσποτείᾳ, καθάπερ τινὶ διαδήματι λαμπρῷ, τὴν κεφαλὴν ἀναδήσας. Τί γὰρ ὄφελος ἀλουργίδος, εἰπέ μοι, καὶ χρυσῶν ἱματίων καὶ διαλίθου στεφάνου, ὅταν ἡ ψυχὴ τῶν παθῶν αἰχμάλωτος ᾖ; τί κέρδος ἐκ τῆς ἔξωθεν ἐλευθερίας, ὅταν κυριώτερον ἐν ἡμῖν δουλαγωγῆται αἰσχρῶς καὶ ἀλεεινῶς; Ὥσπερ γὰρ πυρετοῦ πρὸς τὸ βάθος καταδυομένου, καὶ τὰ ἔνδον ἅπαντα καταφλέγοντος, οὐδὲν ὄφελος ἐκ τῆς ἄνωθεν ἐπιφανείας τοῦ σώματος, ἂν μηδὲν πάσχῃ τοιοῦτον· οὕτως, τῆς ψυχῆς ἡμῖν ὑπὸ τῶν ἔνδον παθῶν παρασυρομένης, οὐδὲ ὄφελος τῆς ἔξωθεν ἀρχῆς, οὐδὲ τῆς καθέδρας τῆς βασιλικῆς, ὅταν ὁ νοῦς μετὰ πολλῆς τυραννίδος ἀπὸ τοῦ θρόνου τῆς βασιλείας ὑπὸ τῶν παθῶν καταστρέφηται, καὶ ὑποκύπτῃ καὶ τρέμῃ τὰς ἐπαναστάσεις αὐτῶν. Ὅπερ ἵνα μὴ γένηται, προφῆται καὶ ἀπόστολοι πάντοθεν συντρέχουσι, καταστέλλοντες ἡμῶν τὰ πάθη, καὶ τῆς ἐν ἡμῖν ἀλογίας τὴν θηριωδίαν πᾶσαν ἐκβάλλοντες, καὶ τὴν πολλῷ τῆς βασιλείας σεμνοτέραν ἀρχὴν ἡμῖν ἐγχειρίζοντες. Διὰ τοῦτο ἔλεγον, ὅτι οἱ ταύτης ἑαυτοὺς ἀποστεραῦντες τῆς ἐπιμελείας περὶ τὰ καίρια λαμβάνουσι τὴν πληγὴν, ζημίαν ὑπομένοντες, ὅσην οὐδαμόθεν ἄλλοθεν· ἐπειδὴ καὶ κέρδη κερδαίνουσιν ἐνταῦθα ἐρχόμενοι, [163] ὅσα οὐδαμόθεν ἑτέρωθεν κερδᾶναι δύναιντ' ἄν· ὥσπερ οὖν καὶ ὁ λόγος ἀπέδειξεν. *Οὐκ ὀφθήσῃ ἐνώπιον Κυρίου κενός*, ὁ νόμος ἔλεγε· τουτέστι, χωρὶς θυσιῶν μὴ εἰσέλθῃς. Εἰ δὲ χωρὶς θυσιῶν οὐ δεῖ εἰσιέναι εἰς οἶκον Θεοῦ, πολλῷ μᾶλλον εἰς συνάξεις μετὰ ἀδελφῶν χρή· βελτίων γὰρ ἐκείνης αὕτη ἡ θυσία καὶ ἡ προσφορὰ, ὅταν ψυχὴν μετὰ σαυτοῦ λαβὼν εἰσέλθῃς. Οὐχ ὁρᾶτε τὰς περιστερὰς τὰς μεμελετηκυίας, πῶς ἐξιοῦσαι θηρεύουσιν ἑτέρας; Τοῦτο καὶ ἡμεῖς ποιῶμεν. Ποία γὰρ ἔσται σκῆψις, ὅταν τῶν ἀλόγων τὸ ὁμόφυλον ζῶον δυναμένων θηρεύειν, ἡμεῖς οἱ λόγῳ τιμηθέντες καὶ σοφίᾳ τοσαύτῃ, τῆς τοιαύτης ἄγρας ὑπερορῶμεν; Παῤῥησίᾳ τῇ προτέρᾳ διαλέξει λέγων· Ἕκαστος ὑμῶν εἰς τὰς οἰκίας ἀπαντήσατε τῶν πλησίον, ἀναμείνατε ἐξελθόντας, κατάσχετε, καὶ ἐπαναγάγετε πρὸς τὴν κοινὴν μητέρα· καὶ τοὺς θεατρομανοῦντας μιμήσασθε, οἳ μετὰ πάσης σπουδῆς ἀλλήλοις συνταξάμενοι, οὕτως ὑπὸ τὴν ἕω πρὸς τὴν παράνομον ἀναμένουσι θέαν ἐκείνην. Ἀλλ' οὐδὲν πλέον ἡμῖν γέγονεν ἀπὸ τῆς παραινέσεως ἐκείνης. Διὰ τοῦτο πάλιν λέγω, καὶ λέγων οὐ παύσομαι, ἕως ἂν πείσω. Οὐδὲν ὠφελεῖ ἀκρόασις, ἐὰν μὴ πρᾶξις αὐτῇ παρῇ. Βαρυτέραν οὖν ἡμῖν ποιεῖ τὴν τιμωρίαν, ὅταν συνεχῶς τῶν αὐτῶν ἀκούοντες, μηδὲν τῶν λεγομένων ποιῶμεν. Καὶ ὅτι βαρυτέρα ἡ σχόλασις ἐστιν, ἄκουσον τοῦ Χριστοῦ λέγοντος· *Εἰ μὴ ἦλθον, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας*· καὶ ὁ Ἀπόστολος δὲ, *Οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου δικαιωθήσονται*. Καὶ πρὸς τοὺς μὲν ἀκούοντάς φησι ταῦτα· βουλόμενος δὲ καὶ τὸν λέγοντα παιδεῦσαι, ὅτι οὐδὲ ἐκείνῳ κέρδος ἔσται τι πλέον ἀπὸ τῆς διδασκαλίας, ὅταν μὴ πολιτείαν ἔχῃ τῇ διδασκαλίᾳ συνεζευγμένην, καὶ συμβαίνοντα τῷ λόγῳ τὸν βίον, ἄκουσον πῶς καὶ ὁ Ἀπόστολος πρὸς αὐτὸν ἀποτείνεται, καὶ ὁ

[a] Qui nos præcesserunt Parisienses Operum Chrysostomi editores hunc locum sic refingendum conjiciunt: Ἀλλ' οὐχ οὕτως οἱ ῥᾳθυμοῦντες ἴσασιν (ἦ γὰρ ἂν ἀπέθεντο τὴν ὀλιγωρίαν), ὡς κ. τ. λ. Edit.

huc ventita, ut cum tibi Dei benevolentiam conciliaveris, quod hic versatus fueris, ita cum securitate discedas; ut illum habeas adjutorem, ut cælestis manus auxilio septus dæmonibus fias invictus. Si paternis precibus fruaris, si communis orationis particeps fias, si eloquia sacra audiveris, si Dei tibi auxilium comparaveris, si his armis communitus egressus fueris, ne diabolus quidem ipse contra te deinceps oculos audebit attollere, nedum homines improbi, quibus studio esse solet, ut contumeliis cæteros et calumniis persequantur. Quod si ex ædibus in forum egressus ejusmodi nudatus armis offendaris, omnium qui te contumeliis infestabunt facile vincendus patebis incursibus. Idcireo et in privatis et in publicis nostris negotiis nequaquam ex animi sententia nobis multa succedunt, quod spiritualia non prius studiose accuraverimus, ac deinde sæcularia, sed ordinem inverterimus. Idcirco negotiorum quoque series ac rectus ordo invertitur, et omnia plane turbantur. Quantum mihi dolorem ac molestiam inuri putatis, cum cogito veniente quidem festo ac solemnitate, licet nullus sit qui vocet, totam concurrere civitatem : ubi vero festum solemnitasque transierit, toto licet die perseveremus nos disrumpentes et vos advocantes, nullum tamen esse qui attendat? Hæc enim sæpenumero cum mente versarem, graviter ingemui, et hæc apud me verba faciebam : Quid cohortatione vel consilio est opus, cum vos consuetudine tantum cuncta faciatis, nec ullius nostræ doctrinæ opera promptiores reddamini? Cum enim festis quidem diebus nostra cohortatione nihil indigeatis, postquam autem illi præterierint, nullam ex doctrina utilitatem percipiatis, nonne quantum quidem in vobis situm est, inutilem ac supervacaneam orationem nostram redditis?

4. Forte multi, qui hæc audiunt, dolent. Sed negligentes ita non sentiunt : alioquin incuriam suam deponerent, ut nos qui quotidie de rebus vestris solliciti sumus. Quod tantum ex negotiis sæcularibus lucrum colligis, quantum tibi damnum accersis? Fieri nequit, ut ex alio congressu conventuve tantum lucrum reportes, quantum ex eo quod hic verseris : sive judiciale forum commemores, sive curiam, sive ipsam Regiam. Non enim gentium urbiumque regimen, neque ducatum exercituum his qui huc ingrediuntur committimus, sed alium principatum augustiorem ipso regno : vel potius non committimus nos, sed Spiritus gratia.

De quibus rebus instruantur qui concioni intersunt.— Quisnam igitur est regia potestate augustior principatus, quem adipiscuntur qui huc ingrediuntur? Docentur absurdis passionibus imperare, pravas libidines regere, iram moderari, invidiam subigere, inanem gloriam in servitutem redigere. Non perinde veneratione dignus est Imperator in regio considens solio et diademate redimitus, atque homo, qui rationem in solium dominatus servilium passionum subvehit, et imperio, quod in illas exercet, tamquam splendido quodam revinctum caput habet diademate. Quid enim, quæso, prodest purpura, aureæ vestes, et corona gemmata, quando passionum captiva fuerit anima? quod ex ista externa libertate lucrum obvenit, quando id quod in nobis potissimum est, turpi ac miserabili subjacet servituti? Nam quemadmodum cum febris ad interiora penetrat, et viscera omnia incendit, nihil nobis prodest, si superior corporis superficies nihil tale patiatur : ita dum nobis anima interioribus distrahitur passionibus, nihil externus principatus juvat, ne ipsum quidem regium solium, cum animus violento impetu a passionibus de throno regio devolvatur et ultro se submittat, earumque rebelles insultus pertimescat? Quod ne fiat, undique prophetæ concurrunt et apostoli, passiones nostras reprimunt, omnem appetitus rationis expertis feritatem a nobis amandant, et multo augustiorem regno principatum nobis committunt. Hac de causa dicebam eos, qui hac sollicitudine se privant, letale sibi vulnus infligere, ac tantum capere detrimentum, quantum ulla alia ex parte capere nequeunt : quandoquidem et qui huc ingressi fuerint, ejusmodi quæstum faciunt, qualem aliunde facere nullo modo possent : quod et ipsa sermonis series demonstravit. *Non apparebis in conspectu Domini vacuus* (*Exod.* 23. 15), aiebat lex : hoc est, absque sacrificiis non introeas. Quod si absque sacrificiis in domum Dei non est ingrediendum, multo magis ad collectas cum fratribus non est intrandum : quippe sacrificium istud illo melius est, et oblatio, cum animum tecum accipiens ingressus fueris. Non videtis columbas, quæ instructæ fuerunt, quo pacto reliquas egressæ pelliciant et venentur? Hoc nos quoque faciamus. Quænam enim tandem excusatio reliqua erit, cum rationis expertes animantes alias ejusdem generis venari possint, nos autem ratione tantaque sapientia exornati talem capturam negligamus? Superiori concione vos in hæc verba cohortatus sum, unusquisque vestrum ad proximi domum pergite, exeuntes præstolamini, prehendite, atque ad communem matrem adducite : illosque qui in spectacula theatrorum insaniunt imitamini, qui summo studio quasi composito inter se agmine, cum prima luce ad nefarium illud spectaculum contuendum exspectant. At nihil illa nostra cohortatione promovimus. Idcirco rursus dico, neque dicere desinam, donec persuasero. Nihil prodest auscultatio, nisi illam actio comitetur. Imo vero graviorem nobis pœnam accersit, cum eadem frequenter audientes, nihil eorum præstamus, quæ dicuntur. Et vero majus supplicium imminere, audi quo pacto Christus indicet : *Si non venissem, et loquutus fuissem eis, peccatum non haberent : nunc autem excusationem non habent de peccato suo* (*Joan.* 15. 22); et apostolus pariter : *Non enim auditores legis justi sunt apud Deum, sed factores legis justificabuntur* (*Rom.* 2. 13). Atqui ad auditores quidem ista dicuntur : volens autem concionatorem ipsum docere ne ipsi quidem ullam ex doctrina, quam communicat, utilitatem esse obventuram, si conversationem cum doctrina non habeat copulatam, et vitam conve-

nientem orationi, audi quo pacto apostolus et propheta in illum invehantur. Nam hic quidem sic ait : *Peccatori autem dixit Deus : Quare tu enarras justitias meas, et assumis testamentum meum per os tuum, tu vero odisti disciplinam* (*Psal.* 49. 16. 17)? Apostolus autem cum in eosdem istos rursus invehitur, qui ob doctrinam magnifice de se sentiunt, ita loquitur : *Confidis teipsum esse ducem cæcorum, lumen eorum, qui in tenebris sunt, eruditorem insipientium, magistrum infantium. Qui ergo alium doces, teipsum non doces* (*Rom.* 2. 19-21)?

Lectioni Scripturæ addantur bona opera. — Quando igitur neque mihi qui dico, prodesse potest, quod verba faciam, neque vobis audientibus, quod audiatis, nisi dictis obtemperetur, sed et magis condemnat : ne sola auditione tenus studium exhibeamus, sed operibus etiam ea quæ dicuntur observemus. Bonum quidem est assiduam sacrorum eloquiorum auditioni operam dare ; sed et hoc bonum inutile redditur, si conjunctam utilitatem non habeat, quæ ex obedientia nascitur. Ne igitur hic frustra conveniatis, omni studio, quod a vobis precibus sæpe contendi, neque contendere desinam, fratres nobis adducite, cohortamini errantes, consilium date non verbo tantum, sed etiam opere. Major est ista doctrina quæ moribus, quæ conversatione profertur. Etsi nihil dicas, si tantum exeas e collecta, et externa specie, aspectu, voce, incessu, et tota reliqua modesta corporis compositione lucrum, quod hinc egressus tecum retulisti, ostendas hominibus, qui collectæ non interfuerunt, ad cohortationem et consilium id sufficit. Sic enim egredi nos hinc oportet, quasi ex sacris adytis, quasi de cælo delapsos, modestiores redditos, philosophantes, moderate ac temperate cuncta facientes ac dicentes : et uxor maritum a collecta recedentem videns, et filium pater, et patrem filius, et dominum servus, et amicum amicus, et inimicum inimicus, omnes utilitatis sensum capient, quam ex hoc conventu reportavimus : capient autem, si mitiores, si patientiores, si religiosiores vos factos animadvertant. Cogita quibus mysteriis interesse tibi datum sit, qui initiatus es, cum quibus mysticum illum cantum offeras, cum quibus ter sanctum hymnum pronunties. Doce profanos, te cum Seraphim chorcas agitasse, te ad cælestem populum pertinere, te in chorum angelorum adscriptum esse, te cum Domino colloquutum esse, te cum Christo esse congressum. Si nos ita composuerimus, nihil oratione opus erit erga illos, qui non interfuerunt, sed ex profectu nostro jacturam suam animadvertent, et confestim accurrent, ut fisdem commodis perfruantur. Cum enim animæ vestræ pulchritudinem ex ipsis sensibus viderint relucentem, licet omnium sint stupidissimi, ad cupiditatem eximii vestri decoris exardescent. Si enim forma corporis excitat intuentes, multo magis animæ pulchritudo spectatorem potest commovere, atque ad similem zelum hortari. Interiorem igitur hominem nostrum exornemus, et eorum quæ hic dicta fuerint foris recordemur : illic enim ut maxime memores simus tempus exigit ; et quemadmodum athleta, quæ in palæstra didicerit, eorum in certaminibus specimen edit : sic nos etiam quæ hic audimus, in externis negotiis oportet ostendere.

5. Memor igitur eorum esto quæ hic dicuntur, ut cum egressus fueris, et te diabolus vel per iram, vel per inanem gloriam, vel per aliam aliquam passionem invaserit, ejus doctrinæ memor, qua hic imbutus es, facile possis mali laqueos et nexus evadere. Nonne videtis in stadiis pædotribas ac palæstræ magistros, qui cum post mille certamina vacationem deinceps a luctis beneficio ætatis acceperint, extra stadium non longe ab ipso pulvere sedentes iis qui sunt intus ac decertant clamando suggerere, ut manum prehendant, ut crus attrahant, ut dorsum invadant, et alia multa ejusmodi monentes, si hoc vel illud feceris, adversarium facile in terram extendes : hac ratione discipulis maximopere prodesse? Tu quoque pædotribam tuum beatum Paulum intuere, qui post coronas innumeras, extra stadium nunc considens, hoc est, ex hac vita egressus certantibus nobis clamando suggerit, et per epistolas suas vociferatur, cum correptos ab ira viderit, ab injuriarum memoria, atque a passionibus oppressos, *Si esurierit inimicus tuus, ciba illum* (*Rom.* 12. 20). Et quemadmodum dicit palæstræ magister, si hoc vel illud feceris, adversarium superabis, ita subjicit hic quoque : *Hoc enim faciens, carbones ignis congeres super caput ejus.* Verum dum legem percurro, quæstio nobis occurrit, quæ ex ipsa nasci videtur, et multis adversus Paulum reprehensionis ansam suppeditat, quam hodierno die statui vobis in medium afferre. Quid ergo tandem est, quod mentes eorum terret, qui diligenter omnia nolunt excutere? Cum ab ira revocaret Paulus, inquit, et ut mansueti essent, ac modesti erga proximos, suaderet, illos amplius exasperavit et iracundia inflammavit. Quod enim dixit, *Si esurierit inimicus tuus, ciba illum; si sitit, potum da illi*, præclarum mandatum est, et philosophiæ plenum, ac tum agenti, tum patienti perutile : quod vero deinde sequitur, multam habet difficultatem, minimeque videtur cum ejus, qui priora dixit, sententia convenire. Quidnam vero illud est ? Quod dicat, *Hoc autem faciens, carbones ignis congeres super caput ejus.* His enim verbis et eum qui agit et eum qui patitur afficit injuria, cum istius caput exurat, et ignis carbones imponat. Quod enim tantum bonum obveniat, ex eo quod cibetur et potetur, quantum malum ex accumulatione carbonum ? Itaque illum qui beneficio afficitur, inquit, hoc pacto afficit injuria, cum in majus supplicium illum conjiciat ; eum vero qui beneficium contulit, alio rursus modo lædit. Quid enim referre lucri potest ex eo, quod de inimicis bene mereatur, cum illud spe supplicii faciat ? Nam qui idcirco cibat vel potat inimicum, ut in caput ejus carbones congerat, non benignus et clemens, sed crudelis est et immitis qui per exiguum beneficium supplicium immensum inferat. Quid enim asperius fieri potest eo, qui propterea nutriat, ut in caput ejus qui

Προφήτης. Ὁ μὲν γάρ φησι· *Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεὸς, Ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου, σὺ δὲ ἐμίσησας παιδείαν;* Ὁ δὲ Ἀπόστολος πρὸς αὐτοὺς τούτους πάλιν ἀποτεινόμενος, τοὺς ἐπὶ τῇ διδασκαλίᾳ μέγα φρονοῦντας, οὕτω πως φησί· *Πέποιθας σεαυτὸν ὁδηγὸν εἶναι τυφλῶν, φῶς τῶν ἐν σκότει, παιδευτὴν ἀφρόνων, διδάσκαλον νηπίων· ὁ οὖν διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις;* Ἐπεὶ οὖν οὔτε ἐμὲ τὸν λέγοντα τὸ λέγειν, οὔτε ὑμᾶς τοὺς ἀκούοντας τὸ ἀκούειν ἄνευ τοῦ πείθεσθαι τοῖς λεγομένοις ὠφελῆσαι δύναιτ' ἄν, ἀλλὰ καὶ καταδικάζει πλέον, μὴ μέχρι τῆς ἀκροάσεως τὴν σπουδὴν ἐπιδειξώμεθα, ἀλλ' ἐπὶ τῶν ἔργων φυλάττωμεν τὰ λεγόμενα. Καλὸν μὲν γὰρ τὸ διηνεκῶς ἐνδιατρίβειν θείων ἀκροάσει λογίων· ἀλλὰ τὸ καλὸν τοῦτο ἄχρηστον γίνεται, ὅταν τὴν ἐκ τῆς ὑπακοῆς ὠφέλειαν μὴ ἔχῃ συνεζευγμένην. Ἵνα οὖν μὴ μάτην ἐνταῦθα συλλέγησθε, μετὰ πάσης σπουδῆς, ὃ πολλάκις ὑμῶν ἐδεήθην, καὶ δεόμενος οὐ παύσομαι, τοὺς ἀδελφοὺς ἡμῖν ἐπισπάσασθε, τοὺς πλανωμένους παραινέσατε, συμβουλεύσατε [164] μὴ λόγῳ μόνον, ἀλλὰ καὶ ἔργῳ. Μείζων αὕτη ἡ διδασκαλία ἡ διὰ τῶν τρόπων, ἡ διὰ τῆς πολιτείας. Κἂν μηδὲν εἴπῃς, ἐξέλθῃς δὲ ἀπὸ συνάξεως, διὰ τοῦ σχήματος, καὶ τοῦ βλέμματος, καὶ τῆς φωνῆς, καὶ τῆς βαδίσεως, καὶ τῆς ἄλλης ἁπάσης καταστολῆς ἐμφαίνων τοῖς ἀπολειφθεῖσιν ἀνθρώποις τὸ κέρδος, ὅπερ ἐντεῦθεν ἐξῆλθες λαβών, ἀρκεῖ τοῦτο εἰς παραίνεσιν καὶ συμβουλήν. Οὕτω γὰρ ἡμᾶς ἐντεῦθεν ἐξιέναι δεῖ, ὥσπερ ἐξ ἱερῶν ἀδύτων, ὥσπερ ἐξ αὐτῶν καταβάντας τῶν οὐρανῶν, γενομένους κατεσταλμένους, φιλοσοφοῦντας, ῥυθμῷ πάντα καὶ ποιοῦντας καὶ λέγοντας· καὶ γυνὴ τὸν ἄνδρα ὁρῶσα ἀπὸ συνάξεως ἀναχωροῦντα, καὶ τὸν υἱὸν πατὴρ, καὶ τὸν πατέρα ὁ παῖς, καὶ τὸν δεσπότην ὁ δοῦλος, καὶ τὸν φίλον ὁ φίλος, καὶ τὸν ἐχθρὸν ὁ ἐχθρὸς, λαμβανέτωσαν ἅπαντες αἴσθησιν τῆς ἐνταῦθα γενομένης ἡμῖν ὠφελείας· λήψονται δὲ, ἂν πραοτέρων, ἂν φιλοσοφωτέρων, ἂν εὐλαβεστέρων ὑμῶν γεγενημένων αἰσθάνωνται. Ἐννόησον οἵας ἀπολαύεις μυσταγωγίας ὁ μεμυημένος σὺ, μετὰ τίνων ἀναπέμπεις τὸ μυστικὸν μέλος ἐκεῖνο, μετὰ τίνων βοᾷς τὸ, Τρισάγιος. Δίδαξον τοὺς ἔξωθεν, ὅτι μετὰ τῶν σεραφὶμ ἐχόρευσας, ὅτι εἰς τὸν δῆμον τὸν ἄνω τελεῖς, ὅτι εἰς τὸν χορὸν ἐνεγράφης τὸν τῶν ἀγγέλων, ὅτι τῷ Δεσπότῃ διελέχθης, ὅτι τῷ Χριστῷ συνεγένου. Ἂν οὕτως ἑαυτοὺς ῥυθμίζωμεν, οὐδὲν ἐξελθόντες δεησόμεθα λόγου πρὸς τοὺς ἀπολειφθέντας· ἀλλ' ἀπὸ τῆς ἡμετέρας ὠφελείας, τῆς οἰκείας αἰσθήσονται ζημίας, καὶ δραμοῦνται ταχέως, ὥστε τῶν αὐτῶν ἀπολαῦσαι. Τὸ γὰρ κάλλος ὑμῶν τῆς ψυχῆς διὰ τῶν αἰσθήσεων αὐτῶν ἀπολάμπον ὁρῶντες, κἂν ἁπάντων ὦσι νωθρότεροι, εἰς ἔρωτα τῆς εὐπρεπείας ἐμπεσοῦνται τῆς ὑμετέρας. Εἰ γὰρ σώματος κάλλος ἀναπτεροῖ τοὺς ὁρῶντας, πολλῷ μᾶλλον εὐμορφία ψυχῆς διεγείρει δύναιτ' ἂν τὸν θεατὴν, καὶ πρὸς τὸν ἴσον παρακαλέσαι ζῆλον. Καλλωπίσωμεν τοίνυν ἡμῶν τὸν ἔσω ἄνθρωπον, καὶ τῶν ἐνταῦθα λεγομένων ἔξω μνημονεύωμεν· ἐκεῖ γὰρ αὐτῶν μάλιστα τῆς μνήμης ὁ καιρός· καὶ καθάπερ ἀθλητὴς, ἅπερ ἂν ἐπὶ τῆς παλαίστρας μανθάνῃ, ταῦτα ἐπὶ τῶν ἀγώνων ἐπιδείκνυται· οὕτω δὴ καὶ ἡμᾶς, ἅπερ ἂν ἐνταῦθα ἀκούωμεν, ταῦτα ἐπὶ τῶν ἔξωθεν πραγμάτων ἐπιδείκνυσθαι χρή.

ε'. Μνημόνευσον τοίνυν τῶν ἐνταῦθα λεγομένων, ἵν', ὅτε ἐξέλθῃς, καὶ ἐπιλάθηταί σου ὁ διάβολος, ἢ δι' ὀργῆς, ἢ διὰ κενοδοξίας, ἢ δι' ἄλλου τινὸς πάθους, ἀναμνησθεὶς τῆς ἐνταῦθα διδασκαλίας, δυνηθῇς ῥᾳδίως ἀποδύσασθαι τὰ ἄμματα τοῦ πονηροῦ. Οὐχ ὁρᾶτε ἐν τοῖς σκάμμασι τοὺς παιδοτρίβας, οἳ μετὰ μυρίους ἄθλους ἀτέλειαν λοιπὸν τῶν παλαισμάτων ἀπὸ τῆς ἡλικίας λαβόντες, ἔξω τῶν σκαμμάτων καθήμενοι παρὰ τὴν κόνιν αὐτὴν, τοῖς ἔνδον οὖσι καὶ παλαίουσιν ὑποφωνοῦσιν, ὥστε χεῖρα κατασχεῖν, ὥστε σκέλος ἐλκύσαι, ὥστε λαβεῖν μετὰ τὰ νῶτα, καὶ ἕτερα πολλὰ τοιαῦτα λέγοντες, ὅτι ἂν τὸ καὶ τὸ ποιήσῃς, ἐκτενεῖς ῥᾳδίως τὸν ἀνταγωνιστὴν, τὰ μέγιστα συντελοῦσι τοῖς μαθηταῖς; Καὶ σὺ τὸν παιδοτρίβην τὸν σὸν ὅρα, τὸν μακάριον Παῦλον, ὃς μετὰ μυρίους στεφάνους ἔξω τοῦ σκάμματος [165] καθήμενος νῦν, τῆς παρούσης λέγω ζωῆς, τοῖς παλαίουσιν ἡμῖν ὑποφωνεῖ, καὶ βοᾷ διὰ τῶν Ἐπιστολῶν, ὅταν ἴδῃ κατασχεθέντας ὑπὸ ὀργῆς καὶ ὑπὸ μνησικακίας, καὶ ἀποπνιγομένους ὑπὸ τοῦ πάθους, *Ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν*. Καὶ καθάπερ ὁ παιδοτρίβης λέγει, ὅτι ἂν τὸ καὶ τὸ ποιήσῃς, περιέσῃ τοῦ ἀνταγωνιστοῦ, οὕτω καὶ οὗτος προστίθησι· *Τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ*. Ἀλλὰ γὰρ μεταξὺ τούτου τοῦ ἀναγινώσκειν με τὸν νόμον, ἐπῆλθε τὸ δοκοῦν φύεσθαι ζήτημα ἐξ αὐτοῦ, καὶ πολλοῖς παρέχειν κατὰ τοῦ Παύλου λαβὴν, ὅπερ προθεῖναι [a] τήμερον εἰς μέσον ὑμῖν. Τί ποτ' οὖν ἐστι τὸ ὑφορμοῦν ταῖς διανοίαις τῶν μὴ μετὰ ἀκριβείας ἅπαντα ἐξετάζειν βουλομένων; Ἀπάγων ὀργῆς ὁ Παῦλος, φησὶ, καὶ πείθων ἐπιεικεῖς εἶναι καὶ μετρίους τοῖς πέλας, μᾶλλον αὐτοὺς ἐξεθηρίωσε, καὶ πρὸς θυμὸν ἐπῆρε. Τὸ μὲν γὰρ εἰπεῖν, *Ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτὸν, ἐὰν διψᾷ, πότιζε αὐτὸν*, καλὸν ἐπίταγμα καὶ φιλοσοφίας γέμον, καὶ τῷ ποιοῦντι καὶ τῷ πάσχοντι χρήσιμον· τὸ δὲ ἐντεῦθεν λοιπὸν πολλὴν ἔχει τὴν ἀπορίαν, καὶ δοκεῖ μὴ συμβαίνειν τῇ γνώμῃ τοῦ τὰ πρότερα εἰρηκότος. Ποῖον δὲ τοῦτο; Τὸ λέγειν, ὅτι *Ποιῶν τοῦτο, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ*. Διὰ γὰρ τούτων τῶν ῥημάτων καὶ τὸν ποιοῦντα καὶ τὸν πάσχοντα ἠδίκησε· τοῦ μὲν τὴν κεφαλὴν ἀνάψας, καὶ πυρὸς ἄνθρακας ἐπιθείς. Τί γὰρ τοσοῦτον ἀπὸ τοῦ ψωμίζεσθαι καὶ ποτίζεσθαι γένοιτ' ἂν ἀγαθὸν, ὅσον κακὸν ἀπὸ τῆς τῶν ἀνθράκων σωρείας; Τὸν μὲν οὖν εὖ πάσχοντα, φησὶν, οὕτως ἠδίκησεν, εἰς μείζονα ἐμβαλὼν τιμωρίαν, τὸν δὲ εὖ ποιοῦντα πάλιν ἑτέρως κατέβλαψε. Τί γὰρ καὶ οὗτος τῆς ἀπὸ τῶν ἐχθρῶν εὐεργεσίας κερδᾶναι δύναται, ὅταν ἐλπίδι τῆς τιμωρίας αὐτὸ ποιῇ; Ὁ γὰρ διὰ τοῦτο τρέφων καὶ ποτίζων τὸν ἐχθρὸν, ἵνα ἄνθρακας σωρεύσῃ πυρὸς ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, οὐχὶ φιλάνθρωπος καὶ χρηστὸς, ἀλλ' ὠμὸς καὶ ἀπηνὴς γένοιτ' ἄν, διὰ μικρᾶς εὐεργεσίας ἄφατον ἐμβαλὼν κόλασιν. Τί γὰρ ἂν γένοιτο χαλεπώτερον τοῦ διὰ τοῦτο τρέφοντος, ἵνα σωρεύσῃ πυρὸς ἄνθρακας ἐπὶ τὴν τοῦ

[a] Forte προθεῖναι βούλομαι.

τρεφομένου κεφαλήν; Ἡ μὲν οὖν ἀντίθεσις αὕτη· δεῖ δὲ λοιπὸν τὴν λύσιν ἐπαγαγεῖν, ἵνα δι' αὐτῶν τούτων τῶν δοκούντων ἐπιλαμβάνεσθαι τῶν τοῦ νόμου γραμμάτων ἴδῃς ἀκριβῶς τοῦ νομοθέτου τὴν σοφίαν ἅπασαν. Τίς οὖν ἐστιν ἡ λύσις;

Συνεῖδε τοῦτο καλῶς ὁ μέγας καὶ γενναῖος ἀνὴρ ἐκεῖνος, ὅτι βαρὺ καὶ χαλεπὸν πρᾶγμα, ἐχθρῷ καταλλαγῆναι ταχέως· βαρὺ δὲ καὶ χαλεπὸν, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ῥᾳθυμίαν τὴν ἡμετέραν. Αὐτὸς δὲ οὐχὶ καταλλαγῆναι μόνον ἐκέλευσεν, ἀλλὰ καὶ θρέψαι, ὃ πολὺ τοῦ προτέρου βαρύτερον ἦν. Εἰ γὰρ βλέποντες μόνον τοὺς λελυπηκότας τινὲς ἐκθηριοῦνται, πῶς ἂν εἵλοντο θρέψαι πεινῶντας; Καὶ τί λέγω, βλέποντες; Ἂν μνησθῇ τις αὐτῶν, καὶ τὴν προσηγορίαν εἰς μέσον ἐνέγκῃ μόνον, ἀνανεοῖ τὴν πληγὴν τῆς διανοίας ἡμῖν, καὶ μείζω ποιεῖ τὴν φλεγμονήν. Ταῦτ' οὖν ἅπαντα συνιδὼν ὁ Παῦλος, καὶ βουλόμενος τὸ δυσκατόρθωτον τοῦτο καὶ χαλεπὸν εὔκολον ποιῆσαι καὶ ῥᾴδιον, καὶ πεῖσαι τὸν μηδὲ ἰδεῖν ἀνεχόμενον τὸν ἐχθρὸν εἰς εὐεργεσίαν [166] τὴν ἐκείνου γενέσθαι*, τοὺς ἄνθρακας ἔθηκε τοῦ πυρὸς, ἵν' ἐλπίδι τῆς τιμωρίας προτραπείς, ἐπιδράμῃ τῇ τοῦ λελυπηκότος εὐεργεσίᾳ. Καὶ καθάπερ ὁ ἁλιεὺς πάντοθεν τὸ ἄγκιστρον περιστέλλων τῷ δελέατι, προστίθησι τοῖς ἰχθύσιν, ἵνα προσδραμὼν τῇ συνήθει τροφῇ, δι' ἐκείνης ἁλῷ καὶ κατασχεθῇ ῥᾳδίως· οὕτω δὴ καὶ ὁ Παῦλος, βουλόμενος εἰς τὴν εὐεργεσίαν ἐμβιβάσαι τοῦ ἠδικηκότος τὸν ἠδικημένον, οὐ γυμνὸν προστίθησι τὸ τῆς φιλοσοφίας ἄγκιστρον, ἀλλ' ὥσπερ τινὶ δελέατι, τοῖς ἄνθραξι τοῦ πυρὸς περιστείλας, καλεῖ μὲν τὸν ἐπηρεασθέντα τῇ τῆς κολάσεως ἐλπίδι πρὸς τὴν εὐεργεσίαν τοῦ λελυπηκότος· ἐλθόντα δὲ αὐτὸν κατέχει λοιπὸν καὶ οὐκ ἀφίησιν ἀποπηδῆσαι, αὐτῆς τοῦ πράγματος τῆς φύσεως προσηλούσης αὐτὸν τῷ ἐχθρῷ· καὶ μονονουχὶ λέγει πρὸς αὐτόν· Οὐ βούλει δι' εὐλάβειαν τρέφειν τὸν ἠδικηκότα; διὰ γοῦν τὴν ἐλπίδα τῆς κολάσεως θρέψον. Οἶδε γὰρ, ὅτι ἐὰν ἅψηται τῆς εἰς αὐτὸν εὐεργεσίας, ἀρχὴ λοιπὸν αὐτῷ καὶ ὁδὸς γίνεται τῆς καταλλαγῆς. Οὐδεὶς γὰρ, οὐδεὶς τὸν ψωμιζόμενον ὑπ' αὐτοῦ καὶ ποτιζόμενον διηνεκῶς ἀνάσχοιτο ἔχειν ἐχθρὸν, εἰ καὶ παρὰ τὴν ἀρχὴν ἐλπίδι τιμωρίας τοῦτο ποιεῖ. Ὁ γὰρ χρόνος προϊὼν χαλᾷ καὶ τῆς ὀργῆς τὸν τόνον. Ὥσπερ οὖν ὁ ἁλιεὺς, εἰ γυμνὸν τὸ θήρατρον προσέθηκεν, οὐκ ἂν ἐπεσπάσατο τὸν ἰχθὺν, νυνὶ δὲ περιστείλας αὐτὸ, λανθανόντως ἐνίησι τῷ στόματι τοῦ προσιόντος ζώου τὸ ἄγκιστρον· οὕτω καὶ ὁ Παῦλος, εἰ μὴ προέτεινε τὴν προσδοκίαν τῆς κολάσεως, οὐκ ἂν ἔπεισε τοὺς ἠδικημένους ἅψασθαι τῆς τῶν λελυπηκότων εὐεργεσίας. Βουλόμενος οὖν ἀποπηδῶντας αὐτοὺς, καὶ δυσχεραίνοντας, καὶ ναρκῶντας καὶ πρὸς αὐτὴν τὴν τῶν ἐχθρῶν ὄψιν, πεῖσαι τὰ μέγιστα αὐτοὺς εὐεργετεῖν, τοὺς ἄνθρακας ἔθηκε τοῦ πυρὸς, οὐχ ἵνα ἐκείνους ἐμβάλλῃ εἰς ἀπαραίτητον κόλασιν, ἀλλ' ἵνα τοὺς ἠδικημένους πείσας ἐν τῇ προσδοκίᾳ τῆς κολάσεως εὐεργετεῖν τοὺς ἐχθροὺς, τῷ χρόνῳ λοιπὸν πείσῃ καὶ πᾶσαν αὐτοῖς ἀφεῖναι τὴν ὀργήν.

ς'. Καὶ τὸν μὲν ἠδικημένον οὕτω παρεμυθήσατο· ὥρα δὲ καὶ τὸν ἠδικηκότα πῶς συνάπτει τῷ παρωργισμένῳ πάλιν. Πρῶτον μὲν τῷ τῆς εὐεργεσίας τρόπῳ· οὐδὲν γάρ ἐστιν οὕτως ἄθλιος καὶ ἀναίσθητος, ὃς πωτιζόμενος, καὶ ψωμιζόμενος, μὴ γενέσθαι βούλοιτο δοῦλος καὶ φίλος τῷ ταῦτα αὐτῷ ἐργαζομένῳ· δεύτερον δὲ τῷ φόβῳ τῆς τιμωρίας. Δοκεῖ μὲν γὰρ πρὸς τὸν ψωμίζοντα ἀποτείνεσθαι, λέγων· *Τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς σωρεύεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ*· μάλιστα δὲ τοῦ λελυπηκότος καθάπτεται, ἵνα τῷ φόβῳ τῆς κολάσεως ταύτης μὴ μένῃ διαπαντὸς ἐχθρὸς ὤν, ἀλλ' εἰδὼς, ὅτι τὰ μέγιστα αὐτὸν καταβλάψαι δύναιτ' ἂν τὸ ψωμίζεσθαι καὶ ποτίζεσθαι, εἰ μένοι διηνεκῶς ἐπὶ τῆς ἀπεχθείας, καταλύσῃ τὴν ὀργήν. Οὕτω γὰρ τοὺς ἄνθρακας τοῦ πυρὸς σβέσαι δυνήσεται. Ὥστε καὶ ἡ κόλασις καὶ ἡ τιμωρία κειμένη τόν τε ἠδικημένον ἐπισπᾶται εἰς εὐεργεσίαν τοῦ λελυπηκότος, τόν τε παροξύναντα φοβεῖ καὶ διανίστησι, καὶ πρὸς καταλλαγὴν ὠθεῖ τοῦ τρέφοντος καὶ [167] ποτίζοντος. Διπλῷ τοίνυν ἀμφοτέρους συνέδησε δεσμῷ πρὸς ἀλλήλους, καὶ τῷ τῆς εὐεργεσίας, καὶ τῷ τῆς τιμωρίας. Τὸ γὰρ δυσχερὲς, ἄρχειν καὶ εἴσοδον εὑρεῖν τῇ καταλλαγῇ· ταύτης δὲ ἀνοιγείσης οἱῳδήποτε τρόπῳ, τὰ μετὰ ταῦτα πάντα ῥᾴδια ἔσται καὶ εὔκολα. Κἂν γὰρ παρὰ τὴν ἀρχὴν ἐλπίδι κολάσεως τρέφῃ τὸν ἐχθρὸν ὁ λελυπημένος, ἀλλ' αὐτῷ τῷ τρέφειν γινόμενος φίλος, ἐκβαλεῖν τὴν ἐπιθυμίαν δυνήσεται τῆς τιμωρίας. Φίλος γὰρ γενόμενος, οὐκέτι ἂν τοιαύτῃ θρέψειε προσδοκίᾳ τὸν καταλλαγέντα αὐτῷ. Πάλιν ὁ παροξύνας, ἰδὼν τὸν ἠδικημένον τρέφειν αὐτὸν καὶ ποτίζειν προαιρούμενον, διά γε τοῦτο αὐτὸ, καὶ τὸν φόβον τῆς ἀποκειμένης αὐτῷ κολάσεως, πᾶσαν ἐκβάλλει τὴν ἀπέχθειαν, κἂν μυριάκις σιδηροῦς ᾖ, καὶ ἀπηνὴς, καὶ ἀδάμας, τήν τε φιλοφροσύνην τοῦ τρέφοντος δυσωπούμενος, καὶ τὴν ἀποκειμένην αὐτῷ κόλασιν δεδοικὼς, εἰ μένοι μετὰ τὴν τροφὴν ἐχθρὸς ὤν.

Διά τοι τοῦτο οὐδὲ ἐνταῦθα ἔστη τῆς παραινέσεως, ἀλλ' ὅτε ἐκένωσεν ἑκατέρου τὴν ὀργὴν, τότε καὶ τὴν γνώμην αὐτῶν διορθοῦται λέγων, *Μὴ νικῶ ὑπὸ τοῦ κακοῦ*. Ἂν γὰρ μένῃς, φησὶ, μνησικακῶν καὶ ἀμυνόμενος, δοκεῖς μὲν τὸν ἐχθρὸν νικᾷν, νικᾶσαι δὲ ὑπὸ τοῦ κακοῦ, τουτέστιν, ὑπὸ τῆς ὀργῆς· ὥστε, εἰ βούλει νικῆσαι, καταλλάγηθι, καὶ μὴ ἐπεξέλθῃς. Αὕτη γάρ ἐστιν ἡ λαμπρὰ νίκη, ὅταν ἐν τῷ ἀγαθῷ, τουτέστι, τῇ ἀνεξικακίᾳ νικήσῃς τὸ κακὸν, τὴν ὀργὴν καὶ τὴν μνησικακίαν ἐκβαλών. Ἀλλὰ τούτων ἐξ ἀρχῆς οὐκ ἂν ἠνέσχετο τῶν ῥημάτων ὁ ἠδικημένος καὶ φλεγμαίνων. Διὰ τοῦτο, ὅτε αὐτοῦ τὸν θυμὸν ἐκόρεσε, τότε καὶ ἐπὶ τὴν ἀρίστην αὐτὸν ἦγαγε τῆς καταλλαγῆς αἰτίαν, καὶ οὐκ ἀφῆκεν ἐναπομεῖναι τῇ πονηρᾷ τῆς τιμωρίας ἐλπίδι. Εἶδες νομοθέτου σοφίαν; Καὶ ἵνα μάθῃς ὅτι διὰ τὴν ἀσθένειαν τῶν οὐκ ἀνεχομένων ἄλλως ἑαυτοῖς συνάπτεσθαι, τοῦτον εἰσήγαγε τὸν νόμον, ἄκουσον πῶς ὁ Χριστὸς τὸ αὐτὸ τοῦτο νομοθετῶν, οὐ τὸ αὐτὸ τέθεικεν ἔπαθλον· ἀλλ' εἰπὼν, ὅτι *Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς*, ὅπερ ἐστὶ τρέφειν καὶ ποτίζειν, οὐκ ἐπήγαγεν, ὅτι Τοῦτο γὰρ ποιοῦντες ἄνθρακα; πυρὸς σωρεύσετε ἐπὶ τὰς κεφαλὰς αὐτῶν, ἀλλὰ τί; *Ὅπως γένησθε ὅμοιοι τοῦ Πατρὸς ὑμῶν τοῦ*

* Savil. in marg. conj. γενέσθαι προθύμων.

nutritur, congerat carbones ignis? Hæc igitur est objectio : jam vero solutio est addenda, ut ex iis ipsis, quæ verba legis videntur carpere, omnem legislatoris sapientiam accurate cognoscas. Quænam igitur est solutio?

Cum inimicis reconciliari grave et difficile. — Noverat hoc probe magnus ac generosus ille vir, rem gravem ac molestam esse celeriter cum inimico reconciliari : gravem ac molestam non ex sua natura, sed ob nostram ignaviam. At ipse non reconciliari tantum jussit, sed etiam alere, quod priori multo gravius fuit. Si enim conspectis tantum illis, qui se molestia affecerint, efferantur nonnulli, quo pacto adducerentur, ut alerent esurientes? Quid dico, conspectis? Si quis mentionem illorum fecerit, et solum eorum nomen in medium protulerit, mentis nobis vulnus renovat, et inflammationem auget. Hæc igitur omnia cum intelligeret Paulus, et hoc emendatu difficile et arduum vellet facile reddere et expeditum, et illi persuadere, qui ne intueri quidem inimicum dignatur, ut ad bene de illo merendum se promptum ostenderet, carbones ignis posuit, ut supplicii spe commotus ad beneficium in illum conferendum accurrat, a quo damno fuisset affectus. Et sicut piscator hamum illecebra contegit undique, tumque piscibus objicit, ut ad consuetum cibum occurrentes, illo facile capiantur ac detineantur : sic nimirum et Paulus, cum affectum injuria vellet ad beneficium conferendum incitare in illum qui injuriam intulerat, non nudum philosophiæ objicit hamum, sed tamquam illecebra quadam carbonibus ignis obtectum, et contumeliam passum spe supplicii ad beneficium in eum conferendum, qui læsit, invitat : mox autem ut venerit, deinde retinet, neque resilire sinit, cum ab ipsa rei natura cum inimico jungatur, atque his propemodum verbis illum affatur : Non vis pietatis causa cibare illum qui te læsit? saltem ob spem ultionis ciba. Scit enim fore, ut si beneficium in illum conferre aggrediatur, jam tum initium fiat, ac via sternatur reconciliationis. Nemo enim, nemo umquam poterit a se nutritum hominem ac potatum infestum habere, licet initio spe ultionis id fecerit. Temporis enim progressu iræ contentio remittitur. Ut igitur piscator, si nudum hamum objiceret, piscem nequaquam alliceret; jam vero postquam illum obtexit, clam in os animalis accedentis hamum immittit : sic etiam Paulus, nisi pœnæ exspectationem objecisset, affectis injuria non persuasisset, ut ad bene merendum de illis a quibus læsi fuissent, animum appellerent. Quod igitur illos refugientes, ægre ferentes, et vel etiam inimicos intueri detrectantes flectere vellet, atque ad illos maximis beneficiis cumulandos incitare, carbonum ignis fecit mentionem, non ut in supplicium inevitabile illos conjiceret, sed ut cum illis qui fuerant injuria læsi, persuasisset exspectando supplicium bene mereri de inimicis, tandem progressu temporis etiam persuaderet illis, ut iram omnem deponerent.

6. Atque illum quidem qui passus injuriam fuerat, sic mitigavit; vide autem quo pacto illum etiam qui injuriam intulerat, cum læso reconciliet. Primum quidem ipso genere beneficii : nullus enim tam miser et stupidus est, qui potatus ac cibo refectus, nolit ejus fieri servus et amicus, a quo in illum ista collata sunt : deinde vero supplicii metu. Nam videtur quidem insectari eum qui cibat, dum ait : *Hoc enim faciens carbones ignis congeres super caput ejus :* sed cum qui læsit perstringit maxime, ut hujus pœnæ timore perculsus perpetuas inimicitias minime foveat, sed intelligens fore, ut maximo afficiatur detrimento, quod cibatus ac potatus fuerit, si semper inimicitias exerceat, iram deponat. Sic namque poterit ignis carbones exstinguere. Itaque pœna et supplicium proposi-tum tum eum qui affectus est injuria ad beneficium conferendum invitat in eum qui læsit, tum eum qui irritavit terret et excitat, atque ad reconciliationem cum eo qui cibo refecit ac potavit, impellit. Duplici ergo vinculo ambos inter se copulavit, altero beneficii, altero supplicii. Difficile quippe est incipere, atque aditum invenire reconciliationi : ubi vero aperta hæc quoquo modo fuerit, quæ sequuntur facilia cuncta erunt et expedita. Quamvis enim initio spe supplicii qui læsus est alat inimicum, tamen dum alet, amicus evadet, et pœnæ cupiditatem poterit ex animo pellere. Cum enim amicus redditus fuerit, non jam tali cum exspectatione poterit secum reconciliatum nutrire. Rursus is qui offendit cum viderit eum qui affectus fuerat injuria, ipsum alere ac potare diguari, saltem ob hoc ipsum, et ob metum parati supplicii odium omne deponet, quantumvis ferreus, inhumanus et adamas fuerit, quod et humanitatem revereatur ejus a quo nutritur, et quod sibi paratum supplicium reformidet, si post alimenta percepta inimicus esse non desinat.

Vincendus inimicus quomodo. David in veteri lege inimico benefecit. — Idcirco neque huc usque tantum cohortationem provexit, sed postquam utriusque iram mitigavit, deinceps animi sententiam corrigit dicens : *Noli vinci a malo* (*Rom.* 12. 21). Si enim acceptæ injuriæ memoriam conservaveris, et ulcisci volueris, vincere quidem inimicum videris, sed a malo vinceris, hoc est, ab ira. Itaque si vincere cupis, reconciliare, nec ulciscere. Hæc enim est præclara victoria, quando in bono, hoc est, patientia malum vincis, abjecta prorsus iracundia et injuriarum memoria. Verum hæc verba non tulisset a principio, qui læsus fuerat, et ira tumebat. Propterea cum primum ejus furorem exsaturavit, tum ad optimam illum reconciliationis causam traduxit, neque prava supplicii spe detineri permisit. Vides sapientiam legislatoris? Atque ut intelligas propter infirmitatem eorum, qui aliter inter se non poterant copulari, legem hanc ab illo fuisse invectam, audi quo pacto Christus hoc ipsum præcipiens, non hoc ipsum præmium proposuerit; sed cum dixisset : *Diligite inimicos vestros, benefacite his qui oderunt vos* (*Matth.* 5. 44), hoc est, cibate ac potum date, non adjecerit : Hoc enim facientes carbones ignis congeretis super capita illorum; sed quid? *Ut similes fiatis Patri vestro, qui in cœlis est.* Merito. Pe-

trum enim, Jacobum et Joannem ac reliquum apostolorum cœtum alloquebatur : propterea præmium illud proposuit. Quod si dicas hac quoque ratione grave esse præceptum, majorem tu quidem nobis suppeditas defensionem pro Paulo, te vero prorsus omni venia privas. Quid ita? Quod nimirum hoc quod esse grave videtur, in Veteri Testamento tibi ostendam esse perfectum, quo tempore nondum tantæ philosophiæ specimen editum fuerat. Propterea namque Paulus etiam non suis verbis legem introduxit, sed iisdem ipsis verbis usus est, quibus ille, qui a principio ipsam a se latam invexit, ut nullus veniæ locus relinqueretur iis, qui non illam observassent. Illud enim, *Si esurierit inimicus tuus, ciba illum; si sitit, potum da illi*, non Pauli primum est dictum, sed Salomonis (*Prov.* 25. 21. 22). Propterea verba posuit, ut auditori persuaderet, turpissimum esse veterem legem, et quam antiqui frequenter adimpleverunt, quæ nunc ad tantam evecta est philosophiam, gravem et molestam putari. Et quis illam ex antiquis adimplevit, dicet aliquis? Multi sane alii, sed David præsertim majorem in modum. Non enim cibavit inimicum, neque potum dedit ei tantum, sed etiam periclitantem sæpius a morte liberavit, et cum posset ipsum occidere, semel et bis et sæpius pepercit. Ac Saül quidem sic eum oderat et aversabatur post innumera beneficia, post tropæa præclara, et partam adversus Goliath populo salutem, ut ne nominis quidem ipsius mentionem fieri sustineret, sed ipsum a patre designaret. Cum enim solemnitas advenisset, quoniam cum dolos texuisset aliquos et graves insidias in eum struxisset, illum venisse non videbat, *Ubi est*, inquit, *filius Jesse* (1 *Reg.* 20. 27)? Illum quidem a patre designabat, simul quidem non sustinens ejus nominis præ odio nimio meminisse, simul vero existimans ignobilitate patris posse justi claritatem obscurari, quæ opinio misera plane fuit et infelix; præsertim cum nihil hoc deberet nocere Davidi, quamvis aliquod parenti crimen objici posset. Rerum enim a se gestarum rationem reddere debet unusquisque, atque ex illis vel laudem, vel vituperium meretur. Jam vero cum nullum scelus posset objicere, generis ignobilitatem in medium protulit : et hac ratione speravit se posse claritatem ejus obscurare, quod extremæ fuit dementiæ. Quod enim crimen est ex vilibus et humilibus ortum esse parentibus? At ille tantam philosophiam non callebat. Saül igitur eum Jesse filium vocabat; David autem cum illum intus in spelunca dormientem offendisset, non eum filium Cis, sed dignitatis nomine vocavit: *Non enim injiciam manum meam*, inquit, *in christum Domini* (1. *Reg* 26. 11). Sic ab ira mundus erat et ab injuriarum omni memoria : christum Domini vocat eum, a quo tot affectus erat injuriis, qui sanguinem ejus sitiebat, et post innumera beneficia multoties illum aggressus est interimere. Non enim spectabat, quid ille pati commeruisset; sed spectabat, quid ipsum facere vel dicere conveniret, qui supremus limes est philosophiæ. Quodnam illud tandem? tamquam in carcere tenens inimicum duplici vinctum compede vel triplici potius, et angustiis loci, et auxiliatorum inopia, et somni necessitate, non exigis ab illo pœnas nec supplicium? Nequaquam, inquit. Non enim quid ille pati mereatur nunc considero, sed quid fecisse me decuerat. Non respiciebat cædis facilitatem, sed convenientis sibi philosophiæ sanctitatem respiciebat. Tametsi quid eorum quæ tunc aderant non idoneum erat ad illum ad cædem impellendum? Quod vinctus ei traditus erat inimicus? Scitis enim hoc nimirum, nos ad ea exsequenda promptius advolare, quæ facilitatis plena sunt, et prosperi spes successus efficit, ut ad rem agendam majori cupiditate exardescamus, quod et in illo tum accidit.

Cur Saulo pepercerit David. Davidis quanta virtus.— Numquid tum exercitus dux consulebat et incitabat? numquid præteritarum rerum memoria? Sed nihil ad cædem illum impulit; imo ipsa cædis facilitas avocavit : veniebat enim illi in mentem idcirco Deum illum tradidisse, ut majorem illi philosophiæ materiam et occasionem præberet. Ac vos quidem illum fortasse miramini, quod nullius ex præteritis malis recordatus sit : ego vero propter aliud multo majus ipsum obstupesco. Quid illud rei est? Quod nec futurorum quidem metus eum ad inimicum necandum impulerit. Quippe qui probe noverat eum semel ex ipsius manibus elapsum, rursus illi structurum insidias : sed maluit adversarium liberum dimittere ac periculum subire, quam, ut salutis suæ securitati consuleret, hostem necare. Quid cum magno illo generosoque animo conferri possit, qui, cum oculum effodi lex pro oculo jubeat, et dentem pro dente, ac par pari referri (*Deut.* 19. 21), non modo id non fecit, sed et multo majorem philosophiam præ se tulit? Quamquam si tum Saülem necasset, sic quoque illi philosophiæ laus illæsa mansisset, non modo quod ultus esset, cum nec ipse prior percussisset, verum etiam quod dictum illud, *Oculum pro oculo*, longe majori modestia vicisset. Non enim pro una cæde unam rependisset, sed pro multis mortibus, quas ille intulerat, dum non semel, non bis, sed multoties ipsum occidere conatus erat, una illaturus mortem fuisset : imo vero non idcirco tantum, sed etiam quod metu futuri adactus ad ultionem progrederetur, hoc quoque præter ea, quæ dicta sunt, integram illi tolerantiæ coronam acquirit. Qui enim propter ea quæ acciderant, in eum iratus esset ac pœnas exegisset, tolerantiæ laudem consequi minime posset : eum vero qui præterita multa eaque gravia prætermittens metu imminentium periculorum saluti suæ prospicere, atque idcirco ad ultionem progredi cogeretur, nemo posset modestiæ corona privare.

7. Verumtamen David ne hoc quidem fecit, sed novum quoddam et insolitum philosophiæ genus adinvenit, et neque memoria præteritorum, neque futurorum metus, neque ducis exercitus cohortatio, nec solitudo loci, non facilitas cædis, non aliud quidquam ad homicidium illum impulit : sed tamquam alicui de se bene merito, cuique magna beneficia tulisset accepta, sic inimico homini, a quo fuerat affectus inju-

ἐν τοῖς οὐρανοῖς. Εἰκότως· Πέτρῳ γὰρ, Ἰακώβῳ καὶ Ἰωάννῃ διελέγετο, καὶ τῷ λοιπῷ τῶν ἀποστόλων χορῷ· διὰ τοῦτο αὐτὸ τέθεικεν ἔπαθλον. Εἰ δὲ λέγεις, ἔτι καὶ οὕτω φορτικὸν τὸ ἐπίταγμα, μειζόνως μὲν ὑπὲρ Παύλου πάλιν ἡμῖν ἀπολογῇ, σαυτὸν δὲ πάσης συγγνώμης ἀποστερεῖς. Τί δήποτε; Ὅτι τοῦτο τὸ δοκεῖν εἶναι φορτικὸν, ἐν τῇ Παλαιᾷ σοι δείκνυμι κατορθούμενον, ὅτε οὕπω τοσαύτης φιλοσοφίας ἐπίδειξις ἦν. Διὰ γὰρ τοῦτο καὶ ὁ Παῦλος οὐχὶ οἰκείοις ῥήμασι τὸν νόμον εἰσήγαγεν, ἀλλ' αὐταῖς χρησάμενος ταῖς ῥήσεσιν, αἷς ὁ παρὰ τὴν ἀρχὴν αὐτὸν εἰσαγαγὼν ἔθηκεν, ἵνα μηδεμίαν συγγνώμην καταλείπῃ τοῖς μὴ τηροῦσιν αὐτόν. Τὸ γὰρ, *Ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτὸν, ἐὰν διψᾷ, πότιζε αὐτὸν*, οὐχὶ Παύλου ἐστὶ πρῶτον ῥῆμα, ἀλλὰ τοῦ Σολομῶντος. Διὰ τοῦτο τὰ ῥήματα τέθεικεν, ἵνα πείσῃ τὸν ἀκροατὴν, ὅτι τῶν αἰσχίστων ἐστὶ, παλαιὸν νόμον, καὶ ὑπὸ τῶν ἀρχαίων κατορθωθέντα πολλάκις, νῦν εἰς τοσαύτην ἐπιδοθέντα [168] φιλοσοφίαν φορτικὸν εἶναι νομίζειν καὶ ἐπαχθῆ. Καὶ τίς αὐτὸν τῶν ἀρχαίων κατώρθωσε, φησί; Πολλοὶ μὲν καὶ ἄλλοι, μάλιστα δὲ ὁ Δαυὶδ μετὰ πλείονος τῆς περιουσίας. Οὐ μὲν ἐψώμισε τὸν ἐχθρὸν, οὐδὲ ἐπότισε μόνον, ἀλλὰ καὶ κινδυνεύοντα πολλάκις ἐξήρπασε τοῦ θανάτου, καὶ γενόμενος κύριος αὐτοῦ τῆς σφαγῆς, ἐφείσατο καὶ ἅπαξ, καὶ δὶς, καὶ πολλάκις. Καὶ ὁ μὲν Σαοὺλ οὕτως αὐτὸν ἐμίσει καὶ ἀπεστρέφετο μετὰ τὰς μυρίας εὐεργεσίας, μετὰ τὰ λαμπρὰ τρόπαια, καὶ τὴν ἐπὶ τοῦ Γολιὰθ σωτηρίαν, ὡς μηδὲ τῆς προσηγορίας ἀνασχέσθαι τῆς ἐκείνου μνησθῆναι, ἀλλ' ἀπὸ τοῦ πατρὸς αὐτὸν καλεῖν. Ἑορτῆς γάρ ποτε ἐπιστάσης, ἐπειδὴ δόλῳ αὐτῷ πλέξας τινὰ, καὶ χαλεπὴν ἐπιβουλὴν ῥάψας, οὐκ εἶδε παραγινόμενον. *Ποῦ ἐστι*, φησὶν, *ὁ υἱὸς Ἰεσσαί;* Ἐκάλει μὲν αὐτὸν ἀπὸ τοῦ πατρὸς, ὁμοῦ μὲν διὰ τὴν ἔχθραν οὐχ ὑπομένων ἀναμνησθῆναι τῆς προσηγορίας, ὁμοῦ δὲ νομίζων ἀπὸ τῆς τοῦ πατρὸς δυσγενείας τῇ τοῦ δικαίου λυμαίνεσθαι περιφανείᾳ, ἀθλίως καὶ ταλαιπώρως νομίζων· μάλιστα μὲν γὰρ, εἰ καὶ κατηγορεῖν εἶχε τοῦ πατρὸς, οὐδὲν τοῦτο κατέβλαπτε τὸν Δαυίδ. Τῶν γὰρ αὐτῷ πεπραγμένων ὑπεύθυνός ἐστιν ἕκαστος, καὶ ἀπὸ τούτων ἐπαινεῖσθαι καὶ κατηγορεῖσθαι δύναται. Νυνὶ δὲ πονηρίαν οὐδεμίαν ἔχων εἰπεῖν, τὴν τοῦ γένους δυσγένειαν εἰς μέσον ἔφερε, ταύτῃ προσδοκῶν ἐπισκοτίζειν αὐτοῦ τὴν λαμπρότητα, ὅπερ καὶ αὐτὸ ἐσχάτης ἀνοίας ἦν. Ποῖον γὰρ ἔγκλημα τὸ ἐξ εὐτελῶν εἶναι καὶ ταπεινῶν; Ἀλλ' οὐκ ᾔδει ταῦτα ἐκεῖνος φιλοσοφεῖν. Ὁ μὲν οὖν Σαοὺλ υἱὸν Ἰεσσαὶ ἐκάλει· ὁ δὲ Δαυὶδ εὑρὼν αὐτὸν ἔνδον ἐν τῷ σπηλαίῳ καθεύδοντα, οὐκ ἐκάλεσεν αὐτὸν υἱὸν Κεῖς, ἀλλὰ τῷ τῆς τιμῆς ὀνόματι· *Οὐ γὰρ μὴ ἐπαγάγω τὴν χεῖρά μου*, φησὶν, *ἐπὶ χριστὸν Κυρίου*. Οὕτω καθαρὸς ἦν ὀργῆς καὶ μνησικακίας ἁπάσης· χριστὸν Κυρίου καλεῖ τὸν τοσαῦτα ἠδικηκότα, τὸν τοῦ αἵματος αὐτοῦ διψῶντα, τὸν μετὰ μυρίας εὐεργεσίας πολλάκις αὐτὸν ἐπιχειρήσαντα ἀνελεῖν. Οὐ γὰρ ἐσκόπει τί παθεῖν ἐκεῖνος ἄξιος ἦν, ἀλλ' ἐσκόπει τί καὶ ποιῆσαι καὶ εἰπεῖν αὐτῷ πρέπον ἦν, ὅπερ μέγιστος ὅρος φιλοσοφίας ἐστί. Τί τοῦτο, ὥσπερ ἐν δεσμωτηρίῳ λαβὼν τὸν ἐχθρὸν, διπλῷ κατεχόμενον δεσμῷ, μᾶλλον δὲ τριπλῷ, καὶ τῇ τοῦ τόπου στενοχωρίᾳ, καὶ τῇ τῶν βοηθησάντων ἐρημίᾳ, καὶ τῇ τοῦ ὕπνου ἀνάγκῃ, οὐκ ἀπαιτεῖς δίκην οὐδὲ τιμωρίαν αὐτόν; Οὐχὶ, φησίν· οὐ γὰρ τί παθεῖν δίκαιος οὗτός ἐστιν, ὁρῶ νῦν, ἀλλὰ τί ποιῆσαι ἐμοὶ προσῆκεν. Οὐκ εἶδε πρὸς τὴν εὐκαιρίαν τῆς σφαγῆς, ἀλλ' εἶδε πρὸς τὴν ἀκρίβειαν τῆς αὐτῷ πρεπούσης φιλοσοφίας. Καίτοι τί τῶν τότε οὐκ ἦν ἱκανὸν διαναστῆσαι αὐτὸν πρὸς τὴν σφαγήν; Τὸ δεδεμένον αὐτῷ παραδοθῆναι τὸν ἐχθρόν; Ἴστε γὰρ δήπου τοῦτο, ὡς μειζόνως ἐπιτρέχομεν τοῖς εὐκαιρίας γέμουσι πράγμασι, καὶ ἡ τοῦ κατορθῶσαι ἐλπὶς μείζονα τῆς πράξεως ἡμῖν ἐπιθυμίαν ἐντίθησιν, ὥσπερ καὶ ἐπ' ἐκείνου τότε ἦν.

Ἀλλ' ὁ στρατηγὸς τότε συμβουλεύων καὶ διεγείρων; ἀλλ' ἡ μνήμη τῶν παρελθόντων; Ἀλλ' οὐδὲν αὐτὸν ἐκίνησε πρὸς τὸν φόνον· αὐτὸ [169] μὲν οὖν αὐτὸν τὸ τῆς σφαγῆς εὔκολον ἀπέστρεψεν· ἐνενόησε γὰρ, ὅτι διὰ τοῦτο παρέδωκεν αὐτὸν ὁ Θεὸς, ἵνα αὐτῷ πλείονα φιλοσοφίας ὑπόθεσιν παράσχῃ καὶ ἀφορμήν. Ὑμεῖς μὲν οὖν αὐτὸν ἴσως θαυμάζετε, ὅτι οὐδενὸς ἐμνήσθη τῶν παρελθόντων κακῶν· ἐγὼ δὲ δι' ἕτερον πολλῷ μεῖζον αὐτὸν ἐκπλήττομαι. Ποῖον δὴ τοῦτο; Ὅτι οὐδὲ ὁ φόβος αὐτὸν τῶν μελλόντων ὤθησε πρὸς τὸ διαχειρίσασθαι τὸν ἐχθρόν. Ἤδει γὰρ σαφῶς, ὅτι διαφυγὼν αὐτοῦ τὰς χεῖρας, πάλιν κατ' αὐτοῦ στήσεται· ἀλλ' εἵλετο μᾶλλον αὐτὸς κινδυνεύειν ἀπολύσας τὸν ἠδικηκότα, ἢ τῆς καθ' ἑαυτὸν ἀσφαλείας προνοῶν διαχειρίσασθαι τὸν πολέμιον. Τί γένοιτ' ἂν οὖν ἴσον τῆς μεγάλης καὶ γενναίας ἐκείνης ψυχῆς, ὃς, τοῦ νόμου κελεύοντος ἐξορύττειν ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος, καὶ τοῖς ἴσοις ἀμύνεσθαι, οὐ μόνον τοῦτο οὐκ εἰργάσατο, ἀλλὰ καὶ πολλῷ πλείονα φιλοσοφίαν ἐπεδείξατο; Καίτοι γε εἰ ἀνῃρήκει τότε τὸν Σαοὺλ, καὶ οὕτως αὐτῷ φιλοσοφίας ἐγκώμιον ἀκέραιον ἔμενεν ἂν [a], οὐ μόνον ὅτι ἠμύνατο, οὐκ αὐτὸς ἄρχων χειρῶν ἀδίκων, ἀλλ' ὅτι καὶ, *Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ*, μετὰ πολλῆς ἐνίκα τῆς ἐπιεικείας. Οὐ γὰρ ἀντὶ μιᾶς σφαγῆς μίαν ἐπῆρεν, ἀλλ' ἀντὶ πολλῶν θανάτων, ὧν ἐκεῖνος ἐπήγαγεν, οὐχ ἅπαξ, οὐ δὶς, ἀλλὰ πολλάκις αὐτὸν ἐπιχειρήσας ἀνελεῖν, ἵνα ἔμελλεν ἐπαγαγεῖν θάνατον· μᾶλλον δὲ οὐ ταῦτα μόνον, ἀλλὰ καὶ δεδοικότα τὸ μέλλον οὕτως ἐπὶ τὴν ἄμυναν ἔρχεσθαι, καὶ τοῦτο μετὰ τῶν εἰρημένων ὁλόκληρον αὐτῷ τὸν τῆς ἀνεξικακίας διεγείρει στέφανον. Ὁ μὲν γὰρ ὑπὲρ τῶν γεγενημένων εἰς αὐτὸν ὀργιζόμενος καὶ τιμωρίαν ἀπαιτῶν, οὐκ ἂν δύναιτο τῶν τῆς ἀνεξικακίας ἐπιτυχεῖν ἐγκωμίων· τὸν δὲ τὰ μὲν παρελθόντα πάντα πολλὰ ὄντα καὶ χαλεπὰ ἀφέντα, ὑπὲρ δὲ τοῦ μέλλοντος δεδοικότα καὶ προκατασκευάζοντα ἀσφάλειαν ἑαυτῷ, καὶ διὰ τοῦτο ἀναγκαζόμενον ἐπὶ τὴν ἄμυναν ἀνέρχεσθαι, οὐδεὶς ἂν τῶν τῆς ἐπιεικείας ἀποστερήσειε στεφάνων.

ζ'. Ἀλλ' ὅμως ὁ Δαυὶδ οὐδὲ τοῦτο ἐποίησεν, ἀλλὰ καινόν τινα καὶ παράδοξον εὗρε φιλοσοφίας τρόπον· καὶ οὔτε ἡ μνήμη τῶν παρελθόντων, οὐχ ὁ φόβος τῶν μελλόντων, οὐχ ἡ προτροπὴ τοῦ στρατηγοῦ, οὐχ ἡ ἐρημία τοῦ τόπου, οὐ τὸ τῆς σφαγῆς εὔκολον, οὐκ ἄλλο οὐδὲν διήγειρεν αὐτὸν πρὸς τὸν φόνον· ἀλλ' ὥσπερ εὐεργέτου τινὸς, καὶ μεγάλα αὐτὸν πεποιηκότος ἀγαθὰ,

[a] Particulam ἂν e Savilio recepimus, paulo infra ἀντὶ πολλῶν, pro eo quod legebatur ὅτι πολ., ex ejusdem conjectura rescribentes. Edit.

οὕτω τοῦ ἐχθροῦ καὶ λελυπηκότος ἐφείσατο. Ποίαν οὖν ἔξομεν ἡμεῖς συγγνώμην, ἁμαρτημάτων παρελθόντων μνημονεύοντες, καὶ τοὺς λελυπηκότας ἀμυνόμενοι, ὅταν ὁ ἀναίτιος ἐκεῖνος, τοσαῦτα μὲν πεπονθὼς, πλείονα δὲ καὶ χαλεπώτερα προσδοκῶν αὐτῷ συμβήσεσθαι κακὰ ἀπὸ τῆς τοῦ ἐχθροῦ σωτηρίας, φαίνηται φειδόμενος οὕτως, ὡς ἐλέσθαι κινδυνεῦσαι μᾶλλον αὐτὸς, καὶ μετὰ φόβου καὶ τρόμου ζῆν, ἢ τὸν μέλλοντα μυρία πράγματα αὐτῷ παρέχειν ἀποσφάξαι δικαίως;

Τὴν μὲν οὖν φιλοσοφίαν ἐκ τούτων ἔστιν ἰδεῖν, ὅτι οὐ μόνον οὐκ ἔσφαξε, τοσαύτης οὔσης ἀνάγκης, ἀλλ' οὐδὲ ῥῆμα βλάσφημον εἰς αὐτὸν ἐξήνεγκε, καὶ ταῦτα μὴ μέλλοντος αὐτοῦ ἀκούσασθαι τοῦ ὑβριζομένου. Καίτοι γε ἡμεῖς καὶ φίλους λέγομεν πολλάκις [170] κακῶς ἀπόντας, ἐκεῖνος δὲ οὐδὲ τὸν ἐχθρὸν καὶ τοσαῦτα ἠδικηκότα. Τὴν μὲν οὖν φιλοσοφίαν ἐκ τούτων ἔστιν ἰδεῖν· τὴν δὲ φιλανθρωπίαν, καὶ τὴν ἄλλην κηδεμονίαν, ἐξ ὧν μετὰ ταῦτα ἐποίησε. Τὸ γὰρ κράσπεδον κόψας τοῦ ἱματίου, καὶ τὸν φακὸν τοῦ ὕδατος ὑφελόμενος, ἀπελθὼν πόῤῥωθεν, καὶ στὰς ἐβόησε, καὶ τῷ διασωθέντι ταῦτα ὑπέδειξεν, οὐχὶ πρὸς ἐπίδειξιν καὶ φιλοτιμίαν τοῦτο ποιῶν, ἀλλὰ διὰ τῶν ἔργων αὐτὸν πεῖσαι βουλόμενος, ὅτι εἰκῇ καὶ μάτην αὐτὸν ὑπώπτευεν ὡς ἐχθρὸν, καὶ διὰ τοῦτο αὐτὸν πρὸς φιλίαν ἐπισπάσασθαι σπεύδων. Ἀλλ' ὅμως οὐδὲ οὕτως αὐτὸν πείσας, καὶ δυνάμενος διαχειρίσασθαι, πάλιν εἵλετο μᾶλλον ἐκπεσεῖν τῆς πατρίδος καὶ ἐν ἀλλοτρίᾳ διατρίβειν, καὶ καθ' ἑκάστην ταλαιπωρούμενος ἡμέραν, τὴν ἀναγκαίαν αὐτῷ πορίζειν τροφὴν, ἢ μένων οἴκοι λυπεῖν τὸν ἐπίβουλον. Τί γένοιτ' ἂν ἡμερώτερον τῆς ἐκείνου ψυχῆς; Οὕτως δικαίως ἔλεγε, *Μνήσθητι, Κύριε, τοῦ Δαυὶδ, καὶ πάσης τῆς πραότητος αὐτοῦ.* Τοῦτον καὶ ἡμεῖς μιμησώμεθα, καὶ μήτε λέγωμεν, μήτε ποιῶμεν κακῶς τοὺς ἐχθροὺς, ἀλλὰ καὶ εὐεργετῶμεν κατὰ δύναμιν· ἡμεῖς γὰρ ἑαυτοὺς εὖ ποιήσομεν μᾶλλον, ἢ ἐκείνους. Ἂν *γὰρ ἀφῆτε*, φησὶ, *τοῖς ἐχθροῖς ὑμῶν, ἀφεθήσεται ὑμῖν.* Ἄφες δουλικὰ ἁμαρτήματα, ἵνα λάβῃς συγχώρησιν δεσποτικὴν ἁμαρτημάτων· εἰ δὲ μεγάλα ἠδίκησεν, ὅσῳπερ ἂν μείζονα ἀφῇς, τοσούτῳ μείζονα λήψῃ τὴν συγχώρησιν. Διὰ γὰρ τοῦτο ἐδιδάχθημεν λέγειν, Ἄφες *ἡμῖν, καθὼς ἀφίεμεν*, ἵνα μάθωμεν, ὅτι τὸ μέτρον τῆς ἀφέσεως παρ' ἡμῶν πρῶτον λαμβάνει τὴν ἀρχήν. Ὥστε, ὅσῳπερ ἂν χαλεπώτερα ὁ ἐχθρὸς ἐργάσηται κακὰ, τοσούτῳ μειζόνως εὐεργετεῖ. Σπεύδωμεν τοίνυν καὶ ἐπειγώμεθα καταλλάττεσθαι πρὸς τοὺς λελυπηκότας, ἄν τε δικαίως, ἄν τε ἀδίκως ὀργίζωνται. Ἂν μὲν γὰρ ἐνταῦθα καταλλαγῇς, ἀπηλλάγης τῆς ἐκεῖ κρίσεως· ἐὰν δὲ, μεταξὺ μενούσης τῆς ἔχθρας, θάνατος ἐπιστὰς ἀπαγάγῃ τὴν ἀπέχθειαν μεσολαβήσας, ἐκεῖ λοιπὸν εἰσαχθῆναι τὴν δίκην ἀνάγκη. Καθάπερ οὖν πολλοὶ τῶν ἀνθρώπων πρὸς ἀλλήλους ἀμφισβητοῦντες, ἂν μὲν ἔξω φιλικώτερον διαλύσωνται πρὸς ἀλλήλους, καὶ ζημίας καὶ φόβου καὶ κινδύνων πολλῶν ἑαυτοὺς ἀπαλλάττουσι, κατὰ γνώμην ἑκατέροις τοῦ τέλους τῆς δίκης ἐκβαίνοντος· ἂν δὲ τῷ δικαστῇ καθ' ἑαυτοὺς ἐπιτρέψωσι, καὶ χρημάτων ζημία καὶ τιμωρία πολλάκις, καὶ τὸ τὴν ἔχθραν μένειν ἀκίνητον αὐτοῖς περιέσται· οὕτω δὴ καὶ ἐνταῦθα, ἂν μὲν κατὰ τὴν παροῦσαν ζωὴν διαλυσώμεθα, πάσης ἑαυτοὺς κολάσεως ἀπαλλάξομεν· ἂν δὲ ἐχθροὶ μένοντες εἰς τὸ δικαστήριον ἀπέλθωμεν ἐκεῖνο τὸ φοβερὸν, τὴν ἐσχάτην δώσομεν δίκην ἐπὶ τῇ ψήφῳ τοῦ δικαστοῦ πάντως ἐκείνου, καὶ ἀμφότεροι τιμωρίαν ὑποστησόμεθα ἀπαραίτητον, ὁ μὲν ἀδίκως ὀργιζόμενος, διὰ τοῦτο ὅτι ἀδίκως, ὁ δὲ δικαίως, διὰ τοῦτο ὅτι δικαίως ἐμνησικάκησε. Κἂν γὰρ ἀδίκως ὦμέν τι πεπονθότες κακῶς, συγχώρησιν δεῖ προσνέμειν τοῖς ἠδικηκόσι. Καὶ σκόπει πῶς τοὺς ἀδίκως λυπήσαντας ὠθεῖ καὶ κατεπείγει πρὸς τὴν καταλλαγὴν τῶν ἠδικημένων. *Ἐὰν προσφέρῃς τὸ δῶρόν σου*, φησὶν, *ἔμπροσθεν τοῦ θυσιαστηρίου, κἀκεῖ μνησθῇς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ὕπαγε, πρῶτον διαλλάγηθι* [171] *τῷ ἀδελφῷ σου.* Οὐκ εἶπε, Συνάγαγε, προσένεγκε τὴν θυσίαν, ἀλλὰ, *Διαλλάγηθι*, καὶ τότε προσένεγκε. Ἄφες αὐτὴν κεῖσθαι, φησὶν, ἵνα ἡ ἀνάγκη τῆς προσφορᾶς καὶ ἄκοντα καταναγκάσῃ πρὸς τὴν καταλλαγὴν ἐλθεῖν τὸν δικαίως ὀργιζόμενον. Ὅρα πῶς προτρέπει πάλιν πρὸς τὸν παροξύναντα ἐλθεῖν, εἰπών, *Ἄφετε τοῖς ὀφειλέταις ὑμῶν, ὅπως καὶ ὁ Πατὴρ ὑμῶν ἀφήσῃ ὑμῶν τὰ παραπτώματα.* Οὐ γὰρ μικρὸν τέθεικε μισθὸν, ἀλλὰ καὶ σφόδρα ὑπερβαίνοντα τὸ τοῦ κατορθώματος μέγεθος. Ταῦτ' οὖν ἅπαντα ἐννοοῦντες, καὶ τὴν ἀμοιβὴν τὴν ἐπὶ τούτῳ γινομένην λογιζόμενοι, καὶ ὡς οὐ πολλοῦ καμάτου καὶ σπουδῆς ἐστιν ἁμαρτήματα ἀπαλεῖψαι, συγχωρῶμεν τοῖς ἡμᾶς ἠδικηκόσιν. Ὁ γὰρ διὰ νηστείας, καὶ ὁδυρμῶν, καὶ εὐχῶν, καὶ σάκκου, καὶ σποδοῦ, καὶ μυρίας ἐξομολογήσεως μόλις ἕτεροι κατορθοῦσι, τὸ τὰ ἁμαρτήματα ἐξαλείφειν λέγω τὰ ἑαυτῶν, τοῦτο ἔξεστιν ἡμῖν ῥᾳδίως ποιεῖν χωρὶς σάκκου καὶ σποδοῦ καὶ νηστείας, ἂν μόνον ἀπὸ τῆς διανοίας ἐξαλείψωμεν τὴν ὀργὴν, καὶ μετὰ εἰλικρινείας ἀφῶμεν τοῖς ἠδικηκόσιν ἡμᾶς. Ὁ δὲ τῆς εἰρήνης καὶ ἀγάπης Θεὸς πάντα θυμὸν καὶ πικρίαν καὶ ὀργὴν τῆς ψυχῆς ἐξορίσας τῆς ἡμετέρας, καταξιώσαι κατὰ τὴν τῶν μελῶν ἀκολουθίαν μετὰ ἀκριβείας συνδεδεμένους ἀλλήλοις, ὁμοθυμαδὸν, ἐν ἑνὶ στόματι καὶ μιᾷ ψυχῇ, διηνεκῶς ἀναπέμπειν τοὺς ὀφειλομένους εὐχαριστηρίους ὕμνους αὐτῷ, ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

riis, pepercit. Quamnam igitur veniam merebimur nos, qui præteritorum delictorum memores sumus et eos ulciscimur, qui nos læserint, cum innocens ille tot mala passus, quique plura et graviora sibi, si hostem servaret, exspectabat eventura, sic pepercisse videatur, ut periculum ipse subire maluerit, atque in metu ac tremore vivere, quam eum quem sibi innumeras moliturum insidias sciebat, jure occidere?

Davidis patientiam exaggerat. — Ejus itaque philosophiam ex his cernere licet, quod non modo tanta imminente necessitate non interemerit, sed neque maledicum in eum verbum ullum protulerit, licet is quem læsurus fuisset, minime audiisset. Atqui nos etiam amicos sæpenumero absentes conviciis incessimus; at ille ne inimicum quidem, a quo tot fuerat affectus injuriis. Ac philosophiam quidem ex his licet cognoscere : benignitatem autem ac reliquam sollicitudinem ex iis, quæ postea præstitit. Quod enim fimbriam vestis absciderit, quod aquæ scyphum subtraxerit, quod longe secedens et stans clamarit (1. *Reg.* 24. 5. *et* 26. 13. *sqq.*), atque a se servato incolumi hæc significarit, non ad ostentationem et ambitionem id fecit, verum ut operibus ipsis ei persuaderet, se immerito ac sine causa tamquam hostem illi fuisse suspectum, et hac ratione studuit illum ad amicitiam provocare. Verumtamen cum ne sic quidem illum flectere potuisset, atque e medio posset tollere, rursus patria carere maluit, et peregre vivere, atque in malis quotidie versari, dum necessarium sibi victum compararet, quam domi manendo insidiatorem suum lædere. Quid illius anima lenius reperiri possit? Merito sane dicebat, *Memento, Domine, David, et omnis mansuetudinis ejus* (*Psal.* 131. 1). Hunc imitemur nos quoque, ac neque dicamus, neque faciamus inimicis quidquam mali, sed et pro viribus de illis bene mereamur : siquidem de nobis ipsis potius, quam de illis bene merebimur. *Si enim*, inquit, *dimiseritis inimicis vestris, dimittetur vobis* (*Matth.* 6. 14) : dimitte servilia peccata, ut veniam herilem obtineas peccatorum : quod si magnam intulerit injuriam, quanto majora dimiseris, tanto majorem veniam obtinebis. Propterea namque dicere edocti sumus, *Dimitte nobis, sicut nos dimittimus* (*Ibid. v.* 12), ut discamus remissionis modum initium a nobis accipere. Itaque, quanto graviora mala intulerit inimicus, tanto majoribus afficit beneficiis. Properemus igitur, et cum iis qui nos læserint, reconciliari festinemus, sive jure, sive injuria sint irati. Si enim hic fueris reconciliatus, illic a judicio liberaberis ; sin autem interim, dum inimicitiæ perseverant, mors interveniens odium e medio tollat, illic deinceps judicium constituatu necesse est. Ut igitur homines multi qui inter se controversantur, si quidem extra forum amice litem inter se componant, damno, metu, periculisque multis se liberant, dum ex animi sententia litis eis terminatio succedit : quod si judici negotium suum permittant, nihil aliud inde præter pecuniæ jacturam et pœnam persæpe, atque immortalium inimicitiarum continuationem reportabunt : ita hic quoque, si dum in hac vita versamur, lites componamus, omni nos supplicio liberabimus : sin autem in odio perseverantes, ad tremendum illud judicium abeamus, illius judicis calculo damnati, extremo plane supplicio plectemur, et utrique pœnas inevitabiles sustinebimus, unus quidem injuste iratus, propterea quod injuste, alter autem juste iratus, quod juste memoriam injuriæ conservarit. Licet enim injuste quidpiam mali passi fuerimus, veniam dari par est iis, a quibus injuria læsi fuerimus. Ac vide quo pacto eos, qui præter jus fasque molestiam intulerunt, impellat et urgeat ad reconciliationem cum illis quos læserint. *Si offeras munus tuum ad altare, et ibi recordatus fueris, quia frater tuus habet aliquid adversum te : vade, prius reconciliare fratri tuo* (*Matth.* 5. 23. 24). Non dixit, Collige, sacrificium offer, sed, *Reconciliare*, ac deinde offer. Sine ibi jaceat, inquit, ut oblationis necessitas etiam invitum reconciliari cogat eum, qui juste fuerit iratus. Vide quo pacto rursus hortetur ut ad eum qui nos offendit, veniamus, dicens: *Dimittite debitoribus vestris, ut et Pater vester dimittat delicta vestra* (*Marc.* 11. 25). Non enim exiguam mercedem proposuit, sed eam etiam quæ boni operis magnitudinem longe excederet. Hæc igitur omnia nobis ob oculos ponentes, ac remunerationem hac de causa nobis propositam mente versantes, quamque non magni sit laboris aut studii peccata delere, his a quibus læsi fuimus, veniam demus. Quod enim alii jejunio, planctibus, precibus, sacco, cinere, ac millies repetita confessione vix perficiunt, ut nimirum sua peccata deleant, hoc nobis sine sacco et cinere ac jejunio facile licet præstare, si modo ex animo iram deleamus, eisque qui nos injuria læserint, sincere dimittamus. Deus autem pacis et caritatis omnem furorem, et acerbitatem, et iram ex anima nostra exterminans nobis largiatur, ut juxta membrorum ordinem inter nos nexuque firmiter copulati, unanimiter, uno ore unaque anima, perpetua gratiarum actionis hymnos ipsi debitos offeramus, quoniam ipsi gloria et imperium, in sæcula sæculorum. Amen.

MONITUM AD DUAS HOMILIAS IN ILLUD,

Ex hisce duabus homiliis vix quidquam eruere possumus, unde quo habitæ tempore fuerint expiscemur, hoc unum sat probabili conjectura fulti dicimus, nimirum verisimile esse illas Antiochiæ habitas fuisse. Etenim illum in sacerdotali adhuc ordine fuisse argui videtur ex iis quæ de sacerdotibus istius, in qua degebat, urbis aliquot in locis ait; maxime vero in secunda homilia, num. 5, ubi auditores carpens, quod quidam eorum in sacerdotes probra et convicia jacerent, alii vero hæc audientes maledicos illos non compescerent, talia fatur: *Quid illis fuerit beatius, quid autem nobis miserius? Quandoquidem illi sanguinem et animam pro præceptoribus profundebant, nos autem neque verbum pro communibus patrious,* ὑπὲρ τῶν κοινῶν πατέρων, *emittere audemus, sed cum audiamus eis maledici et conviciis eos dehonestari et a suis et ab alienis, maledicos neque compescimus, neque reprehendimus, neque prohibemus.* Hæc certe non videntur esse dicta Chrysostomi jam episcopi Constantinopolitani: neque enim ille jam episcopus sacerdotes illos, qui conviciis impetebantur, communes patres appellasset; veri autem similius est eum, cum seniores Ecclesiæ Antiochenæ sacerdotes probris oneratos cerneret, eosdem patrum loco ha-

IN ILLUD,

SALUTATE PRISCILLAM ET AQUILAM (*Rom.* 16. 3), ET QUÆ SEQUUNTUR, SERMO I.

1. *In Scriptura nihil superfluum. Unde hæreses natæ sunt.* — Multos arbitror ex vobis mirari lectionis apostolicæ locum istum, vel potius minus necessariam ac supervacaneam ducere partem istam epistolæ, quod salutationes tantum frequentes habeat ac sibi invicem succedentes. Quam ob causam et ipse hodierno die cursum orationis alio flectens, ab illo digressus argumento ad hoc diverti re sum paratus, ut in sacris Scripturis nihil supervacaneum esse intelligatis et non necessarium, sive unum iota sit, sive apex unus, imo etiam simplex salutatio magnum nobis pelagus aperit sententiarum. Quid dico, simplex salutatio? Sæpe vel literæ unius accessio integrum agmen sententiarum invexit. Atque hoc in nomine Abrahæ videre licet. An non enim absurdum est eum quidem, qui epistolam acceperit ab amico, non corpus tantum epistolæ legere, sed etiam in fine positam salutationem, atque inde maxime scriptoris affectum conjicere, cum vero scribat Paulus, vel potius non Paulus, sed Spiritus gratia dictet epistolam ad integram civitatem ac tantum populum, et per illos orbi terrarum universo, supervacaneum aliquid eorum, quæ in ea sunt, arbitrari eaque perfunctorie percurrere, neque cogitare hanc ob causam omnia susque deque verti? Hoc enim est, hoc plane, quod magnam negligentiam nobis ac torporem ingenerat, quod non omnes Scripturas legamus, sed ea quæ censemus dilucidiora seligamus, cæterorum nullam rationem habeamus. Hoc etiam hæreses introduxit, quod totum corpus nolimus perlegere, quodque superfluum aliquid es e nihil-que necessarium arbitremur. Propterea nos in alia quidem omnia studium omne conferimus, non in superflua tantum, sed et in ea quæ inutilia sunt et noxia: Scripturarum autem peritia negligitur ac despicitur. Atque illi quidem qui certaminis equorum spectacula ad stuporem usque mirantur, et nomen, et gregem, et genus, et patriam, et educationem equorum diligentissime possunt referre, atque annos vitæ, cursusque vehementiam, et quis cum quo si fuerit copulatus, victoriam reportabit, et quis equus ex his vel illis emissus carceribus, et a quo si agitatore regatur, vincet in cursu, et adversarium antecedet. Illi etiam qui saltationibus vacant, nihilo minorem quam isti, sed et majorem erga illos qui in theatris indecore se gerunt, insaniam præ se ferunt, mimos dico et saltatriculas, dum et genus ipsarum et patriam et educationem et alia cuncta commemorant: nos autem si interrogemur, quot et quæ Pauli sint epistolæ, ne numerum quidem scimus exprimere. Quod si sint nonnulli qui numerum noverint, quænam tamen urbes epistolas acceperint, si interrogentur, quid sit respondendum ignorant. Atque homo quidem eunuchus et barbarus innumeris curis negotiisque distractus innumeris, ita libris affixus erat, ut ne itineris quidem tempore interquiesceret, sed in curru sedens diligentem lectioni Scripturæ operam daret (*Act.* 8. 27. *seqq.*): nos autem qui ne minima quidem parte illius occupationum urgemur, vel ipsis nominibus epistolarum terremur, idque cum singulis diebus dominicis huc conveniamus, et sacris lectionibus audiendis vacemus. Verum enim vero ne in solam reprehensionem sermonem impendamus, age salutationem ipsam, quæ supervacanea videtur esse atque importuna, in medium adducamus. Si enim explicetur, et utilitas ostendatur, quam parit iis qui diligenter attenderint,

SALUTATE PRISCILLAM ET AQUILAM.

buisse, sicque appellasse. In hisce porro duabus homiliis id demonstrare nititur Chrysostomus, quod et alibi frequenter, nimirum inscriptiones, nomina propria, salutationes, aliasque quantumvis minimas Scripturæ sacræ particulas, non supervacaneas, sed diligenter excutiendas esse : cum vero inscriptiones et nomina commemorat initio secundæ dicens, Ἆρα ἐμάθετε καὶ ἐπιγραφὰς, καὶ ὀνόματα, καὶ ψιλὰς περιεργάζεσθαι προσρήσεις, *Num didicistis et inscriptiones, et nomina, et simplices salutationes diligenter in Scripturis excutienda;* cum, inquam, inscriptiones, et nomina, id est, nomina propria commemorat, subindicare prorsus videtur quatuor Homilias, quas de inscriptione Actuum deque aliis Scripturæ sacræ inscriptionibus, necnon quatuor alias quas de nominibus, ac de nominum mutatione Antiochiæ habuerat Unde etiam eruitur hasce duas homilias Antiochiæ habitas fuisse : nam, ut liquet, eumdem ille populum, qui memoratas audierat homilias, alloquitur.

Prioris homiliæ interpretatio Latina est Frontonis Ducæi, posterioris vero Sigismundi Gelenii, quam multis in locis castigavimus.

---

[172] ΕΙΣ ΤΟ

« Ἀσπάσασθε Πρίσκιλλαν καὶ Ἀκύλαν, » καὶ τὰ ἑξῆς, λόγος α'.

α'. Πολλοὺς ὑμῶν οἶμαι θαυμάζειν ἐπὶ τὴν περικοπὴν τῆς ἀποστολικῆς ἀναγνώσεως ταύτης, μᾶλλον δὲ πάρεργον ἡγεῖσθαι καὶ περιττὸν τοῦτο τῆς ἐπιστολῆς τὸ μέρος, διὰ τὸ προσρήσεις ἔχειν μόνον συνεχεῖς καὶ ἐπαλλήλους. Διὸ δὴ καὶ αὐτὸς ἑτέρωσε τήμερον ὡρμημένος, ἀποστὰς ἐκείνης τῆς ὑποθέσεως, εἰς ταύτην καθεῖναι παρασκευάζομαι, ἵνα μάθητε, ὅτι τῶν θείων Γραφῶν οὐδὲν περιττὸν, οὐδὲν πάρεργόν ἐστι, κἂν ἰῶτα ἓν, κἂν μία κεραία ᾖ, ἀλλὰ καὶ ψιλὴ πρόσρησις πολὺ πέλαγος ἡμῖν ἀνοίγει νοημάτων. Καὶ τί λέγω, ψιλὴ πρόσρησις ; Πολλάκις καὶ ἑνὸς στοιχείου προσθήκη ὁλόκληρον νοημάτων εἰσήγαγε δύναμιν. Κἀι τοῦτο ἐπὶ τῆς τοῦ Ἀβραὰμ προσηγορίας ἔστιν ἰδεῖν. Πῶς γὰρ οὐκ ἄτοπον παρὰ φίλου μὲν ἐπιστολὴν δεχόμενον, μὴ τὸ σῶμα τῆς ἐπιστολῆς ἀναγινώσκειν μόνον, ἀλλὰ καὶ τὴν κάτω κειμένην πρόσρησιν, κἀκεῖθεν μάλιστα στοχάζεσθαι τὴν τοῦ γεγραφότος διάθεσιν, Παύλου δὲ γράφοντος, μᾶλλον δὲ οὐ τοῦ Παύλου, ἀλλὰ τῆς τοῦ Πνεύματος χάριτος τὴν ἐπιστολὴν ὑπαγορευούσης ὁλοκλήρῳ πόλει καὶ δήμῳ τοσούτῳ, καὶ δι' ἐκείνων τῇ οἰκουμένῃ πάσῃ, νομίζειν περιττόν τι εἶναι τῶν ἐγκειμένων, καὶ παρατρέχειν ἁπλῶς, καὶ μὴ ἐννοεῖν, ὅτι ταῦτα πάντα τὰ ἄνω κάτω πεποίηκε ; Τοῦτο γάρ ἐστι, τοῦτο, ὃ πολλῆς ῥᾳθυμίας ἡμᾶς ἐνέπλησε, τὸ μὴ πάσας ἐπιέναι τὰς Γραφὰς, ἀλλ' ἃ νομίζομεν εἶναι σαφέστερα, ταῦτα ἐκλεγομένους, τῶν ἄλλων μηδένα ποιεῖσθαι λόγον. Τοῦτο καὶ τὰς αἱρέσεις εἰσήγαγε, τὸ μὴ βούλεσθαι ἅπαν ἐπιέναι τὸ σῶμα, τὸ νομίζειν εἶναί τι περιττὸν καὶ πάρεργον. Διὰ τοῦτο τὰ μὲν ἄλλα ἅπαντα ἡμῖν διεσπούδασται, οὐχὶ τὰ περιττὰ μόνον, ἀλλὰ καὶ τὰ ἀνώνητα καὶ βλαβερά· τῶν Γραφῶν δὲ ἡ ἐμπειρία ἠμέληται καὶ παρῶπται· καὶ οἱ μὲν πρὸς τὴν θεωρίαν τῆς τῶν ἵππων ἁμίλλης ἐπτοημένοι, καὶ ὀνόματα, καὶ ἀγέλην, καὶ γένος, καὶ πατρίδα, καὶ ἀνατροφὴν τῶν ἵππων ἔχουσιν εἰπεῖν μετὰ ἀκριβείας ἁπάσης, καὶ ἕτη ζωῆς, καὶ ἐνεργείας δρόμων, καὶ τίς τίνι συνταττόμενος τὴν νίκην ἁρπάσεται, καὶ ποῖος ἵππος ἐκ ποίας ἀφεθεὶς βαλβῖδος, καὶ τίνα ἔχων ἡνίοχον, περιέσται τοῦ δρόμου, καὶ τὸν ἀντίτεχνον παραδραμεῖται. Καὶ οἱ περὶ τὴν ὀρχήστραν δὲ ἐσχολακότες, οὐκ ἐλάττω τούτων, ἀλλὰ καὶ πλείω μανίαν [173] περὶ τοὺς ἐν τοῖς θεάτροις ἀσχημονοῦντας ἐπιδείκνυνται, μίμους λέγω καὶ ὀρχηστρίας, καὶ γένος αὐτῶν, καὶ πατρίδα, καὶ ἀνατροφὴν, καὶ τὰ ἄλλα πάντα καταλέγοντες· ἡμεῖς δὲ ἐρωτώμενοι, ὁπόσαι, καὶ τίνες εἰσὶν αἱ Παύλου ἐπιστολαὶ, οὐδὲ τὸν ἀριθμὸν ἴσμεν εἰπεῖν. Εἰ δέ τινες καὶ εἶεν τὸν ἀριθμὸν ἐπιστάμενοι, ἀλλὰ τὰς πόλεις, αἳ τὰς ἐπιστολὰς ἐδέξαντο, ταύτας ἐρωτώμενοι διαποροῦσι πρὸς τὴν ἐρώτησιν. Καὶ ἄνθρωπος μὲν εὐνοῦχος καὶ βάρβαρος, μυρίαις φροντίσιν ὑπὸ μυρίων ἑλκόμενος πραγμάτων, οὕτω προσέκειτο βιβλίοις, ὡς μηδὲ κατὰ τὸν καιρὸν τῆς ὁδοιπορίας ἡσυχάζειν, ἀλλ' ἐπ' ὀχήματος καθήμενος, ἐγκεῖσθαι μετὰ πολλῆς τῆς ἀκριβείας τῇ τῶν θείων Γραφῶν ἀναγνώσει· ἡμεῖς δὲ οὐδὲ τὸ πολλοστὸν μέρος τῆς ἀσχολίας ἔχοντες τῆς ἐκείνου, καὶ πρὸς τὰ ὀνόματα τῶν ἐπιστολῶν ξενιζόμεθα, καὶ ταῦτα καθ' ἑκάστην κυριακὴν ἐνταῦθα συλλεγόμενοι, καὶ θείας ἀπολαύοντες ἀκροάσεως. Ἀλλὰ γὰρ ἵνα μὴ μόνον εἰς ἐπιτίμησιν τὸν λόγον ἀναλώσωμεν, φέρε, τὴν πρόσρησιν αὐτὴν τὴν δοκοῦσαν εἶναι περιττὴν καὶ παρενοχλεῖν, εἰς μέσον ἀγάγωμεν. Ἀναπτυσσομένης γὰρ αὐτῆς καὶ δεικνυμένου τοῦ κέρδους ὅσον παρέχει τοῖς προσέχουσιν αὐτῇ μετὰ ἀκριβείας, τότε μείζων ἔσται κατηγορία τοῖς ἀμελοῦσι τοσούτων θη-

σαυσῶν, καὶ τὸν πνευματικὸν ἀπὸ τῶν χειρῶν ῥίπτουσι πλοῦτον. Τίς οὖν ἐστιν ἡ πρόσρησις; Ἀσπάζεσθε, φησὶ, *Πρίσκιλλαν καὶ Ἀκύλαν τοὺς συνεργούς μου ἐν Κυρίῳ.* Ἆρα οὐ δοκεῖ ψιλή τις εἶναι πρόσρησις, καὶ μηδὲν μέγα, μηδὲ γενναῖον ἡμῖν ἐνδείκνυσθαι; Φέρε οὖν, εἰς αὐτὴν μόνην ἅπασαν τὴν διάλεξιν ἀναλώσωμεν, μᾶλλον δὲ οὐδὲ ἀρκέσομεν σήμερον τὰ ἐγκείμενα ἅπαντα τοῖς ὀλίγοις τούτοις ῥήμασιν ἀνιμήσασθαι σπουδάσαντες ὑμῖν νοήματα, ἀλλὰ ἀνάγκη καὶ εἰς ἑτέραν ὑμῖν ἡμέραν ταμιευθῆναι τὴν τῶν θεωρημάτων περιουσίαν, τῶν τικτομένων ἀπὸ τῆς ὀλίγης ταύτης προσρήσεως. Οὐδὲ γὰρ ἅπασαν αὐτὴν ἐπελθεῖν παρασκευάζομαι, ἀλλὰ μέρος αὐτῆς καὶ ἀρχὴν καὶ προοίμιον μόνον· *Ἀσπάσασθε Πρίσκιλλαν καὶ Ἀκύλαν.*

β'. Πρῶτόν ἐστιν ἐκπλαγῆναι τοῦ Παύλου τὴν ἀρετὴν, ὅτι τὴν οἰκουμένην ἅπασαν ἐγκεχειρισμένος, καὶ γῆν καὶ θάλατταν, καὶ τὰς ὑφ' ἥλιῳ πόλεις ἁπάσας, καὶ βαρβάρους, καὶ Ἕλληνας, καὶ δήμους τοσούτους ἐν ἑαυτῷ περιφέρων, ἑνὸς ἀνδρὸς καὶ μιᾶς γυναικὸς τοσαύτην ἐποιεῖτο φροντίδα· καὶ δεύτερον τοῦτο θαυμάσαι, πῶς ἄγρυπνόν τε καὶ μεμεριμνημένην εἶχε ψυχὴν, οὐχὶ κοινῇ πάντων μόνον, ἀλλὰ καὶ ἰδίᾳ μεμνημένος ἑκάστου τῶν δοκίμων καὶ γενναίων. Νῦν μὲν γὰρ οὐδὲν θαυμαστὸν τοὺς τῶν Ἐκκλησιῶν προεστῶτας τοῦτο ποιεῖν, τῷ καὶ τοὺς θορύβους κατεστάλθαι ἐκείνους, καὶ μιᾶς πόλεως ἀναδεδέχθαι πρόνοιαν μόνον· τότε δὲ οὐ τὸ τῶν κινδύνων μέγεθος μόνον, ἀλλὰ καὶ τὸ τῆς ὁδοῦ διάστημα, καὶ τὸ τῶν φροντίδων πλῆθος; καὶ τὰ ἐπάλληλα κύματα, καὶ τὸ μὴ συνεχῶς ἅπασιν ἐπιχωριάζειν ἀεὶ, καὶ πολλὰ ἕτερα πλείονα τούτων, ἱκανὰ τῆς μνήμης ἐκβαλεῖν καὶ τοὺς σφόδρα ἐπιτηδείους. Ἀλλ' οὐκ ἐξέβαλε τούτους. Πῶς οὖν οὐκ ἐξεβλήθησαν; Διὰ τὴν τοῦ Παύλου μεγαλοψυχίαν, καὶ τὴν θερμὴν αὐτοῦ καὶ γνησίαν ἀγάπην. Οὕτω γὰρ αὐτοὺς εἶχεν ἐν διανοίᾳ, ὡς καὶ ἐν ἐπιστολαῖς αὐτῶν μεμνῆσθαι [174] πολλάκις. Ἀλλ' ἴδωμεν τίνες καὶ ὁποῖοι ἦσαν οὗτοι, οἱ τὸν Παῦλον οὕτω χειρωσάμενοι, καὶ πρὸς τὸν οἰκεῖον ἐπισπασάμενοι πόθον. Ἆρα ὕπατοί τινες καὶ στρατηγοὶ ἦσαν, καὶ ὕπαρχοι, ἢ ἄλλην τινὰ περιφάνειαν κεκτημένοι, ἢ πλοῦτον πολὺν περιβεβλημένοι, καὶ τῶν τὴν πόλιν ἀγόντων; Οὐδὲν τούτων ἔστιν εἰπεῖν, ἀλλὰ τοὐναντίον ἅπαν, πτωχοὶ καὶ πένητες, καὶ ἐκ τῆς τῶν χειρῶν ἐργασίας ζῶντες. Ἦσαν γὰρ, φησὶ, σκηνοποιοὶ τῇ τέχνῃ· καὶ οὐκ ἠσχύνετο ὁ Παῦλος, οὐδὲ ὄνειδος εἶναι ἐνόμιζε βασιλικωτάτῃ πόλει καὶ δήμῳ μέγα φρονοῦντι, κελεύων τοὺς χειροτέχνας ἐκείνους ἀσπάζεσθαι, οὐδὲ καθυβρίζειν αὐτοὺς ἡγεῖτο τῇ πρὸς ἐκείνους φιλίᾳ· οὕτως ἦν ἅπαντας πεπαιδευκώς; τότε φιλοσοφεῖν. Καίτοι γε ἡμεῖς πολλάκις συγγενεῖς ἔχοντες πενεστέρους ὀλίγῳ, τῆς πρὸς αὐτοὺς οἰκειότητος ἀλλοτριούμεθα, καὶ ὄνειδος εἶναι νομίζομεν, εἰ φωραθείημέν ποτε ἐκείνοις προτήκοντες· ὁ δὲ Παῦλος οὐχ οὕτως, ἀλλὰ καὶ ἐγκαλλωπίζεται τῷ πράγματι, καὶ οὐ τοῖς τότε μόνον, ἀλλὰ καὶ τοῖς μετὰ ταῦτα πᾶσι δῆλον ἐποίησεν, ὅτι εἰς τοὺς πρώτους αὐτῷ τὴν φιλίαν ἐτέλουν ἐκεῖνοι οἱ σκηνοποιοί. Καὶ μή μοι λεγέτω τις, Καὶ τί γὰρ μέγα καὶ θαυμαστὸν, καὶ αὐτὸν, ἀπὸ τῆς αὐτῆς ὄντα τέχνης, μὴ ἐπαισχύνεσθαι τοῖς ὁμοτέχνοις; Τί λέγεις; Τοῦτο γὰρ αὐτὸ μέγιστόν ἐστι καὶ θαυμαστόν. Οὐ γὰρ οὕτως οἱ προγόνων ἔχοντες εἰπεῖν περιφάνειαν ἐπαισχύνονται τοῖς καταδεεστέροις, ὡς οἱ γενόμενοί ποτε ἐπὶ τῆς αὐτῆς εὐτελείας, εἶτα ἀθρόον εἰς λαμπρότητά τινα καὶ περιφάνειαν ἀναβάντες. Ὅτι δὲ Παύλου λαμπρότερον οὐδὲν ἦν, οὐδὲ περιφανέστερον, ἀλλὰ καὶ αὐτῶν τῶν βασιλέων ἐπισημότερος ἦν, παντὶ που δῆλόν ἐστιν. Ὁ γὰρ δαίμοσιν ἐπιτάττων, καὶ νεκροὺς ἐγείρων, καὶ ἐξ ἐπιτάγματος καὶ πηρῶσαι, καὶ θεραπεῦσαι τοὺς πεπηρωμένους δυνάμενος, οὗ τὰ ἱμάτια καὶ αἱ σκιαὶ ἅπαν νοσημάτων εἶδος ἔλυον, εὔδηλον ὅτι οὐδὲ ἄνθρωπος λοιπὸν εἶναι ἐνομίζετο, ἀλλ' ἄγγελός τις ἐξ οὐρανοῦ καταβάς. Ἀλλ' ὅμως τοσαύτης ἀπολαύων δόξης, καὶ πανταχοῦ θαυμαζόμενος, καὶ ὅπουπερ ἂν φανείη πάντας ἐπιστρέφων, οὐκ ἐπῃσχύνετο τὸν σκηνοποιὸν, οὐδὲ ἐλαττοῦσθαι ἐνόμιζε τοὺς ἐν τοσούτοις ἀξιώμασιν ὄντας. Καὶ γὰρ εἰκὸς ἐν τῇ Ἐκκλησίᾳ τῇ Ῥωμαίων πολλοὺς εἶναι περιφανεῖς, οὓς ἠνάγκαζε τοὺς πτωχοὺς ἐκείνους ἀσπάσασθαι. Ἤδει γὰρ, ἤδει σαφῶς, ὅτι εὐγένειαν οὐ πλούτου περιφάνεια, οὐδὲ χρημάτων περιουσία, ἀλλὰ τρόπων ἐπιείκεια ποιεῖν εἴωθεν· ὡς οἵ γε ταύτης μὲν ἀπεστερημένοι, ἀπὸ δὲ τῆς τῶν γεγεννηκότων αὐτοὺς δόξης μεγαλοφρονοῦντες, ὀνόματι μόνον εὐγενείας ψιλῷ, ἀλλ' οὐχὶ πράγματι καλλωπίζονται· μᾶλλον δὲ αὐτὸ τὸ ὄνομα φωρᾶται πολλάκις, εἴ τις ἐπὶ τοὺς ἀνωτέρω προγόνους τῶν εὐγενῶν ἀναβαίη τούτων. Τὸν γὰρ περιφανῆ καὶ λαμπρὸν, καὶ πατέρα ἔχοντα ἐπίσημον εἰπεῖν καὶ πάππον, ἂν μετὰ ἀκριβείας ἐξετάσῃς, πολλάκις εὑρήσεις ἐπίπαπτον εὐτελῆ τινα καὶ ἀνώνυμον ἐσχηκότα· καθάπερ τῶν εὐτελῶν εἶναι δοκούντων ἂν [175] τὸ γένος ἅπαν ἀναβαίνοντες κατὰ μικρὸν διερευνησώμεθα, ὑπάρχους καὶ στρατηγοὺς εὑρήσομεν αὐτῶν πολλάκις τοὺς ἀνωτέρω προγόνους, καὶ εἰς ἱπποφορβοὺς καὶ συοφορβοὺς εὖροι τις ἂν γεγενημένους. Ἅπερ οὖν ἅπαντα Παῦλος εἰδὼς, τούτων μὲν οὐ πολὺν ἐποιεῖτο λόγον, ψυχῆς δὲ εὐγένειαν ἐζήτει, καὶ τοὺς ἄλλους ταύτην θαυμάζειν ἐπαίδευσεν. Οὐ μικρὸν οὖν τοῦτο τέως ἐντεῦθεν καρπούμεθα, τὸ μηδενὶ τῶν εὐτελεστέρων ἐπαισχύνεσθαι, τὸ ψυχῆς ἀρετὴν ἐπιζητεῖν, τὸ πάντα τὰ ἔξωθεν ἡμῖν περικείμενα περιττὰ εἶναι νομίζειν καὶ ἀνόνητα.

γ'. Ἔστι καὶ ἕτερον οὐκ ἔλαττον τούτου καρπώσασθαι κέρδος ἐντεῦθεν, καὶ ὃ μάλιστα συνέχει ἡμῶν τὴν ζωὴν κατορθωθέν. Τί δὲ τοῦτό ἐστι; Τὸ μὴ κατηγορεῖν τοῦ γάμου, μηδὲ νομίζειν ἐμπόδισμα εἶναι καὶ κώλυμα τῆς εἰς ἀρετὴν φερούσης ὁδοῦ, τὸ γυναῖκα ἔχειν, καὶ παῖδας τρέφειν, καὶ οἰκίας προΐστασθαι, καὶ τέχνην μεταχειρίζειν. Ἰδοὺ καὶ ἐνταῦθα ἀνὴρ ἦν καὶ γυνὴ, καὶ ἐργαστηρίων προειστήκεσαν, καὶ τέχνην μετεχειρίζοντο, καὶ τῶν ἐν μοναστηρίοις ζώντων ἀκριβεστέραν ἐπεδείξαντο πολλῷ τὴν φιλοσοφίαν. Πόθεν τοῦτο δῆλον; Ἀφ' ὧν προσεῖπεν αὐτοὺς ὁ Παῦλος, μᾶλλον δὲ οὐκ ἀφ' ὧν προσεῖπεν, ἀλλὰ καὶ

tum majus eorum crimen apparebit et culpa, qui tantos contemnunt thesauros, et spiritales e manibus opes abjiciunt. Quænam igitur est salutatio? *Salutate*, inquit, *Priscillam et Aquilam adjutores meos in Domno* (*Rom.* 16. 3). Nonne videtur nuda quædam esse salutatio, neque quidquam magnum aut eximium nobis indicare? Age igitur in eam solam totam hanc sermocinationem impendamus : imo vero ne hodie quidem poterimus vobis involutas exiguis istis vocibus explicare sententias, sed in alterum diem reservare vobis necesse est contemplationum copiam, quæ ex hujus exiguæ salutationis consideratione nascentur. Neque enim totam illam enarrare statui, sed partem ejus et initium atque exordium tantum : *Salutate Priscillam et Aquilam.*

2. *Quæ in hac salutatione sunt consideranda. Opifices et pauperes salutat Paulus.*—Primo quidem Pauli virtutem admiremur oportet, quod cum illi totius orbis terrarum esset cura commissa, et terram, mare, cunctasque civitates quæ sub cælo sunt, et barbaros et Græcos, et tot populos secum circumferret, adeo de viro uno deque una muliere sollicitus esset; secundo hoc item mirandum, quam vigilanti ac sollicito esset animo præditus, qui non omnium simul tantum, sed et privatim singulorum ex probis et eximiis recordaretur. Jam enim præsules Ecclesiarum id agere nihil sane mirum, cum et tumultus illi sedati sint, et unius civitatis tantum curam susceperint : tum vero non periculorum tantum magnitudo, sed et itineris intercapedo, et multitudo curarum, et continui fluctus, quodque non semper apud omnes assidue moraretur, atque alia plura poterant etiam valde caros e memoria excutere. Verumtamen hos non excusserunt. Quo tandem pacto non excussi sunt? Ob Pauli magnanimitatem ac fervidam sinceramque ipsius caritatem. Sic enim menti ejus inhærebant, ut et in literis crebram eorum fecerit mentionem. Sed videamus quinam illi qualesque tandem essent, qui Paulum adeo sibi manciparant, et ad amorem suum pellexerant. Nam fortasse consules aliqui vel magistri militum erant et præfecti, vel in aliqua illustri dignitate constituti, vel opibus circumfluentes, quique civitatem regerent? Nihil tale potest afferri, sed plane contrarium, pauperes et egeni, quique opere manuum victum quærerent. Erant enim, inquit, scenofactoriæ artis (*Act.* 18. 3) : neque Paulum pudebat, neque augustissimæ civitati populoque magnifice de se sentienti probro esse ducebat, si opifices illos salutari juberet, neque ignominiam illis conflari ex sua in illos amicitia putabat : sic omnes tum temporis erudierat, ut de se modeste moderateque sentirent. Atqui nos sæpe si propinquos paulo tenuioris fortunæ habeamus, ab illorum familiaritate abhorremus, nobisque probro ducimus, si quando illorum propinqui deprehendamur; Paulus vero non ita, sed ea re quoque gloriatur, nec hominibus tantum illius ætatis, sed etiam omnibus posteris curavit ut innotesceret, inter ipsius amicos illos tabernaculorum opifices primos fuisse. Neque mihi quisquam dicat, Quid vero magnum mirumve, si ipsum, qui eandem artem factitaret, ejusdem opificii consortium non puderet? Quid ais? Hoc enim ipsum plurimi faciendum est et admiratione dignum. Non enim eos qui claritatem possunt commemorare majorum æque pudet inferiorum, atque illos qui in eadem olim vulgi face jacuerint, et ad illustrem ac nobilem subito fuerint dignitatem evecti. Porro nihil fuisse illustrius Paulo vel nobilius, sed ipsis eum regibus fuisse clariorem, cuivis, sat scio, manifestum est. Nam qui dæmonibus imperabat, qui mortuos suscitabat, qui solo jussu excæcare poterat et cæcos sanare, cujus vestes morborum genus omne depellebant, haud dubium, quin non jam homo, sed angelus de cælo delapsus censeretur.

Nobilitas unde nascatur. Non est vituperandum matrimonium. — Verumtamen licet in existimatione tanta esset, et ubique admirationi, et in quascumque se oras conferret, omnes ad se converteret, tabernaculorum opificem non erubescebat, nec honorem eorum imminui censebat, qui in dignitatibus tantis erant ac magistratibus constituti. Verisimile namque est multos in Ecclesia fuisse Romanorum illustres, quos cogebat pauperes illos salutare. Noverat quippe, noverat probe non opum splendorem, neque pecuniarum affluentiam, sed morum modestiam parere nobilitatem solere : itaque illi qui hac privati sunt, sed majorum claritate superbiunt, nomine potius nobilitatis nudo, non re ipsa gloriantur : imo ipsum nomen plerumque subtrahitur, si quis ad antiquiores nobilium istorum majores ascenderit. Nam eum qui clarus et illustris est, ac nobilem commemorare patrem et avum potest, si accuratius examines, vilem quempiam et obscurum proavum habuisse persæpe comperies : quemadmodum et eorum qui tenues esse videntur, si totum genus paulatim sursum versus ascendendo pervestigemus, præfectos et magistros militum sæpe habuisse majores inveniemus, qui tandem in equisones et subulcos conversi fuerint. Quæ cum explorata Paulo essent omnia, non magnam horum rationem habebat, sed animæ nobilitatem quærebat, ac cæteros, ut hanc plurimi facerent, instruebat. Hinc igitur non mediocrem interim fructum percipimus, ut vilioris fortunæ hominum nos minime pudeat, ut animæ virtutem disquiramus, ut externa omnia quibus ditamur superflua et inutilia censeamus.

3. Aliud quoque lucrum possumus hoc nihilominus hinc decerpere, quod si rite peractum a nobis fuerit, vitam maxime nostram tuetur. Quodnam illud tandem est? Ut ne conjugium vituperemus, neque nobis obstaculum et impedimentum esse arbitremur in via, quæ ad virtutem deducit, uxorem habere filios educare, domui præesse, artem factitare. Ecce hic quoque vir erat et mulier, et officinis præerant, et artem factitabant, et perfectiorem multo probitatem morum exhibebant, quam qui in monasteriis degunt. Unde id constat? Ex iis verbis quibus eos Paulus alloquitur, vel potius non ex iis quibus eos

est alloquutus, sed etiam ex iis, quibus eos postea testimoniis commendavit. Cum enim dixisset : *Salutate Priscillam et Aquilam*, illorum etiam dignitatem adjecit. Quam vero tandem? Non dixit divites et illustres et nobiles; sed quid? *Adjutores meos in Domino.* Nihil autem cum hoc conferri potest, quod ad virtutis commendationem attinet : nec tantum ex hoc, sed et ex eo quod apud ipsos manserit non unum et duos et tres dies, sed duos annos integros, virtutem illorum spectare possumus. Nam quemadmodum sæculares magistratus apud viles et abjectos homines non dignantur divertere, sed magnificas illustrium quorumdam virorum domos quærunt, ne dignitatis suæ magnitudo eorum a quibus excipiuntur vilitate lædatur : ita quoque faciebant apostoli; non apud obvios quosvis hospitabantur, sed ut illi magnificentiam ædium, sic animæ virtutem isti requirebant, et diligenter quæsitis sibi familiaribus, apud eos diver-tebant. Nam et a Christo lata lex erat quæ hoc jubebat. *In quamcumque* enim, inquit, *civitatem aut domum intraveritis, interrogate, quis in ea dignus sit, et ibi manete* (*Luc.* 9. 4). Igitur Paulo digni erant isti : quod si Paulo, angelis erant digni. Ego vero domunculam illam et cælum et Ecclesiam audacter appellarim. Ubi enim Paulus erat, ibi etiam Christus erat : *An experimentum*, inquit, *quæritis ejus, qui in me loquitur, Christi* (2. *Cor.* 13. 3)? Ubi autem Christus erat, illuc etiam frequenter angeli ventitabant.

Sanctorum non oratio tantum, sed et vita docet. — Porro qui seipsos antea Pauli cultu ac ministerio dignos præbuerant, cogita quales evaserant, dum annis duobus cum illo degerent, et habitum ejus, et incessum et aspectum, et vestium modum, et ingressus, et egressus, et alia cuncta observarent. Siquidem in sanctis non verba tantum, neque doctrina et cohortationes, sed et reliqua omnis vitæ conversatio ad eos in philosophia sufficit erudiendos, qui fuerint attentiores. Veniat tibi in mentem quale esset Paulum cernere, et prandium sumentem, et reprehendentem et cohortantem et orantem, et lacrymas fundentem, exeuntem et introeuntem. Si enim, cum quatuordecim tantum nobis restent epistolæ, quoquoversum per orbem terrarum illas circumferimus : qui fontem habebant epistolarum, qui linguam orbis terrarum, qui lumen Ecclesiarum, qui fidei fundamentum, qui columnam et firmamentum veritatis, quales non evadere possent, dum cum hoc angelo viverent? Nam si vestes ejus dæmonibus erant formidabiles, tantamque vim obtinebant, habitationem cum illo quantam non Spiritus gratiam conciliare potuisse credendum est (*Act.* 19. 12)? Cum enim Pauli cubile cernerent, cum stragulum, cum calceamenta, nonne hoc illis sufficiens fuit ac perpetuum ad compunctionem incitamentum? Si enim dæmones ipsius vestimenta perhorrescebant, multo magis fideles, et qui cum ipso degebant, cum ea cernerent, compungebantur. Est etiam illud operæ pretium scrutari, quam ob causam, cum eos salutaret, Priscillam marito anteposuerit. Non enim dixit, Salutate Aquilam et Priscillam, sed Priscillam et Aquilam. Nec sine causa id fecit, sed quod majori eam sciret, quam virum, præditam fuisse pietate. Atque hoc non esse conjecturam, quod a me dictum est, ex Actis licet cognoscere. Siquidem Apollo, virum eloquentem et in Scripturis potentem, quique Joannis tantum baptisma sciebat, hæc cum assumpsisset, exposuit illi viam Dei, et perfectum magistrum reddidit (*Act.* 18. 24. 25). Non enim illis, quæ apostolorum ætate vivebant, mulieribus erant curæ quæ nunc sunt istis, ut splendidis vestibus amiciantur, et pigmentis ac fucis faciem suam condecorent, quæ viros suos vexant ac premunt, coguntque vestem pretiosiorem vicinæ veste sibi coemere, mulos albos, et fræna deaurata, obsequium eunuchorum, magnum ancillarum gregem et reliquam omnem pompam ridiculam : sed his omnibus amandatis, et excusso mundano fastu unum illud solum quærebant, ut consortes fierent apostolorum, et ejusdem cum illis prædæ participes. Quo fit ut non hæc solum talis esset, verum etiam omnes reliquæ. Nam et de Perside quadam dicit, *Quæ multum laboravit erga nos* (*Rom.* 16. 12), et Mariam ac Tryphænam ob ejusmodi labores laudat, quod cum apostolis laborarent, et ad eadem subeunda certamina se accingerent. Sed qui fit, ut ad Timotheum scribens dicat, *Mulieri autem docere non permitto, neque dominari in virum* (1. *Tim.* 2. 12)? Quando pius est vir, et eamdem religionem profitetur, et ejusdem particeps est sapientiæ : quando autem infidelis est et errat, ipsam docendi auctoritate non privat. Certe cum ad Corinthios scriberet, ait : *Et si qua mulier habet virum infidelem, non dimittat illum. Unde enim scis, mulier, si virum salvum facies* (1. *Cor.* 7. 13. 16)? Quo vero pacto fieri potest, ut mulier fidelis virum infidelem salvum faciat? Instruens nimirum illum et docens atque ad fidem adducens, sicut et ista Priscilla Apollo. Alioquin, cum dicit, *Mulieri docere non permitto*, de institutione quæ fit e suggestu loquitur, de sermone qui habetur ad populum, et ut sacerdotibus ex officio incumbit : privatim autem cohortari et consilium dare non prohibuit. Neque enim, si hoc prohibitum fuisset, hanc quæ id præstiterat collaudasset.

4. Audiant viri, audiant et ista mulieres : illæ quidem, ut eam imitentur, quæ sexus ejusdem est, et naturæ cognatione conjuncta : hi vero, ne muliere imbecilliores appareant. Quam enim excusationem habebimus, quam veniam impetrabimus, si cum tantum animi studium, tantamque philosophiam mulieres exhibuerint, nos semper mundi affixi negotiis hæreamus? Hæc discant et magistratus et privati, et sacerdotes, et qui in ordine laicorum versantur, ut illi quidem divites tanti non faciant, neque illustres domos persequantur, sed virtutem cum paupertate disquirant, neque pauperiorum fratrum illos pudeat, neque tabernaculorum opificem, et coriarium, et purpuræ institorem, et ærarium omittentes, eos qui magistratus gerunt colant : qui vero privati sunt, ne se impediri putent, quo minus sanctos excipiant, sed memores viduæ quæ Heliam suscepit, cum illi farinæ pugillus

ἀφ' ὧν μετὰ ταῦτα ἐμαρτύρησεν. Εἰπὼν γὰρ, *Ἀσπάσασθε Πρίσκιλλαν καὶ Ἀκύλαν*, προσέθηκεν αὐτῶν καὶ τὸ ἀξίωμα. Ποῖον δὴ τοῦτο; Οὐκ εἶπε τοὺς πλουσίους, τοὺς περιφανεῖς, τοὺς εὐπάτριδας· ἀλλὰ τί; *Τοὺς συνεργούς μου ἐν Κυρίῳ*. Τούτου δὲ οὐδὲν ἴσον εἰς ἀρετῆς γένοιτ' ἂν λόγον· καὶ οὐκ ἐντεῦθεν μόνον, ἀλλὰ καὶ ἐξ ὧν παρ' αὐτοῖς ἔμεινεν, οὐχὶ ἡμέραν μίαν, δύο καὶ τρεῖς, ἀλλ' ἐνιαυτοὺς ὁλοκλήρους δύο, τὴν αὐτῶν ἔστιν ἀρετὴν ἰδεῖν. Ὥσπερ γὰρ οἱ τῶν ἔξωθεν ἄρχοντες οὐκ ἂν ἔλοιντο παρ' εὐτελέσι καὶ ταπεινοῖς καταχθῆναί ποτε, ἀλλ' ἐπιζητοῦσι λαμπρὰς οἰκίας ἐπισήμων ἀνδρῶν τινων, ὥστε μὴ τὴν τῶν ὑποδεχομένων αὐτοὺς εὐτέλειαν τῷ μεγέθει τῆς ἀξίας λυμήνασθαι· οὕτω καὶ οἱ ἀπόστολοι ἐποίουν· οὐ πρὸς τυχόντας κατήγοντο, ἀλλ' ὥσπερ ἐκεῖνοι οἰκίας λαμπρότητα, οὕτω τῆς ψυχῆς ἀρετὴν ἐπεζήτουν οὗτοι, καὶ μετὰ ἀκριβείας διερευνώμενοι τοὺς ἐπιτηδείους αὐτοῖς, πρὸς ἐκείνους κατήγοντο. Καὶ γὰρ καὶ νόμος παρὰ τοῦ Χριστοῦ τοῦτο κελεύων ἔκειτο. *Εἰς ἣν γὰρ πόλιν*, φησὶν, *ἢ οἰκίαν εἰσέλθητε, ἐρωτήσατε τίς ἐν αὐτῇ ἄξιός ἐστι, κἀκεῖ μείνατε*. Ὥστε ἄξιοι Παύλου ἦσαν οὗτοι· εἰ δὲ ἄξιοι Παύλου, τῶν ἀγγέλων ἦσαν ἄξιοι. Ἐγὼ τὸ δωμάτιον ἐκεῖνο, καὶ οὐρανὸν καὶ Ἐκκλησίαν θαῤῥῶν ἂν προσείποιμι. Ὅπου γὰρ Παῦλος ἦν, ἐκεῖ καὶ ὁ Χριστὸς ἦν. *Εἰ δοκιμὴν ἐπιζητεῖτε*, φησὶ, *τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ;* Ὅπου δὲ Χριστὸς ἦν, ἐκεῖ καὶ ἄγγελοι συνεχῶς ἐφοίτων.

Οἱ δὲ καὶ πρὸ τούτου παρασχόντες ἑαυτοὺς ἀξίους τῆς τοῦ Παύλου θεραπείας, ἐννόησον τίνες ἐγένοντο, ἔτεσι δύο συνοικοῦντες αὐτῷ, καὶ σχῆμα, καὶ βάδισμα, καὶ βλέμμα, καὶ τρόπον στολῆς, καὶ εἰσόδους καὶ ἐξόδους, καὶ τἆλλα πάντα παρατηροῦντες. Ἐπὶ γὰρ τῶν ἁγίων οὐχὶ τὰ ῥήματα ταῦτα μόνον, οὐδὲ αἱ διδασκαλίαι καὶ αἱ παραινέσεις, ἀλλὰ καὶ ἡ λοιπὴ τοῦ βίου πᾶσα ἀναστροφὴ ἀρκοῦσα γένοιτ' ἂν τοῖς [176] προσέχουσι διδασκαλία φιλοσοφίας. Ἐννόησον ἡλίκον ἦν ἰδεῖν Παῦλον, καὶ δειπνοποιούμενον, καὶ ἐπιτιμῶντα, καὶ παρακαλοῦντα, καὶ εὐχόμενον, καὶ δακρύοντα, ἐξιόντα καὶ εἰσιόντα. Εἰ γὰρ δεκατέσσαρας ἐπιστολὰς ἔχοντες μόνον, πανταχοῦ τῆς οἰκουμένης αὐτὰς περιφέρομεν, οἱ τὴν πηγὴν τῶν ἐπιστολῶν ἔχοντες, οἱ τὴν γλῶτταν τῆς οἰκουμένης, οἱ τὸ φῶς τῶν Ἐκκλησιῶν, οἱ τὸν θεμέλιον τῆς πίστεως, οἱ τὸν στῦλον καὶ τὸ ἑδραίωμα τῆς ἀληθείας, τίνες οὐκ ἂν ἐγένοντο ἀγγέλῳ τοιούτῳ συζῶντες; Εἰ γὰρ τὰ ἱμάτια αὐτοῦ δαίμοσιν ἦν φοβερὰ, καὶ τοσαύτην εἶχον ἰσχὺν, ἡ συνοίκησις αὐτοῦ πόσην οὐκ ἂν ἐπεσπάσατο Πνεύματος χάριν; Τὸ γὰρ τὴν κλίνην ὁρᾷν τὴν Παύλου, τὸ γὰρ τὴν στρωμνὴν, τὸ γὰρ τὰ ὑποδήματα, οὐκ ἂν ἦρκεσεν αὐτοῖς εἰς ὑπόθεσιν κατανύξεως διηνεκοῦς; Εἰ γὰρ οἱ δαίμονες ὁρῶντες αὐτοῦ τὰ ἱμάτια ἔφριττον, πολλῷ μᾶλλον οἱ πιστοὶ καὶ συζήσαντες αὐτῷ κατενύσσοντο βλέποντες αὐτά. Ἄξιον δὲ κἀκεῖνο ἐξετάσαι, τίνος ἕνεκεν, προσαγορεύων, τὴν Πρίσκιλλαν προτέθεικε τοῦ ἀνδρός. Οὐ γὰρ εἶπεν, Ἀσπάσασθε Ἀκύλαν καὶ Πρίσκιλλαν, ἀλλὰ, Πρίσκιλλαν καὶ Ἀκύλαν. Οὐδὲ γὰρ τοῦτο ἁπλῶς ἐποίησεν, ἀλλ' ἐμοὶ δοκεῖ πλείονα αὐτῇ συνειδέναι τοῦ ἀνδρὸς εὐλάβειαν. Καὶ ὅτι οὐ στοχασμὸς τὸ εἰρημένον, ἔξεστι καὶ ἀπὸ τῶν Πράξεων τοῦτο μαθεῖν. Τὸν γὰρ Ἀπολλὼ, ἄνδρα λόγιον ὄντα καὶ δυνατὸν ἐν ταῖς Γραφαῖς, καὶ τὸ βάπτισμα Ἰωάννου μόνον εἰδότα, αὕτη λαβοῦσα κατήχησε τὴν ὁδὸν τοῦ Θεοῦ, καὶ διδάσκαλον ἀπηρτισμένον ἐποίησεν. Οὐ γὰρ αἱ ἐπὶ τῶν ἀποστόλων γυναῖκες ταῦτα ἐμερίμνων, ἅπερ αἱ νῦν, ὅπως λαμπρὰ ἱμάτια περιβάλοιντο, καὶ ἐπιτρίμμασι καὶ ὑπογραφαῖς τὴν ὄψιν τὴν ἑαυτῶν καλλωπίσαιεν, καὶ τοὺς ἄνδρας τοὺς ἑαυτῶν ἐνάγχουσαι, τῆς γείτονος καὶ τῆς ὁμοτίμου πολυτελεστέραν ἀναγκάζουσαι πρίασθαι στολὴν, καὶ λευκοὺς ἡμιόνους, καὶ χρυσοπάστους χαλινοὺς, καὶ θεραπείαν εὐμούχων, καὶ πολὺν θεραπαινίδων ἑσμὸν, καὶ τὴν ἄλλην ἅπασαν τὴν καταγέλαστον φαντασίαν· ἀλλὰ ταῦτα πάντα ἀποδεισάμεναι, καὶ τὸν κοσμικὸν ἀποβαλοῦσαι τῦφον, ἓν μόνον ἐζήτουν, ὅπως κοινωνοὶ γένωνται τῶν ἀποστόλων, καὶ τῆς θήρας αὐτῶν μετάσχοιεν τῆς αὐτῆς. Διὰ τοῦτο οὐκ αὐτὴ μόνη τοιαύτη, ἀλλὰ καὶ αἱ λοιπαὶ πᾶσαι. Καὶ γὰρ περὶ Περσίδος τινός φησιν, *Ἥτις πολλὰ ἐκοπίασεν εἰς ἡμᾶς*, καὶ Μαρίαν καὶ Τρύφαιναν ἀπὸ τούτων θαυμάζει τῶν πόνων, ὅτι ἐκοπίων μετὰ τῶν ἀποστόλων, καὶ πρὸς τοὺς αὐτοὺς ἀγῶνας ἀπεδύσαντο. Καὶ πῶς Τιμοθέῳ γράφων φησὶ, *Γυναικὶ δὲ διδάσκειν οὐκ ἐπιτρέπω, οὐδὲ αὐθεντεῖν τοῦ ἀνδρός;* Ὅταν καὶ ὁ ἀνὴρ εὐλαβὴς ᾖ, καὶ τὴν αὐτὴν πίστιν κεκτημένος, καὶ τῆς αὐτῆς σοφίας μετέχων· ὅταν δὲ ἄπιστος ᾖ καὶ πεπλανημένος, οὐκ ἀποστερεῖ τὴν αὐθεντίαν τῆς διδασκαλίας αὐτήν. Κορινθίοις γοῦν ἐπιστέλλων λέγει· *Καὶ γυνὴ ἥτις ἔχει ἄνδρα ἄπιστον, μὴ ἀφιέτω αὐτόν. Τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις;* Πῶς δὲ ἂν ἔσωσεν ἡ πιστὴ γυνὴ τὸν ἄνδρα τὸν ἄπιστον; Κατηχοῦσα δηλονότι καὶ διδάσκουσα [177] καὶ ἐνάγουσα πρὸς τὴν πίστιν, ὥσπερ οὖν καὶ αὕτη Ἀπολλὼ ἡ Πρίσκιλλα. Ἄλλως δὲ, ὅταν λέγῃ, *Γυναικὶ διδάσκειν οὐκ ἐπιτρέπω*, περὶ τῆς ἐν τῷ βήματι διδασκαλίας λέγει, περὶ τῆς ἐν κοινῷ διαλέξεως, καὶ τῆς κατὰ τὸν ἱερωσύνης λόγον· ἰδίᾳ δὲ παραινεῖν καὶ συμβουλεύειν οὐκ ἐκώλυσεν. Οὐ γὰρ ἂν, εἰ κεκωλυμένον ἦν, ταύτην ἐπῄνεσε τοῦτο ποιοῦσαν.

δ'. Ἀκουέτωσαν ἄνδρες, ἀκουέτωσαν ταῦτα καὶ γυναῖκες· ἐκεῖναι μὲν, ἵνα τὴν ὁμόφυλον καὶ συγγενῆ μιμήσωνται· οὗτοι δὲ, ἵνα μὴ γυναικὸς ἀσθενέστεροι φαίνωνται. Τίνα γὰρ ἔξομεν ἀπολογίαν, τίνα συγγνώμην, ὅταν γυναικῶν τοσαύτην προθυμίαν ἐπιδεικνυμένων καὶ τοσαύτην φιλοσοφίαν, ἡμεῖς τοῖς τοῦ κόσμου πράγμασιν ὦμεν συνδεδεμένοι διηνεκῶς; Ταῦτα καὶ ἄρχοντες μανθανέτωσαν, καὶ ἀρχόμενοι, καὶ ἱερεῖς, καὶ οἱ τῶν λαϊκῶν τὴν τάξιν ἔχοντες, ἵν' ἐκεῖνοι μὲν μὴ τοὺς πλουτοῦντας θαυμάζωσι, μηδὲ τὰς περιφανεῖς διώκωσιν οἰκίας, ἀλλ' ἀρετὴν μετὰ πενίας ζητῶσι, καὶ τοῖς πτωχοτέροις τῶν ἀδελφῶν μὴ ἐπαισχύνωνται, μηδὲ τὸν σκηνοποιὸν, καὶ τὸν βυρσοδέψην, καὶ τὸν πορφυροπώλην, καὶ τὸν χαλκοτύπον παρατρέχοντες, τοὺς ἐν δυναστείαις θεραπεύσωσιν· οἱ δὲ ἀρχόμενοι, ἵνα μὴ νομίζωσιν εἶναι κώλυμα πρὸς τὴν ὑποδοχὴν τῶν ἁγίων, ἀλλ' ἐννοοῦντες

τὴν χήραν, ἢ τὸν Ἠλίαν ὑπεδέξατο, δράκα ἀλεύρου μόνον ἔχουσα, καὶ τούτους, οἳ τὸν Παῦλον διετίαν ἐξένισαν, τὰς οἰκίας διανοίγωσι τοῖς δεομένοις, καὶ πάντα τοῖς ξένοις ὥσι κοινὰ κεκτημένοι. Μὴ γάρ μοι τοῦτο εἴπῃς, ὅτι οἰκέτας οὐκ ἔχεις διακονουμένους. Κἂν γὰρ μυρίους ἔχῃς, ὁ Θεός σε κελεύει διὰ σαυτοῦ τῆς φιλοξενίας τὸν καρπὸν τρυγᾷν. Διὰ τοῦτο Παῦλος χήρᾳ γυναικὶ διαλεγόμενος, καὶ κελεύων αὐτὴν ξενοδοχεῖν, οὐ δι' ἑτέρων, ἀλλὰ δι' ἑαυτῆς τοῦτο ἐπέταττεν. Εἰπὼν γὰρ, *Εἰ ἐξενοδόχησεν*, ἐπήγαγεν, *Εἰ ἁγίων πόδας ἔνιψεν*. Οὐκ εἶπεν, εἰ χρήματα ἐδαπάνησεν, οὐδὲ, εἰ τοῖς οἰκέταις ἐκέλευσε τοῦτο ποιῆσαι, ἀλλ', εἰ δι' ἑαυτῆς τοῦτο εἰργάσατο. Διὰ τοῦτο καὶ ὁ Ἀβραὰμ τριακοσίους ὀκτὼ καὶ δέκα οἰκογενεῖς ἔχων, αὐτὸς ἐπὶ τὴν ἀγέλην ἔτρεχε, καὶ τὸν μόσχον ἐβάσταζε, καὶ τὰ ἄλλα ἅπαντα διηκόνει, καὶ τὴν γυναῖκα κοινωνὸν ἐποίει τῶν τῆς φιλοξενίας κερδῶν Διὰ τοῦτο καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ ἐν φάτνῃ τίκτεται, καὶ ἐν οἰκίᾳ τικτόμενος τρέφεται, καὶ αὐξηθεὶς οὐκ εἶχε ποῦ τὴν κεφαλὴν κλίνῃ, ἵνα σε παιδεύσῃ διὰ πάντων μὴ πρὸς τὰ λαμπρὰ τοῦ βίου τούτου κεκτῆσθαι πράγματα, ἀλλ' εὐτελείας εἶναι ἐραστὴν πανταχοῦ, καὶ πτωχείαν διώκειν καὶ περιουσίαν φεύγειν, καὶ ἔσωθεν καλλωπίζεσθαι. *Πᾶσα γὰρ ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως*, φησὶν, *ἔσωθεν*. Ἐὰν ἔχῃς προαίρεσιν φιλόξενον, ἅπασαν τῆς φιλοξενίας ἔχεις τὴν θήκην, κἂν ὀβολὸν ᾖς κεκτημένος μόνον· ἂν δὲ μισάνθρωπος ᾖς καὶ μισόξενος, κἂν τὰ πάντα ᾖς περιβεβλημένος πράγματα, ἐστενοχώρηταί σοι τοῖς ξένοις ἡ οἰκία. Οὐκ εἶχεν αὕτη κλίνας ἀργυρενήλατους, ἀλλ' εἶχε σωφροσύνην πολλήν· οὐκ εἶχε στρωμνὴν, ἀλλὰ προαίρεσιν ἐκέκτητο προσηνῆ καὶ φιλόξενον· οὐκ εἶχε κίονας ἀπαστράπτοντας, ἀλλ' εἶχε ψυχῆς [178] κάλλος ἀπολάμπον· οὐκ εἶχε τοίχους μαρμάροις περιβεβλημένους, οὐδὲ ἔδαφος ψηφῖσι διηνθισμένον, ἀλλ' ἦν αὐτὴ ναὸς τοῦ Πνεύματος. Ταῦτα ἐπῄνεσεν ὁ Παῦλος, τούτων ἠράσθη· διὰ ταῦτα ἔτη δύο μείνας ἐπὶ τῆς οἰκίας οὐκ ἀπανίστατο· διὰ ταῦτα αὐτῶν μέμνηται διηνεκῶς, καὶ ἐγκώμιον αὐτοῖς συντίθησι μέγα καὶ θαυμαστὸν, οὐχ ἵνα αὐτοὺς λαμπροτέρους ἐργάσηται, ἀλλ' ἵνα τοὺς λοιποὺς εἰς τὸν αὐτὸν ἀγάγῃ ζῆλον, καὶ πείσῃ μακαρίζειν, οὐχὶ τοὺς πλουτοῦντας, οὐδὲ τοὺς ἐν ἀρχαῖς ὄντας, ἀλλὰ τοὺς φιλοξένους, τοὺς ἐλεήμονας, τοὺς φιλανθρώπους, τοὺς πολλὴν περὶ τοὺς ἁγίους φιλοφροσύνην ἐπιδεικνυμένους.

ε'. Ταῦτα δὴ καὶ ἡμεῖς ἀπὸ τῆς προσρήσεως ταύτης μαθόντες, διὰ τῶν ἔργων αὐτῶν ἐπιδειξώμεθα· καὶ μήτε τοὺς πλουτοῦντας ἁπλῶς μακαρίζωμεν, μήτε τοὺς πτωχοὺς ἐξευτελίζωμεν, μηδὲ ἐπαισχυνώμεθα τέχναις, μηδὲ ὄνειδος εἶναι νομίζωμεν ἐργασίαν, ἀλλὰ ἀργίαν, καὶ τὸ μὴ ἔχειν τι ποιεῖν. Εἰ γὰρ ὄνειδος ἦν τὸ ἐργάζεσθαι, οὐκ ἂν αὐτὸ μετῆλθεν ὁ Παῦλος, οὐκ ἂν ἐπ' αὐτῷ μεῖζον ἐφρόνησεν, οὕτω λέγων· *Ἐὰν γὰρ εὐαγγελίζωμαι, οὐκ ἔστι μοι καύχημα. Τίς οὖν μοί ἐστιν ὁ μισθός; Ἵνα εὐαγγελιζόμενος ἀδάπανον θήσω τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ*. Εἰ δὲ τέχνη ὄνειδος ἦν, οὐκ ἂν τοὺς μὴ ἐργαζομένους ἐκέλευσε μηδὲ ἐσθίειν. Ἁμαρτία γὰρ μόνον ἐστὶν ὄνειδος· ταύτην δὲ ἀργία τίκτειν εἴωθε, καὶ οὐ μίαν καὶ δύο καὶ τρεῖς μόνον, ἀλλὰ πᾶσαν ὁμοῦ τὴν πονηρίαν. Διὰ τοῦτο καί τις σοφὸς δεικνὺς, ὅτι πᾶσαν τὴν κακίαν ἐδίδαξεν ἡ ἀργία, καὶ περὶ οἰκετῶν διαλεγόμενός φησιν· *Ἔμβαλε αὐτὸν εἰς ἔργον, ἵνα μὴ ἀργῇ*. Ὅπερ γάρ ἐστιν ὁ χαλινὸς τῷ ἵππῳ, τοῦτο τὸ ἔργον τῇ φύσει τῇ ἡμετέρᾳ. Εἰ καλὸν ἦν ἡ ἀργία, πάντα ἂν ἄσπαρτα καὶ ἀνήροτα ἡ γῆ ἀνεβλάστανεν· ἀλλ' οὐδὲν τοιοῦτον ἐργάζεται. Πρώην μὲν οὖν ἐκέλευσεν ἀνήροτα πάντα ἐκβαλεῖν ὁ Θεός· νυνὶ δὲ οὐκ ἐποίησεν οὕτως, ἀλλὰ καὶ ζεῦξαι βόας, καὶ ἄροτρον ἑλκύσαι, καὶ αὔλακα ἀνατεμεῖν, καὶ σπέρματα καταβάλλειν, καὶ ἑτέροις πολλοῖς τρόποις θεραπεῦσαι καὶ ἄμπελον καὶ δένδρα καὶ σπέρματα τοῖς ἀνθρώποις ἐνομοθέτησεν, ἵν' ἡ τῆς ἐργασίας ἀσχολία πάσης ἀπάγῃ πονηρίας τὴν τῶν ἐργαζομένων διάνοιαν. Ἐξ ἀρχῆς μὲν οὖν, ἵνα τὴν δύναμιν ἐπιδείξηται τὴν ἑαυτοῦ, χωρὶς τῶν πόνων τῶν ἡμετέρων ἅπαντα ἀναδοθῆναι παρεσκεύασε· *Βλαστησάτω γὰρ ἡ γῆ βοτάνην χόρτου*, φησί· καὶ πάντα ἐκόμα εὐθέως· μετὰ δὲ ταῦτα οὐχ οὕτως· ἀλλὰ καὶ διὰ τῶν ἡμετέρων αὐτὰ πόνων ἐκφέρεσθαι ἐκέλευσεν ἐκ τῆς γῆς, ἵνα μάθῃς ὅτι διὰ τὸ χρήσιμον ἡμῖν καὶ λυσιτελὲς τὸν πόνον εἰσήγαγε. Καὶ δοκεῖ μὲν εἶναι κόλασις καὶ τιμωρία τὸ ἀκοῦσαι, *Ἐν ἱδρῶτι τοῦ προσώπου σου φάγῃ τὸν ἄρτον σου*· τὸ δὲ ἀληθὲς, νουθεσία τίς ἐστι καὶ σωφρονισμὸς, καὶ τῶν τραυμάτων τῶν ἀπὸ τῆς ἁμαρτίας γενομένων φάρμακον. Διὰ ταῦτα καὶ Παῦλος εἰργάζετο διηνεκῶς, οὐκ ἐν ἡμέρᾳ μόνῃ, ἀλλὰ καὶ ἐν αὐτῇ τῇ νυκτί· καὶ τοῦτο βοᾷ λέγων· *Νυκτὸς γὰρ καὶ ἡμέρας ἐργαζόμενοι, πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν*. Καὶ οὐχ ἁπλῶς τέρψεως ἕνεκεν καὶ ψυχαγωγίας τὸ ἔργον μετῄει, καθάπερ πολλοὶ τῶν ἀδελφῶν, ἀλλὰ τοσοῦτον ἐπεδείκνυτο [179] περὶ αὐτὸ πόνον, ὡς καὶ ἑτέροις δυνηθῆναι ἐπικουρῆσαι. *Ταῖς γὰρ χρείαις μου*, φησὶ, *καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται*. Ἄνθρωπος δαίμοσιν ἐπιτάττων, τῆς οἰκουμένης διδάσκαλος ὤν, τοὺς τὴν γῆν οἰκοῦντας ἅπαντας ἐπιτραπεὶς, καὶ τὰς ὑφ' ἡλίῳ κειμένας Ἐκκλησίας ἁπάσας, καὶ δήμους καὶ ἔθνη καὶ πόλεις μετὰ πολλῆς θεραπεύων ἐπιμελείας, νύκτα καὶ ἡμέραν εἰργάζετο, καὶ οὐδὲ μικρὸν ἀνέπνει τῶν πόνων ἐκείνων. Ἡμεῖς δὲ, οὐδὲ τὸ μυριοστὸν τῆς ἐκείνου φροντίδος μετιόντες, μᾶλλον δὲ οὐδὲ εἰς νοῦν λαβεῖν δυνάμενοι, διατελοῦμεν ἐν ἀργίᾳ ζῶντες διηνεκῶς. Καὶ ποίαν ἕξομεν ἀπολογίαν, ἢ τίνα συγγνώμην, εἰπέ μοι; Ἐντεῦθεν ἅπαντα εἰς τὸν βίον εἰσενήνεκται τὰ κακὰ, ὅτι πολλοὶ μεγίστην ἀξίαν εἶναι νομίζουσι, τὸ μὴ τὰς ἑαυτῶν μεταχειρίζειν τέχνας, καὶ ἐσχάτην κατηγορίαν, τὸ φανῆναί τι τοιοῦτον εἰδότας. Καὶ Παῦλος μὲν οὐκ ἠσχύνετο ὁμοῦ καὶ σμίλην μεταχειρίζων, καὶ δέρματα ῥάπτων, καὶ τοῖς ἐν ἀξιώμασι διαλεγόμενος, ἀλλὰ καὶ ἐνεκαλλωπίζετο τῷ πράγματι, μυρίων πρὸς αὐτὸν λαμπρῶν καὶ ἐπισήμων ἀφικνουμένων ἀνθρώπων. Καὶ οὐ μόνον οὐκ ἐπῃσχύνετο ταῦτα ποιῶν, ἀλλὰ καὶ καθάπερ ἐν στήλῃ, χαλκῇ ταῖς ἐπιστολαῖς ἐξεπόμπευσεν ἑαυτοῦ τὸ ἐπιτήδευμα Ὅπερ οὖν ἐξ ἀρχῆς ἔμαθε, καὶ μετὰ ταῦτα αὐτὸ μετεχείριζε, καὶ τότε μετὰ τὸ εἰς οὐρανὸν τρίτον ἁρπαγῆναι, μετὰ τὸ εἰς παράδεισον ἀπενεχθῆναι, μετὰ τὸ κοινωνῆσαι ῥημάτων ἀπορ-

solum suppeteret (3. *Reg.* 17. 10. *sqq.*), et istorum qui Paulum ad duos annos hospitem aluerunt, domos egenis aperiant, et omnia hospitibus communia esse velint, quæ possident. Noli enim hoc mihi dicere, famulos tibi nullos esse, qui inserviant. Licet enim haberes innumeros, præcipit Deus, ut per te ipse hospitalitatis fructum decerpas. Propterea Paulus cum mulierem viduam alloqueretur, eamque hospitalem esse juberet, non per alias, sed per seipsam ut id ageret imperavit. Cum enim dixisset, *Si hospitio recepit*, adjecit, *Si sanctorum pedes lavit* (1. *Tim.* 5. 10). Non dixit, Si pecunias expendit, neque, Si famulis, ut id agerent, imperavit, sed, Si per se ipsam hoc præstitit. Propterea et Abraham, cui trecenti et octodecim erant vernaculi, ad gregem ipse perrexit, et vitulum gestavit, et alia cuncta ministeria obiit, atque uxorem in consortium fructuum hospitalitatis adscivit. Propterea quoque Dominus noster Jesus Christus et in præsepio nascitur, et in domo natus educatur, neque adultus habuit ubi caput suum reclinaret, ut his omnibus te doceret, ut res istius vitæ splendidas ad stuporem ne mireris, sed vilioris conditionis amator ubique sis, ac paupertatis studiosus, opum abundantiam evites, et intus ornari cures. *Omnis* quippe *gloria filiæ regis ab intus* (*Psal.* 44. 14), inquit Scriptura. Si proposito animi tui hospitalitatis amans sis, omnem hospitalitatis thecam habes, licet obolum tantum possideas : sin autem inhumanus sis, et hospites oderis, licet innumeris rebus circumfluas, nimis angusta est pro peregrinis domus tua. Non habebat ista lectos argento ornatos, sed summam habebat castitatem : non habebat stragulum, sed animi proposito erat mansueto et hospitali : non columnas habebat fulgentes, sed animæ pulchritudinem habebat emicantem : non marmore convestitos habebat parietes, non gemmis distinctum pavimentum, sed ipsa Spiritus erat templum. Hæc laudavit Paulus, hæc adamavit ; propter hæc cum in ædibus ad duos annos commoratus esset, inde non recessit : propterea meminit semper ipsorum, eorumque laudationem eximiam illis contexit et mirificam, non ut clariores illos reddat, sed ut cæteros ad eumdem zelum accendat, eisque persuadeat, ut beatos prædicent, non eos qui divites sunt, neque qui gerunt magistratus, sed qui hospitales et misericordes sunt, et benigni, quique multam erga sanctos exhibent comitatem.

5. *Epilogus sermonis et cohortatio moralis ad opus manuum. Non debet nos pudere laboris et opificii* — Hæc igitur cùm nos quoque ex hac salutatione didicerimus, operibus ipsis specimen eorum edamus, neque divites temere beatos prædicemus, neque pauperes vilipendamus, neque nos pudeat artium, nec opificium probrum esse ducamus, sed otium, et nulli occupationi vacare. Si enim probrum esset operari, non exercuisset artem ejusmodi Paulus, neque ea de causa magis gloriatus esset, ita dicens : *Si enim evangelizavero, non est mihi gloria. Quæ est ergo merces mea? Ut evangelium prædicans sine sumptu ponam evangelium Christi* (1. *Cor.* 9. 16. 18). Quod si probrum esset ars, nequaquam eos qui non operarentur, etiam manducare vetuisset (2. *Thess.* 3. 10). Solum enim peccatum est probrum : at illud ex otio nasci solet, nec unum aut duo vel tria tantum, sed omnis simul improbitas. Propterea sapiens etiam quidam ostendens omnem malitiam docuisse otium, et verba faciens de servis ait : *Mitte illum in operationem, ne vacet* (*Eccli.* 33. 28). Quod enim est frænum equo, id est opus naturæ nostræ. Si bonum quid esset otium, omnia sine semente et agricultura terra produceret : atqui nihil tale præstat. Olim igitur terram inaratam ferre cuncta præcepit Deus : jam vero non ita fecit, sed et boves jungere, et vomerem trahere, et sulcum ducere, et semen jacere, atque aliis multis modis colere et vitem et arbores et semina hominibus imperavit, ut operationis occupatio mentem eorum, qui se operibus exercerent, ab omni improbitate revocaret. Principio quidem, ut potentiam suam ostenderet, effecit ut omnia sine nostris laboribus provenirent: *Germinet enim terra herbam fœni* (*Gen.* 1. 11), inquit, et statim cuncta vernabant ; postea vero non ita ; sed et nostrorum laborum opera jussit illa e terra produci, ut discas ob utilitatem et commodum nostrum laborem esse invectum. Ac videtur quidem pœna et supplicium esse cum audis : *In sudore vultus tui vesceris pane tuo* (*Gen.* 3. 19) : re autem vera quædam est admonitio et castigatio, et vulnerum, quæ peccatum inflixit, medela. Quam ob causam et Paulus operabatur perpetuo, non interdiu tantum, sed etiam ipsa nocte : quod et ipse clamans testatur : *Nocte enim et die operantes, ne quem vestrum gravaremus* (1. *Thess.* 2 9). Neque vero temere delectationis, aut recreandi animi causa opus tractabat, sicut multi fratres, sed tanto se labore exercebat, ut et cæteris subsidio esse posset. *Ad ea enim quæ mihi opus erant, et iis qui mecum sunt, ministraverunt manus istæ* (*Act.* 20. 34). Homo qui dæmonibus imperabat, qui doctor erat orbis terrarum, cui omnium, qui terram incolunt, fuerat cura commissa, qui cunctas sub sole positas Ecclesias, et populos et nationes, et urbes summa sollicitudine curabat, nocte et die operabatur, ac ne tantillum quidem ab illis laboribus respirabat. Nos vero, quibus ne millesima quidem illius curarum pars incumbit, vel potius qui ne mente quidem eas capere possumus, in otio perpetuo vitam ducimus. Qua vero digni excusatione, vel qua tandem venia censebimur? Inde cuncta in genus humanum mala dimanarunt, quod multi in eo maximum decus esse positum arbitrentur, ut suas artes minime tractent, et summo sibi crimini ducant, si earum peritiam præ se ferant. Ac Paulum quidem non pudet simul et scalprum manu tractare, pelles consuere, et viros alloqui in dignitate constitutos : sed et re illa gloriabatur, cum ad eum viri clari et illustres ventitarent. Neque tantum hæc illum agere non pudebat, sed etiam in epistolis suis tamquam in æreo cippo, quam profiteretur artem, divulgabat. Quod igitur ab initio didicerat, illud et postea tractabat, idque postquam fuerat tertium raptus in cælum, postquam translatus fuerat in paradisum, postquam

illi Deus arcana verba communicaverat : nos vero, qui ne calceamentorum quidem ejus pretio æstimandi sumus, nobis ea probro ducimus, quibus se ille jactabat, et singulis quidem diebus dum delinquimus, non convertimur, neque probrum esse censemus; ex justis autem laboribus vivere tamquam turpe ac ridiculum evitamus. Quæ tandem igitur, quæso, nobis salutis spes reliqua erit? Quem enim pudet, oportet peccati pudere, ac Deum offendisse, atque aliquid eorum quæ agenda non sunt agere, sed artibus et opificiis gloriari. Sic enim fiet, ut et pravas cogitationes operum occupationibus ex mente facile depellamus, et egenis subsidio simus, et aliorum januis molesti non simus, et Christi legem adimpleamus, qui dixit : *Beatius est dare, quam accipere* (*Act.* 20. 35). Propterea namque nobis datæ sunt manus, ut nos ipsos juvemus, et iis qui corpore mutilati sunt, ex rebus nostris, quæ necessaria sunt, omnia pro nostra facultate suppeditemus : quod si quis in otio perseveret, sit licet sanus, iis qui febri laborant, est miserior : siquidem illi propter ægritudinem corporis veniam merentur, et facile qui misereatur ipsorum invenient : hi vero qui bonam corporis habitudinem probro afficiunt, merito ab omnibus odio habentur, ut qui et Dei leges violent, et mensam infirmorum lædant, et suam animam deteriorem efficiant. Neque enim hoc solum est mali, quod cum suo sibi labore victum quærere deberent, aliorum ædibus sint importuni, sed quod ipsi omnibus pejores evadant. Nihil enim est, nihil plane in rebus humanis, quod non otio perdatur. Nam et aqua si stet, corrumpitur; si vero currat, cum ubique vagetur, suam virtutem conservat : et ferrum quidem si in otio maneat, mollius ac deterius fit, et rubigine consumitur; quod autem ad opificia transfertur, multo utilius fit, et elegantius, nihiloque minus quam argentum quodvis effulget. Ac terram quidem otiosam cernimus nihil fructuosum producere, sed mala gramina et spinas, et tribulos, et infrugiferas arbores : eam vero quæ multo labore colitur, sativis frugibus abundare. Singulæ denique res, ut uno verbo dicam, ab otio corrumpuntur, a propria vero operatione utiliores redduntur. Hæc igitur omnia cum sciamus, et quantum ab otio incommodum afferatur, quantum ab opere lucrum invehatur, illud fugiamus, hoc sectemur, ut et vitam præsentem honeste traducamus, et egenis de nostris facultatibus subsidio simus, et animam nostram meliorem reddentes æterna bona consequamur : quæ nos omnes utinam assequi contingat, gratia et benignitate Domini nostri Jesu Christi, cum quo Patri, simulque Spiritui sancto gloria, et imperium, nunc et semper et in sæcula sæculorum. Amen.

IN LOCUM PAULI,

SALUTATE PRISCILLAM ET AQUILAM (*Rom.* 16. 3), ET DE COLENDIS DEI SACERDOTIBUS, SERMO 2 (*a*).

1. *Sollicitudo Pauli quanta. Priscilla et Aquila præ omnibus beati.* — Nonne docti estis, nihil in sacris literis inter supervacanea habendum? Nonne didicistis et inscriptiones, et nomina, merasque salutationes diligenter in Scripturis excutienda? Ego sane studiosos arbitror ne laturos quidem, ut verbulum aliquod in sacris Libris contemptum prætereatur, etiamsi tantum nomina recensentur, vel tempus numeretur, vel nuda sit quorumdam salutatio. Attamen ut adhuc certior hæc monitio fiat : age, hodie ad ea quæ nuper in salutatione Priscillæ et Aquilæ relicta sunt, accedamus : tametsi non parum nobis profuerit illud prooemium. Docuit enim nos, quantum bonum sit opus, et quantum malum, otium, et qualis anima Pauli, quam vigil, quam sollicita, quæ non tantum civitatum et populorum, et gentium, sed et singulorum fidelium magnam curam gereret : ostenditque quomodo hospitalitas nec inopia præpediatur, et quod virtute ac pia voluntate ubique opus sit, non divitiis et facultatibus, et quod clarissimi omnium sunt qui Dei timorem habent, etiamsi in extremam sint paupertatem delapsi. Unde Priscilla et Aquila tentoriorum opifices, pauperem agentes vitam, præ regibus omnibus beati prædicantur : et cum alii dignitatibus et potentia inflati, silentio prætereantur, tentoriorum ille opifex una cum uxore toto orbe decantantur (*Act.* 18). Quod si tanta eorum in præsenti vita est gloria, cogita quantis illo die dignabuntur retributionibus et coronis, qui ante illum diem non parvam voluptatem, utilitatem, et gloriam acceperunt, quibus tanti temporis consuetudo cum Paulo fuit (1. *Cor.* 16. 19). Enimvero quod prius dicebam et nunc dico, nec dicere desinam, non solum doctrina, et admonitio, et consilium, sed et ipse sanctorum aspectus, atque vestium amictus, et calceorum modus, multum habet utilitatis ac voluptatis. Etenim inde non exigua vitæ nostræ commoditas accedit, cum discimus, quatenus bi necessariis usi fuerint. Non enim solum utendi modum non sunt transgressi, sed aliquando ne quidem necessariis fruebantur : quin et in fame, et in siti et nuditate versati sunt. Et Paulus quidem imperabat discipulis, dicens : *Habentes autem alimenta et tegumenta, his contenti erimus* (1. *Tim.* 6. 8); et de seipso dicit : *Usque in hanc horam et esurimus, et sitimus, et nudi sumus, et colaphis cædimur* (1. *Cor.* 4. 11). Operæ pretium hic fuerit in medium aliquid afferre, quod ante dicebam, et in sermonem incidit, de quo frequens est quæstio. Et quidnam hoc? Dicebam mo-

(*a*) Collatus cum Vaticano uno et cum Coisliniano 243.

βήτων τῷ Θεῷ· ἡμεῖς δὲ, οὐδὲ τῶν ὑποδημάτων ὄντες ἄξιοι τῶν ἐκείνου, αἰσχυνόμεθα τούτοις, ἐφ' οἷς ἐκεῖνος ἐνηβρύνετο· καὶ καθ' ἑκάστην μὲν ἡμέραν πλημμελοῦντες, οὐδὲ ἐπιστρεφόμεθα, οὐδὲ ὄνειδος εἶναι νομίζομεν· τὸ δὲ ἐκ δικαίων πόνων ζῆν, ὡς αἰσχρὸν καὶ καταγέλαστον φεύγομεν. Τίνα οὖν ἔξομεν ἐλπίδα σωτηρίας, εἰπέ μοι; Τὸν γὰρ αἰσχυνόμενον, ἁμαρτίαν αἰσχύνεσθαι δεῖ, καὶ τὸ τῷ Θεῷ προσκροῦσαι, καὶ τὸ ποιῆσαί τι τῶν οὐ δεόντων, ἐπὶ δὲ τέχναις καὶ ἐργασίαις καὶ ἐναβρύνεσθαι. Οὕτω γὰρ καὶ πονηρὰν ἔννοιαν τῇ τῆς ἐργασίας ἀσχολίᾳ τῆς διανοίας ἐκβαλοῦμεν ῥᾳδίως, καὶ τοῖς δεομένοις ἐπικουρήσομεν, καὶ τὰς ἑτέρων οὐκ ἐνοχλήσομεν θύρας, καὶ τὸν νόμον τοῦ Χριστοῦ πληρώσομεν τὸν εἰπόντα· *Μακάριόν ἐστι διδόναι μᾶλλον ἢ λαμβάνειν*. Διὰ γὰρ τοῦτο χεῖρας ἔχομεν, ἵνα ἑαυτοῖς βοηθῶμεν, καὶ τοῖς τὰ σώματα πεπηρωμένοις ἐκ τῶν ἡμετέρων εἰσφέρωμεν τὰ κατὰ δύναμιν ἅπαντα· ὡς ἐάν τις ἀργῶν διατελῇ, κἂν ὑγιαίνῃ, τῶν πυρεττόντων ἐστὶν ἀθλιώτερος· οἱ μὲν γὰρ παρὰ τῆς ἀσθενείας ἔχουσι συγγνώμην, καὶ τύχοιεν ἂν ἐλέου· οὗτοι δὲ καταισχύνοντες τὴν τοῦ σώματος εὐεξίαν, εἰκότως ἂν παρὰ πάντων μισοῦνται, ὡς καὶ τοὺς τοῦ Θεοῦ παραβαίνοντες νόμους, καὶ τῇ τραπέζῃ τῶν ἀσθενούντων λυμαινόμενοι, καὶ τὴν ψυχὴν τὴν ἑαυτῶν φαυλοτέραν ποιοῦντες. Οὐδὲ γὰρ τοῦτο μόνον ἐστὶ τὸ δεινὸν, ὅτι δέον οἴκοθεν καὶ παρ' ἑαυτῶν τρέφεσθαι, τὰς ἑτέρων ἐνοχλοῦσιν οἰκίας, ἀλλ' ὅτι καὶ πάντων αὐτοὶ γίνονται χείρους. Οὐ γάρ ἐστιν, οὐκ ἔστι τῶν πάντων οὐδὲν, ὃ μὴ διὰ τῆς ἀργίας ἀπόλλυται. Καὶ [180] γὰρ ὕδωρ, τὸ μὲν ἑστηκὸς σήπεται, τὸ δὲ ῥέχον καὶ πανταχοῦ πλανώμενον τὴν ἀρετὴν διασώζει τὴν ἑαυτοῦ· καὶ σίδηρος, ὁ μὲν ἐν ἀργίᾳ κείμενος, ἀπαλώτερός τε καὶ φαυλότερος, ἰῷ πολλῷ δαπανώμενος, γίνεται· ὁ δὲ ἐν ἐργασίαις ὤν, πολὺ χρησιμώτερος καὶ εὐπρεπέστερος, ἀργύρου παντὸς οὐδὲν ἔλαττον ἀποστίλβων. Καὶ γῆν μὲν τὴν ἀργοῦσαν ἴδοι τις ἂν οὐδὲν ὑγιὲς ἐκφέρουσαν, ἀλλὰ πονηρὰς βοτάνας καὶ ἀκάνθας καὶ τριβόλους καὶ ἄκαρπα δένδρα, τὴν δὲ ἐργασίας ἀπολαύουσαν, καρποῖς ἡμέροις κομῶσαν. Καὶ ἕκαστον δὲ τῶν ὄντων, ὡς εἰπεῖν ἁπλῶς, ὑπὸ μὲν τῆς ἀργίας φθείρεται, ὑπὸ δὲ τῆς οἰκείας ἐργασίας χρησιμώτερον γίνεται. Ταῦτα οὖν εἰδότες ἅπαντα, καὶ πόσον μὲν ἀπὸ τῆς ἀργίας τὸ βλάβος, πόσον δὲ ἀπὸ τῆς ἐργασίας τὸ κέρδος, τὴν μὲν φεύγωμεν, τὴν δὲ διώκωμεν, ἵνα καὶ τὸν παρόντα βίον εὐσχημόνως ζήσωμεν, καὶ δεομένοις ἐκ τῶν ἐνόντων ἐπικουρήσωμεν, καὶ τὴν ψυχὴν τὴν ἑαυτῶν ἀμείνω κατασκευάσαντες τύχωμεν τῶν αἰωνίων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, ἅμα τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ ΑΚΥΛΑΝ ΚΑΙ ΠΡΙΣΚΙΛΛΑΝ

Καὶ εἰς τὸ μὴ κακῶς λέγειν τοὺς ἱερεῖς τοῦ Θεοῦ. Λόγος β'.

α'. Ἆρα ἐπαιδεύθητε μηδὲν εἶναι νομίζειν πάρεργον τῶν ἐν τῇ θείᾳ Γραφῇ κειμένων; ἆρα ἐμάθετε καὶ ἐπιγραφὰς καὶ ὀνόματα καὶ ψιλὰς περιεργάζεσθαι προσρήσεις, τὰς ἐν τοῖς θείοις Λογίοις γεγραμμένας [a]; Ἐγὼ μὲν γὰρ οὐδένα οἶμαι λοιπὸν τῶν φιλοπόνων τὸν ἀνεξόμενον παραδραμεῖν τι τῶν ἐν ταῖς Γραφαῖς κειμένων ῥημάτων, κἂν ὀνομάτων ᾖ κατάλογος, κἂν χρόνων ἀριθμὸς, κἂν ψιλὴ πρός τινας πρόσρησις. Πλὴν ἵνα ἀσφαλεστέρα αὕτη ἡ διόρθωσις γένηται, φέρε καὶ τήμερον τὰ λειπόμενα τῆς προσηγορίας τῆς πρὸς Πρίσκιλλαν καὶ Ἀκύλαν ἐπέλθωμεν· καίτοι γε οὐ μικρὰ τὸ προοίμιον αὐτῆς ἡμᾶς ὠφέλησε. Καὶ γὰρ ἐδίδαξεν ἡμᾶς, πόσον [b] μὲν ἀγαθὸν, ἔργον, πόσον δὲ κακὸν, ἀργία, καὶ τίς ἡ Παύλου ψυχὴ, πῶς ἄγρυπνος καὶ μεμεριμνημένη, οὐ κατὰ πόλεις καὶ δήμους καὶ ἔθνη, ἀλλὰ καὶ καθ' ἕνα ἕκαστον τῶν πιστῶν πολλὴν ποιουμένη τὴν πρόνοιαν. Ἔδειξε πῶς οὐδὲν εἰς φιλοξενίαν ἡ πενία γίνεται κώλυμα, καὶ ὅτι οὐ πλούτου καὶ χρημάτων, ἀλλὰ ἀρετῆς πανταχοῦ χρεία καὶ προαιρέσεως εὐλάβειαν ἐχούσης, καὶ ὅτι πάντων εἰσὶ λαμπρότεροι οἱ τὸν τοῦ Θεοῦ φόβον ἔχοντες, κἂν εἰς πενίαν ἐσχάτην κατενεχθῶσι. Τὴν γοῦν Πρίσκιλλαν καὶ Ἀκύλαν, σκηνοποιοὺς ὄντας καὶ χειροτέχνας, καὶ ἐν πτωχείᾳ ζῶντας [c], τῶν βασιλέων πάντων μᾶλλον ἐμακαρίζομεν νῦν· καὶ οἱ μὲν ἐν ἀξιώμασι καὶ δυναστείαις σεσίγηνται, ὁ δὲ σκηνοποιὸς μετὰ τῆς γυναικὸς ᾄδονται πανταχοῦ τῆς οἰκουμένης. Εἰ ἐνταῦθα τοσαύτης ἀπολαύουσι δόξης, ἐννόησον ὅσον κατὰ τὴν ἡμέραν ἐκείνην ἀξιωθήσονται τῶν ἀντιδόσεων καὶ τῶν [181] στεφάνων· καὶ πρὸ τῆς ἡμέρας δὲ ἐκείνης οὐ μικρὰν καὶ ἡδονὴν καὶ ὠφέλειαν καὶ δόξαν ἐκαρπώσαντο [d] νῦν, Παύλῳ τοσοῦτον συζήσαντες χρόνον. Καὶ γὰρ, ὅπερ ἔμπροσθεν ἔλεγον, τοῦτο καὶ νῦν λέγω, καὶ λέγων οὐ παύσομαι, ὅτι οὐχ ἡ διδασκαλία μόνον, οὐδὲ παραίνεσις καὶ συμβουλὴ, ἀλλὰ καὶ αὕτη ἡ ὄψις τῶν ἁγίων πολλὴν εἶχεν ἡδονὴν καὶ ὠφέλειαν, καὶ αὐτὸς τῶν ἱματίων ὁ στολισμὸς, καὶ αὐτὸς τῶν ὑποδημάτων τρόπος. Καὶ γὰρ ἐντεῦθεν πολλή τις εἰς τὸν ἡμέτερον εἰσενήνεκται βίον ὠφέλεια, τὸ μαθεῖν μέχρι ποῦ τοῖς ἀναγκαίοις ἐχρῶντο. Οὐδὲ γὰρ μόνον τὸ μέτρον οὐχ ὑπερέβαινον τῆς χρείας, ἀλλ' ἔστιν ὅπου οὕτε τῆς χρείας αὐτῆς ἀπέλαυον ἁπάσης· ἀλλὰ καὶ ἐν λιμῷ καὶ δίψει καὶ γυμνότητι διετέλεσαν. Καὶ τοῖς μὲν μαθηταῖς ἐπιτάττων ὁ Παῦλος ἔλεγεν· *Ἔχοντες τροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα*· περὶ δὲ ἑαυτοῦ φαίνεται λέγων, ὅτι *Ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ γυμνητεύομεν, καὶ κολαφιζόμεθα*. Ἀλλὰ γὰρ ἃ μεταξὺ ἔλεγον, καὶ μετὰ ταῦτα εἰσῆλθεν, ἀναγκαῖον εἰς μέσον παραθεῖναι [e] πολλὴν ἔχοντα τὴν ζήτησιν. Τί δὲ τοῦτό ἐστιν; Ἔλεγον, ὅτι κ

[a] Vatic. et Coislin. ἐγγεγραμμένας. Editi γεγραμμένας.
[b] Uterque codex ὁπόσον bis.
[c] Vatic. ἐν πενίᾳ ζῶντας.
[d] Duo mss. καρπώσονται
[e] Duo mss. προθεῖναι. Paulo post lidem καὶ ὁ τῶν ὑπ
δημάτων τρόπος τῶν ἀποστολικῶν παρέχει πολλὴν ἡμῖν τ
ὠφέλειαν.

ὁ τῶν ἀποστολικῶν ἱματίων στολισμὸς παρέχει πολλὴν ἡμῖν τὴν ὠφέλειαν· μεταξὺ δέ με ταῦτα λέγοντα εἰσῆλθεν ὁ νόμος τοῦ Χριστοῦ, ὃν ἔθηκεν αὐτοῖς, οὕτω λέγων· *Μὴ κτήσησθε χρυσὸν, μηδὲ ἄργυρον, μηδὲ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν, μηδὲ ὑποδήματα, μηδὲ ῥάβδον εἰς τὴν ὁδόν* [a]· φαίνεται δὲ Πέτρος σανδάλια ἔχων. Ὅτε γοῦν ὁ ἄγγελος καθεύδοντα αὐτὸν ἐξύπνισε, καὶ ἐξήγαγε τοῦ δεσμωτηρίου, φησίν· *Ὑπόδησαι τὰ σανδάλιά σου, καὶ περιβαλοῦ τὸ ἱμάτιόν σου, καὶ ἀκολούθει μοι.* Καὶ Παῦλος δὲ Τιμοθέῳ γράφων λέγει· *Τὸν φελόνην, ὃν ἀπέλιπον ἐν Τρωάδι παρὰ Κάρπῳ, φέρε ἐρχόμενος, καὶ τὰ βιβλία, μάλιστα τὰς μεμβράνας.* Τί λέγεις; ὁ Χριστὸς οὐδὲ ὑποδήματα ἐκέλευσεν ἔχειν, καὶ σὺ φελόνην ἔχεις, καὶ ἕτερος σανδάλια πάλιν; Καὶ εἰ μὲν τῶν εὐτελῶν τινες ἦσαν, καὶ τῶν οὐ πάντοτε τῷ Διδασκάλῳ πειθομένων, οὐκ ἦν ζήτημα τὸ λεγόμενον· ἐπειδὴ δὲ οἱ καὶ τὰς ψυχὰς ἑαυτῶν ἐπιδιδόντες, καὶ κορυφαῖοι καὶ πρῶτοι τῶν μαθητῶν εἰσιν οὗτοι, καὶ πάντα ἐπείθοντο τῷ Χριστῷ, ὁ δὲ Παῦλος οὐ μόνον τὰ ἐπιτεττόμενα ἐποίει, ἀλλὰ καὶ ὑπὲρ τὰ σκάμματα ἐπεπήδα [b], κἀκείνου κελεύοντος ἐκ τοῦ Εὐαγγελίου ζῆν, οὗτος ἐκ τῶν χειρῶν αὐτοῦ ἔζη, πλέον τι τῶν ἐπιτεταγμένων ποιήσας, ἄξιον ὄντως ζητῆσαι, τίνος ἕνεκεν, πάντα αὐτῷ πειθόμενοι, ἐντεῦθα δοκοῦσι παραβαίνειν αὐτοῦ τὸν νόμον. Ἀλλ' οὐ παραβαίνουσιν [c]. Οὐδὲ γὰρ εἰς τοῦτο χρήσιμος ἡμῖν οὗτος ἔσται μόνον ὁ λόγος, εἰς τὴν ὑπὲρ τῶν ἁγίων ἐκείνων ζήτησιν, ἀλλὰ καὶ εἰς τὸ τὰ τῶν Ἑλλήνων ἐμφράξαι στόματα. Καὶ γὰρ πολλοὶ χηρῶν οἰκίας ἀνατρέποντες, ὀρφανοὺς γυμνοῦντες, τὰ πάντων περιβαλλόμενοι, λύχων οὐδὲν ἄμεινον διακείμενοι, ἐκ τῶν ἀλλοτρίων ζῶντες πόνων, ὁρῶντες πολλάκις τινὰς τῶν πιστῶν δι' ἀῤῥωστίαν σώματος πλείονα περιβεβλημένους ἱμάτια, [182] τὸν νόμον εὐθέως ἡμῖν τοῦ Χριστοῦ προβάλλονται, καὶ ταῦτα λέγουσι τὰ ῥήματα· Οὐκ ἐκέλευσεν ὑμῖν ὁ Χριστὸς μὴ ἔχειν δύο χιτῶνας, μηδὲ ὑποδήματα; πῶς οὖν ὑμεῖς παραβαίνετε τὸν νόμον τὸν περὶ τούτων κείμενον; Εἶτα δαψιλὲς γελάσαντες καὶ ἀναχαγχάσαντες, καὶ καταισχύναντες τὸν ἀδελφὸν, ἀποπηδῶσιν. Ἵν' οὖν μὴ ταῦτα γένηται, φέρε καὶ τὴν ἐκείνων ἀναισχυντίαν ἐπιστομίσωμεν. Ἐξῆν μὲν οὖν τοῦτο πρὸς αὐτοὺς μόνον εἰπόντας ἀπαλλαγῆναι. Ποῖον δὲ τοῦτο; Ὅτι εἰ μὲν ἀξιόπιστόν τινα νομίζεις εἶναι τὸν Χριστὸν, εἰκότως ταῦτα προβάλλῃ, καὶ ζητεῖς πρὸς ἡμᾶς· εἰ δὲ ἀπιστεῖς αὐτῷ, τίνος ἕνεκεν προβάλλῃ τὰς νομοθεσίας; Ἀλλ' ὅταν μὲν ἡμῶν κατηγορεῖν ἐθέλῃς, ἀξιόπιστος νομοθέτης ὁ Χριστὸς εἶναί σοι δοκεῖ· ὅταν δὲ αὐτὸν προσκυνεῖν δέῃ καὶ θυμάζειν, οὐδεὶς οὐκέτι σοι λόγος τοῦ κοινοῦ τῆς εἰκουμένης Δεσπότου.

β'. Πλὴν ἀλλ' ἵνα μὴ δι' ἀπορίαν ἀπολογίας τοῦτο λέγειν ἡμᾶς νομίζωσιν, ἐπ' αὐτὴν ἴωμεν λοιπὸν τῶν ζητουμένων τὴν λύσιν. Τίς οὖν ἡ λύσις ἔσται; Ἐὰν ἴδωμεν, τίσι, καὶ πότε, καὶ διὰ τί ταῦτα ἐπέταττεν ὁ Χριστός. Οὐ γὰρ ἁπλῶς αὐτὰ καθ' ἑαυτὰ τὰ λεγόμενα ἐξετάζειν χρὴ, ἀλλὰ καὶ πρόσωπον, καὶ καιρὸν, καὶ αἰτίαν, καὶ πάντα ταῦτα μετὰ ἀκριβείας δεῖ ἐρευνᾶσθαι. Εὑρήσομεν γὰρ ἀκριβῶς σκοποῦντες, ὅτι οὐ πᾶσι ταῦτα ἐπετέτακτο, ἀλλὰ τοῖς ἀποστόλοις μόνοις, καὶ ἐκείνοις δὲ οὐ μέχρι παντὸς, ἀλλὰ μέχρι τινὸς διωρισμένου καιροῦ. Πόθεν τοῦτο δῆλον; Ἐξ αὐτῶν τῶν εἰρημένων· καλέσας γὰρ τοὺς δώδεκα μαθητὰς, εἶπεν αὐτοῖς· *Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε· πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραὴλ· ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαίρετε, δαιμόνια ἐκβάλλετε· δωρεὰν ἐλάβετε· δωρεὰν δότε· μὴ κτήσησθε χρυσὸν, μηδὲ ἄργυρον, μηδὲ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν.* Ὅρα Διδασκάλου σοφίαν, πῶς κοῦφον ἐποίησε τὸ ἐπίταγμα. Πρότερον γὰρ εἰπὼν, *Ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαίρετε, δαιμόνια ἐκβάλλετε*, καὶ τὴν παρ' αὐτοῦ χάριν δαψιλῆ δοὺς αὐτοῖς, τότε ταῦτα ἐπέταξε, τῇ τῶν σημείων περιουσίᾳ ῥᾳδίαν καὶ κούφην ποιῶν τὴν πενίαν ἐκείνην. Οὐκ ἐντεῦθεν δὲ μόνον δῆλον, ὅτι αὐτοῖς μόνοις ταῦτα ἐπετέτακτο, ἀλλὰ καὶ ἐξ ἑτέρων πολλῶν. Καὶ γὰρ τὰς παρθένους ἐκείνας διὰ τοῦτο ἐκόλασεν, ἐπειδὴ ἔλαιον οὐκ εἶχον ἐν ταῖς λαμπάσιν αὐτῶν· καὶ ἑτέροις ἐγκαλεῖ, ὅτι πεινῶντα αὐτὸν εἶδον, καὶ οὐκ ἔθρεψαν, διψῶντα, καὶ οὐκ ἐπότισαν. Τὸν τοίνυν οὐκ ἔχοντα χαλκὸν, οὐδὲ ὑποδήματα, ἀλλ' ἓν ἱμάτιον μόνον, πῶς δυνατὸν ἦν ἕτερον διαθρέψαι, πῶς γυμνὸν περιβαλεῖν, πῶς ἄστεγον εἰς τὴν οἰκίαν εἰσαγαγεῖν; Χωρὶς δὲ τούτων, καὶ ἑτέρωθεν αὐτὸ τοῦτο δῆλον ἔσται καὶ καταφανές. Προσελθόντος γάρ τινος καὶ εἰπόντος, *Διδάσκαλε, τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω;* ἐπειδὴ τὰ τοῦ νόμου κατέλεξεν ἅπαντα, ὁ δὲ περιεργαζόμενος, ἔλεγε· *Ταῦτα πάντα ἐφυλαξάμην ἐκ νεότητός μου· τί ἔτι μοι ὑστερεῖ;* λέγει πρὸς αὐτόν· *Εἰ θέλεις τέλειος εἶναι, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς, καὶ δεῦρο, ἀκολούθει μοι.* Καίτοι εἰ νόμος καὶ [183] πρόσταγμα ἦν, τοῦτο πρῶτον ἐξαρχῆς εἰπεῖν ἔδει, καὶ νομοθετῆσαι, καὶ ἐν προστάγματος τάξει θεῖναι, ἀλλὰ μὴ ἐν συμβουλῇ καὶ παραινέσει αὐτὸ εἰσηγήσασθαι. Ὅταν μὲν γὰρ λέγῃ, *Μὴ κτήσησθε χρυσὸν, μηδὲ ἄργυρον*, ἐπιτάττων λέγει· ὅταν δὲ λέγῃ, *Εἰ ἐθέλεις τέλειος εἶναι*, συμβουλεύων καὶ παραινῶν λέγει. Οὐκ ἔστι δὲ ταὐτὸν συμβουλεύειν καὶ νομοθετεῖν. Ὁ μὲν γὰρ νομοθετῶν, ἐκ παντὸς τρόπου βούλεται τὸ ἐπιταττόμενον γίνεσθαι [d]· ὁ δὲ συμβουλεύων καὶ παραινῶν καὶ τῇ γνώμῃ τοῦ ἀκούοντος ἐπιτρέπων τὴν αἵρεσιν τῶν λεγομένων, κύριον ποιεῖ τοῦ δέξασθαι καὶ μὴ τὸν ἀκροατήν. Διὰ δὴ τοῦτο οὐχ ἁπλῶς εἶπεν, *Ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα*, ἵνα μὴ νόμον εἶναι νομίσῃς τὸ λεγόμενον, ἀλλὰ πῶς; *Εἰ ἐθέλεις τέλειος εἶναι, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα*· ἵνα μάθῃς ὅτι ἐν τῇ γνώμῃ τῶν ἀκουόντων τὸ πρᾶγμα κεῖται.

Ὅτι μὲν οὖν τοῖς ἀποστόλοις ταῦτα ἐπετέταχτο μόνοις, δῆλον ἐντεῦθεν· ἀλλ' οὐδέπω τὴν λύσιν εὑρήκαμεν. Εἰ γὰρ καὶ αὐτοῖς τοῦτο νενομοθέτηται μόνοις, τίνος ἕνεκεν ἐπιταγέντες μηδὲ ὑποδήματα ἔχειν, μηδὲ διπλοῦν ἱμάτιον, εὑρίσκονται, ὁ μὲν σανδάλια κεκτημένος, ὁ δὲ καὶ φελόνην ἔχων; Τί οὖν ἂν εἴποιμεν πρὸς ταῦτα; Ὅτι οὔτε αὐτοὺς μέχρι παντὸς ἀφῆκεν ὑπὸ ταύτην εἶναι τῶν νόμων τὴν ἀνάγκην, ἀλλ' ἐπὶ τὸν σωτήριον ἰέναι μέλλων θάνατον, ἀπέλυσεν αὐτοὺς τῆς νομοθεσίας ταύτης. Πόθεν τοῦτο δῆλον; Ἀπ' αὐτῶν τῶν τοῦ Σωτῆρος ῥημάτων. Ἐπειδὴ γὰρ ἔμελλεν ἐπὶ τὸ πάθος ὁδεύειν, καλέσας αὐτούς φησιν· *Ὅτε ἀπέστειλα ὑμᾶς ἄτερ βαλαντίου καὶ πήρας, μή τινος ὑστερήσατε;* Οἱ δὲ ἀποκριθέντες εἶπον· *Οὐδενός.* Ὁ δὲ εἶπεν αὐτοῖς· *Ἀλλὰ νῦν ὁ ἔχων βαλάντιον, ἀράτω, καὶ πήρ-*

[a] Post ὁδόν Morel. αἴρετε, quæ vox deest in Vatic. et Coislin., et superflua erat.

[b] Mss. ἐπεπήδησε.

[c] Mss. νόμον· οὐ γὰρ δὴ παραβαίνουσιν.

[d] Sic mss. Morel. vero καὶ ἐπιταττόμενον δέχεσθαι.

dum apostolicarum vestium multum nobis conferre utilitatis : sed cum hoc dico, incidit mihi lex quam Christus posuit, dicens : *Non possidete aurum, neque argentum, neque æs in zonis vestris, neque calceos, neque virgam in via* (*Matth.* 10. 9. 10) : manifestum autem est Petrum habuisse sandalia. Unde cum angelus eum dormientem excitaret, et e carcere educeret, ait : *Calcea te sandaliis tuis, et circumda tibi vestimentum tuum, et sequere me* (*Act.* 12. 8). Et Paulus Timotheo scribit : *Penulam quam reliqui Troade apud Carpum, cum venies affer, et libros, præsertim membranas* (2. *Tim.* 4. 13). Quid dicis ? Christus jubet non habere calceos, tu autem penulam habes, et alius sandalia ? Quod si hi tenues quidam essent, magistro non per omnia obtemperantes, nulla erat hic facienda quæstio : sed cum ipsi præcipui sint, ac primates apostolorum, et animas suas impenderent, Christoque per omnia obedirent, et Paulus non solum imperata fecerit, sed et supra scammata saltaverit; cumque præciperet ex Evangelio vivendum, victum ipse manibus suis quæsiverit, plus, quam imperatum erat, faciens (1. *Cor.* 4. 12. *Act.* 20. 34), idcirco dignum est, ut quæramus, quare qui in omnibus Christo parebant. hic legem ejus videantur transgredi ? At non re ipsa transgrediuntur. Hic sermo non in hoc solum utilis erit, ut excusentur sancti illi, sed ut et gentilium obstruantur ora. Quandoquidem multi viduarum domos subvertentes, orphanos nudantes, ipsique omnibus alienis abundantes, et lupis nihilo meliores, ex alienisque laboribus viventes, cum vident interdum fidelium aliquos pluribus ob ægritudinem vestiri amiculis, continuo nobis legem Christi objiciunt, et dicunt : Nonne præcepit vobis Christus, ne habeatis duas tunicas, vel calceamenta (*Luc.* 9. 3) ? Quomodo ergo vos legem illam prævaricamini ? Et post hæc, cum abunde fratrem riserint, et subsannarint, et probris affecerint, discedunt. Igitur ne talia fiant, age et illorum obturemus impudentiam. Et possemus quidem ab eis facile liberari, si hoc unum eis diceremus. Quale hoc ? Si Christum ut fide dignum probas, merito hæc objicis, et a nobis quæris : sin ei non credis, quare legem ejus opponis ? At quando accusare nos vis, dignus tibi videtur fide legislator Christus : quando autem eum admirari oportet et adorare, nullius est apud te momenti totius orbis Dominus ?

2. *Solvitur quæstio, cur Christus jusserit non habere duas tunicas.* — Verum ne hæc inopia defensionis dicere nos putent, ad solutionem ejus, quod quærebatur, veniamus. Quænam ergo erit solutio ? Videndum est in hujusmodi, quibus, et quando, et quare ea Christus imperavit. Non enim obiter, et nude inquirenda sunt hæc : sed operæ pretium fuerit simul et personam, et tempus, et causam et omnia hæc diligenter perscrutari. His enim diligenter consideratis, inveniemus, quod ipsa non sint omnibus imperata, sed solis apostolis : et neque illis in omne, sed ad præscriptum et determinatum tempus. Et unde hoc manifestum ? Ex dictis ipsis : etenim, vocatis duodecim discipulis, dixit eis : *In viam Gentium ne abieritis, et in civitatem Samaritanorum ne intraveritis. Ite potius ad oves domus Israel quæ perierunt : infirmos curate, leprosos mundate, dæmonia ejicite : gratis accepistis, gratis date : ne possideatis aurum vel argentum, vel æs in zonis vestris* (*Matth.* 10. 6-9). Attende quanta magistri sapientia, quomodo leve hoc præceptum fecerit. Nam cum prius dixisset : *Infirmos curate, leprosos mundate, dæmones ejicite* (*Ib. v.* 8), magnamque eis gratiam liberaliter dedisset, tunc tandem hæc imperavit, nimirum paupertatem signorum potestate levem et facilem reddens. Neque ex his solum, sed ex multis aliis manifestum est, solis discipulis esse imperatum. Nam et virgines, quia oleum in lampadibus suis non habebant, punivit (*Matth.* 25. 1-12) : et alios quoque arguit et increpat, quia esurientem ipsum viderunt, et non paverunt, et sitientem non potarunt (*Ib. v.* 41. *sqq.*). Porro is cui non est æs neque calceamentum, sed una tantum vestis, quomodo alium pascere, quomodo nudum vestire, quomodo hospitem in domum inducere poterit ? Sed ad hæc et aliunde clarum esse poterat. Nam accedente et dicente quodam : *Magister, quid faciendo vitam æternam possidebo* (*Matth.* 19. 16)? cum recensita essent omnia, quæ in lege præcepta, et ille curiosius percontaretur, et diceret : *Hæc omnia servavi ab adolescentia mea, quid adhuc mihi deest ?* dicit ad ipsum, *Si vis perfectus esse, vade, vende quæ habes, et da pauperibus, et veni, sequere me* (*Ib. v.* 20. 21). Hic si præcipere voluisset, oportebat hoc principio dicere, et legem in ordine præceptorum ponere, et non tamquam consilium et exhortationem narrare. Enimvero cum dicit, *Nolite possidere aurum, vel argentum* (*Matth.* 10. 9), imperando dicit; cum vero dicit, *Si vis perfectus esse* (*Matth.* 19. 21), consulendo et admonendo dicit. Non est autem idem, consulere, et legem ponere. Nam qui legem statuit, modis omnibus fieri vult quod præcipit : qui vero consulit et adhortatur, sententiæ et arbitrio auditoris permittit, ut ex dictis quod voluerit eligat, sicque faciendorum dominum auditorem relinquit. Propterea non simpliciter dixit, *Vade, vende quæ habes*, ne id legem esse putares : sed quomodo ? *Si vis perfectus esse, vade, vende quæ habes* (*Matth.* 19. 21) : ut discas in arbitrio audientium res esse.

Non semper lege obstringi voluit Christus discipulos. — Apostolis solis ergo hæc fuisse præcepta palam est ; verum quæstio nondum soluta est. Nam si præcepta sunt hæc solis apostolis, cur jussi non habere calceos, vel geminas vestes, inventi sunt alius habere sandalia, alius vero penulam ? Quid igitur ad hæc dicemus? Christus neque apostolos semper hujus legis necessitate obstringi voluit, sed eos absolvit ab hac lege, cum jam ad salutarem crucem iturus esset. Et unde hoc liquet ? Ex Salvatoris sermonibus. Nam passionem aggressurus, vocatis illis dixit, *Cum vos mitterem sine marsupio et pera, aliquidne deerat ? At hi respondentes dixerunt : Nihil. Ipse autem dicebat eis ; Sed nunc qui habet marsupium, tollat, et peram : et qui*

non habet, vendat vestem suam, et mercetur gladium (*Luc.* 22. 35. 36). Jam forte dicet aliquis, apostolos quidem his dictis a crimine absolutos : sed ultra quæritur, quare Christus contraria præceperit : nam interdum dicit, *Ne possideatis peram* (*Matth.* 10. 10) : interdum autem, *Qui habet marsupium, tollat, et peram* (*Luc.* 22. 36). Quare hoc fecit? Sane hæc admodum digne fecit sua sapientia, curaque, quam pro discipulis gerebat. Ab initio enim hoc imperavit, ut opere et experimento potentiæ suæ documentum acciperent, ac deinde cum fiducia per totum orbem terrarum peragrarent. Verum ubi jam potentiam ipsius agnoverunt, optavit ut et ipsi ex se virtutis specimen præberent, neque ipsos ad finem usque gestare voluit; sed ipsos sæpe exposuit permisitque suas ferre tentationes, ne scilicet perpetuo otiosi residerent : et quemadmodum qui artem natandi docent, principio suppositis manibus multa diligentia discipulos gestant; post unum autem et alterum et tertium diem subtracta dextera illis præcipiunt, ut seipsos juvent, et nonnunquam illos parumper mergi sinunt, ita ut et multum salsuginis sorbeant : ita sane et cum discipulis suis Christus faciebat. Nam initio nihil eos pati sinebat, vel parvum vel magnum, sed ubique aderat muniens, et circumvallans eos, faciensque ut omnia ubertim eis affluerent : cum vero tempus esset, ut virilitatem suam ipsi declararent, subtraxit modicum gratiæ, præcipiens eis, ut etiam per seipsos multa perficerent. Atque hanc ob causam, cum non habebant calceos, vel zonam, vel baculum, vel æs, nihil eis deerat : dicit enim, *Num aliquid vobis defuit? Et respondentes dixerunt : Nihil* (*Ibid. v.* 35). Quo tempore autem permisit eis, ut marsupium haberent et peram et calceos, inveniebantur et esurientes, et sitientes, et nudi incedentes. Unde liquidum, quod passim eos periclitari et affligi sineret : nempe, ut mercedem aliquam haberent. Sic videlicet aves pullos suos fovente tamdiu in nido sedent, donec illorum plumæ increscant; quas dum increvisse viderint, illosque aerem secare posse, eos primum circa nidum volitare docent, postea paulo longius : initio eos sequuntur et supportant, dein adminiculo suo totos destituunt. Ita faciebat et Christus. In Palæstina enim, quasi in nido nutricabat discipulos; et postquam eos volare docuit præsens, et gestans, tandem dimisit eos, ut volarent in totum orbem, dato eis mandato, ut sese identidem juvarent. Et quod hoc verum sit, quodque ideo eos omnibus mandatos, et una tantum veste amictos miserit, et absque calceis ambulare jusserit, ut suam virtutem et potentiam cognoscerent, clare sciemus, si illud dictum audiamus. Non enim simpliciter dixit eis, Tollite marsupium et peram; sed priorum memoriam refricando sic dicebat, *Cum mitterem vos sine marsupio et pera, aliquidne deerat?* hoc est, nonne omnia ubertim vobis affluebant, multaque largitate fruebamini? Sed nunc volo vos per vos ipsos certare, et paupertatem experiri; et eapropter lege priori obstrictos nolo, sed permitto, ut et marsupium et peram habeatis, ut ne quasi per inanima instrumenta per vos operari existimer; sed et vos vestram philosophiam exhibere oportet.

3. Quod si adhuc dicis : An non major visa fuisset gratia, si semper ita versati essent? Verum non ita probati fuissent : si enim nullam vel afflictionem, vel inopiam, vel persequutionem, vel angustiam experti essent, mansissent ignavi et pigri : nunc autem, non solum gratiam Christi relucere, sed et subditorum probationem exhiberi volebat, ne postea quidam dicere possent, eos nihil a seipsis attulisse, sed facta esse omnia auxilio Dei. Poterat enim Deus eos usque ad finem in ea abundantia custodire : sed noluit ob varias, necessariasque causas, quas sæpe caritati vestræ diximus. Una quidem hæc est quam diximus : alia autem hac non minor, ut modestiæ assuefierent : tertia vero, ut ne major illis quam hominibus debetur, honor exhiberetur. Itaque propter hæc, et his multo plura, cum permissurus esset eis multa inexspectata accidere, noluit priorem legem tam arctam manere, sed ejus philosophiæ severitatem nonnihil relaxavit, ut et ita non esset eis gravis et intolerabilis vita, si sæpe derelinquerentur, et simul duram illam legem servare cogerentur. Quoniam autem oportebat obscure propositum clarius docere, idcirco postquam dixit, *Qui habet marsupium, tollat, et peram* : subjicit, *Et qui non habet, vendat vestem suam, et emat gladium* (*Luc.* 22. 36). Quidnam hoc? Armatne discipulos qui dicit : *Si quis te percusserit in dexteram maxillam, verte ei et alteram* (*Matth.* 5. 39, *et Luc.* 6. 29). Qui præcepit, ut benedicamus iis, qui nos conviciis lacessunt, feramus lædentes, oremus pro persequentibus, nunc armat? armatque uno tantum gladio? Et quomodo hæc rationi consona sunt? Nam si omnino armis opus erat, non solo gladio, sed et scuto, et galea, et cruralibus armare oportebat. Et profecto, si humano more hæc dispensare et agere voluisset, apud vos ridiculum non erat hoc præceptum? Quandoquidem licet sexcenta id genus arma possedissent adversus tot insidias et impetus populorum, tyrannorum, civitatum, gentium, quomodo iis potentiores fuissent undecim? Num potuissent audire vocem hinnientium equorum? annon vel ad solum exercitus aspectum conterriti essent viri non nisi in stagnis et fluminibus et lembis versati? Quare ergo hoc dicit? Judæorum insidias indicare volebat, illosque ipsum comprehensuros esse : idque manifeste dicere nolebat, sed per ænigmata, ne iterum conturbarentur. Itaque sicut cum audis Christum dicentem : *Quod audistis in aurem, prædicate super tecta : et quod audistis in tenebris, dicite in luce* (*Matth.* 10. 27, *et Luc.* 12. 3) ; non intelligis, quasi præcipiat relictis foris et triviis eos super tecta debere prædicare; neque enim id fecerunt discipuli : sed cum dicit, *Super tecta*, et *In luce*, fiduciam et libertatem publice prædicandi insinuat; cum vero dicit, *In aurem* et *In tenebris*, significat, ut ubique terrarum narrent, quod in parva mundi parte, et in uno Palæstinæ loco audierant. Neque enim in tenebris et in

par· καὶ ὁ μὴ ἔχων, πωλησάτω τὸ ἱμάτιον αὐτοῦ, καὶ ἀγοράσει μάχαιραν. Ἀλλ' ἴσως εἴποι τις ἄν, ὅτι Τοὺς μὲν ἀποστόλους διὰ τῶν εἰρημένων ἀπήλλαξας τῶν ἐγκλημάτων· τὸ δὲ ζητούμενόν ἐστιν εἰπεῖν, τίνος ἕνεκεν ἐναντία ὁ Χριστὸς ἐνομοθέτησε, ποτὲ μὲν λέγων, *Μὴ κτήσησθε πήραν*, ποτὲ δὲ λέγων, *Ὁ ἔχων βαλάντιον, ἀράτω, καὶ πήραν.* Τίνος οὖν ἕνεκεν τοῦτο πεποίηκεν; Ἄξιος τῆς αὐτοῦ σοφίας καὶ προνοίας τῆς ὑπὲρ τῶν μαθητῶν. Παρὰ μὲν γὰρ τὴν ἀρχὴν ταῦτα ἐπέταξεν, ἵνα ἔργῳ καὶ πείρᾳ τὴν ἀπόδειξιν τῆς αὐτοῦ δυνάμεως λάβωσι, καὶ λαβόντες θαῤῥήσωσι λοιπὸν εἰς τὴν οἰκουμένην ἐξελθεῖν ἅπασαν. Ἐπειδὴ δὲ λοιπὸν ἱκανῶς ἔγνωσαν αὐτοῦ τὴν δύναμιν, ἐβούλετο καὶ αὐτοὺς οἴκοθεν τὴν αὐτῶν ἀρετὴν ἐπιδείξασθαι, καὶ μὴ μέχρι τέλους αὐτοὺς διαβαστάζεσθαι, ἀλλ' ἐνδιδόναι πολλαχοῦ καὶ συγχωρεῖν, καὶ πειρασμοὺς αὐτοὺς ὑπομένειν, ἵνα μὴ διὰ τέλους ἀργοὶ μένωσι. Καὶ καθάπερ οἱ νήχεσθαι διδάσκοντες, παρὰ μὲν τὰς ἀρχὰς τὰς αὐτῶν ὑποτιθέντες χεῖρας μετὰ πολλῆς τῆς ἀκριβείας τοὺς μαθητὰς τοὺς ἑαυτῶν διαβαστάζουσι, μετὰ δὲ πρώτην καὶ δευτέραν καὶ τρίτην ἡμέραν πολλαχοῦ τὴν δεξιὰν αὐτῶν ὑποσύραντες ἐκείνοις, κελεύουσιν ἑαυτοῖς βοηθεῖν, καί που καὶ μικρὸν βαπτίζεσθαι ἐπιτρέπουσι, καὶ πολλὴν τῷ στόματι δέχεσθαι τὴν ἅλμην· οὕτω δὴ καὶ ὁ Χριστὸς ἐποίησεν ἐπὶ τῶν μαθητῶν. Ἐν ἀρχῇ καὶ ἐν προοιμίοις οὐ μικρὸν, οὐ μέγα αὐτοὺς ἀφῆκε παθεῖν, ἀλλὰ παντα-χοῦ παρῆν τειχίζων αὐτοὺς, περιφράττων, πάντα [184] μετὰ ἀφθονίας αὐτοῖς ἐπιφέρειν παρασκευάζων· ἐπειδὴ δὲ ἔδει καὶ τὴν ἀνδρείαν αὐτοὺς ἐπιδείξασθαι τὴν αὐτῶν, συνέστειλεν ὀλίγῳ τὴν χάριν, ἐγκελευσάμενος αὐτοῖς πολλὰ καὶ δι' ἑαυτῶν ἀνύειν. Διά τοι τοῦτο, ὅτε μὲν οὐκ εἶχον ὑποδήματα, οὐδὲ ζώνην, οὐδὲ ῥάβδον, οὐδὲ χαλκὸν, οὐδενὸς ὑστερῆθησαν· *Μή τινος γάρ*, φησὶν, *ὑστερήσατε; Οἱ δὲ ἀποκριθέντες εἶπον· Οὐδενός.* Ἐπειδὴ δὲ αὐτοὺς ἐκέλευσε καὶ βαλάντιον ἔχειν, καὶ πήραν, καὶ ὑποδήματα, εὑρίσκονται καὶ πεινῶντες καὶ διψῶντες καὶ γυμνητεύοντες. Ὅθεν δῆλον, ὅτι πολλαχοῦ συνεχώρει καὶ παραχινδυνεύειν αὐτοὺς καὶ στενοχωρεῖσθαι, ἵνα τινὰ μισθὸν ἔχωσιν Οὕτω που καὶ οἱ ὄρνιθες τοῖς νεοττοῖς ποιοῦσι τοῖς ἑαυτῶν· καὶ γὰρ ἐκεῖνοι, ἕως μὲν τὰ πτερὰ ἁπαλὰ ἔχουσιν, ἐπὶ τῆς καλιᾶς καθήμενοι θάλπουσιν· ἐπειδὰν δὲ ἴδωσι πτεροφυήσαντας, καὶ δυναμένους τὸν ἀέρα τέμνειν, πρῶτον μὲν περὶ αὐτὴν τὴν καλιὰν ἵπτασθαι παρασκευάζουσιν, ἔπειτα δὲ καὶ πορρώτερω περιάγουσι, παρὰ μὲν τὴν ἀρχὴν ἑπόμεναι καὶ διαβαστάζουσαι, μετὰ δὲ ταῦτα αὐτοὺς ἑαυτοῖς ἀφιεῖσαι βοηθεῖν. Οὕτω καὶ ὁ Χριστὸς ἐποίησε, καθάπερ ἐν καλιᾷ, τῇ Παλαιστίνῃ τρέφων τοὺς μαθητάς· ἐπειδὴ δὲ πέτεσθαι ἐδίδαξε παριὼν καὶ διαβαστάζων αὐτοὺς, τέλος ἀφῆκεν εἰς τὴν οἰκουμένην πτῆναι, κελεύσας καὶ ἑαυτοῖς πολλαχοῦ βοηθεῖν. Καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, καὶ ἵνα τὴν δύναμιν αὐτοῦ μάθωσι, πάντων αὐτοὺς ἐγύμνωσε, καὶ μονοχίτωνας ἀπέστειλε, καὶ χωρὶς ὑποδημάτων ἐκέλευσε βαδίζειν, αὐτῆς οὖν τῆς ῥήσεως ἀκούσαντες σαφῶς εἰσόμεθα. Οὐ γὰρ ἁπλῶς εἶπεν αὐτοῖς· Ἄρατε βαλάντιον καὶ πήραν, ἀλλ' ἀνέμνησεν αὐτοὺς τῶν προτέρων, οὕτως εἰπών· *Ὅτε ἀπέστειλα ὑμᾶς ἄτερ βαλαντίου καὶ πήρας, μή τινος ὑστερήσατε;* τουτέστιν, Οὐ πάντα μετὰ ἀφθονίας ὑμῖν ἐπέῤῥει, καὶ πολλῆς ἀπελαύσατε δαψιλείας; ἀλλὰ νῦν βούλομαι ὑμᾶς καὶ δι' ἑαυτῶν ἀγωνίζεσθαι· βούλομαι ὑμᾶς καὶ πενίας πεῖραν λαβεῖν· διὰ τοῦτο λοιπὸν ἐπὶ τὴν ἀνάγκην οὐκ ἄγω τοῦ προτέρου νόμου, ἀλλ' ἐπιτρέπω καὶ βαλάντιον ἔχειν καὶ πήραν, ἵνα μὴ, καθάπερ δι' ἀψύχων ὀργάνων, ἐνεργεῖν τὰ καθ' ὑμᾶς νομίζωμαι, ἀλλὰ καὶ ὑμεῖς τὴν οἰκείαν ἔχητε ἐπιδείκνυσθαι [a] φιλοσοφίαν.

γ'. Καὶ τί, φησὶν, οὐκ ἂν μείζων ἐφάνη ἡ χάρις, εἰ διαπαντὸς οὕτως ἐτέλεσαν ὄντες; Ἀλλ' αὐτοὶ οὐκ ἐγένοντο οὕτω δόκιμοι· εἰ γὰρ μηδεμιᾶς ἔλαβον θλίψεως πεῖραν, μὴ πενίας, μὴ διωγμοῦ, μὴ στενοχωρίας, ἔμειναν ἂν ἀργοὶ καὶ νωθεῖς· νῦν δὲ οὐχὶ τὴν χάριν διαλάμψαι μόνον, ἀλλὰ καὶ τὴν τῶν ὑπακουόντων δοκιμὴν ἠθέλησεν ἐπιδειχθῆναι [b], ἵνα μὴ μετὰ ταῦτά τινες ἔχωσι λέγειν, ὅτι Οὐδὲν παρ' ἑαυτῶν εἰσήνεγκαν ἐκεῖνοι, ἀλλὰ τὸ πᾶν τῆς τοῦ Θεοῦ ῥοπῆς ἐγένετο. Ἠδύνατο μὲν γὰρ αὐτοὺς ὁ Θεὸς μέχρι τέλους ἐν ἀφθονίᾳ καταστῆσαι τοσαύτῃ, ἀλλ' οὐκ ἠθέλησε διὰ πολλὰς καὶ ἀναγκαίας προφάσεις, ἃς πολλάκις πρὸς τὴν ὑμετέραν ἀγάπην εἰρήκαμεν [c]· μίαν μὲν δὴ ταύτην, ἑτέραν δὲ οὐκ ἐλάττονα ταύτης, ἵνα καὶ μετριάζειν εἰδῶσι· τρίτην δὲ, ἵνα μὴ μείζονα ἢ κατὰ ἄνθρωπον [185] λάβωσι δόξαν. Διὰ δὴ ταῦτα, καὶ πολλῷ πλείονα τούτων, ἀφεὶς αὐτοὺς πολλοῖς τῶν ἀδοκήτων περιπίπτειν, οὐκ ἠβουλήθη ὑπὸ τὴν ἀκρίβειαν τῆς νομοθεσίας τῆς προτέρας ἀφεῖναι, ἀλλ' ἐχάλασε καὶ ἀνῆκε τῆς φιλοσοφίας τὸν τόνον ἐκείνης, ὥστε μὴ βαρύν τινα καὶ ἀφόρητον αὐτοῖς γενέσθαι τὸν βίον, πολλαχοῦ ἐγκαταλιμπανομένοις, καὶ τὸν ἀκριβῆ νόμον ἐκεῖνον ἀναγκαζομένοις τηρεῖν. Ἐπειδὴ δὲ χρὴ καὶ τὸ προκείμενον ἀσαφὲς ὂν ποιῆσαι καταφανὲς, ἀναγκαῖον καὶ τοῦτο εἰπεῖν. Εἰπὼν γὰρ, *Ὁ ἔχων βαλάντιον, ἀράτω, καὶ πήραν*, ἐπήγαγε· *Καὶ ὁ μὴ ἔχων, πωλήσει τὸ ἱμάτιον αὐτοῦ, καὶ ἀγοράσει μάχαιραν.* Τί ποτε τοῦτό ἐστι; καθοπλίζει τοὺς μαθητὰς ὁ λέγων, *Ἐάν τις σε ῥαπίσῃ εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην;* ὁ κελεύων εὐλογεῖν τοὺς λοιδορουμένους, ἀνέχεσθαι τῶν ἐπηρεαζόντων, εὔχεσθαι ὑπὲρ τῶν διωκόντων, εἶτα καθοπλίζει, καὶ διὰ μαχαίρας μόνης; Καὶ ποῖον ἂν ἔχοι τοῦτο λόγον; Εἰ γὰρ ὅλως ἔδει καθοπλίσαι, οὐ μαχαίρας ἔδει κτήσασθαι μόνον, ἀλλὰ καὶ ἀσπίδα καὶ κράνος καὶ κνημῖδας. Ὅλως δὲ, εἴ γε ἀνθρωπίνως τὰ τοιαῦτα ἔμελλεν οἰκονομεῖν, πόσοις οὐκ ἦν τὸ ἐπίταγμα γέλως; Εἰ γὰρ μυρία τοιαῦτα ὅπλα ἐκτήσαντο πρὸς τοσαύτην ἔφοδον καὶ ἐπιβουλὴν δήμων, τυράννων, πόλεων, ἐθνῶν, τίνες ἔμελλον οἱ ἕνδεκα φανεῖσθαι; Φωνῆς γὰρ ἀκοῦσαι χρεμετίζοντος ἵππου δυνατὸν ἦν αὐτοῖς;; πρὸς δὲ τὴν ὄψιν μόνην οὐκ ἂν κατεπλάγησαν τῶν στρατοπέδων, ἐν λίμναις καὶ ποταμοῖς καὶ ἀκατίοις τραφέντες μικροῖς; Τίνος οὖν ἕνεκεν τοῦτο λέγει; Τὴν ἔφοδον τῶν Ἰουδαίων ἐνδείξασθαι βουλόμενος, καὶ ὅτι μέλλουσιν αὐτὸν συλλαμβάνειν. Καὶ τοῦτο φανερῶς μὲν οὐκ ἠθέλησεν εἰπεῖν, δι' αἰνιγμάτων δὲ, ὥστε μὴ θορυβῆσαι πάλιν αὐτούς. Ὥσπερ οὖν ὅταν ἀκούσῃς αὐτοῦ λέγοντος, ὅτι *Ὃ ἠκούσατε εἰς τὸ οὖς, κηρύξατε ἐπὶ τῶν δωμάτων, καὶ ὃ ἠκούσατε ἐν τῇ σκοτίᾳ, εἴπατε ἐν τῷ φωτὶ*, οὐ τοῦτο ὑποπτεύεις, ὅτι κελεύει τοὺς στενωποὺς καὶ τὴν ἀγορὰν ἀφέντας ἐπὶ τῶν δωμάτων κηρύττειν· οὐδὲ γὰρ φαίνονται τοῦτο ποιήσαντες οἱ μαθηταί· ἀλλὰ τὸ, *Ἐπὶ τῶν δωμάτων*, καὶ τὸ, *Ἐν τῷ φωτὶ*, τὸ μετὰ παῤῥησίας αἰνίττεται· τὸ δὲ, *Εἰς τὸ οὖς*, καὶ τὸ, *Ἐν τῇ σκοτίᾳ*, τοῦτο δηλοῖ, ὅτι Ὅπερ ἐν μικρῷ μέρει τῆς οἰκουμένης, καὶ ἐν ἑνὶ χωρίῳ τῆς Παλαιστίνης ἠκούσατε, τοῦτο πανταχοῦ τῆς γῆς ἐξ-

[a] Duo Mss. φιλοσοφίαν. Εἶτα οὐκ ἂν μείζων.
[b] Ἐπιδειχθῆναι deest in duobus Mss.
[c] Hic in Morel. et Savil. post εἰρήκαμεν, καὶ νῦν δὲ εἴποιμεν, quæ desunt in utroque ms. et superflua videntur. In sequentibus levissima sunt lectionum discrimina.

ηχήσατε. Οὐ γὰρ δὴ ἐν σκοτίᾳ, οὐδὲ εἰς τὸ οὖς διελέγετο αὐτοῖς, ἀλλ' ἐφ' ὑψηλῶν τῶν ὀρέων, καὶ ἐν ταῖς συναγωγαῖς πολλάκις. Οὕτω καὶ ἐνταῦθα ὑπολη πτέον. Ὥσπερ οὖν ἐκεῖ δώματα ἀκούοντες, ἑτέρως ἐνοήσαμεν, οὕτω καὶ ἐνταῦθα μαχαίρας ἀκούοντες, μὴ τοῦτο νομίσωμεν, ὅτι ἐπέταξε μαχαίρας κεκτῆσθαι, ἀλλ' ὅτι διὰ τῶν μαχαιρῶν τὴν ἐνεστῶσαν αἰνίττεται ἐπιβουλήν, καὶ ὅτι μέλλει πάσχειν παρὰ τῶν Ἰουδαίων, ἅπερ ἔπαθε. Καὶ τοῦτο ἐκ τῶν ἑξῆς δῆλον. Εἰπὼν γὰρ, Ἀγοράσει μάχαιραν, ἐπήγαγε· *Δεῖ γὰρ τὰ γεγραμμένα περὶ ἐμοῦ τελεσθῆναι, ὅτι ἐν τοῖς ἀνόμοις ἐλογίσθην.* Εἰπόντων δὲ ἐκείνων, ὅτι *Εἰσὶν ὧδε δύο μάχαιραι*, καὶ τὸ λεχθὲν μὴ συνιέντων, φησὶν, *Ἱκανόν ἐστι.* Καίτοι γε οὐκ ἦν ἱκανόν· εἰ μὲν γὰρ ἀνθρωπίνῃ βοηθείᾳ κεχρῆσθαι αὐτοὺς ἐβούλετο, οὐ μόνον δύο καὶ τρεῖς, ἀλλ' οὐδὲ ἑκατὸν ἦσαν ἱκαναὶ μάχαιραι· εἰ δὲ οὐκ ἐβούλετο ἀνθρωπίνῃ βοηθείᾳ αὐτοὺς κεχρῆσθαι, καὶ αἱ δύο περιτταί. Ἀλλ' ὅμως [186] οὐκ ἐξεκάλυψε τὸ αἴνιγμα· καὶ γὰρ πολλαχοῦ φαίνεται τοῦτο ποιῶν· ἐπειδὰν μὴ νοήσωσι τὸ λεχθὲν, παρατρέχει καὶ ἀφίησι, τῇ τῶν πραγμάτων ἐκβάσει τῶν μετὰ ταῦτα τὴν κατανόησιν τῶν εἰρημένων ἐπιτρέπων λοιπόν· ὅπερ οὖν καὶ ἀλλαχοῦ ἐποίησε. Καὶ γὰρ περὶ τῆς ἀναστάσεως αὐτοῦ διαλεγόμενος, οὕτω πως ἔλεγε· *Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν.* Καὶ ὅμως οὐκ ἤδεισαν οἱ μαθηταὶ τὸ λεγόμενον· καὶ ὅτι οὐκ ἤδεισαν, ὁ εὐαγγελιστὴς ἐπεσημήνατο, λέγων· *Ὅτε δὲ ἀνέστη ὁ Ἰησοῦς, τότε ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ, καὶ τῇ Γραφῇ.* Καὶ πάλιν ἀλλαχοῦ· *Οὐδὲ γὰρ ἤδεισαν, ὅτι δεῖ αὐτὸν ἐκ νεκρῶν ἀναστῆναι.*

δ'. Ἀλλὰ τὸ μὲν ζήτημα ἱκανὴν ἔχει τὴν λύσιν· ἡμεῖς δὲ ἐπὶ τὸ λειπόμενον τῆς προσῳδήσεως [a] μέρος τὸν λόγον ἀγάγωμεν. Τί ποτ' οὖν ἐστι τὸ λεγόμενον, καὶ πόθεν εἰς ταῦτα ἐξέβημεν; Ἐμακαρίζομεν τὴν Πρίσκιλλαν καὶ τὸν Ἀκύλαν, ὅτι συνῴκουν τῷ Παύλῳ, ὅτι καὶ τὸν τρόπον τῆς στολῆς, καὶ τὸν τρόπον τῶν ὑποδημάτων, καὶ τὰ ἄλλα ἅπαντα μετὰ ἀκριβείας αὐτοῦ κατεμάνθανον. Ἐντεῦθεν τὸ ζήτημα ἡμῖν ἐτέχθη τοῦτο. Ἐζητοῦμεν γὰρ, τίνος ἕνεκεν, τοῦ Χριστοῦ ἀπαγορεύοντος μηδὲν ὅλως ἔχειν, εἰ μὴ μόνον ἱμάτιον, ἐφαίνοντο καὶ ὑποδήματα καὶ φελόνην ἔχοντες. Εἶτα ὁ λόγος ἀπέδειξεν, ὅτι οὐ παραβαίνοντες τὸν νόμον, ἀλλὰ καὶ σφόδρα τηροῦντες τούτοις ἐχρῶντο. Ταῦτα δὲ ἐλέγομεν, οὐκ εἰς περιουσίαν χρημάτων ὑμᾶς ἀλείφοντες, οὐδὲ παρακαλοῦντες πλείω τῆς χρείας κεκτῆσθαι, ἀλλ' ἵνα ἔχητε πρὸς τοὺς ἀπίστους ἀντιλέγειν τοὺς διαχλευάζοντας τὰ ἡμέτερα. Καὶ γὰρ ὁ Χριστὸς λύσας τὸν πρότερον νόμον, οὐχὶ οἰκίας, οὐδὲ ἀνδράποδα, οὐδὲ κλίνας, οὐδὲ ἀργυρώματα, οὐδὲ ἄλλο τι τοιοῦτον οὐδὲν ἐκέλευσεν ἔχειν, ἀλλὰ τῆς ἀνάγκης ἀπηλλάχθαι τῶν πρότερον εἰρημένων. Καὶ ὁ Παῦλος δὲ οὕτω παρῄνει λέγων· *Ἔχοντες τροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα.* Τὸ γὰρ περιττὸν τῆς χρείας εἰς τοὺς δεομένους ἀναλίσκεσθαι δεῖ· καθάπερ οὖν καὶ οὗτοι ἐποίουν, Πρίσκιλλα καὶ Ἀκύλας. Διόπερ αὐτοὺς ἐπαινεῖ καὶ θαυμάζει, καὶ μέγιστον αὐτῶν συντίθησιν ἐγκώμιον. Εἰπὼν γὰρ, *Ἀσπάσασθε Πρίσκιλλαν καὶ Ἀκύλαν τοὺς συνεργούς μου ἐν Κυρίῳ*, καὶ τὴν αἰτίαν τίθησι τῆς τοιαύτης ἀγάπης. Ποίαν δὴ ταύτην; *Οἵτινες ὑπὲρ τῆς ψυχῆς μου*, φησὶ, *τὸν ἑαυτῶν τράχηλον ὑπέθηκαν.* Οὐκοῦν διὰ τοῦτο αὐτοὺς ἀγαπᾷς καὶ φιλεῖς, ἴσως εἴποι τις [b]; Μάλιστα μὲν οὖν· εἰ καὶ τοῦτο μόνον ἦν, ἀρκοῦν ἐγκώμιον ἦν. Ὁ γὰρ τὸν στρατηγὸν σώσας, τοὺς στρατιώτας διέσωσεν ἄν· ὁ τὸν ἰατρὸν ἀπαλλάξας τῶν κινδύνων, τοὺς κάμνοντας εἰς ὑγείαν ἐπανήγαγεν· ὁ τὸν κυβερνήτην ἐξαρπάσας τοῦ κλύδωνος, τὸ πλοῖον ὅλον τῶν κυμάτων ἀπήλλαξεν· οὕτω καὶ οἱ τὸν διδάσκαλον τῆς οἰκουμένης διασώσαντες, καὶ τὸ αἷμα τὸ ἑαυτῶν ἐκχέαντες ὑπὲρ τῆς ἐκείνου σωτηρίας, κοινοὶ τῆς οἰκουμένης ἦσαν εὐεργέται, ἐν τῇ περὶ τὸν διδάσκαλον προνοίᾳ τοὺς μαθητὰς ἅπαντας διασώσαντες. Ἵνα δὲ μάθῃς, ὅτι οὐ περὶ τὸν διδάσκαλον ἦσαν τοιοῦτοι μόνον, ἀλλὰ καὶ περὶ τῶν ἀδελφῶν τὴν αὐτὴν ἐπεδείκνυντο πρόνοιαν, ἄκουσον τῶν ἑξῆς. Εἰπὼν γὰρ, *Οἵτινες ὑπὲρ τῆς ψυχῆς μου τὸν ἑαυτῶν τράχηλον ὑπέθηκαν*, ἐπήγαγε λέγων· *Οἷς οὐκ ἐγὼ μόνος εὐχαριστῶ, ἀλλὰ καὶ πᾶσαι αἱ Ἐκκλησίαι τῶν ἐθνῶν.* [187] Τί λέγεις; σκηνοποιοῖς, πτωχοῖς χειροτέχναις, οὐδὲν πλέον τῆς ἀναγκαίας ἔχουσι τροφῆς, πᾶσαι αἱ Ἐκκλησίαι τῶν ἐθνῶν εὐχαριστοῦσι; καὶ τί τοσοῦτον οἱ δύο οὗτοι Ἐκκλησίας τοσαύτας ὠφελῆσαι ἴσχυσαν; ποίαν χρημάτων εἶχον περιουσίαν; ποῖον δυναστείας μέγεθος; τίνα παρὰ ἄρχουσι παῤῥησίαν; Χρημάτων μὲν περιουσίαν καὶ δυναστείαν παρὰ τοῖς κρατοῦσιν οὐκ ἐκέκτηντο· ὃ δὲ τούτων ἁπάντων μεῖζον ἦν, προθυμίαν γενναίαν καὶ ψυχὴν πρὸς κινδύνους παρατεταγμένην μετὰ πολλῆς τῆς περιουσίας εἶχον. Διὰ τοῦτο πολλῶν εὐεργέται ἐγένοντο καὶ σωτῆρες. Οὐ γὰρ οὕτως οἱ πλουτοῦντες καὶ ψοφοδεεῖς ὡς οἱ πενίᾳ συζῶντες καὶ μεγαλόψυχοι τὰς Ἐκκλησίας ὠφελεῖν δύναιντ' ἄν. Καὶ μηδεὶς παράδοξον εἶναι νομιζέτω τὸ λεγόμενον· ἀληθὲς γάρ ἐστι, καὶ ἀπ' αὐτῶν δείκνυται τῶν πραγμάτων. Ὁ μὲν γὰρ πλούσιος πολλὰς ἔχει τοῦ παραβλάπτεσθαι τὰς λαβάς. Δέδοικεν ὑπὲρ οἰκίας, ὑπὲρ οἰκετῶν, ὑπὲρ ἀγρῶν, ὑπὲρ χρημάτων, μή τις αὐτόν τι τούτων ἀφέληται. Καὶ τὸ πολλῶν εἶναι κύριον, πολλῶν εἶναι δοῦλον ποιεῖ. Ὁ μέντοι πένης, εὔζωνός τις ὢν καὶ πάσας ταύτας ἀποθέμενος τὰς λαβὰς, λέων ἐστὶ πῦρ πνέων, καὶ ψυχὴν ἔχει γενναίαν, καὶ πάντων ἐξανιστάμενος ῥᾳδίως ἅπαντα πράττει τὰ δυνάμενα τὰς Ἐκκλησίας ὠφελεῖν, κἂν ἐλέγξαι δέῃ, κἂν ἐπιτιμῆσαι, κἂν μυρίας διὰ τὸν Χριστὸν ἀναδέξασθαι ἐπαχθείας· καὶ ἐπειδὴ ἅπας τῆς ζωῆς ὑπερεῖδε τῆς παρούσης, πάντα ῥᾳδίως καὶ μετὰ πολλῆς ποιεῖ τῆς εὐκολίας. Τί γὰρ καὶ δέδοικεν, εἰπέ μοι; Μή τις αὐτοῦ τὰ χρήματα ἀφέληται; Ἀλλ' οὐκ ἔστι τοῦτο εἰπεῖν. Ἀλλὰ μὴ τῆς πατρίδος ἐκπέσῃ; Ἀλλὰ πᾶσα ἡ ὑπ' οὐρανὸν πόλις αὐτῷ ἐστιν [c]. Ἀλλὰ μὴ τῆς τρυφῆς αὐτόν τις περικόψῃ καὶ τῆς δορυφορίας; Ἀλλὰ καὶ τούτοις ἅπασι χαίρειν εἰπὼν, ἐν οὐρανῷ πολιτεύεται, καὶ πρὸς τὴν μέλλουσαν ἐπείγεται ζωήν. Κἂν αὐτὴν ἐπιδοῦναι δέῃ τὴν ψυχὴν, καὶ τὸ αἷμα εἰσενεγκεῖν, οὐ παραιτήσεται. Ἐντεῦθεν ὁ τοιοῦτος καὶ τυράννων, καὶ βασιλέων, καὶ δήμων, καὶ πάντων ἐστὶ δυνατώτερός τε καὶ εὐπορώτερος. Καὶ ἵνα μάθῃς ὅτι οὐ κολακεία τὸ λεγόμενον, ἀλλ' ἀληθῶς, οἱ μηδὲν κεκτημένοι, οὗτοι μάλιστα πάντων ἐλευθεροστομεῖν δύναιντ' ἄν, πόσοι πλούσιοι κατὰ τὸν καιρὸν ἦσαν Ἡρῴδου; πόσοι δυνάσται; τίς παρῆλθεν εἰς μέσον; τίς ἐπετίμησε τῷ τυράννῳ; τίς ἤμυνεν ἀδικουμένοις τοῖς τοῦ Θεοῦ νόμοις; Τῶν μὲν εὐπόρων οὐδείς· ὁ δὲ πένης καὶ πτωχὸς, ὁ μὴ κλίνην, μήτε τράπεζαν, μήτε στέγην ἔχων, ὁ τῆς ἐρήμου πολίτης Ἰωάννης, οὗτος μόνος καὶ πρῶτος μετὰ παῤῥησίας ἁπάσης τὸν τύραννον ἤλεγχε, καὶ τοὺς μοιχαλίους ἐξεκάλυπτε γάμους, καὶ παρόντων ἁπάντων καὶ ἀκουόντων, τὴν καταδικάζουσαν αὐτὸν ἐξέφερε ψῆφον. Καὶ πρὸ τούτου δὲ πάλιν ὁ μέγας Ἠλίας, τῆς μηλωτῆς μηδὲν κεκτημένος πλέον, τὸν ἀσεβῆ καὶ παράνομον

[a] Sic Coislin. recte In Morel. πρῴην ῥήσεως, perperam.
[b] Forte legendum ἴσως εἴποι τις ἄν.
[c] Savil. in marg. ἀλλὰ μίαν εἶναι νομίζει τὴν ἄνω.

aurem eis loquebatur, sed sæpe in altis montibus, et in synagogis. Ita et hic intellige. Nam sicut ibi audientes tecta, alio modo intelleximus, ita et hic cum gladios audimus, ne putemus eum jussisse haberi gladios, sed per gladios insinuasse imminere insidias, et passurum se a Judæis quæ et passus est. Atque hoc ex sequentibus manifestum est. Nam ut dixit emendum gladium, mox adjecit : *Quia oportet adimpleri ea quæ de me sunt scripta* (*Luc.* 22. 37), *Quod cum iniquis reputatus sum* (*Isai.* 53. 12). Discipulis autem dicentibus, *Hic sunt duo gladii*, et non intelligentibus id quod dictum fuerat, ait, *Satis est* (*Luc.* 22. 38). Tametsi non satis erat : neque enim sufficissent vel duo, vel tres, vel centum, si humano auxilio eos uti voluisset ; quod si noluit eos humano præsidio uti , sunt utique et hi duo superflui. Proinde hic ænigma non exposuit ; id quod sæpe facere deprehenditur, ut quoties dicta minus intelligunt discipuli, eventui rerum dictorum intelligentiam explanandam relinquens, prætereat. Ita et alibi facit. De resurrectione enim disserens, sic dicebat : *Solvite templum hoc, et in tribus diebus excitabo illud* (*Joan.* 2. 19) : et non intelligebant discipuli quid diceret, sicut et evangelista testatur, dicens : *Quando autem resurrexit Jesus, crediderunt verbo ejus, et Scripturæ* (*Ib. v.* 22). Et iterum alibi : *Nondum enim sciebant, quod oportebat ipsum e mortuis resurgere* (*Joan.* 20. 9).

4. Sed quæstio satis soluta est. Nos nunc ad reliquam salutationis partem sermonem flectamus. Quidnam ergo est , quod dictum est , et unde istuc digressi sumus ? Priscillam et Aquilam beatos diximus, quod cum Paulo habitarent, diligenter addiscentes morem habitus et calceamentorum, atque omnia quæ agebat. Hinc nobis enata est quæstio : cujus gratia Christo prohibente aliquid præter unam vestem haberi , visi sunt hi habere sandalia et penulam ? Et sermone demonstratum est , apostolos his utendo legem non transgressos esse , sed diligenter observasse. Hæc autem dicebamus, non ut vos ad congerendas divitias exhortaremur , et provocaremus ut plus quam necessitas postulat, possideatis, sed in promptu sint quæ infidelibus nostra ridentibus respondeatis. Etenim Christus superiorem legem solvens, non jussit nos habere domos, servos, lectos, vasa argentea, vel quidpiam horum : sed nos a prius dictorum necessitate liberos esse voluit. Unde et Paulus sic admonebat, dicens : *Habentes victum et tegumenta, his contenti sumus* (1. *Tim.* 6. 8). Tribuendum enim egentibus, si quid usui nostro superest : id quod Priscilla et Aquila perquam studiose faciebant. Et idcirco eos laudat et admiratur apostolus, insigne illorum præconium apponens. Nam ut dixit, *Salutate Priscillam et Aquilam cooperarios meos in Domino* (*Rom.* 16. 3), etiam causam ponit tantæ caritatis. Qualem ? *Qui pro mea*, ait , *anima cervicem suam supposuere* (*Ibid. v.* 4). Igitur, dicet fortasse aliquis , hac de causa eos diligis et amas ? Maxime : quia et si id unum egissent, vel hinc laude digni erant. Qui enim ducem exercitus salvum fecit , et milites fecit salvos : qui medicum liberavit periculis, et liberantes morbis ad sanitatem reduxit : qui gubernatorem fluctibus eripuit, navem totam ex undis liberavit : sic utique qui magistrum orbis salvarunt, et pro illius salute sanguinem suum effuderunt, orbis quoque totius fuerunt benefactores, utpote qui sua erga præceptorem providentia discipulos omnes servaverint. Ut autem discas, eos non solum erga magistrum tales fuisse , sed et fratribus eandem curam impendisse , audi sequentia. Nam cum dixisset , *Pro anima mea cervicem supposuerunt* , adjecit : *Quibus non ego solus gratias ago , sed et omnes Ecclesiæ gentium.* Quid ais ? Tentoriorum opificibus , pauperibus , artificibus, quibus nihil præter victum necessarium suppetebat, omnes Ecclesiæ gentium gratias agunt ? Et quid tantum duo illi prodesse potuerunt tot Ecclesiis ? qua opum abundantia , qua potentiæ magnitudine, quo apud principes favore claruerunt ? Opum quidem abundantia, et potentia, et gratia apud imperantes nihil valuerunt, sed erat eis, qui omnibus major est , animus ad pericula admodum promptus. Hinc est quod de multis bene meruerunt , multosque servarunt. Neque enim Ecclesiis tam prodesse valent divites illi fastosi , ut pauperes magnanimi. Nemo dictum hoc miretur : verum enim est , quod dicimus , idque rebus ipsis comprobatur : nam multæ sunt divitis molestiæ et pericula. Timet pro domo, pro famulis , pro agris , pro opibus , ne quis aliquid ex iis auferat. Et qui multorum est dominus, idem multorum servus esse cogitur. Pauper autem his expeditus, et curis omnibus carens, leo est, ignem spirat, generoso et forti est animo, de omnibus sese expedit, facile omnia agit, quæ prodesse possunt Ecclesiis, sive opus sit ut arguantur aliqui, sive ut increpentur , sive sexcenta propter Christum opera subeunda sint : ac quoniam semel vitam despexit præsentem , magna facilitate conficit omnia. Quid enim timeret, dic, obsecro ? Num ne opes ejus auferantur ? Hoc nemo dicere poterit. Num ne pellatur e patria ? Sed universus orbis terrarum ei civitas est [1] ? Num ne quis imminuat ei delicias et satellitium ? Sed his omnibus valere jussis in cælo habitat , et ad futuram festinat vitam. Non deprecabitur item, si anima ipsa tradenda sit, et effundendus sanguis. Hinc est, quod talis etiam et tyrannis , et regibus , et populis , et omnibus potentior est ac ditior. Et ut discas, quod vere hæc, et non adulanter sint dicta, et quod qui nihil possident, hi omnium liberrimi sint ad loquendum : quot divites erant tempore Herodis, quot potentes ? et quis in medium prorupit ? quis tyrannum increpavit ? quis contemptas leges Dei ultus est ? Divitum quidem nullus, sed pauper ille et inops, qui neque lectum , neque mensam , neque tectum habebat : ille , inquam , solitudinis inquilinus Joannes , ille solus et primus omni libertate tyrannum arguit , et adulterinas nuptias detexit , et præsentibus omnibus ac audientibus pronuntiata sententia eum condemnavit. Et ante hunc magnus quoque

[1] Savil. in margine sic habet, *sed unam patriam reputat quæ sursum est.*

Heliæ, qui nihil præter meloten possidebat, impium et prævaricatorem illum Achab solus viriliter corripuit. Nihil enim loquendi libertatem, et in rerum discrimine fiducism ita præbet, nihil homines adeo munitos et fortes efficit, ut nihil poss dere, et nullis sæcularibus circumvolvi negotiis. Atque adeo, si quis virtutem multam possidere cupit, paupertatem amplexetur, præsentem vitam despiciat, nihil esse putet mortem. Hic non solum plus quam divites et principes, sed et plus quam reges ipsi Ecclesiis prodesse poterit. Nam regnantes illi et abundantes quæcumque faciunt, id opibus faciunt : hic autem magna plerumque operatur per pericula et mortem ipsam. Quanto autem auro omni pretiosior est sanguis, tanto paupertas quam abundantia melior.

5. Tales quidam erant illi Pauli hospites Priscilla et Aquila, qui opum carebant abundantia, et omnibus divitiis locupletiorem animum possidebant, mortem exspectantes quotidie, in cæde et sanguine viventes, atque perpetuo martyrium patientes. Ideo res nostræ illis temporibus florebant, quia sic discipuli magistris, et magistri discipulis colligati erant. Nam Paulus hoc non solum de his, sed et de multis aliis testatur. Nam Hebræis, et Thessalonicensibus, et Galatis scribens, asserit omnes multis tentationibus afflictos, et indicat in epistolis suis ipsos pelli, patria excidere, substantias perdere, et ad sanguinem usque periclitari : tota eorum vita in gravibus certaminibus erat, et ipsis mutilari membris pro præceptoribus non detrectabant. Unde Galatis scribens, dicit : *Testor enim, quod, si possibile fuisset, oculos vestros effossos mihi dedissetis* (*Galat.* 4. 15). Et Epaphram qui Colossis erat, eadem de re laudat his verbis : *Ægrotavit usque ad mortem, et Deus ejus misertus est : non solum autem ejus, sed et mei, ne tristitiam super tristitiam haberem* (*Philipp.* 2. 27). Ubi clare demonstrat se jure habiturum fuisse dolorem de morte discipuli. Cujus virtutem alicubi omnibus iterum detegit dicens, *Accessit usque ad mortem, neglecta anima sua, ut impleret, quod in vobis erga me deerat ministerium* (*Philipp.* 2. 30). Quid illis fuerit beatius, quid autem nobis miserius ? quandoquidem illi sanguinem et animam pro præceptoribus profundebant, nos autem neque verbum pro communibus patribus emittere audemus, sed cum audiamus eis maledici, et conviciis eos dehonestari, et a suis, et ab alienis, maledicentes neque compescimus, neque reprehendimus, neque prohibemus.

Quantum sit peccatum Ecclesiæ rectoribus maledicere. — Utinam ne ipsi primi maledicorum simus. Sane non tanta ab infidelibus convicia et probra, quanta in principes ab iis, qui nobis juncti religione et fideles videntur, proferri videmus. Ultra hic quæremus, unde tanta ignavia, et unde hic pietatis contemptus evenit, quod sic hostiliter erga patres nostros simus affecti ? Nihil profecto est quod Ecclesiam Dei ita destituere et dissolvere, nihil quod ita facile pessumdare possit, ut quando discipuli magistris, et patribus filii, et principibus subditi, non magno studio cohærent. Si quis fratrum cuipiam maledicit, a sacrarum Scripturarum lectione excluditur. *Ut quid* enim *assumis*, ait Deus, *testamentum meum per os tuum* (*Psal.* 49. 16)? et causa posita dicit : *Sedens contra fratrem tuum loquebaris* (*Ibid.* v. 20). Patrem vero spiritualem accusans, te dignum reputas, qui ad divina vestibula accedas ? Quomodo hoc congruet ? Nam si maledicentes patri vel matri morte moriuntur secundum legem (*Exod.* 21. 17), quali judicio dignus erit, qui maledicere audet ei, qui parentibus illis magis necessarius est, et melior ? Annon timet, ne aperiat se terra, et ipsum absorbeat, vel fulmen superne decidens maledicam illam linguam comburat ? Non audisti, quid passa sit Mosis soror, principi maledicens ? quomodo facta sit immunda, inciderit in lepram, summam sustinuerit ignominiam, fratre Deum orante, veniam non obtinuerit ; tametsi illa ipsa esset, quæ sanctum illum exposuerat, et pro ejus educatione id effecerat, ut ejus mater in nutricem assumeretur, et ne puellus in barbarico sinu enutriretur ; deinde vero feminarum exercitus dux fuit sicut Moses virorum ; omnesque cum illo tulit ærumnas, vere soror Mosis existens : verumtamen cum maledixit, nihil ei profuerunt hæc omnia ad effugiendam iram Dei : sed nec Moses, qui tantum populum, post ingentem illam impietatem, precibus expiaverat, pro sorore supplicans et veniam petens, placare Deum potuit, sed ab eo valde illa increpatur : quo discamus et nos, quantum malum sit principibus maledicere, et de aliorum judicare vita. Etenim in die illo non solum de iis quæ nos peccavimus, sed et de iis, ob quæ in alios sententiam tulimus, omnino judicabit nos Deus. Et quod sæpe natura levo peccatum est, hoc grave et non ignoscibile fit, dum peccans de alio judicat. Forte non satis claret quod diximus, igitur clarius dicemus. Peccavit aliquis, et alium idem committentem peccatum condemnavit : is in die illo valde amaro non eam pœnam luet, quam peccati natura exposcit, sed majorem quam duplicem, et triplicem : non enim quod ipse peccaverit, sed quod in alium similiter lapsum tam gravem calculum tulerit, supplicium illi destinabit Deus. Et hoc verum esse, ex iis quæ jam facta sunt et contigerunt, clarius, ut promisi, demonstrabo. Nam Pharisæus, quamvis ipse nihil peccaverat, sed et juste vixerat, et multa de se bona prædicare poterat : quia tamen publicanum raptorem, avarum, et iniquissimum condemnavit, tantas dedit pœnas, ut ad supplicium majus, quam publicano debebatur, reservatus sit (*Luc.* 18. 10 - 14). Quod si is, qui nihil peccavit, et peccantem alium, qui manifestus erat omnibus, levi verbo condemnavit, tantum sibi attraxit supplicium : qui multum quotidie peccamus, aliorumque vitam condemnamus, etiam aliis ignotorum, cogita quantam sustinebimus pœnam, quomodo omni venia excidemus. *In quo enim judicio judicatis*, inquit, *et vos judicabimini* (*Matth.* 7. 2).

6. Propter hæc utique et supplico, precor, et exhortor, ut ab hac mala consuetudine desistatis. Nihil enim nocebimus sacerdotibus, quibus maledicimus,

Ἀχαὰβ ἐκεῖνον μόνος ἤλεγξε μετὰ πολλῆς ἀνδρείας. Οὐδὲν γὰρ οὕτως ἐλευθεροστομεῖν παρασκευάζει, καὶ θαῤῥεῖν ἐν ἅπασι πείθει τοῖς δεινοῖς, καὶ ἀναλώτους ἐργάζεται καὶ ἰσχυρούς, ὡς τὸ μηδὲν κεκτῆσθαι, μηδὲ περιβολήν τινα πραγμάτων ἔχειν. Ὥστε εἴ τις βούλοιτο πολλὴν κεκτῆσθαι δύναμιν, ἀσπασάσθω πενίαν, καταφρονείτω τῆς παρούσης ζωῆς, μηδὲν εἶναι νομιζέτω θάνατον. Οὗτος οὐχὶ τῶν εὐπόρων μόνον, οὐδὲ τῶν ἀρχόντων, ἀλλὰ καὶ αὐτῶν τῶν βασιλευόντων πλείονα τὰς Ἐκκλησίας ὠφελῆσαι [188] δυνήσεται. Οἱ μὲν γὰρ βασιλεύοντες καὶ οἱ εὔποροι, ὅσα ἂν ποιήσωσιν, ἀπὸ χρημάτων ποιοῦσιν· ὁ δὲ τοιοῦτος πολλάκις καὶ ἀπὸ κινδύνων καὶ ἀπο θανάτων πολλὰ καὶ μεγάλα συνετέλεσεν Ὅσῳ δὲ χρυσίου παντὸς τιμιώτερον αἷμα, τοσούτῳ βελτίων ἐκείνης αὕτη ἡ εἰσφορά

ε'. Τοιοῦτοί τινες ἦσαν καὶ οὗτοι οἱ Παύλου ξενοδόχοι, ἡ Πρίσκιλλα καὶ ὁ Ἀκύλας, οἳ χρημάτων μὲν περιουσίαν οὐκ εἶχον, πλούτου δὲ παντὸς εὐπορωτέραν ἐκέκτηντο γνώμην, καθ' ἑκάστην ἀποθανεῖσθαι προσδοκῶντες ἡμέραν, καὶ ἐν σφαγαῖς καὶ αἵμασι ζῶντες, καὶ διὰ παντὸς μαρτυροῦντες τοῦ χρόνου. Διὰ τοῦτο ἦνθει τὰ ἡμέτερα κατὰ τοὺς καιροὺς ἐκείνους, ὅτι οὕτω μὲν οἱ μαθηταὶ τοῖς διδασκάλοις, οὕτω δὲ οἱ διδάσκαλοι συνεδέδεντο τοῖς μαθηταῖς. Οὐ γὰρ δὴ περὶ τούτων μόνον φησὶν ὁ Παῦλος, ἀλλὰ καὶ περὶ ἑτέρων πολλῶν. Καὶ γὰρ Ἑβραίοις καὶ Θεσσαλονικεῦσι γράφων καὶ Γαλάταις, πολλὴν ἅπασι μαρτυρεῖ πειρασμῶν ἐπαγωγήν, καὶ δείκνυσι δι' ὧν ἐπέστελλεν, ὅτι καὶ ἠλαύνοντο καὶ τῆς πατρίδος ἐξέπιπτον, καὶ τὰς οὐσίας ἀπώλλυον, καὶ μέχρις αὐτοῦ τοῦ αἵματος ἐκινδύνευον· καὶ ἅπας ἐναγώνιος αὐτοῖς ὁ βίος ἦν, καὶ αὐτὰ δὲ ἀκρωτηριασθῆναι τὰ μέλη οὐκ ἂν ὑπὲρ τῶν διδασκάλων παρῃτήσαντο. Τοῖς γοῦν Γαλάταις ἐπιστέλλων ἔλεγε· *Μαρτυρῶ γὰρ ὑμῖν, ὅτι, εἰ δυνατὸν, τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες ἂν ἐδώκατέ μοι.* Καὶ τὸν Ἐπαφρᾶν δὲ τὸν ἐν Κολοσσαῖς ἐπὶ τοῖς αὐτοῖς ἀποδέχεται πάλιν, εἰπὼν, ὅτι *Ἠσθένησε παραπλήσιον θανάτου, καὶ ἠλέησεν αὐτὸν ὁ Θεὸς, οὐκ αὐτὸν δὲ μόνον, ἀλλὰ καὶ ἐμὲ, ἵνα μὴ λύπην ἐπὶ λύπῃ σχῶ.* Οὕτω δὲ εἶπε δεικνὺς, ὅτι δικαίως ἔμελλεν ἀλγεῖν ἐπὶ τῇ τελευτῇ τοῦ μαθητοῦ. Καὶ τὴν ἀρετὴν δὲ αὐτοῦ πάλιν ἐκκαλύπτει πᾶσιν, οὑτωσὶ λέγων, ὅτι *Ἤγγισε μέχρι θανάτου παραβουλευσάμενος τῇ ψυχῇ, ἵνα ἀναπληρώσῃ τὸ ὑμῶν ὑστέρημα τῆς πρός με λειτουργίας.* Τί γένοιτ' ἂν ἐκείνων μακαριώτερον, τί δὲ ἡμῶν ἀθλιώτερον[a]; εἴ γε ἐκεῖνοι μὲν καὶ τὸ αἷμα, καὶ τὴν ψυχὴν ὑπὲρ τῶν διδασκάλων προΐεντο, ἡμεῖς δὲ οὐδὲ ῥῆμα ψιλὸν πολλάκις προέσθαι τολμῶμεν ὑπὲρ τῶν κοινῶν πατέρων, ἀλλὰ ἀκούοντες αὐτοὺς βλασφημουμένους, λοιδορουμένους κακῶς καὶ παρὰ τῶν οἰκείων καὶ παρὰ τῶν ἀλλοτρίων, οὐκ ἐπιστομίζομεν τοὺς λέγοντας, οὐ κωλύομεν, οὐκ ἐλέγχομεν.

Εἴθε μὲν οὖν μὴ αὐτοὶ τῆς κακηγορίας ἤρχομεν ταύτης. Νυνὶ δὲ οὐ τοσαῦτα παρὰ τῶν ἀπίστων σκώμματα καὶ ὀνείδη, ὅσα παρὰ τῶν δοκούντων εἶναι πιστῶν καὶ μεθ' ἡμῶν τετάχθαι γινόμενα εἰς τοὺς ἄρχοντας ἴδοι τις ἄν. Ἔτι οὖν ζητήσομεν πόθεν ῥᾳθυμία τοσαύτη καὶ εὐλαβείας ὑπεροψία γέγονεν, ὅταν οὕτως ὦμεν ἀπεχθῶς πρὸς τοὺς πατέρας διακείμενοι τοὺς ἡμετέρους; Οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν, ὃ καταλῦσαι καὶ διαφθεῖραι Ἐκκλησίαν δύναιτ' ἄν, μᾶλλον δὲ οὐκ ἔστιν οὕτω γενέσθαι τοῦτο ἀλλαχόθεν ῥᾳδίως, ἀλλ' ἢ ὅταν οἱ μαθηταὶ τοῖς διδασκάλοις, καὶ τοῖς πατράσιν οἱ παῖδες, καὶ τοῖς ἄρχουσιν οἱ ἀρχόμενοι μὴ μετὰ πολλῆς ὦσι συνδεδεμένοι τῆς ἀκριβείας. Εἶτα ἂν μὲν τὸν ἀδελφόν τις εἴπῃ κακῶς, καὶ τῆς ἀναγνώσεως τῶν θείων ἀπείργεται Γραφῶν. *Ἵνα τί γὰρ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου;* φησὶν ὁ Θεός· εἶτα τὴν αἰτίαν τιθεὶς, ἐπήγαγε· *Καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις.* [189] Τὸν πνευματικὸν δὲ πατέρα κατηγορῶν, ἄξιον εἶναι νομίζεις σαυτὸν ἐπιβῆναι τῶν ἱερῶν προθύρων; Καὶ πῶς ἂν ἔχοι λόγον; Εἰ γὰρ οἱ κακολογοῦντες πατέρα ἢ μητέρα θανάτῳ τελευτῶσι, ποίας ἄξιος ἔσται δίκης ὁ τὸν πολλῷ τῶν γονέων ἐκείνων ἀναγκαιότερον ὄντα καὶ βελτίω τολμῶν λέγειν κακῶς; Καὶ οὐ δέδοικε, μήποτε διαστᾶσα ἡ γῆ παντελῶς αὐτὸν ἀφανίσῃ, ἢ σκηπτὸς ἄνωθεν κατενεχθεὶς καταφλέξῃ τὴν κατήγορον γλῶτταν; Οὐκ ἤκουσας τί πέπονθεν ἡ Μωϋσέως ἀδελφὴ κατειποῦσα τοῦ ἄρχοντος; πῶς ἀκάθαρτος γέγονε, καὶ εἰς λέπραν ἐνέπεσε, καὶ τὴν ἐσχάτην ὑπέμεινεν ἀτιμίαν, καὶ τοῦ ἀδελφοῦ παρακαλοῦντος καὶ τῷ Θεῷ προσπίπτοντος, οὐδεμιᾶς ἔτυχε συγγνώμης, ἀλλὰ καὶ ἐκβεμένη τὸν ἅγιον ἐκεῖνον, καὶ πρὸς τὴν ἀνατροφὴν αὐτοῦ συντελέσασα, καὶ ὅπως ἡ μήτηρ γένοιτο τροφὸς, καὶ μὴ ἐν βαρβαρικῇ χειρὶ τραφῇ τὸ παιδίον ἐξαρχῆς συμπράξασα, καὶ μετὰ ταῦτα στρατηγήσασα τοῦ γυναικείου γένους, καθάπερ Μωϋσῆς τοῦ τῶν ἀνδρῶν, καὶ πάντα συνδιενεγκοῦσα τὰ δεινὰ, καὶ ἀδελφὴ Μωϋσέως οὖσα, οὐδὲν ὅμως ἀπὸ τούτων ἁπάντων ἐκέρδανεν εἰς τὸ διαφυγεῖν τὴν ὀργὴν τοῦ Θεοῦ ἐπὶ τῇ κακηγορίᾳ; ἀλλ' ὁ Μωϋσῆς, ὁ τοσοῦτον λαὸν ἐξαιτησάμενος μετὰ τὴν ἄφατον ἀσέβειαν ἐκείνην, οὗτος ὑπὲρ τῆς ἀδελφῆς προσπίπτων καὶ συγγνώμην αἰτῶν, οὐκ ἴσχυσεν ἱλεὼ ποιῆσαι τὸν Θεὸν, ἀλλὰ καὶ ἐπετιμᾶτο σφοδρῶς· ἵνα μάθωμεν ἡμεῖς ὅσον κακόν ἐστι, τὸ τοὺς ἄρχοντας λέγειν κακως, καὶ τοὺς ἑτέρων κρίνειν βίους. Καὶ γὰρ ἐπὶ τῆς ἡμέρας ἐκείνης, οὐκ ἀφ' ὧν ἁμαρτάνομεν μόνον, ἀλλὰ καὶ ἀφ' ὧν ἑτέροις ἐψηφισάμεθα, κρινεῖ πάντως ἡμῖν ὁ Θεός· καὶ πολλάκις ὃ τῇ φύσει κοῦφόν ἐστιν ἁμάρτημα, τοῦτο χαλεπὸν καὶ ἀσύγγνωστον γίγνεται τῇ τοῦ ἁμαρτάνοντος περὶ ἑτέρου κρίσει. Τάχα ἀσαφὲς τὸ εἰρημένον· οὐκοῦν αὐτὸ σαφὲς ποιῆσαι πειράσομαι. Ἥμαρτέ τις· ἕτερον ἁμαρτάνοντα τὴν αὐτὴν ἁμαρτίαν κατεδίκασε σφοδρῶς. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ σὺ τοσαύτην ἐπισπᾶται κόλασιν, ὅσην ἡ φύσις τῆς ἁμαρτίας ἀπαιτεῖ, ἀλλὰ καὶ διπλασίονα πολλῷ καὶ τριπλασίονα· οὐ γὰρ ἀφ' ὧν αὐτὸς ἥμαρτεν, ἀλλ' ἀφ' ὧν ἕτερον ἁμαρτάνοντα τὰ αὐτὰ χαλεπῶς ἐκόλασε, ψηφιεῖται αὐτῷ τὴν τιμωρίαν ὁ Θεός. Καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, ἀπὸ τῶν γεγενημένων καὶ ἐκβάντων, μειζόνως, ὅπερ ὑπεσχόμην ὑμῖν, αὐτὸ ποιήσω καταφανές. Ὁ Φαρισαῖος, καίτοι γε αὐτὸς οὐδὲν ἁμαρτὼν, ἀλλὰ καὶ ἐν δικαιοσύνῃ ζήσας, καὶ πολλὰ ἔχων κατορθώματα εἰπεῖν, ἐπειδὴ τὸν τελώνην, τὸν ἅρπαγα καὶ πλεονέκτην καὶ παρανομώτατον κατεδίκασε, τοσαύτην ἔδωκε δίκην, ὡς ἐκείνου μείζονι τηρεῖσθαι κολάσει. Εἰ δὲ ὁ μηδὲν μὲν ἁμαρτὼν αὐτὸς, ἁμαρτάνοντα δὲ ἕτερον καὶ περιφανῆ πᾶσιν ἐπὶ παρανομίαις ὄντα, ῥήματι ψιλῷ καταδικάσας τοσαύτην ἐπεσπάσατο κόλασιν, οἱ πολλὰ μὲν καθ' ἑκάστην ἡμέραν ἁμαρτάνοντες, ἑτέρων δὲ βίους καταδικάζοντες, οὐδὲ ἐμφανεῖς ὄντας τινὶ, οὐδὲ δήλους, ἐννόησον ὅσην ὑποστησόμεθα κόλασιν, πῶς ἐκπεσούμεθα πάσης συγγνώμης. *Ἐν ᾧ γὰρ κρίματι, φησὶ, κρίνετε, καὶ ὑμεῖς κριθήσεσθε.*

ς'. Διὰ δὴ ταῦτα ἀντιβολῶ, καὶ παραινῶ, καὶ δέομαι, ταύτης ἀποστῆναι τῆς πονηρᾶς συνηθείας. Τοὺς μὲν [190] γὰρ ἱερέας κακῶς ἀκούοντας οὐδὲν παραβλαπτόμεν.

[a] Hæc, τί δὲ ἡμῶν ἀθλιώτερον, desunt in Morel. Sed habentur in Coislin. et a Gelenio lecta sunt.

οὐ μόνον ἂν ψευδῆ τὰ λεγόμενα ᾖ, ἀλλὰ κἂν ἀληθῆ· ἐπεὶ καὶ ὁ Φαρισαῖος τὸν τελώνην οὐδὲν κατέβλαψεν, ἀλλὰ καὶ ὠφέλησε, καίτοι γε ἀληθῆ περὶ αὐτοῦ λέγων· ἡμεῖς δὲ ἑαυτοὺς τοῖς ἐσχάτοις περιβαλοῦμεν κακοῖς· ἐπεὶ καὶ ὁ Φαρισαῖος καθ' ἑαυτοῦ τὸ ξίφος ὥθησε, καὶ καιρίαν πληγὴν λαβὼν ἀπῆλθεν. Ἵνα οὖν μὴ καὶ ἡμεῖς τὰ αὐτὰ πάθωμεν, κρατῶμεν ἀκολάστου γλώττης. Εἰ γὰρ τὸν τελώνην εἰπὼν κακῶς, οὐ διέφυγεν ἐκεῖνος, οἱ τοὺς πατέρας ἡμῶν κακῶς λέγοντες, ποίαν ἕξομεν ἀπολογίαν; εἰ τὸν ἀδελφὸν βλασφημήσασα Μαρία ἄπαξ, τοσαύτην ἔδωκε δίκην, ποίας σωτηρίας ἡμῖν ἐλπὶς, ὅταν μυρίαις καθ' ἑκάστην ἡμέραν τοὺς ἄρχοντας πλύνωμεν λοιδορίαις; Μὴ γάρ μοι τοῦτο λεγέτω τις, ὅτι ἐκεῖνος Μωϋσῆς ἦν· δυνήσομαι γὰρ εἰπεῖν καὶ ἐγὼ, ὅτι κἀκείνη Μαρία ἦν. Ἄλλως δὲ, ἵνα καὶ τοῦτο αὐτὸ μάθῃς ταφῶς, ὅτι εἰ καὶ ἐγκλημάτων ὑπεύθυνοι ὦσιν οἱ ἱερεῖς, οὐδὲ οὕτω σοι θέμις τὸν ἐκείνων βίον κρίνειν, ἄκουσον τί φησι περὶ τῶν ἀρχόντων τῶν Ἰουδαϊκῶν ὁ Χριστός· *Ἐπὶ τῆς Μωϋσέως καθέδρας ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι· πάντα οὖν, ὅσα ἂν λέγωσιν ὑμῖν ποιεῖν, ποιεῖτε· κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε.* Καὶ τί γένοιτ' ἂν χεῖρον ἐκείνων[a], ὧν ὁ ζῆλος ἔφθειρε τοὺς μαθητευομένους; Ἀλλ' ὅμως οὐδὲ οὕτω κατεβίβασεν αὐτοὺς ἀπὸ τῆς ἀξίας, οὐδὲ εὐκαταφρονήτους ἐποίησεν εἶναι τοῖς ἀρχομένοις· καὶ μάλα εἰκότως. Εἰ γὰρ ταύτης ἐπιλάβοιντο τῆς ἐξουσίας οἱ ἀρχόμενοι, ὀφθήσονται πάντας ἀποχειροτονοῦντες, καὶ ἐκ τοῦ ῥήματος καταβιβάζοντες. Διὰ τοῦτο καὶ Παῦλος τὸν ἀρχιερέα τῶν Ἰουδαίων ὑβρίσας, καὶ εἰπών, *Τύπτειν σε μέλλει ὁ Θεὸς, τοῖχε κεκονιαμένε· καὶ σὺ κάθῃ κρίνων με;* ἐπειδή τινων ἤκουσεν ἐπιστομιζόντων αὐτὸν, καὶ λεγόντων, *Τὸν ἀρχιερέα τοῦ Θεοῦ λοιδορεῖς;* δεῖξαι βουλόμενος, ὅσην ἀπονέμειν δεῖ τοῖ; ἄρχουσι τὴν αἰδῶ καὶ τὴν τιμὴν, τί φησιν; *Οὐκ ᾔδειν ὅτι ἀρχιερεύς τοῦ Θεοῦ ἐστιν.* Διὰ τοῦτο καὶ Δαυὶδ παρανομοῦντα λαβὼν τὸν Σαοὺλ, καὶ φόνου πνέοντα, καὶ μυρίας ὄντα κολάσεως ἄξιον, οὐ μόνον αὐτοῦ τῆς ζωῆς ἐφείσατο, ἀλλ' οὔτε ῥῆμα φορτικὸν εἰς αὐτὸν ἐκβαλεῖν ὑπέμεινε· καὶ τὴν αἰτίαν τίθησι λέγων, ὅτι *Χριστὸς Κυρίου ἐστίν.* Οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλὰ καὶ ἑτέρωθεν ἐκ πολλῆς τῆς περιουσίας ἔστιν ἰδεῖν, πῶς πόῤῥω ποὺ τὰ τῶν ἱερέων διορθοῦν τὸν ἀρχόμενον ἑστηκέναι χρή. Τῆς γὰρ κιβωτοῦ ποτε ἀναγομένης, ἐπειδή τινες τῶν ἀρχομένων περιτρεπομένην καὶ καταπίπτειν μέλλουσαν ἰδόντες ἀνώρθωσαν, ἐν αὐτῷ τῷ χωρίῳ δίκην ἔδοσαν, ὑπὸ τοῦ Κυρίου πληγέντες καὶ νεκροὶ μείναντες. Καίτοι γε οὐδὲν ἄτοπον ἐποίουν· οὐδὲ γὰρ ἀνέτρεπον τὴν κιβωτὸν, ἀλλ' ἀνατρέπεσθαι μέλλουσαν καὶ καταπίπτειν ἀνώρθουν. Ἀλλ' ἵνα ἐκ πολλῆς περιουσίας μάθῃς τῶν ἱερέων τὸ ἄξίωμα, καὶ πῶς οὐ θέμις τὸν ὑποτεταγμένον καὶ ἐν τάξει λαϊκῶν ὄντα τοιαῦτα ἐπανορθοῦν, ἀπέκτεινεν αὐτοὺς ἐν μέσῳ τῷ πλήθει, τοὺς ἄλλους πάντας ἐκ πολλῆς φοβῶν τῆς ὑπερβολῆς, καὶ πείθων μηδέποτε τοῖς τῆς ἱερωσύνης προσιέναι ἀδύτοις. Εἰ γὰρ δὴ μέλλοιεν ἕκαστοι ἐπὶ προφάσει τοῦ τὰ κακῶς γινόμενα διορθοῦν εἰς τὸ τῆς ἱερωσύνης εἰσάγειν ἑαυτοὺς ἀξίωμα, οὔτε [191] πρόφασις ἐπιλείψει διορθώσεώς ποτε, οὔτε ἄρχοντα, οὔτε ἀρχόμενον διαγνωσόμεθα, ἀναμεμιγμένων πάντων ἀλλήλοις. Καὶ μή μέ τις νομίσῃ τῶν ἱερέων κατεγνωκότα ταῦτα λέγειν (διὰ γὰρ τὴν τοῦ Θεοῦ χάριν, πολλὴν, ὡς καὶ ὑμεῖς ἴστε, τὴν ἐπιείκειαν ἐν ἅπασιν ἐπιδείκνυνται, καὶ οὐδεμίαν οὐδενί ποτε παρεσχήκασι λαβήν), ἀλλ' ἵνα ὑμεῖς μάθητε, ὅτι εἰ καὶ μοχθηροὺς εἴχετε πατέρας καὶ φορτικοὺς διδασκάλους, οὐδὲ οὕτως ἀκίνδυνον ὑμῖν ἦν, οὐδὲ ἀσφαλὲς βλασφημεῖν αὐτοὺς καὶ λοιδορεῖσθαι. Εἰ γὰρ ἐπὶ τῶν σωματικῶν γονέων σοφός τίς φησι, *Κἂν ἀπολίπῃ σύνεσιν, συγγνώμην ἔχε·* τί γὰρ αὐτοῖς ἀποδώσεις, καθὼς αὐτοί σοι; πολλῷ μᾶλλον ἐπὶ τῶν πνευματικῶν τοῦτον φυλάττεσθαι χρὴ τὸν νόμον, καὶ τὸν ἑκάστου βίον ἑαυτὸν ἕκαστον περιεργάζεσθαι καὶ πολυπραγμονεῖν, ἵνα μὴ ἀκούσωμεν κατ' ἐκείνην τὴν ἡμέραν, *Ὑποκριτά, τί βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ ἐν τῷ σῷ ὀφθαλμῷ οὐ κατανοεῖς δοκόν;* Καὶ γὰρ ὑποκριτῶν ἔργον, τὰ δημόσια μὲν καὶ πάντων ὁρώντων τὰς χεῖρας φιλεῖν τῶν ἱερέων, καὶ γονάτων ἅπτεσθαι, καὶ παρακαλεῖν ὑπὲρ αὐτῶν εὔχεσθαι, καὶ δεομένους βαπτίσματος ἐπὶ τὰς ἐκείνων τρέχειν θύρας, οἴκοι δὲ καὶ ἐν ἀγοραῖς τοὺς τοσούτων ἀγαθῶν αἰτίους ἡμῖν καὶ διακόνους μυρίοις πλύνειν ὀνείδεσιν, ἢ ἐτέρων ὀνειδιζόντων ἀνέχεσθαι. Εἰ μὲν γὰρ ἀληθῶς κακὸς ὁ πατὴρ, πῶς αὐτὸν ἀξιόπιστον εἶναι νομίζεις διάκονον τῆς τῶν φρικτῶν ἐκείνων μυσταγωγίας; Εἰ δὲ ἀξιόπιστος ἐκείνων εἶναί σοι δοκεῖ διάκονος, τίνος ἕνεκεν ἀνέχῃ κακῶς ἑτέρων λεγόντων αὐτὸν, καὶ οὐκ ἐπιστομίζεις, οὐδὲ ἀγαναχτεῖς, οὐδὲ δυσχεραίνεις, ἵνα παρὰ τοῦ Θεοῦ πολὺν τὸν μισθὸν ἀπολάβῃς, καὶ παρ' αὐτῶν ἐκείνων τῶν κατηγορούντων τὸν ἔπαινον; Κἂν γὰρ μυριάκις ὦσιν ὑβρισταὶ, πάντως ἐπαινέσονταί σε καὶ ἀποδέξονται τῆς περὶ τοὺς πατέρας κηδεμονίας· ὥσπερ, ἂν μὴ τοῦτο ποιῶμεν ἅπαντες ἡμῶν καταγνώσονται, καὶ αὐτοὶ οἱ κακῶς λέγοντες. Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινὸν, ἀλλ' ὅτι καὶ ἐκεῖ τὴν ἐσχάτην δώσομεν δίκην. Οὐδὲν γὰρ οὕτω τὰς Ἐκκλησίας λυμαίνεται, ὡς τοῦτο τὸ νόσημα· καὶ καθάπερ σῶμα μὴ μετὰ ἀκριβείας συνδεδεμένον τῇ τῶν νεύρων περιβολῇ, πολλὰς τίκτει τὰς ἀῤῥωστίας, καὶ ἀβίωτον ποιεῖ τὸν βίον· οὕτω καὶ Ἐκκλησία, μὴ σφοδρᾷ καὶ ἀῤῥαγεῖ τῇ τῆς ἀγάπης ἁλύσει περιβεβλημένη, μυρίους τίκτει πολέμους, καὶ τὴν ὀργὴν τοῦ Θεοῦ αὔξει, καὶ πολλῶν πειρασμῶν γίνεται ὑπόθεσις. Ἵνα οὖν μὴ ταῦτα συμβαίνῃ, μηδὲ τὸν Θεὸν παροξύνωμεν, καὶ τὰ ἡμέτερα ἐπαυξήσωμεν κακὰ, καὶ τὴν κόλασιν ἀπαραίτητον παρασκευάζωμεν, καὶ πολλῆς ἀηδίας πληρῶμεν τὴν ζωὴν τὴν ἡμετέραν, [b] πρὸς εὐφημίαν τὴν γλῶτταν μεταθέντες, τὸν ἑαυτῶν καθ' ἑκάστην ἡμέραν περιεργαζώμεθα βίον, καὶ τὴν ἑτέρων ζωὴν τῷ τὰ ἀπόῤῥητα μετὰ ἀκριβείας εἰδότι κρίνειν ἐπιτρέψαντες, αὐτοὶ τὰ ἑαυτῶν ἁμαρτήματα κρίνωμεν. Οὕτω γὰρ καὶ τὸ τῆς γεέννης δυνησόμεθα διαφυγεῖν πῦρ. Ὥσπερ γὰρ οἱ τὰ ἀλλότρια πολυπραγμονοῦντες κακὰ, τῶν οἰκείων οὐδένα ποιοῦνται λόγον· [192] οὕτως οἱ δεδοικότες εἰς τὸν ἑτέρων παρακύψαι βίον, πολλὴν ἑαυτοῖς τῶν πεπλημμεληκότων ποιήσονται τὴν φροντίδα· οἱ δὲ τὰ ἑαυτῶν ἀναλογιζόμενοι κακὰ, καὶ ταῦτα καθ' ἑκάστην κρίνοντες τὴν ἡμέραν, καὶ δίκας ἑαυτοὺς ἀπαιτοῦντες, ἧμερον ἕξουσι τότε τὸν δικαστήν. Καὶ τοῦτο ὁ Παῦλος δηλῶν ἔλεγεν· *Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα ὑπὸ Κυρίου.* Ἵν' οὖν διαφύγωμεν τὴν ψῆφον ἐκείνην, πάντα τὰ ἄλλα ἀφέντες, περιεργαζώμεθα τὴν ἑαυτῶν ζωὴν, καὶ κολάζωμεν τὸν λογισμὸν τὸν ἁμαρτάνειν ἀναπείθοντα, καὶ κατανύττωμεν τὸ συνειδὸς, καὶ λόγον ἑαυτοὺς ἀπαιτῶμεν τῶν πεπραγμένων ἡμῖν. Οὕτω γὰρ δυνησόμεθα κοῦφον τῶν ἁμαρτημάτων ποιήσαντες τὸ φορτίον, συγγνώμης ἀπολαῦσαι πολλῆς, καὶ τὸν παρόντα βίον μεθ' ἡδονῆς διάγειν, καὶ τῶν μελ-

[a] Sic Coislin, melius, quam Morel. τί δὲ γένοιτ' ἂν τοῦ βίου χεῖρον.

[b] Hæc, quæ in Mor. manca erant, in Coisl. sic restituuntur.

sive ementita, sive vera sint quæ de eis dicimus: quoniam et Pharisæus publicano nihil nocuit, sed et ipsi profuit, licet vera de eo diceret. Cæterum nobisipsis mala extrema ipsi accersimus, sicut et Pharisæus in seipsum gladium impulit, et letali accepta plaga abiit. Ut igitur ne et nos idem patiamur, imperemus indomitæ linguæ. Nam si is, qui publicano maledixit, pœnam non effugit, nos qui patribus nostris maledicimus, qua nos apologia tuebimur? si Maria, quod fratri semel maledixerit, tantam dedit pœnam (*Num.* 12. 10): cujus nobis salutis spes, cum nos quotidie principes infinitis conviciis afficimus? Ne mihi hoc quis dixerit, Ille Moses erat: potero enim et ego dicere, Illa Maria erat. Cæterum, ut et alia ratione hoc manifeste cognoscas, quod nec si criminum rei sint sacerdotes, de illorum tibi vita judicare fas sit, audi quid dicat de principibus Judæorum Christus: *Super cathedram Mosis sederunt scribæ et Pharisæi: omnia igitur quæcumque dixerint vobis, ut facialis, facite: juxta opera autem eorum ne facialis* (*Matth.* 23. 2. 3). Jam, quid illis pejus fuerit, quorum zelus futuris discipulis noxius erat? Attamen neque sic eos deposuit a dignitate, neque subditis despicabiles fecit: idque jure merito. Nam si semel hanc potestatem arripuerint subditi, statim magistratu privatos principes de dignitate deturbari videbimus. Eapropter Paulus cum principem sacerdotum Judæorum contumelia affecisset, ac dixisset: *Percutiet te Deus, paries dealbate: et tu judicans me sedes* (*Act.* 23. 3)? postquam autem quosdam audivit se increpantes, et dicentes: *Pontificem Dei conviciis incessis* (*Ib. v.* 4)? monstrare volens, quantum oportet sacerdotibus Dei exhibere honorem et reverentiam, quid dicit? *Nesciebam quod pontifex Dei esset* (*Ib. v.* 5). Propterea et David, cum Saulem apprehendisset prævaricatorem, et spirantem homicidium, multisque pœnis dignum: non solum ejus vitæ pepercit, sed neque ut verbum asperum in eum jaceretur, sustinuit, causamque ponens dicit: *Christus Domini est* (1. *Reg.* 24. 7). Neque hinc solum, sed et aliunde videre licet copiose, quomodo subditum procul a sacerdotum correptione abesse oportet. Nam cum aliquando arca reduceretur, et subditorum aliqui ad lapsum declinantem videntes erigerent, eo ipso in loco pœnam dederunt, et a Domino percussi, mortui manserunt, tametsi nihil agerent absurdum (2. *Reg.* 6. 7). Non enim subvertebant, sed lapsuram erigebant. Et ut ex abundanti sacerdotum dignitatem discas, et quomodo non sit fas subditum, et in ordine laicorum existentem talia corrigere: illos in media multitudine occidit, cæteros omnes hoc prodigio admodum terrens, et persuadens eis, ne ad adyta sacerdotii accedant. Si enim singuli obtentu male acta corrigendi in sacerdotii dignitatem se inferant, numquam deerit corrigendi occasio, et confusis inter se omnibus, inter principem et subditum non discernemus. Nemo hæc me dicere opinetur, quasi ad sacerdotes accusandos (per Dei namque gratiam in omnibus, ut et vos scitis, magnam exhibent probitatem, et nemini umquam criminandi ansam dederunt), sed ut discatis, etiamsi improbos haberetis patres, et molestos magistros, neque sic eis maledicere vobis securum et absque gravi periculo fore. Nam si de corporalibus parentibus sapiens quidam dicit: *Si sensu deficiat, veniam da* (*Eccli.* 3. 15): quid enim illis dabis, quale ipsi tibi? multo magis in spiritualibus hæc lex observanda: ac uniuscujusque officium est, ut suam ipsius vitam diligenter consideret, et excutiat, ne videlicet audiamus in die illo: *Hypocrita, quid vides festucam in oculo fratris tui, in tuo autem oculo trabem non consideras* (*Matth.* 7. 3)? Etenim hypocritarum opus est, publice quidem et omnibus videntibus osculari manus sacerdotum, genua tangere, supplicare, ut pro se orent, et baptismo indigentes ad illorum januas currere: domi autem et in foro tantorum bonorum nobis auctores et ministros multis afficere probris, vel conviciatoribus consentire. Quod si vere malus est pater, quomodo fide dignum putas tam terribilium sacramentorum ministrum? Si autem fide dignus tibi minister esse videtur, quare fers alios ei maledicentes, et non obturas eorum ora, neque stomacharis, neque ægre fers, ut et multam accipias a Deo mercedem, et laudem ab ipsis maledicis? Nam licet sexcenta convicia proferant, omnino tamen te laudabunt et amplexabuntur ob egregiam in patres curam: contra vero si hoc non faciamus, omnes nos condemnabunt, etiam illi ipsi qui maledicunt. Ad hæc accedit illud multo gravius, quod extremam illic dabimus pœnam. Quia nihil perinde sic Ecclesias labefactat atque morbus ille: et sicut corpus nervorum debita habitudine carens multas gignit ægritudines, et vitam facit molestam: ita Ecclesia non circumdata forti illa et infracta caritatis catena, plurima parturit bella, iram Dei auget, et multarum tentationum est occasio. Ne igitur hæc contingant, neve Deum exacerbemus, ne nostra augeamus mala, et pœnam certam indeclinabilemque comparemus, vitamque hanc multis molestiis repleamus: nostram ad bene loquendum linguam transferentes, nostram ipsorum vitam singulis diebus diligenter scrutemur; aliorum autem vitam ejus, qui etiam incognita accurate novit, judicio relinquentes, ipsi nostra peccata damnemus. Ita nobis gehennæ ignem licebit effugere. Nam sicut ii, qui in alienis curiosius explorandis malis occupati sunt, suorum peccatorum nullam habent rationem: ita qui ab aliena vita discutienda abhorrent, magnam suorum delictorum habebunt sollicitudinem: et qui sua considerant mala, illaque quotidie discutiunt, a seipsis exposcentes pœnas, mitem tunc habituri sunt judicem. Id quod Paulus declarans dicebat: *Nam si nosipsos judicaremus, non utique judicaremur a Domino* (1. *Cor.* 11. 31). Ut autem illam sententiam effugiamus, relictis omnibus aliis, magno studio vitam nostram examinemus, corrigamus cogitationes ad peccandum inducentes, conscientiam ad compunctionem flectamus, actorum nostrorum rationem repetamus. Sic enim poterimus facile peccatorum exonerari sarcina, multa venia frui, præsentemque simul vitam cum voluptate transmittere, et assequi

bona futura : gratia et misericordia Domini nostri Jesu Christi; per quem et cum quo Patri simul et Spiritui sancto sit gloria, in sæcula sæculorum. Amen.

MONITUM

Hasce tres homilias, quarum prior in illud, *Propter fornicationes*, etc., altera de Libello repudii, tertia, *Quales ducendæ sint uxores*, eodem tempore consequenter habitas fuisse conspicuum est. Secundam enim paucis post primam diebus pronuntiatam fuisse clare dicitur initio : Περὶ γάμου πρώην, *De nuptiis nuper*, id est, paucis ante diebus ; ubi locum ipsum Pauli, *Propter fornicationes*, etc., quem in priori explanandum susceperat, ad verbum repetit. Tertiam pari modo paucis post secundam diebus secutam esse indicat Chrysostomus, cum sub initium dicit, se nuper, πρώην, de libello repudii locutum esse. In prima agitur præcipue de nuptiis, quo pacto scilicet contrahendæ sint : deque vitandis saltationibus, tripudiis, obscœnis cantibus solitis hymenæorum, quæ omnia sponsæ castitati noxia esse possunt. Invehitur postea Chrysostomus in eos, qui etiam post initum matrimonium scorta adire non cessant : ac nonnullorum opinionem evellit qui putabant adulterum non esse conjugatum, qui cum libera scortaretur. In secunda de libello repudii tractatur, et contra hodiernorum Græcorum sententiam et usum statuitur, non licere mulierem ducere, etiam pro causa adulterii repudiatam. Tertiæ argumentum prodit ipse titulus, *Quales ducendæ sint uxores :* nam per totam concionem agitur de sponsæ futuræ moribus explorandis et addiscendis, antequam conjugium ineatur.

DE VERBIS ILLIS APOSTOLI,

PROPTER FORNICATIONES AUTEM UNUSQUISQUE SUAM UXOREM HABEAT (1. *Cor.* 7. 2) (*a*).

1. Ad mellis fontes etiam hodie statui vos deducere, mellis quod fastidium numquam parit. Ejusmodi namque Pauli verborum est natura ; et vero quicumque sua corda laticibus ex his fontibus haustis replent, per Spiritum sanctum loquuntur : imo vero mellis virtutem [1] etiam omnem exsuperat sacrorum eloquiorum voluptas. Atque hoc ut indicaret propheta dicebat : *Quam dulcia faucibus meis eloquia tua, super mel ori meo* (*Psal.* 118. 103). Neque vero melle dulcior tantum, sed et auro ac lapillo quovis pretiosior, et argento purior est voluptas eloquiorum sacrorum. *Eloquia* quippe *Domini, eloquia casta, argentum igne examinatum, probatum terræ, purgatum septuplum* (*Psal.* 11.7). Propterea quoque dicebat et sapiens quidam : *Comedere mel multum non bonum : honorare autem oportet sermones gloriosos* (*Prov.* 25. 27). Nam ex illo quidem morbus, quo caremus, sæpe gignitur ; horum autem opera et corporis ægritudinem, qua tenemur, deponere possumus : et mel quidem in concoctione corrumpitur, sacra vero eloquia cum fuerint concocta, tum jucundiora fiunt et utiliora cum illis, qui ea possident, tum aliis multis. Ac mensa quidem sensibus subjecta dum affatim quispiam fruitur, si deinde illinc saturatus ructet, injucundus fit ei qui illum convivio excepit : si vero spirituali doctrina expletus eructet, multum suavem odorem diffundit in proximum. David quidem certe cum his dapibus se frequenter expleret, dicebat : *Eructavit cor meum verbum bonum* (*Psal.* 44. 2). Nam et malum verbum possumus eructare. Et quemadmodum in hac sensili mensa pro conditione cibariorum qualitatem eorum, quæ eructantur, cernimus apparere : sic nimirum et in virtute verborum, qualibus pascuntur, talia plerique homines

[1] Unus, *voluptatem.*

(*a*) Collata cum Codicibus Colbertinis 970 [nunc Reg. 748], et 1030.

λόντων ἐπιτυχεῖν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

AD TRES HOMILIAS SEQUENTES.

In tertiæ titulo Editionis Morellianæ legitur Græce atque Latine, *Laus Maximi, et quales ducendæ sint uxores.* Sic vero legit etiam Sigismundus Gelenius interpres. In Editione vero Savilii, et in duobus quibus usi sumus Mss. illud, ἐγκώμιον εἰς Μάξιμον, desideratur. Nec tamen existimo illud additamentum esse spernendum : non enim divinando hic titulus appositus fuisse videtur ; sed qui titulum apposuit, rei gnarus ita scripserit, vel fortasse Chrysostomus ipse sic initio titulum concinnaverit. Putat Hermantius hunc esse Maximum illum episcopum Seleuciæ in Isauria, qui in præcedenti conventu loco Chrysostomi concionem habuerat : id autem non absimile vero est. Ex eis porro quæ sub initium dicit, Ὁ γάρ μετ' ἐμοῦ ζυγὸν ἕλκων, *Meus enim in trahendo jugo compar, nuper proscisso sulco, ubere lingua, inspersit etiam semina*, ex iis, inquam, argui videtur tunc Chrysostomum fuisse episcopum Constantinopolitanum. Nam illo Constantinopoli sedente, alii diversarum civitatum episcopi in hac regia urbe identidem ipso annuente concionabantur, quod non semel fecit etiam Severianus Gabalorum episcopus, ut in Vita Chrysostomi pluribus narrabitur.

Primæ homiliæ interpretatio Latina est Frontonis Ducæi ; secundæ incerti cujusdam, tertiæ Sigismundi Gelenii. Duas postremas multis in locis emendavimus.

[193] ΕΙΣ ΤΟ ΑΠΟΣΤΟΛΙΚΟΝ ΡΗΤΟΝ

Διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω.

α'. Πρὸς τὰς τοῦ μέλιτος πηγὰς καὶ τήμερον ὑμᾶς χειραγωγῆσαι βούλομαι, μέλιτος οὐδέποτε κόρον ἔχοντος. Τοιαύτη γὰρ τῶν Παύλου ῥημάτων ἡ φύσις, καὶ πάντες δὲ, ὅσοι πληροῦσι τὰς ἑαυτῶν καρδίας ἐκ τῶν πηγῶν τούτων, διὰ τοῦ Πνεύματος τοῦ ἁγίου φθέγγονται· μᾶλλον δὲ καὶ μέλιτος ἀρετὴν [a] ἀποκρύπτει πᾶσαν ἡ τῶν θείων ἡδονὴ λογίων. Καὶ τοῦτο δηλῶν ὁ Προφήτης ἔλεγεν, *Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι* [b] *τῷ στόματί μου.* Οὐ μέλιτος δέ ἐστιν ἡδίων μόνον, ἀλλὰ καὶ χρυσίου καὶ λίθου παντὸς τιμιωτέρα καὶ ἀργυρίου παντὸς καθαρωτέρα ἡ ἡδονὴ τῶν θείων λογίων. *Τὰ λόγια γὰρ Κυρίου*, φησὶ, *λόγια ἁγνὰ, ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ, κεκαθαρισμένον ἑπταπλασίως.* Διὰ τοῦτο καί τις σοφὸς ἔλεγεν [c]· *Ἔσθιειν μέλι πολὺ οὐ καλόν, τιμᾶν δὲ χρὴ λόγους ἐνδόξους.* Ἐξ ἐκείνου μὲν γὰρ καὶ νόσος οὐκ οὖσα τίκτεται πολλάκις, ἀπὸ δὲ τούτων καὶ τὴν οὖσαν ἀῤῥωστίαν ἀποθέσθαι δυνάμεθα· καὶ τὸ μὲν μέλι κατὰ πέψιν διαφθείρεται, τὰ δὲ λόγια τὰ θεῖα, ὅταν πεφθῇ, τότε καὶ ἡδίω γίνεται καὶ χρησιμώτερα, αὐτοῖς τε τοῖς ἔχουσι, καὶ ἑτέροις πολλοῖς. Καὶ τραπέζης μέν τις αἰσθητῆς μετὰ δαψιλείας ἀπολαύων, εἶτα ἐκεῖθεν ἐρευγόμενος, ἀηδὴς τῷ κοινωνοῦντι γίνεται· ἀπὸ διδασκαλίας δέ τις ἐρευξάμενος πνευματικῆς, πολλῆς τῆς εὐωδίας μεταδίδωσι τῷ πλησίον. Ὁ γοῦν Δαυὶδ τοιαύτης συνεχῶς ἀπολαύων ἑστιάσεως ἔλεγεν, *Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν.* Ἔστι γὰρ καὶ πονηρὸν λόγον ἐρεύξασθαι. Καὶ καθάπερ ἐπὶ τῆς αἰσθητῆς τραπέζης κατὰ τὴν φύσιν τῶν ἐδεσμάτων καὶ ἡ τῆς ἐργῆς ποιότης ἐκδίδοται· οὕτω δὴ καὶ ἐπὶ τῆς τῶν ῥημάτων δυνάμεως, οἷάπερ ἂν σιτῶνται, τοιαῦτα

[a] Unus μέλιτος ἡδονήν.
[b] Addit cod. 748 καὶ κηρίον.
[c] Duo Mss. καί τις παραινῶν ἔλεγεν.

καὶ ἐρεύγονται πολλοὶ τῶν ἀνθρώπων. Οἷον ἐὰν εἰς θέατρον ἀναβῇς καὶ πορνικῶν ᾀσμάτων ἀκούσῃς, τοιαῦτα καὶ ἐρεύξῃ πάντως εἰς τὸν πλησίον ῥήματα· ἂν δὲ εἰς τὴν ἐκκλησίαν ἐλθὼν, μετάσχῃς ἀκουσμάτων πνευματικῶν, τοιαύτας ἕξεις καὶ τὰς ἐρυγάς. Διὰ τοῦτο καὶ ὁ Προφήτης ἔλεγεν, *Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν*, τῆς τραπέζης, ἧς ἀεὶ μετεῖχε, τὴν βρῶσιν ἡμῖν [a] ἐνδεικνύμενος. Τούτῳ καὶ ὁ Παῦλος πειθόμενος, παρῄνει λέγων· *Πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω, ἀλλ' εἴ τις ἀγαθός*. Καὶ τίς ἐστιν ὁ σαπρὸς, φησίν; Ἐὰν μάθῃς τὸν ἀγαθὸν, τότε εἴσῃ καὶ τὸν σαπρόν· πρὸς γὰρ τὴν ἀντιδιαστολὴν ἐκείνου τοῦτον τέθεικε. Τίς οὖν ἐστιν ὁ ἀγαθὸς, οὐδὲν δεήσῃ παρ' ἐμοῦ μαθεῖν· αὐτὸς γὰρ ἡμῖν αὐτοῦ τὴν φύσιν ἡρμήνευσεν. Εἰπὼν γὰρ, *Εἴ τις ἀγαθὸς*, ἐπήγαγε, *Πρὸς οἰκοδομὴν τῆς Ἐκκλησίας*, δεικνὺς ὅτι οὗτός ἐστιν ἀγαθὸς ὁ τὸν πλησίον οἰκοδομῶν. Ὥσπερ οὖν ὁ οἰκοδομῶν, ἀγαθὸς, οὕτως ὁ καθαιρῶν, σαπρὸς καὶ [194] φαῦλος.

Καὶ σὺ τοίνυν, ἀγαπητὲ, εἰ μὲν ἔχεις τι τοιοῦτον εἰπεῖν, ὃ δύναται βελτίω ποιῆσαι τὸν ἀκούοντα, μὴ κωλύσῃς λόγον ἐν καιρῷ σωτηρίας· εἰ δὲ μηδὲν τοιοῦτον ἔχεις, ἀλλὰ πονηρὰ καὶ διεφθαρμένα ῥήματα, σίγησον, μὴ κατηγορήσῃς τοῦ πλησίον. Οὗτος γὰρ ὁ λόγος σαπρός ἐστιν, οὐχ οἰκοδομῶν τὸν ἀκούοντα, ἀλλὰ καὶ ναταστρέφων. Ἂν τε γὰρ ἀρετῆς ἐπιμελῆται, πρὸς ἀπόνοιαν αἴρεται πολλάκις· ἄν τε ἠμελημένος ᾖ, ῥᾳθυμότερος γίνεται. Ἂν αἰσχρὸν μέλλῃς φθέγγεσθαι ῥῆμα καὶ γέλωτος γέμον, σίγησον. Καὶ γὰρ καὶ οὗτος ὁ λόγος σαπρός ἐστι, τόν τε λέγοντα τόν τε ἀκούοντα ἀσελγεστέρους ποιῶν, καὶ τὰς ἐν ἑκάστῳ πονηρὰς ἐπιθυμίας ἀνάπτων. Ὥσπερ οὖν τῷ πυρὶ τὰ ξύλα τροφὴ γίνεται καὶ ὕλη, οὕτω τοῖς πονηροῖς βουλεύμασι τὰ ῥήματα. Διὰ τοῦτο οὐ χρὴ πάντα, ἅπερ ἂν ἔχωμεν ἐν διανοίᾳ, φθέγγεσθαι πάντως· ἀλλὰ σπουδάζειν μὲν καὶ τῆς διανοίας αὐτῆς ἐξορίζειν τὰς πονηρὰς ἐπιθυμίας καὶ πᾶσαν αἰσχρὰν ἔννοιαν. Εἰ δέ ποτε λαθόντες παραδεξόμεθα ῥυπαροὺς λογισμοὺς, μηδέποτε διὰ τῆς γλώττης αὐτοὺς ἐκφέρωμεν, ἀλλ' ἀποπνίγωμεν αὐτοὺς διὰ τῆς σιγῆς. Καὶ γὰρ καὶ θηρία καὶ ἑρπετὰ εἰς λάκκον ἐμπίπτοντα, ἂν μὲν εὕρῃ τινὰ διέξοδον ἄνωθεν, ἀναβάντα ἀγριώτερα γίνεται· ἂν δὲ μένῃ κάτω διηνεκῶς συγκεκλεισμένα, πάντοθεν ἀπόλλυται ῥᾳδίως καὶ ἀφανίζεται· οὕτω δὴ καὶ τὰ πονηρὰ ἐνθυμήματα, ἂν μὲν εὕρῃ τινὰ διὰ τοῦ στόματος ἡμῶν καὶ τῶν ῥημάτων ἔξοδον, ἀνάπτει τὴν ἔνδον φλόγα· ἂν δὲ ἀποκλείσῃς αὐτὰ διὰ τῆς σιγῆς, ἀσθενέστερα γίνεται, καὶ καθάπερ λιμῷ τηκόμενα τῇ σιωπῇ, ταχέως ἐναποθνήσκει τῇ διανοίᾳ. Ὥστε κἂν ἐπιθυμήσῃς τινὰ αἰσχρὰν ἐπιθυμίαν, μὴ φθέγξῃ δὲ ῥῆμα αἰσχρὸν, κατέσβεσας καὶ τὴν ἐπιθυμίαν. Οὐκ ἔχεις διάνοιαν καθαράν; Κἂν στόμα ἔχε καθαρὸν, καὶ μὴ κενώσῃς ἔξω τὸν βόρβορον, ἵνα μὴ καὶ ἕτερον καὶ σαυτὸν καταβλάψῃς. Οὐ γὰρ τοῖς λέγουσι μόνον, ἀλλὰ καὶ τοῖς ἀκούουσιν αἰσχρὰ φθεγγομένων ἑτέρων πολλὴ προσγίνεται κηλίς. Διὰ τοῦτο παραινῶ καὶ συμβουλεύω, μὴ μόνον τοῦ λέγειν τὰ τοιαῦτα, ἀλλὰ καὶ λεγόντων ἑτέρων τοῦ ἀκούειν ἀπέχεσθαι, καὶ τῷ θείῳ προσηλῶσθαι νόμῳ διηνεκῶς. Τὸν γὰρ τοιοῦτον καὶ ὁ Προφήτης μακαρίζει, λέγων· *Μακάριος ἀνὴρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν, καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη, καὶ ἐπὶ καθέδραν λοιμῶν οὐκ ἐκάθισεν· ἀλλ' ἢ ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός*.

β'. Ἐν μὲν οὖν τοῖς ἔξωθεν συλλόγοις, εἰ καί τι λεχθείη ποτὲ χρηστὸν, ἀλλ' ἐν πολλοῖς τοῖς φαύλοις μόλις ἓν ὑγιὲς οἱ πολλοὶ φθέγγονται· ἐπὶ δὲ τῶν θείων Γραφῶν τοὐναντίον ἅπαν· πονηρὸν μὲν οὐδένα οὐδέποτε ἀκούσῃ λόγον, πάντας δὲ σωτηρίας καὶ πολλῆς γέμοντας φιλοσοφίας· οἷα δὴ καὶ τὰ σήμερον ἡμῖν ἀναγνωσθέντα. Τίνα δὲ ταῦτά ἐστι; *Περὶ δὲ ὧν ἐγράψατέ μοι, φησὶ, καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα*. Περὶ γάμων ὁ Παῦλος νομοθετεῖ, καὶ οὐκ αἰσχύνεται, οὐδὲ ἐρυθριᾷ· καὶ μάλα εἰκότως. Εἰ γὰρ ὁ Δεσπότης [195] αὐτοῦ γάμον ἐτίμησε, καὶ οὐκ ἐπῃσχύνθη, ἀλλὰ καὶ τῇ παρουσίᾳ καὶ τῷ δώρῳ τὸ πρᾶγμα ἐκόσμησε (καὶ γὰρ καὶ δῶρα τῷ γάμῳ μείζονα ἁπάντων εἰσήνεγκε, τὴν τοῦ ὕδατος φύσιν εἰς οἶνον μεταβαλών), πῶς ὁ δοῦλος ἠρυθρίασεν ἂν περὶ γάμου νομοθετῶν [b]; Οὐ γὰρ πονηρὸν ὁ γάμος πρᾶγμα, ἀλλὰ πονηρὸν ἡ μοιχεία, πονηρὸν ἡ πορνεία· γάμος δὲ πορνείας ἀναιρετικὸν φάρμακον. Μὴ τοίνυν αὐτὸν ἀτιμάζωμεν ταῖς διαβολικαῖς πομπαῖς· ἀλλ', ὅπερ ἐποίησαν οἱ ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ οἱ νῦν γυναῖκας λαμβάνοντες ποιείτωσαν, τὸν Χριστὸν ἐκέτωσαν μέσον. Καὶ πῶς δυνατὸν τοῦτο γενέσθαι, φησί; Δι' αὐτῶν τῶν ἱερέων· *Ὁ δεχόμενος γὰρ, φησὶν, ὑμᾶς, ἐμὲ δέχεται*. Ἂν τοίνυν τὸν διάβολον ἀπελάσῃς, ἂν τὰ πορνικὰ ᾄσματα, καὶ τὰ κεκλασμένα μέλη, καὶ τὰς ἀτάκτους χορείας, καὶ τὰ αἰσχρὰ ῥήματα, καὶ τὴν διαβολικὴν πομπὴν, καὶ τὸν θόρυβον, καὶ τὸν κεχυμένον γέλωτα καὶ τὴν λοιπὴν ἐξελάσῃς ἀσχημοσύνην, εἰσαγάγῃς δὲ τοὺς ἁγίους Χριστοῦ δούλους, καὶ ὁ Χριστὸς δι' αὐτῶν παρέσται πάντως μετὰ τῆς μητρὸς καὶ τῶν ἀδελφῶν· Ὅς γὰρ ἂν *ποιήσῃ, φησὶ, τὸ θέλημα τοῦ Πατρός μου, οὗτός μου ἀδελφὸς καὶ ἀδελφὴ καὶ μήτηρ ἐστι*. Καὶ οἶδα ὅτι βαρύς τισιν εἶναι δοκῶ καὶ φορτικὸς, ταῦτα παραινῶν καὶ παλαιὸν ἔθος ἐκκόπτων. Πλὴν ἀλλ' οὐδέν μοι τούτου μέλει· οὐ γὰρ τῆς χάριτος τῆς παρ' ὑμῶν, ἀλλὰ τῆς ὠφελείας δέομαι τῆς ὑμετέρας· οὐ τῶν κρότων καὶ τῶν ἐπαίνων, ἀλλὰ τοῦ κέρδους καὶ τῆς φιλοσοφίας. Μή μοι λεγέτω τις, ὅτι ἔθος ἐστίν· ὅπου ἁμαρτία τολμᾶται, ἔθους μὴ μνησθῇς· ἀλλ', εἰ μὲν πονηρὰ τὰ γινόμενα, κἂν παλαιὸν ἔθος ᾖ, κατάλυσον· ἂν δὲ μὴ πονηρὰ, κἂν συνήθεια μὴ ᾖ, εἰσάγαγε καὶ καταφύτευσον. Ὅτι δὲ οὐ παλαιὸν ἔθος ἦν τὸ τοιαῦτα ἀσχημονεῖν, ἀλλὰ καὶ νοτομία τίς ἐστι τὰ γινόμενα, ἀναμνήσθητι πῶς ἔγημεν ὁ Ἰσαὰκ τὴν Ῥεβέκκαν, πῶς ὁ Ἰακὼβ τὴν Ῥαχήλ. Καὶ γὰρ τῶν γάμων αὐτῶν μέμνηται ἡ Γραφὴ, καὶ πῶς εἰς τὰς οἰκίας τῶν νυμφίων ἦχθησαν αὗται αἱ νύμφαι λέγει, καὶ οὐδενὸς τοιούτου μέμνηται· ἀλλὰ συμπόσιον μὲν καὶ δεῖπνον ἐποιήσαντο τοῦ συνήθους φαιδρότερον, καὶ τοὺς προσήκοντας ἐκάλεσαν

[a] Duo mss. τὴν φύσιν ἡμῖν.

[b] Duo mss. μεταβαλὼν, εἰκότως. Οὐδὲ ὁ δοῦλος ἐρυθριᾷ περὶ τούτων νομοθετῶν.

etiam eructant. Exempli causa, si in theatrum ascenderis, et meretricias cantilenas audiveris, talia plane verba in proximum etiam eructabis : quod si ad ecclesiam veniens spiritualis particeps fueris lectionis, ejusmodi erunt etiam quæ eructabis. Propterea quoque dicebat propheta, *Eructavit cor meum verbum bonum*, ut mensæ dapes, qua fruebatur semper nobis ostenderet. Hoc etiam incitatus, nos cohortabatur his verbis utens Paulus : *Omnis sermo malus ex ore vestro non procedat, sed si quis bonus* (*Eph.* 4. 29). Et quis est malus, dicet aliquis? Si bonum didiceris, tum etiam malum scies, nam ad distinctionem illius hunc posuit. Quis ergo bonus sit, non erit opus ut ex me discas : ipse quippe nobis ejus naturam declaravit. Cum enim dixisset, *Si quis bonus*, adjecit, *Ad ædificationem Ecclesiæ* (*Ibid.*), bonum eum esse ostendens, qui ædificat proximum. Ut igitur is qui ædificat, bonus est : ita qui destruit, malus et pravus est.

Lingua quomodo coercenda. — Et tu igitur, dilectissime, si quidem tale quid proferre possis, quod meliorem reddere possit auditorem, ne retineas verbum in tempore salutis : quod si nihil tale suppetat, sed prava tantum et corrupta verba, tace, ne proximum accuses. Hic enim malus est sermo, nec ædificat audientem, sed subvertit. Sive enim illi curæ sit virtus, in superbiam sæpius effertur : sive sit ignavus, negligentior evadit. Si turpe prolaturus sis verbum ac ridiculum, tace. Nam et hic malus est sermo, quo et is qui dicit, et is qui audit lasciviores redduntur, et in unoquoque pravæ libidinis inflammantur. Ut igitur ignis alimentum ligna sunt et sarmenta, ita pravæ cogitationes verbis aluntur. Idcirco non omnia quæ mente versamus, omnino eloqui nos oportet : sed ex ipsa mente pravas cupiditates omnemque fœdam cogitationem eliminare studendum est. Quod si quando nobis nec opinantibus turpes irrepserint ratiocinationes, numquam eas lingua efferamus, sed silentio suffocemus. Nam et belluæ ac serpentes si quando in fossam inciderint, et exitum quemdam sursum invenerint, ascendentes, ferociores evadunt; quod si deorsum conclusæ perpetuo manserint, omni modo perduntur facile atque exterminantur : sic nimirum et pravæ cogitationes, si quidem aliquem per os nostrum exitum nanciscantur interiorem flammam accendunt : sin autem eas per silentium concluseris, imbecilliores fiunt, et tamquam fame confectæ per silentium, celeriter in mente moriuntur. Itaque si qua te cogitatio turpis invadat, neque turpe verbum eloquaris, etiam cupiditatem exstingues. Non est tibi mens munda? Saltem mundum sit os, neque lutum foras ejicias, ne et alium et te ipsum offendas. Non enim illi tantum qui dicunt, sed etiam illi qui audiunt, multas contrahunt sordes, dum alii turpia loquuntur. Propterea cohortari et consulere non desino, ut non solum ab ejusmodi verbis efferendis, sed etiam, dum ab aliis efferuntur, audiendis abstineamus, et divinæ legi semper addicti simus. Qui enim ejusmodi fuerit, beatus a propheta prædicatur : *Beatus vir, qui non abii: in consilio impiorum, et in via peccatorum non stetit, et in cathedra pestilentiæ non sedit : sed in lege Domini voluntas ejus, et in lege ejus meditabitur die ac nocte* (*Psal.* 1. 1. 2).

2. Atque in profanis quidem conventibus, etsi aliquid fortasse boni aliquando dicitur, vix tamen inter multa prava unum quidpiam probum plerique loquuntur : dum autem sacræ leguntur Scripturæ, plane contrarium evenit : nullum sermonem pravum audies, omnes salutis ac philosophiæ modestiæque plenos, cujusmodi sunt quæ hodierno die sunt lecta. Quænam illa porro? *De quibus autem scripsistis mihi*, inquit, *bonum est homini mulierem non tangere : propter fornicationes autem unusquisque suam uxorem habeat, et unaquæque suum virum* (1. *Cor.* 7. 1. 2). De nuptiis leges sancit Paulus, neque eum pudet, nec erubescit; ac merito sane. Si enim nuptiis honorem detulit Dominus ejus, nec illarum eum puduit, sed et præsentia sua rem exornavit, et munere : siquidem munera contulit omnium maxima, cum aquæ naturam mutavit in vinum : qui potuisset pudere servum leges de nuptiis ferre? Non enim res mala sunt nuptiæ, sed mala res adulterium, mala res fornicatio : nuptiæ vero præsens sunt adversus fornicationem remedium.

Nuptiæ quomodo celebrandæ. Invehitur in lascivas pompas nuptiarum. — Ne igitur diabolicis eas pompis dehonestemus : sed quod factum est a civibus Canæ Galilææ, fiat et ab iis qui nunc ducunt uxores, Christum habeant in medio sedentem. Quo vero pacto id fieri potest, inquit? Per ipsos sacerdotes. *Qui enim*, inquit, *recipit vos, me recipit* (*Matth.* 10. 40). Si ergo diabolum abegeris, si meretricias cantilenas, et molles cantus, immodestas choreas, verba turpia, diabolicam pompam, tumultum, risum effusum, et reliquam turpitudinem amandaris, sanctos autem Christi servos introduxeris, Christus per ipsos plane aderit cum matre sua et fratribus. *Quicumque* enim *fecerit*, inquit, *voluntatem Patris mei, ipse meus frater, et soror et mater est* (*Matth.* 12. 50). Scio equidem gravem quibusdam et molestum videri me, dum ad hæc vos hortor, et antiquam reseco consuetudinem. Nihil tamen istud curo; neque enim tam gratia vestra, quam utilitate indigeo, non applausibus et laudibus, sed lucro et philosophia. Neque mihi quisquam dicat, consuetudo est : ubi peccatum committitur, noli consuetudinis mentionem facere; sed si quidem mala sint quæ geruntur, licet antiqua sit consuetudo, tolle illam : si mala non sint, licet consuetudo non sit, introduc illam et invehe. Cæterum antiquam non fuisse consuetudinem, ut tam turpes res fierent, sed invectam quamdam fuisse novitatem, cognosces, si recorderis, quo pacto duxerit uxorem Rebeccam Isaac, quo pacto Jacob Rachelem. Nam et nuptiarum meminit illarum Scriptura, et quo pacto fuerint in ædes sponsorum hæ sponsæ deductæ narrat, neque tale quidquam commemorat; sed convivium quidem et prandium solito lautius instruxerunt, et propinquos ad nuptias invitarunt : tibiæ vero ac fistulæ, cymba-

la, et temulentæ saltationes, ac reliqua omnis hujus temporis turpitudo procul aberat. At nostræ ætatis homines et hymnos in Venerem saltando canunt, et adulteria multa, et nuptiarum violationes, et illegitimos amores, illicitosque coitus [1], et alia plurima plena impietatis et ignominiæ cantica illo die canunt, et post ebrietatem ac tantam turpitudinem cum verbis obscœnis publice sponsam deducunt. Quo igitur pacto castitatem ab illa exigis, quæso, cum jam a primo die ad tantam impudentiam illam erudias, et in ejus conspectu ea fieri ac dici cures, quæ neque fas sit a probis mancipiis audiri? Tam diuturno tempore laboravit pater, dum virginem cum matre servaret, ut neque diceret, neque dicentem alium quoddam tale verbum audiret, et concavia, et gynæcea, et custodes, et januas, et vectes, et vespertinos progressus, et ut nemini, ne propinquorum quidem ulli se spectandam offerret, et alia multa, et his plura diligenter accurabat, et tu veniens cuncta illa uno die effudisti, ac per inhonestam illam pompam effecisti, ut impudens fieret, et verba depravata in sponsæ animam infudisti? Nonne inde quæ sequuntur mala proveniunt? non inde adulteria et zelotypiæ? nonne inde filiorum orbitates, viduitates, et immaturi parentum obitus? Cum enim dæmones cantibus illis invites, cum per obscœna verba cupiditatem illorum expleas, cum mimos et effeminatos in ædes introducas et totum theatrum, cum meretricibus domum compleas, et efficias, ut totus illic dæmonum cœtus lasciviat, quid sani, quæso, deinceps potes exspectare? Qua vero de causa et sacerdotes introducis, cum postero die talia sis perpetraturus? Vis magnificentiam fructuosam ostentare? Voca pauperum choros. Sed verecundaris et erubescis? Et quid hac absurditate pejus, cum in ædes diabolum pelliciens, nihil turpe te agere censeas, cum vero Christum inducturus sis, erubescas? Ut enim introeuntibus pauperibus advenit Christus, ita cum molles ac mimi choreas illic ducunt, lascivit in medio illorum diabolus. Atque ex illis quidem expensis nullum lucrum, sed et multum oritur damnum: ex his autem sumptibus multam cito mercedem reportabis. Atqui nullus eorum qui in urbe sunt, hoc præstitit? Tu vero incipe, et præclaræ istius consuetudinis auctor esse contende, ut eam tibi posteri acceptam ferant. Quod si æmuletur aliquis, et imitetur hanc consuetudinem, ad eos qui interrogabunt, dicere poterunt nepotes, ac nepotum filii, illum talem hanc optimam legem primum invexisse. Si enim exterius in certaminibus, dum convivia instruuntur, qui inutilia ista munera publica majorem ad magnificentiam provexerint, a vulgo celebrantur: multo magis in hoc publico munere spirituali laudabunt omnes, et gratiam habebunt ei, qui principium istud præclarum introduxerit, eique laudem liberalitatis hoc et utilitatem acquiret. Nam si et hoc ab aliis peractum fuerit, tibi qui primus semina jecisti fructuum illorum, mercedem proferet: hoc et te cito parentem efficiet, hoc et liberis auxilio erit, efficietque ut sponsus cum sponsa consenescat. Ut enim peccantibus frequenter Deus comminatur dicens: *Erunt filii vestri pupilli, et uxores vestræ viduæ* (*Exod.* 22. 24): sic illis qui in omnibus ipsi obediunt et senectutem beatam et omnia cum ea se daturum bona pollicetur.

3. Et vero Paulum possumus hoc dicentem audire, sæpe immaturas mortes a multitudine peccatorum allatas esse. *Ideo* enim, inquit, *inter vos multi infirmi, et imbecilles, et dormiunt multi* (1 *Cor.* 11. 30). Pauperes autem, si nutriantur, nihil evenire tale permittere, sed quamvis inopinatum quid incidat, remedium illos adhibere præsentissimum, ex ea puella cognosce quæ in Joppe morabatur. Nam et hanc mortuam jacentem circumstantes pauperes qui ab ea nutriebantur, et plorantes excitarunt, et ad vitam revocarunt (*Act.* 9 36 *et sqq.*). Tanto viduarum et pauperum oratio risu et chorea omni est utilior. Hic uno die durat delectatio, illic perennis est quæstus. Cogita quantum illud sit tot benedictionibus onustam sponsam sponsi domum introire. Quibus coronis splendidiora non sunt ista? quibus non divitiis utiliora? cum contra hic mos hodiernus extremæ sit dementiæ. Quamvis enim nec pœna, nec supplicium, iis qui tam inhoneste se gerunt, immineret, cogita quantum supplicium sit, tantis maledictis proscindi, populo spectante, cunctis audientibus, ab hominibus ebriis et mente depravatis. Nam pauperes quidem, ubi quid acceperint, benedicunt, infinita bona precantur: illi vero post ebrietatem, post voracitatem, omnes dicteriorum sordes in eorum capita effundunt, qui matrimonium contrahunt, et diabolicum certamen inter se quoddam instituunt: et quasi essent inimici qui conveniunt, sic illorum propinqui certant inter se uter plura de illis qui conjugio copulantur, fanda et nefanda probra effutiet; et adversarios imitantur: atque hæc illorum inter se contentio efficit; ut cum sponsa sponsus summo pudore suffundatur.

Dæmonum impulsu fiunt illa omnia. Mimos et saltatores arcet a nuptiis. — An igitur aliam, quæso, demonstrationem requiremus, ut hæc omnia ab illis fieri dicique dæmonum impulsu constet? Quis ergo deinceps ambiget, quin hæc omnia fiant ab illis ac dicantur, dæmonibus animas eorum impellentibus? Nemo plane: siquidem ejusmodi sunt diaboli remunerationes, cavillationes, ebrietates, et animæ delirium. Quod si quis eo, quod horum loco pauperes introducuntur, omine deterreatur, et calamitatis hoc indicium esse dicat, is hoc etiam discat, non pauperes ac viduas ali, sed molles ac meretrices, omnis molestiæ atque innumerorum esse malorum indicium et portentum. Sæpe namque meretrix jam ab illo ipso die ex amicis sponsum captivum abripiens discessit, amorem erga sponsam exstinxit, benevolentiam subdole avertit, dilectionem, antequam accenderetur, dissolvit, et adulterii semen injecit. Hæc pertimescere patres oportuit, etsi nihil aliud esset, ac mimos et saltatores nuptiarum ingressu prohibere. Sunt enim institutæ nuptiæ, non ut lasciviamus, nec ut scor-

[1] Hæc, *illicitosque coitus* (καὶ μίξεις ἀθέσμους), desunt in Editis, sed habentur in duobus Mss.

εἰς τοὺς γάμους· αὐλοὶ δὲ, σύριγγες, καὶ κύμβαλα, καὶ τὰ οἰνώδη [a] σκιρτήματα, καὶ ἡ λοιπὴ ἡ νῦν ἀσχημοσύνη πᾶσα ἐκποδὼν ἦν. Οἱ δὲ ἐφ' ἡμῶν καὶ ὕμνους εἰς τὴν Ἀφροδίτην ᾄδουσι χορεύοντες, καὶ μοιχείας πολλὰς, καὶ γάμων διαφθορὰς, καὶ ἔρωτας παρανόμους, καὶ μίξεις ἀθέσμους, καὶ πολλὰ ἕτερα ἀσεβείας καὶ αἰσχύνης γέμοντα ᾄσματα κατ' ἐκείνην ᾄδουσι τὴν ἡμέραν, καὶ μετὰ μέθην καὶ τοσαύτην ἀσχημοσύνην δι' αἰσχρῶν ῥημάτων δημοσίᾳ τὴν νύμφην πομπεύουσι. Πῶς οὖν αὐτὴν ἀπαιτεῖς σωφροσύνην, εἰπέ μοι, εἰς τοσαύτην ἀναίδειαν ἐκ πρώτης αὐτὴν παιδοτριβῶν τῆς ἡμέρας, καὶ παρασκευάζων ἐπ' ὄψεσιν αὐτῆς καὶ γίνεσθαι καὶ λέγεσθαι ταῦτα, ἃ μηδὲ σπουδαίοις ἀνδραπόδοις ἀκοῦσαι θέμις; Τοσοῦτον χρόνον ἐπόνεσεν ὁ πατὴρ μετὰ τῆς μητρὸς φυλάττων τὴν παρθένον, ὥστε μήτε εἰπεῖν, μήτε ἑτέρου ἀκοῦσαι λέγοντός τι τῶν τοιούτων ῥημάτων, καὶ θαλάμους, καὶ γυναικωνίτιδας, καὶ [196] φύλακας, καὶ θύρας, καὶ μοχλοὺς, καὶ τὰς ἐν ἑσπέρᾳ προόδους, καὶ τὸ μηδενὶ φαίνεσθαι μηδὲ τῶν ἐπιτηδείων, καὶ πολλὰ ἕτερα πλείονα τούτων πραγματευόμενος, καὶ σὺ πάντα ἐκεῖνα ἐν μιᾷ ἐλθὼν ἐξέχεας ἡμέρᾳ, ἀναίσχυντον αὐτὴν παρασκευάζων γενέσθαι διὰ τῆς ἀτίμου πομπῆς ἐκείνης, καὶ διεφθαρμένα ῥήματα εἰς τὴν ψυχὴν εἰσάγων τῆς νύμφης; Οὐκ ἐντεῦθεν τὰ μετὰ ταῦτα κακά; οὐκ ἐντεῦθεν μοιχεῖαι καὶ ζηλοτυπίαι; οὐκ ἐντεῦθεν ἀπαιδίαι καὶ χηρεῖαι καὶ ὀρφανίαι ἄωροι; Ὅταν γὰρ τοὺς δαίμονας καλῇς διὰ τῶν ᾀσμάτων, ὅταν τὴν ἐκείνων ἐπιθυμίαν πλημμυρίδι διὰ τῶν αἰσχρῶν ῥημάτων, ὅταν μίμους καὶ μαλακοὺς εἰς τὴν οἰκίαν εἰσάγῃς καὶ τὸ θέατρον ἅπαν, ὅταν πορνῶν ἐμπλήσῃς τὴν οἰκίαν, καὶ τῶν δαιμόνων ὁλόκληρον παρασκευάσῃς ἐκεῖ κωμᾶσαι τὸν χορὸν, τί προσδοκᾷς λοιπὸν ὑγιὲς, εἰπέ μοι; Τίνος δὲ ἕνεκεν καὶ ἱερέας εἰσάγεις, μέλλων τῇ ὑστεραίᾳ τοιαῦτα τελεῖν; Βούλει φιλοτιμίαν ἐπιδείξασθαι κέρδος ἔχουσαν; Κάλεσον χοροὺς πενήτων. Ἀλλ' αἰσχύνῃ πάντως, καὶ ἐρυθριᾷς; Καὶ τί ταύτης τῆς ἀλογίας χεῖρον, ὅταν τὸν μὲν διάβολον ἕλκων εἰς τὴν οἰκίαν, μηδὲν νομίζῃς αἰσχρὸν ποιεῖν, τὸν δὲ Χριστὸν μέλλων εἰσάγειν, ἐρυθριᾷς; Ὥσπερ γὰρ πενήτων εἰσιόντων ὁ Χριστὸς παραγίνεται, οὕτω μαλακῶν καὶ μίμων ἐκεῖ χορευόντων ὁ διάβολος ἐν τῷ μέσῳ κωμάζει. Καὶ ἀπὸ μὲν τῆς δαπάνης ἐκείνης κέρδος οὐδὲν, ἀλλὰ καὶ πολλὴ γένοιτ' ἂν ἡ βλάβη· ἀπὸ δὲ τούτων τῶν ἀναλωμάτων πολύν τινα λήψῃ τὸν μισθὸν ταχέως. Ἀλλὰ οὐδεὶς ἐπὶ τῆς πόλεως τοῦτο εἰργάσατο; Ἀλλὰ σὺ κατάρξαι σπούδασον καὶ ἀρχηγὸς γενέσθαι τῆς καλῆς ταύτης συνηθείας, ἵνα καὶ οἱ μετὰ ταῦτα εἰς σὲ ἀναφέρωσι. Κἂν ζηλώσῃ τις, κἂν μιμήσηται τοῦτο τὸ ἔθος, πρὸς τοὺς ἐξετάζοντας ἔξουσι λέγειν οἱ ἔγγονοι καὶ οἱ ἐξ ἐγγόνων, ὅτι Ὁ δεῖνα τὸν καλὸν τοῦτον νόμον πρῶτος εἰσήγαγεν. Εἰ γὰρ ἐπὶ τῶν ἔξωθεν ἀγώνων, ἐν τοῖς συμποσίοις, οἱ πρὸς τὸ φιλοτιμότερον τὰς ἀνονήτους ταύτας λειτουργίας ἐξάγοντες, παρὰ πολλῶν ᾄδονται· πολλῷ μᾶλλον ἐπὶ τῆς λειτουργίας τῆς πνευματικῆς ἅπαντες ἐπαινέσονται, καὶ χάριν ὁμολογήσουσι τῷ πρώτῳ τὴν θαυμαστὴν ταύτην ἀρχὴν εἰσαγαγόντι, καὶ ἔσται τὸ αὐτὸ καὶ φιλοτιμία καὶ κέρδος. Καὶ γὰρ ὑφ' ἑτέρων τοῦτο κατορθούμενον, σοὶ, τῷ πρώτῳ φυτευσαμένῳ, τῶν καρπῶν ἐκείνων οἴσει τὴν ἀμοιβήν· τοῦτό σε καὶ πατέρα ποιήσει ταχέως, τοῦτο καὶ τῶν τικτομένων προστήσεται, καὶ τὸν νυμφίον τῇ νύμφῃ συγκαταγηράσαι παρασκευάσει. Ὥσπερ γὰρ τοῖς ἁμαρτάνουσιν ἀπειλεῖ συνεχῶς ὁ Θεὸς, λέγων, ὅτι *Ἔσονται οἱ υἱοὶ ὑμῶν ὀρφανοὶ, καὶ αἱ γυναῖκες ὑμῶν χῆραι*· οὕτω καὶ τοῖς ἐν ἅπασιν αὐτῷ πειθομένοις καὶ γῆρας λιπαρὸν καὶ πάντα μετὰ τούτων δώσειν ὑπισχνεῖται τὰ ἀγαθά.

Γ'. Καὶ Παύλου δὲ ἔστιν ἀκοῦσαι τοῦτο λέγοντος, ὅτι θανάτους ἀώρους πολλάκις ἁμαρτημάτων ἐποίησε πλῆθος. *Διὰ τοῦτο γὰρ, φησὶν, ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄῤῥωστοι, καὶ κοιμῶνται ἱκανοί.* Ὅτι δὲ πένητες τρεφόμενοι οὐδὲν τοιοῦτον ἀφιᾶσι συμπεσεῖν, ἀλλὰ, κἂν γένηταί τι τῶν ἀδοκήτων, ταχίστην ἐπάγουσιν [197] αὐτοῦ τὴν διόρθωσιν, ἀπὸ τῆς κόρης μάνθανε τῆς ἐν Ἰόππῃ. Καὶ γὰρ ταύτην ποτὲ νεκρὰν κειμένην περιστάντες οἱ τρεφόμενοι πένητες καὶ δακρύσαντες ἀνέστησαν, καὶ πρὸς ζωὴν ἐπανήγαγον. Τοσοῦτον εὐχὴ χηρῶν καὶ πενήτων γέλωτος παντὸς καὶ χορείας ἐστὶ χρησιμωτέρα. Ἐνταῦθα πρὸς μίαν ἡμέραν ἡ τέρψις, ἐκεῖ διηνεκὲς τὸ κέρδος. Ἐννόησον ἡλίκον ἐστὶ τοσαύτας ἐπὶ τῆς κεφαλῆς εὐλογίας λαβοῦσαν τὴν νύμφην, εἰς τὴν οἰκίαν εἰσιέναι τοῦ νυμφίου. Πόσων στεφάνων ταῦτα σεμνότερα; πόσου χρησιμώτερα πλούτου; ὡς τά γε νῦν γινόμενα ἐσχάτης παραπληξίας καὶ παραφροσύνης ἐστίν. Εἰ γὰρ μηδὲ κόλασις, μηδὲ τιμωρία τις ἔκειτο τοῖς τὰ τοιαῦτα ἀσχημονοῦσιν, ἐννόησον ὅσης ἐστὶ τιμωρίας, ἀνέχεσθαι τοσαύταις πλυνομένους λοιδορίαις, δημοσίᾳ, πάντων ἀκουόντων, ὑπὸ ἀνθρώπων μεθυόντων καὶ διεφθαρμένων τὸν νοῦν. Οἱ μὲν γὰρ πένητες λαμβάνοντες εὐλογοῦσι, μυρία συνεύχονται τὰ ἀγαθὰ· ἐκεῖνοι δὲ μετὰ τὴν μέθην, μετὰ τὴν ἀδηφαγίαν, πάντα βόρβορον κωμμάτων κατὰ τῆς τῶν γαμούντων καταχέουσι κεφαλῆς, ἅμιλλάν τινα διαβολικὴν πρὸς ἀλλήλους ἔχοντες· καὶ καθάπερ ἐχθρῶν ὄντων τῶν συνιόντων, οὕτως οἱ προσήκοντες αὐτοῖς φιλοτιμοῦνται πρὸς ἀλλήλους, ἐν τῷ ῥητὰ καὶ ἄῤῥητα λέγειν ὀνείδη περὶ τῶν γημάντων, μιμῆσαι τοὺς ἀντιτεταγμένους· καὶ ἡ πρὸς ἀλλήλους τούτων φιλονεικία μεθ' ὑπερβολῆς ἁπάσης τὸν νυμφίον μετὰ τῆς νύμφης καταισχύνεσθαι παρασκευάζει.

Ἆρ' οὖν ἑτέραν ζητήσομεν ἀπόδειξιν, εἰπέ μοι, τῶν δαιμόνων κινούντων τὰς ἐκείνων ψυχὰς ταῦτα καὶ γίνεσθαι καὶ λέγεσθαι παρ' αὐτῶν; Τίς οὖν ἀμφισβητήσει λοιπὸν, ὅτι δαιμόνων κινούντων τὰς ἐκείνων ψυχὰς καὶ λέγεται ταῦτα πάντα καὶ γίνεται παρ' ἐκείνων; Οὐκ ἔστιν οὐδείς· καὶ γὰρ τοιαῦται τοῦ διαβόλου αἱ ἀντιδόσεις, λοιδορίαι, καὶ μέθαι, καὶ παραφροσύνη ψυχῆς. Εἰ δέ τις οἰωνίζοιτο τὸ πένητας ἀντὶ τούτων εἰσάγεσθαι, καὶ συμφορᾶς λέγοι εἶναι σύμβολα ταῦτα, μαθέτω καὶ τοῦτο, ὅτι οὐ τὸ πένητας τρέφεσθαι καὶ χήρας, ἀλλὰ τὸ μαλακοὺς καὶ πόρνας, τοῦτο ἁπάσης ἀῤῥίας καὶ μυρίων ἐστὶ σύμβολον κακῶν. Πολλάκις γὰρ ἀπ' αὐτῆς τῆς ἡμέρας ἐκ τῶν φίλων τὸν νυμφίον αἰχμάλωτον λαβοῦσα ἀπῆλθεν ἡ πόρνη, καὶ τὸν ἔρωτα τὸν πρὸς τὴν νύμφην ἔσβεσε, καὶ τὴν εὔνοιαν ὑπέσυρε, καὶ τὴν ἀγάπην, πρὶν ἐξαφθῆναι, κατέλυσε, καὶ μοιχείας ἐγκατέβαλε σπέρματα. Ταῦτα δεδοικέναι τοὺς πατέρας ἐχρῆν, εἰ καὶ μηδὲν ἕτερον, καὶ κωλύειν τῶν μίμων καὶ τῶν ὀρχουμένων τὰς εἰς τοὺς γάμους παρουσίας. Γάμος γὰρ, οὐχ ἵνα ἀκολγῶ-

[a] Sic Veneti et Morel. Montf. vitiose οἰμώδη. Savil. et cod. 748 ὀνώδη. Edit.

μεν εἰσενήνεκται, οὐδ' ἵνα πορνεύωμεν, ἀλλ' ἵνα σωφρονῶμεν. Ἄκουσον γοῦν τοῦ Παύλου λέγοντος· *Διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω.* Δύο γὰρ ταῦτά ἐστι, δι' ἅπερ εἰσενήνεκται γάμος, ἵνα τε σωφρονῶμεν, καὶ ἵνα πατέρες γινώμεθα· τῶν δὲ δύο τούτων προηγουμένη ἡ τῆς σωφροσύνης ἐστὶ πρόφασις. Ἐπειδὴ γὰρ εἰσῆλθεν ἐπιθυμία, εἰσῆλθε καὶ γάμος τὴν ἀμετρίαν ἐκκόπτων, καὶ πείθων μιᾷ χρῆσθαι γυναικί. Τὰς γὰρ παιδοποιίας οὐχ ὁ γάμος ποιεῖ πάντως, ἀλλ' ἐκεῖνο τὸ ῥῆμα τοῦ Θεοῦ τὸ λέγον, [198] *Αὐξάνεσθε, καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν·* καὶ μαρτυροῦσιν ὅσοι γάμῳ μὲν ἐχρήσαντο, πατέρες δὲ οὐκ ἐγένοντο. Ὥστε προηγουμένη αὕτη ἡ αἰτία, ἡ τῆς σωφροσύνης, καὶ μάλιστα νῦν, ὅτε ἡ οἰκουμένη πᾶσα τοῦ γένους ἡμῶν ἐμπέπλησται. Παρὰ μὲν γὰρ τὴν ἀρχὴν ποθεινὸν τὸ τῶν παίδων ἦν, διὰ τὸ μνημόσυνον καὶ λείψανα καταλιμπάνειν ἕκαστον τῆς ἑαυτοῦ ζωῆς. Ἐπειδὴ γὰρ ἀναστάσεως οὐδέπω ἦσαν ἐλπίδες, ἀλλ' ὁ θάνατος ἐκράτει, καὶ μετὰ τὴν ἐντεῦθεν ζωὴν ἀπόλλυσθαι ἐνόμιζον οἱ τελευτῶντες, ἔδωκεν ὁ Θεὸς τὴν ἐκ τῶν παίδων παραμυθίαν, ὥστε τῶν ἀπελθόντων εἰκόνας ἐμψύχους μένειν, καὶ τὸ γένος ἡμῶν διατηρεῖσθαι, καὶ τοῖς μέλλουσι τελευτᾷν, καὶ τοῖς ἐπιτηδείοις τοῖς ἐκείνων μεγίστην εἶναι παράκλησιν τὰ ἐκείνων ἔκγονα. Καὶ ἵνα μάθῃς ὅτι διὰ τοῦτο μάλιστα ποθεινὰ τὰ τέκνα ἦν, ἄκουσον τί πρὸς τὸν Ἰὼβ ἀποδύρεται μετὰ τὰς πολλὰς πληγὰς [a] ἡ γυνή. *Ἰδού,* φησίν, *ἀπώλετο τὸ μνημόσυνόν σου ἀπὸ τῆς γῆς, οἱ υἱοί σου καὶ αἱ θυγατέρες σου.* Καὶ πάλιν ὁ Σαοὺλ πρὸς τὸν Δαυΐδ· *Ὄμοσόν μοι, ἵνα μὴ ἀφανίσῃς τὸ σπέρμα μου, καὶ τὸ ὄνομά μου μετ' ἐμέ.* Ἐπειδὴ δὲ λοιπὸν ἡ ἀνάστασις ἐπὶ θύραις, καὶ θανάτου λόγος οὐδείς, ἀλλὰ πρὸς ἑτέραν ζωὴν ὁδεύομεν βελτίω τῆς οὔσης, περιττὴ ἡ περὶ ταῦτα σπουδή. Εἰ γὰρ παίδων ἐπιθυμεῖς, πολλῷ βελτίους καὶ χρησιμωτέρους δυνήσῃ κτήσασθαι νῦν, ὅτε πνευματικαί τινες ὠδῖνες εἰσήχθησαν, καὶ βελτίων τόκος, καὶ γηροκόμοι χρησιμώτεροι. Ὥστε μία τίς ἐστι γάμου πρόφασις, τὸ μὴ πορνεύειν, καὶ διὰ τοῦτο τὸ φάρμακον εἰσενήνεκται τοῦτο. Εἰ δὲ μέλλοις καὶ μετὰ γάμον κεχρῆσθαι πορνείαις, περιττῶς ἦλθες ἐπὶ τὸν γάμον, καὶ εἰκῇ καὶ μάτην· μᾶλλον δὲ οὐκ εἰκῇ καὶ μάτην μόνον, ἀλλὰ καὶ ἐπὶ βλάβῃ. Οὐ γάρ ἐστιν ἴσον οὐκ ἔχοντα γυναῖκα πορνεύειν, καὶ μετὰ γάμον πάλιν τὸ αὐτὸ τοῦτο ποιεῖν. Οὐδὲ γὰρ πορνεία τὸ τοιοῦτο λοιπόν ἐστιν, ἀλλὰ μοιχεία. Εἰ γὰρ καὶ παράδοξόν ἐστι τὸ εἰρημένον, ἀλλ' ἀληθές.

δ'. Οὐκ ἀγνοοῦμεν γὰρ ὅτι πολλοὶ μοιχείαν νομίζουσιν, ὅταν τις ὕπανδρον φθείρῃ γυναῖκα μόνον· ἐγὼ δὲ κἂν δημοσίᾳ πόρνῃ, κἂν θεραπαινίδι, κἂν ἄλλῃ τινὶ γυναικὶ ἄνδρα οὐκ ἐχούσῃ πρόσχῃ κακῶς καὶ ἀκολάστως, ἔχων γυναῖκα, μοιχείαν τὸ τοιοῦτον εἶναί φημι. Οὐ γὰρ δὴ μόνον ἀπὸ τῶν ὑβριζομένων, ἀλλὰ καὶ ἀπὸ τῶν ὑβριζόντων τὸ τῆς μοιχείας συνίσταται ἔγκλημα. Μὴ γάρ μοι τοὺς ἔξωθεν νόμους εἴπῃς νῦν, οἳ τὰς μὲν γυναῖκας μοιχευομένας εἰς δικαστήριον ἕλκουσι καὶ εὐθύνας ἀπαιτοῦσιν, ἄνδρας καὶ γυναῖκας ἔχοντας καὶ θεραπαινίσι προφθειρομένους οὐκ ἀπαιτοῦσιν εὐθύνας· ἀλλ' ἐγώ σοι τὸν τοῦ Θεοῦ νόμον ἀναγνώσομαι, ὁμοίως καὶ ἐπὶ τῆς γυναικὸς καὶ ἐπὶ τοῦ ἀνδρὸς ἀγανακτοῦντα, καὶ μοιχείαν εἶναι τὸ πρᾶγμα λέγοντα. Εἰπὼν γάρ, *Καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω,* ἐπήγαγε· *Τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλομένην εὔνοιαν ἀποδιδότω.* Τί ποτε δηλοῦν βουλόμενος τοῦτο εἶπεν; [199] Ἆρα ἵνα τὰς προσόδους αὐτῇ τῶν χρημάτων διατηρήσῃ; ἵνα τὴν προῖκα σώαν; ἵνα ἱμάτια παράσχῃ πολυτελῆ; ἵνα τράπεζαν δαψιλεστέραν, ἵνα ἐξόδους λαμπράς; ἵνα οἰκετῶν θεραπείαν πολλήν; Τί λέγεις; ποῖον εὐνοίας εἶδος ζητεῖς; καὶ γὰρ ταῦτα πάντα εὐνοίας ἐστίν. Οὐδέν τι τοιοῦτο λέγω, φησίν, ἀλλὰ τὴν σωφροσύνην καὶ τὴν σεμνότητα. Τὸ σῶμα τοῦ ἀνδρὸς οὐκέτι τοῦ ἀνδρὸς, ἀλλὰ τῆς γυναικός. Τηρείτω τοίνυν αὐτῇ τὸ κτῆμα σῶον, καὶ μὴ μειούτω, μηδὲ παραφθειρέτω· καὶ γὰρ τῶν οἰκετῶν ἐκεῖνος εὔνους λέγεται, ὃς ἂν τὰ δεσποτικὰ δεξάμενος χρήματα, μηδὲν ἐξ αὐτῶν διαφθείρῃ. Ἐπειδὴ τοίνυν τῆς γυναικός ἐστι κτῆμα τὸ τοῦ ἀνδρὸς σῶμα, εὔνους ἔστω περὶ τὴν παρακαταθήκην ὁ ἀνήρ. Ὅτι γὰρ τοῦτό φησιν, εἰπὼν, *Τὴν εὔνοιαν ἀποδιδότω,* ἐπήγαγεν· *Ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνήρ· ὁμοίως καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ἡ γυνή.* Ὅταν τοίνυν ἴδῃς πόρνην δελεάζουσαν, ἐπιβουλεύουσαν, ἐρῶσαν τοῦ σώματος, εἰπὲ πρὸς αὐτήν· Οὐκ ἔστιν ἐμὸν τὸ σῶμα, τῆς γυναικός ἐστι τῆς ἐμῆς· οὐ τολμῶ καταχρήσασθαι, οὔτε ἑτέρᾳ τοῦτο ἐνδοῦναι γυναικί. Τοῦτο καὶ γυνὴ ποιείτω. Πολλὴ γὰρ ἐνταῦθα ἡ ἰσοτιμία· καίτοι γε ἐν τοῖς ἄλλοις πολλὴν δίδωσιν ὑπεροχὴν ὁ Παῦλος, οὕτω λέγων· *Πλὴν καὶ ὑμεῖς οἱ καθ' ἕνα, ἵνα ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα οὕτως ἀγαπᾷ ὡς ἑαυτόν· ἡ δὲ γυνὴ, ἵνα φοβῆται τὸν ἄνδρα·* καὶ· *Κεφαλὴ γυναικὸς ὁ ἀνὴρ,* καὶ, *Ὀφείλει ἡ γυνὴ ὑποτάσσεσθαι τῷ ἀνδρί.* Καὶ πάλιν ἐν τῇ Παλαιᾷ, *Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει.* Πῶς οὖν ἐνταῦθα ἴσην ἀντίδοσιν δουλείας καὶ δεσποτείας εἰσήγαγε; Τὸ γὰρ εἰπεῖν, *Ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνὴρ· ὁμοίως καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ἡ γυνὴ,* ἰσότητά τινα πολλὴν ἐστιν εἰσάγοντος. Καὶ καθάπερ ἐκεῖνος δεσπότης ἐστὶ τοῦ σώματος αὐτῆς, οὕτω καὶ αὕτη δέσποινα τοῦ ἐκείνου σώματος. Τίνος οὖν ἕνεκεν τοσαύτην ἰσοτιμίαν εἰσήγαγεν; Ὅτι ἐνταῦθα ἀναγκαία ἡ ὑπεροχή· ἔνθα δὲ σωφροσύνης καιρὸς καὶ σεμνότητος, οὐδὲν ἔχει πλέον τῆς γυναικὸς ὁ ἀνὴρ, ἀλλ' ὁμοίως ἐκείνῃ κολάζεται, τοὺς τοῦ γάμου παραφθείρας νόμους· καὶ μάλα εἰκότως. Οὐ γὰρ διὰ τοῦτο ἦλθεν ἡ γυνὴ πρὸς σὲ, καὶ πατέρα καὶ μητέρα ἐγκατέλιπε καὶ τὸν οἶκον ἅπαντα, ἵνα καθυβρίζηται, ἵνα θεραπαινίδιον εὐτελὲς ἐπεισάγῃς αὐτῇ, ἵνα μυρίους ποιῇς πολέμους, συνέμπορον ἔλαβες, καὶ κοινωνὸν τοῦ βίου, καὶ ἐλευθέραν, καὶ ὁμότιμον. Πῶς γὰρ οὐκ ἄτοπον τὴν προῖκα αὐτῆς ὑποδεχόμενον, πᾶσαν ἐπιδείκνυσθαι εὔνοιαν, καὶ μηδὲν αὐτῆς ἐλαττοῦν· ὃ δὲ τῆς προικός ἐστιν ἀπάσης τιμιώτερον, τὴν σωφροσύνην καὶ τὴν σεμνότητα

[a] Duo mss. πολλὰς καὶ ἀφάτους πληγάς.

temur, sed ut casti simus. Audi sane Paulum dicentem : *Propter fornicationes autem unusquisque suam uxorem habeat, et unaquæque suum virum habeat* (1 *Cor.* 7. 2). Hæc enim duo sunt, quorum causa nuptiæ sunt institutæ, ut caste vivamus et ut patres fiamus, horum autem duorum antecedens castitatis est occasio. Postquam enim ingressa est libido, conjugium quoque ingressum est, ut immoderatum usum resecaret, et persuaderet, ut una muliere contenti essemus. Non enim omnino conjugium efficit, ut liberos suscipiamus, sed illud Dei verbum, quod dicit : *Crescite et multiplicamini, et replete terram* (*Gen.* 1. 28). Testes sunt quicumque conjugio sunt usi, sed liberos minime genuerunt. Itaque antecedens est hæc causa castitatis, atque hoc præcipue tempore, cum genere humano totus orbis terrarum repletus est. Nam a principio quidem expetenda res erat habere liberos, ut monumentum ac reliquias vitæ suæ quisque relinqueret. Quoniam enim resurrectionis spes nondum erat, sed mors dominabatur, seque post hanc vitam perire censebant, qui moriebantur, solatium istud ex susceptione liberorum largitus est Deus, ut animatæ defunctorum imagines remanerent, genusque nostrum conservaretur, et mortem obituris eorumque propinquis maximam consolationem id pareret, quod posteros haberent superstites. Atque ut intelligas idcirco liberos expetendos fuisse, audi, quo pacto apud Jobum queratur ac lamentetur post multas plagas uxor : *Ecce*, inquit, *memoriale tuum periit de terra, et filii tui, et filiæ tuæ* (*Job* 18. 17). Et rursus ad Davidem Saul : *Jura mihi in Domino, quia non exterminabis semen meum, et nomen meum post me* (1. *Reg.* 24. 22). Postquam autem in foribus est resurrectio, neque mortis jam ulla ratio habetur, sed ad aliam perginus vitam hac multo meliorem, supervacaneum studium est ejusmodi. Si enim liberorum desiderio teneris, multo meliores atque utiliores acquirere poteris, nunc cum spiritualis quædam pariendi ratio introducta est, meliorque partus, et utiliores senectutis altores. Itaque una quædam est occasio conjugii, ut non scortemur et idcirco remedium hoc invectum est. Quod si post conjugium scortationibus te inquinaturus sis, supervacanee, frustra et incassum ad conjugium venisti : imo vero non frustra et incassum tantum, sed etiam cum damno. Non enim par ratio est, si quis uxorem non habens scortetur, et si quis matrimonio contracto rursus idipsum agat. Neque enim jam illud scortatio est, sed adulterium. Quamvis enim mirum et insolens sit quod diximus, est tamen verum.

4. *Adulterium etiam cum libera committitur.* — Non ignoramus plurimos adulterium arbitrari tantum, cum quis marito junctam mulierem corrumpit : ego vero sive cum vulgari scorto, sive cum ancilla, sive cum alia quapiam muliere non maritata, illegitimo lascivoque congressu jungatur, cum uxorem habeat, adulterium hoc esse contendo. Non enim ex eorum tantum qui contumeliam patiuntur, sed ex eorum etiam, qui contumeliam inferunt, conditione hoc crimen adulterii metimur. Noli enim mihi leges externas objicere, quæ mulieres quidem adulterium committentes in judicium pertrahunt, et pœnas ab eis repetunt : a viris vero ancillas vitiantibus non item : at ego legem tibi Dei recitabo, quæ pari ratione in mulierem et in virum excandescit, et rem adulterium appellat. Cum enim dixisset, *Et unaquæque suum virum habeat*, adjecit : *Uxori vir debitam benevolentiam reddat* (1. *Cor.* 7. 3). Quid tandem innuere volens hoc dixit? num ut ei pecuniæ reditus conservaret? ut dotem illæsam? ut vestes sumptuosas suppeditaret? ut lautiorem mensam? ut splendidos sumptus? ut multum servorum obsequium? Quid ais? quodnam benevolentiæ genus exigis? nam et hæc omnia sunt benevolentiæ. Nihil tale commemoro, inquit, sed castitatem ac pudicitiam. Viri corpus non amplius est viri, sed uxoris. Suam igitur possessionem illæsam illi servet, neque imminuat, nec corrumpat; siquidem inter famulos ille benevolus dicitur, qui herilibus acceptis pecuniis, nihil ex ipsis interverterit. Quando igitur uxoris possessio est viri corpus, benevolum vir erga depositum suum se præbeat. Ut enim scias hoc eum innuere, cum ait, *Benevolentiam reddat*, adjecit : *Mulier sui corporis potestatem non habet, sed vir : similiter et vir sui corporis potestatem non habet, sed mulier* (*Ib. v.* 4). Cum ergo meretricem allicientem videris, insidiantem, corpus adamantem, dic illi : Non est meum corpus, uxoris est meæ : illo abuti non audeo, neque alteri mulieri id exponere. Hoc et faciat mulier. Magna quippe hic est honoris æqualitas : tametsi multam in cæteris tribuit excellentiam et juris prærogativam Paulus ita dicens : *Verumtamen et vos singuli, ut unusquisque suam uxorem ita diligat, ut seipsum : uxor autem ut timeat virum suum* (*Ephes.* 5. 33) : et, *Caput mulieris est vir* : et, *Debet mulier viro esse subjecta* (*Ibid. v.* 23. 22). Et rursus in Veteri Testamento : *Ad virum conversio tua, et ipse tui dominabitur* (*Gen.* 3. 16). Quomodo igitur hoc loco æqualem remunerationem servitutis et dominatus induxit? Cum enim dixerit, *Mulier sui corporis potestatem non habet, sed vir : similiter et vir sui corporis potestatem non habet, sed mulier* (1. *Cor.* 7. 4), magnam æqualitatem constituit. Et quemadmodum ille corporis ejus est dominus, sic et ista corporis illius est domina. Cur igitur tantam æqualitatem honoris introduxit? Quod nimirum hic necessaria sit eminentia : ubi vero castitatis tempus est et pudicitiæ, nihil amplius habet vir, quam mulier, sed pari ratione cum illa plectitur, si leges conjugii violaverit, ac merito sane. Non enim ad te mulier idcirco venit, et patrem et matrem totamque domum dereliquit, ut a te contumeliis afficeretur, et vilem ancillulam ipsi superinduceres, ut innumeras pugnas excitares : comitem et sociam vitæ, liberam et honore parem accepisti. Annon enim absurdum est, ut cum dotem acceperis, omnem exhibeas benevolentiam, nihilque ex illa imminuas : quod autem quavis dote pretiosius est, castitatem et pudicitiam, tuumque corpus, quod illius est possessio, corrumpas et polluas? Si dotem imminueris, socero

rationem reddes : si castitatem imminueris, Deus a te pœnas exiget, qui nuptias introduxit, et uxorem tibi tradidit. Atque hoc verum esse colliges ex iis, quæ de adulteris ait Paulus : *Qui enim spernit, non hominem spernit, sed Deum, qui dedit Spiritum suum sanctum in vobis* (1. *Thess.* 4. 8). Vides quam multis verbis ostensum ex Scriptura sit adulterium esse, non solum si marito junctam mulierem, sed etiam si quamvis meretricem corrumpat is qui sit junctus uxori? Nam quemadmodum adulterio pollui mulierem dicimus, sive cum servo, sive cum alio quocumque peccet : sic etiam virum adulterium committere dicimus, sive cum ancillula, sive cum quocumque vulgari scorto uxorem habens libidinem expleat. Ne igitur salutem nostram negligamus, neve nostram animam per hoc peccatum diabolo exponamus. Hinc enim innumeræ familiarum oriuntur eversiones, et bella innumera : hinc fit, ut caritas dilabatur, et benevolentia subtrahatur. Nam ut fieri nequit, ut homo castus uxorem negligat umquam ac despiciat : sic neque fieri potest, ut homo intemperans et lascivus uxorem suam diligat, sit licet omnium formosissima. Nam ex castitate caritas oritur, ex caritate bona innumera. Fac igitur lapideas mulieres reliquas arbitreris, cum intelligas, si lascivis oculis alienam mulierem intuearis sive publicam sive junctam viro, te adulterorum crimini obnoxium esse factum. Hæc tibi ipsi quotidie verba occine : quod si alterius uxoris in te sentias cupiditatem exardescere, ac deinde minus idcireo tibi tuam uxorem placere, ingressus conclave, librum hunc evolve, Paulumque adhibens interventorem, ac tibi hæc verba frequenter occinens flammam exstingue.

Nihil turpius viro scortante. — Sic fiet ut et gratior tibi rursum futura sit uxor, cum nulla cupiditas tuam erga illam benevolentiam labefactet : neque tantum gratior erit uxor, sed tu quoque honestior ac venustior esse videberis. Nihil enim est, nihil plane turpius homine, qui contracto matrimonio scortatur. Non enim coram socero tantum, et amicis, et obviis, sed etiam coram servis ipsis erubescit. Neque solum est hoc malum, sed etiam, quod ipsius domus aspectus injucundior erit, quam carceris cujusvis, cum amicam ante oculos positam habeat, ac meretricis semper imaginem mente verset?

5. Vis tu probe intelligere, quantum sit hoc malum? Cogita qualem ducant vitam, qui suas uxores suspectas habent, quo pacto injucundæ illis sint escæ, injucundi potus. Venenis mensa videtur scatere, et tamquam exitium domum fugiunt malis innumeris redundantem. Non illis somnus, non nox est placida, non amicorum congressus, non ipsi radii solares : sed ab ipso lumine se offendi putant, non tum solum cum adulterio pollui uxorem viderint, sed etiam cum in qualemcumque suspicionem illius culpæ venerint. Idem accidere et uxori puta, cum a quolibet id audiverit, vel etiam fuerit suspicata, te mulieri meretrici teipsum addixisse. Hæc apud te cogitans non adulteria tantum fuge, sed etiam suspiciones : quod si immerito suspicetur, placa illam et verbis flecte. Non enim odio vel fastu impulsa, sed præ nimia tui cura id facit, quodque de sua possessione valde timeat. Possessio quippe ipsius est, ut ante dixi, corpus tuum, et possessio rerum omnium pretiosissima. Noli ergo in re maxima illam lædere, neque letale illi vulnus infligas. Quamvis enim illam contemnas, Deum tamen debes timere ejusmodi criminum vindicem, et qui talibus delictis intolerabile supplicium comminatur. Eorum enim, qui talia perpetrare sint ausi, inquit, *Vermis non morietur, et ignis non exstinguetur* (*Marc.* 9. 45). Quod si non admodum pungunt te futura, terreant te saltem præsentia. Multi quidem certe illorum, qui meretricibus adhærent, in hac etiam vita mali male perierunt, curiosis meretricum insidiis oppressi. Dum enim illæ contendunt a legitima uxore ac matrimonio juncta illum alienare, suoque amore penitus illum devinctum tenere, præstigiis et incantationibus utuntur, amatoria parant veneficia, et multas fascinationum fallacias texunt : sic deinde cum illum in gravem morbum conjecerint, dira lue correptum, longa tabe consumptum et innumeris obrutum malis, hujus lucis usura privant. Si forte gehennam non reformidas, mi homo, præstigias illarum reformida. Cum enim per luxuriam istam divino præsidio te privaveris, et cælesti auxilio spoliaveris, tum audacter invadens te meretrix, suosque dæmones advocans laminis et amuletis adhibitis, suisque structis insidiis facillime salutem tuam expugnat, teque probris obnoxium ac ridendum omnibus, qui civitatem incolunt, propinat, ut nec illi calamitatis umquam tuæ miseratione moveantur. *Quis* enim *miserebitur*, inquit, *incantatori a serpente percusso, et omnibus qui appropinquant bestiis* (*Eccli.* 12. 13)? Prætereo jacturam pecuniarum, et quotidianas suspiciones, fastum, arrogantiam, contumelias, quibus stultos vexant meretrices, quæ multo sunt acerbiora, quam si millies fuerit mors oppetenda. Atque uxorem quidem sæpenumero, ne si verbum quidem molestum dixerit, ferre potes, ac meretricem etiam alapis te cædentem adoras. Non te pudet, nec erubescis, nec optas ut tibi dehiscat terra? Qui poteris ad ecclesiam venire, atque in cælum manus extendere? quo tandem ore Deum invocabis, quo meretricem osculatus es? Non tu, quæso, times, nec perhorrescis, ne quando tuum caput impudens de cælo delapsum fulmen exurat? Quamvis uxorem tuam, quam afficis injuria, celes, at insomnem illum oculum numquam celabis : quandoquidem adultero illi, qui dicebat, *Tenebræ circumdant me, et parietes, quid vereor* (*Eccli.* 23. 26)? contradixit sapiens ille sic dicens : *Oculi Domini millies lucidiores sunt sole, inspicientes opera hominum* (*Ib. v.* 28). Propter hæc omnia nimirum dicebat Paulus : *Unusquisque suam uxorem habeat, et unaquæque virum suum habeat : uxori vir debitam benevolentiam reddat; similiter et uxor viro* (1. *Cor.* 7. 2. 3). *Mel distillat a labiis mulieris meretricis, quæ ad tempus impinguat fauces tuas : postea vero eam amariorem felle invenies, et acutam magis gladio ancipiti* (*Prov.* 5. 3. 4). Venenum ha-

καὶ τὸ σῶμα τὸ ἑαυτοῦ, ὅπερ ἐστὶν ἐκείνης κτῆμα, διαφθείρειν τε καὶ μιαίνειν; Ἂν τὴν προῖκα μειώσῃς, τῷ κηδεστῇ δίδως λόγον· ἂν τὴν σωφροσύνην μειώσῃς, τῷ Θεῷ τὰς εὐθύνας ὑφέξεις, τῷ τὸν γάμον εἰσαγαγόντι, καὶ τὴν γυναῖκα ἐγχειρίσαντι. Καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, ἄκουσον τί φησιν ὁ Παῦλος περὶ τῶν μοιχευόντων· *Ὁ γὰρ ἀθετῶν, οὐκ ἄνθρωπον ἀθετεῖ, ἀλλὰ τὸν Θεὸν τὸν δόντα τὸ Πνεῦμα* [200] *αὐτοῦ τὸ ἅγιον εἰς ὑμᾶς.* Ὁρᾷς δι' ὅτων ὁ λόγος ἀπέδειξεν ὅτι μοιχεία ἐστὶν, οὐ μόνον τὸ ὕπανδρον γυναῖκα διαφθείρειν, ἀλλὰ καὶ τὸ ἡντιναοῦν πόρνην, ἔχοντα γυναῖκα; Ὥσπερ γὰρ μοιχεύεσθαι γυναῖκα λέγομεν, κἂν εἰς οἰκέτην, κἂν εἰς ὁντιναοῦν ἁμάρτῃ, ἄνδρα ἔχουσαν· οὕτω καὶ ἄνδρα μοιχεύειν ἂν εἴποιμεν, κἂν εἰς θεραπαινίδα, κἂν εἰς ἡντιναοῦν δημώδη γυναῖκα ἀσελγαίνῃ, γυναῖκα ἔχων αὐτός. Μὴ τοίνυν ἀμελῶμεν τῆς ἑαυτῶν σωτηρίας, μηδὲ τῷ διαβόλῳ προτείνωμεν ἡμῶν τὴν ψυχὴν διὰ τῆς ἁμαρτίας ταύτης. Καὶ γὰρ ἐντεῦθεν αἱ μυρίαι τῶν οἴκων ἀνατροπαὶ, οἱ μυρίοι πόλεμοι· ἐντεῦθεν τὰ τῆς ἀγάπης ὑπωρρεῖ, καὶ τὰ τῆς εὐνοίας ὑποσύρεται. Ὥσπερ γὰρ ἀμήχανον σώφρονα ἄνθρωπον ὑπεριδεῖν γυναικὸς καὶ καταφρονῆσαί ποτε· οὕτως ἀμήχανον ἄνθρωπον ἀσελγῆ καὶ ἀκόλαστον φιλεῖν τὴν γυναῖκα τὴν ἑαυτοῦ, κἂν ἁπάντων εὐμορφοτέραν ᾖ. Ἀπὸ γὰρ σωφροσύνης ἀγάπη τίκτεται, ἀπὸ δὲ ἀγάπης τὰ μυρία ἀγαθά. Λιθίνας τοίνυν νόμιζε τὰς λοιπὰς γυναῖκας, εἰδὼς ὅτι μετὰ γάμον, κἂν ἀκολάστοις ἴδῃς ὀφθαλμοῖς ἑτέραν γυναῖκα, κἂν δημοσίαν, κἂν ὕπανδρον, τοῖς τῶν μοιχῶν ἐγκλήμασιν ὑπεύθυνος γέγονας. Ταῦτα σεαυτῷ καθ' ἑκάστην ἔπαδε τὰ ῥήματα· κἂν ἴδῃς ἐπιθυμίαν ἄλλης γυναικὸς ἐγειρομένην ἐν σοὶ, εἶτα ἐκ τούτου σοι τὴν γυναῖκα ἀηδῆ φαινομένην, εἴσελθε εἰς τὸν θάλαμον, καὶ τὸ βιβλίον ἀναπτύξας τοῦτο, καὶ λαβὼν Παῦλον μεσίτην, καὶ συνεχῶς ἐπάδων ταῦτα τὰ ῥήματα, κατάσβεσον τὴν φλόγα.

Καὶ οὕτω καὶ ἡ γυνὴ πάλιν ἔσται σοι ποθεινοτέρα, οὐδεμιᾶς ἐπιθυμίας τὴν πρὸς αὐτὴν εὔνοιαν ὑποσυρούσης· οὐχ ἡ γυνὴ δὲ ἔσται ποθεινοτέρα μόνον, ἀλλὰ καὶ σὺ σεμνότερος πολλῷ καὶ ἐλευθεριώτερος δόξεις εἶναι. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν αἰσχρότερον ἀνθρώπου μετὰ γάμον πορνεύοντος. Οὐ γὰρ δὴ μόνον τὸν κηδεμόνα καὶ τοὺς φίλους καὶ τοὺς ἁπαντῶντας, ἀλλὰ καὶ αὐτοὺς ἐρυθριᾷ τοὺς οἰκέτας. Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινὸν, ἀλλ' ὅτι καὶ τὴν οἰκίαν αὐτὴν δεσμωτηρίου παντὸς ἀηδεστέραν ὄψεται, πρὸς τὴν ἐρωμένην βλέπων, καὶ τὴν πόρνην διηνεκῶς φανταζόμενος.

ε'. Βούλει μαθεῖν ἀκριβῶς ὅσον ἐστὶ τὸ δεινόν; Ἐννόησον οἷον οἱ τὰς γυναῖκας ἑαυτῶν ὑποπτεύοντες ζῶσι βίον, πῶς ἀηδῆ τὰ σιτία, ἀηδῆ ποτά. Δηλητηρίων[a] ἡ τράπεζα δοκεῖ γέμειν φαρμάκων· καὶ ὥσπερ ὕλεθρον, μυρίων γέμουσαν κακῶν, οὕτω φεύγουσι τὴν οἰκίαν. Οὐχ ὕπνος αὐτοῖς ἐστιν, οὐ νὺξ προσηνὴς, οὐ συνουσία φίλων, οὐκ αὐταὶ αἱ τοῦ ἡλίου ἀκτῖνες· ἀλλὰ καὶ παρ' αὐτοῦ τοῦ φωτὸς ἐνοχλεῖσθαι νομίζουσιν, οὐχ ὅτα. ἴδωσι μοιχευομένην τὴν γυναῖκα μόνον, ἀλλὰ κἂν ἁπλῶς ὑποπτεύωσι. Ταῦτα νόμιζε καὶ τὴν γυναῖκα πάσχειν, ὅταν ἀκούσῃ παρ' ὁτουοῦν, ἢ καὶ ὑποπτεύσῃ, ὅτι πόρνῃ γυναικὶ σαυτὸν ἐξέδωκας. Ταῦτα λογιζόμενος, μὴ τὰς μοιχείας φεῦγε μόνον, ἀλλὰ καὶ τὰς ὑποψίας· κἂν ἀδίκως ὑποπτεύσῃ, θεράπευσον καὶ πεῖσον. Οὐ γὰρ ἐξ ἔχθρας ἢ ἀπονοίας, ἀλλ' ἀπὸ κηδεμονίας τοῦτο ποιεῖ, καὶ τοῦ σφόδρα [201] δεδοικέναι περὶ τοῦ κτήματος τοῦ ἰδίου. Κτῆμα γὰρ αὐτῆς ἐστιν, ὥσπερ ἔφθην εἰπὼν, τὸ σῶμα τὸ σὸν, καὶ κτῆμα τῶν ὄντων ἁπάντων τιμιώτερον. Μὴ τοίνυν αὐτὴν περὶ τὰ μέγιστα ἀδικήσῃς, μηδὲ καιρίαν δῷς τὴν πληγήν. Εἰ γὰρ ἐκείνης καταφρονήσεις, ἀλλὰ τὸν Θεὸν φοβήθητι, τὸν ἔκδικον τῶν τοιούτων, τὸν ἀφορήτους κολάσεις τοῖς τοιούτοις ἀπειλήσαντα ἁμαρτήμασι. Τῶν γὰρ τοιαῦτα τολμώντων, φησὶν, *Ὁ σκώληξ οὐ τελευτήσει, καὶ τὸ πῦρ οὐ σβεσθήσεται.* Εἰ δὲ οὐ σφόδρα σε δάκνει τὰ μέλλοντα, τὰ γοῦν παρόντα σε φοβείτω. Πολλοὶ γοῦν τῶν πόρναις προτεχόντων καὶ ἐνταῦθα κακοὶ κακῶς ἀπώλοντο, περιεργίας ὑπομείναντες ὑπὸ τῶν πορνευομένων γυναικῶν. Φιλονεικοῦσαι γὰρ ἐκεῖναι τῆς μὲν συνοικούσης αὐτῷ καὶ κατεγγυηθείσης ἀποστῆσαι γυναικὸς, τῷ δὲ αὐτῶν ἔρωτι προσδῆσαι τέλεον, μαγγανείας ἐκίνησαν, καὶ φίλτρα κατεσκεύασαν, καὶ πολλὰς γοητείας ἔῤῥαψαν· εἶτα οὕτως εἰς ἀῤῥωστίαν αὐτὸν ἐμβαλοῦσαι χαλεπὴν, καὶ φθορᾷ παραδοῦσαι, καὶ τηκεδόνι μακρᾷ, καὶ μυρίοις περιβαλοῦσαι κακοῖς, ἀπήνεγκαν τῆς παρούσης ζωῆς. Εἰ μὴ φοβῇ τὴν γέενναν, ἄνθρωπε, τὰς γοητείας αὐτῶν φοβήθητι. Ὅταν γὰρ σαυτὸν διὰ τῆς ἀσελγείας ταύτης ἔρημον ποιήσῃς τῆς τοῦ Θεοῦ συμμαχίας, καὶ γυμνώσῃς σαυτὸν τῆς ἄνωθεν βοηθείας, λαβοῦσά σε μετὰ ἀδείας ἡ πόρνη, καὶ τοὺς αὐτῆς καλέσασα δαίμονας, καὶ τὰ πέταλα ῥάψασα, καὶ τὰς ἐπιβουλὰς ἐργασαμένη, μετὰ πολλῆς τῆς εὐκολίας περιγίνεταί σου τῆς σωτηρίας, ὄνειδός σε καὶ γέλωτα τῶν τὴν πόλιν οἰκούντων ἁπάντων καταστήσασα, ὥστε μηδὲ ἐλεεῖσθαι κακῶν πάσχοντα. *Τίς γὰρ ἐλεήσει*, φησὶν, *ἐπαοιδὸν ὀφιόδηκτον*[b], *καὶ πάντας τοὺς προσάγοντας θηρίοις;* Παρίημι τὴν τῶν χρημάτων ζημίαν, τὰς καθημερινὰς ὑποψίας, τὸν τῦφον, τὴν ἀπόνοιαν, τὴν ὕβριν τὴν παρὰ τῶν πορνῶν γινομένην εἰς τοὺς ἀνοήτους, ἃ θανάτων μυρίων ἐστὶ πικρότερα. Καὶ τὴν μὲν γυναῖκα πολλάκις οὐδὲ βαρὺ ῥῆμα εἰποῦσαν οὐκ ἤνεγκας, τὴν δὲ πόρνην καὶ ῥαπίζουσαν προσκυνεῖς. Καὶ οὐκ αἰσχύνῃ, οὐδὲ ἐρυθριᾷς, οὐδὲ εὐχὴ διαστῆναί σοι τὴν γῆν; Πῶς δυνήσῃ εἰς ἐκκλησίαν εἰσελθεῖν, καὶ τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἀνατεῖναι; ποίῳ στόματι καλέσαι τὸν Θεὸν, ᾧ τὴν πόρνην ἐφίλησας; Καὶ οὐ δέδοικας, οὐδὲ φρίττεις, εἰπέ μοι, μή ποτε σκηπτὸς ἄνωθεν ἐνεχθεὶς καταφλέξῃ τὴν ἀναίσχυντόν σου κεφαλήν; Κἂν γὰρ τὴν γυναῖκα λάθῃς τὴν ἠδικημένην, ἀλλὰ τὸν ἀκοίμητον ὀφθαλμὸν οὐ λήσῃ ποτέ· ἐπεὶ καὶ τῷ μοιχῷ ἐκείνῳ τῷ λέγοντι, *Σκότος κύκλῳ μου καὶ τοῖχοι, τί εὐλαβοῦμαι;* ἀντεφθέγξατο ὁ σοφὸς ἐκεῖνος, οὕτω λέγων· *Ὅτι ὀφθαλμοὶ Κυρίου μυριοπλασίως ἡλίου φωτεινότεροι, βλέποντες εἰς τὰ ἔργα τῶν ἀνθρώπων.* Διὰ τοῦτο δὴ πάντα ὁ Παῦλος ἔλεγεν· *Ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω· τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλομένην εὔνοιαν ἀποδιδότω, ὁμοίως καὶ ἡ γυνὴ τῷ ἀνδρί. Μέλι ἀποστίλλει ἀπὸ χειλέων γυναικὸς πόρνης, ἡ πρὸς καιρὸν λιπαίνει σὸν φάρυγγα, ὕστερον* [202] *μέντοι πικρότερον χολῆς εὑρήσεις,*

[a] Sic Mss. In editis vero πῶς ἀηδῆ τὰ ποτὰ, δηλητ.

[b] Mss. unus ἐχιόδηκτον.

καὶ ἠκονημένον μᾶλλον μαχαίρας διστόμου. Ἰδὲ ἔχει τῆς πόρνης τὸ φίλημα, ἰδὲ λανθάνοντα καὶ ἐγκεκρυμμένον. Τί τοίνυν διώκεις ἡδονὴν κατάγνωσιν ἔχουσαν, βλεθρον τίκτουσαν, πληγὴν ἐπάγουσαν ἀνίατον, ἐξὸν εὐφραίνεσθαι καὶ μηδὲν πάσχειν δεινόν; Ἐπὶ γὰρ τῆς ἐλευθέρας γυναικὸς ὁμοῦ καὶ ἡδονὴ καὶ ἀσφάλεια καὶ ἄνεσις καὶ τιμὴ καὶ κόσμος καὶ συνειδὸς ἀγαθόν· ἐκεῖ δὲ πολλὴ μὲν ἡ πικρία, πολλὴ δὲ ἡ βλάβη, διηνεκὴς δὲ ἡ κατηγορία. Κἂν γὰρ μηδεὶς ἀνθρώπων ᾖ, τὸ συνειδὸς οὐδέποτε παύσεταί σου κατηγοροῦν· ἀλλ' ὅπουπερ ἂν ἀπέλθῃς, ἕψεται κατηγορῶν καὶ μεγάλα καταβοῶν, ὁ κατήγορος οὗτος. Ὥστε εἴ τις ἡδονὴν διώκει, οὗτος μάλιστα φευγέτω τὴν πρὸς τὰς πόρνας ὁμιλίαν. Οὐδὲν γὰρ ἐκείνης τῆς συνηθείας πικρότερον, οὐδὲν τῆς συνουσίας ἀηδέστερον, οὐδὲν τῶν τρόπων μιαρώτερον. *Ἕλαφος φιλίας, καὶ πῶλος σῶν χαρίτων ὁμιλείτω σοι· ἡ πηγὴ τοῦ ὕδατός σου σοὶ ἔστω πηγή.* Πηγὴν ὕδατος ἔχων καθαρὰν, τί τρέχεις ἐπὶ λάκκον βορβόρου γέμοντα, γεέννης ὄζοντα, καὶ κολάσεως ἁφάτου; ποίαν ἕξεις ἀπολογίαν; τίνα συγγνώμην; Εἰ γὰρ οἱ πρὸ τοῦ γάμου πορνείᾳ προσέχοντες κολάζονται καὶ δίκην διδόασι, καθάπερ εἰκεῖνος ὁ τὰ ῥυπαρὰ ἐνδεδυμένος ἱμάτια, πολλῷ μᾶλλον οἱ μετὰ τὸν γάμον. Διπλοῦν γὰρ ἐνταῦθα καὶ τριπλοῦν τὸ ἔγκλημα γίνεται, ὅτι τε παραμυθίας ἀπολαύοντες, ἀπεσκίρτησαν εἰς τὴν ἀσέλγειαν ἐκείνην, καὶ ὅτι τὸ πρᾶγμα οὐχὶ πορνεία μόνον, ἀλλὰ καὶ μοιχεία λογίζεται, ὃ πάσης ἁμαρτίας ἐστὶ χαλεπώτερον. Ταῦτ' οὖν καὶ ἑαυτοῖς καὶ ταῖς γυναιξὶν ἐπᾴδοντες οὕτω διατελῶμεν· διὸ δὴ καὶ αὐτὸς εἰς ταῦτα καταλύσω τὰ ῥήματα· *Διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω· τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλομένην εὔνοιαν ἀποδιδότω, ὁμοίως καὶ ἡ γυνὴ τῷ ἀνδρί. Ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνήρ· ὁμοίως καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ἡ γυνή.* Μετὰ ἀκριβείας ταῦτα φυλάξαντες τὰ ῥήματα, καὶ ἐν ἀγορᾷ, καὶ ἐν οἰκίᾳ, καὶ ἐν ἡμέρᾳ, καὶ ἐν ἑσπέρᾳ, καὶ ἐπὶ τῆς τραπέζης, καὶ ἐπὶ τῆς εὐνῆς, καὶ πανταχοῦ καὶ αὐτοὶ μελετῶμεν, καὶ τὰς γυναῖκας παιδεύωμεν, καὶ πρὸς ἡμᾶς λέγειν, καὶ παρ' ἡμῶν ἀκούειν, ἵνα σωφρόνως τὸν παρόντα ζήσαντες βίον, καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι, ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

[203] ΕΙΣ ΤΟ

Γυνὴ δέδεται νόμῳ, ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς· ἐὰν δὲ κοιμηθῇ, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ. Μακαριωτέρα δέ ἐστιν, ἐὰν οὕτω μείνῃ.

α'. Περὶ γάμου πρώην ἡμῖν ὁ μακάριος Παῦλος ἐνομοθέτει, καὶ τῶν τοῦ γάμου δικαιωμάτων, Κορινθίοις οὕτω γράφων καὶ λέγων· *Περὶ δὲ ὧν ἐγράψατέ μοι, καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι· διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω.* Διὰ τοῦτο καὶ ἡμεῖς τὴν διάλεξιν ἅπασαν εἰς ταῦτα τὰ ῥήματα ἀναλώσαμεν. Οὐκοῦν ἀνάγκη καὶ σήμερον περὶ τῆς αὐτῆς ὑμῖν ὑποθέσεως διαλεχθῆναι πάλιν, ἐπειδὴ καὶ σήμερον περὶ τῶν αὐτῶν ὁ αὐτὸς διαλέγεται Παῦλος. Καὶ γὰρ ἠκούσατε αὐτοῦ βοῶντος καὶ λέγοντος· *Γυνὴ δέδεται νόμῳ, ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς· ἐὰν δὲ κοιμηθῇ ὁ ἀνὴρ αὐτῆς, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ. Μακαριωτέρα δέ ἐστιν, ἐὰν οὕτω μείνῃ κατὰ τὴν ἐμὴν γνώμην· δοκῶ δὲ κἀγὼ Πνεῦμα Θεοῦ ἔχειν* Ἑψώμεθα[a] τοίνυν αὐτῷ καὶ σήμερον, καὶ περὶ ταύτης διαλεξώμεθα τῆς ὑποθέσεως· ἀκολουθοῦντες γὰρ Παύλῳ, δι' αὐτοῦ πάντως τῷ Χριστῷ ἑψόμεθα, ἐπειδὴ καὶ οὗτος οὐχ ἑαυτῷ, ἀλλ' ἐκείνῳ ἀκολουθῶν, πάντα ἔγραφε. Καὶ γὰρ οὐ τὸ τυχὸν πρᾶγμα γάμος εὖ διακείμενος, ὥσπερ οὖν μυρίων συμφορῶν ὑπόθεσις γίνεται τοῖς οὐκ εἰς δέον αὐτῷ χρωμένοις. Ὥσπερ γὰρ βοηθός ἐστιν ἡ γυνὴ, οὕτω πολλάκις καὶ ἐπίβουλος γίνεται. Ὥσπερ οὖν λιμήν ἐστιν ὁ γάμος, οὕτω καὶ ναυάγιον, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν γνώμην τῶν κακῶς αὐτῷ χρησαμένων. Ὁ μὲν γὰρ κατὰ τοὺς προσήκοντας αὐτὸν ἐπιτελῶν, νόμους, τῶν ἀπὸ τῆς[b] ἀγορᾶς καὶ πάντων τῶν πανταχοῦ κακῶν παραμυθίαν τινὰ καὶ ἀπαλλαγὴν εὑρίσκει τὴν οἰκίαν, καὶ τὴν ἑαυτοῦ γυναῖκα· ὁ δὲ ἁπλῶς καὶ ὡς ἔτυχε τὸ πρᾶγμα μεταχειριζόμενος, κἂν πολλῆς ἐπὶ τῆς ἀγορᾶς ἀπολαύσῃ γαλήνης, σκοπέλους καὶ σπιλάδας εἰσελθὼν εἰς τὴν οἰκίαν ὄψεται. Ἐπεὶ οὖν οὐ περὶ τῶν τυχόντων ἡμῖν ὁ κίνδυνος, ἀναγκαῖον μετὰ ἀκριβείας τοῖς λεγομένοις προσέχειν, καὶ τὸν μέλλοντα γυναῖκα ἄγεσθαι, μετὰ τῶν τοῦ Παύλου νόμων, μᾶλλον δὲ μετὰ τῶν τοῦ Χριστοῦ νόμων τοῦτο ποιεῖν. Οἶδα μὲν οὖν ὅτι πολλοῖς εἶναι δοκεῖ καινὸν καὶ παράδοξον τὸ λεγόμενον· πλὴν οὐ διὰ τοῦτο σιγήσομαι, ἀλλὰ πρῶτον τὸν νόμον ὑμῖν ἀναγνοὺς, οὕτω τὴν δοκοῦσαν ἀντινομίαν λῦσαι πειράσομαι. Τίς οὖν ἐστιν ὁ νόμος, ὃν ὁ Παῦλος ἡμῖν ἔθηκε; *Γυνὴ*, φησὶ, *δέδεται νόμῳ.* Οὐκοῦν οὐ δεῖ ἀποσχίζεσθαι ζῶντος τοῦ ἀνδρὸς, οὐδὲ ἕτερον ἐπεισάγειν νυμφίον, οὐδὲ δευτέροις ὁμιλεῖν γάμοις. Καὶ ὅρα πῶς μετὰ ἀκριβείας καὶ αὐτῇ τῶν λέξεων τῇ φύσει κέχρηται. Οὐ γὰρ εἶπε, Συνοικείτω τῷ ἀνδρὶ, ἐφ' ὅσον [204] χρόνον ζῇ· ἀλλὰ τί; *Γυνὴ δέδεται νόμῳ, ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς·* ὥστε κἂν βιβλίον ἀποστασίου δῷ, καὶ τὴν οἰκίαν ἀφῇ, κἂν πρὸς ἄλλον ἀπέλθῃ, τῷ νόμῳ δέδεται, καὶ μοιχαλίς ἐστιν ἡ τοιαύτη.

Ἐὰν τοίνυν ὁ ἀνὴρ ἐκβαλεῖν βούληται τὴν γυναῖκα, ἢ ἡ γυνὴ τὸν ἄνδρα ἀφεῖναι, ταύτης ἀναμιμνησκέσθω τῆς ῥήσεως, καὶ τὸν Παῦλον νομιζέτω παρεῖναι καὶ καταδιώκειν αὐτὴν βοῶντα καὶ λέγοντα, *Γυνὴ δέδεται νόμῳ.* Καθάπερ γὰρ οἱ δραπετεύοντες οἰκέται κἂν τὴν οἰκίαν ἀφῶσι τὴν δεσποτικὴν, τὴν ἄλυσιν ἔχουσιν ἐπισυρομένην· οὕτω καὶ γυναῖκες, κἂν τοὺς ἄνδρας ἀφῶσι, τὸν νόμον ἔχουσι καταδικάζοντα ἀντὶ

[a] Duo mss. ἐπώμεθα.
[b] Iidem mss. τῶν ἐπὶ τῆς.

bet osculum meretricis, venenum latens et absconditum. Cur igitur damnandam persequeris voluptatem, quæ exitium parit, quæ plagam infert immedicabilem, cum oblectari possis, et nullum malum incurrere? Cum libera et honesta muliere simul voluptas est et securitas, et delectatio et honor, et ornatus et bona conscientia : illic autem acerbitas multa, damnum multum, accusatio perpetua. Quamvis enim nullus hominum viderit, numquam tamen accusare te desinet conscientia : sed quocumque perrexeris, te sequetur accusans, et magna voce te persequens accusator iste. Itaque si quis voluptatem sectetur, is congressum cum meretricibus fugiat maxime. Nihil enim illa consuetudine injucundius, nihil illo congressu molestius, nihil moribus illarum scelestius. *Cervus amicitiæ, et pullus gratiarum tuarum confabuletur tecum : fons aquæ tuæ sit tibi fons* (*Prov.* 5. 19. *et* 15). Cum sit tibi fons purus, cur ad lacum luto plenum curris, gehennam olentem et supplicium ineffabile? qua excusatione, qua venia dignus poteris videri? Si enim qui ante contractum matrimonium scortantur, pœnas sustinent, et supplicio plectuntur, sicut ille qui sordidis erat vestimentis indutus, multo magis qui matrimonio contracto. Duplex enim inde ac triplex crimen oritur, tum quia cum deliciis fruerentur, ad lasciviam illam prosilierunt, tum quia non modo scortatio res illa, sed etiam adulterium censetur, quod peccato quovis est gravius. Hæc igitur et nobis et mulieribus inculcare non desinamus : quam etiam ob causam his verbis orationem concludam : *Propter fornicationem unusquisque suam uxorem habeat, et unaquæque suum virum habeat. Uxori vir debitam benevolentiam reddat; uxor similiter viro. Mulier sui corporis potestatem non habet, sed vir. Similiter autem et vir sui corporis potestatem non habet, sed mulier* (1. Cor. 7. 2-4). Hæc verba studiose memoria tenentes, et in foro, et in ædibus, et interdiu, et vesperi, et ad mensam, et in lecto, et ubique locorum, cum ipsi ea meditemur, tum mulieres nobis dicere atque a nobis audire doceamus, ut cum hanc vitam caste traduxerimus, cælorum etiam regnum consequamur, gratia et benignitate Domini nostri Jesu Christi, per quem et cum quo Patri, una cum Spiritu sancto gloria, in sæcula sæculorum. Amen.

IN ILLUM LOCUM,

MULIER ALLIGATA EST LEGI QUANTO TEMPORE VIXERIT VIR EJUS : SI AUTEM DORMIERIT, LIBERA EST CUI VOLUERIT NUBERE, TANTUM IN DOMINO. BEATIOR AUTEM EST SI SIC MANSERIT (1. *Cor.* 7. 39. 40) (*a*).

1. Nuper nobis beatus Paulus de conjugio, conjugiique juribus legem tulit, Corinthiis sic scribens ac dicens : *De quibus autem scripsistis mihi, Bonum esse homini mulierem non tangere : propter fornicationem autem, suam quisque uxorem habeat, et suum quæque virum habeat* (1. *Cor.* 7. 1. 2). Eapropter et nos totum sermonem in hoc insumpsimus. Itaque necesse est hodie de eodem argumento iterum vobiscum disserere, quandoquidem de eodem etiam ipse Paulus hodie disserit. Audivistis enim illum clamantem, ac dicentem : *Mulier alligata est legi quanto tempore vixerit vir illius : si autem obdormierit vir illius, libera est cui voluerit nubere, tantum in Domino : beatior autem est si sic manserit, secundum meum consilium : opinor autem quod et ego Spiritum Dei habeam.* (*Ibid. v.* 39. 40). Sequamur igitur illum et hodie, et de hac colloquamur materia : sequentes enim Paulum, per eum et Christum ipsum sequemur, eo quod ille non semetipsum, sed Christum per omnia sequens scripsit. Enimvero non est vulgaris res, conjugium bene constitutum : sicut etiam iis qui illo, non ut oportet, utuntur, innumerorum malorum fit materia. Nam sicut mulier adjutrix est, ita sæpe et insidiatrix. Et sicut portus est conjugium, ita et sæpe naufragium parit : non natura sua, sed animo eorum, qui illo male utuntur. Etenim qui secundum congruas leges illud observat, domum et uxorem suam, ut malorum omnium quæ vel in foro, vel alicubi obveniunt, consolatricem ac liberatricem reperit; qui autem temere et vulgariter hanc rem aggreditur, etiamsi multa in foro et alibi tranquillitate fruatur, ingressus domum, scopulos et petras videbit. Itaque quoniam non de rebus vulgaribus nobis est periculum, operæ pretium fuerit cum diligentia dictis attendere, et uxorem ducturum, juxta Pauli, imo juxta Christi leges agere. Sane scimus, quod multis novum et inexspectatum videbitur quod dicimus : at propterea non silebo, sed primum legem vobis legam, et dein legem, quæ contraria videtur, solvere tentabo. Igitur quænam est lex illa, quam nobis Paulus posuit? *Mulier*, inquit, *alligata est legi*. Oportet igitur ut minime separetur, vivente viro, neque alium superinducat maritum, neque secundas nuptias adeat. Et vide quanta cum diligentia verborum usus sit proprietate. Non enim dixit, Cohabitet viro quoad vixerit; sed, *Mulier alligata est legi quanto tempore vixerit vir illius* : atque adeo etiamsi libellum repudii det, etiamsi domum relinquat, etiamsi ad alium abeat, legi adstricta adulteraque est.

Non licet repudiatam ducere. Leges externæ divinæ legi cedunt. — Quando igitur vir ejicere vult uxorem, et uxor relinquere virum, hujus memor sit dicti, et Paulum putet esse præsentem, et persequi se clamando et dicendo : *Mulier adstricta est legi*. Nam quemadmodum servi fugitivi, etiamsi domum herilem relinquant, catenam secum trahunt : ita et mulieres etiamsi viros relinquant, legem habent pro catena,

(*a*) Collata cum Mss Colbertinis 970 et 1050.

se persequentem et adulterii accusantem, accusantem etiam eum, qui duxerit, ac dicentem : Adhuc superest maritus, et facinus hoc adulterium est. *Mulier enim adstricta est legi, quoad vixerit maritus illius. Et omnis qui dimissam duxerit, mœchatur* (*Matth.* 5. 32). Quando igitur licebit illi secundas nuptias contrahere? Quando? Tunc ubi a catena liberata fuerit, quando vir morietur. Hoc igitur declarans non addidit, Quod si mortuus fuerit vir illius, libera est cui voluerit nubere : sed, *Si autem dormierit vir illius*, quasi consolans viduam, et persuadens manere apud priorem, et non adjungere secundum maritum. Non mortuus est, inquit, vir tuus, sed obdormivit. Quis dormientem non præstolatur? Propterea dixit, *Si autem dormierit, libera est cui voluerit nubere.* Non dixit, Nubat, ut ne videatur vim facere et cogere : neque prohibuit volentem secundas nuptias contrahere : neque nolentem adhortatus est, sed legem legit, dicens : *Libera est cui voluerit nubere.* Liberam autem illam post viri mortem esse factam dicens, ostendit, servam eam antea adhuc vivente marito fuisse; quæ autem serva est, ac subdita legi, etiamsi millies libellum repudii accipiat, adulterii ligabitur lege. Nam servis quidem licet mutare dominos viventes, uxori autem non licebit viros commutare, vivente suo : nam id adulterium esset. Ne mihi leges ab exteris conditas legas, præcipientes dari libellum repudii, et divelli. Neque enim juxta illas judicaturus est te Deus in die illa, sed secundum eas, quas ipse statuit. Etiam externæ leges non simpliciter, nec absolute hoc posuerunt : nam et ipsæ puniunt factum, et hinc liquet, eas peccatum valde ægre tulisse. Unde eam, quæ auctor fuerit repudii, nudam et spoliatam facultatibus ejiciunt, et eum a quo data fuerit dissolutionis occasio, etiam facultatum jactura puniunt, et sane hoc facientes, factum illud non commendabant.

2. Quid igitur? Et Moses, aiunt, hoc fecit : et ille propter eamdem ipsam causam. Tu vero audi Christum dicentem, *Nisi abundaverit justitia vestra plus quam Scribarum et Pharisæorum, non intrabitis in regnum cælorum* (*Matth.* 5. 20). Audi illum rursus dicentem : *Qui dimiserit uxorem suam, excepta causa adulterii, facit illam adulteram fieri : et qui dimissam in uxorem duxerit, adulter fit* (*Matth.* 5. 32). Propter hoc venit unigenitus Filius Dei, propter hoc servi formam assumpsit, propter hoc sanguinem effudit pretiosum, mortem destruxit, peccatum exstinxit, largiorem Spiritus gratiam dedit, ut ad majus te sapientiæ studium induceret. Alias etiam Moses non ita simpliciter legem hanc tulit, sed cum cogeretur sese attemperare eorum quibus legem dabat, infirmitati. Nam quoniam ad cædes prompti erant, et domos cognato replebant sanguine, et neque suis, neque alienis parcebant, ne intus occiderent uxores, quæ ingratæ erant, præcepit foras mittendas, quo gravius malum, nempe homicidiorum facilitas tolleretur. Sane quod homicidæ fuerint, audi prophetas dicentes : *Ædificantes Sion in sanguine, et Jerusalem in injustitiis* (*Mich.* 3. 10) ; et iterum : *Sanguinem sanguini miscent* (*Osee* 4. 2); et iterum : *Manus vestræ sanguine plenæ* (*Isai* 1. 15). Et quod non solum contra alienos, sed etiam contra suos sævierint, ita manifestans propheta dicebat : *Immolaverunt filios suos et filias suas dæmoniis* (*Psal.* 105. 37). Qui autem non parcebant liberis, utique nec uxoribus pepercissent. Ut ne itaque hoc accideret, illud permisit.

Inseparabile matrimonium ab initio. — Quapropter et Christus Judæis rogantibus, et dicentibus : *Quomodo igitur Moses permisit dare libellum repudii* (*Matth.* 19. 7)? ostendens quod non contrariam suæ legem ferens ita scripserit, dixit : *Moses juxta duritiam cordis vestri loquutus est, ab initio autem non erat sic* (*Ibid. v.* 8) ; *sed qui fecit ab initio, masculum et feminam fecit illos* (*Ib. v.* 4). Si hoc bonum fuisset, inquit, non unum virum et unam mulierem fecisset, sed uno Adam condito duas fecisset mulieres, si quidem voluisset unam quidem ejici, alteram vero induci ; nunc vero ipso formationis modo legem induxit, quam ego nunc scribo. Et quænam est illa? Hæc utique, Eam sibi quisque uxorem servet semper, quam initio sortitus est. Hæc lex antiquior, quam illa de libello repudii, et tanto, quanto Adam ipso Mose. Et idcirco nunc nihil novum sector, neque peregrina affero decreta, sed Mose antiquiora et priora. Operæ autem pretium fuerit et Mosis legem illam, quam de hac re posuit, audire : *Si quis*, inquit, *acceperit uxorem, et habitaverit cum illa; et erit, si non invenerit gratiam coram illo, quia invenit in illa turpitudinis rem, scribet illi libellum repudii, et dabit in manus ejus* (*Deut.* 24. 1). Vide, non dixit, Scribito et dato, sed quid? *Scribet illi libellum repudii, et dabit in manus ejus.* Magnum autem inter hoc et illud discrimen : nam dicere, Scribat libellum repudii, et det in manus ejus, jubentis ac imperantis est; dicere autem, *Scribet libellum repudii, et dabit in manus ejus*, annuntiantis factum, et non propriam legem introducentis est. Igitur, *Si quis*, ait, *ejiciat uxorem, et dimittat illam ex domo sua : et cum abierit, si fuerit alteri viro, et odio illam habuerit etiam vir posterior, et scripserit illi libellum repudii, et dederit in manus ejus et emittat illam ex domo sua : si mortuus fuerit illius vir, qui accepit sibi illam uxorem, non poterit vir prior, qui dimiserat illam, reducere, et accipere eam sibi in uxorem* (*Ib. v.* 2-4). Deinde monstrans se non laudare factum, neque conjugium esse putare, sed infirmitati eorum sese attemperare, postquam dixit : *Non poterit vir prior accipere illam sibi in uxorem*, addidit, *Postquam polluta est* (*Ib. v.* 4) : declarans per hujus verbi modum, quod secundæ nuptiæ, vivente priore viro, pollutio magis sint quam conjugium : propter hoc non dixit, Postquam illam in uxorem duxerit. Vides quam consona cum Christo loquatur? Deinde et causam apposuit, *Quod abominatio sit coram Deo* (*Ib. v.* 4). Et Moses quidem sic : propheta autem Malachias multo manifestius, quam Moses, hoc demonstrat; imo potius non Malachias, sed Deus per Malachiam, his verbis, *Numquid dignum respicere ad sacrificium vestrum? vel recipere acceptabile de manibus vestris* (*Ma-*

ἀλύσεως, κατηγοροῦντα μοιχείαν, κατηγοροῦντα τῶν λαμβανόντων, καὶ λέγοντα· Περίεστιν ὁ ἀνὴρ ἔτι, καὶ μοιχεία τὸ γινόμενόν ἐστι· *Γυνὴ γὰρ δέδεται νόμῳ, ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς. Καὶ πᾶς ὁ ἀπολελυμένην γαμῶν μοιχᾶται.* Καὶ πότε, φησίν, ἐξέσται αὐτῇ δευτέροις ὁμιλῆσαι γάμοις ; Πότε ; Ὅταν τῆς ἀλύσεως ἀπαλλαγῇ, ὅταν ὁ ἀνὴρ τελευτήσῃ. Τοῦτο γοῦν δηλῶν, οὐ προσέθηκεν, ὅτι Ἐὰν τελευτήσῃ ὁ ἀνὴρ αὐτῆς, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, ἀλλ', *Ἐὰν κοιμηθῇ*, μονονουχὶ παραμυθούμενος τὴν ἐν χηρείᾳ, καὶ πείθων μένειν ἐπὶ τῷ προτέρῳ, καὶ μὴ δεύτερον εἰσαγαγεῖν νυμφίον. Οὐκ ἐτελεύτησέ σου ὁ ἀνὴρ, ἀλλὰ καθεύδει. Τίς καθεύδοντα οὐκ ἀναμένει ; Διὰ τοῦτό φησιν *Ἐὰν δὲ κοιμηθῇ, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι* · οὐκ εἶπε, Γαμείσθω, ἵνα μὴ δόξῃ βιάζεσθαι καὶ ἀναγκάζειν· οὔτε ἐκώλυσε βουλομένην ὁμιλεῖν δευτέρῳ γάμῳ, οὔτε μὴ θέλουσαν προετρέψατο, ἀλλὰ τὸν νόμον ἀνέγνω εἰπών, *Ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι.* Ἐλευθέραν δὲ αὐτὴν μετὰ τὴν τοῦ ἀνδρὸς τελευτὴν γεγενῆσθαι λέγων, ἔδειξεν ὅτι πρὸ τούτου δούλη ἦν, ζῶντος ἐκείνου· δούλη δὲ οὖσα καὶ ὑποκειμένη τῷ νόμῳ, κἂν μυριάκις βιβλίον ἀποστασίου λάβῃ, τῷ τῆς μοιχείας ἁλίσκεται νόμῳ. Οἰκέταις μὲν γὰρ ἔξεστι δεσπότας ἀμείβειν ζῶντας· γυναικὶ δὲ οὐκ ἔξεστιν ἄνδρας ἀμείβειν, ζῶντος τοῦ ἀνδρός· ἐπεὶ τὸ πρᾶγμα μοιχεία ἐστί. Μὴ γάρ μοι τοὺς παρὰ τοῖς ἔξωθεν κειμένους νόμους ἀναγνῷς, τοὺς κελεύοντας διδόναι βιβλίον ἀποστασίου, καὶ ἀφίστασθαι. Οὐ γὰρ δὴ κατὰ τούτους σοι μέλλει κρίνειν τοὺς νόμους ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἀλλὰ καθ' οὓς αὐτὸς ἔθηκε. Καὶ οἱ τῶν ἔξωθεν δὲ νόμοι οὐχ ἁπλῶς, οὐδὲ προηγουμένως τοῦτο τεθείκασιν, ἀλλὰ καὶ αὐτοὶ κολάζουσι τὸ πρᾶγμα· ὥστε καὶ αὐτόθεν δείκνυται, ὅτι ἀηδῶς πρὸς ταύτην ἔχουσι τὴν ἁμαρτίαν. Τὴν γοῦν αἰτίαν τοῦ ἀποστασίου γινομένην γυμνὴν καὶ ἔρημον χρημάτων ἐκβάλλουσι, καὶ ὅθεν ἂν γένηται τῆς διαλύσεως ἡ πρόφασις, καὶ τῇ ζημίᾳ τῆς οὐσίας τοῦτον κολάζουσιν· οὐκ ἂν οὖν τοῦτο ποιήσαντες ἐπῄνουν τὸ γινόμενον.

β'. Τί οὖν καὶ Μωϋσῆς ; Τοῦτο ἔπραττε κἀκεῖνος διὰ τὴν αὐτὴν αἰτίαν. Σὺ δὲ ἄκουε τοῦ Χριστοῦ λέγοντος, ὅτι *Ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.* Ἄκουε αὐτοῦ πάλιν λέγοντος, *Ὁ ἀπολύων τὴν γυναῖκα αὐτοῦ παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχευθῆναι, καὶ ὁ ἀπολελυμένην γαμῶν μοιχᾶται.* [205] Διὰ τοῦτο ἦλθεν ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, διὰ τοῦτο δούλου μορφὴν ἔλαβε, διὰ τοῦτο τὸ αἷμα ἐξέχεε τὸ τίμιον, τὸν θάνατον κατέλυσε, τὴν ἁμαρτίαν ἔσβεσε, δαψιλεστέραν τὴν τοῦ Πνεύματος ἔδωκε χάριν, ἵνα πρὸς μείζονά σε ἀγάγῃ φιλοσοφίαν. Ἄλλως δὲ, οὐδὲ ὁ Μωϋσῆς προηγουμένως τοῦτο ἐνομοθέτησεν, ἀλλ' ἀναγκαζόμενος συγκαταβῆναι τῇ τῶν νομοθετουμένων ἀσθενείᾳ. Ἐπειδὴ γὰρ πρὸς φόνους ἦσαν ἕτοιμοι, καὶ συγγενικῶν αἱμάτων τὰς οἰκίας ἐπλήρουν, καὶ οὔτε τῶν οἰκείων, οὔτε τῶν ἀλλοτρίων ἐφείδοντο· ἵνα μὴ κατασφάττωσι τὰς γυναῖκας ἔνδον, ἃς ἂν ἀηδῶς ἔχωσιν, ἐκέλευσεν ἐκβαλεῖν, μεῖζον ἀναιρῶν κακὸν τὴν περὶ τὰς σφαγὰς εὐκολίαν. Ὅτι γὰρ μιαιφόνοι τινὲς ἦσαν, ἄκουε αὐτῶν τῶν προφητῶν λεγόντων· *Οἰκοδομοῦντες Σιὼν ἐν αἵματι, καὶ Ἰερουσαλὴμ ἐν ἀδικίαις*· καὶ πάλιν, *Αἵματα ἐν αἵμασι μίσγουσι*· καὶ πάλιν, *Αἱ χεῖρες ὑμῶν αἵματος πλήρεις.* Ὅτι δὲ οὐ κατὰ τῶν ἀλλοτρίων μόνον, ἀλλὰ καὶ κατὰ τῶν οἰκείων ἐμαίνοντο, καὶ τοῦτο δηλῶν ὁ Προφήτης ἔλεγε· *Καὶ ἔθυσαν τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις.* Οἱ δὲ παίδων αὐτῶν μὴ φεισάμενοι, οὐκ ἂν ἐφείσαντο γυναικῶν. Ἵν' οὖν μὴ τοῦτο γένηται, τοῦτο ἐπέτρεψε. Διὰ τοῦτο καὶ ὁ Χριστὸς τοῖς Ἰουδαίοις ἐρωτῶσι καὶ λέγουσι, *Πῶς Μωϋσῆς ἐπέτρεψε δοῦναι βιβλίον ἀποστασίου ;* δεικνὺς ὅτι οὐκ ἀντινομοθετῶν αὐτῷ ταῦτα ἔγραφεν, οὕτω πώς φησι· *Μωϋσῆς πρὸς τὴν σκληροκαρδίαν ὑμῶν εἶπεν, ἀπ' ἀρχῆς δὲ οὐ γέγονεν οὕτως· ἀλλ' ὁ ποιήσας ἐξ ἀρχῆς ἄρρεν καὶ θῆλυ ἐποίησεν αὐτούς.* Εἰ καλὸν τοῦτο ἦν, φησὶν, οὐκ ἂν ἕνα ἄνδρα ἐποίησε καὶ μίαν γυναῖκα, ἀλλὰ ἕνα ποιήσας τὸν Ἀδὰμ, δύο ἂν ἐποίησε τὰς γυναῖκας, εἴ γε ἐβούλετο τὴν μὲν ἐκβαλεῖν, τὴν δὲ εἰσαγαγεῖν· νῦν δὲ διὰ τοῦ τρόπου τῆς δημιουργίας τὸν νόμον εἰσήγαγεν. ὃν ἐγὼ γράφω νῦν. Ποῖον δὴ τοῦτον ; Τὸ τὴν κληρωθεῖσαν ἐξ ἀρχῆς γυναῖκα, ταύτην ἔχειν διαπαντός· οὗτος ἐκείνου παλαιότερος ὁ νόμος, καὶ τοσοῦτον, ὅσον ὁ Ἀδὰμ τοῦ Μωϋσέως. Ὥστε οὐ καινοτομῶ νῦν ἐγὼ, οὐδὲ ξένα ἐπεισφέρω δόγματα, ἀλλὰ τοῦ Μωϋσέως πρεσβύτερα καὶ ἀρχαιότερα. Ἄξιον δὲ καὶ αὐτὸν τὸν νόμον ἀκοῦσαι Μωϋσέως, ὃν περὶ τούτου ἔθηκεν. *Ἐάν τις γυναῖκα λάβῃ*, φησὶ, *καὶ συνοικήσῃ αὐτῇ, καὶ ἔσται, ἐὰν μὴ εὕρῃ χάριν ἐναντίον αὐτοῦ, ὅτι εὗρεν ἐν αὐτῇ ἀσχημοσύνης πρᾶγμα, γράψει αὐτῇ βιβλίον ἀποστασίου, καὶ δώσει αὐτῇ εἰς τὰς χεῖρας αὐτῆς.* Ὅρα· οὐκ εἶπε, Γραψάτω, καὶ δότω· ἀλλὰ τί ; *Γράψει αὐτῇ βιβλίον ἀποστασίου, καὶ δώσει αὐτῇ εἰς τὰς χεῖρας αὐτῆς.* Πολὺ δὲ τούτου κἀκείνου τὸ μέσον· τὸ μὲν γὰρ εἰπεῖν, Γραψάτω, καὶ δότω, κελεύοντος καὶ ἐπιτάττοντος· τὸ δὲ εἰπεῖν, *Γράψει βιβλίον ἀποστασίου, καὶ δώσει εἰς τὰς χεῖρας αὐτῆς*, τὸ γεγενημένον ἀπαγγέλλοντος, οὐκ οἰκοθεν τὸν νόμον εἰσάγοντος. *Ἐὰν οὖν τις*, φησὶν, *ἐκβάλῃ τὴν γυναῖκα, καὶ ἀποστείλῃ αὐτὴν ἐκ τῆς οἰκίας αὐτοῦ, καὶ ἀπελθοῦσα γένηται ἀνδρὶ ἑτέρῳ, καὶ μισήσῃ αὐτὴν καὶ ὁ ἀνὴρ ὁ ἔσχατος, καὶ γράψῃ αὐτῇ βιβλίον ἀποστασίου, καὶ δώσῃ εἰς τας χεῖρας αὐτης, καὶ ἐξαποστείλῃ αὐτὴν ἐκ τῆς οἰκίας αὐτοῦ, ἢ ἀποθάνῃ ὁ ἀνὴρ αὐτῆς, ὃς* [206] *ἔλαβεν αὐτὴν ἑαυτῷ γυναῖκα, οὐ δυνήσεται ὁ ἀνὴρ ὁ πρότερον ἐξαποστείλας αὐτὴν ἐπιστρέψαι καὶ λαβεῖν αὐτὴν ἑαυτῷ γυναῖκα.* Εἶτα ἐνδεικνύμενος, ὅτι οὐκ ἐπαινεῖ τὸ γεγενημένον, οὐδὲ γάμον εἶναι νομίζει, ἀλλὰ διὰ τὴν ἀσθένειαν αὐτῶν συγχαταβαίνει, εἰπὼν, *Οὐ δυνήσεται ὁ ἀνὴρ ὁ πρότερος λαβεῖν αὐτὴν ἑαυτῷ γυναῖκα*, ἐπήγαγε, *Μετὰ τὸ μιανθῆναι αὐτὴν*, ἐμφαίνων διὰ τοῦ τρόπου τῆς λέξεως, ὅτι ὁ δεύτερος γάμος, ζῶντος τοῦ προτέρου ἀνδρὸς γενόμενος, μίασμα μᾶλλόν ἐστιν, ἢ γάμος. Διὰ τοῦτο οὐκ εἶπε, Μετὰ τὸ γαμηθῆναι αὐτήν. Ὁρᾷς ὅτι συνῳδὰ τῷ Χριστῷ φθέγγεται ; Εἶτα καὶ τὴν αἰτίαν προστέθηκεν, *Ὅτι βδέλυγμά ἐστιν ἐναντίον τοῦ Θεοῦ.* Καὶ Μωϋσῆς μὲν οὕτως· ὁ δὲ προφήτης Μαλαχίας σαφέστερον, πολλῷ τοῦ Μωϋσέως αὐτὸ τοῦτο ἐνδείκνυται, μᾶλλον δὲ οὐ Μαλαχίας, ἀλλ' ὁ Θεὸς διὰ τοῦ Μαλαχίου, λέγων οὕτως· *Εἰ ἄξιον ἐπιβλέψαι εἰς θυσίαν ὑμῶν ; ἢ λαβεῖν δεκτὸν ἐκ τῶν χειρῶν ὑμῶν ;* εἶτα εἰπόντος, *Τίνος ἕνεκεν*, φησὶ, *γυναῖκα ἐκ*

νεότητός σου ἐγκατέλιπες; καὶ δεικνὺς [a] ἦλίκον ἐστὶ κακὸν, καὶ ἀποστερῶν πάσης συγγνώμης τὸν τοῦτο ποιήσαντα, διὰ τῶν ἑξῆς τὴν κατηγορίαν αὔξει, ἐπάγων οὕτω καὶ λέγων· ***Καὶ αὕτη κοινωνός σου, καὶ γυνὴ διαθήκης σου, καὶ ἐγκατάλειμμα πνεύματός σου, καὶ οὐκ ἄλλος ἐποίησεν.*** Ὅρα πόσα τίθησι δικαιώματα· πρῶτον τὸ τῆς ἡλικίας, *Γυνὴ νεότητός σου*· εἶτα τὸ ἀναγκαῖον, ***Καὶ αὕτη κοινωνός σου***· εἶτα τὸν τῆς δημιουργίας τρόπον, *Ἐγκατάλειμμα πνεύματός σου.*

γ'. Πρὸς τούτοις ἅπασιν, ὁ πάντων τούτων μεῖζον ἦν, τὸ τοῦ ποιήσαντος ἀξίωμα. Τοῦτο γάρ ἐστι τὸ, ***Οὐκ ἄλλος ἐποίησεν.*** Οὐκ ἔχεις, φησὶν, εἰπεῖν, ὅτι σὲ μὲν ὁ Θεὸς ἐποίησεν, ἐκείνην δὲ οὐχ ὁ Θεὸς, ἀλλ' ἄλλος τις ἐκείνου καταδεέστερος· ἀλλ' εἷς καὶ ὁ αὐτὸς ἀμφοτέρους εἰς τὸ εἶναι παραγαγών· ὥστε εἰ καὶ μηδὲν ἕτερον, τοῦτο γοῦν αἰδεσθεὶς, φύλαττε τὴν πρὸς αὐτὴν ἀγάπην. Εἰ γὰρ δούλοις πολλάκις τοῖς πρὸς ἀλλήλους στασιάζουσιν [b] ὑπόθεσις τοῦτο γεγένηται, τὸ δεῖν λέγω τοὺς ἀμφοτέρους ἑνὶ καὶ τῷ αὐτῷ δουλεῦσαι δεσπότῃ, πολλῷ μᾶλλον ἐφ' ἡμῶν τοῦτο γίνεσθαι χρὴ, ὅταν καὶ δημιουργὸν καὶ δεσπότην τὸν αὐτὸν ἔχωμεν οἱ ἀμφότεροι. Εἶδες πῶς καὶ ἐν τῇ Παλαιᾷ ἀρχὰς καὶ προοίμια λοιπὸν ἐλάμβανε τῆς καινῆς φιλοσοφίας τὰ προστάγματα; Ἐπειδὴ γὰρ πολὺν ἐνετράφησαν τῷ νόμῳ χρόνον, καὶ πρὸς τὰ τελειότερα παραγγέλματα ὀδεύειν ὤφειλον, καὶ πρὸς τὸ τέλος λοιπὸν ἁπήντα αὐτοῖς τὰ τῆς πολιτείας, μετὰ τοῦ προσήκοντος καιροῦ λοιπὸν ἐπὶ ταύτην ἄγει τὴν φιλοσοφίαν αὐτοὺς ὁ προφήτης. Πειθώμεθα τοίνυν τῷ καλῷ τούτῳ νόμῳ, καὶ πάσης αἰσχύντης ἑαυτοὺς ἀπαλλάξωμεν καὶ μήτε τὰς ἑαυτῶν ἐκβάλωμεν, μήτε τὰς ὑπὸ ἑτέρων ἐκβληθείσας δεχώμεθα. Ποίῳ γὰρ ὄψει προσώπῳ τὸν ἄνδρα τῆς γυναικός; ποίοις ὀφθαλμοῖς τοὺς φίλους τοὺς ἐκείνου, τοὺς οἰκέτας; [207] Εἰ γὰρ τελευτήσαντος τοῦ συνοικοῦντος, τὴν γυναῖκά τις τὴν ἐκείνου λαβὼν, εἶτα τὴν εἰκόνα μόνην ἀνακειμένην ἰδὼν, ἔπαθέ τι καὶ ἐδυσχέρανεν, ὡς ζῶντα τὸν ἄνδρα ὁρῶν τῆς αὐτῷ συνοικούσης, ποῖον βιώσεται βίον; πῶς οἴκαδε εἰσελεύσεται; μετὰ ποίας γνώμης, μετὰ ποίων ὀφθαλμῶν ὄψεται τὴν ἐκείνου γυναῖκα τὴν αὐτοῦ;

Μᾶλλον δὲ οὐδὲ ἐκείνου, οὔτε αὐτοῦ δικαίως ἄν τις τὴν τοιαύτην προσείποι· ἡ γὰρ μοιχαλὶς οὐδενός ἐστι γυνή. Καὶ γὰρ τὰς πρὸς ἐκεῖνον συνθήκας ἐπάτησε, καὶ πρὸς σὲ μετὰ τῶν προσηκόντων νόμων οὐκ ἦλθε. Πόσης οὐκ ἂν εἴη παρανοίας, πρᾶγμα τοσούτων γέμον κακῶν εἰς τὴν οἰκίαν εἰσαγαγεῖν; Μὴ γὰρ σπάνις ἐστὶ γυναικῶν; Τίνος ἕνεκεν, πολλῶν οὐσῶν, ἃς μετὰ τῶν προσηκόντων νόμων καὶ μετὰ καθαροῦ συνειδότος λαμβάνειν ἔξεστιν, ἐπὶ τὰς κεκωλυμένας τρέχομεν, τὰς οἰκίας ἀνατρέποντες, καὶ πολέμους ἐμφυλίους εἰσάγοντες, καὶ πανταχόθεν ἔχθραν ἑαυτοῖς παρασκευάζοντες, μυρίων κατηγόρων ἀνοίγοντες στόματα, καὶ τὴν ζωὴν τὴν ἑαυτῶν καταισχύνοντες, καὶ, τὸ πάντων χαλεπώτατον, ἀπαραίτητον ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως συνάγοντες ἑαυτοῖς κόλασιν; Τί γὰρ ἐροῦμεν τότε τῷ μέλλοντι κρίνειν ἡμᾶς, ὅταν τὸν νόμον παρενεγκὼν εἰς μέσον καὶ ἀναγνοὺς εἴποι· Ἐκέλευσα ἀπολελυμένην γυναῖκα μὴ λαμβάνειν, εἰπὼν ὅτι μοιχεία τὸ πρᾶγμά ἐστι. Πῶς οὖν ἐτόλμησας ἐπὶ κεκωλυμένον γάμον ἐλθεῖν; Τί ἐροῦμεν, καὶ τί ἀποκρινούμεθα; Οὐ γὰρ δεῖ τοὺς παρὰ τῶν ἔξωθεν κειμένους νόμους ἐκεῖ προβαλέσθαι, ἀλλ' ἀνάγκη σιγῶντας καὶ δεδεμένους εἰς τὸ τῆς γεέννης ἀπάγεσθαι πῦρ μετὰ τῶν μοιχῶν καὶ τῶν τοὺς ἀλλοτρίους ἀδικησάντων γάμους· ὅτε γὰρ ἀπολύσας χωρὶς αἰτίας, τῆς ἐπὶ πορνείᾳ, ὅ τε ἐκβεβλημένην γαμῶν, τοῦ ἀνδρὸς ζῶντος, ὁμοίως μετὰ τῆς ἐκβληθείσης κολάζονται. Διὸ παρακαλῶ, καὶ δέομαι καὶ ἀντιβολῶ, μήτε ἄνδρας ἐκβάλλειν γυναῖκας, μήτε γυναῖκας ἄνδρας ἀφιέναι, ἀλλ' ἀκούειν τοῦ Παύλου λέγοντος· ***Γυνὴ δέδεται νόμῳ, ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς· ἐὰν δὲ κοιμηθῇ ὁ ἀνὴρ, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ.***

Ποίαν γὰρ ἔχοιεν συγγνώμην οἱ, τοῦ Παύλου καὶ δεύτερον ἐπιτρέποντος γάμον μετὰ τὴν τελευτὴν τοῦ συνοικοῦντος, καὶ τοσαύτην παρέχοντος ἄδειαν, πρὸ τῆς τελευτῆς τολμῶντες τοῦτο ποιεῖν; τίνος ἂν τύχοιεν ἀπολογίας, ἢ οὗτοι οἱ ζώντων τῶν ἀνδρῶν τὰς γυναῖκας λαμβάνοντες, ἢ ἐκεῖνοι οἱ πρὸς τὰς πανδήμους ἀπερχόμενοι πόρνας; Καὶ γὰρ καὶ ἐκεῖνο μοιχείας ἕτερον εἶδος, τὸν γυναῖκα ἔχοντα ἔνδον, πόρναις γυναιξὶν ὁμιλεῖν. Ὥσπερ γὰρ ἡ τὸν ἄνδρα ἔχουσα γυνὴ, κἂν οἰκέτῃ κἂν ἐλευθέρῳ τινὶ γυναῖκα μὴ ἔχοντι ἑαυτὴν ἐκδῷ, τοῖς τῆς μοιχείας ἁλίσκεται νόμοις· οὕτω καὶ ὁ ἀνὴρ. κἂν εἰς πάνδημον πόρνην, κἂν εἰς ἑτέραν γυναῖκα ἄνδρα οὐκ ἔχουσαν ἁμάρτοι, γυναῖκα ἔχων, μοιχείας τὸ πρᾶγμα νενόμισται. Φεύγωμεν τοίνυν καὶ τοῦτον τὸν τρόπον τῆς μοιχείας. Τί γὰρ ἔξομεν εἰπεῖν, τίδε προβαλέσθαι τοιαῦτα τολμῶντες; ποίαν εὐπρόσωπον παρεξόμεθα πρόφασιν; Τὴν τῆς φύσεως ἐπιθυμίαν; Ἀλλ' ἐφέστηκεν ἡ κληρωθεῖσα γυνὴ, τῆς ἀπολογίας ἡμᾶς ταύτης ἀποστεροῦσα. Διὰ τοῦτο γάμος εἰσενήνεκται, ἵνα μὴ πορνεύσῃς· μᾶλλον δὲ [208] οὐχ ἡ γυνὴ μόνον, ἀλλὰ καὶ ἕτεροι πολλοὶ τῆς αὐτῆς ἡμῖν μετασχόντες φύσεως ταύτης ἡμᾶς ἀποστεροῦσι τῆς συγγνώμης. Ὅταν γὰρ ὁ σύνδουλός σου, τὸ αὐτὸ σῶμα ἔχων, τὴν αὐτὴν ἐπιθυμίαν κεκτημένος, ὑπὸ τῆς αὐτῆς ἀνάγκης ὠθούμενος, μηδεμίαν ἑτέραν ἴδῃ γυναῖκα, ἀλλὰ μένῃ τὴν αὐτοῦ στέργων μόνην, ποίαν ἕξεις ἀπολογίαν σὺ τὴν ἐπιθυμίαν προβαλλόμενος; Καὶ τί λέγω τοὺς ἔχοντας γυναῖκας; Ἐννόησόν μοι τοὺς διαπαντὸς ἐν παρθενίᾳ ζῶντας, καὶ μηδ' ὅλως ὁμιλήσαντας γάμῳ, καὶ πολλὴν ἐπιδειξαμένους σωφροσύνην. Ὅταν οὖν ἄλλοι χωρὶς γάμου σωφρονῶσι, ποίας σὺ τεύξῃ συγγνώμης μετὰ γάμον πορνεύων; Ταῦτα καὶ ἄνδρες καὶ γυναῖκες ἀκουέτωσαν, καὶ χῆραι, καὶ γεγαμηκυῖαι [c]· πᾶσι γὰρ ὁ Παῦλος διαλέγεται, καὶ ὁ νόμος οὗτος ὁ λέγων· ***Γυνὴ δέδεται νόμῳ, ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς· ἐὰν δὲ κοιμηθῇ, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ.*** Καὶ ταῖς ἐχούσαις ἄνδρας, καὶ ταῖς οὐκ ἐχούσαις, καὶ ταῖς χηρευούσαις, καὶ ταῖς δεύτερον εἰσαγούσαις νυμφίον, καὶ πάσαις ἁπλῶς ὁ λόγος οὗτος χρήσιμος. Ἡ μὲν γὰρ ἔχουσα ἄνδρα οὐχ αἱρήσεται, ζῶντος ἐκείνου, ἔσεσθαι ἑτέρου [d], ἀκούσασα ὅτι ζῶντος αὐτοῦ δέδεται· ἡ δὲ ἀποβαλοῦσα πάλιν, ἂν μὲν βουληθῇ δευτέροις ὁμιλῆσαι γάμοις, οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχε, τοῦτο ἐργάζεται, ἀλλὰ μετὰ τῶν κειμένων παρὰ τοῦ Παύλου νόμων, εἰπόντος, *Ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ*, τουτέστι, μετὰ σωφροσύνης, μετὰ σεμνότητος. Ἂν δ' ἅρα ἕληται πρὸς τὸν ἀπελθόντα τὰς συνθήκας φυλάξαι, ἀκούσεται τοὺς ἀποκειμένους αὐτῇ στεφάνους, καὶ μείζονα λήψεται προθυμίαν. *Μακαριωτέρα γάρ ἐστι*, φησὶν, *ἐὰν οὕτω μείνῃ.*

[a] Duo mss. ὑμῶν, εἰ λαβεῖν δεκτὸν ἐκ τῶν χειρῶν ὑμῶν, καὶ εἰπόντος, ἕνεκεν τίνος... ἐγκαταλίπῃς· εἶτα δεικνύς.

[b] Duo mss δούλους... στασιάζοντας.

[c] Duo mss. γεγαμημέναι.

[d] Hæc erat Savilii conjectura, quam scripturæ vulgatæ ἑτέρῳ prætulimus. Edit.

lach. 2. 15)? et cum hæc dixisset, *Quare dereliquisti*, ait, *uxorem adolescentiæ tuæ* (*Ibid. v.* 14)? postea ut ostendat quantum sit malum, et quam indignus sit omni venia is qui hoc fecit, in sequentibus accusationem auget, sic dicens : *Et ista socia tua, et uxor pacti tui, et reliquiæ spiritus tui, et non alius fecit* (*Id.*). Vide quanta apponit jura ; primum ætatem, dicens : *Uxor adolescentiæ tuæ ;* deinde societatem vitæ, dicens : *Et ista socia tua ;* postea modum formationis, dicens : *Reliquiæ spiritus tui.* [Non enim de terra formata est sicut Adam, sed deformati e terra latere, et hoc est quod dicit, ἐγκατάλειμμα, *Et reliquiæ spiritus tui* (*a*).]

3. Ad hæc omnia, quod omnibus illis majus fuerit, accedit conditoris dignitas. Hoc enim significat illud, *Non alius fecit.* Non potes, inquit, dicere, quod te quidem Deus fecit, illam vero non Deus, sed alius quidam illo inferior ; sed unus et idem utrosque ut essent produxit : et ita quamvis nihil aliud, hoc saltem reveritus, caritatem erga illam custodi. Nam si sæpe hoc servis litigantibus mutuæ dilectionis causa fuit, quia ambo uni et eidem domino serviunt : multo magis nobis hoc fieri convenit, quando eumdem et conditorem, et opificem utrique habemus. Vidisti quomodo etiam in Veteri initia et proœmia fere acceperint novæ philosophiæ præcepta ? Nam ubi multo tempore in lege versati essent, et ad perfectiora mandata transire deberent, jamque properaret ad finem ipsorum politia, opportuno tempore ad ejusmodi sapientiam illos propheta inducit. Pareamus igitur huic bonæ legi, et nos ab omni confusione liberemus, neque nostras ejiciamus, neque ab aliis ejectas recipiamus. Nam qua facie virum uxoris aspicies ? quibus oculis amicos illius et famulos ? Nam si is qui mortui conjugis, cujus uxorem accepit, imaginem recumbentem viderit, afficitur aliquo modo, et graviter fert, ac si viventem maritum videat ejus quæ sibi cohabitat, qualem vitam aget ? quo pacto ingredietur domum ? quo animo, quibus oculis videbit illius uxorem suam ?

Adultera nullius est uxor. — Imo neque illius, neque suam juste quis talem appellet ; adultera enim nullius est uxor. Fefellit pacta quæ cum illo habuit, et ad te cum honestis legibus non venit. Quantæ igitur dementiæ fuerit, rem tot malis plenam in domum inducere ? Num est feminarum penuria ? Quare, cum multæ sint, quas licet pura conscientia et permittentibus legibus ducere, ad prohibitas currentes, domos subvertimus, bella civilia excitamus, ac undique inimicitias nobis conciliantes, innumeris accusatoribus ora aperientes, nostram vitam dedecoramus, et quod omnium gravissimum est, inevitabile supplicium in die judicii nobis accumulamus ? Quid enim dicemus ei qui de nobis judicaturus est, quando legem in medium illatam legerit dicens : Jussi repudiatam uxorem non ducere, dicens id adulterium esse (*Matth.* 5. 32). Quomodo igitur ausus es ad prohibitas nuptias accedere ? Quid dicemus, quid respondebimus ? Numquam enim illic fas externas leges prætexere, sed necessarium est tacentes et ligatos in gehennæ ignem immitti cum adulteris et alienum torum injuria afficientibus ; nam et qui dimiserit absque causa stupri, et qui ejectam vivente viro duxerit, cum ejecta illa punientur. Propter quod oro, obsecro et supplico, ne viri mulieres ejiciant, neque mulieres viros relinquant, sed audiant Paulum dicentem : *Mulier adstricta est legi, quanto tempore vixerit vir ejus. Si autem dormierit vir, libera erit cui volet nubere, tantum in Domino* (1. *Cor.* 7. 39).

Genus est adulterii conjugatum cum scortis misceri. In Domino nubere quid sit. - Qualem enim habebunt veniam, qui Paulo etiam secundas permittente nuptias post mortem conjugis, et tantam concedente copiam, ante mortem audent talia facere ? Quam assequentur defensionem, vel illi qui viventibus viris uxores accipiunt, vel hi qui ad publica scorta accedunt ? Etenim et illud est adulterii aliud genus, habere domi uxorem, et foris scortis jungi. Nam quemadmodum mulier habens virum, etiamsi famulo vel libero cuipiam uxorem non habenti se exponat, adulterii legibus implicatur : sic et vir licet ad vulgare scortum, vel ad mulierem aliam, quamvis non habentem virum, ipse uxorem habens accesserit, adulterii reus censebitur. Fugiamus igitur et hunc adulterii modum. Quid enim poterimus dicere, quid item prætexere, qui talia audemus ? quam honestam excusationem adhibebimus ? Naturæ concupiscentiam ? Sed adest quidem uxor, quæ nobis obtigit, hac nos excusatione privans. Ideirco nuptiæ invectæ sunt, ut ne scorteris ; imo non uxor sola, sed et multi alii, qui eamdem, quam nos, habent naturam, hac nos privant venia. Quando enim conservus tuus, idem habens corpus, eamdemque concupiscentiam, eadem necessitate exstimulatus, nullam aliam videt mulierem, sed manet sua sola contentus, qualem tu habebis excusationem, concupiscentiam prætexens ? Et quid dico habentes uxores ? Cogita mihi eos, qui semper in virginitate vixerunt, et contemptis nuptiis magnam præ se tulerunt continentiam. Cum igitur alii absque nuptiis continentes sint, quam tu assequeris veniam post nuptias scortans ? Hæc et viri et mulieres audiant, et viduæ et nuptæ : omnibus enim Paulus loquitur, et lex illa dicens : *Mulier adstricta est legi quanto tempore vixerit vir illius : si autem dormierit, libera est cui vult nubere, tantum in Domino.* Et habentibus viros, et non habentibus, et viduis, et secundo nubentibus marito, et omnibus simpliciter sermo ille utilis est. Nam quæ habet virum, non volet vivente illo quærere alium, audiens se vivente illo adstrictam esse ; quæ vero est libera, siquidem voluerit secundo nubere, non simpliciter neque temere hoc facit, sed cum legibus, quæ sunt a Paulo positæ. Dicit enim : *Libera est cui vult nubere, tantum in Domino* (1. *Cor.* 7. 39) : hoc est, cum continentia et honestate. Sin voluerit cum defuncto servare fœdera, audiet repositas sibi coronas, majoremque alacritatem capiet. *Beatior enim est*, inquit, *si sic manserit* (*Ibid. v.* 40).

(*a*) Hæc quæ uncinis claudumtur in Græco non exstant, nec in Mss., sed interpres anonymus in exemplari suo legerat.

4. *Pauli sapientia. Vidua beatior etiam in præsenti sæculo. Fornicatio quam turpis.* — Vides quo pacto omnibus sermo ille utilis, et se ad illarum infirmitatem demittit, et istas suis laudibus non defraudat? Etenim quod de nuptiis et virginitate fecit, hoc et de prioribus et secundis nuptiis. Quemadmodum enim illic non exclusit nuptias, ut ne gravet infirmiores, neque necessitatem imposuit, ut ne volentes in virginitate degere, propositis coronis spoliaret : sed demonstravit quidem bonas esse nuptias, declaravit autem meliorem esse virginitatem ; ita et hic quoque alios gradus ponit nobis, majorem scilicet et sublimiorem altero alterum, nempe viduitatem : alterum vero inferiorem, nempe secundas nuptias : et fortiores quidem ac transilire nolentes ad certamen præparat, et infirmiores cadere non permittit. Dicens enim : *Beatior enim est si sic manserit* (1. *Cor.* 7. 40), ut ne putes humanam esse legem, audiens, *Juxta meum consilium*, subdit : *Opinor autem quod et ego Spiritum Dei habeam.* Non igitur humanum consilium est vel præceptum, sed gratiæ Spiritus sententia ac divina lex. Idcirco ne putemus esse Pauli qui hæc dicit, sed Spiritus sancti, qui hanc nobis legem condit. Quod vero dicit, *Opinor*, non quasi nesciens dicit, sed modeste agens et seipsum humilians. Quod autem beatior sit, dixit quidem, sed non adjecit, quomodo beatior, sufficienti demonstratione data; nempe hanc se a Spiritu afferre sententiam. Quod si voles etiam rationibus exquirere, magnam demonstrationum copiam invenies : et videbis beatiorem esse viduam, non solum in futuro sæculo, sed etiam in præsente vita. Et istud ipsum maxime noverat Paulus, id quod de virginibus insinuavit. Admonens enim et consulens eligendam esse virginitatem, sic dicebat : *Opinor quod bonum sit homini sic esse propter instantem necessitatem* (*Ibid. v.* 26); et iterum : *Etiamsi nupserit virgo, non peccavit* (*Ibid. v.* 36) : virginem hic dicens non eam quæ renuntiavit, sed eam duntaxat quæ nondum conjugium experta est, et non factam obnoxiam perpetuæ virginitatis promissione. *Tribulationem autem in carne habebunt qui tales sint : ego autem vobis parco* (*Ibid. v.* 28-). Uno enim et brevi hoc verbo reliquit cordato auditori, ut omnia colligat et expendat, dolores partus, educationes puerorum, curam, infirmitates, mortes intempestivas, inimicitias, contentiones, innumeris servire sententiis, alienis malis obnoxiam fieri, innumeras tristitias in una sua anima recipere. Ab omnibus illis malis liberatur, quæ continentiam amplexatur, et cum liberatione a tot injucundis, etiam in futura vita magnam repositam habet mercedem. Hæc igitur omnia scientes, studeamus quidem primis nuptiis esse contenti. Si autem et ad secundas adspiramus, fiat hoc decenti modo et habitu et secundum divinas leges. Propter hoc enim dixit : *Libera est cui vult nubere* : et subdidit, *Tantum in Domino* (*Ibid. v.* 39) : simul et licentiam dans, et licentiam confirmans, et potestatem concedens, et potestati illi undique leges ac terminos ponens : videlicet ne pollutos et corruptos viros in domum introducat mulier, et stuprum sectantes, sed cum honestate et modestia, ac pietate, ut omnia in gloriam Dei cedant. Quoniam enim sæpius multæ mulieres prioribus viris defunctis, adulterio prius commisso alios introduxerunt, et alias pessimas vias excogitarunt : propter hoc adjecit, *Tantum in Domino*, ut nihil horum secundæ nuptiæ habeant : sic enim a criminibus liberæ esse poterunt. Optimum enim omnium foret exspectare defunctum, et servare leges cum illo initas continentiamque eligere, et manere cum relictis pueris, majorem Dei benevolentiam sic conciliando. Et si qua secundo nubere marito volet, cum modestia ac honestate, et decentissimis legibus hoc faciat ; nam et hoc permittitur : fornicatio autem sola et adulterium prohibentur. Hanc igitur fugiamus et conjuges et cælibes, ne dedecoremus vitam nostram, ne vitam agamus ridiculam, neque polluamus corpus, neque malam conscientiam in mentem inducamus. Quomodo enim post consuetudinem cum scortis in ecclesiam venire poteris? quomodo manus, quibus scortum contrectasti, in cælum extendere audebis? quomodo linguam movere, et ore illo invocare, quo scortum osculatus es? quibus oculis intueberis amicos honestiores? Et quid dico amicos? Etiamsi nullus conscius sit, tu teipsum cogeris maxime omnium rubore ac confusione perfundere, et maxime omnium corpus proprium abominari. Nam si hoc non esset, quare ad balneum post peccatum illud curris? Nonne quia omni luto immundiorem teipsum esse censes? Quam igitur majorem immunditiæ tuæ probationem quæris, vel quam Deum exspectas sententiam daturum, quando tu ipse, qui deliquisti, talem de factis tuis sententiam tenes?

Balneum animæ quale.—Igitur quod impuros se esse censent, valde laudo et approbo ; quod autem non rectum purificandi modum habeant, improbo, et propterea reprehendo. Nam si corporalis macula esset, jure balneorum purificationibus corpus ipsum ablueres, animam autem cum coinquinaris et impuram feceris, talem quære purificationem, quæ illius maculam abluere poterit. Quod autem est illius maculæ balneum? Calidi lacrymarum fontes, gemitus e profundo cordis ascendentes, compunctio perpetua, preces continuæ, eleemosynæ, et eleemosynæ largæ, non ultra hæc opera attentare, condemnare quod factum est. Ita peccati natura abluitur, ita expurgatur animæ macula ; atque adeo si hæc non fecerimus, etiamsi in omnes fluminum fontes descenderimus, neque parvam illius peccati partem depellere poterimus. Imo quod melius, ne attentemus hoc abominabile peccatum. Si quis autem aliquando supplantatus fuerit, hæc subjiciat remedia, prius promittens non ultra se in hæc prolapsurum. Certe si peccantes condemnaverimus quidem ea, quæ jam fecimus, iterum autem eadem attentemus, nulla erit purificationis utilitas. Qui enim abluitur, et eodem luto iterum inquinatur, et qui demolitur iterum quod ædificavit, et qui ædificat iterum, ut destruat, nihil aliud inde lucri facit, quam quod frustra laborat et ærumnosus est. Igitur et nos ne in vanum et frustra vitam insumamus, priora peccata expurgemus, et quod reliquum est vitæ in continentia

δ'. Ὁρᾷς πῶς ἅπασιν ὁ λόγος χρήσιμος, τῇ τε ἐκείνων ἀσθενείᾳ συγκαταβαίνων, καὶ ταύτας οὐκ ἀποστερῶν τῶν οἰκείων ἐπαίνων; Ὅπερ γὰρ ἐπὶ τοῦ γάμου καὶ ἐπὶ τῆς παρθενίας ἐποίησε, τοῦτο καὶ ἐπὶ τοῦ προτέρου γάμου καὶ τοῦ δευτέρου. Καθάπερ γὰρ ἐκεῖ οὐκ ἀπέκλεισε τὸν γάμον, ἵνα μὴ βαρήσῃ τοὺς ἀσθενεστέρους, οὔτε ἀνάγκην ἐπέθηκεν, ἵνα μὴ τοὺς βουλομένους παρθενεύειν ἀποστερήσῃ τῶν κειμένων στεφάνων, ἀλλ' ἔδειξε μὲν ὅτι καλὸς ὁ γάμος, ἐδήλωσε δὲ ὅτι κρειττων ἡ παρθενία· οὕτω δὴ καὶ ἐνταῦθα πάλιν ἡμῖν ἑτέρους τίθησι βαθμούς, δεικνὺς ὅτι μεῖζον μὲν καὶ ὑψηλότερον τὸ τῆς χηρείας, δεύτερον δὲ καὶ κατώτερον τὸ τῶν δευτέρων γάμων, τούς τε ἰσχυροτέρους καὶ μὴ μεταπηδᾷν βουλομένους ἀλείφων, καὶ τοὺς ἀσθενεστέρους οὐκ ἀφιεὶς πεσεῖν. Εἰπὼν γάρ, *Μακαριωτέρα δέ ἐστιν, ἐὰν οὕτω μείνῃ*, ἵνα μὴ νομίσῃς ἀνθρώπινον εἶναι τὸν νόμον, ἀκούων, *Κατὰ τὴν ἐμὴν γνώμην*, ἐπήγαγε· *Δοκῶ δὲ κἀγὼ Πνεῦμα Θεοῦ ἔχειν*. Οὐκ ἔχεις τοίνυν εἰπεῖν, ὅτι ἀνθρωπίνη ἐστὶν ἡ γνώμη, ἀλλὰ τῆς τοῦ Πνεύματος χάριτος ἡ ἀπόφασις. καὶ θεῖος ὁ νόμος. Μὴ τοίνυν Παύλου νομίζωμεν εἶναι ταῦτα λέγοντος, ἀλλὰ τοῦ Παρακλήτου ταῦτα νομοθετοῦντος ἡμῖν. Εἰ δὲ λέγει, Δοκῶ, οὐχ ὡς οὐκ ἔχων λέγει, ἀλλὰ μετριάζων καὶ συστέλλων ἑαυτόν. Ὅτι μὲν οὖν [209] μακαριωτέρα ἐστὶν, εἶπε· πῶς δὲ μακαριωτέρα, οὐκ ἔτι προσέθηκεν, ἀρκοῦσαν ἀπόδειξιν δοὺς τὸ παρὰ τοῦ Πνεύματος κομίζειν τὴν ἀπόφασιν. Εἰ δὲ βούλει καὶ λογισμοῖς ἐξετάσαι, πολλὴν ἀποδείξεων εὐπορίαν ἐνταῦθα εὑρήσεις· καὶ ὄψει τὴν χήραν μακαριωτέραν οὖσαν, οὐ κατὰ τὸν μέλλοντα αἰῶνα μόνον, ἀλλὰ καὶ κατὰ τὸν παρόντα βίον. Καὶ τοῦτο αὐτὸ μάλιστα οἶδεν ὁ Παῦλος, ὃ καὶ περὶ τῶν παρθένων ᾐνίξατο λέγων. Παραινῶν γὰρ καὶ συμβουλεύων παρθενίαν αἱρεῖσθαι, οὕτω πως ἔλεγε· *Νομίζω ὅτι καλὸν ἀνθρώπῳ τὸ οὕτως εἶναι διὰ τὴν ἐνεστῶσαν ἀνάγκην*· καὶ πάλιν, *Καὶ ἐὰν γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτε*· παρθένον ἐνταῦθα λέγων, οὐ τὴν ἀποταξαμένην, ἀλλὰ τὴν ἀπειρόγαμον μόνον, καὶ μὴ γενομένην ὑπεύθυνον τῇ τῆς διηνεκοῦς παρθενίας ὑποσχέσει. *Θλῖψιν δὲ τῇ σαρκὶ ἕξουσιν οἱ τοιοῦτοι· ἐγὼ δὲ ὑμῶν φείδομαι*. Ἐνὶ γὰρ καὶ ψιλῷ ῥήματι τούτῳ κατέλιπε τῷ συνειδότι τῶν ἀκροατῶν ἅπαντα ἀναλέξασθαι, τὰς ὠδῖνας, τὰς παιδοτροφίας, τὴν φροντίδα, τὰς ἀρρωστίας, τοὺς θανάτους τοὺς ἀώρους, τὰς ἀπεχθείας, τὰς φιλονεικίας, τὸ γνώμαις μυρίαις δουλεύειν, τὸ τῶν ἀλλοτρίων κακῶν ὑπεύθυνον εἶναι, τὸ μυρίας ἀναδέχεσθαι λύπας μίαν ἔχουσαν ψυχήν. Ἁπάντων δὲ τούτων ἀπαλλάττεται τῶν κακῶν ἡ τὴν ἐγκράτειαν ἑλομένη, καὶ μετὰ τῆς τῶν ἀνιαρῶν ἀπαλλαγῆς κατὰ τὴν μέλλουσαν ζωὴν πολὺν ἔχει κείμενον τὸν μισθόν. Ταῦτ' οὖν ἅπαντα εἰδότες, σπουδάζωμεν τοῖς προτέροις ἀρκεῖσθαι γάμοις. Ἂν δὲ καὶ ἐπὶ δευτέρους παρασκευαζώμεθα εἰσέρχεσθαι, μετὰ τοῦ προσήκοντος τρόπου καὶ σχήματος, μετὰ τῶν τοῦ Θεοῦ νόμων. Διὰ τοῦτο γὰρ εἶπεν, *Ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι*· καὶ ἐπήγαγε, *Μόνον ἐν Κυρίῳ*, ὁμοῦ καὶ ἄδειαν διδοὺς, καὶ τειχίζων τὴν ἄδειαν, καὶ ἐξουσίαν παρέχων, καὶ τῇ ἐξουσίᾳ πάλιν ταύτῃ ὅρους καὶ νόμους τιθεὶς πανταχόθεν· οἷον, ἵνα μὴ μιαροὺς καὶ διεφθαρμένους ἄνδρας εἰς τὴν οἰκίαν εἰσαγάγῃ ἡ γυνὴ, ἢ τοὺς ἀπὸ τῆς σκηνῆς, ἢ τοὺς πορνείας προσέχοντας· ἀλλὰ μετὰ σεμνότητος, μετὰ σωφροσύνης, μετὰ εὐλαβείας, ἵνα πάντα εἰς δόξαν Θεοῦ γίνηται.

Ἐπειδὴ γὰρ πολλαὶ πολλάκις γυναῖκες, τῶν πρώτων τελευτησάντων ἀνδρῶν, μοιχευθεῖσαι πρότερον, οὕτω τοὺς ὑστέρους εἰσήγαγον, καὶ τρόπους ἑτέρους μιαροὺς ἐπενόησαν, διὰ τοῦτο ἐπήγαγε, *Μόνον ἐν Κυρίῳ*· ἵνα μηδὲν τούτων ὁ δεύτερος ἔχῃ γάμος· οὕτω γὰρ δυνήσεται ἐγκλημάτων ἀπηλλάχθαι. Πάντων μὲν γὰρ βέλτιον ἀναμένειν τὸν τετελευτηκότα, καὶ τὰς πρὸς ἐκεῖνον συνθήκας διατηρεῖν, καὶ ἐγκράτειαν αἱρεῖσθαι, καὶ τοῖς καταλειφθεῖσιν ἐπιμένειν παιδίοις, καὶ παρὰ τοῦ Θεοῦ πλείονα τὴν εὔνοιαν ἐπισπάσασθαι. Ἂν δ' ἄρα τις βουληθῇ δεύτερον ἐπεισαγαγεῖν νυμφίον, μετὰ σωφροσύνης, μετὰ σεμνότητος, μετὰ τῶν προσηκόντων νόμων· καὶ γὰρ καὶ τοῦτο ἐφεῖται· πορνεία δὲ κεκώλυται μόνον καὶ μοιχεία. Ταύτην τοίνυν φεύγωμεν, καὶ οἱ γυναῖκας ἔχοντες, καὶ οἱ μὴ ἔχοντες· καὶ μὴ καταισχύνωμεν ἡμῶν τὸν βίον, μηδὲ καταγέλαστον ζῶμεν ζωὴν, μηδὲ μολύνωμεν τὸ σῶμα, μηδὲ πωηρὸν συνειδὸς εἰς τὴν διάνοιαν εἰσαγάγωμεν. Πῶς γὰρ εἰς ἐκκλησίαν ἐλθεῖν δυνήσῃ μετὰ τὴν πρὸς [210] τὰς πόρνας ὁμιλίαν; πῶς τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἀνατεῖναι, αἷς τὴν πόρνην περιελάμβανες; πῶς κινῆσαι γλῶτταν, καὶ τῷ στόματι καλέσαι τούτῳ, ᾧ τὴν πόρνην ἐφίλησας; ποίοις ὀφθαλμοῖς ὄψει τῶν φίλων τοὺς σεμνοτέρους; Καὶ τί λέγω τοὺς φίλους; Κἂν γὰρ μηδεὶς ὁ συνειδὼς ᾖ, σὺ σαυτὸν ἀναγκασθήσῃ πρὸ πάντων ἐρυθριᾷν καὶ αἰσχύνεσθαι, καὶ πάντων μᾶλλον τὸ ἑαυτοῦ βδελύττεσθαι σῶμα. Εἰ γὰρ μὴ τοῦτο ἦν, τίνος ἕνεκεν ἐπὶ βαλανεῖον μετὰ τὴν ἁμαρτίαν τρέχεις ἐκείνην; οὐκ ἐπειδὴ βορβόρου παντὸς ἀκαθαρτότερον ἑαυτὸν εἶναι νομίζεις; Ποίαν ἑτέραν ζητεῖς μείζονα ἀπόδειξιν τῆς τῶν γεγενημένων ἀκαθαρσίας, ἢ τίνα τὸν Θεὸν προσδοκᾷς ὑῆφον οἴσειν, ὅταν ὁ πεπλημμεληκὼς σὺ τοιαύτην περὶ τῶν γεγενημένων γνώμην ἔχῃς;

Ὅτι μὲν οὖν ἀκαθάρτους ἑαυτοὺς εἶναι νομίζουσι, σφόδρα ἐπαινῶ καὶ ἀποδέχομαι· ὅτι δὲ οὐκ ἐπὶ τὸν προσήκοντα τῶν καθαρσίων ἔρχονται τρόπον, ἐγκαλῶ διὰ τοῦτο καὶ μέμφομαι. Εἰ μὲν γὰρ σωματικὸς ὁ ῥύπος ἦν, εἰκότως τοῖς τῶν βαλανείων καθαρμοῖς ἑαυτὸν ἀπέσμηχες· τὴν δὲ ψυχὴν καταρρυπάνας καὶ ποιήσας ἀκάθαρτον, τοιούτων ζητεῖ καθάρσιον, ὃ τὴν ἐκείνης κηλῖδα ἀποσμῆξαι δυνήσεται. Ποῖόν δέ ἐστι τῆς τοιαύτης ἁμαρτίας τὸ βαλανεῖον; θερμαὶ δακρύων πηγαὶ, στεναγμοὶ κάτωθεν ἀπὸ καρδίας ἀνιόντες, κατάνυξις διηνεκὴς, εὐχαὶ ἐκτενεῖς, ἐλεημοσύναι, καὶ ἐλεημοσύναι δαψιλεῖς, τὸ καταγνῶναι τῶν γεγενημένων, τὸ μηκέτι τοῖς αὐτοῖς ἐπιχειρῆσαι πράγμασιν· οὕτως ἁμαρτίας ἀποσμήχεται φύσις, οὕτως ἐκκαθαίρεται τῆς ψυχῆς ὁ ῥύπος· ὥστε ἐὰν μὴ τοιαῦτα ποιῶμεν, κἂν ἁπάσας τῶν ποταμῶν διέλθωμεν τὰς πηγὰς, οὐδὲ μικρὸν τῆς ἁμαρτίας ταύτης ὀφελέσθαι δυνησόμεθα μέρος. Τὸ μὲν οὖν ἄμεινον, μηκέτι πεῖραν λαβεῖν τῆς μυσαρᾶς ταύτης ἁμαρτίας. Εἰ δ' ἄρα τις ὑπεσκελίσθη ποτὲ, ταῦτα ἐπιτιθέτω τὰ φάρμακα, πρότερον ὑποσχόμενος μηκέτι τοῖς αὐτοῖς περιπεσεῖν. Ὡς ἐὰν ἁμαρτάνοντες καταγινώσκωμεν τῶν ἤδη γεγενημένων, πάλιν δὲ τοῖς αὐτοῖς ἐπιχειρῶμεν, οὐδὲν ἡμῖν ὄφελος ἔσται τῶν καθαρσίων. Ὁ γὰρ ἀπολουόμενος, καὶ τῷ αὐτῷ πάλιν ἐγκυλινδούμενος βορβόρῳ, καὶ ὁ καθαιρῶν πάλιν ὅπερ ᾠκοδόμητε, καὶ οἰκοδομῶν πάλιν, ἵνα καθέλῃ, οὐδὲν κερδαίνει πλέον, ἢ τὸ περιττὰ ποιεῖσθαι καὶ ταλαιπωρεῖν. Καὶ ἡμεῖς τοίνυν, ἵνα μὴ μάτην μηδὲ εἰκῇ τὴν ζωὴν ἀναλώσωμεν, τὰ πρότερα ἁμαρτήματα ἐκκαθάρωμεν, καὶ τὸν ἐπίλοιπον ἅπαντα βίον ἐν σωφροσύνῃ καὶ κοσμιότητι

καὶ τῇ λοιπῇ διαγάγωμεν ἀρετῇ· ἵνα καὶ τὸν Θεὸν ἔχοντες ἵλεων, τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

[211] ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΜΑΞΙΜΟΝ

Καὶ περὶ τοῦ ποίας δεῖ ἄγεσθαι γυναῖκας.

—

α'. Ὅτι μὲν ἀπελείφθην ὑμῶν τῇ παρελθούσῃ συνάξει, ἤλγησα· ὅτι δὲ πλουσιωτέρας ἀπελαύσατε τραπέζης, ἥσθην. Ὁ γὰρ μετ' ἐμοῦ τὸν ζυγὸν ἕλκων, τήν τε αὖλακα πρώην ἡμῖν ἀνέτεμε, καὶ τὰ σπέρματα κατέβαλε δαψιλεῖ γλώττῃ, καὶ μετὰ πολλῆς τῆς ἐπιμελείας ἐγεώργησε τὰς ὑμετέρας ψυχάς. Εἴδετε γλῶτταν ἐκκεκαθαρμένην, ἠκούσατε λόγον ἀποτετορνευμένον, ἀπελαύσατε ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον, εἴδετε πηγὴν ποταμοὺς ἀφιεῖσαν χρυσίου καθαροῦ. Λέγεταί τις ποταμὸς χρυσίου ψήγματα φέρειν τοῖς περιοικοῦσιν αὐτὸν ἀνθρώποις, οὐ τῆς φύσεως τῶν ὑδάτων τὸ χρυσίον τικτούσης, ἀλλ' ἐπειδὴ τοῦ ποταμοῦ τὰς πηγὰς ἐν μεταλλικοῖς ὄρεσι διέρχεσθαι συνέβη, δι' ἐκείνων τῶν ὀρέων ὁ ποταμὸς ῥέων καὶ τὴν χρυσῖτιν παρασύρων γῆν, θησαυρὸς τοῖς παροικοῦσι γίνεται, ἐσχεδιασμένον παρέχων τὸν πλοῦτον. Τοῦτον καὶ ὁ διδάσκαλος οὗτος ἐμιμήσατο πρώην τὸν ποταμὸν, ὥσπερ διὰ μεταλλικῶν ὀρέων, τῶν Γραφῶν ῥέων, καὶ τὰ χρυσίου παντὸς τιμιώτερα νοήματα ταῖς ὑμετέραις κομίζων ψυχαῖς. Καὶ οἶδα μὲν ὅτι πτωχότερα τὰ ἡμέτερα ὑμῖν φαίνεται σήμερον. Ὁ γὰρ πενιχρᾶς ἀπολαύων τραπέζης διηνεκῶς, ἂν εὐπορωτέρας μεταξύ που τινὸς ἐπιτύχῃ, εἶτα πρὸς τὴν ἑαυτοῦ πάλιν ἐπανέλθῃ, μᾶλλον αὐτῆς κατόψεται τὴν πενίαν. Οὐ μὴν διὰ τοῦτο ὀκνηρότερον ἀποδύσομαι. Ἴστε γὰρ, Παύλῳ μαθητευθέντες, καὶ χορτάζεσθαι καὶ πεινᾷν, καὶ περισσεύειν καὶ ὑστερεῖσθαι, καὶ τοὺς πλουσίους θαυμάζειν, καὶ τοὺς πένητας μὴ διαπτύειν. Καὶ καθάπερ οἱ φίλοινοι καὶ οἱ φιλοπόται ἀσπάζονται μὲν τὸν ἀμείνω οἶνον, οὐ μὴν δὲ τοῦ καταδεεστέρου καταφρονοῦσιν· οὕτω δὴ καὶ ὑμεῖς περὶ τὴν τῶν θείων λογίων ἀκρόασιν μεμηνότες, ἀποδέχεσθε μὲν τοὺς σοφωτέρους τῶν διδασκάλων, καὶ τοῖς εὐτελεστέροις δὲ οὐ τὴν τυχοῦσαν παρέχετε σπουδὴν καὶ προθυμίαν. Οἱ μὲν γὰρ χαῦνοι καὶ διαλελυμένοι, καὶ πρὸς τὴν πολυτελεστέραν ναυτιῶσι τράπεζαν· οἱ δὲ διεγηγερμένοι καὶ νήφοντες, καὶ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, καὶ πρὸς τὴν πενεστέραν μετὰ πολλῆς τρέχουσι προθυμίας. Καὶ ὅτι οὐ κολακεία τὰ ῥήματα, ἀπὸ τῆς πρώην ὑμῖν διαλέξεως γενομένης τοῦτο ἐδείξατε μάλιστα. Ἐπειδὴ γὰρ πολλοὺς περὶ γάμων λόγους ἐποιούμεθα πρὸς ὑμᾶς, δεικνύντες ὅτι μοιχεία τις ἀπηρτισμένη τὸ ἐκβάλλειν γυναῖκας, ἢ ἐκβεβλημένας λαμβάνειν, ζώντων ἔτι τῶν προτέρων ἀνδρῶν, καὶ τὸν τοῦ Χριστοῦ νόμον ἀναγινώσκοντες τὸν λέγοντα, ὅτι *Ὁ ἀπολελυμένην γαμήσας μοιχᾶται*, *καὶ ὁ ἀπολύων γυναῖκα*, *παρεκτὸς λόγου πορνείας*, *ποιεῖ αὐτὴν μοιχευθῆναι*, πολλοὺς εἶδον κάτω κύπτοντας, τὸ πρόσωπον τύπτοντας, καὶ οὐδὲ ἀνανεῦσαι δυναμένους· τότε δὴ καὶ εἰς τὸν οὐρανὸν ἀναβλέψας εἶπον· Εὐλογητὸς ὁ Θεὸς, ὅτι οὐκ εἰς νεκρὰς ἀκοὰς ἐνηχοῦμεν, ἀλλ' ἐπιλαμβάνεται τῆς διανοίας τῶν ἀκουόντων τὰ [212] λεγόμενα μετὰ πολλῆς τῆς σφοδρότητος. Ἄμεινον μὲν γὰρ μηδ' ὅλως ἁμαρτεῖν· εἰ μικρὸν δὲ εἰς σωτηρίας λόγον, κατοδυνηθῆναι, καὶ καταγνῶναι τὸν ἁμαρτάνοντα τῆς ἑαυτοῦ ψυχῆς, καὶ μαστίξαι τὸ συνειδὸς μετὰ πολλῆς τῆς ἀκριβείας· ἡ γὰρ τοιαύτη κατάγνωσις δικαιοσύνης ἐστὶ μέρος, καὶ ὅλως ἐπὶ τὸ μηκέτι ἁμαρτάνειν ἄγουσα. Διὰ τοῦτο καὶ ὁ Παῦλος λυπήσας τοὺς ἡμαρτηκότας ἔχαιρεν, οὐχ ὅτι ἐλύπησεν, ἀλλ' ὅτι τῇ λύπῃ διώρθωσεν. *Ἐχάρην* γὰρ, φησὶν, *οὐχ ὅτι ἐλυπήθητε*, *ἀλλ' ὅτι ἐλυπήθητε εἰς μετάνοιαν· ἡ γὰρ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται*. Εἴτε γὰρ ὑπὲρ τῶν οἰκείων, εἴτε ὑπὲρ τῶν ἀλλοτρίων τότε ἁμαρτημάτων ἠλγήσατε, μυρίων εἴητε ἐπαίνων ἄξιοι. Ὅτε γὰρ ὑπὲρ τῶν ἀλλοτρίων ἀλγήσει τις, ἀποστολικὰ ἀποδείκνυται σπλάγχνα, καὶ τὸν ἅγιον ἐκεῖνον μιμεῖται τὸν λέγοντα· *Τίς ἀσθενεῖ*, *καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται*, *καὶ οὐκ ἐγὼ πυροῦμαι*; Ὅτε δὲ ὑπὲρ τῶν οἰκείων δηχθῇ, τήν τε ἐπὶ τοῖς ἤδη τολμηθεῖσι κόλασιν ἔσβεσε, καὶ πρὸς τὰ μέλλοντα ἑαυτὸν ἀσφαλέστερον διὰ τῆς λύπης ταύτης ἐποίησε. Διὰ ταῦτα κἀγὼ κύπτοντας ὁρῶν, καὶ στενάζοντας, καὶ τὸ πρόσωπον τύπτοντας, ἔχαιρον τὸν ἀπὸ τῆς λύπης ταύτης ἐννοῶν καρπόν. Διὰ τοῦτο καὶ σήμερον περὶ τῆς αὐτῆς ὑμῖν ὑποθέσεως διαλέξομαι· ὥστε τοὺς βουλομένους εἰς γάμον ἐλθεῖν, πολλὴν ὑπὲρ τοῦ πράγματος τούτου ποιεῖσθαι πρόνοιαν. Εἰ γὰρ οἰκίας ὠνεῖσθαι μέλλοντες καὶ οἰκέτας, περιεργαζόμεθα καὶ πολυπραγμονοῦμεν τούς τε πωλοῦντας, τούς τε ἔμπροσθεν κτησαμένους, αὐτῶν τῶν πωλουμένων τῶν μὲν τὴν κατασκευὴν, τῶν δὲ καὶ τὴν τοῦ σώματος ἕξιν, καὶ τὴν τῆς ψυχῆς προαίρεσιν· πολλῷ μᾶλλον γυναῖκας μέλλοντας ἄγεσθαι, πρόνοιαν τοσαύτην καὶ πολλῷ πλείονα ἐπιδείκνυσθαι χρή. Οἰκίαν μὲν γὰρ φαύλην οὖσαν ἀποδόσθαι πάλιν ἔξεστι, καὶ οἰκέτην σκαιὸν φανέντα ἀποδοῦναι τῷ πεπρακότι πάλιν ἀφίεται· γυναῖκα δὲ λαμβάνοντα ἀποδοῦναι πάλιν τοῖς ἐκδεδωκόσιν οὐκ ἔνι, ἀλλὰ ἀνάγκη πᾶσα διὰ τέλους ἔνδον ἔχειν, ἢ πονηρὰν οὖσαν ἐκβάλλοντα, μοιχείᾳ ἁλίσκεσθαι κατὰ τοὺς τοῦ Θεοῦ νόμους. Ὅταν οὖν μέλλῃς λαμβάνειν γυναῖκα, μὴ τοὺς ἔξωθεν ἀναγίνωσκε νόμους μόνον, ἀλλὰ καὶ πρὸ ἐκείνων, τοὺς παρ' ἡμῖν κειμένους· κατὰ γὰρ τούτους, οὐ κατ' ἐκείνους σοι μέλλει κρίνειν κατὰ τὴν ἡμέραν ἐκείνην ὁ Θεός· κἀκεῖνοι μὲν παροφθέντες, εἰς χρήματα τὴν ζημίαν πολλάκις ἤνεγκαν, οὗτοι δὲ τοῦτο παθόντες τῇ ψυχῇ τὰς ἀπαραιτήτους ἐπάγουσι τιμωρίας καὶ τὸ πῦρ ἐκεῖνο τὸ ἄσβεστον.

β'. Σὺ δὲ ὅταν μέλλῃς ἄγεσθαι γυναῖκα, πρὸς μὲν τοὺς ἔξω νομικοὺς μετὰ πολλῆς τρέχεις τῆς σπουδῆς, καὶ παρακαθήμενος αὐτοῖς, μετὰ πάσης ἀκριβείας ἐξετάζεις, τί μὲν ἔσται, ἐὰν ἄπαις τελευτήσῃ ἡ γυνὴ, τί δὲ ἐὰν ἔχουσα παῖδα, τί δὲ ἐὰν δύο καὶ τρεῖς, καὶ πῶς μὲν ἔχουσα πατέρα, πῶς δὲ οὐκ ἔχουσα τοῖς ἑαυ-

et honestate cæterisque virtutibus agamus, ut et Deum misericordem habentes regnum cælorum assequamur, gratia et benignitate Domini nostri Jesu Christi, cui sit gloria in sæcula sæculorum. Amen.

LAUS MAXIMI,

ET QUALES DUCENDÆ SINT UXORES (*a*).

1. *Maximus Chrysostomi collega laudatur.* — Quod quidem proximæ collectæ interesse mihi non contigerit, dolui : quod vero ipsi tum magis opiparam mensam nacti sitis, gavisus sum. Meus enim in trahendo jugo compar, nuper proscisso sulco ubere lingua inspersit etiam semina, omnique diligentia vestras excoluit animas. Vidistis linguæ puritatem, audistis bene tornatam orationem, datum est vobis aqua frui saliente in vitam æternam : vidistis fontem scatentem fluviis aurum purum deferentibus. Ferunt quemdam fluvium auri ramenta inferre accolis, non quod ejus aqua naturam auriferam habeat, sed quia fontes ejus oriuntur in montibus metallicis : per eos labens fluvius arenasque trahens aureas, accolentibus thesauros affert, ultro oblatis divitiis. Hujus fluminis in morem nuper hic magister labendo per Scripturas tamquam montes metallicos, quovis auro pretiosiores sententias intulit vestris animis. Quapropter scio fore ut apparatus noster hodie vobis videatur exilior. Qui enim paupere mensa continue fruitur, si quando forte fortuna in copiosiorem inciderit, mox ad propriam reversus tanto magis sentit ejus inopiam. Attamen nihilo segnius orationem aggrediar. Nostis enim a Paulo docti et saturari, et esurire, et abundare, et egere, mirari divites, nec tamen pauperes contemnere (*Philipp.* 4. 12). Et quemadmodum vini amantes et potatores delectantur quidem generoso, sed deterius non fastidiunt : sic vos quoque qui deperitis divina eloquia, magistros doctiores suscipitis, ita tamen ut non vulgare studium impendatis etiam mediocribus. Qui enim luxu diffluunt, vel ad sumptuosam mensam nauseabundi discumbunt : contra sobrii qui esuriunt ac sitiunt justitiam, vel ad pauperem mensam magna alacritate accurrunt. Quod autem hæc non loquar ad gratiam, proximo, quem nuper ad vos habui (*b*), sermone satis apparuit. Cum enim multa verba faceremus de conjugio, docentes merum esse adulterium dimittere uxores, aut dimissas vivo etiammum priore marito ducere, allegaremusque legem ab ipso Christo latam, ubi diserte legitur, *Qui dimissam ducit, committit adulterium, et qui præter stupri causam dimittit uxorem, facit eam adulteram* (*Matth.* 5. 32), animadverti multos demisso capite cædere sibi faciem, ac ne vultum quidem posse attollere : ad quod spectaculum sublatis in cælum oculis, Benedictus, dixi, Deus, quod non mortuis inclamemus auribus, sed nostra verba vehementer tangant auditorum animos.

Justificationis pars peccatum damnare. Mature de nuptiis deliberandum. — Satius quidem esset omnino a peccando abstinere, non parvum tamen ad salutem momentum est, agnitum peccatum damnare, et castigare diligenter conscientiam, utpote cum hoc ipsum justificationis pars sit, et imposterum a peccando arceat. Hinc est quod etiam Paulus eos, qui peccaverant, contristatos videns gaudebat, non ob eorum tristitiam, sed quod per hanc occasionem correcti essent. *Gaudeo*, inquit, *non quod contristati fueritis, sed quod contristati sitis ad pœnitentiam : nam qui secundum Deum est dolor, is pœnitentiam ad salutem non dubiam parit* (2. *Cor.* 7. 9. 10). Ergo sive propriis, sive alienis peccatis tunc indoluistis, ingenti laude estis dignissimi. Nam et qui pro alienis dolet, apostolica præ se fert viscera, et beatum illum imitatur, dicentem, *Quis infirmatur, et ego non infirmor? quis scandalizatur, et ego non uror* (2. *Cor.* 11. 29)? Et qui propriis mordetur, debitam sceleribus suis pœnam exstinxit, et per hunc dolorem in futurum se cautiorem reddidit. Hac de causa ego quoque cum viderem vos demisso capite, gementesque et tundentes faciem, gavisus sum cogitans quantus sit fructus ejus tristitiæ. Quo fit ut et hodie idem argumentum tractare libeat, ut quibus cordi sunt nuptiæ, mature de hoc negotio deliberent. Si enim domum empturi aut mancipia, curiose consideramus tum venditores, tum priores dominos, ipsorum quoque venalium tam corporis habitudinem, quam indolem animi : quanto magis dispiciendum est de futura conjuge? Domum enim, si vitiosa sit, licet denuo vendere, sicut et servum nequam compertum venditori restituere : uxorem vero semel acceptam non item fas est a quibus acceperis reddere : sed necesse est in perpetuum eam domi habere, nisi malis ea ut improba ejecta reus adulterii juxta legem divinam fieri. Quando igitur uxorem ducturus es, non solum civile jus, verum etiam ecclesiasticum legito : nam secundum hoc, non illud, extrema die judicandus a Deo es : et illo contempto sæpenumero pecuniis tantum mulctaberis, hoc autem calcato in animæ supplicium incides et ignem inexstinguibilem.

2. Tu vero uxorem ducturus externi juris peritoi diligenter consulis, et illos frequentans sollicite disquiris, quid futurum sit, si ea decedat nullis relictis liberis, quid si filium relinquat, quid item si duo tresve fuerint superstites, tum quomodo vivo patre suo defunctove rebus suis usura sit, quantum ex ejus patrimonio marito, quantum fratribus mulieris obvenire

(*a*) Collata cum Mss. Colbert. 970 et 1030, in quibus deest illud, *Laus Maximi*, perinde atque in Edit. Savil. : attamen genuinum existimo. Vide in Monito. Admodum pauca hic occurrunt lectionum discrimina.

(*b*) Supra, Homil. de libello repudii.

debeat : quando item universa uxoris bona retinenda sint, ita ut nihil ex eis alii concedendum sit, quando contra cedendum omnibus : aliaque simlia percontaris curiosius, modis omnibus circumspiciens ne quid ex uxoris bonis ad agnatos ipsius redeat, quamvis, ut jam dixi, si quid præter opinionem acciderit, damnum te sequatur tantum pecuniarum ; attamen nihil horum contemnis. An non absurdum videtur, cum tantam rationem habeamus pecuniæ, animæ periculum et reddendam in illa die rationem contemnere, cum hic potissimum curæ adhibenda sit?

Paulus matrimonii leges præscribit. Uxores quomodo diligendæ. -- Ideo uxores ducturis suadeo ut beatum Paulum adeant, et leges apud eum de conjugio scriptas perlegant, cognitoque prius quod ille censet faciendum, si uxor contingat malitiosa aut vino dedita, si maledica aut fatua similive obnoxia vitio, tum demum de nuptiis cogitent. Si enim videris cum tibi permittere in uno quovis tali vitio deprehensam expellere domo, et aliam pro illa introducere, ut extra periculum constitutus bono esto animo. Quod si hoc non sinat, sed jubeat quodcumque præter impudicitiam vitium habentem diligere, obtirma animum, quasi laturus quamlibet ejus nequitiam. Sin hoc grave videtur et intolerabile, omnem curam adhibe ut commodam, a quis moribus præditam, et obsequentem uxorem ducas, certus quod, si malam duxeris, alterutrum necessario sequatur, ut aut feras perpetuam molestiam, aut si hoc nolis, ejecta illa reus fias adulterii. *Qui enim ejicit uxorem*, inquit, *absque causa fornicationis, facit eam adulteram : et qui sic dimissam ducit, committit adulterium* (*Matth.* 5. 32). Hæc si ante nuptias recte dispexerimus, et leges has cognoverimus, dabimus operam ut ab initio aptam et moribus nostris convenientem ducamus : quo facto non hoc tantum lucrabimur, quod eam nunquam ejicienmus, sed magno etiam affectu eam diligemus, quemadmodum Paulus præcipit. Cum enim dixisset : *Viri uxores diligant* (*Ephes.* 5. 25) : non hic constitit, sed modum etiam amoris præfinivit. [At quem tandem? *Viri diligite uxores.* Die quomodo? quem mihi diligendi modum præscribis? (*a*)] *Sicut et Christus dilexit Ecclesiam.* Et quomodo, quæso, Christus dilexit? *Ita ut semetipsum pro ea traderet.* Itaque etiamsi mori pro uxore oporteat, nequaquam tergiversaberis. Nam si Dominus sponsam ita dilexit, ut semet pro ea traderet, multo magis conservam oportet sic diligi. Sed videamus, ne forte pulchritudo sponsæ aut præclara indoles sponsum attraxerit. Ne hoc quidem dicere possumus. Quod enim deformis ac impura fuerit, audi quæ deinceps sequantur. Nam cum dixisset, *Tradidit seipsum pro ea*, mox subjunxit, *Ut sanctificaret eam purificatam lavacro aquæ* (*Ibid.* v. 26). Cum autem dicit *purificatam*, ostendit impuram ante fuisse et contaminatam, idque non vulgari impuritate, sed longe maxima, ut quæ nidore ac fumo cruoreque cum aliis id genus immundis sordebat maculis. Attamen non aversatus est ejus deformitatem, sed transformavit in meliorem faciem remissis peccatis pristinis. Hunc et tu imitare. Etsi plurimum in te uxor peccaverit, totum ei remitte et condona : si male moratam nactus fueris, refinge eam ad bonitatem ac mansuetudinem, sicut et Christus Ecclesiam. Non solum enim immunditiam ejus abstersit, sed senium quoque abrasit exuto veteri homine, qui totus constabat e vitiis. Quod etiam Paulus subindicat his verbis, *Ut exhiberet eam sibiipsi gloriosam Ecclesiam, non habentem maculam aut rugam* (*Ephes.* 5. 27) : non enim pulchram solum reddidit, sed et juvenem, non juxta naturam corporis, sed juxta voluntatis habitudinem. Nec hoc solum admiratione dignum est, quod nactus deformem, mala facie præditam, turpem ac vetulam, non aversatus est talem, sed quod porro seipsum objiciens refinxit eam in pulchritudinem incredibilem : sed quod etiam post hæc sæpe sordidatam animadvertens et maculatam, nec ejicit eam e thalamo, nec abrumpit nexus conjugii ; sed mavult eam curare, et remediis corrigere. Quam multi enim, quæso, post acceptam fidem in peccata relapsi sunt? nec tamen eos ob hoc fastidit : qualis fuit ille qui apud Corinthios stuprum commiserat, cum esset membrum Ecclesiæ ; nihilominus non excisum est ad membrum, sed sanitati redditum. Quin et Galatarum Ecclesia universa resiliit, et in Judaismum lapsa est, attamen ne illam quidem repulit, sed curatam Pauli opera ad pristinam reduxit consuetudinem. Quemadmodum et in nostris corporibus si morbus acciderit, non membrum abscindimus, sed morbum pellimus : sic et cum uxore agendum est. Si quod insit ei vitium, ne ipsam ejicias, sed vitium abigito. Atqui uxor quidem emendari potest, membrum autem mutilum curare sæpe est impossibile ; et tamen quamvis sciamus id incurabile, ne sic quidem rescindimus : sed cum alius loripes, alius ex crure laborans claudicet, alius manum aridam et emortuam circumferat, alius oculum lumine orbum, nemo tamen eorum oculum aut manum, aut crus pedemque vult amittere : et quamvis sint inutilia, cæterisque membris dedecus afferant, tamen innato quodam affectu ut partem ejusdem corporis ea prosequimur. An non igitur absurdum fuerit, ubi nulla speratur utilitas aut correctio, tantam adhibere sollicitudinem : ubi vero bona spes superest et facilis mutatio, nullam medicinam facere? Nam innata vitia nullis cedunt remediis, voluntas autem depravata potest corrigi.

3. Quod si tuam uxorem post adhibita multa remedia neges curabilem, ut quæ obstinate mores suos retineat, ne tum quidem ableganda est : neque enim membrum incurabile recidimus. Est autem et hæc pars tui corporis : dictum est enim : *Erunt duo in carne una* (*Gen.* 2. 24). Et membrum quidem curasse nullum operæ pretium fuerit, si ex infirmitate insanabile maneat ; contra uxoris vitio si medearis, licet insanabile maneat, magnum tibi propositum est præmium, si eam docueris et institueris. Quantumvis enim frustra sit omnis disciplina et institutio, tolerantia tamen tua mercede divinitus promissa non

(*a*) Hæc, quæ uncinis claudimus, in græco non extant, sed interpres legit.

τῆς χρήσεται πράγμασι, καὶ τί μὲν εἰς τοὺς ἀδελφοὺς ἥξει τοῦ κλήρου, τί δὲ εἰς τὸν συνοικοῦντα, καὶ πότε κύριος ἔσται τοῦ παντὸς, μηδένα μηδὲν ἀφεῖναι τῶν ἐκείνης παρασπάσασθαι μέρος, καὶ πότε τοῦ παντὸς ἐκπεσεῖται· καὶ πολλὰ ἕτερα τοιαῦτα πολυπραγμονεῖς παρ' ἐκείνων καὶ ζητεῖς, πάντα περιιὼν καὶ περισκοπῶν, ὅπως ἐκ μηδενὸς γένηται τρόπου τι τῶν γυναικὸς πραγμάτων εἴς τινα τῶν ἐκείνῃ προσηκόντων [213] ἐλθεῖν· καίτοι, ὅπερ ἔφθην εἰπὼν, εἰ καί τι συμβαίη τῶν ἀδοκήτων, ἐν χρήμασιν ἔσται τὰ τῆς ζημίας, ἀλλ' ὅμως οὐκ ἀνέχῃ τούτων οὐδὲν παριδεῖν. Πῶς οὖν οὐκ ἄτοπον, χρημάτων μὲν ἡμῖν ἀπόλλυσθαι μελλόντων, τοσαύτην σπουδὴν ἐπιδείκνυσθαι, ὑπὲρ δὲ ψυχῆς ὄντος ἡμῖν τοῦ κινδύνου καὶ τῶν εὐθυνῶν τῶν ἐκεῖ, μηδένα ποιεῖσθαι λόγον, δέον πρὸ τῶν ἄλλων πάντων ταῦτα ζητεῖν καὶ περιεργάζεσθαι καὶ πολυπραγμονεῖν;

Διὸ παραινῶ καὶ συμβουλεύω τοὺς μέλλοντας ἄγεσθαι γυναῖκας, πρὸς τὸν μακάριον Παῦλον ἀπαντᾷν, καὶ τοὺς παρ' αὐτῷ κειμένους περὶ γάμων ἀναγινώσκειν νόμους, καὶ μαθόντας πρότερον, τί κελεύει ποιεῖν, ὅταν πονηρὰ καὶ ὕπουλος, καὶ μέθης ἐλάττων, καὶ λοίδορος, καὶ ἀνοίας γέμουσα, καὶ ὁτιοῦν ἄλλο τοιοῦτον ἐλάττωμα ἔχουσα τύχῃ γυνὴ, οὕτω διαλέγεσθαι περὶ γάμου. Ἂν μὲν γὰρ ἴδῃς ὅτι σοι δίδωσιν ἐξουσίαν ἓν τούτων εὑρόντα τῶν ἐλαττωμάτων ἐκβάλλειν μὲν ἐκείνην, εἰσάγειν δὲ ἑτέραν, ὡς παντὸς ἀπηλλαγμένος κινδύνου θάρρει· ἂν δὲ τοῦτο μὲν οὐκ ἐπιτρέπῃ, κελεύῃ δὲ πλὴν πορνείας πάντα τὰ ἄλλα ἐλαττώματα ἔχουσαν στέργειν καὶ ἔνδον κατέχειν, οὕτως ἀσφάλισαι ἑαυτὸν, ὡς μέλλων ἅπασαν φέρειν τῆς γυναικὸς τὴν πονηρίαν. Εἰ δὲ βαρὺ τοῦτο καὶ φορτικὸν, πάντα ποίει καὶ πραγματεύου, ὥστε χρηστὴν καὶ ἐπιεικῆ καὶ πειθήνιον γυναῖκα λαβεῖν, εἰδὼς ὅτι δυοῖν ἀνάγκη θάτερον, ἢ πονηρὰν λαβόντα γυναῖκα φέρειν αὐτῆς τὴν ἐπάχθειαν, ἢ τοῦτο μὴ βουλόμενον, ἐκβαλόντα μοιχείᾳ ἁλίσκεσθαι. *Ὁ γὰρ ἐκβάλλων γυναῖκα*, φησὶ, *παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχευθῆναι· καὶ ὁ ἀπολελυμένην γαμῶν μοιχᾶται.* Ἂν ταῦτα πρὸ τοῦ γάμου καλῶς ὦμεν διεσκεμμένοι καὶ τοὺς νόμους τούτους εἰδότες, πολλὴν ποιησόμεθα σπουδὴν, ὥστε ἐξ ἀρχῆς εὔρυθμόν τινα καὶ συμβαίνουσαν τοῖς ἡμετέροις τρόποις γυναῖκα λαβεῖν· τοιαύτην δὲ λαβόντες οὐ τοῦτο καρπωσόμεθα μόνον, ὅτι οὐδέποτε αὐτὴν ἐκβαλοῦμεν, ἀλλ' ὅτι καὶ μετὰ πολλῆς αὐτὴν ἀγαπήσομεν τῆς σφοδρότητος, καὶ μεθ' ὅσης ὁ Παῦλος ἐκέλευσεν. Εἰπὼν γὰρ, *Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας*, οὐκ ἔστη μέχρι τούτου μόνον, ἀλλὰ καὶ μέτρον ἡμῖν ἔδωκεν ἀγάπης, *Καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν Ἐκκλησίαν.* Καὶ πῶς ἠγάπησεν ὁ Χριστός; εἰπέ μοι. *Ὅτι παρέδωκεν ἑαυτὸν ὑπὲρ αὐτῆς.* Ὥστε κἂν ἀποθανεῖν ὑπὲρ τῶν γυναικῶν δέῃ, μὴ παραιτήσῃ. Εἰ γὰρ ὁ Δεσπότης τὴν δούλην οὕτως ἠγάπησεν, ὡς καὶ ἑαυτὸν ἐπιδοῦναι ὑπὲρ αὐτῆς, πολλῷ μᾶλλον σὲ τὴν ὁμόδουλον οὕτως ἀγαπᾷν χρή. Ἀλλ' ἴδωμεν μή ποτε τὸ κάλλος τῆς νύμφης ἐπεσπάσατο τὸν νυμφίον, καὶ ἡ ἀρετὴ τῆς ψυχῆς. Οὐκ ἔστι τοῦτο εἰπεῖν. Ὅτι γὰρ δυσειδὴς ἦν καὶ ἀκάθαρτος, ἄκουσον τῶν ἑξῆς. Εἰπὼν γὰρ, *Παρέδωκεν ἑαυτὸν ὑπὲρ αὐτῆς*, ἐπήγαγεν, *ἵνα ἁγιάσῃ αὐτὴν καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος.* Εἰπὼν δὲ, *Καθαρίσας αὐτὴν*, ἔδειξεν ἀκάθαρτον οὖσαν ἔμπροσθεν καὶ ἐναγῆ, καὶ οὐχ ὡς ἔτυχεν, ἀλλὰ τὴν ἐσχάτην ἀκαθαρσίαν· κνίσσῃ γὰρ καὶ καπνῷ καὶ λύθρῳ καὶ αἵμασι, καὶ μυρίαις ἑτέραις τοιαύταις κατερρύποῦτο κηλῖσιν. Ἀλλ' ὅμως οὐκ ἐβδελύξατο τὴν ἀμορφίαν, ἀλλὰ μετέβαλε [214] τὴν ἀηδίαν, μετεπλάσε, μετερρύθμισεν, ἀφῆκε τὰ ἡμαρτημένα. Τοῦτον καὶ σὺ μίμησαι. Κἂν μυρία ἁμάρτῃ ἡ συνοικοῦσα εἰς σὲ ἁμαρτήματα, πάντα ἄφες καὶ συγχώρησον· κἂν λάβῃς δύστροπον, μεταρρύθμισον ἐπιεικείᾳ καὶ πραότητι, καθὼς καὶ ὁ Χριστὸς τὴν Ἐκκλησίαν. Οὐ γὰρ τὴν ἀκαθαρσίαν αὐτῆς μόνον ἀπέσμηξεν, ἀλλὰ καὶ τὸ γῆρας ἀπέξυσε, τὸν παλαιὸν ἀποδύσας ἄνθρωπον, τὸν ἐκ τῶν ἁμαρτημάτων συγκείμενον. Καὶ τοῦτο αὐτὸς αἰνιττόμενος πάλιν ὁ Παῦλος ἔλεγεν· *Ἵνα παραστήσῃ αὐτὴν ἑαυτῷ ἔνδοξον τὴν Ἐκκλησίαν, μὴ ἔχουσαν σπῖλον ἢ ῥυτίδα·* οὐ γὰρ καλὴν μόνον ἐποίησεν, ἀλλὰ καὶ νέαν, οὐ κατὰ τὴν τοῦ σώματος φύσιν, ἀλλὰ κατὰ τὴν τῆς προαιρέσεως ἕξιν. Καὶ οὐ τοῦτο μόνον ἐστὶ θαυμαστὸν, ὅτι λαβὼν ἄμορφον καὶ δυσειδὴ καὶ αἰσχρὰν καὶ γεγηρακυῖαν οὔτε ἐβδελύξατο τὴν ἀμορφίαν, ἀλλὰ καὶ εἰς θάνατον ἑαυτὸν παρέδωκε, καὶ μετερρύθμισεν αὐτὴν εἰς κάλλος ἀμήχανον· ἀλλ' ὅτι καὶ μετὰ τοῦτο πολλάκις ῥυπουμένην, κηλιδουμένην ὁρῶν, οὐκ ἐκβάλλει, οὐδ' ἀπορρήγνυσιν ἑαυτοῦ, ἀλλὰ καὶ μένει θεραπεύων καὶ διορθούμενον. Πόσοι γὰρ, εἰπέ μοι, μετὰ τὸ πιστεῦσαι ἥμαρτον; ἀλλ' ὅμως αὐτοὺς οὐκ ἐβδελύξατο· οἷον, ὁ παρὰ Κορινθίοις πεπορνευκὼς μέλος τῆς Ἐκκλησίας ἦν· ἀλλ' οὐκ ἐξέκοψε τὸ μέλος, ἀλλὰ διώρθωσεν. Ἡ Γαλατῶν Ἐκκλησία ἅπασα ἀπεσκίρτησε, καὶ πρὸς ἰουδαϊσμὸν κατέπεσεν· ἀλλ' ὅμως οὐδὲ ἐκείνην ἐξέβαλεν, ἀλλὰ διὰ τοῦ Παῦλον θεραπεύσας αὐτὴν, ἐπὶ τὴν προτέραν ἐπανήγαγε συγγένειαν. Ὥσπερ οὖν ἐν τοῖς σώμασι τοῖς ἡμετέροις, ἐπειδὰν γένηται νόσημα, οὐ τὸ μέλος ἐκκόπτομεν, ἀλλὰ τὸ νόσημα ἀπελαύνομεν· οὕτω καὶ ἐπὶ τῆς γυναικὸς ποιῶμεν. Ἐὰν γένηταί τις ἐν αὐτῇ πονηρία, μὴ τὴν γυναῖκα ἐκβάλῃς, ἀλλὰ τὴν κακίαν ἀπέλασον. Καίτοι γυναῖκα μὲν διορθώσασθαι δυνατὸν, μέλος δὲ πολλάκις πεπηρωμένον θεραπεῦσαι οὐκ ἔνι· ἀλλ' ὅμως εἰδότες αὐτοῦ τὴν πήρωσιν οὖσαν ἀνίατον, οὐδὲ οὕτως ἐκκόπτομεν· ἀλλὰ καὶ πόδα διεστραμμένον ἔχοντες πολλοὶ πολλάκις, καὶ σκέλος χωλὸν, καὶ χεῖρα ξηρὰν καὶ νενεκρωμένην, καὶ ὀφθαλμὸν ἐσβεσμένον, οὔτε τὸν ὀφθαλμὸν ἐξορύττουσιν, οὔτε τὸ σκέλος ἐκκόπτουσιν, οὔτε τὴν χεῖρα ἀποτέμνουσιν, ἀλλ' ὁρῶντες οὔτε κέρδος ἐγγινόμενον ἐξ αὐτῶν τι τῷ σώματι, καὶ πολλὴν τοῖς λοιποῖς μέλεσιν αἰσχύνην, μένουσιν αὐτὰ ἔχοντες διὰ τὴν πρὸς τὰ λοιπὰ συμπάθειαν. Πῶς οὖν οὐκ ἄτοπον, ἔνθα μὲν ἀνίατος ἡ διόρθωσις, καὶ κέρδος οὐδὲν, τοσαύτην ποιεῖσθαι πρόνοιαν· ἔνθα δὲ χρησταὶ ἐλπίδες, καὶ πολλὴ ἡ μεταβολὴ, ἀπαγορεύειν τὴν θεραπείαν; Τὰ μὲν γὰρ τῇ φύσει πηρωθέντα ἀδύνατον ἀνακτήσασθαι πάλιν, τὴν δὲ προαίρεσιν διεστραμμένην δυνατὸν μεταρρυθμίσαι.

γ'. Εἰ δὲ καὶ αὐτὴν λέγοις ἀνίατα νοσεῖν, καὶ πολλῆς ἐπιμελείας τυχοῦσαν τῷ οἰκείῳ κεχρῆσθαι τρόπῳ, οὐδὲ οὕτως αὐτὴν ἐκβλητέον· οὔτε γὰρ τὸ μέλος ἀνίατα νοσοῦν ἐκκόπτεται. Μέλος δὲ καὶ αὕτη σόν· *Ἔσονται γὰρ*, φησὶν, *οἱ δύο εἰς σάρκα μίαν.* Καὶ ἐπὶ μὲν τοῦ μέλους, οὐδὲν ἔσται κέρδος ἡμῖν τῆς θεραπείας, ἐπειδὰν ὑπὸ τῆς ἀρρωστίας ἀδιόρθωτον φθάσῃ γενέσθαι· [215] ἐπὶ δὲ τῆς γυναικὸς, κἂν ἀνίατα μένῃ νοσοῦσα, πολὺς ἡμῖν ὁ μισθὸς ἀποκνίσεται διδάσκουσι, παιδαγωγοῦσι. Κἂν μηδὲν ἐκείνῃ παρὰ τῆς ἡμετέρας διδασκαλίας κερδαίνῃ, τῆς γοῦν ὑπομονῆς πολὺν παρὰ τοῦ

Θεοῦ ληψόμεθα τὸν μισθὸν, ὅτι διὰ τὸν ἐκείνου φόβον τοσαύτην ὑπομονὴν ἐπεδειξάμεθα, καὶ τὴν κακίαν αὐτῆς πράως ἠνέγκαμεν, καὶ τὸ μέλος ἡμῶν ἐκρατήσαμεν. Μέλος γὰρ ἡμῶν ἀναγκαῖον ἡ γυνή· καὶ διὰ τοῦτο αὐτὴν μάλιστα δεῖ φιλεῖν. Ὅπερ οὖν καὶ αὐτὸ τοῦτο διδάσκων πάλιν ὁ Παῦλος ἔλεγεν· *Οὕτως ὀφείλουσιν οἱ ἄνδρες ἀγαπᾷν τὰς ἑαυτῶν γυναῖκας ὡς τὰ ἑαυτῶν σώματα. Οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν, ἀλλ' ἐκτρέφει καὶ θάλπει αὐτὴν, καθὼς καὶ ὁ Χριστὸς τὴν Ἐκκλησίαν· ὅτι μέλη ἐσμὲν τοῦ σώματος αὐτοῦ, ἐκ τῆς σαρκὸς αὐτοῦ, καὶ ἐκ τῶν ὀστέων αὐτοῦ.* Καθάπερ γὰρ ἡ Εὔα, φησὶν, ἀπὸ τῆς πλευρᾶς τοῦ Ἀδὰμ γέγονεν, οὕτω καὶ ἡμεῖς ἐκ τῆς πλευρᾶς τοῦ Χριστοῦ. Τοῦτο γάρ ἐστιν, *Ἐκ τῆς σαρκὸς αὐτοῦ, καὶ ἐκ τῶν ὀστέων αὐτοῦ.* Ἀλλ' ὅτι μὲν ἡ Εὔα ἐκ τῆς πλευρᾶς αὐτοῦ τοῦ Ἀδὰμ γέγονεν, ἅπαντες ἴσμεν, καὶ σαφῶς ἡ Γραφὴ τοῦτο εἴρηκεν, ὅτι ἐπέβαλεν ἔκστασιν ἐπ' αὐτὸν, καὶ ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ, καὶ ᾠκοδόμησε τὴν γυναῖκα· ὅτι δὲ καὶ ἡ Ἐκκλησία ἀπὸ τῆς πλευρᾶς τοῦ Χριστοῦ συνέστη, πόθεν ἔχοι τις ἂν ἀποδεῖξαι; Καὶ τοῦτο ἡ Γραφὴ δείκνυσιν. Ἐπειδὴ γὰρ ὁ Χριστὸς εἰς τὸν σταυρὸν ἀνηνέχθη, καὶ προσηλώθη, καὶ ἀπέθανε, *Προσελθὼν εἷς τῶν στρατιωτῶν ἔνυξεν αὐτοῦ τὴν πλευρὰν, καὶ ἐξῆλθεν αἷμα καὶ ὕδωρ·* καὶ ἐξ ἐκείνου τοῦ αἵματος καὶ τοῦ ὕδατος ἡ Ἐκκλησία ἅπασα συνέστηκε. Καὶ μαρτυρεῖ αὐτὸς λέγων, ὅτι *Ἐὰν μή τις ἀναγεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.* Τὸ δὲ αἷμα, πνεῦμα λέγει. Καὶ γεννώμεθα μὲν διὰ τοῦ ὕδατος τοῦ βαπτίσματος, τρεφόμεθα δὲ διὰ τοῦ αἵματος. Ὁρᾷς πῶς ἐκ τῆς σαρκὸς αὐτοῦ ἐσμεν, καὶ ἐκ τῶν ὀστέων αὐτοῦ, ἀπὸ τοῦ αἵματος ἐκείνου καὶ τοῦ ὕδατος τικτόμενοι καὶ τρεφόμενοι; Καὶ καθάπερ, τοῦ Ἀδὰμ καθεύδοντος, ἡ γυνὴ κατεσκευάζετο, οὕτω, τοῦ Χριστοῦ ἀποθανόντος, ἡ Ἐκκλησία διεπλάττετο ἐκ τῆς πλευρᾶς αὐτοῦ. Οὐ διὰ τοῦτο δὲ μόνον χρὴ φιλεῖν τὴν γυναῖκα, ὅτι μέλος ἡμῶν ἐστι, καὶ ἐξ ἡμῶν ἔσχε τὴν τῆς δημιουργίας ἀρχήν· ἀλλ' ὅτι καὶ νόμον ὑπὲρ αὐτοῦ τούτου τέθεικεν ὁ Θεὸς, οὕτω λέγων· *Ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν.* Διὰ γὰρ τοῦτο καὶ τοῦτον ἡμῖν ὁ Παῦλος ἀνέγνω τὸν νόμον, ἵνα πανταχόθεν ἡμᾶς πρὸς τὸν ἔρωτα συνελάσῃ τοῦτον. Καὶ σκόπει σοφίαν ἀποστολικήν· οὔτε γὰρ ἀπὸ τῶν θείων νόμων, οὔτε ἀπὸ τῶν ἀνθρωπίνων μόνον, εἰς τὴν ἀγάπην ἡμᾶς ἐνάγει τῶν γυναικῶν, ἀλλὰ καὶ ἀπὸ τούτων καὶ ἀπ' ἐκείνων ἐναλλάξας ἀμφότερα ταῦτα τίθησιν· ἵνα ὁ μὲν ὑψηλότερος καὶ φιλοσοφώτερος ἀπὸ τῶν ἄνωθεν, ὁ δὲ ἀσθενὴς ἀπὸ τῶν κάτωθεν καὶ τῶν τῆς φύσεως εἰς φίλτρον ἐνάγηται. Διὰ τοῦτο ἀρχόμενος μὲν ἀπὸ τῶν τοῦ Χριστοῦ κατορθωμάτων, τὴν παραίνεσιν εἰσάγει οὕτω λέγων· *Ἀγαπᾶτε τὰς γυναῖκας, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν Ἐκκλησίαν·* εἶτα πάλιν ἀπὸ τῶν ἀνθρωπίνων· *Οὕτως ὀφείλουσιν οἱ ἄνδρες ἀγαπᾷν τὰς ἑαυτῶν γυναῖκας, ὡς τὰ* [216] *ἑαυτῶν σώματα·* εἶτα πάλιν ἀπὸ τοῦ Χριστοῦ· ὅτι μέλη ἐσμὲν ἐκ τοῦ σώματος αὐτοῦ, καὶ ἐκ τῆς σαρκὸς αὐτοῦ, καὶ ἐκ τῶν ὀστέων αὐτοῦ· εἶτα πάλιν ἀπὸ τῶν ἀνθρωπίνων· *Ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ·* καὶ τὸν νόμον ἀναγνοὺς τοῦτόν φησι· *Τὸ μυστήριον τοῦτο μέγα ἐστί.* Πῶς μέγα ἐστίν; εἰπέ μοι. Ὅτι τὸν ἅπαντα θαλαμευομένη ἡ κόρη χρόνον, μηδέποτε τὸν νυμφίον ἑωρακυῖα, ἀπὸ τῆς πρώτης ἡμέρας οὕτω ποθεῖ καὶ στέργει ὡς σῶμα οἰκεῖον· πάλιν ὁ ἀνὴρ, ἣν οὐδέποτε εἶδεν, ἧς οὐδέποτε τῆς ἐν λόγῳ ἐκοινώνησε συνουσίας, ταύτην κἀκεῖνος ἀπὸ τῆς πρώτης ἡμέρας ἁπάντων προτίθησι, καὶ τῶν φίλων, καὶ τῶν οἰκείων, καὶ τῶν γεννησαμένων αὐτῶν. Οἱ γονεῖς πάλιν, ἂν μὲν ἐξ ἑτέρας ὑποθέσεως ἀφαιρεθῶσι χρήματα, δάκνονται, ἀλγοῦσιν, εἰς δικαστήριον τοὺς ἀφελομένους ἕλκουσιν· ἀνθρώπῳ δὲ πολλάκις μηδέποτε ὀφθέντι, μηδὲ γνωρισθέντι, καὶ τὴν θυγατέρα τὴν ἑαυτῶν καὶ προῖκα χρημάτων πολλῶν ἐγχειρίζουσι. Καὶ χαίρουσι τοῦτο ποιοῦντες, καὶ οὐχ ἡγοῦνται ζημίαν εἶναι τὸ γινόμενον· ἀλλ' ὁρῶντες τὴν θυγατέρα ἀπαγομένην, οὐ συνηθείας μέμνηνται, οὐκ ἀλγοῦσιν, οὐ δάκνονται, ἀλλὰ καὶ εὐχαριστοῦσι, καὶ εὐχῆς ἔργον εἶναι νομίζουσι τὸ καὶ τὴν θυγατέρα ἰδεῖν τῆς οἰκίας ἐξαγομένην, καὶ πολλὰ μετ' ἐκείνης χρήματα. Ταῦτα οὖν ἅπαντα ἐννοήσας ὁ Παῦλος, ὅτι τοὺς γονεῖς ἀφέντες ἀμφότεροι ἀλλήλοις συνδεσμοῦνται, καὶ χρόνου τοσούτου συνηθείας ἡ τότε συντυχία τυραννικωτέρα γίνεται, καὶ συνιδὼν, ὅτι οὐκ ἔστι τοῦτο ἀνθρώπινον, ἀλλ' ὁ Θεὸς τοὺς ἔρωτας τούτους ἐγκατέσπειρε, καὶ τοὺς ἐκδιδόντας καὶ τοὺς ἐκδιδομένους μετὰ χαρᾶς τοῦτο ποιεῖν παρεσκεύασε, φησίν· *Τὸ μυστήριον τοῦτο μέγα ἐστί.* Καὶ καθάπερ ἐπὶ τῶν παίδων, τὸ παιδίον τεχθὲν ἀπὸ τῆς ὄψεως εὐθέως ἐπίσταται τοὺς γονεῖς οὐ φθεγγόμενον· οὕτω δὴ καὶ νυμφίος καὶ νύμφη, οὐδενὸς συνάγοντος, οὐδενὸς παραινοῦντος καὶ συμβουλεύοντος, ἀπὸ τῆς ὄψεως ἀλλήλοις συμπλέκονται. Εἶτα ἰδὼν ὅτι καὶ ἐπὶ τοῦ Χριστοῦ τοῦτο ἐγένετο, καὶ ἐπὶ τῆς Ἐκκλησίας μάλιστα, ἐξεπλάγη καὶ ἐθαύμασε. Πῶς οὖν ἐπὶ τοῦ Χριστοῦ καὶ τῆς Ἐκκλησίας τοῦτο ἐγένετο; Καθάπερ ὁ νυμφίος τὸν πατέρα ἀφεὶς πρὸς τὴν νύμφην ἔρχεται, οὕτω καὶ ὁ Χριστὸς τὸν πατρικὸν θρόνον ἀφεὶς πρὸς τὴν νύμφην ἦλθεν· οὐχ ἡμᾶς· ἄνω ἐκάλεσεν, ἀλλ' αὐτὸς πρὸς ἡμᾶς παρεγένετο. Ὅταν δὲ ἀκούσῃς ὅτι ἀφῆκε, μὴ μετάστασιν νοήσῃς, ἀλλὰ συγκατάβασιν· καὶ γὰρ καὶ μεθ' ἡμῶν ὢν, μετὰ τοῦ Πατρὸς ἦν. Διὰ τοῦτό φησι· *Τὸ μυστήριον τοῦτο μέγα ἐστί.* Μέγα μέν ἐστι καὶ ἐπὶ ἀνθρώπων γινόμενον· ὅταν δὲ ἴδω εἰς τὸν Χριστὸν καὶ εἰς τὴν Ἐκκλησίαν αὐτὸ συμβαῖνον, τότε ἐκπλήττομαι, τότε θαυμάζω. Διὰ τοῦτο εἰπὼν, *Τὸ μυστήριον τοῦτο μέγα ἐστὶν*, ἐπήγαγεν· *Ἐγὼ δὲ λέγω, εἰς τὸν Χριστὸν, καὶ εἰς τὴν Ἐκκλησίαν.* Εἰδὼς τοίνυν ἡλίκον μυστήριόν ἐστιν ὁ γάμος, καὶ ἡλίκου πράγματος τύπος, μὴ ἁπλῶς, μηδὲ ὡς ἔτυχε περὶ τούτου βουλεύου, μηδὲ χρημάτων εὐπορίαν ζήτει μέλλων ἄγεσθαι νύμφην. Οὐ γὰρ καπηλείαν, ἀλλὰ βίου κοινωνίαν εἶναι τὸν γάμον δεῖ νομίζειν.

[217] δ'. Καὶ γὰρ πολλῶν ἤκουσα λεγόντων, Ὁ δεῖνα εὐπορώτερος γέγονεν ἀπὸ τοῦ γάμου, πένης ὤν· ἐπειδὴ γυναῖκα εὔπορον ἔλαβε, πλουτεῖ καὶ τρυφᾷ νῦν. Τί λέγεις, ἄνθρωπε; ἀπὸ γυναικὸς κερδαίνειν ἐπιθυμεῖς, καὶ οὐκ αἰσχύνῃ, οὐδὲ ἐρυθριᾷς; οὐδὲ εἰς τὴν γῆν καταδύῃ τοιούτους κερδῶν ἐπιζητῶν τρόπους; καὶ ποῦ ταῦτα ἀνδρὸς τὰ ῥήματα; Γυναικὸς ἕν ἐστι μόνον, τὰ συλλεγόμενα διαφυλάττειν, τὰς προσόδους διατηρεῖν, τῆς οἰκίας ἐπιμελεῖσθαι· καὶ γὰρ διὰ τοῦτο αὐτὴν ἔδωκεν ὁ Θεὸς, ἵνα ἐν τούτοις ἡμῖν βοηθῇ μετὰ τῶν ἄλλων ἁπάντων. Ἐπειδὴ γὰρ τὸν βίον τὸν

frustrabitur, quod propter Dei timorem tantum molestiarum sustinueris, et morosam feminam æquo animo tuleris, et membrum tuum constanter pertuleris. Est enim uxor membrum nostrum necessarium; et hoc potissimum nomine debetur ei benevolentia. Quod et Paulus his verbis præcipit: *Sic debent viri suas uxores diligere sicut propria corpora. Nemo enim unquam suam carnem odio habuit, sed nutrit et fovet illam, sicut et Christus Ecclesiam, quoniam membra sumus ejusdem corporis, ex carne ejus et ossibus ejus* (*Ep.* 5. 28-30).

Ecclesia cum Eva collata. — [Magnum hic subindicavit mysterium, dicens, *Ex carnibus ejus et ossibus ejus* (*a*).] Sicut enim Eva, inquit, ex latere Adami prodiit, ita et nos e Christi latere. Hoc enim est, *Ex carne ejus et ossibus ejus* (*Gen.* 2. 21). Sed Evam quidem e latere Adami prognatam scimus omnes, et diserte hoc in Scriptura legitur, quod immiserit in eum soporem, et exempta una e costis ejus ædificaverit mulierem: quod autem Ecclesia e Christi latere orta sit, undenam discere possumus? Hoc quoque Scriptura indicat. Postquam enim Christus in crucem sublatus et affixus exspiravit, *Accedens unus militum pupugit latus illius, et exiit inde sanguis et aqua* (*Joan.* 19. 34): et ex illa aqua et sanguine tota constat Ecclesia. Testis est ipse dicens: *Nisi quis renatus fuerit ex aqua et spiritu, non potest introire in regnum cælorum* (*Joan.* 3. 5): sanguinem autem appellat spiritum. Et nascimur quidem per aquam baptismatis, alimur autem per sanguinem. Vides quomodo simus ex carne ejus, et ex ossibus ejus, dum ex sanguine illo et aqua tum nascimur, tum alimur? Et quemadmodum Adamo dormiente mulier est condita, sic Christo mortuo facta est Ecclesia ex ejus latere. Nec ob hæc tantum amanda est uxor, quod membrum nostrum est, et ex nobis originem habuit, sed quia legem etiam super hoc Deus statuit, sic dicens, *Propterea relinquet homo patrem suum et matrem, et adhærebit uxori suæ, et erunt duo in carne una* (*Gen.* 2. 24). Nam ideo nobis hanc legem Paulus legit, ut modis omnibus nos ad hunc amorem compelleret. Hic mihi considera sapientiam apostolicam: non enim solis divinis aut solis humanis legibus nos inducit ad amandas conjuges, sed mixtim utrisque: ut sublimes quidem viri ac philosophici magis moveantur cælestibus, infirmos autem et humiles naturale amoris incitamentum magis moveat. Ideo primum a Christi beneficiis doctrinam hanc incipit sic dicens, *Diligite uxores vestras, sicut et Christus dilexit Ecclesiam* (*Ephes.* 5. 25); deinde rursus idem agit humanis rationibus: *Sic debent viri suas uxores diligere, ut sua ipsorum corpora* (*Ephes.* 5. 28), deinde rursum ad Christum revertitur: *Quoniam membra sumus ex corpore ejus, et ex carne ejus, et ex ejus ossibus* (*Ib. v.* 30); ac rursum ad humanas rationes redit, *Propterea relinquet homo patrem suum et matrem, et adhærebit uxori suæ* (*Ib. v.* 31); lectaque hac lege: *Mysterium*, inquit, *hoc magnum est* (*Ibid. v.* 32).

(*a*) Hæc, quæ uncinis clauduntur, non sunt in Græco, seu ita legit Interpres.

Parentibus præferenda uxor. — Quomodo magnum est, dic mihi? Quod virgo asservata omni tempore, sponsum numquam ante visum mox a prima die sic desiderat, et amat tamquam corpus proprium: rursum vir quam numquam vidit, numquam alloquutus est, mox a prima die præfert cæteris omnibus, et amicis et familiaribus, denique ipsis parentibus. Parentes item, si per aliam causam auferatur eis pecunia, dolenter ferunt, et in jus trahunt eum qui abstulit: homini autem sæpe numquam ante viso et ignoto etiam dotem una cum filia luculentam in manus dant. Idque libenter faciunt, neque se damno affici existimant; sed videntes abduci filiam non meminerunt consuetudinis, non dolent, non anguntur, sed gratias agunt insuper, et rem optabilem putant filiam e domo cum multa abduci pecunia. Hæc igitur omnia Paulus considerans, quod parentibus relictis ambo sibi mutuis jungantur nexibus, novumque consortium majorem antiqua consuetudine vim accipiat: animadvertensque non esse hoc humanum negotium, sed divinitus amores tales inseri, ut nuptæ pari et tradentium et accipientium cum lætitia elocentur atque assumantur, *Mysterium*, inquit, *hoc magnum est*. Et sicut recens natus infantulus adspectu statim parentes agnoscit, priusquam sciat voces edere: ita sane et sponsus ac sponsa, nemine sequestro, nemine hortatore, primo statim adspectu conciliantur invicem. Id cum in Christo etiam animadvertisset, et præsertim in Ecclesia, non sine stupore quodam admiratus est. Quomodo igitur in Christo et Ecclesia idem contigit? Sicut sponsus relicto patre ad sponsam properat, ita et Christus relicto paterno solio, venit ad sponsam: non nos evocavit ad supera, sed ipse ultro ad nos advenit. Cum autem adventum audis, non migrationem, sed attemperationem intellige: nam etiam cum nobiscum esset, cum Patre erat. Quapropter inquit: *Mysterium hoc est magnum*. Magnum sane etiam apud homines; sed cum video in Christum quoque et Ecclesiam idem competere, tum certe miraculo rei reddor attonitus. Quamobrem cum dixisset, *Mysterium hoc magnum est*, subjecit mox: *Ego autem dico in Christo et in Ecclesia* (*Ephes.* 5. 32). Itaque cum scias quantum sit in conjugio mysterium, et quanti figura negotii, non temere de hoc delibera, neque ducturus sponsam, pecuniarum accessionem respice. Non enim negotiatio, sed vitæ societas conjugium existimandum est.

4. *Mulier creata ut auxilietur viro.* — Multos enim audivi dicentes, Ille opulentior post nuptias factus est, cum fuisset pauper antea; nunc ducta uxore divite et ipse agit in deliciis. Quid ais, bone vir? ex uxore lucrari cupis, et non erubescis? non præ pudore sub terram te abdis talium lucrorum appetens? hæccine sunt verba viri? Mulieris unum est officium, ut parta custodiat, ut conservet reditus, et curet rem domesticam: nam idcirco eam Deus dedit, ut hac in re et in cæteris nobis sit auxilio. Quoniam enim vita hæc nostra e duobus constat, e rebus privatis et pu-

blicis, suam utrique partem Deus attribuit, femineo quidem generi curam rei domesticæ, viris autem negotia publica, forensia, judicia senatoria, militaria, cætera denique omnia. Non potest mulier hastam torquere aut jaculari spiculum; sed colum potest summere, et telam texere, et cætera negotia domestica obire egregie. Non potest in senatu sententiam dicere; sed potest de re familiari ferre sententiam, et sæpe melius quam maritus prospexit rebus domesticis. Non potest administrare publica; sed pulchre potest educare liberos, quæ quidem præcipua est possessio: potest ancillarum malefacta deprehendere, et in officio continere familiam, alias securitates exhibere marito illumque liberare sollicitudine, dum ipsa domi curat penum, lanificium, cumam, decorem vestium, cæteraque neque decora maribus, neque facilia, si sibi illa usurpare voluerint. Est enim et hoc divinæ providentiæ, quod is qui in majoribus negotiis est utilis, in minoribus reperitur deterior, ut necessaria sit mulierum opera. Si enim in utrisque vir præcelleret, facile contemneretur genus femineum: contra si in præstantioribus major esset usus mulierum, plenæ essent insolentia. Quamobrem non commisit uni utraque, ne alterius generis deterior fieret conditio ut supervacanei: nec tamen ex æquo distribuit officia, ne inter æquatos honore oriretur de principatu contentio, uxoribus non dignantibus viris prærogativa cedere: sed quo et concordiæ et decoro prospiceret, ita ordine suas cuique sexui functiones distribuit, ut utilior ac magis necessaria pars viro obtingeret, minor autem et inferior fœminæ; et ille quidem propter præcipuum sui usum fieret honorabilis, hæc vero propter viliora ministeria contra conjugem non insurgeret.

Sola virtus et morum probitas in uxore quærenda. Uxoris divitis incommoda.—Hæc igitur omnes cum sciamus, unum tantum quæramus, nempe virtutem animi, et morum egregium indolem, ut pace fruamur, et oblectemur concordia perpetuaque benevolentia. Qui enim divitem duxit uxorem, dominam magis sibi quæsivit, quam conjugem. Cum enim et absque hoc mulieres ingenio superbo sint honorisque cupido, si opes quoque accesserint, quomodo erunt maritis tolerabiles? Qui autem æqualem duxit, aut opibus sibi imparem, iis adjutricem duxit et sociam, et omnia bona suis indoxit ædibus. Ipsa enim paupertatis necessitas ei persuadet, ut maritum colat modis omnibus, cedens illi et obsequens per omnia: sicque contentionis, rixæ, insolentiæ, contumeliarum materia tollitur: pacis autem, concordiæ, dilectionis consensusque accedit vinculum. Pax igitur et jucunda consuetudo quærenda est, non pecunia. In hoc factum est conjugium, non ut rixis plena sit domus et bello, non ut lites adsint et contentio, non ut mutuis laboremus dissidiis, et sic vivamus ut vitæ tædeat: sed ut fruamur adjutorio, et portum habeamus, refugium atque solatium, quo levius feramus incommoda, utque jucundis uxoris recreemur colloquiis. Quot divites ductis opulentis uxoribus, re aucta exciderunt a voluptate concordiæ, ne mensa quidem vacante a quotidianis pugnis et contentionibus? quot pauperes ductis etiam pauperioribus vivunt in pace, et admodum læti solem hunc aspiciunt; divites contra omnibus affluentes deliciis, propter uxores vitam exosam habent, et mortem votis expetunt? adeo nulla est pecuniarum utilitas, nisi in bonam animam inciderint. Et quid opus est de pace loqui et concordia, quando ditiorem duxisse nonnumquam ad pecunias parandas fuit obstaculum? Fit enim interdum ut qui totam substantiam in accessione dotis uxoriæ contribuit, paulo post ob immaturum conjugis obitum totam dotem numerare cogatur affinibus: et quemadmodum naufragi enatant nudo corpore, ita et hic post tot contentiones, rixas, lites et injurias ægre tueatur libertatem corporis. Et sicut insatiabiles negotiatores repleta navi innumeris sarcinis, et congestis pluribus quam perferri possint oneribus, merso navigio perdunt omnia: ita et qui prægraves opibus sequuntur nuptias, dum majorem per conjugium adipisci se putant substantiam, amittunt et eam, quæ prius ipsis fuerat; sicut enim illic unius fluctus impetu navis opprimitur: sic et hic immatura mors conjugis superveniens cum uxore etiam rem omnem eripit.

5. Hæc igitur omnia cogitantes non pecunias spectemus, sed probitatem, honestatem, et prudentiam. Mulier enim cordata, probata, modesta, sit licet pauper, paupertatem commodius feret quam divitias: sicut contra morosa, contentiosa, et intemperans, etiamsi ingentes thesauros in ædibus inveniat, quavis procella citius eos dissipat, maritumque et paupertate et innumeris involvit calamitatibus. Non igitur divitias quæramus, sed quæ præsentes facultates dispenset commode.

Cur institutum fuerit conjugium. Exemplum Abrahami filio suo uxorem quærentis. — Ante omnia disce quænam fuerit causa conjugii, et quamobrem in communem vitam introductum sit, nec quidquam requiras amplius. Quæ igitur fuit causa conjugii, et cur illud datum est divinitus? Audi Paulum dicentem, *Ad vitandas autem scortationes quisque suam uxorem habeat* (1. *Cor.* 7. 2). Non dixit, Ut evitetur paupertas, et parentur divitiæ: sed quid? Ut scortationem evitemus, ut moderemur concupiscentiam, ut vivamus sobrie, ut Deo placeamus contenti uxore propria: hoc nobis affert conjugium, hic ejus fructus, hoc inde lucrum est. Cave igitur omissis potioribus secteris quæ minoris sunt pretii: mens enim sobria longe præstat divitiis. Hoc enim unum in conjugio spectandum est maxime, ut peccatum effugiamus, ut immunes simus a scortationibus: in hoc quærendæ sunt nuptiæ, ut ad vitam pudice degendam nos adjuvent: quod ita demum futurum est, si talis sponsa contigerit, quæ ad pietatem, ad temperantiam et probitatem nos magnam redigat. Corporis enim pulchritudo nisi conjunctam habeat virtutem animi, poterit quidem maritum usque ad decem aut viginti, trigintave dies capere, sed eamdem vim non obtinebit ulterius, quod incentivum illud amoris vanescat detecta ma-

ἡμέτερον δύο ταῦτα συγχρωτεῖν εἰωθε, τὰ πολιτικὰ καὶ ἰδιωτικὰ πράγματα, διελὼν ἀμφότερα ταῦτα ὁ Θεὸς, ταύτῃ μὲν τὴν τῆς οἰκίας προστασίαν ἀπένειμε, τοῖς δὲ ἀνδράσι τὰ τῆς πόλεως ἅπαντα πράγματα, τά τε ἐπὶ τῆς ἀγορᾶς, δικαστήρια, βουλευτήρια, στρατηγίας, τὰ ἄλλα πάντα. Οὐ δύναται ἀκοντίσαι δόρυ, οὐδὲ ἀφεῖναι βέλος ἡ γυνή· ἀλλ' ἠλακάτην δύναται λαβεῖν, καὶ ἱστὸν ὑφᾶναι, καὶ τὰ ἄλλα πάντα τὰ κατὰ τὴν οἰκίαν διαθεῖναι καλῶς. Οὐ δύναται γνώμην εἰσηγήσασθαι ἐν βουλευτηρίῳ· ἀλλὰ δύναται γνώμην εἰσηγήσασθαι ἐν οἰκίᾳ, καὶ πολλάκις ἅπερ συνεῖδεν ὁ ἀνὴρ τῶν κατὰ τὴν οἰκίαν, βέλτιων αὕτη συνεῖδεν. Οὐ δύναται τὰ δημόσια διαθεῖναι καλῶς· ἀλλὰ δύναται παιδία διαθρέψαι καλῶς, τὸ κεφάλαιον τῶν κτημάτων· δύναται θεραπαινίδων κακουργίας συνιδεῖν, καὶ σωφροσύνης ἐπιμεληθῆναι τῶν διακονουμένων, τὴν ἄλλην ἅπασαν τῷ συνοικοῦντι παρέχειν ἄδειαν, καὶ πάσης αὐτὸν τοιαύτης ἀπαλλάξαι φροντίδος ἐν οἴκοις, ταμιείων, ἐριουργίας, ἀρίστου παρασκευῆς, ἰματίων εὐσχημοσύνης, τῶν ἄλλων ἁπάντων ἐπιμελουμένη, ἅπερ ἀνδρὶ οὔτε εὐπρεπὲς, οὔτε εὔκολον μεταχειρίσασθαί ποτε, κἂν μυρία φιλονεικῇ. Καὶ γὰρ καὶ τοῦτο τῆς τοῦ Θεοῦ φιλοτιμίας καὶ σοφίας ἔργον, τὸν ἐν τοῖς μείζοσι χρήσιμον, ἐν τοῖς ἐλάττοσι καταδεέστερον καὶ ἄχρηστον εἶναι, ἵνα ἀναγκαία γένηται τῆς γυναικὸς ἡ χρεία. Εἰ γὰρ ἐν ἀμφοτέροις ἐποίησε τὸν ἄνδρα ἐπιτήδειον εἶναι, εὐκαταφρόνητον ἂν τὸ τῶν γυναικῶν ἐγένετο γένος· πάλιν, εἰ τὸ μεῖζον καὶ χρησιμώτερον ἐπέτρεψε τῇ γυναικὶ, πολλῆς ἂν ἐνέπλησε τὰς γυναῖκας τῆς ἀπονοίας. Διὰ τοῦτο οὔτε ἀμφότερα ἑνὶ ἔδωκεν, ἵνα μὴ τὸ ἕτερον ἐλαττωθῇ γένος, καὶ περιττὸν εἶναι δοκῇ· οὔτε ἐξίσης ἀμφότερα ἑκατέρῳ διένειμεν, ἵνα μὴ πάλιν ἐκ τῆς ἰσοτιμίας μάχη τις γένηται καὶ φιλονεικία, τῆς αὐτῆς προεδρίας τοῖς ἀνδράσι φιλονεικουσῶν ἀξιοῦσθαι τῶν γυναικῶν· ἀλλ' ὁμοῦ καὶ τῆς εἰρήνης προνοῶν, καὶ τὴν πρέπουσαν ἑκάστῳ τάξιν διατηρῶν, εἰς δύο ταῦτα διελὼν ἡμῶν τὴν ζωὴν, τὸ μὲν ἀναγκαιότερον καὶ χρησιμώτερον τῷ ἀνδρὶ, τὸ δὲ ἔλαττον καὶ καταδεέστερον ἔδωκε τῇ γυναικί· ἵν' ὁ μὲν διὰ τὸ ἀναγκαῖον τῆς χρείας περισπούδαστος ἡμῖν ᾖ, ἡ δὲ διὰ τὸ καταδεέστερον τῆς διακονίας μὴ κατεξανιστᾶται τοῦ συνοικοῦντος.

Ταῦτ' οὖν ἅπαντες εἰδότες, ἓν μόνον ζητῶμεν, ψυχῆς ἀρετὴν καὶ εὐγένειαν τρόπων, ἵνα εἰρήνης ἀπολαύωμεν, ἵνα ἐντρυφῶμεν ἐν ὁμονοίᾳ καὶ ἀγάπῃ διηνεκεῖ. Ὁ μὲν γὰρ εὔπορον λαβὼν γυναῖκα, δέσποιναν μᾶλλον ἔλαβεν ἢ γυναῖκα. Εἰ γὰρ, καὶ χωρὶς τούτου, φρονήματός εἰσιν αἱ γυναῖκες ἐμπεπλησμέναι, καὶ πρὸς δόξης ἔρωτα εὐέμπτωτοι, ἂν καὶ ταύτην προσλάβωσι τὴν προσθήκην, πῶς ἔσονται [218] φορηταὶ τοῖς συνοικοῦσιν αὐταῖς; Ὁ δὲ ὁμότιμον ἢ πενεστέραν λαβὼν γυναῖκα, βοηθὸν καὶ σύμμαχον ἔλαβε, καὶ πάντα εἰς τὴν οἰκίαν εἰσήγαγε τὰ ἀγαθά. Ἡ γὰρ τῆς πενίας ἀνάγκη θεραπεύειν αὐτὴν μετὰ πολλῆς τῆς ἐπιμελείας ἀναπείθει τὸν ἄνδρα, καὶ πάντα εἴκειν καὶ πείθεσθαι, καὶ ἔριδος μὲν, καὶ μάχης, καὶ ἀπονοίας, καὶ ὕβρεως πᾶσαν ἀναιρεῖ πρόφασιν· εἰρήνης δὲ, καὶ ὁμονοίας, καὶ ἀγάπης, καὶ συμφωνίας γίνεται σύνδεσμος. Μὴ τοίνυν τοῦτο ζητῶμεν ὅπως χρήματα ἔχωμεν, ἀλλ' ὅπως εἰρήνην, ὅπως ἡδονῆς ἀπολαύωμεν· διὰ τοῦτο γάμος, οὐχ ἵνα πολέμου καὶ μάχης τὰς οἰκίας ἐμπιπλῶμεν, οὐχ ἵνα ἔριδος καὶ φιλονεικίας ἔχωμεν, οὐχ ἵνα πρὸς ἀλλήλους διαστασιάζωμεν, καὶ ἀβίωτον τὸν βίον ποιῶμεν, ἀλλὰ ἵνα βοηθείας ἀπολαύωμεν, καὶ λιμένα ἔχωμεν καὶ καταφυγὴν, καὶ παραμυθίαν τῶν ἐπικειμένων κακῶν, ἵνα μεθ' ἡδονῆς τῇ γυναικὶ διαλεγώμεθα. Πόσοι πλουτοῦντες, γυναῖκας λαβόντες εὐπόρους, τὴν οὐσίαν αὐξήσαντες, τὴν ἡδονὴν καὶ τὴν ὁμόνοιαν κατέλυσαν, καθημερινὰς μάχας ἐπὶ τῆς τραπέζης ποιούμενοι, φιλονεικίας ἔχοντες; πόσοι πένητες πενεστέρας λαβόντες, εἰρήνης ἀπολαύουσι, καὶ μετ' εὐφροσύνης πολλῆς τὸν ἥλιον τοῦτον βλέπουσιν οἱ δὲ εὔποροι, πανταχόθεν αὐτοῖς περικειμένης τρυφῆς, διὰ τὰς γυναῖκας ἠύξαντο πολλάκις ἀποθανεῖν, καὶ τῆς παρούσης ἀπαλλαγῆναι ζωῆς; οὕτως οὐδὲν χρημάτων ὄφελος, ὅταν ψυχῆς μὴ ἐπιτυγχάνωμεν ἀγαθῆς. Καὶ τί χρὴ λέγειν περὶ εἰρήνης καὶ ὁμονοίας; Καὶ γὰρ εἰς αὐτὴν τῶν χρημάτων τὴν κτῆσιν πολλάκις τὸ πλουσιωτέραν λαβεῖν ἡμᾶς παρέβλαψεν. Ὅταν γὰρ εἰς τὸν τῆς προικὸς λόγον ἅπασαν τὴν περιουσίαν ἐπιδοὺς, εἶτα ἀώρου συμβάντος θανάτου, καταβαλεῖν παρὰ τῶν κηδεστῶν ἀναγκάζηται τὴν προῖκα ἅπασαν· καθάπερ οἱ ναυάγιον ὑπομένοντες ἐπὶ τῆς θαλάσσης τὸ σῶμα διασώζουσι μόνον, οὕτω δὴ καὶ οὗτος, μετὰ πολλὰς φιλονεικίας, καὶ μάχας, καὶ ὕβρεις, καὶ δικαστήρια, μόλις τὸ σῶμα ἐλεύθερον ἔχων ἐξέρχεται. Καὶ καθάπερ οἱ τῶν ἐμπόρων ἅπλητοι, μυρίων τὴν ναῦν πλήσαντες φορτίων, καὶ πλέον τῆς δυνάμεως τὸν ὄγκον ἐπιθέντες, κατέδυσαν τὸ σκάφος, καὶ πάντα ἀπώλεσαν· οὕτω δὴ καὶ οὗτοι τοὺς ὑπερόγκους ἀγόμενοι γάμους, μείζονα πολλάκις ὄζαντες περιβαλέσθαι οὐσίαν διὰ τῆς γυναικὸς, καὶ τῆς οὔσης ἐξέπεσον· καὶ ὥσπερ ἐκεῖ κύματος ἐμβολὴ βραχεῖα ἐμπεσοῦσα βαπτίζει τὸ σκάφος, οὕτω καὶ ἐνταῦθα θάνατος ἄωρος προσπεσὼν μετὰ τῆς γυναικὸς καὶ πάντα τὰ ὄντα αὐτοῦ ἀφείλετο.

ε'. Ταῦτ' οὖν ἅπαντα ἐννοοῦντες, μὴ χρήματα περισκοπῶμεν, ἀλλὰ τρόπων ἐπιείκειαν, καὶ σεμνότητα καὶ σωφροσύνην. Γυνὴ γὰρ σώφρων, καὶ ἐπιεικὴς καὶ μετρία, κἂν πένης ᾖ, τὴν πενίαν πλούτου βέλτιον διαθεῖναι δυνήσεται· ὥσπερ ἡ διεφθαρμένη, καὶ ἀκόλαστος, κοὶ φίλερις, κἂν μυρίους εὕρῃ θησαυροὺς ἔνδον κειμένους, ἀνέμου παντὸς τάχιον αὐτοὺς ἐκφυσήσασα, καὶ συμφοραῖς μυρίαις μετὰ τῆς πενίας περιβάλλει τὸν ἄνδρα. Μὴ τοίνυν πλοῦτον ζητῶμεν, ἀλλὰ τὴν χρησομένην καλῶς τοῖς οὖσι.

Πρότερον μάθε, τίς ἡ τοῦ γάμου αἰτία, καὶ τίνος ἕνεκεν εἰς τὸν βίον εἰσενήνεκται τὸν [219] ἡμέτερον, καὶ μηδὲν πλέον ἀπαίτει. Τίς οὖν ἡ τοῦ γάμου πρόφασις, καὶ τίνος ἕνεκεν ἔδωκεν αὐτὸν ὁ Θεός; Ἄκουσον τοῦ Παύλου λέγοντος· *Διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω* Οὐκ εἶπε, Διὰ δὲ τὴν τῆς πενίας ἀπαλλαγὴν, ἢ Διὰ τὴν τῆς εὐπορίας κτῆσιν· ἀλλὰ τί; Ἵνα πορνείας φύγωμεν, ἵνα τὴν ἐπιθυμίαν καταστείλωμεν, ἵνα σωφροσύνῃ συζήσωμεν, ἵνα εὐαρεστήσωμεν Θεῷ, τῇ οἰκείᾳ ἀρκούμενοι γαμετῇ. Τοῦτο τοῦ γάμου τὸ δῶρον, οὗτος ὁ καρπὸς, τοῦτο τὸ κέρδος. Μὴ τοίνυν τὰ μείζονα ἀφεὶς, τὰ ἐλάττονα ζήτει· πολὺ γὰρ σωφροσύνης ἐλάττων ὁ πλοῦτος. Δι' ἓν γὰρ τοῦτο μόνον χρὴ λαμβάνειν γυναῖκα, ἵνα τὴν ἁμαρτίαν φύγωμεν, ἵνα πορνείας ἁπάσης ἀπαλλαγῶμεν· πρὸς τοῦτο χρὴ τὸν γάμον καθίστασθαι πάντα, ἵνα εἰς σωφροσύνην ἡμῖν συμπράττῃ· ἔσται δὲ τοῦτο, ἐὰν τοιαύτας ἀγώμεθα νύμφας, αἳ πολλὴν μὲν εὐλάβειαν, πολλὴν δὲ σωφροσύνην, πολλὴν δὲ ἐπιείκειαν ἡμῖν εἰσαγαγεῖν δύνανται. Ἡ μὲν γὰρ τοῦ σώματος εὐμορφία, ὅταν μὴ συνεζευγμένην ἔχῃ τὴν τῆς ψυχῆς ἀρετὴν, καὶ εἴκοσι καὶ τριάκοντα ἡμέρας δυνήσεται τὸν ἄνδρα ἑλεῖν, περαιτέρω δὲ οὐ προβήσεται, ἀλλὰ δείξασα τὴν κακίαν, ἅπαν καταλύσει τὸ φίλτρον· αἱ δὲ τῷ κάλλει

τῆς ψυχῆς καταλάμπουσαι, ὅσῳπερ ἂν ὁ χρόνος προΐῃ, καὶ πεῖραν τῆς οἰκείας εὐγενείας παρέχωσι, τοσούτῳ μάλιστα θερμότερον τοῖς οἰκείοις ἀνδράσι ποιοῦσι τὸν ἔρωτα, καὶ τὴν πρὸς αὐτὸν ἐξάπτουσιν ἀγάπην. Τούτου δὲ ὄντος, καὶ φιλίας μεταξὺ κειμένης θερμῆς καὶ γνησίας, ἅπαν ἐλαύνεται πορνείας εἶδος, καὶ οὐδὲ ἔννοιά τις ἀκολασίας τῷ φιλοῦντι τὴν ἑαυτοῦ γυναῖκά ποτε ἐμπεσεῖται, ἀλλὰ μένει διηνεκῶς τὴν ἑαυτοῦ στέργων καὶ διὰ τῆς σωφροσύνης τὸν Θεὸν ἐπισπώμενος εἰς τὴν τῆς οἰκίας ἁπάσης εὔνοιάν τε καὶ προστασίαν. Οὕτως ἐλάμβανον οἱ γενναῖοι τῶν παλαιῶν ἀνδρῶν γυναῖκας, ψυχῆς εὐγένειαν ἐπιζητοῦντες, καὶ οὐχ εὐπορίαν χρημάτων. Καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, παραδείγματος ἕνεκεν, ἑνὸς ἐπιμνησθήσομαι γάμου· *Καὶ Ἀβραὰμ πρεσβύτερος ἦν καὶ προβεβηκὼς ἡμερῶν*, φησὶ, *καὶ εἶπε τῷ παιδὶ αὐτοῦ τῷ πρεσβυτέρῳ τῆς οἰκίας αὐτοῦ, τῷ ἄρχοντι τῶν αὐτοῦ πάντων· Θὲς τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν μου, καὶ ἐξορκιῶ σε Κύριον τὸν Θεὸν τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ἵνα μὴ λάβῃς γυναῖκα τῷ υἱῷ μου Ἰσαὰκ ἀπὸ τῶν θυγατέρων τῶν Χαναναίων, μεθ' ὧν ἐγὼ οἰκῶ μετ' αὐτῶν, ἀλλ' εἰς τὴν γῆν μου οὗ ἐγεννήθην, πορεύσῃ, καὶ εἰς τὴν φυλήν μου, καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου ἐκεῖθεν.* Εἶδες τοῦ δικαίου τὴν ἀρετὴν, πόσην ὑπὲρ γάμου πρόνοιαν ἐποιήσατο; Οὐ γὰρ δὴ μαστρωποὺς καλέσας γυναῖκας, καθάπερ οἱ νῦν, οὐδὲ προμνηστρίας, οὐδὲ γραΐδια μυθεύοντα, ἀλλὰ τὸν οἰκέτην τὸν ἑαυτοῦ, τούτῳ τὸ πρᾶγμα ἐνεχείρισεν· ὃ καὶ αὐτὸ τῆς εὐλαβείας τοῦ πατριάρχου μέγιστόν ἐστι σημεῖον, ὅτι τοιοῦτον κατεσκεύασε τὸν οἰκέτην, ὡς καὶ τοιούτου πράγματος νομίσαι ἀξιόπιστον εἶναι διάκονον. Εἶτα γυναῖκα ζητεῖ, οὐκ εὔπορον, οὐδὲ εὔμορφον, ἀλλ' εὐγενῆ τοῖς τρόποις, καὶ διὰ τοῦτο τοσαύτην ὁδὸν ἀποδημίας προπέμπει. Ὅρα δὲ καὶ τοῦ οἰκέτου τὴν εὐγνωμοσύνην· οὐδὲ γὰρ εἶπε, Τί ποτε τοῦτό ἐστιν; ἔθνη τοσαῦτα πλησίον [220] ἡμῶν, εὐπόρων ἀνδρῶν θυγατέρες τοσαῦται, ἐπισήμων καὶ περιφανῶν· σὺ δὲ εἰς μακρὰν οὕτω πέμπεις γῆν, πρὸς ἀνθρώπους ἀγνῶτας· τίνι διαλέξομαι; τίς με εἴσεται; τί δὲ, ἂν δόλον μοι ῥάψωσιν, ἂν ἀπάτην ἐργάσωνται; οὐδὲν γὰρ οὕτως εὐεπιχείρητον, ὡς ξένος. Οὐδὲν τούτων εἶπεν, ἀλλὰ ταῦτα ἅπαντα παριδών, ἃ μάλιστά ἐστιν ὑπιδέσθαι, τοῦτο ὑπείδετο, ἀπὸ μὲν τοῦ μηδὲν ἐκείνῳ ἀντιπεῖν τὴν ὑπακοὴν ἐπιδεικνύμενος, ἀπὸ δὲ τοῦ μόνον ἐκεῖνο ἐρέσθαι, ὃ μάλιστα πάντων ζητῆσαι ἔδει, τὴν σύνεσιν τὴν αὐτοῦ καὶ πρόνοιαν δηλῶν. Τί ποτ' οὖν ἐστι τοῦτο; καὶ τί τὸν δεσπότην ἤρετο τὸν ἑαυτοῦ; *Ἐὰν δὲ μὴ βουληθῇ*, φησὶν, *ἡ γυνὴ πορευθῆναι μετ' ἐμοῦ, ἀποστρέψω τὸν υἱόν σου εἰς τὴν γῆν, ὅθεν ἐξῆλθες;* Εἶτα ὁ Ἀβραάμ· *Μὴ ἀποστρέψῃς*[a] *τὸν υἱόν μου ἐκεῖ. Κύριος ὁ Θεὸς τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὃς ἔλαβέ με ἐκ τοῦ οἴκου τοῦ πατρός μου, καὶ ἐκ τῆς γῆς, ἧς ἐγεννήθην, ὃς ἐλάλησέ μοι καὶ ὤμοσέ μοι λέγων· Σοὶ δώσω τὴν γην ταύτην καὶ τῷ σπέρματί σου, αὐτὸς ἀποστελεῖ τὸν ἄγγελον αὐτοῦ ἔμπροσθέν σου, καὶ κατευοδώσει τὴν ὁδόν σου.* Ὁρᾷς πίστιν ἀνδρός; Οὐ παρεκάλεσε φίλους, ἢ συγγενεῖς, οὐκ ἄλλον οὐδένα, ἀλλὰ τὸν Θεὸν ἔδωκεν αὐτῷ μεσίτην καὶ συνοδοιπόρον. Εἶτα βουλόμενος παραθαρσῦναι τὸν οἰκέτην, οὐχ ἁπλῶς εἶπε, Κύριος ὁ Θεὸς τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ἀλλὰ προστίθησιν, Ὃς ἔλαβέ με ἐκ τοῦ οἴκου τοῦ πατρός μου. Ἀναμνήσθητι, φησὶ, πῶς τοσαύτην ἤλθομεν ἀποδημίαν, πῶς τὴν οἰκείαν ἀφέντες ἐπὶ τῆς ἀλλοτρίας πλείονος ἀπελαύσαμεν εὐημερίας, πῶς τὰ ἀδύνατα γέγονε δυνατά. Οὐ τοῦτο δὲ μόνον βουλόμενος δηλῶσαι ἔλεγεν, *Ὃς ἔλαβέ με ἐκ τοῦ οἴκου τοῦ πατρός μου*, ἀλλ' ὅτι καὶ ὀφειλέτην ἔχει τὸν Θεόν. Χρεώστης, φησὶν, ἡμῖν ἐστιν· αὐτὸς εἶπε, Σοὶ δώσω τὴν γῆν ταύτην καὶ τῷ σπέρματί σου. Ὥστε εἰ καὶ ἡμεῖς ἀνάξιοι, διά γοῦν τὴν ὑπόσχεσιν αὐτὸς τὴν ἑαυτοῦ, καὶ ἵνα αὐτὴν εἰς τέλος ἀγάγῃ, συμπαρέσται, καὶ ἐξευμαριεῖ τὰ προκείμενα ἅπαντα, καὶ τέλος ἐπιθήσει τούτου οὗπερ εὐχόμεθα. Ταῦτα εἰπὼν ἔπεμψε τὸν παῖδα.

Εἶτα ἐλθὼν ἐκεῖνος εἰς τὴν χώραν ἐκείνην, οὐ προσῆλθέ τινι τῶν τὴν πόλιν οἰκούντων, οὐ διελέχθη ἀνθρώποις, οὐκ ἐκάλεσε γυναῖκας· ἀλλ' ὅρα πῶς καὶ ἐκεῖνος πιστὸς ὢν, τὸν μεσίτην, ὃν ἔλαβεν, αὐτὸν κατεῖχεν, αὐτῷ διελέγετο μόνῳ, καὶ στὰς ηὔξατο, φησὶ, *Καὶ εἶπε, Κύριε ὁ Θεὸς τοῦ κυρίου μου Ἀβραὰμ, εὐόδωσον ἐναντίον μου σήμερον·* καὶ οὐκ εἶπε, Κύριε ὁ Θεός μου, ἀλλὰ τί; *Κύριε ὁ Θεὸς τοῦ κυρίου μου Ἀβραάμ.* Εἰ καὶ ἐγὼ εὐτελὴς καὶ ἀπερρίμμένος, φησὶν, ἀλλὰ τὸν δεσπότην προβάλλομαι τὸν ἐμόν· οὐ γὰρ ἐμαυτῷ, ἀλλ' ἐκείνῳ διακονῶν ἥκω· ἐκείνου τοίνυν αἰδεσθεὶς τὴν ἀρετὴν, συγκατάπραξόν μοι τὸ προκείμενον ἅπαν.

ς'. Εἶτα ἵνα μὴ νομίσῃς ὅτι ὡς χρέος ἀπαιτεῖ, ἄκουσον καὶ τῶν ἑξῆς· *Καὶ ποίησον ἔλεος μετὰ τοῦ κυρίου μου Ἀβραάμ.* Κἂν μυρία ὦμεν, φησὶ, κατωρθωκότες, ἀξιοῦμεν χάριτι σωθῆναι, καὶ ἀπὸ φιλανθρωπίας τοῦτο λαβεῖν, οὐκ ἐξ ὀφειλῆς τινος καὶ χρέους. Τί τοίνυν βούλει· *Ἰδοὺ ἕστηκα*, φησὶν, *ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος· αἱ δὲ θυγατέρες τῶν οἰκούντων τὴν πόλιν* [221] *ἐκπορεύονται ἀντλῆσαι ὕδωρ· καὶ ἔσται ἡ παρθένος, ᾗ ἂν ἐγὼ εἴπω, Ἐπίκλινόν μοι τὴν ὑδρίαν σου, ἵνα πίω, καὶ εἴπῃ, Πίε καὶ σὺ, καὶ τὰς καμήλους σου ποτιῶ, ἕως ἂν παύσωνται πᾶσαι πίνουσαι, ταύτην ἡτοίμασας τῷ παιδί σου Ἰσαάκ, καὶ ἐν τούτῳ γνώσομαι ὅτι ἐποίησας ἔλεος τῷ κυρίῳ μου Ἀβραάμ.* Ὅρα σοφίαν οἰκέτου, οἷον τίθησι σημεῖον. Οὐκ εἶπεν, Ἐάν τινα ἴδω ἐπὶ ἡμιόνων φερομένην, ἐπὶ ὀχήματος ὀχουμένην, εὐνούχων δὲ ἐσμὸν ἐπισυρομένην, πολλὴν ἔχουσαν θεραπείαν, εὔμορφον καὶ ἀπολάμπουσαν κατὰ τὴν τοῦ σώματος ὥραν, ταύτην ἡτοίμασας τῷ παιδί σου· ἀλλὰ τί; Ἢ ἂν ἐγὼ εἶπω· *Ἐπίκλινόν μοι τὴν ὑδρίαν σου, ἵνα πίω.* Τί ποιεῖς, ἄνθρωπε; οὕτως εὐτελῆ γυναῖκα τῷ δεσπότῃ σου ζητεῖς, ὑδροφοροῦσαν, καί σοι διαλεχθῆναι δυναμένην; Ναὶ, φησὶν· οὐ γὰρ ἔπεμψέ με χρημάτων εὐπορίαν, οὐδὲ γένους λαμπρότητα, ἀλλὰ ψυχῆς εὐγένειαν ἐπιζητήσοντα. Πολλαὶ πολλάκις τῶν ὑδροφορουσῶν τούτων ὁλόκληρον ἔχουσιν ἀρετὴν, ἄλλαι δὲ ἐν οἴκοις λαμπροῖς καθήμεναι, πάντων εἰσὶ χείρους καὶ φαυλότεραι. Εἶτα καὶ πόθεν τοῦτο, ὅτι ἐνάρετός ἐστιν ἡ γυνή; Ἀπὸ τοῦ σημείου, φησὶν, οὗ εἶπε. Καὶ ποῖον τοῦτο τὸ σημεῖον ἀρετῆς; Μέγιστον καὶ ἀναμφισβήτητον. Φιλοξενίας γὰρ τοῦτο μέγα σημεῖόν ἐστιν, ὥστε πᾶσαν παρασχεῖν ἀπόδειξιν. Ἆρ' οὖν τοίνυν λέγει τοιοῦτόν ἐστιν, εἰ καὶ μὴ ταῦτα φθέγγεται τὰ ῥήματα· Ἐκείνην ζητῶ τὴν παρθένον, ἥτις οὕτω φιλόξενός ἐστιν, ὡς πᾶσαν παρασχεῖν ἐν οἷς ἂν δύνηται θεραπείαν. Καὶ οὐχ ἁπλῶς τοῦτο ἐζήτει· ἀλλ' ἐπειδὴ τοιαύτης οἰκίας ἦν, ἐν ᾗ μάλιστα τὰ τῆς φιλοξενίας ἤνθει κατορθώματα, τοῦτο πρὸ τῶν ἄλλων ἐζήτησεν, ὁμότροπον τοῖς ἑαυτοῦ δεσπόταις λαβεῖν. Εἰς οἰκίαν αὐτὴν μέλλομεν, φησὶν εἰσαγαγεῖν, ξένοις

[a] Duo mss. ἀποστρέψεις.

litia ; at quæ animi pollent pulchritudine, quo magis temporis processu generositatem suam approbant, tanto acriori flamma urunt maritorum pectora. Hoc pacto ubi fervida et germana innascitur benevolentia, omne stupri genus exsulat, et sic amanti uxorem ne in mentem quidem venit voluptas nisi legitima, immanenti amoribus propriis, et per pudicitiam captanti favorem cælestis numinis, cujus auspiciis et benevolentia inter conjuges sit perpetua, et ejus ope administretur res domestica. Sic uxores sibi quærebant prisci illi virtute nobiles, præclaram animi indolem in eis spectantes, non pecuniarum copiam, quod ita esse ut dixi uno exemplo indicabitur. *Abrahamus jam senior provectæque ætatis dixit servo majori domus suæ, qui præerat ejus omnibus facultatibus, Pone manum tuam subter femur meum, ut adjurem te per Dominum Deum cæli et terræ, ut non accipias uxorem filio meo Isaac de filiabus Chananæorum, inter quos habito, sed ad terram meam ubi natus sum, et ad cognationem meam proficiscaris, et inde uxorem filio meo capias* (Gen. 24. 1-4). Viden' justi hujus virtutem, quanta cura nuptiis prospexerit? Non enim adhibuit perductrices mulierculas, ut nunc fit, neque pronubas aut anus garrulas, sed famulo suo commisit hoc negotium : quod ipsum magnum pietatis patriarchæ argumentum est, quod tam bene instituit famulum, ut dignus fieret, cui crederetur tale ministerium. Deinde mulierem quærit non formosam aut divitem, sed generosis moribus præditam : et hac de causa hominem jubet tam longinquam peregrinationem suscipere. Nunc contemplare et famuli mentem egregiam : non enim dixit : Quid hoc rei est? tot sunt propinquæ gentes, tot in eis filiæ nobilium et illustrium, simulque præclivitum; et tu me mittis in terram tam longe dissitam, ad ignotos homines : quem illic compellabo? quis me agnoscet? quid si insidias mihi struant? quid si conentur decipere? nihil enim hospite magis injuriis expositum. Nihil tale dixit : sed missis talibus cogitationibus, quod maxime suspectum esse poterat, suspicatus est, sine contradictione obediens, necessaria tamen interrogatione declarans suam prudentiam. Quid igitur est quod interrogavit dominum? *Si noluerit*, inquit, *mulier venire mecum, numquid reducere debeo filium tuum ad regionem ex qua egressus es* (*Gen.* 24. 5)? Respondit Abrahamus : *Cave nequando reducas filium meum illuc. Dominus Deus cæli et terræ, qui tulit me de domo patris mei, et de terra nativitatis meæ, qui loquutus est mihi et juravit, dicens, Tibi dabo terram hanc et semini tuo, ipse mittet angelum suum coram te, qui iter tuum prosperum faciet* (*Ib. v.* 6. 7). Viden' viri fidem? Non advocavit amicos, aut cognatos, non alium quemquam, sed Deum adjunxit ei sequestrum et comitem : et quo magis animum adderet famulo, non simpliciter dixit : *Dominus Deus cæli et terræ :* sed subjunxit. *Qui sumpsit me e domo patris mei.* Recordare, inquit, quomodo tantam peregrinationem suscepimus, quomodo relicto solo patrio majorem apud exteros felicitatem invenimus : quomodo quæ impossibilia videbantur, facta sunt possibilia. Nec hoc solum in mentem ei revocans dixit, *Qui sumpsit me e domo patris mei*, sed etiam quod debitorem Deum habeat. Obligavit se nobis, inquit; ipse pollicitus est terram hanc mihi se daturum et meo semini. Quapropter etiamsi nos indigni simus, certe ne promissio fiat irrita, nobis aderit, et cuncta quæ destinavimus reddet facilia, et ad effectum, qualem optamus, perducet. His dictis misit famulum.

Famuli Abrahæ laudatio. Hospitalitas bonorum causa: — Ille ubi pervenit illuc, non adiit ullum ex civibus, non alloquutus est homines, non compellavit mulieres : sed vide quam bona fide, quem acceperat sequestrum, retinuit, præter eum appellavit neminem; et stans oravit, *Et ait, Domine Deus domini mei Abrahami, sis mihi hodie præsens ac propitius* (*Gen.* 24. 12) : nec dixit, Domine Deus meus : sed quid? *Domine Deus domini mei Abrahami.* Etiamsi ego abjectus sim, inquit, et humilis, certe herum meum pro me allego : non enim mihi, sed illi ministraturus huc veni : illius igitur virtutis respectu conatus meos adjuva.

6. Deinde ne putes eum tamquam debitum repetere, audi quæ sequuntur : *Et fac misericordiam cum domino meo Abraham* (*Gen.* 24. 12). Etiamsi plurima exstarent, inquit, nostra merita, rogamus tamen ut tua nos serves gratia, totum ut beneficium acceptum ferentes, non ut debitum. Et quid tibi postulas? *Ecce ego sto*, inquit, *prope fontem aquæ, et filiæ habitatorum civitatis egredientur ad hauriendam aquam. Igitur puella cui dixero : Præbe hydriam tuam ut bibam, et illa responderit, Bibe, quin et camelis tuis dabo potum : ipsa est quam præparasti servo tuo Isaac, et per hoc cognoscam, quod feceris misericordiam cum hero meo Abraham* (*Gen.* 24. 13. 14). Vide sapientiam famuli, quale signum ponat. Non dixit, Si quam videro mulis carpentove invehi, eunuchorumque agmen post se trahere, et numerosum famulitium, puellam ætate ac forma florida, eam præparasti tuo famulo; sed quid? *Cui dixero : Præbe hydriam tuam, ut bibam.* Quid agis, bone vir? Adeone vilem hero tuo quæris conjugem, aquatum missam, et quæ te alloqui potest? Etiam, inquit : missus enim sum non pecuniosam aut nobilem, sed moribus ingenuis præditam quærere. Multæ sæpe ex istis quæ aquatum mittuntur, in solidum virtutem possident : aliæ contra in magnificis desidentes ædibus, ignavissimæ sunt et deterrimæ. Et qui scis hanc esse virtute præditam? E signo, inquit, quod dixi. Et quale hoc virtutis signum est? Indubitatum et maximum. Est enim hospitalitatis signum certissimum. Sic igitur, etsi non eisdem verbis, loquitur : Illam quæro virginem, quæ tam hospitalis est, ut nullum, quantum potest, recuset ministerium. Idque non temere quærit, sed quia in eis fuerat educatus ædibus, in quibus maxime colebatur hospitalitas : ante omnia mores quærit herorum suorum moribus consimiles, ducturus sponsam in ædes patentes hospitibus. Sic ergo cogitabat : ne qua rixa oriatur inter ipsam et conjugem, dum maritus sua benigne communicat, in hoc a patre

non degener, et hospites ultro invitans; hæc contra præ nimia parcimonia id vetat, et non sustinet, ut fit in plerisque domibus; jam nunc experiri volo quam hospitalis sit : quandoquidem hospitalitati omnem nostram felicitatem debemus. Per hanc sponsum ipsum herus consequutus est, per hanc pater factus est, vitulum mactavit, et accepit filiolum, farinam fermentavit, et quanta stellarum est, tantam multitudinem nepotum ei Deus est pollicitus. Quando igitur hinc omnia bona influxerunt in nostram familiam, hanc virtutem requiro ante omnia. Non hoc enim consideremus, quod homo aquam postulaverit, sed quod admodum hospitalis sit animi, non solum dare quod petitur, sed ultro offerre amplius. *Et accidit*, inquit, *ut priusquam is finem loquendi faceret, prodiret Rebecca ex oppido* (*Gen.* 24. 15). Prophetarum illud hic impletum est : *Adhuc loquente te dicam, Ecce adsum* (*Hes.* 58. 9). Tales sunt bonorum preces : ante finem earum sentiunt annuisse Deum propitium. Ergo tu quoque uxorem ducturus non confugias ad homines, aut ad mulieres quæstum facientes ex alienis infortuniis, et nihil aliud quærentes quam ut ipsæ operæ mercedem capiant : sed ad Deum confugito. Non gravabitur esse tuus pronubus. Ipsius est promissio : *Quærite regnum cælorum, et hæc omnia adjicientur vobis* (*Matth.* 6. 33). Ne dicas, quomodo Deum videre possum? qui possum habere cum eo colloquium, et interrogare cominus? Infidelis hæc verba sunt animæ. Potest enim Deus et absque voce quidquid vult e vestigio conficere : quod hic quoque factum est. Nam et iste nec vocem ullam audivit, nec visionem vidit, sed ad fontem stans ac precatus, confestim voti compos factus est. *Accidit*, inquit, *ut priusquam finem loquendi faceret, Rebecca prodiret gestans aqualem in humeris, filia Bathuelis e Melcha progeniti, virgo valde formosa, virgo et viro incognita* (*Gen.* 24. 15. 16). Quid mihi narras pulchritudinem corporis? Ut discas insignem ejus pudicitiam, ut discas animi pulchritudinem. Suspicienda namque res est ipsa pudicitia, sed magis etiam si conjuncta sit cum egregia specie. Hinc est quod de Joseph nobis narraturus ejusque temperantia, præfatus est de illius eximia pulchritudine corporis, dicens formosum fuisse, aspectuque gratum et in ipso flore pulchritudinis, atque ita demum subjunxit de juvenis temperantia, docens quod formæ decore non sit usus ad lasciviam (*Gen.* 39. 6). Haudquaquam enim pulchritudo scortationis causa semper est, sicut nec deformitas continentiæ. Multæ enim illustres insigni specie corporis illustriores factæ sunt per pudicitiam : aliæ facie turpes turpiorem animam stupris sordidaverunt innumeris. Utrobique causa est propositum animi, non natura corporis.

7. *Cur bis appellet virginem Rebeccam.* — Nec temere eam bis appellat virginem. Cum enim jam dixisset, *Virgo erat*, subjunxit : *Virgo erat, et viro incognita.* Quoniam enim multæ virgines corpus incorruptum servantes, animam habent plenam intemperantia, hucisque turbam amatorum attrahunt, et inescantes oculos juvenum in insidias eos trahunt, atque ad barathra pelliciunt, ostendens Moses quod hæc non talis, sed tam animo quam corpore virgo fuerit, dixit, *Virgo erat, et viro incognita.* Tametsi multas habebat occasiones, per quas a viris cognosceretur : primum corporis pulchritudinem; deinde modum ministerii, quo perfungi est solita. Si enim in thalamo desedisset perpetuo, sicut nostri temporis virgines, nec forum adiisset, nec exisset paternam domum, nulla esset laus, si diceretur viro incognita. Cum autem videas eam forum petere, quotidieque cogi aquatum ire semel, bis aut sæpius, atque ita manere viro incognitam, ea vero laus est non minima. Cum enim nonnumquam accidat, ut raro forum petens virgo, nec formosa, et comitata ancillis aliquot, amittat morum puritatem in ejusmodi evagationibus : hæc quæ quotidie sola prodit e paternis ædibus, idque non in forum tantum, sed aquatum ad fontem, quo et alios multos convenire est necesse, an non magna admiratione digna est? quippe cujus probitati neque crebri e domo exitus, neque egregia vultus forma, neque frequentes juvenum occursus, neque aliud quidquam, detrimentum ullum afferat, dum tam animo quam corpore servat pudicitiam diligentius, quam quæ numquam e gynæceo se proferunt, plane talis qualem Paulus requirit dicens, *Ut sit sancta corpore et spiritu* (1. *Cor.* 7. 34)? *Cum igitur ad fontem descendisset, jamque repleta hydria reverteretur, occurrens ei servus ait : Præbe mihi pauxillum potus de tua hydria. Quæ respondit, Bibe, domine; celeriterque deposuit hydriam super ulnam suam, et præbuit ei donec desineret bibere. Moxque ait, Etiam camelis tuis hauriam, donec omnes bibant. Festinansque effusa aqua in alveum unde potum sumerent, accurrit ad puteum, ut hauriret aquam camelis omnibus* (*Gen.* 24. 16-20).

Hospitalitas et modestia Rebeccæ. Non ex sumptu æstimanda hospitalitas. — Magna hospitalitas feminæ, magna modestia, ut ex ipsius tam dictis quam factis est conspicuum. Viden' quomodo nec modestiæ hospitalitas obfuit, nec hospitalitati modestia? Quod enim non prior occurrit, nec appellavit virum, hoc fuit modestiæ : rursum quod ad postulata non renuit, neque negavit se facturam, hoc magnæ hospitalitatis ac humanitatis fuit officium. Ut enim impudenter fecisset, si prior occurrisset, et ultro appellasset hominem : ita inhumanum erat et barbarum, si rogantis verba repulisset. Nunc vero neutrum fecit : nec modestiæ studio hospitalitati defuit, nec hospitalitatis cura laudem verecundiæ sibi minuit, sed utramque virtutem integram obtinuit, declarando suam modestiam, dum rogari exspectat; miram vero hospitalitatem, dum rogata sine mora obsequitur. Etenim summæ hospitalitatis fuit, non modo quæ postulavit dedisse, sed etiam plusquam ille petiit exhibuisse. Nec refert quod aqua erat quæ offerebatur : tum enim hanc solam habuit. Hospitales autem non ex sumptu censendi sunt, sed ex facultatibus; quando Deus eum etiam laudat, qui dedit frigidæ poculum, et eam, quæ duos æreos minutos obtulit, ait contu-

ἀνεψγμένην· ἵνα μὴ πόλεμος ᾖ καὶ μάχη, τοῦ ἀνδρὸς προϊεμένου τὰ ὄντα, καὶ τὸν πατέρα μιμουμένου, καὶ τοὺς ξένους ὑποδεχομένου· ταύτης δὲ σμικρολογουμένης τε καὶ μὴ ἀνεχούσης, καὶ κωλυούσης, ὃ πολλάκις ἐν πολλαῖς οἰκίαις εἴωθε γίνεσθαι· ἐντεῦθεν ἤδη βούλομαι μαθεῖν εἰ φιλόξενός ἐστι· καὶ γὰρ ἐντεῦθεν ἡμῖν ἅπαντα γέγονε τὰ ἀγαθά. Οὕτω τὸν νυμφίον ἐκτήσατο ὁ δεσπότης ὁ ἐμός· οὕτω πατὴρ ἐγένετο, μόσχον ἔθυσε, καὶ παιδίον ἔλαβεν, ἅλευρα ἔφυρε, καὶ κατὰ τὸ πλῆθος τῶν ἄστρων τοὺς ἐκγόνους αὐτῷ ὑπέσχετο δώσειν ὁ Θεός. Ἐπεὶ οὖν ἐντεῦθεν ἡμῖν καὶ τῇ οἰκίᾳ ἅπαντα γέγονε τὰ ἀγαθά, τοῦτο πρὸ τῶν ἄλλων ἐπιζητῶ. Μὴ γὰρ τοῦτο ἴδωμεν, ὅτι ὕδωρ ἐπεζήτησεν, ἀλλ' ἐκεῖνο σκοπήσωμεν, ὅτι σφόδρα φιλοξένου ψυχῆς, μὴ μόνον δοῦναι τὸ αἰτηθὲν, ἀλλὰ καὶ πλέον ὧν ᾔτησε παρασχεῖν. *Καὶ ἐγένετο*, φησὶ, *πρὸ τοῦ συντελέσαι αὐτὸν λαλοῦντα, ἰδοὺ Ῥεβέκκα ἐξεπορεύετο*, καὶ τὸ προφητικὸν ἐκεῖνο ἐπληροῦτο· *Ἔτι λαλοῦντός σου ἐρῶ, Ἰδοὺ πάρειμι*. Τοιαῦται τῶν γενναίων ἀνδρῶν αἱ εὐχαί· πρὸ τοῦ τέλους πείθουσι τὸν Θεὸν ἐπινεῦσαι τοῖς λεγομένοις. Καὶ σὺ τοίνυν, ἐπειδὰν μέλλῃς γυναῖκα ἄγεσθαι, μὴ πρὸς ἀνθρώπους καταφύγῃς, μηδὲ πρὸς γυναῖκας ἐμπορευομένας τὰς ἀλλοτρίας συμφορὰς, καὶ ζητούσας ἓν μόνον, [222] ὅπως αὗται μισθὸν λάβωσιν· ἀλλὰ κατάφυγε ἐπὶ τὸν Θεόν. Οὐκ ἐπαισχύνεταί σου γενέσθαι νυμφαγωγός. Αὐτὸς ὑπέσχετο καὶ εἶπε· *Ζητεῖτε τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν*. Καὶ μὴ λέγε, Πῶς δύναμαι τὸν Θεὸν ἰδεῖν; μὴ γὰρ ἀφεῖναί μοι φωνὴν ἔχει, καὶ διαλεχθῆναι φανερῶς, ἵνα προσελθὼν ἐρωτήσω; Ἀπίστου ταῦτα ψυχῆς. Καὶ γὰρ ὀξέως καὶ χωρὶς φωνῆς πάντα, ὅσα ἂν θέλῃ, δύναται κατασκευάζειν ὁ Θεός· ὃ δὴ καὶ ἐπὶ τούτου γέγονεν. Οὐδὲ γὰρ φωνὴν ἤκουσεν, οὐδὲ ὄψιν τινὰ εἶδεν· ἀλλ' ἐπὶ πηγῇ ἐστὼς ηὔξατο, καὶ ταχέως ἐπέτυχεν. Ἐγένετο *γὰρ πρὶν ἢ συντελέσαι λαλοῦντα αὐτὸν*, φησὶ, *Ῥεβέκκα ἐξεπορεύετο ἡ τεχθεῖσα Βαθουὴλ τῷ υἱῷ Μελχᾶς, ἔχουσα τὴν ὑδρίαν ἐπὶ τῶν ὤμων· ἡ δὲ παρθένος ἦν καλὴ τῇ ὄψει σφόδρα, παρθένος ἦν, ἀνὴρ οὐκ ἔγνω αὐτήν*. Τί μοι λέγεις τὴν εὐμορφίαν τοῦ σώματος; Ἵνα μάθῃς τὴν ὑπερβολὴν τῆς σωφροσύνης, ἵνα μάθῃς τὸ κάλλος τὸ ἐν τῇ ψυχῇ. Θαυμαστὸν μὲν γὰρ τὸ σωφρονεῖν· πολλῷ δὲ θαυμαστότερον, ὅταν μετ' εὐμορφίας τοῦτο γίνηται. Διὰ τοῦτο καὶ περὶ τοῦ Ἰωσὴφ μέλλων ἡμῖν διηγεῖσθαι καὶ τῆς ἐκείνου σωφροσύνης, πρότερον τὴν εὐμορφίαν τοῦ σώματος τέθεικεν, εἰπών· Καλὸς ἦν τῷ εἴδει, καὶ ὡραῖος τῇ ὄψει σφόδρα· καὶ τότε τὴν σωφροσύνην αὐτοῦ διηγήσατο δεικνὺς, ὅτι τὸ κάλλος αὐτὸν εἰς ἀσέλγειαν οὐ προήγαγεν. Οὔτε γὰρ τὸ κάλλος πορνείας αἴτιον, οὔτε ἡ ἀμορφία σωφροσύνης πάντως. Πολλαὶ γὰρ κατὰ τὴν ὥραν τοῦ σώματος λάμψασαι, μειζόνως κατὰ τὴν σωφροσύνην ἔλαμψαν· ἄλλαι πάλιν αἰσχραὶ καὶ δυσειδεῖς οὖσαι, αἰσχρότεραι κατὰ τὴν ψυχὴν ἐγένοντο, μυρίαις ῥυπωθεῖσαι πορνείαις. Οὐ γὰρ ἡ φύσις τοῦ σώματος, ἀλλ' ἡ προαίρεσις τῆς ψυχῆς καὶ τούτου καὶ ἐκείνου αἰτία.

ζ'. Οὐχ ἁπλῶς δὲ δεύτερον αὐτὴν παρθένον εἶπεν. Εἰπὼν γὰρ, *Παρθένος ἦν*, ἐπήγαγε· *Παρθένος ἦν, ἀνὴρ οὐκ ἔγνω αὐτήν*. Ἐπειδὴ γὰρ πολλαὶ παρθένων τὸ σῶμα ἀδιάφθορον τηροῦσαι, τὴν ψυχὴν πολλῆς ἀκολασίας πίπτουσι, καλλωπιζόμεναι, μυρίους πανταχόθεν ἐπισπώμεναι ἐραστὰς, καὶ τοὺς τῶν νέων ὀφθαλμοὺς ἀναπτεροῦσιν, ἐνέδρας τιθεῖσαι καὶ βάραθρα, δεικνὺς ὁ Μωϋσῆς ὅτι οὐκ αὐτὴ τοιαύτη, ἀλλ' ἑκατέρωθεν ἦν παρθένος, ἀπό τε σώματος, ἀπό τε ψυχῆς, φησὶ, *Παρθένος ἦν, ἀνὴρ οὐκ ἔγνω αὐτήν*. Καίτοι γε πολλὰς εἶχεν ἀφορμὰς τοῦ γνωρισθῆναι ἀνδράσι· πρῶτον μὲν, τὸ κάλλος τοῦ σώματος· δεύτερον δὲ, ὁ τῆς διακονίας τρόπος. Εἰ μὲν γὰρ ἐν θαλάμῳ διηνεκῶς ἐκάθητο, καθάπερ αἱ νῦν παρθένοι, καὶ μηδέποτε εἰς ἀγορὰν ἐνέβαλεν, μηδὲ ἐξῄει τὴν οἰκίαν τὴν πατρῴαν, οὐδὲν τοσοῦτον ἦν εἰς ἐγκώμιον λέγεσθαι περὶ αὐτῆς, ὅτι ἀνὴρ οὐκ ἔγνω αὐτήν. Ὅταν δὲ ἴδῃς αὐτὴν εἰς ἀγορὰν ἐξιοῦσαν, καθ' ἑκάστην ἡμέραν ὑδροφορεῖν ἀναγκαζομένην, καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις, εἶτα μηδενὶ γνώριμον οὖσαν ἀνδρὶ, τότε μάλιστα αὐτῆς δυνήσῃ κατιδεῖν τὸ ἐγκώμιον. Εἰ γὰρ ὀλιγάκις εἰς ἀγορὰν παραβάλλουσα παρθένος, καὶ δυσειδὴς οὖσα καὶ ἄμορφος, πολλῶν ἑπομένων θεραπαινίδων, ἀπὸ τῶν ἐξόδων τούτων διεφθάρη τὸ ἦθος πολλάκις· ἡ καθ' ἑκάστην ἡμέραν ἐκ τῆς πατρῴας οἰκίας ἐξιοῦσα μόνη, καὶ οὐκ εἰς ἀγορὰν ἁπλῶς, [223] ἀλλ' εἰς τὴν πηγὴν ἁπαντῶσα καὶ ὑδρευομένη, ἔνθα πολλοὺς καὶ ἑτέρους συνιέναι ἀνάγκη, πῶς οὐκ ἂν εἴη μυρίων ἀξία θαυμάτων, οὔτε ἀπὸ τῶν ἐξόδων τῶν συνεχῶν, οὔτε ἀπὸ τῆς κατὰ τὴν ὄψιν εὐμορφίας, οὔτε ἀπὸ τοῦ πλήθους τῶν παραγινομένων, οὔτε ἄλλοθεν οὐδαμόθεν διαφθαρεῖσα τὸ ἦθος, ἀλλὰ τὸ σῶμα καὶ τὴν ψυχὴν ἀδιάφθορος μείνασα, καὶ τὴν σωφροσύνην τῶν ἐν γυναικωνίτιδι καθημένων ἀκριβέστερον διατηρήσασα, καὶ τοιαύτη φανεῖσα, οἷαν ὁ Παῦλος ἐπιζητεῖ λέγων, *Ἵνα ᾖ ἁγία σώματι καὶ πνεύματι; Καταβᾶσα τοίνυν ἐπὶ τὴν πηγὴν ἔπλησε τὴν ὑδρίαν τοῦ ὕδατος, καὶ ἀνέβη· καὶ ἔδραμεν ὁ παῖς εἰς συνάντησιν αὐτῆς, καὶ εἶπε· Πότισόν με μικρὸν ἐκ τῆς ὑδρίας σου. Ἡ δὲ εἶπε· Πίε, κύριε· καὶ ἔσπευσε, καὶ καθεῖλε τὴν ὑδρίαν ἐπὶ τὸν βραχίονα αὐτῆς, καὶ ἐπότισεν αὐτὸν ἕως ἐπαύσατο πίνων· καὶ εἶπε· Καὶ ταῖς καμήλοις σου ὑδρεύσομαι, ἕως ἂν πᾶσαι πίωσι. Καὶ ἔσπευσε καὶ ἐξεκένωσε τὴν ὑδρίαν εἰς τὸ ποτιστήριον, καὶ ἔδραμεν ἐπὶ τὸ φρέαρ ἀντλῆσαι καὶ ὑδρεύσασθαι πάσαις ταῖς καμήλοις.*

Πολλὴ μὲν τῆς γυναικὸς ἡ φιλοξενία, πολλὴ δὲ ἡ σωφροσύνη, καὶ ἀμφότερα ταῦτα καὶ ἀφ' ὧν ἐποίησε, καὶ ἀφ' ὧν εἶπε, μάλιστα ἔστι καταμαθεῖν. Εἶδες πῶς οὔτε ἡ σωφροσύνη τὴν φιλοξενίαν ἐλυμήνατο, οὔτε ἡ φιλοξενία τὴν σωφροσύνην διέφθειρε; Τὸ μὲν γὰρ μὴ προτέραν ἐπιδραμεῖν, μηδὲ προσειπεῖν τὸν ἄνδρα, σωφροσύνης ἦν· τὸ δὲ αἰτηθεῖσαν μὴ ἀνανεῦσαι, μηδὲ ἀρνήσασθαι, φιλοξενίας καὶ φιλανθρωπίας πολλῆς. Ὥσπερ γὰρ εἰ προτέρα προσέδραμε, καὶ μηδὲν εἰπόντι διελέχθη, ἰταμότητος ἦν καὶ ἀναισχυντίας· οὕτως, εἰ παραχαλέσαντα διεκρούσατο, ὠμότητος ἦν καὶ ἀπανθρωπίας. Νῦν δὲ οὐδέτερον τούτων ἐποίησεν· οὔτε διὰ τὴν σωφροσύνην τὴν φιλοξενίαν ἐλυμήνατο, οὐδ' αὖ πάλιν διὰ τὴν φιλοξενίαν τὸ τῆς σωφροσύνης ἐγκώμιον ὑπετέμετο, ἀλλ' ὁλόκληρον ἑκατέραν ἐπεδείξατο τὴν ἀρετὴν, τῷ μὲν ἀναμεῖναι τὴν αἴτησιν τὴν σωφροσύνην ἐπιδεικνυμένη, τῷ δὲ παρασχεῖν μετὰ τὴν αἴτησιν τὴν φιλοξενίαν τὴν ἄφατον. Καὶ γὰρ ἀφάτου φιλοξενίας ἦν, τὸ μὴ μόνον ὅπερ ᾔτησε δοῦναι, ἀλλὰ καὶ πλέον τι παρασχεῖν τῶν αἰτηθέντων. Εἰ δὲ ὕδωρ ἦν τὸ διδόμενον, τούτου μυρία ἦν τότε. Τοὺς δὲ φιλοξένους οὐκ ἀπὸ τῆς πολυτελείας τῶν διδομένων, ἀλλ' ἀπὸ τῆς δυναμέως, ἧς παρέχουσι, κρίνειν εἰώθα-

* Hic loci verborum ordo ex Morelli editione restitutus, turbatus exstabat apud Montf. Edit.

σιν· ἐπεὶ καὶ τὸν ποτήριον δόντα ψυχροῦ ὁ Θεὸς ἐπῄνεσε, καὶ τὴν δύο λεπτὰ καταβαλοῦσαν πάντων πλέον καταβεβληκέναι ἔφη, ἐπειδὴ πάντα, ἅπερ εἶχε, τότε κατέβαλεν. Οὕτω καὶ αὕτη τούτοις τὸν γενναῖον ἐκεῖνον ἐξένισεν, ὧν οὐδὲν εἶχε πλέον αὐτῷ παρασχεῖν. Οὐχ ἁπλῶς δὲ πρόσκειται τὸ, Ἔσπευσε, καὶ ἔδραμε, καὶ ὅσα τοιαῦτα, ἀλλ' ἵνα μάθῃς τὴν προθυμίαν, μεθ' ἧς ἐποίει τὸ πρᾶγμα, οὐκ ἄκουσα, οὐδὲ ἀναγκαζομένη, οὐδὲ δυσχεραίνουσα, οὐδὲ ἀγανακτοῦσα. Καὶ ὅτι οὐ μικρὸν τοῦτό ἐστι, πολλάκις παριόντα τινὰ στῆναι μικρὸν ἠτήσαμεν δᾷδα κατέχοντα, ἵνα ἄψωμεν, ἢ ὕδωρ βαστάζοντα, ὥστε ἀποπιεῖν, καὶ οὐκ ἠνέσχετο, ἀλλ' ἐδυσχέρανεν· ἐκείνη δὲ οὐ μόνον ἀπέκλινεν αὐτῷ τὴν ὑδρίαν, ἀλλὰ καὶ ταῖς καμήλοις πάσαις ὑδρεύσατο, πόνον τοσοῦτον ἀνασχομένη, καὶ [224] τὴν ἀπὸ τοῦ σώματος λειτουργίαν εἰς τὴν φιλοξενίαν εἰσενεγκοῦσα μετὰ πολλῆς προσηνείας· οὐ γὰρ τὸ ποιῆσαι μόνον, ἀλλὰ καὶ τὸ προθύμως, δείκνυσιν αὐτῆς τὴν ἀρετήν· κύριον καλεῖ ἄνθρωπον ἀγνῶτα καὶ τότε φανέντα πρῶτον. Καὶ καθάπερ ὁ κηδεστὴς αὐτῆς Ἀβραὰμ οὐκ ἠρώτα τοὺς παριόντας, Τίνες τέ ἐστε, καὶ πόθεν; καὶ ποῦ πορεύεσθε; καὶ πόθεν ἥκατε; ἀλλ' ἁπλῶς τὴν φιλοξενίαν ἐκαρποῦτο· οὕτω καὶ αὕτη οὐκ εἶπε, Τίς εἶ, καὶ πόθεν, καὶ τίνος ἕνεκεν παραγέγονας; ἀλλὰ καρπωσαμένη τὴν εὐπορίαν τῆς φιλοξενίας, τὰ περιττὰ πάντα ἀφῆκε. Καὶ γὰρ οἱ μαργαρίτας ὠνούμενοι, καὶ χρυσίον λαμβάνοντες, ἓν τοῦτο ζητοῦσι μόνον, ὅπως κερδαίνοιεν ἀπὸ τῶν ἐχόντων τὰ χρήματα οὐχ ὅπως αὐτοὺς περιεργάσοιντο· καὶ αὕτη τοῦτο μόνον ζητεῖ, ὅπως δέξηται τὸν τῆς φιλοξενίας καρπὸν, ὅπως λάβοι τὸν μισθὸν ἀπηρτισμένον. Ἤδει τοῦτο σαφῶς, ὅτι ὁ ξένος μάλιστα πάντων αἰσχύνεται· διὰ τοῦτο δεῖται πολλῆς τῆς φιλοφροσύνης, καὶ ἀπεριεργάστου τῆς σωφροσύνης· ἂν τοίνυν μέλλωμεν αὐτὸν περιεργάζεσθαι καὶ πολυπραγμονεῖν, ὀκνεῖ καὶ ἀναδύεται, καὶ ἀηδῶς προσέρχεται. Διὰ τοῦτο οὐδὲ αὕτη τοῦτο ἐποίησεν ἐπὶ τούτου, οὐδὲ ἐπὶ τῶν ξένων ὁ κηδεστὴς ὁ ταύτης, ἵνα μὴ τὴν θήραν ἀποσοβήσῃ· ἀλλ' ἐθεράπευε τοὺς παριόντας μόνον, καὶ καρπούμενος δι' αὐτῶν ὅπερ ἐβούλετο, οὕτως αὐτοὺς ἐξέπεμπε.

ηʹ. Διὰ τοῦτο καὶ ἀγγέλους ποτὲ ὑπεδέξατο· ὡς εἴ γε περιειργάζετο, ἠλαττώθη ἂν αὐτῷ ὁ ἐπικείμενος μισθός. Καὶ γὰρ θαυμάζομεν αὐτὸν, οὐχ ὅτι ἀγγέλους ὑπεδέξατο, ἀλλ' ὅτι ἀγνοῶν ὑπεδέξατο. Εἰ μὲν γὰρ εἰδὼς ἐθεράπευσεν, οὐδὲν θαυμαστὸν ἐποίει, τῆς ἀξίας τῶν ὑποδεχθέντων καὶ τὸν σφόδρα λίθινον καὶ ἀπηνῆ καταναγκαζούσης φιλάνθρωπον γενέσθαι καὶ ἥμερον· τὸ δὲ θαυμαστὸν τοῦτο ἦν, ὅτι ὁδίτας τινὰς αὐτοὺς εἶναι νομίζων, τοσαύτην ἐπ' αὐτοῖς ἐπεδείξατο τὴν θεραπείαν. Τοσαύτη καὶ αὕτη ἦν· οὐκ οἶδεν τίς ἦν, οὐδὲ ἐπὶ τί παρεγένετο, οὐδὲ ὅτι αὐτὴν μνηστευσόμενος ἦλθεν, ἀλλὰ ξένον τινὰ καὶ ὁδοιπόρον ἐνόμισε. Διὰ τοῦτο μείζων αὐτῇ ὁ μισθὸς τῆς φιλοξενίας ἐγίνετο, ὅτι τὸν οὐδαμόθεν ὄντα γνώριμον μετὰ τοσαύτης ὑπεδέξατο εὐνοίας, ὁμοῦ καὶ τὴν σωφροσύνην διατηροῦσα. Οὐδὲ γὰρ ἀναισχύντως, οὐδὲ ἰταμῶς, οὔτε ἀναγκάζουσα, οὔτε ὀργιζομένη, ἀλλὰ μετὰ τῆς προσηκούσης σεμνότητος τοῦτο ἐποίει. Τοῦτο γὰρ αὐτὸ ᾐνίξατο ὁ Μωϋσῆς λέγων· *Ὁ δὲ ἄνθρωπος κατεμάνθανεν αὐτήν*, *καὶ παρεσιώπα τοῦ γνῶναι, εἰ εὐώδωσε Κύριος τὴν ὁδὸν αὐτοῦ*. Τί ἐστι, *Κατεμάνθανεν αὐτήν*; Καὶ σχῆμα, καὶ βάδισμα, καὶ βλέμμα, καὶ ῥῆμα, καὶ πάντα ἀκριβῶς ἐξήταζεν, ἀπὸ τῶν τοῦ σώματος κινημάτων τὴν ἕξιν τῆς ψυχῆς καταμανθάνων. Καὶ οὐδὲ τούτοις ἠρκέσθη μόνον, ἀλλὰ δευτέραν προσάγει πεῖραν. Ἐπειδὴ γὰρ ἐπότισεν αὐτὸν, οὐκ ἔστη μέχρι τούτου, ἀλλ' εἶπεν αὐτῇ, *Τίνος θυγάτηρ εἶ, ἀνάγγειλόν μοι, καὶ εἰ ἔστι παρὰ τῷ πατρί σου τόπος τοῦ καταλῦσαι*; Τί οὖν ἐκείνη; Ἀνεξικάκως καὶ πράως καὶ τὸν πατέρα εἶπε, καὶ οὐκ ἠγανάκτησε, λέγουσα· Σὺ δέ τις εἶ ὁ πολυπραγμονῶν, καὶ ζητῶν, καὶ τὴν οἰκίαν περιεργαζόμενος; ἀλλὰ τί; *Θυγάτηρ Βαθουὴλ εἰμὶ ἐγὼ υἱοῦ Μελχᾶς*, *ὃν ἔτεκεν τῷ Ναχώρ· καὶ ἄχυρα καὶ* [225] *χορτάσματα πολλὰ παρ' ἡμῖν*, *καὶ τόπος τοῦ καταλῦσαι*. Ὥσπερ ἐπὶ τοῦ ὕδατος, πλέον ὧν ᾔτησεν ἔδωκεν· ὁ μὲν γὰρ πιεῖν ᾔτησε μόνον, ἡ δὲ καὶ τὰς καμήλους ὑπέσχετο ποτίζειν, καὶ ἐπότισεν· οὕτω καὶ ἐνταῦθα· αὐτὸς τόπον ᾔτησε μόνον, ἡ δὲ καὶ ἄχυρα καὶ χορτάσματα καὶ ἄλλα πολλὰ, διὰ τούτων πάντων αὐτὸν ἐκκαλουμένη, καὶ πρὸς τὴν οἰκίαν ἕλκουσα, ἵνα τὸν τῆς φιλοξενίας καρπώσηται μισθόν. Ταῦτα δὲ μὴ παρέργως μηδὲ ἁπλῶς ἀκούωμεν, ἀλλ' ἡμᾶς αὐτοὺς καθ' ἑαυτοὺς ἐννοοῦντες, καὶ τούτοις παραβάλλοντες, οὕτως εἰσόμεθα τὴν ἀρετὴν τῆς γυναικός. Πολλάκις γοῦν γνωρίμους τινὰς καὶ ἐπιτηδείους ὑποδεχόμενοι δυσχεραίνομεν, κἂν μίαν ἢ δευτέραν ἡμέραν ἐνδιατρίψωσι, βαρυνόμεθα· αὕτη δὲ τὸν ἀγνῶτα καὶ ξένον μετὰ πολλῆς εἰς τὴν οἰκίαν εἵλκυσε τῆς προθυμίας, καὶ ταῦτα οὐκ αὐτῷ μόνον, ἀλλὰ καὶ καμήλοις τοσαύταις μέλλουσα παρέξειν τὴν θεραπείαν. Ἐπειδὴ δὲ εἰσῆλθε, σκόπει ἐντεῦθεν μᾶλλον αὐτοῦ τὴν σύνεσιν. Ὡς γὰρ παρέθηκε φαγεῖν αὐτῷ ἄρτους, φησίν· *Οὐ μὴ φάγω*, *ἕως ὅτου λαλήσω τὰ ῥήματά μου*.

Εἶδες πῶς ἦν ἐγρηγορὼς καὶ νήφων; Εἶτα, ἐπειδὴ εἰπεῖν ἐπέτρεψαν, ἴδωμεν πῶς αὐτοῖς διαλέγεται. Ἆρα ταῦτα εἶπε πρὸς αὐτοὺς τὰ ῥήματα, ὅτι δεσπότην ἔχοι περιφανῆ καὶ λαμπρὸν, παρὰ πάντων τιμώμενον, πολλῆς παρὰ τῶν ἐγχωρίων προεδρίας ἀπολαύοντα; καίτοι γε εἴπερ ἐβούλετο ταῦτα εἰπεῖν, οὐκ ἂν ἠπόρησε· καὶ γὰρ ἐν τάξει βασιλέως αὐτὸν οἱ ἐπιχώριοι ἐτίμων. Ἀλλ' ὅμως οὐδὲν τούτων εἶπεν, ἀλλὰ τὰ ἀνθρώπινα ταῦτα ἀφεὶς, ἀπὸ τῆς ἄνωθεν αὐτὸν ῥοπῆς ἐκόσμησεν οὕτω λέγων· *Παῖς Ἀβραὰμ ἐγώ εἰμι· Κύριος εὐλόγησε τὸν κύριόν μου σφόδρα*, *καὶ ὑψώθη*, *καὶ ἔδωκεν αὐτῷ πρόβατα*, *καὶ μόσχους*, *καὶ χρυσίον*, *καὶ ἀργύριον*. Τὸν πλοῦτον εἶπεν, οὐχ ἵνα εὔπορον δείξῃ ὄντα, ἀλλ' ἵνα φιλόθεον· οὐ γὰρ ἀπὸ τοῦ κεκτῆσθαι, ἀλλ' ἀπὸ τοῦ παρὰ Θεοῦ ταῦτα αὐτὸν εἰληφέναι ἐγκωμιάσαι βούλεται· εἶτα περὶ τοῦ νυμφίου διαλεγόμενος· *Καὶ ἔτεκε Σάῤῥα*, *ἡ γυνὴ τοῦ κυρίου μου*, *υἱὸν ἕνα τῷ κυρίῳ μου μετὰ τὸ γηρᾶσαι αὐτόν*. Ἐνταῦθά μοι καὶ τὸν τρόπον τῶν ὠδίνων ᾐνίξατο, δεικνὺς ὅτι καὶ ὁ τόκος ἀπὸ τῆς τοῦ Θεοῦ γέγονε προνοίας τῆς πρὸς ἐκεῖνον, οὐ κατὰ φύσεως ἀκολουθίαν. Καὶ σὺ τοίνυν ἄν τε νυμφίον, ἄν τε νύμφην ἐπιζητῇς, ταῦτα πρὸ τῶν ἄλλων ζήτει, εἰ θεοφιλής ἐστιν, εἰ πολλῆς ἄνωθεν ἀπολαύει τῆς εὐνοίας. Ἂν γὰρ ἐκεῖνα ᾖ, καὶ τὰ ἄλλα ἕπεται· τούτων δὲ οὐκ ὄντων, κἂν μετὰ πολλῆς τῆς ἀδείας αὐτοῖς ὑπάρχῃ τὰ βιωτικὰ, κέρδος οὐδέν. Εἶτα ἵνα μὴ λέγωσι, Τίνος οὖν ἕνεκεν οὐδεμίαν τῶν ἐπιχωρίων ἔλαβε γυναικῶν; Ὤρκισέ με, φησὶ, λέγων· Οὐ

lisse plus omnibus, quia totum quod habuit conjecerat (*Matth.* 10. 42; *Luc.* 21. 2-4). Sic et ista his bonum illum virum excepit xeniis, quæ sola tum ad manum aderant. Nec temere additum est, quod festinans cucurrit, et similia, sed ut intelligas eam alacriter fecisse omnia, non ægre ac gravatim, nec invitam et coactæ similem. Et ne id parvum putes, sæpe aliquem prætereuntem rogavimus, ut paulisper gradum sisteret, summissaque sua face nostram accenderet, aut a bajulante aquam petiimus ut modicum inde bibere liceret : nec id facere sustinuit, sed tulit graviter : hæc autem non modo summisit ei hydriam, sed camelis etiam omnibus aquam hausit affatim, labori non parcens, et suo corpore hospitalitati comiter subserviens : non enim factum hoc solum, verum etiam alacritas adjuncta virtutem puellæ indicat, quæ hominem ignotum et tum primum visum vocat dominum. Et sicut Abrahamus ipsius socer prætereuntes non interrogat, quinam sint et cujates, quove iter et unde faciant, sed simpliciter hospitalitati dat operam : ita et hæc non sciscitatur, quis es et unde ? qua de causa venis ? sed hospitalitatis opes congregans, non est curiosa cæterorum. Etenim gemmarii et nummularii hoc unum curant, ut lucrum capiant ex iis cum quibus negotiantur, parum solliciti quales tandem illi sint : sic hæc solum id quærit, ut hospitalitatis fructum capiat, utque solidam ejus mercedem percipiat. Bene sciebat hospitem maxime verecundum esse, ideoque magnam ei comitatem exhibendam esse et modestiam non curiosam : quod si de rebus ejus percontemur immodice, tergiversari eum et gravatim accedere. Quapropter neque hæc se ita gerit erga illum, neque ejus socer Abraham erga hospites, ne sic venationem suam absterreat : sed curatis prætereuntium corporibus et obsequutus suo animo, sic eos dimittit.

8. Hoc pacto etiam angelos aliquando excepit, circa quos si fuisset curiosior, non parum decessisset mercedi ejus debitæ (*Gen.* 18). Admiramur enim eum non quod exceperit angelos, sed quod nesciens esse angelos, exceperit. Nec enim mirandum si prudens ac sciens tractasset eos comiter, quorum dignitas quantumvis immane pectus ac saxeum ad humanitatem benignitatemque posset cogere : sed hoc meretur admirationem, quod viatores vulgares ratus tantum honoris eis habuit. Talis erat hæc quoque : nesciebat hominem quisnam esset, aut curnam venisset, neque quod conciliaturus esset ipsius nuptias, sed viatorem unum aliquem putabat et hospitem. Idcirco uberior ei hospitalitatis merces contingit, quod modis omnibus ignotum tanta prosequuta sit benevolentia, servata interim et modestia. Neque enim effrena temeritate, neque vim afferens aut stomachabunda hoc faciebat, sed cum decoro ita ut par erat. Hoc enim ipsum Moses subindicat his verbis : *Ille autem contemplabatur eam tacitus, scire volens utrum prosperum iter suum fecisset Dominus* (*Gen.* 24. 21). Quid est, *Contemplabatur eam?* Et habitum, et incessum, et aspectum, et verba, omnia denique diligenter examinabat, ex corporis gestibus habitudinem animi colligens. Nec his contentus, alterum experimentum adhibet. Accepto enim ab ea potu non destitit, sed rogare pergit : *Cujus es filia, indica mihi : estne in domo patris tui locus quo possim divertere* (*Gen.* 24. 23)? Quid illa ad hæc? Patienter ac mansuete suum patrem indicat. Non dixit indignabunda : Tu vero quis es tam curiosus percontator etiam de nostris ædibus; sed quid? *Filia sum Bathuelis filii Melchæ, quem Nachori peperit. Palearum quoque et fœni apud nos est copia, et locus ad divertendum* (*Ib. v.* 24. 25). Sicut ante aquam petenti plusquam posceret obtulit : nam cum ille potum sibi soli petiisset, etiam camelis se præbiturum est pollicita, et utique præbuit : sic etiam hic requirenti tantummodo diversorium, insuper de paleis ac fœno prospicit, deque aliis multis, alliciens eum his omnibus, et domum pertrahens, ut hospitalitatis fructum et mercedem capiat. Hæc autem non obiter, neque negligenter audiamus, sed nosmetipsos considerantes, ad hoc exemplum conferamus : sic enim intelligemus virtutem hujus feminæ. Sæpenumero notos aliquos et necessarios excipientes ægre ferimus, et gravamur, si unum aut alterum diem commorati fuerint; hæc autem ignotum et hospitem magna alacritate domum pertraxit, præsertim cum non ipsi soli, sed tot camelis etiam offerret curam et ministerium. Postquam autem introgressus est hospitium, jam magis considera servi prudentiam. Apposita enim mensa, inquit, *Non prius cibum capiam quam loquar verba mea* (*Gen.* 24. 33). Vide quam vigilans fuerit et sobrius?

Abrahami potentia. Cum quanta sapientia a famulo laudetur. Deo auspice quæ fiunt bene succedunt. — Deinde postquam permissum est ei dicere, videamus quomodo illos alloquitur. Num ista verba ad eos dixit : Herum se habere illustrem et splendidum, honoratum ab omnibus, virum magnæ auctoritatis apud cives regionis, in qua tum degeret? Tametsi poterat, si voluisset, hæc vere dicere : etenim tamquam res colebatur ab ejus nationis hominibus. Attamen nihil horum dixit, sed omissis istis, quæ apud homines sunt in pretio, a divino eum favore commendat his verbis : *Ego Abrahæ servus. Dominus benedixit domino meo valde, exaltatusque est, et dedit ei oves et boves, argentum et aurum* (*Gen.* 24. 34. 35). Divitias ejus memorat, non ut opulentum, sed ut pium esse ostendat, hoc nomine laudans quod a Deo hæc acceperit, non quod tantarum rerum sit dominus. Deinde loquitur de sponso : *Et peperit Sara, uxor domini mei, filium domino meo jam seni* (*Gen.* 24. 36). Hic et partus modum subindicat, docens quod et partus ei divina providentia concessus sit, non naturæ ordine. Ergo tu quoque sive sponsum, sive sponsam quæras, hoc inquire ante omnia, sitne amicus Deo, an multam sursum obtineat benevolentiam. Si enim hæc adsint, consequenter et alia : sin autem desint, etiamsi res familiaris abunde suppetat, nihil proderit. Deinde ne audiat ab eis, Cur igitur nullam indigenam in uxorem accipit? *Adjuravit me*, inquit, *dominus meus dicens*,

Non accipies uxorem filio meo ex filiabus Chananæorum, sed ad domum patris mei proficisceris, et de tribu mea accipies uxorem filio meo (*Gen.* 24. 37. 38). Sed ne totam historiam in medium afferentes molesti videamur, ad finem transeamus. Cum enim retulisset, quomodo ad fontem adstiterit, quid a puella petierit, quomodo illa plus quam petitum esset dederit, quomodo Deus mediator fuerit, cumque omnia diligenter nuntiasset, sermonis finem fecit. His omnibus auditis illi non amplius dubitaverunt, neque neglexerunt rem, sed quasi divinitus instincti, sine mora ei promiserunt filiam. Respondentesque Laban et Bathuel dixerunt : *Mandatum hoc egressum est a Deo : Ideo non possumus tuæ postulationi contradicere. En Rebecca, tolle eam et propera, et sit uxor domini tui, sicut loquutus est Dominus* (*Gen.* 24. 50. 51). Quis non obstupesceret? quis non admiraretur, quanta impedimenta brevi temporis momento sublata sint? Etenim vel quod hospes erat, vel quod servus, vel quod ignotus, vel quod longum esset itineris intervallum, vel quod nec socer, nec sponsus, neque alius ex eorum necessariis notus erat, horum unumquodque per se satis erat impedimenti, quominus hoc connubium succederet : attamen hæc universa facilia sunt reddita, et haud secus quam si notus esset, habitaretque prope, et totam ætatem cum eis versatus fuisset, commiserunt sponsam ejus fidei, hac de causa, quod auspice Deo res agebatur. Sicut enim si quid eo parum favente aggrediamur, etiamsi omnia sint plana et facilia, voragines et salebras et innumeras frustrationes obiter offendimus : sic eodem præsente et adjuvante, licet omnia quæ habemus præ manibus, sint impeditissima, plana fiunt et facilia. Nihil igitur vel faciamus, vel dicamus, nisi invocato Numine, ut res quas tractamus dirigat, ut ille fecit.

9. Nunc videamus, postquam eam accepit, quo pacto adornet nuptias. Num cymbala, fistulas, choreas, tympana, tibias secum traxit, reliquasque apparatus species? Nihil horum, sed illa sola assumpta abiit, deducente et comitante angelo, quem herus, dum famulum e domo dimitteret, una mitti a Deo supplex impetraverat. Atque ita ducebatur sponsa nullis tibiis et citharis occinentibus, sed innumeris a Deo caput ornata benedictionibus, vice coronæ pretiosioris quovis diademate. Ducebatur autem non auratis amicta vestibus, sed ornata modestia, pietate, hospitalitate, cæterisque virtutibus omnibus. Ducebatur non in carpento camerato, aut apparatu aliquo simili, sed camelo insidens. Nam præter virtutes animi, etiam corpora virginum olim optima fuerunt habitudine. Non enim sic educabantur a matribus, ut fit hodie, crebra inter unguenta et balnea, fucum et pigmenta, in mollibus indumentis, aliisque corruptelarum modis innumeris, quibus fiant plusquam decet molliculæ : sed modis omnibus dura erat earum educatio. Quamobrem et corporis nativa florebant pulchritudine, nullis adjutæ externis lenociniis, et valetudine æque felici ac forma fruebantur, nulla infestante ægritudine, ablegataque omni mollitie. Labores enim et opera, quibus exercebantur, varia, languorem omnem pellebant, robur autem et sanitatem tutam eis conciliabant, reddebantque tanto magis maritis gratas et amabiles : sic enim non solum corpora, sed et animi in melius proficiebant. Vecta igitur camelo postquam ad destinatam regionem pervenit, sublatis procul oculis vidit Isaacum, moxque a camelo desiliit. Vides robur? vides bonam habitudinem? A camelo desiliit. Tantum illi virium una cum modestia supererat. Et ait ad servum : *Quis est ille homo qui progressus est in campum? Respondit servus : Ipse est dominus meus. Tum illa æstivo palliolo sumpto se obnupsit* (*Gen.* 24. 65). Observa omnia testari ejus modestiam, quam pudens erat ac verecunda. *Et accepit eam uxorem Isaac, dilexitque in tantum ut leniret dolorem, qui illi ex morte Sarræ matris acciderat* (*Gen.* 24. 67). Hæc non temere dicuntur, quod dilexerit eam, quodque pro solamine luctus habuerit, sed ut discas, quibus rebus illa maritum in amorem sui pellexerit, quas domo secum attulerat. Quis enim talem non adamaret, tam modestam, tam honestam, tam hospitalem, humanam, et amabilem, fortem animo et validam corpore? Hæc dixi, ut non audiatis tantum, aut auditis applaudatis, sed ut etiam æmulemini. Et patres quidem providentiam patriarchæ imitamini, qua usus est in paranda uxore simplici, non pecunias quærens, non splendorem generis, non pulchritudinem corporis, non aliud quidquam præter generositatem animi.

Quomodo erudiendæ filiæ a matribus. — Vos autem matres, date operam ut ad hunc modum educetis vestras filias. Porro sponsi qui eas ducturi sunt, ducant cum honestate simili, exterminantes risum, choreas, turpiloquium, fistulas, tibias, diabolicum illum apparatum et reliqua hujusmodi, semperque invocantes Deum, ut mediator adsit actionum nostrarum omnium. Si enim res nostras hoc pacto disposuerimus, nullum divortium erit, nulla adulterii suspicio, aut occasio zelotypiæ, non rixa, non contentio, sed multa fruemur pace, multaque concordia, a quibus non aberunt virtutes cæteræ. Sicut enim uxore a marito dissidente nihil sani est in ædibus, etiamsi alioquin res eorum secundo ferantur flatu : ita dum pax constabit et concordia, nihil erit insuave, etiamsi quotidie tempestates accidant plurimæ. Si hoc modo conciliabuntur nuptiæ, perfacile poterimus ad virtutem educare liberos. Ubi enim mater tam honesta fuerit, ac sobria, omnique virtute prædita, profecto maritum desiderio sui capiet ac devinciet; atque ita habebit eum alacrem adjutorem in curandis atque instituendis communibus liberis; simulque Deum ad prospiciendum eis attrahet : quo aspirante tam honestæ administrationi domesticæ, et exercente puerorum animos, omnia posthac jucunda erunt et felicia, rebus tam bene compositis, et iis qui præsunt sic affectis : poteritque unusquisque una cum sua domo, videlicet uxore, liberis ac famulis, et præsentem vitam secure peragere, et ad cælorum regnum pervenire : quæ nobis omnibus per

λήψῃ τῷ υἱῷ μου γυναῖκα ἀπὸ τῶν θυγατέρων τῶν Χαναναίων, ἀλλ' εἰς τὸν οἶκον τοῦ πατρός μου πορεύσῃ, καὶ εἰς τὴν φυλήν μου, καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου. Ἀλλ' ἵνα μὴ πᾶσαν τὴν ἱστορίαν εἰς μέσον φέροντες παρενοχλεῖν δόξωμεν, ἐπὶ τὸ τέλος ἴωμεν. Ἐπειδὴ γὰρ εἶπε, πῶς ἐπὶ τῆς πηγῆς ἔστη, πῶς ᾔτησε τὴν κόρην, πῶς ἔδωκεν ἐκείνη πλέον τῆς αἰτήσεως, πῶς ὁ Θεὸς μεσίτης ἐγένετο, καὶ πάντα μετὰ ἀκριβείας ἀπαγγείλας, κατέλυσεν ἐν τούτοις [226] τὸν λόγον. Ταῦτα ἅπαντα ἀκούσαντες ἐκεῖνοι, οὐκέτι λοιπὸν ἀμφέβαλον, οὐδὲν ἠμέλησαν, ἀλλ' ὥσπερ τοῦ Θεοῦ τὴν ψυχὴν αὐτῶν εἰς τοῦτο κινήσαντος, εὐθέως αὐτῷ καθωμολόγησαν τὴν θυγατέρα. Καὶ ἀποκριθεὶς Λάβαν καὶ Βαθουὴλ εἶπον· *Τὸ πρόσταγμα τοῦτο παρὰ Θεοῦ ἐξῆλθεν οὐ δυνησόμεθα οὖν σοι ἀντειπεῖν κακόν· ἰδοὺ Ῥεβέκκα, λαβὼν ἀπότρεχε, καὶ ἔσται γυνὴ τῷ κυρίῳ σου, καθάπερ ἐλάλησε Κύριος.* Τίς οὐκ ἂν ἐκπλαγείη; τίς οὐκ ἂν θαυμάσειεν, ὅσα καὶ ἡλίκα κωλύματα ἐν βραχείᾳ καιροῦ ῥοπῇ ἀνῃρεῖτο; Καὶ γὰρ τὸ ξένον εἶναι, καὶ οἰκέτην, καὶ ἀγνῶτα, καὶ πολὺ τῆς ὁδοῦ τὸ διάστημα, καὶ τὸ μηδὲ τὸν κηδεστὴν, μηδὲ τὸν νυμφίον, μήτε ἄλλον τινὰ τῶν ἐκείνῃ [a] προσηκόντων γνωρίζεσθαι, καὶ καθ' ἑαυτὸ τούτων ἕκαστον ἱκανὸν ἦν κωλῦσαι τὸν γάμον· ἀλλ' ὅμως οὐδὲν ἐκώλυσεν, ἀλλὰ πάντα ταῦτα ἐξηυμαρίζετο καὶ καθάπερ γνωρίμῳ καὶ πλησίον οἰκοῦντι, καὶ ἐκ πρώτης ἡμέρας συναναστραφέντι, οὕτως αὐτῷ θαῤῥοῦντες ἐνεχείριζον τὴν νύμφην· τὸ δὲ αἴτιον, ὁ Θεὸς ἦν ἐν μέσῳ. Ὥσπερ γὰρ ὅταν χωρὶς αὐτοῦ τι ποιῶμεν, κἂν ἅπαντα ᾖ λεῖα καὶ ῥᾴδια, βάραθρα καὶ κρημνοὺς καὶ μυρίας ἐν αὐτοῖς ἀποτυχίας εὑρίσκομεν· οὕτως ὅταν παρῇ καὶ συνεφάπτηται, κἂν ἁπάντων ἀπορώτερα ᾖ τὰ προκείμενα, ἅπαντα λεῖα καὶ ῥᾴδια γίνεται. Μηδὲν οὖν μήτε ποιῶμεν, μήτε λέγωμεν, πρὶν ἢ τὸν Θεὸν καλέσαι καὶ παρακαλέσαι συνεφάψασθαι τῶν ἐν χερσὶν ἡμῖν ἁπάντων, καθάπερ οὖν καὶ οὗτος ἐποίησεν.

θ'. Ἀλλ' ἴδωμεν, ἐπειδὴ αὐτὴν ἔλαβε, ποίῳ τρόπῳ τὸν γάμον ἐπετέλεσεν. Ἆρα κύμβαλα καὶ σύριγγας καὶ χορεύς καὶ τύμπανα καὶ αὐλοὺς καὶ τὴν ἄλλην ἐπεσύρατο φαντασίαν; Οὐδὲν τούτων, ἀλλὰ μόνην λαβὼν οὕτως ἀπῆει, τὸν ἄγγελον ἔχων μεθ' ἑαυτοῦ παραπέμποντα αὐτὴν καὶ συνοδοιποροῦντα, ὃν ὁ δεσπότης αὐτοῦ τὸν Θεὸν ἱκέτευσεν αὐτῷ συναποστεῖλαι ἐκ τῆς οἰκίας ἐξερχομένῳ. Καὶ ἦγετο λοιπὸν ἡ νύμφη αὐλῶν μὲν καὶ κιθάρας καὶ τῶν ἄλλων τῶν τοιούτων οὐδενὸς ἀκουσασα, μυρίας δὲ παρὰ τοῦ Θεοῦ ἐπὶ τὴν κεφαλὴν τὰς εὐλογίας ἔχουσα, στέφανον διαδήματος παντὸς λαμπρότερον. Ἦγετο οὐ χρυσᾷ περιβεβλημένη ἱμάτια, ἀλλὰ σωφροσύνην καὶ εὐλάβειαν, καὶ φιλοξενίαν, καὶ τὴν ἄλλην ἅπασαν ἀρετήν. Ἦγετο οὐκ ἐπὶ ὀχήματος καταστέγου, οὐδὲ ἐπὶ ἅλλης τινὸς φαντασίας τοιαύτης, ἀλλ' ἐπὶ τῆς καμήλου καθημένη. Μετὰ γὰρ τῆς ἀρετῆς τῆς ἐν τῇ ψυχῇ, καὶ τὰ σώματα ταῖς παρθένοις τὸ παλαιὸν πολλῆς μετεῖχε τῆς εὐεξίας. Οὐ γὰρ οὕτως αὐτὰς ἔτρεφον αἱ μητέρες, καθάπερ τὰς νῦν, βαλανείοις πυκνοῖς, μύρων ἀλοιφαῖς, ἐπιτρίμμασι σκιαγραφίας, μαλακοῖς ἱματίοις, ἑτέροις μυρίοις διαφθείρουσαι τρόποις, καὶ τοῦ δέοντος μαλακωτέρας ποιοῦσαι, ἀλλ' εἰς ἅπασαν αὐτὰς ἦγαγον ἐκείναις σκληραγωγίαν. Διὰ τοῦτο αὐταῖς καὶ τοῦ σώματος ἡ ὥρα σφόδρα ἦν εὐανθὴς καὶ γνησία, ἅτε φυσική τις οὖσα, ἀλλ' οὐ χειροποίητος, οὔτε ἐπιτετηδευμένη. Διὰ τοῦτο καὶ ὑγείας ἀπέλαυεν καθαρᾶς, καὶ κάλλος αὐταῖς ἀμήχανον ἦν, οὐδεμιᾶς ἀῤῥωστίας ἐνοχλούσης τῷ σώματι, ἀλλὰ πάσης βλακείας ἐκβεβλημένης. Οἱ γὰρ πόνοι καὶ αἱ ταλαιπωρίαι καὶ τὸ ἐν ἅπασιν αὐτουργεῖν βλακείαν μὲν ἀπήλαυνε πᾶσαν, εὐρωστίαν [227] δὲ καὶ ὑγείαν μετὰ πολλῆς παρεῖχε τῆς ἀσφαλείας. Διὸ δὴ καὶ ποθεινότεραι τοῖς ἀνδράσιν ἦσαν, καὶ μᾶλλον ἐπέραστοι· οὐ γὰρ δὴ τὸ σῶμα μόνον, ἀλλὰ καὶ τὴν ψυχὴν τούτοις βελτίω καὶ σωφρονεστέραν κατειργάσαντο. Καθημένη τοίνυν ἐπὶ τῆς καμήλου καὶ φθάσασα εἰς τὴν χώραν, πρὶν αὐτὴν ἐλθεῖν ἐγγὺς, ἀναβλέψασα εἶδε τοῖς ὀφθαλμοῖς τὸν Ἰσαάκ, καὶ κατεπήδησεν ἀπὸ τῆς καμήλου. Εἶδες ἰσχύν; εἶδες εὐεξίαν; Κατεπήδησεν ἀπὸ τῆς καμήλου. Οὕτως αὐταῖς ῥώμη πολλὴ μετὰ σωφροσύνης ἦν. Καὶ εἶπε τῷ παιδί· *Τίς ἐστιν ὁ ἄνθρωπος ἐκεῖνος ὁ πορευόμενος ἐν τῷ πεδίῳ; Εἶπε δὲ ὁ παῖς· Ὁ κύριός μου. Εἶτα λαβοῦσα τὸ θέριστρον περιεβάλετο.* Ὅρα πανταχοῦ τὴν σωφροσύνην αὐτῆς μαρτυρουμένην, πῶς ἦν αἰσχυντηρὰ, πῶς ἦν αἰδέσιμος. *Καὶ ἔλαβεν αὐτὴν ὁ Ἰσαὰκ, καὶ ἐγένετο αὐτῷ εἰς γυναῖκα καὶ ἠγάπησεν αὐτὴν, καὶ παρεκλήθη περὶ Σάῤῥας τῆς μητρὸς αὐτοῦ.* Οὐχ ἁπλῶς δὲ ταῦτα εἴρηται, ὅτι ἠγάπησεν αὐτὴν, καὶ παρεκλήθη περὶ τῆς Σάῤῥας τῆς μητρὸς αὐτοῦ, ἀλλ' ἵνα μάθῃς τοῦ φίλτρου καὶ τῆς ἀγάπης τὰς ὑποθέσεις, ἃς οἴκοθεν ἔχουσα ἦλθεν ἡ γυνή. Τίς γὰρ τὴν τοιαύτην οὐκ ἂν ἠγάπησε, τὴν οὕτω σώφρονα, τὴν οὕτω κοσμίαν, τὴν οὕτω φιλόξενον καὶ φιλάνθρωπον καὶ ἥμερον, τὴν ἀνδρείαν μὲν κατὰ τὴν ψυχὴν, ῥωμαλέαν δὲ κατὰ τὸ σῶμα; Ταῦτα εἶπον, οὐχ ἵνα ἀκούσητε, οὐδ' ἵνα ἀκούσαντες ἐπαινέσητε μόνον, ἀλλ' ἵνα καὶ ζηλώσητε. Καὶ πατέρες μὲν, τὴν πρόνοιαν τοῦ πατριάρχου μιμεῖσθε, ἣν ἐποιεῖτο περὶ τοῦ λαβεῖν γυναῖκα ἄπλαστον, οὐ χρήματα ἐπιζητήσας, οὐ γένους λαμπρότητα, οὐ σώματος κάλλος, οὐκ ἄλλο οὐδὲν, ἀλλὰ ψυχῆς εὐγένειαν μόνον· μητέρες δὲ, οὕτω τὰς ἑαυτῶν ἀνατρέφετε θυγατέρας. Οἱ δὲ ἄγεσθαι αὐτὰς μέλλοντες νυμφίοι, μετὰ τοσαύτης αὐτὰς ἄγετε κοσμιότητος, χορείας μὲν καὶ γέλωτας καὶ ῥήματα αἰσχρὰ, καὶ σύριγγας καὶ αὐλοὺς, καὶ τὴν διαβολικὴν φαντασίαν, καὶ τὰ ἄλλα πάντα τὰ τοιαῦτα ἐξορίζοντες, τὸν Θεὸν δὲ ἀεὶ παρακαλοῦντες μεσίτην γενέσθαι τῶν πραττομένων ἁπάντων. Ἂν γὰρ οὕτω τὰ καθ' ἑαυτοὺς οἰκονομήσωμεν, οὐκ ἀποστάσιον ἔσται ποτὲ, οὐ μοιχείας ὑπῳία, οὐ ζηλοτυπίας πρόφασις, οὐ μάχη καὶ ἔρις, ἀλλὰ πολλῆς μὲν ἀπολαυσόμεθα τῆς εἰρήνης, πολλῆς δὲ τῆς ὁμονοίας· ταύτης δὲ οὔσης, καὶ αἱ ἄλλαι πάντως ἕψονται ἀρεταί. Ὥσπερ γὰρ, γυναικὸς πρὸς ἄνδρα στασιαζούσης, οὐδὲν ὑγιὲς ἔσται ἐπὶ τῆς οἰκίας, κἂν ἅπαντα τὰ ἄλλα κατὰ ῥοῦν φέρηται πράγματα· οὕτως ὁμονοούσης καὶ εἰρηνευούσης, οὐδὲν ἔσται ἀηδὲς, κἂν μυρίοι χειμῶνες καθ' ἑκάστην τίκτωνται τὴν ἡμέραν. Ἂν οὕτως οἱ γάμοι γένωνται, καὶ τὰ παιδία μετὰ πολλῆς τῆς εὐκολίας εἰς ἀρετὴν ἀγαγεῖν δυνησόμεθα. Ὅταν γὰρ ἡ μήτηρ οὕτως ᾖ κοσμία, καὶ σώφρων, καὶ πᾶσαν ἀρετὴν κεκτημένη, πάντως καὶ τὸν ἄνδρα ἑλεῖν δυνήσεται καὶ χειρώσασθαι τῷ περὶ αὐτὴν πόθῳ· ἑλοῦσα δὲ αὐτὸν, μετὰ πολλῆς ἕξει τῆς προθυμίας βοηθοῦντα πρὸς τὴν τῶν παίδων ἐπιμέλειαν, καὶ τὸν Θεὸν οὕτως ἐπισπάσεται πρὸς τὴν αὐτὴν ταύτην πρόνοιαν· ἐκείνου δὲ συνεφαπτομένου τῆς καλῆς ταύτης οἰκονομίας, καὶ τὰς ψυχὰς τῶν παίδων ἀσκοῦντος, οὐδὲν ἀηδὲς ἔσται λοιπὸν, ἀλλὰ καὶ τὰ τῆς οἰκίας εὖ διακείσεται, τῶν ἀρχόντων οὕτω [228] διακειμένων· καὶ μετὰ τῆς οἰκίας οὕτως ἕκαστος δυνήσεται, τῆς ἑαυτοῦ γυναικὸς λέγω, καὶ παίδων καὶ οἰκετῶν, καὶ τὸν ἐνταῦθα μετὰ ἀδείας ἁπάσης διανύ-

[a] Savil. in marg. conjicit ἐκείνῳ.

σαι βίον, καὶ εἰς τὴν τῶν οὐρανῶν βασιλείαν εἰσελθεῖν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ δόξα, καὶ κράτος, σὺν τῷ ἁγίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

MONITUM AD HOMILIAM IN ILLUD,

De anno quo hæc habita est concio nihil habemus : æstate solum pronuntiatam, et die post Homiliam in sanctum Barlaam insequente ex Chrysostomi dictis eruitur. Sub initium namque ait : *Ita et ego hanc anni tempestatem maxime diligo ; non quia liberati sumus hieme, nec quod æstate perfruamur ; sed quia adsunt spirituales portus, qui nos frequenter excipiunt, festi nempe sanctorum martyrum dies.* Et paucis interpositis : *Horum omnium vos testes estis, qui in certaminibus beati Barlaam heri oblectati, et cum magna tranquillitate in ejus portum festinantes, sæcularium curarum salsuginem abluistis.* Antiochiæ vero

ΕΙΣ ΤΟ ΑΠΟΣΤΟΛΙΚΟΝ ΡΗΤΟΝ·

Οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον.

α'. Οἱ ναῦται τοῦτο μάλιστα φιλοῦσι τοῦ πελάγους τὸ μέρος, ὅπερ ἂν λιμέσι πυκνοῖς καὶ νήσοις διειλημμένον ᾖ. Τὸ μὲν γὰρ ἀλίμενον πέλαγος, κἂν γαλήνην ἔχῃ, πολὺν παρέχει τοῖς πλέουσι τὸν τρόμον· ἔνθα δὲ ἂν ὦσιν ὅρμοι, καὶ ἀκταὶ, καὶ αἰγιαλοὶ πανταχόθεν ἐκτεταμένοι, μετὰ πολλῆς πλέουσι τῆς ἀσφαλείας. Κἂν γὰρ βραχὺ διεγερθεῖσαν τὴν θάλασσαν ἴδωσι, δι' ὀλίγου τὴν καταφυγὴν ἔχοντες, ταχίστην καὶ εὔκολον τῶν ἐπικειμένων κακῶν ἀπαλλαγὴν εὕρασθαι δύναιντ' ἄν. Διὰ δὴ ταῦτα, οὐχ ὅταν πλησίον λιμένος ἐλαύνωσι μόνον, ἀλλὰ κἂν πόῤῥωθεν ὦσι, πολλὴν καὶ ἀπὸ τῆς ὄψεως ταύτης παράκλησιν δέχονται. Οὐ γὰρ ὡς ἔτυχεν αὐτῶν τὰς ψυχὰς ἀνακτᾶσθαι πέφυκε καὶ ὄρους κορυφὴ φαινομένη πόῤῥωθεν, καὶ καπνὸς ἀναθρώσκων, καὶ προβάτων ποίμνια παρὰ τὴν ὑπώρειαν νεμόμενα. Ἐπειδὰν δὲ καὶ εἰς αὐτὸ τοῦ λιμένος τὸ στόμα ἔλθωσιν, ὁλόκληρον καρποῦνται τὴν εὐφροσύνην. [229] Τότε γὰρ καὶ κώπην ἀποτίθενται, καὶ τὰ σώματα ὑπὸ τῆς ἅλμης τεταριχευμένα ποτίμοις περικλύζουσιν ὕδασι, καὶ εἰς τὸν αἰγιαλὸν ἐξελθόντες, καὶ τῇ γῇ μικρὸν ὁμιλήσαντες γυμνοῖς τοῖς σώμασι, πᾶσαν τὴν ἀπὸ τῆς ναυτιλίας ἀποτίθενται ταλαιπωρίαν. Ὥσπερ οὖν ἐκεῖνοι τοῦτο μάλιστα τῆς θαλάσσης ἀσπάζονται τὸ μέρος διὰ τὰς πυκνὰς ταύτας καὶ συνεχεῖς ἀναπαύσεις· οὕτω δὴ καὶ ἐγὼ ταύτην μάλιστα φιλῶ τὴν ὥραν, οὐκ ἐπειδὴ χειμῶνος ἀπηλλάγμεθα, οὐδὲ ἐπειδὴ θέρους ἀπολαύομεν, ζεφύρου λιγυρὰ πνέοντος, ἀλλ' ἐπειδὴ τοὺς πνευματικοὺς λιμένας ἔχομεν συνεχῶς διαδεχομένους ἡμᾶς, τῶν ἁγίων μαρτύρων λέγω τὰς πανηγύρεις. Οὐ γὰρ οὕτως οἱ λιμένες πλωτῆρας, ὡς αἱ τῶν ἁγίων τούτων ἑορταὶ τοὺς πιστοὺς ἀνακτᾶσθαι πεφύκασιν. Ἐκείνους μὲν γὰρ θαλαττίων κυμάτων ἐμβολῆς καὶ ἐρεσίας μακρᾶς ἀπαλλάττουσι λιμένες· τοὺς δ' εἰς πανήγυριν μαρτύρων ἀπαντῶντας πνευμάτων πονηρῶν καὶ ἀκαθάρτων, λογισμῶν ἀτόπων, πολλῆς τῆς ἐν ψυχῇ γινομένης ζάλης, ἡ τῶν ἁγίων μνήμη τούτων ἐξαρπάζειν εἴωθε. Κἂν ἐκ τῶν πολιτικῶν, κἂν ἐκ τῶν οἰκιακῶν πραγμάτων ἀθυμίαν τινὰ ἐπισυρόμενος εἰσέλθῃ, πᾶσαν αὐτὴν ἀποθέμενος, οὕτως ἅπεισι, καὶ ῥᾴων γίνεται καὶ κουφότερος, οὐχὶ κώπην ἀποτιθέμενος, οὐδὲ οἰάκων ἐξανιστάμενος, ἀλλὰ τὸ δυσβάστακτον καὶ ποικίλον τῆς βιωτικῆς λύπης φορτίον διαλύων, καὶ πολλὴν τῇ ψυχῇ δεχόμενος τὴν εὐφροσύνην. Καὶ τούτων ἁπάντων μάρτυρες ὑμεῖς, οἱ τοῖς ἄθλοις τοῦ μακαρίου Βαρλαὰμ χθὲς ἐντρυφήσαντες, καὶ μετὰ πολλῆς τῆς ἀδείας εἰς τὸν ἐκείνου σκιρτήσαντες λιμένα [a], καὶ τὴν ἅλμην τῶν βιωτικῶν φροντίδων ἀπολουσάμενοι, καὶ κοῦφοι οἴκαδε ἀπὸ τῶν ἐκείνου διηγημάτων ἀναχωρήσαντες. Ἀλλ' ἰδοὺ καὶ ἑτέρων μαρτύρων προσελαύνει πάλιν πανήγυρις. Ἕως ἂν οὖν εἰς τὸν ἐκείνων λιμένα φθάσωμεν, φέρε δὴ μιμησώμεθα τοὺς πλωτῆρας· καὶ καθάπερ ἐκεῖνοι τὸ πέλαγος πλέοντες ᾄδουσι, τῇ ᾠδῇ τὸν πόνον παραμυθούμενοι· οὕτω δὴ καὶ ἡμεῖς, ἕως εἰς τὸν ἐκείνων φθάσωμεν λιμένα, λόγους τινὰς πνευματικοὺς πρὸς ἀλλήλους κινήσωμεν, τὸν μακάριον Παῦλον τῆς καλῆς ταύτης ὁμιλίας ἡγεμόνα ποιησάμενοι, καὶ ἥνπερ ἂν αὐτὸς κελεύῃ, ταύτην ἑπόμενοι [b]. Ποίαν οὖν ἔπεσθαι κελεύει; Τὴν διὰ τῆς ἐρήμου, καὶ τῶν ἐκεῖ συμβάντων θαυμάτων ὁδόν. Καὶ γὰρ ἠκούσατε σήμερον αὐτοῦ βοῶντος, καὶ λέγοντος· *Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον, καὶ πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο, καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, καὶ πάντες τὸ αὐτὸ πόμα*

[a] Duo mss. λιμένα. Editi λειμῶνα. Priorem lectionem postulare series videtur.

[b] Duo mss. καὶ ἥπερ ἂν... ταύτῃ ἑπόμενοι.

gratiam, benignitatem, et misericordiam suam concedat Dominus noster Jesus Christus, cum quo Patri, simulque Spiritui vivifico et sançto gloria, imperium, et honor, nunc et semper, et in sæcula sæculorum. Amen.

NOLO VOS IGNORARE, FRATRES, QUOD, ETC.

habitam fuisse vel inde liquet, quod dicta sit post festum sancti Barlaami, Antiochiæ celebrari solitum, ut videas in Monito ad Homiliam in sanctum Barlaamum Tom. II. Chrysostomi scopus est demonstrare, res in veteri Lege actas futurarum rerum prædictionibus fidem facere : esseque illas rerum novi Testamenti typum et umbram. Marcionem, Manichæum et Paulum Samosatenum obiter perstringit, et postulatis in fine sanctorum precibus homiliam claudit.

Incerti interpretationem Latinam, utpote non accuratam, rejecimus, novamque paravimus.

IN APOSTOLICUM DICTUM,

NOLO VOS IGNORARE, FRATRES, QUOD PATRES NOSTRI OMNES SUB NUBE FUERUNT, ET OMNES PER MARE TRANSIERUNT (1. *Cor.* 10. 1) (*a*).

1. Nautæ cum maris partem libentius frequentant, quæ multis portibus insulisque instructa est. Pelagus enim portubus destitutum, etiam tranquillo tempore, multum incutit navigantibus tremorem : ubi autem portus et littora undecumque patent, cum magna securitate navigant. Etiamsi enim mare aliquantum sævire videant, cum in proximo refugium habeant, prompte facileque possunt ab instantibus periculis liberari. Eapropter non modo cum prope portum sunt, sed etiamsi procul sint, a solo portus aspectu magnam consolationem accipiunt. Non enim parum illos recreare solent montium cacumina procul visa, fumus exsiliens, et ovium greges ad littus pascentes. Verum ubi ad portus ingressum devenerunt, plena fruuntur lætitia. Tunc enim et remum deponunt, et corpora salsugine confecta potabilibus oblectant aquis, et ad littus egressi, in terraque nudis corporibus aliquantum versantes, nauticum omne tædium deponunt. Quemadmodum igitur illi eam maris partem libentius amplexantur, ob frequentes illas et assiduas recreationes : ita et ego hanc anni tempestatem maxime diligo, non quia liberati sumus hieme, nec quod æstate fruamur zephyro suaviter afflante, sed quia adsunt spirituales portus, qui nos frequenter excipiunt, festi nempe sanctorum martyrum dies. Non enim portus perinde nautas, atque dies festi sanctorum horum fideles recreare solent. Illos quippe a fluctuum impetu et diuturna remigatione portus liberant; hos autem ad martyrum solemnitatem accedentes, a violenta per malignos impurosque spiritus, perque absurdas cogitationes in animo excitata tempestate, sanctorum memoria eripit. Sive quis ex publicis, sive ex privatis negotiis mœrore contracto huc ingrediatur, illo prorsus deposito revertitur, atque expeditior leviorque abit, non posito remo, nec relictis gubernaculis, sed excussa illa onerosa variaque sæcularis tristitiæ sarcina, multaque repletus animi lætitia. Horum omnium vos testes estis, qui in certaminibus beati Barlaam heri (*a*) oblectati, et cum magna tranquillitate in ejus portum festinantes, sæcularium curarum salsuginem abluistis, atque auditis de illo sermonibus, leves et expediti domum recessistis. At ecce alia martyrum accedit festivitas. Donec igitur ad illorum portum appellamus, age nautas imitemur; et sicut illi navigantes in pelago cantant, cantu laborem sedantes : ita et nos donec ad illorum portum appellamus, spirituales quosdam inter nos conferamus sermones, beato Paulo hujus pulchri colloquii duce constituto, ut eum, qua jusserit ille via, sequamur. Quanam porro sequi via jubet? Per desertum et per miracula, quæ illic contigerunt. Etenim audistis illum hodie sic clamantem : *Nolo vos ignorare, fratres, quod patres nostri omnes sub nube fuerunt, et omnes per mare transierunt, et omnes in Moysem baptizati sunt, et omnes eamdem escam spiritualem comederunt, et omnes eumdem potum spiritualem biberunt. Bibebant enim de spirituali sequente petra; petra autem erat Christus. Sed non in pluribus*

(*a*) Collata cum Mss. Colbertinis 970 et 3038.

(*a*) Die præcedenti de Beato Barlaam fuerat concionatus.

eorum beneplacitum fuit Deo : prostrati enim sunt in deserto. Hæc autem figuræ nostri fuere, ut non simus concupiscentes malorum, sicut et illi concupiverunt ; neque idololatræ simus, sicut quidam illorum, sicut scriptum est : Sedit populus manducare et bibere, et surrexerunt ludere. Neque fornicemur, sicut quidam illorum fornicati sunt, et ceciderunt uno die, viginti tria millia. Neque tentemus Christum, sicut quidam illorum tentaverunt, et a serpentibus perierunt. Neque murmuremus, sicut quidam illorum murmuraverunt, et perierunt ab exterminatore (1 *Cor.* 10. 1-10 ; *Exod.* 32. 6). Videntur quidem hæc manifesta esse; sed diligenter advertentibus dubitationem afferunt non vulgarem. Etenim primo quæritur, cur veteres memoret historias : et qua consequentia, cum de iis disputasset, quæ idolis sunt immolata, in hanc inciderit narrationem, ea afferens in medium, quæ in deserto contigerunt. Neque enim temere vel fortuito casu sanctus ille loquitur, sed cum magna consequentia, et accuratam semper servat dictorum consonantiam. Cur ergo et unde in hanc incidit historiam? Increpabat eos, qui temere et sine examine ad idola ingrediebantur, deque polluta mensa degustabant, atque idolothyta contingebant : et cum ostendisset ipsos hinc duplici damno affici, cum et infirmis offendiculo essent, et ipsi dæmonum participes essent : et cum per prædicta satis illorum animos coercuisset, docuissetque, oportere fidelem non sua tantum respicere, sed etiam ea, quæ aliorum multorum sunt, volens ipsis timorem addere, veteres historias commemorat. Quia enim illi altum sapiebant, utpote fideles, et ab errore liberati, atque scientiam assequuti, et ineffabilium mysteriorum participes effecti, ad regnumque cælorum vocati : declarare volens eorum nullam esse utilitatem, nisi adesset vita tantæ gratiæ consona, ex veteri historia ipsos erudit.

2. *Cur Paulus de pœnis peccatorum loquens Veteris Testamenti verbis utatur potius quam Novi. Præterita gesta futurorum prædictionibus fidem faciunt.* — At hoc ipsum multas complectitur quæstiones. Cur non ex verbis Christi in Evangelio positis cum ipsis disputet ? cur non gehennam memoret, non tenebras exteriores, non venenatum vermem, non vincula perpetua, non ignem paratum diabolo et angelis ejus, non stridorem dentium, et alia inenarrabilia supplicia ? Si enim terrere voluit, a gravioribus id faciendum oportuit, non autem ab iis, quæ in deserto contigerunt. Illi enim, etiamsi plexi sint, at mitiore et temporanea pœna, atque una tantum die ; hi autem immortali ac graviori sunt supplicio plectendi. Cur ergo illos non ex hisce terruit, neque Christi dicta commemoravit ? Poterat enim illis dicere, Nolo vos ignorare, fratres, quas leges Christus posuerit iis, qui cum fidem habeant, vitam tamen optimam non exhibent. Etenim eos etiam, qui miracula patrabant et prophetiæ dono fulgebant, exclusit a regno cælorum, dicens : *Multi dicent mihi in die illa, Domine, Domine, nonne in nomine tuo dæmonia ejecimus, et in nomine tuo prophetavimus, et virtutes multas fecimus? Et tunc confitebor eis, Recedite a me, non novi vos, qui operamini iniquitatem* (*Matth.* 7. 22. 23). Et virgines quoque non de fide et dogmatibus arguens, sed de perversa vita, et inhumanitate et crudelitate, exclusit e thalamo nuptiali (*Matth.* 25. 10-12) ; illum vero qui sordidis indutus erat vestibus, ideo vinctum ejecit (*Matth.* 22. 11 - 13) : non quod dogmata recta non teneret, sed quod vitam sordidam et impuram egisset ; illos item, quos abduci jussit in ignem paratum diabolo et angelis ejus (*Matth.* 25. 41), non propterea illo misit, quod a fide excidissent, sed quod nullius umquam miserti essent. Hæc omnia et similia commemorare poterat, ac dicere, Nolo vos ignorare, fratres, hos omnes baptismum esse consequutos et mysteriorum participes effectos, multam exhibuisse fidem, scientiam habuisse perfectam ; sed quia vitam fidei consonam non instituerunt, a regno exclusos, et igni traditos fuisse. Cur ergo hæc non dixit, sed his missis omnibus, sic loquutus est : *Nolo autem vos ignorare, fratres, quod patres nostri omnes sub nube fuerunt*, et ea commemorans, quæ ad Moysem spectabant, quæ ad gratiam pertinebant tacuit ? Non temere nec sine causa sic agit ; multa quippe sapientia plenus erat. Sed cur, et propter quid ? Duabus hisce de causis ; ut videlicet illos tangeret, simulque ostenderet, magnam esse cognationem Vetus inter et Novum Testamentum. Quoniam enim multi sunt, qui nec gehennam nec supplicium esse putant, sed autumant Deum simpliciter, ut metum et temperantiam induceret, hæc comminatum esse, vermem immortalem, ignem inexstinguibilem ; tenebras exteriores, sed non possunt præteritis fidem negare. Nam quæ facta sunt, quo pacto quis dicere possit non facta esse ? Iis quippe quæ non visa, nec in opus educta sunt, multi non credunt ; iis autem quæ facta sunt, et ad finem deducta, quantumvis perversus et improbus quis fuerit, ne quidem si velit, poterit fidem negare. Ab iis ergo, quæ in confesso apud omnes sunt, utpote facta, quorum etiam reliquiæ manent, vult eos de recto Dei judicio fieri certiores ; ac si diceret : Si non putas esse gehennam, neque pœnam, neque supplicium, sed Deum frustra comminatum esse, præterita repetens, futuris etiam crede. Si enim is ipse est Deus, qui et præterita et præsentia dispensat ; itemque ea quæ sub Veteri Lege, et ea quæ in statu gratiæ, sicut revera idem et ipse est, qua ratione illos quidem peccantes castigavit et pœnis subjecit, nos vero qui paria, imo multo graviora admisimus, inultos dimittet ? Quæro igitur, annon Judæi fornicati sunt et plexi sunt ? annon murmuraverunt, et supplicio sunt affecti ? Id confiteri necesse est. Quomodo ergo qui illos affecit pœna, te paria ausum præteribit ? Id sane non est rationi consonum [1]. At hic non dedisti pœnas ? Ideo maxime crede gehennam esse atque supplicium, quia hic non dedisti pœnas. Nisi enim posthac aliquod supplicium futurum esset, neqna-

[1] Savil. in margine hæc addit, *illos quidem propter peccata plectere, nos vero quamvis illorum quæ multo graviora sunt reos non plectere.*

πνευματικὸν ἔπιον. Ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας, ἡ δὲ πέτρα ἦν ὁ Χριστός. Ἀλλ' οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν εὐδόκησεν ὁ Θεός· κατεστρώθησαν γὰρ ἐν τῇ ἐρήμῳ. Ταῦτα δὲ τύποι ἡμῶν ἐγενήθησαν, εἰς τὸ μὴ εἶναι ἡμᾶς ἐπιθυμητὰς κακῶν, καθὼς κἀκεῖνοι ἐπεθύμησαν· μηδὲ εἰδωλολάτρας γίνεσθαι, καθώς τινες αὐτῶν, ὥσπερ γέγραπται· Ἐκάθισεν ὁ λαὸς φαγεῖν, καὶ ἀνέστησαν τοῦ παίζειν. Μηδὲ πορνεύωμεν, καθώς τινες αὐτῶν [230] ἐπόρνευσαν, καὶ ἔπεσον ἐν μιᾷ ἡμέρᾳ, εἰκοσιτρεῖς χιλιάδες. Μηδὲ ἐκπειράζωμεν τὸν Χριστὸν, καθώς τινες αὐτῶν ἐπείρασαν, καὶ ὑπὸ τῶν ὄφεων ἀπώλοντο. Μηδὲ γογγύζωμεν, καθώς τινες αὐτῶν ἐγόγγυσαν, καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ. Καὶ δοκεῖ μὲν εἶναι σαφῆ τὰ λεγόμενα, παρέχει δέ τινα διαπόρησιν οὐ τὴν τυχοῦσαν τοῖς προσέχουσι. Καὶ γὰρ ἄξιον ζητῆσαι πρῶτον, τίνος ἕνεκεν τὰς παλαιὰς αὐτὸς ἐμνημόνευσεν [a] ἱστορίας, ἐκ ποίας ἀκολουθίας περὶ εἰδωλοθύτων διαλεγόμενος εἰς ταύτην ἐνέπεσε τὴν διήγησιν, τὰ ἐπὶ τῆς ἐρήμου φέρων εἰς μέσον. Οὐ γὰρ ἁπλῶς, οὐδὲ ὡς ἔτυχεν, ὁ μακάριος ἐκεῖνος φθέγγεται, ἀλλὰ μετὰ πολλῆς τῆς ἀκολουθίας καὶ ἀκριβῆ διατηρῶν παντα-χοῦ τῶν ὑπ' αὐτοῦ λεγομένων τὴν συμφωνίαν. Τίνος οὖν ἕνεκεν, καὶ πόθεν εἰς ταύτην ἐνέπεσε τὴν ἱστορίαν; Ἐπετίμα τοῖς ἁπλῶς καὶ ἀνεξετάστως εἰς τὰ εἰδωλα εἰσιοῦσι, καὶ μιαρᾶς ἀπογευομένοις τραπέζης, καὶ εἰδωλοθύτων ἁπτομένοις· καὶ δείξας, ὅτι διπλῆν ἀπὸ τοῦ πράγματος ὑπομένουσι βλάβην, τούς τε ἀσθενεῖς πλήττοντες, καὶ αὐτοὶ κοινωνοὶ δαιμόνων γινόμενοι, καὶ καταστείλας αὐτῶν ἱκανῶς τὰ φρονήματα διὰ τῶν ἔμπροσθεν εἰρημένων, καὶ παιδεύσας, ὅτι δεῖ τὸν πιστὸν μὴ τὸ ἑαυτοῦ βλέπειν μόνον, ἀλλὰ καὶ τὸ τῶν πολλῶν, βουλόμενος αὐτοῖς ἐπιτεῖναι τὸν φόβον, παλαιῶν αὐτοὺς ἀναμιμνήσκει διηγημάτων. Ἐπειδὴ γὰρ ἐκεῖνοι μέγα ἐφρόνουν, ὡς πιστοὶ, καὶ πλάνης ἀπαλλαγέντες, καὶ γνώσεως καταξιωθέντες, καὶ τῶν ἀποῤῥήτων κοινωνήσαντες μυστηρίων, καὶ πρὸς βασιλείαν οὐρανῶν κληθέντες, δεῖξαι θέλων, ὅτι τούτων ὄφελος οὐδὲν, ἂν μὴ πολιτεία προσῇ συμφωνοῦσα τῇ τοσαύτῃ χάριτι, ἐκ παλαιᾶς αὐτοὺς παιδεύει ἱστορίας.

β'. Ἀλλὰ καὶ τοῦτο αὐτὸ πάλιν πολλῆς γέμει ζητήσεως. Τίνος ἕνεκεν οὐκ ἀπὸ τῶν τοῦ Χριστοῦ ῥημάτων αὐτοῖς διαλέγεται τῶν ἐν Εὐαγγελίῳ κειμένων, οὐδὲ γεέννης αὐτοὺς ἀναμιμνήσκει, καὶ σκότους ἐξωτέρου, καὶ σκώληκος ἰοβόλου, καὶ δεσμῶν ἀθανάτων, καὶ πυρὸς τοῦ ἡτοιμασμένου τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, καὶ τοῦ βρυγμοῦ τῶν ὀδόντων, καὶ τῶν ἄλλων τῶν ἀποῤῥήτων κολάσεων; Εἰ γὰρ φοβῆσαι ἐβούλετο, ἀπὸ τῶν μειζόνων τοῦτο ποιῆσαι ἔδει, οὐκ ἀπὸ τῶν ἐν τῇ ἐρήμῳ. Ἐκεῖνοι μὲν γὰρ, εἰ καὶ ἐκολάσθησαν, ἀλλ' ἡμερώτερον καὶ προσκαίρως, καὶ ἐν ἡμέρᾳ μιᾷ· οὗτοι δὲ ἀθάνατα μέλλουσι τιμωρεῖσθαι καὶ χαλεπώτερα. Τίνος οὖν ἕνεκεν ἐκεῖθεν αὐτοὺς ἐφόβησεν, οὐδὲ ἀνέμνησε τῶν τοῦ Χριστοῦ ῥημάτων; Καὶ γὰρ ἠδύνατο λέγειν πρὸς αὐτούς· Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, οἵους ὁ Χριστὸς ἔθηκε νόμους περὶ τῶν πίστιν μὲν ἐχόντων, βίον δὲ ἄριστον οὐκ ἐπιδεικνυμένων. Καὶ γὰρ θαύματα ποιήσαντας ἀνθρώπους, καὶ προφητείαν ἐπιδεικνυμένους ἐξέβαλε τῆς βασιλείας τῶν οὐρανῶν, λέγων· *Πολλοὶ ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, Κύριε, Κύριε, οὐ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν, καὶ τῷ σῷ ὀνόματι προεφητεύσαμεν, καὶ δυνάμεις πολλὰς ἐποιήσαμεν;* Καὶ τότε ὁμολογήσω αὐτοῖς, *Ὑπάγετε ἀπ' ἐμοῦ, οὐκ οἶδα ὑμᾶς, οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.* Καὶ τὰς παρθένους δὲ οὐχ ὑπὲρ πίστεως ἐγκαλῶν καὶ δογμάτων, ἀλλ' ὑπὲρ [231] βίου διεφθαρμένου καὶ ἀπανθρωπίας καὶ ὠμότητος, ἀπέκλεισε τοῦ νυμφῶνος· καὶ τὸν τὰ ῥυπαρὰ ἐνδεδυμένον ἱμάτια, διὰ τοῦτο δεδεμένον ἐξέβαλεν, οὐκ ἐπειδὴ δόγματα οὐκ εἶχεν ὀρθὰ, ἀλλ' ἐπειδὴ βίον ῥυπαρὸν καὶ ἀκάθαρτον· καὶ οὓς ἐκέλευσεν εἰς τὸ πῦρ ἀπενεχθῆναι τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, οὐ διὰ τοῦτο ἔπεμψεν ἐκεῖ, ἐπειδὴ τῆς πίστεως ἦσαν ἐκπεπτωκότες, ἀλλ' ἐπειδὴ οὐδέποτε οὐδένα ἠλέησαν. Τούτων πάντων καὶ τῶν τοιούτων αὐτοὺς ἀναμνῆσαι ἠδύνατο, καὶ εἰπεῖν· Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, ὅτι οὗτοι πάντες καὶ βαπτίσματος ἔτυχον, καὶ μυστηρίων ἐκοινώνησαν, καὶ πίστιν πολλὴν ἐπεδείξαντο, καὶ γνῶσιν εἶχον ἀπηρτισμένην· ἀλλ' ἐπειδὴ βίον οὐ παρέσχον τῇ πίστει συνάδοντα, τῆς βασιλείας ἐξεβλήθησαν, καὶ τῷ πυρὶ παρεδόθησαν. Τίνος οὖν ἕνεκεν οὐ ταῦτα εἶπεν, ἀλλὰ ταῦτα πάντα ἀφεὶς, οὕτω πώς φησιν· *Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν*, καὶ τῶν Μωϋσέως αὐτοὺς ἀναμιμνήσκων, τὰ ἐπὶ τῆς χάριτος τέως σιγήσας; Οὐχ ἁπλῶς, οὐδὲ ἄνευ λόγου τινὸς τοῦτο ποιεῖ· πολλῆς γὰρ σοφίας ἦν πεπληρωμένος. Ἀλλὰ τί δήποτε, καὶ διὰ τί; Δυοῖν ἕνεκα τούτων· ὁμοῦ τε αὐτῶν βουλόμενος καθάψασθαι μᾶλλον, καὶ δεῖξαι τῆς Παλαιᾶς Διαθήκης πρὸς τὴν Καινὴν πολλὴν οὖσαν τὴν συγγένειαν. Ἐπειδὴ γὰρ πολλοὶ τῶν ἀνθρώπων, οἱ μὲν τῇ γεέννῃ διαπιστοῦσι, καὶ οὐδὲ εἶναι κόλασιν νομίζουσιν, ἀλλὰ τὸν Θεὸν ἁπλῶς ἕνεκεν φόβου καὶ σωφρονισμοῦ ταῦτ' ἠπειληκέναι, σκώληκα τὸν ἀτελεύτητον, τὸ πῦρ τὸ ἄσβεστον, τὸ σκότος τὸ ἐξώτερον, τοῖς δὲ παρελθοῦσιν οὐκ ἔχουσιν ἀπιστῆσαι. Τὰ γὰρ γεγενημένα πῶς ἄν τις δύναιτο λέγειν μὴ γενέσθαι; Τοῖς μὲν γὰρ οὐδέπω φανεῖσιν, οὐδὲ εἰς ἔργον ἐξελθοῦσίν εἰσι πολλοὶ οἱ διαπιστοῦντες, τοῖς δὲ γεγενημένοις καὶ τέλος εἰληφόσι, κἂν μυριάκις τις ἀνεύθυνος ᾖ καὶ ἀγνώμων, οὔτε, εἰ βουληθείη, δυνήσεταί ποτε ἀπιστεῖν. Ἀπὸ τῶν σφόδρα ὠμολογημένων, καὶ τέλος ἐχόντων, καὶ ὧν πολλὰ μένει τὰ λείψανα, βούλεται αὐτοὺς πιστώσασθαι περὶ τῆς τοῦ Θεοῦ δικαιοκρισίας, μονονουχὶ λέγων· Εἰ μὴ νομίζεις εἶναι γέενναν, μηδὲ τιμωρίαν καὶ κόλασιν, ἀλλ' ἁπλῶς τὸν Θεὸν ἠπειληκέναι, τὰ παρελθόντα ἀναλογισάμενος, καὶ τοῖς μέλλουσι πίστευε. Εἰ γὰρ ὁ αὐτός ἐστι Θεὸς, ὁ καὶ τὰ πρότερα καὶ τὰ νῦν οἰκονομῶν, καὶ τὰ ἐπὶ τῆς Παλαιᾶς, καὶ τὰ ἐπὶ τῆς χάριτος, ὥσπερ οὖν καὶ ἔστιν ὁ αὐτὸς, ποῖον ἂν ἔχοι λόγον, ἐκείνους μὲν ἁμαρτάνοντας κολάσαι καὶ τιμωρήσασθαι, ἡμᾶς δὲ ταῦτα, καὶ πολλῷ χαλεπώτερα ἐκείνων πταίοντας ἀτιμωρήτους ἀφεῖναι; Ἐρωτῶ τοίνυν· ἐπόρνευσαν οἱ Ἰουδαῖοι, καὶ ἐκολάσθησαν; ἐγόγγυσαν, καὶ ἐτιμωρήθησαν; Ἀνάγκη πᾶσα ὁμολογῆσαι. Πῶς οὖν ὁ τιμωρησάμενος ἐκείνους, σὲ τὰ αὐτὰ τολμῶντα παρόψεται; Οὐκ ἂν ἔχοι λόγον [b]. Ἀλλ' οὐκ ἔδωκας δίκην ἐνταῦθα; Διὰ τοῦτο μάλιστα πίστευε γέενναν εἶναι καὶ κόλασιν, ἐπειδὴ δίκην ἐνταῦθα οὐκ ἔδωκας. Εἰ γὰρ μὴ ἔμελλέ τις ἀποκεῖσθαι μετὰ ταῦτα τιμωρία, οὐκ ἂν τὰ αὐτὰ [c]

[a] Duo mss. τῆς παλαιᾶς αὐτοὺς ἀνέμνησεν.

[b] Savil. in marg. addit ἐκείνους μὲν ἁμαρτάνοντας κολάσαι, ἡμᾶς δὲ ταῦτα, καίτοι πολλῷ αἰσχρότερα ἐργασαμένους οὐ κολάσαι.

[c] Τὰ αὐτά. Sic recte cod. unus, cujus scripturam vulgatæ τοιαῦτα, substituimus. Edit.

τοῖς προτέροις τολμήσας, ἀτιμώρητος ἔμεινας. Καὶ σὺ τοίνυν ὅταν λάβῃς τινὰ χαῦνον, καὶ διαλελυμένον, καὶ πολλὴν ἀτέλγειαν ἐπιδεικνύμενον, καὶ λέγῃ πρὸς σὲ, ὅτι μῦθος ταῦτά ἐστιν, οὐκ ἔστι κόλασις, οὔτε γέεννα, ἀλλ' ἁπλῶς ὁ Θεὸς [232] ἠπείλησε φοβῆσαι βουλόμενος, λέγε πρὸς αὐτόν· Ἄνθρωπε, τοῖς μέλλουσιν ἀπιστεῖς, ἐπειδὴ μὴ φαίνεται, μηδὲ εἰς μέσον ἦλθε, μηδὲ ὑπὸ τοῖς ὀφθαλμοῖς κεῖται τοῖς ἡμετέροις· μὴ ἐπὶ τοῖς γεγενημένοις καὶ τέλος εἰληφόσι δυνατὸν ἀπιστῆσαί τινα; Ἐννόησόν μοι τὰ Σόδομα καὶ τὰ Γόμορρα. Ἐκείνη δὲ χώρα δι' οὐδεμίαν ἑτέραν ἁμαρτίαν τοσαύτην ἔδωκε δίκην, ἢ ὅτι παρανόμους εἰσήγαγον μίξεις οἱ τὰς πόλεις οἰκήσαντες ἐκείνας, καὶ ἀθέσμους ἔρωτας, καὶ τοὺς τῆς φύσεως νόμους ἐκ βάθρων ἀνέτρεψαν. Πῶς οὖν ἂν ἔχοι λόγον, τὸν Θεὸν, τὸν αὐτὸν ὄντα καὶ τότε καὶ νῦν, ἐκείνους μὲν ἁμαρτάνοντας κολάσαι χωρὶς συγγνώμης ἁπάσης, σὲ δὲ τὸν μετ' ἐκείνους ἁμαρτόντα, τὸν πολλῷ μείζονος ὄντα τιμωρίας ἄξιον καὶ κολάσεως, δσῳ καὶ χάριτος ἀπήλαυσας, καὶ οὐδὲ ταῖς ἐκείνων ἐσωφρονίσθης[a] τιμωρίαις, ἀτιμώρητον ἀφεῖναι;

γ'. Διὰ δὴ ταῦτα καὶ Παῦλος οὐδὲν περὶ γεέννης τέως εἰπών, ἐπειδὴ πολλοῖς τὰ μέλλοντά ἐστιν ἄπιστα, ἀπὸ τῶν ἤδη συμβάντων, καὶ ὧν ἱκανὴν εἶχον πίστιν, αὐτοὺς σωφρονίσαι βούλεται. Εἰ γὰρ καὶ φοβερώτερα τὰ μέλλοντα, ἀλλὰ τοῖς ἀτελεστέροις τῶν ἀνθρώπων τὰ παρελθόντα πιστότερα, καὶ ταῦτα μᾶλλον αὐτοὺς ἐκείνων φοβεῖν εἴωθε. Διὰ ταῦτα ἐντεῦθεν αὐτοῖς διαλέγεται, οἷς οὐδὲ τὸν σφόδρα ἀναισχυντοῦντα ἀπιστῆσαι δυνατὸν ἦν· ὁμοῦ δὲ καὶ Μαρκίωνι καὶ Μάνεντι, καὶ πᾶσι τοῖς τὰ αὐτὰ ἐκείνοις νοσοῦσι καιρίαν δίδωσι τὴν πληγήν. Εἰ γὰρ μή ἐστιν ὁ αὐτὸς Θεὸς τῆς Παλαιᾶς καὶ τῆς Καινῆς, ὁ καὶ ἐκεῖνα νουθετήσας, καὶ ταῦτα μέλλων διατυποῦν, περιττῶς μοι ταῦτα λέγεις, ὦ Παῦλε, καὶ φόβον οὐδένα τοῖς ἀκροαταῖς ἐντίθης. Δύναται γὰρ ὁ ἀκούων λέγειν, ὅτι εἰ ἕτερος ἐκεῖνός ἐστι Θεὸς, καὶ ἕτερος οὗτος, οὐ πάντως οὗτος κατὰ τὴν ἐκείνου κρινεῖ γνώμην, οὐδὲ τοῖς αὐτοῖς πείθεται νόμοις. Τί γὰρ, εἰ τῷ τῆς Παλαιᾶς Θεῷ πάντας ἔδοξε κολάσαι καὶ τιμωρήσασθαι, τί μορμολύττεις καὶ ἐκφοβεῖς; Ἕτερον ἔχω Δεσπότην τὸν μέλλοντά με κρίνειν. Ὥστε εἰ ἕτερος ἦν ὁ τῆς Παλαιᾶς, καὶ ἕτερος ὁ τῆς Καινῆς, τοὐναντίον, ὅπερ ἐβούλετο, ὁ Παῦλος ἐποίησεν· οὐ γὰρ μόνον οὐκ ἐφόβησε τὸν ἀκούοντα, ἀλλὰ καὶ πάσης ἀγωνίας καὶ δέους ἀπήλλαξεν· ὅπερ οὐδὲ τῶν τυχόντων ἀνθρώπων καὶ σφόδρα ἀνοήτων τις ἔπαθεν ἄν, μήτι γε Παῦλος ὁ τοσαύτης γέμων σοφίας. Ὅθεν δῆλον, ὅτι εἷς καὶ ὁ αὐτός ἐστι Θεὸς ὁ καὶ τοὺς Ἰουδαίους ἐπὶ τῆς ἐρήμου καταστρώσας, καὶ ἡμῶν τοὺς ἁμαρτάνοντας κολάζειν μέλλων. Οὐ γὰρ εἰ μὴ εἷς ἦν (πάλιν γὰρ τὸ αὐτὸ ἐρῶ), ἀπὸ τῶν ἤδη γεγενημένων ὑπ' ἐκείνου, καὶ περὶ τῶν μελλόντων ἡμᾶς ἐφόβει· ἐπειδὴ δὲ ὁ αὐτός ἐστιν, ἀναντίρρητον εἰσήγαγεν αὐτοῖς τὴν περὶ τῆς τιμωρίας προσδοκίαν, δεικνὺς ὅτι δεδοικέναι χρὴ καὶ φοβεῖσθαι. Οὐ γὰρ ἂν ὁ τοὺς πατέρας ἡμῶν κολάσας ἁμαρτάνοντας, ἡμῶν φείσεται τὰ αὐτὰ πλημμελούντων. Ἄξιον δὲ ἐπ' αὐτὴν τὴν ἀρχὴν ἐλθεῖν τοῦ διηγήματος, καὶ ἑκάστην διερευνήσασθαι ῥῆσιν μετ' ἀκριβείας ἁπάσης. Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί. Τοὺς μαθητὰς ἀδελφοὺς ἐκάλεσεν, οὐκ ἀπὸ τοῦ τῆς ἀξίας, ἀλλ' ἀπὸ τοῦ τῆς ἀγάπης αὐτοὺς προσαγορεύων ὀνόματος. Ἤδει γὰρ, ἤδει σαφῶς, ὅτι ταύτης ἴσον οὐδὲν, καὶ τὸ μέγιστον [233] τῆς ἀξίας εἶδος, τὸ τῆς ἀγάπης εἶδός ἐστι. Τοῦτο δὲ πρῶτον καὶ ἡμεῖς ζηλώσωμεν. Κἂν σφόδρα καταδεέστεροί τινες ἡμῶν ὦσι[b], τοῖς τῆς θεραπείας αὐτοὺς καλῶμεν ὀνόμασι, μὴ μόνον ἐλευθέρους, ἀλλὰ καὶ δούλους, μὴ μόνον πλουσίους, ἀλλὰ καὶ πένητας, ἐπεὶ καὶ Παῦλος οὐχὶ τοὺς πλουσίους τοὺς παρὰ Κορινθίοις, οὐδὲ τοὺς ἐλευθέρους καὶ περιφανεῖς, οὐδὲ τοὺς ἐπισήμους μόνον, ἀλλὰ καὶ ἰδιώτας, καὶ οἰκέτας, καὶ πάντας ἁπλῶς ταύτῃ τετίμηκε τῇ προσηγορίᾳ. Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὐ δοῦλος, οὐκ ἐλεύθερος, οὐ βάρβαρος, οὐ Σκύθης, οὐ σοφὸς, οὐκ ἄσοφος, ἀλλὰ πᾶσα ἀξίας ἀνωμαλία βιωτικῆς ἀνῄρηται. Καὶ τί θαυμαστὸν, εἰ Παῦλος τοὺς ὁμοδούλους οὕτως ἐκάλεσεν, ὅπου γε καὶ ὁ Δεσπότης αὐτοῦ τὴν ἡμετέραν οὕτω ἐκάλεσε φύσιν, οὕτω λέγων· *Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ Ἐκκλησίας ὑμνήσω σε*; Οὐ μόνον δὲ ἐκάλεσεν ἡμᾶς ἀδελφοὺς, ἀλλὰ καὶ γενέσθαι ἀδελφὸς ἡμῶν ἠθέλησε, καὶ ἐγένετο τὴν σάρκα ὑπὲρ ἡμᾶς τὴν ἡμετέραν, καὶ τῆς φύσεως ἡμῶν κοινωνήσας τῆς αὐτῆς. Ὅπερ οὖν καὶ αὐτὸ θαυμάζων ὁ Παῦλος ἔλεγεν· *Οὐ γὰρ ἀγγέλων ἐπιλαμβάνεται ὁ Θεὸς, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται, ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι.* Καὶ πάλιν· *Ἐπεὶ οὖν καὶ τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, παραπλησίως καὶ αὐτὸς μετέσχε τῶν αὐτῶν.*

Πάντα δὲ ταῦτα ἀκούοντες, ἀλαζονείαν, καὶ τῦφον, καὶ ἀπόνοιαν ἅπασαν τῆς ψυχῆς ἐξορίσωμεν τῆς ἡμετέρας, καὶ μετὰ πολλῆς τοῦτο κατορθώσωμεν τῆς σπουδῆς, τὸ θεραπευτικοῖς ὀνόμασι καὶ τιμὴν ἔχουσι τοὺς πλησίον καλεῖν. Εἰ γὰρ καὶ μικρὸν καὶ ψιλὸν εἶναι δοκεῖ τὸ κατόρθωμα, ἀλλ' ὅμως μεγάλων ἀγαθῶν ἐστιν αἴτιον· ὥσπερ οὖν τὸ ἐναντίον πολλὰς πολλάκις ἔχθρας καὶ ἔρεις καὶ φιλονεικίας ἐποίησεν. Οὐ ταύτην δὲ μόνον τὴν ῥῆσιν, ἀλλὰ καὶ τὴν ἑξῆς μετὰ πολλῆς ἐξεταστέον τῆς ἀκριβείας· οὐδὲ γὰρ ταύτην ἁπλῶς τέθεικεν. Εἰπὼν γάρ· *Οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ*, ἐπήγαγεν· *Ὅτι οἱ πατέρες ἡμῶν πάντες*· οὐκ εἶπεν, Ὅτι οἱ Ἰουδαῖοι, οὐδὲ οἱ ἐξ Αἰγύπτου ἐξελθόντες· ἀλλὰ τί; *Οἱ πατέρες ἡμῶν πάντες*· ὁμοῦ καὶ τὴν ταπεινοφροσύνην ἐπιδεικνύμενος τὴν ἑαυτοῦ, ὅτι οὐκ ἀπηξίωσε τὴν πρὸς ἐκείνους συγγένειαν, τοσοῦτον αὐτοὺς ἀναβεβηκὼς κατὰ τὸν τῆς ἀρετῆς λόγον, καὶ τῶν τὴν Παλαιὰν διαβαλλόντων ἐπιστομίζων τὴν ἀναίσχυντον γλῶτταν. Οὐ γὰρ ἄν, εἰ πρὸς ἐκείνην ἀπεχθῶς διέκειτο, ἀπὸ τῶν εὐφημοτέρων ὀνομάτων ἂν ἐμνήσθη, τῶν τότε γενομένων ἁπάντων διαβολὴν ἐχόντων. *Πάντες*. Οὐδὲ τοῦτο ἁπλῶς τέθεικε τὸ, *Πάντες*, οὐδὲ παρέργως, ἀλλὰ μετὰ πολλῆς τῆς σοφίας. Οὐδὲ γὰρ ἅπαξ εἰπὼν ἐσίγησεν, ἀλλὰ καὶ δὶς καὶ τρὶς καὶ πολλάκις, ἵνα μάθῃς, ὅτι οὐ παρέργως αὐτὰ προσέρριψεν. Εἰπὼν γάρ· *Ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, ἐπήγαγε· Καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον, καὶ πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο, καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον.* Ἤκουσας πῶς πολλάκις τὸ, *Πάντες*, τέθεικεν; Οὐκ ἂν δὲ τοῦτο ἐποίησεν, εἰ μὴ μέγα τι καὶ θαυμαστὸν μυστήριον αἰνίξασθαι ἤθελεν. Εἰ γὰρ ἁπλῶς ἐτίθει, ἦρκει ἅπαξ εἰπόντα σιγῆσαι, [234] καὶ εἰπεῖν οὕτως· Ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ διὰ τῆς θαλάσσης διῆλθον, καὶ εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο, καὶ τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, καὶ τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον.

[a] Edit. male σωφρονισθείς: e Cod. 748 correximus. Edit.

[b] Sic Cod. 748, et hæc erat conjectura Savilii. Legebatur ὄντες. Edit.

quam eadem quæ illi priores ausus, inultus mansisses. Tu ergo si quempiam deprehenderis mollem, dissolutum, multamque lasciviam exhibentem, qui dicat tibi, Hæc sunt fabulæ; non est supplicium, neque gehenna, sed Deus hæc frustra terrendi causa comminatus est, responde illi : Homo, non credis futuris, quia non apparent, neque in medio vel sub oculis sunt constituta : num potes fidem negare iis, quæ facta finemque sortita sunt ? Cogita Sodomam et Gomorham. Regio illa nulla alia de causa tantas dedit pœnas, quam quod incolæ ejus illicitos coitus induxerunt, illegitimosque amores, ac naturæ leges radicitus subverterunt. Qua igitur ratione fieri possit ut Deus idem ipse nunc qui tunc erat, illos peccantes sine venia punierit, te vero qui post illos peccasti et majore dignus es ultione, quia gratiam sortitus es, neque illorum supplicio emendatus, inultum sinat ?

3. *Probatur eumdem esse Novi ac Veteris Testamenti Deum.* — Ideoque Paulus, nihildum de gehenna loquutus, quia futura a multis non creduntur, ab iis quæ jam contigerant, et quibus illi fidem habebant, ipsos erudire vult. Etiamsi enim futura terribiliora sint, popularibus tamen præterita sunt credibiliora, et hæc plus quam illa terrori sunt ipsis. Idcirco ex iis argumentum mutuatur, quibus ne impudentiores quidem fidem negare possunt : simul autem et Marcioni et Manichæo et iis qui pari morbo laborabant, letalem infligit plagam. Si enim non est idem Veteris qui Novi Testamenti Deus, qui et illa monuit, et hanc formam traditurus erat, frustra mihi hoc dicis, o Paule, et nullum auditoribus timorem incutis. Nam potest is qui audit dicere : Si alius ille, alius hic Deus est : hic certe non secundum illius sententiam judicabit, neque iisdem obtemperabit legibus. Quid enim si Deo Veteris Legis visum est omnes punire, quas larvas profers, quid terres ? Alium habeo Dominum, qui me judicaturus est. Itaque si alius fuisset Veteris, alius Novæ Legis, Paulus contra, quam volebat, fecisset : non modo enim non terruisset auditorem, sed etiam ab omni angustia et metu liberasset, quod nemo quantivis pretii, etiam insipiens fecerit, nedum Paulus tanta plenus sapientia. Unde palam est eumdem esse Deum, qui et Judæos in eremo prostravit, et de nobis eos ulturus est, qui peccaverint. Neque enim, nisi unus esset (id iterum dico), per ea quæ olim a se gesta sunt, de futuris etiam nos terreret; quia autem idem ipse est, supplicii exspectationem, cui contradici nequit, ipsis induxit, ostendens metuendum formidandumque esse. Qui enim patres nostros peccantes ultus est, non utique nobis parcet paria peccantibus. Jam operæ pretium fuerit principium narrationis repetere, et dicta singula cum omni accuratione examinare. *Nolo autem vos ignorare, fratres.* Discipulos vocat fratres; non dignitatis, sed caritatis nomine ipsos compellans. Sciebat enim, apprime utique sciebat, huic appellationi æquale nihil esse, et maximam dignitatis speciem, speciem esse caritatis. Hoc autem prius et nos imitemur. Etiamsi quidam nostrum valde inferiores sint, ipsos ministerii nomine compellemus, non solum liberos, sed etiam servos; non solum divites, sed etiam pauperes : quandoquidem et Paulus non solum Corinthiorum divites, liberos et conspicuos et nobiles, sed etiam privatos et domesticos, et omnes indiscriminatim hac appellatione honoravit. Nam in Christo Jesu neque servus neque liber, non barbarus, non Scytha, non sapiens, neque insipiens (*Gal.* 3. 28), sed omnis sæcularis dignitatis inæqualitas sublata est. Ecquid mirum si Paulus conservos sic appellaverit, quando et Dominus ejus naturam nostram sic vocavit, his verbis : *Narrabo nomen tuum fratribus meis, in medio Ecclesiæ laudabo te* (*Psal.* 21. 23) ? Neque tantum nos fratres vocavit, sed et ipse frater esse noster voluit, et vere fuit cum carnem nostram induit, et naturæ nostræ consors factus est. Quod ipsum admirans Paulus dicebat : *Non enim angelos apprehendit Deus, sed semen Abrahæ apprehendit; unde debuit per omnia fratribus assimilari* (*Hebr.* 2. 16. 17). Et rursum : *Quoniam vero pueri participaverunt carni et sanguini, similiter et ipse participavit iisdem ipsis* (*Ibid. v.* 14).

Proximi honeste compellandi. Transitus per mare Rubrum baptismi typus. — Hæc porro omnia audientes, arrogantiam, fastum et superbiam quamlibet ex animis nostris eliminemus : id summo studio curemus, ut obsequii et honoris nominibus proximos nostros compellemus. Licet enim hoc officium parvi momenti esse videatur, magna tamen parit bona : quemadmodum et oppositum multas inimicitias, lites et contentiones plerumque peperit. Neque hoc solummodo dictum, sed etiam illud quod sequitur, magna accuratione excutiamus : neque enim illud sine causa posuit. Cum enim dixisset, *Nolo vos ignorare, fratres;* adjecit, *Quod patres nostri omnes :* non dixit, quod Judæi, neque ii, qui ex Ægypto egressi fuerant; sed quid ? *Patres nostri omnes;* simul suam exhibens humilitatem, cum eorum cognationem non dedignatus est, etsi tantum superior virtute; et impudentem eorum linguam coercens, qui Veterem Legem criminantur. Neque enim si odisset illam, honorabilioribus illam nominibus commemorasset, cum illi omnes qui tunc vixerant criminationi essent obnoxii. *Omnes.* Neque illud temere posuit, *Omnes*, neque supervacanee, sed magna cum sapientia. Neque cum semel dixisset, id postea tacuit; sed et bis et ter et sæpe pronuntiavit, ut ediscas illum non perfunctorie hoc protulisse. Cum dixisset enim, *Quod patres nostri omnes sub nube fuerunt*, adjecit, *Et omnes per mare Rubrum transierunt, et omnes in Moysem baptizati sunt, et omnes eamdem escam spiritualem comederunt, et omnes eumdem potum spiritualem biberunt.* Audisti quomodo sæpe illud, *Omnes*, posuerit ? Quod nequaquam fecisset, nisi magnum quid et mirabile mysterium subindicare voluisset. Si enim simpliciter posuisset, satis erat id semel dictum postea tacere, et sic dicere : Quod patres nostri omnes sub nube fuerunt, et per mare transierunt, et in Moysem baptizati sunt, et eamdem escam spiritualem comederunt, et eumdem potum spiritualem biberunt. Nunc autem non ita dixit,

sed ad singula gesta illud, *Omnes*, adjiciens, non parvam nobis sententiæ suæ januam aperuit, ut ejus sapientiam consideremus, Cur ergo hanc vocem frequenter repetit? Ut ostendat magnam esse Legis Veteris cum Nova cognationem, et illa fuisse horum figuram, et futurorum umbram. Atque primum hinc consonantiam ostendit. Volebat enim demonstrare quod, quemadmodum in Ecclesia non est discrimen inter servum et liberum, neque inter peregrinum et civem, senem et juvenem, sapientem et insipientem, privatum et principem, mulierem et virum, sed omnis ætas et dignitas, atque uterque sexus similiter in eamdem illam aquarum piscinam descendunt, ac sive rex sive mendicus eadem expiatione fruuntur: id quod est maximum nostræ nobilitatis argumentum, quod simili modo mendicum ac purpura vestitum ad mysteria admittamus, atque in mysteriorum ratione nihil hic plus illo habeat : sic et in Veteri Lege illud, *Omnes*, frequenter posuit. Neque enim dicere potes, Moysem per aridam, Judæos vero per mare transivisse; neque opulentos per hanc viam, pauperes per aliam, neque mulieres sub aere, viros sub nube; sed omnes per mare, sub nube omnes, et in Moysem omnes. Quoniam enim transitus ille futuri baptismatis typus erat, hoc primum per figuram exprimi oportuit, nempe omnes eorumdem consortes fuisse, quemadmodum et hic omnes eadem æqualiter participant. Et quomodo potest, inquies, illud præsentium esse typus? Si prius didiceris quid sit typus, quid veritas, tunc tibi hujusce rei rationem reddam.

4. *Discrimen inter umbram et veritatem.* — Quid igitur est umbra, et quid veritas? Age, sermonem ad imagines transferamus, quas pictores delineant. Vidisti sæpe imperatoriam imaginem cæruleo tinctam colore; deinde vero pictorem albas lineas ducentem, et Imperatorem depingentem, et solium imperatorium, et equos adstantes, et satellites et vinctos hostes atque subactos. Attamen cum vides hæc delineata et adumbrata, neque totum scis, neque totum ignoras : sed hominem pingi et equum obscure cognoscis; qualis vero sit imperator et qualis hostis, non ita perspicue cognoscis, donec accedens colorum veritas visum certiorem faciat. Sicut igitur in illa imagine non exigis totum ante colorum veritatem; sed si obscuram quamdam rei cognitionem percipias, satis absolutam delineationem esse arbitraris : sic et de Veteri et de Novo Testamento sentias : neque omnimodam in typo veritatis accurationem a me requiras; tumque potero te docere, quo pacto quamdam affinitatem habuerit Vetus cum Novo, et ille transitus cum baptismo nostro. Illic aqua et hic aqua : hic piscina, illic pelagus : hic omnes in aquam ingrediuntur, illic item omnes : secundum hoc affinitas. Vis demum discere colorum veritatem? Illic ab Ægypto per mare liberabantur, hic ab idololatria : illic Pharao demergebatur, hic diabolus : illic Ægyptii præfocabantur, hic vetus homo peccatis onustus defoditur. Et vide cognationem figuræ cum veritate, ac veritatis præ typo excellentiam. Neque enim omnino alienum oportet esse typum a veritate, alioquin enim typus non esset : neque rursum par est exæquari typum veritati; alioquin typus ipsa veritas esset : sed in suo modo maneat oportet, neque omnia habeat, quæ veritas habet, neque a toto excidat. Si enim totum haberet, ipsa veritas esset; si a toto excideret, non posset esse typus; sed oportet ut partem habeat, partem veritati reservet. Ne igitur in Veteri totum a me requiras : sed si qua parva et obscura acceperis ænigmata, tecum bene actum esse puta. Ubi itaque est cognatio typi cum veritate? In eo quod illic omnes, hic item omnes : illic per aquam, hic etiam per aquam : illi a servitute liberati sunt, et nos item a servitute liberati, sed non ab eadem : nam illi a servitute Ægyptiorum, nos a servitute dæmonum : illi a servitute Barbarorum, nos a servitute peccati. Ad libertatem reducti sunt illi, et nos etiam, sed non ad eamdem, sed ad multo splendidiorem nos. Quod si majora suis nostra et excellentiora, ne stupeas. Hoc enim maxime veritatis est, quod sit typo longe excellentior, neque tamen illi adversaria sit, et cum illo pugnet. Quid autem est, *Omnes in Moysem baptizati sunt?* Forte obscurum [1] est quod dicitur; sed clarius efficere conabor. Mare tunc erat diffusum ante oculos eorum et jubebantur transire per extraneam quamdam et admirabilem viam. Nemo umquam sic transierat. Cunctabantur et recusabant, atque ægre ferebant. Transivit Moyses primus, et ut omnes facile sequerentur effecit. Hoc sibi vult illud, *In Moysem baptizati sunt;* cum illi credidissent, tunc in aquas illo duce ipsique fidentes ingredi ausi sunt. Hoc et in Christo accidit : cum enim nos reduxisset ab errore, et ab idolorum cultu liberasset, et in regnum nos manu duceret, ipse primus viam aperuit, primus in cælos ascendit. Quemadmodum igitur illi Moysi fidentes, iter suscipere sunt ausi, ita et nos Christo fidentes, hanc peregrinationem fidentes suscipimus. Quod autem id sibi velit illud *In Moysem baptizati sunt*, ex historia palam est. Non enim in nomen Moysis baptizati sunt. Si porro nos non modo Jesum ducem ac principem habemus, sed etiam in nomen ejus baptizamur, licet illi non baptizentur in nomen Moysis, ne ideo turberis : dixi namque oportere ut veritas aliquam ingentem et ineffabilem excellentiam habeat supra figuram.

Mensa et Mysteria sacra in Veteri Lege adumbrata; Paulus Samosatenus refellitur. — Vidistin' in baptismo qui sit typus, quæ veritas? Age, ostendam tibi et mensam et mysteriorum participationem illic adumbratam fuisse, si non totum rursus a me petas, sed sic ea quæ gesta sunt examines, ut par est umbras et figuras. Nam cum dixisset de mari, de nube, deque Moyse, subjunxit : *Et omnes eamdem escam spiritualem comederunt.* Quemadmodum tu, inquit, ex piscina aquarum ascendens, ad mensam curris : sic et illi ex mari ascendentes, ad mensam novam et mirabilem venerunt, de manna loquor. Ac rursum sicut

[1] In Editis legitur, *clarum* (σαφές); Savil., *obscurum* (ἀσαφὲς), in margine posuerat, et nos legimus e codice 748

Νῦν δὲ οὐχ οὕτως εἶπεν, ἀλλὰ καθ' ἕκαστον τῶν γενομένων τὸ, *Πάντες*, τιθεὶς, θύραν ἡμῖν τῆς ἑαυτοῦ γνώμης παρήνοιξεν οὐ μικράν, ὥστε κατιδεῖν αὐτοῦ τὴν σοφίαν. Τίνος οὖν ἕνεκεν συνεχῶς τῆς λέξεως ταύτης μέμνηται; Βούλεται δεῖξαι πολλὴν οὖσαν τῆς Παλαιᾶς πρὸς τὴν Καινὴν τὴν συγγένειαν, καὶ ὅτι ταῦτα τύπος ἐκείνων ἦν, καὶ σκιὰ τῶν μελλόντων. Καὶ πρῶτον ἀπὸ τούτου τὴν συμφωνίαν δείκνυσι. Βουλόμενος γὰρ δεῖξαι, ὅτι ὥσπερ ἐν τῇ Ἐκκλησίᾳ οὐκ ἔστι δούλου καὶ ἐλευθέρου διάκρισις, οὐδὲ ξένου καὶ πολίτου, οὐδὲ γέροντος καὶ νέου, οὐδὲ σοφοῦ καὶ ἀσόφου, οὐδ' ἰδιώτου καὶ ἄρχοντος, οὐδὲ γυναικὸς καὶ ἀνδρὸς, ἀλλὰ πᾶσα ἡλικία, καὶ πᾶσα ἀξία, καὶ ἑκατέρα ἡ φύσις ὁμοίως εἰς τὴν χολυμβήθραν ἐκείνην ἐμβαίνουσι τῶν ὑδάτων, κἂν βασιλεὺς ᾖ τις, κἂν πτωχὸς, τῶν αὐτῶν ἀπολαύουσι καθαρσίων· καὶ τοῦτό ἐστι μάλιστα τὸ μέγιστον τῆς παρ' ἡμῖν εὐγενείας τεκμήριον, ὅτι ὁμοίως καὶ τὸν προσαίτην[a], καὶ τὸν τὴν ἀλουργίδα ἔχοντα μυσταγωγοῦμεν, καὶ οὐδὲν πλέον οὗτος ἐκείνου κατὰ τὸν τῶν μυστηρίων ἔχει λόγον· οὕτω καὶ ἐν τῇ Παλαιᾷ συνεχῶς τὸ, *Πάντες*, τέθεικεν. Οὐδὲ γὰρ ἔχεις εἰπεῖν, ὅτι Μωϋσῆς μὲν διὰ ξηρᾶς, Ἰουδαῖοι δὲ διὰ τῆς θαλάσσης διῆλθον, οὐδ' ὅτι οἱ μὲν εὔποροι δι' ἑτέρας ὁδοῦ, οἱ δὲ πενέστεροι δι' ἑτέρας, οὐδὲ ὅτι αἱ γυναῖκες μὲν ὑπὸ τὸν ἀέρα, ἄνδρες δὲ ὑπὸ τὴν νεφέλην, ἀλλὰ καὶ διὰ τῆς θαλάσσης πάντες, καὶ ὑπὸ τὴν νεφέλην πάντες, καὶ εἰς τὸν Μωϋσῆν πάντες. Ἐπειδὴ γὰρ ἡ διάβασις ἐκείνη τοῦ μέλλοντος βαπτίσματος ἦν τύπος, ἔδει τοῦτο πρῶτον τῶν ὅλων διατυπωθῆναι, τὸ πάντας τῶν αὐτῶν ἀπολαῦσαι, ὥσπερ οὖν καὶ ἐνταῦθα πάντες τῶν αὐτῶν ἐξίσης μετέχουσι. Καὶ πῶς δύναται, φησὶν, ἐκεῖνο τύπος εἶναι τῶν παρόντων; Ἂν μάθῃς πρότερον, τί μὲν ἔστι τύπος, τί δὲ ἀλήθεια, τότε σοι καὶ τούτου παρέξομαι τὰς εὐθύνας.

δ'. Τί ποτ' οὖν ἐστι σκιὰ, τί δὲ ἀλήθεια; Φέρε, τὸν λόγον ἐπὶ τὰς εἰκόνας ἀγάγωμεν, ἃς οἱ ζωγράφοι γράφουσι. Εἶδες πολλάκις εἰκόνα βασιλικὴν κυανῷ κατακεχρωσμένην χρώματι, εἶτα τὸν ζωγράφον λευκὰς περιάγοντα γραμμὰς, καὶ ποιοῦντα βασιλέα, καὶ θρόνον βασιλικὸν, καὶ ἵππους παρεστῶτας, καὶ δορυφόρους, καὶ πολεμίους δεδεμένους καὶ ὑποχειμένους. Ἀλλ' ὅμως ὁρῶν ταῦτα σκιαγραφούμενα, οὔτε οἶδας τὸ πᾶν, οὔτε ἀγνοεῖς τὸ πᾶν, ἀλλ' ὅτι μὲν ἄνθρωπος γράφεται καὶ ἵππος, ἀμυδρῶς ἐπίστασαι· ποῖος δέ ἐστιν ὁ βασιλεὺς, καὶ ποῖος ὁ πολέμιος, οὐ σφόδρα ἀκριβῶς οἶδας, ἕως ἂν ἐλθοῦσα τῶν χρωμάτων ἡ ἀλήθεια τρανώσῃ τὴν ὄψιν καὶ σαφεστέραν ποιήσῃ. Ὥσπερ οὖν ἐπὶ τῆς εἰκόνος ἐκείνης οὐκ ἀπαιτεῖς τὸ πᾶν πρὸ τῆς τῶν χρωμάτων ἀληθείας, ἀλλὰ κἂν ἀμυδράν τινα λάβῃς γνῶσιν τῶν γινομένων, ἱκανῶς τὴν σκιαγραφίαν ἀπηρτίσθαι νομίζεις· οὕτω μοι καὶ ἐπὶ τῆς Παλαιᾶς καὶ ἐπὶ τῆς Καινῆς λογίζου, καὶ μή με πᾶσαν ἀπαιτήσῃς τῆς ἀληθείας τὴν ἀκρίβειαν ἐπὶ τοῦ τύπου· καὶ δυνησόμεθά σε διδάξαι, πῶς εἶχέ τινα συγγένειαν ἡ Παλαιὰ πρὸς τὴν Καινὴν, καὶ ἡ διάβασις ἐκείνη [235] πρὸς τὸ ἡμέτερον βάπτισμα. Κἀκεῖ ὕδωρ, κἀνταῦθα ὕδωρ· κολυμβήθρα ἐνταῦθα, καὶ ἐκεῖ πέλαγος· πάντες ἐνταῦθα εἰς τὰ ὕδατα ἐμβαίνουσι, κἀκεῖ πάντες· κατὰ τοῦτο ἡ συγγένεια. Λοιπὸν βούλει μαθεῖν τῶν χρωμάτων τὴν ἀλήθειαν; Ἐκεῖ μὲν Αἰγύπτου διὰ τῆς θαλάσσης ἀπηλλάττοντο, ἐνταῦθα δὲ εἰδωλολατρείας· κἀκεῖ μὲν ὁ Φαραὼ κατεπόντιζετο, ἐνταῦθα δὲ ὁ διάβολος· ἐκεῖ Αἰγύπτιοι ἀπεπνίγοντο, ἐνταῦθα δὲ ὁ παλαιὸς ἄνθρωπος τῶν ἁμαρτημάτων κατορύττεται. Καὶ ἴδε συγγένειαν τύπου πρὸς ἀλήθειαν, καὶ ἀληθείας ὑπεροχὴν πρὸς τύπον. Οὔτε γὰρ ἀπηλλοτριῶσθαι πάντη χρὴ τὸν τύπον τῆς ἀληθείας, ἐπεὶ οὐκ ἂν εἴη τύπος· οὔτε πάλιν ἐξισάζειν πρὸς τὴν ἀλήθειαν, ἐπεὶ πάλιν καὶ αὐτὸς ἀλήθεια ἔσται· ἀλλὰ δεῖ μένειν ἐπὶ τῆς οἰκείας συμμετρίας, καὶ μήτε τὸ πᾶν ἔχειν τῆς ἀληθείας, μήτε τοῦ παντὸς ἐκπεπτωκέναι. Ἂν μὲν γὰρ τὸ πᾶν ἔχῃ, ἀλήθεια πάλιν ἐστὶ καὶ αὐτός· ἂν δὲ τοῦ παντὸς ἐκπέσῃ, τύπος εἶναι λοιπὸν οὐ δύναται· ἀλλὰ δεῖ τὸ μὲν ἔχειν, τὸ δὲ τῇ ἀληθείᾳ τηρεῖν. Μὴ τοίνυν τὸ πᾶν με ἀπαιτήσῃς ἐπὶ τῆς Παλαιᾶς, ἀλλ' εἰ κἂν μικρά τινα καὶ ἀμυδρὰ λάβῃς αἰνίγματα, ἀγαπητὸν εἶναι νόμιζε τοῦτο. Ποῦ οὖν ἐστιν ἡ συγγένεια τοῦ τύπου πρὸς τὴν ἀλήθειαν; Ὅτι πάντες ἐκεῖ, καὶ ἐνταῦθα πάντες· ὅτι δι' ὕδατος ἐκεῖ, καὶ ἐνταῦθα δι' ὕδατος· ὅτι δουλείας ἀπηλλάγησαν ἐκεῖνοι, καὶ ἡμεῖς δουλείας, ἀλλ' οὐ τῆς αὐτῆς· ἀλλ' οἱ μὲν τῆς Αἰγυπτίων, ἡμεῖς δὲ τῆς τῶν δαιμόνων· ἐκεῖνοι τῆς τῶν βαρβάρων, ἡμεῖς τῆς κατὰ τὴν ἁμαρτίαν. Πρὸς ἐλευθερίαν ἀνήχθησαν ἐκεῖνοι, καὶ ἡμεῖς, ἀλλ' οὐ πρὸς τὴν αὐτὴν, ἀλλὰ πρὸς πολλῷ λαμπροτέραν ἡμεῖς. Εἰ δὲ μείζω τὰ ἡμέτερα καὶ ὑπερέχοντα ἐκείνων, μὴ θορυβοῦ. Τοῦτο γὰρ μάλιστά ἐστιν ἀληθείας, τὸ πολλὴν ἔχειν πρὸς τὸν τύπον τὴν ὑπεροχὴν, οὐκ ἐναντίωσιν, οὐδὲ μάχην. Τί δέ ἐστι, *Πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο*; Καὶ τάχα ἀσαφὲς τὸ λεγόμενον· οὐκοῦν σαφέστερον αὐτὸ ποιῆσαι πειράσομαι. Θάλασσα ἦν πρὸ τῶν ὀφθαλμῶν κεχυμένη τῶν ἐκείνων τότε, καὶ ἐκελεύοντο διαβαίνειν ξένην τινὰ καὶ παράδοξον ὁδὸν, ἣν οὐδεὶς οὐδέποτε ἀνθρώπων διέβη. Ὤχνουν καὶ ἀνεδύοντο, καὶ ἐδυσχέραινον. Διέβη πρῶτος Μωϋσῆς, καὶ πᾶσι μετ' εὐκολίας ἔδωκεν ἀκολουθῆσαι λοιπόν. Τοῦτό ἐστιν· *Εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο*· ἐκείνῳ πιστεύσαντες, οὕτως ἐθάρρησαν ἐπιβῆναι τῶν ὑδάτων, ἡγεμόνα τῆς ὁδοιπορίας λαβόντες. Τοῦτο καὶ ἐπὶ τοῦ Χριστοῦ γέγονεν· ἐξαγαγὼν γὰρ ἡμᾶς τῆς πλάνης, καὶ τῆς εἰδωλολατρείας ἀπαλλάξας, καὶ πρὸς τὴν βασιλείαν χειραγωγῶν, αὐτὸς πρῶτος ταύτης ἡμῖν ἦρξε τῆς ὁδοῦ, πρῶτος εἰς τοὺς οὐρανοὺς ἀναβάς. Ὥσπερ οὖν ἐκεῖνοι Μωϋσῇ θαρρήσαντες κατετόλμησαν τῆς ὁδοιπορίας, οὕτως ἡμεῖς Χριστῷ θαρρήσαντες κατατολμῶμεν τῆς ἀποδημίας ταύτης. Καὶ ὅτι τοῦτό ἐστι τό· *Εἰς Μωϋσῆν ἐβαπτίσαντο*, δῆλον ἐκ τῆς ἱστορίας. Οὐ γὰρ εἰς τὸ ὄνομα Μωϋσέως ἐβαπτίσαντο. Εἰ δὲ ἡμεῖς οὐ μόνον ἀρχηγὸν τὸν Ἰησοῦν ἔχομεν, ἀλλὰ καὶ εἰς τὸ ὄνομα αὐτοῦ βαπτιζόμεθα, ἐκείνων μὲν βαπτισθέντων εἰς τὸ ὄνομα Μωϋσέως, μηδὲ ἐνταῦθα ταράττου· εἶπον γὰρ, ὅτι δεῖ τὴν ἀλήθειαν ἔχειν τινὰ ὑπεροχὴν πολλὴν καὶ ἄφατον.

[236] Εἶδες ἐπὶ τοῦ βαπτίσματος τίς μὲν ὁ τύπος, τίς δὲ ἡ ἀλήθεια; Φέρε, σοὶ δείξω καὶ τὴν τράπεζαν καὶ τὴν τῶν μυστηρίων κοινωνίαν ἐκεῖ σκιαγραφουμένην, ἂν μὴ τὸ πᾶν ἀπαιτῇς με πάλιν, ἀλλ' οὕτως ἐξετάσῃς τὰ γενόμενα, ὡς εἰκὸς ἐν σκιαγραφίᾳ καὶ τύποις ἰδεῖν. Ἐπειδὴ γὰρ εἶπε περὶ τῆς θαλάσσης καὶ τῆς νεφέλης καὶ τοῦ Μωϋσέως, ἐπήγαγε πάλιν· *Καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον*. Ὥσπερ σὺ, φησὶν, ἀπὸ τῆς κολυμβήθρας τῶν ὑδάτων ἀναβαίνων, ἐπὶ τὴν τράπεζαν τρέχεις, οὕτω κἀκεῖνοι ἀπὸ τῆς θαλάττης ἀναβάντες, ἐπὶ τράπεζαν

[a] Unus ms. τὸν προσαιτῆ.

ἦλθον καινὴν καὶ παράδοξον, τὸ μάννα λέγω. Καὶ πάλιν ὥσπερ σὺ παράδοξον ἔχεις πότον, τὸ αἷμα τὸ σωτήριον, οὕτω κἀκεῖνοι παράδοξον ἔσχον τοῦ πόματος τὴν φύσιν, οὐ πηγὰς εὑρόντες, οὐδὲ ποταμοὺς ῥέοντας, ἀλλ' ἀπὸ πέτρας σκληρᾶς καὶ ἀνύδρου πολλὴν δεξάμενοι ναμάτων δαψίλειαν. Διὰ τοῦτο αὐτὸ καὶ πνευματικὸν ἐκάλεσεν, οὐκ ἐπειδὴ τῇ φύσει τοιοῦτον ἦν, ἀλλὰ ἐπειδὴ τῷ τρόπῳ τῆς χορηγίας τοιοῦτον ἐγένετο. Οὐ γὰρ κατὰ φύσεως ἀκολουθίαν αὐτοῖς ἐδίδοτο, ἀλλὰ κατὰ τὴν ἐνέργειαν τοῦ στρατηγοῦντος αὐτῶν Θεοῦ. Ὅπερ οὖν καὶ αὐτὸ διορθούμενος ἔλεγεν. Ἐπειδὴ γὰρ εἶπε· *Καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον*, ὕδωρ δὲ ἦν τὸ πινόμενον, βουλόμενος δεῖξαι, ὅτι διὰ τοῦτο Πνευματικὸν εἶπεν, οὐ διὰ τὴν φύσιν τοῦ ὕδατος, ἀλλὰ διὰ τὸν τῆς χορηγίας τρόπον, ἐπήγαγεν· *Ἔπινον γὰρ ἐκ τῆς πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριστός*. Οὐχὶ ἡ φύσις τοῦ λίθου, φησὶν, ἀλλ' ἡ δύναμις τοῦ ἐνεργοῦντος Θεοῦ τὰς πηγὰς ἐκείνας ἤφιεν.

ε'. Ἐνταῦθα καὶ τὴν Παύλου τοῦ Σαμοσατέως αἵρεσιν ἀνέσπασε πρόῤῥιζον. Εἰ γὰρ ὁ Χριστὸς ἦν ὁ πάντα ἐνεργῶν ἐκεῖνα, πῶς αὐτὸν ἐκ τότε εἶναι λέγουσιν, ἐξ οὗ Μαρία αὐτὸν ἔτεκεν; Ὅταν γὰρ πρὸ μὲν τῆς Μαρίας τὰ κατὰ τὴν ἔρημον φαίνεται συμβάντα, ἐκεῖνα δὲ πάντα ὁ Χριστὸς ἦν πεποιηκὼς κατὰ τὴν τοῦ Παύλου φωνὴν, ἀνάγκη καὶ πρὸ τοῦ τόκου τούτου, καὶ πρὸ τῶν ὠδίνων αὐτὸν εἶναι τούτων· οὐ γὰρ δήπου ὁ μὴ ὢν ἐνεργεῖν ἔμελλεν οὕτω θαυμαστὰ καὶ παράδοξα πράγματα. Ὥσπερ δὲ εἰπὼν, ὅτι πάντες διὰ τῆς θαλάσσης διῆλθον, τὴν εὐγένειαν τῆς Ἐκκλησίας ἐδήλωσεν ἄνωθεν προδιατυπουμένην· οὕτως εἰπὼν, Τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, τὸ αὐτὸ τοῦτο πάλιν ἠνίξατο. Καθάπερ γὰρ ἐν τῇ Ἐκκλησίᾳ οὐχ ἑτέρου μὲν σώματος ὁ πλούσιος, ἑτέρου δὲ ὁ πένης, οὐδὲ ἑτέρου μὲν οὗτος αἵματος, ἑτέρου δὲ ἐκεῖνος· οὕτω καὶ τότε, οὐχ ἕτερον μὲν ὁ πλούσιος ἐλάμβανε μάννα, ἕτερον δὲ ὁ πένης· οὐδὲ ἑτέρας μὲν ἐκεῖνος μετέσχε πηγῆς, ἑτέρας δὲ οὗτος καταδεεστέρας· ἀλλὰ ὥσπερ νῦν ἡ αὐτὴ τράπεζα, τὸ αὐτὸ ποτήριον, ἡ αὐτὴ τροφὴ ἅπασι πρόκειται τοῖς ἐνταῦθα εἰσιοῦσιν· οὕτω καὶ τότε τὸ αὐτὸ μάννα, ἡ αὐτὴ πηγὴ ἅπασι προὔκειτο. Καὶ τὸ δὴ θαυμαστὸν καὶ παράδοξον, ἐπεχείρησάν ποτέ τινες κατὰ τὸν καιρὸν ἐκεῖνον πλέον συλλέξαι τοῦ δέοντος, καὶ οὐδὲν ἀπώναντο τῆς πλεονεξίας. Ἀλλ' ἕως μὲν τὴν ἰσότητα ἐτίμων, ἔμενε τὸ μάννα μάννα ὄν· ἐπειδὴ δὲ πλεονεκτεῖν ἐπεθύμησαν, ἡ πλεονεξία τὸ μάννα σκώληκα ἐποίησε· καίτοι γε οὐ μετὰ τῆς τῶν ἄλλων [237] ζημίας τοῦτο ἐποίουν· οὐ γὰρ δὴ ἐκ τῆς τοῦ πλησίον ἁρπάζοντες τροφῆς, οὕτως αὐτοὶ πλέον συνέλεγον, ἀλλ' ὅμως ἐπειδὴ τοῦ πλείονος ἐπεθύμησαν, κατεγνώσθησαν. Εἰ γὰρ καὶ μηδὲν τὸν πλησίον ἠδίκουν, ἀλλ' ἑαυτοὺς τὰ μέγιστα κατέβλαπτον, πρὸς πλεονεξίαν τῷ τρόπῳ τῆς συλλογῆς ταύτης συνεθιζόμενοι. Ὥστε ὁμοῦ τὸ αὐτὸ καὶ τροφὴ ἦν καὶ θεογνωσίας διδασκαλία· ὁμοῦ καὶ τὰ σώματα ἔτρεφε, καὶ τὴν ψυχὴν ἐπαίδευεν· οὐκ ἔτρεφε δὲ μόνον, ἀλλὰ καὶ πόνων ἀπήλλαττεν. Οὐ γὰρ ἔδει ζεῦξαι βοῦς, οὔτε ἄροτρον ἑλκύσαι, οὐδὲ ἀνατεμεῖν αὔλακας, οὐδὲ ἐνιαυτὸν ἀναμεῖναι, ἀλλ' ἐσχεδιασμένην εἶχον τὴν τράπεζαν, πρόσφατον καὶ νεαρὰν καὶ ἐφήμερον· καὶ τὸ εὐαγγελικὸν ἐκεῖνο παράγγελμα διὰ τῶν ἔργων αὐτοὺς ἐπαίδευε, τὸ μὴ μεριμνᾶν εἰς τὴν αὔριον· οὐδὲ γὰρ ὄφελος ἀπὸ τῆς μεριμνης ταύτης ἐγένετο. Εἴ γάρ τις πλέον συνέλεξε, διεφθείρετο καὶ ἀπώλλυτο, καὶ πλεονεξίας ἔλεγχος τὸ γινόμενον μόνον ἦν. Εἶτα ἵνα μὴ κατὰ φύσεως ἀκολουθίαν εἶναι νομίζωσιν ἐκεῖνοι τὸν ὄμβρον, ἐν ἡμέρᾳ σαββάτου οὐδὲν τοιοῦτον ἐγίνετο, τοῦ Θεοῦ ταῦτα ἀμφότερα αὐτοὺς διδάσκοντος, ὅτι ἐν ταῖς προτέραις ἡμέραις αὐτὸς ἐνήργει τὸν θαυμαστὸν τοῦτον καὶ παράδοξον ὑετὸν, καὶ ὅτι κατὰ τὴν ἡμέραν ἐκείνην διὰ τοῦτο ἐπεῖχεν, ἵνα καὶ ἄκοντες παιδεύωνται τοῦ σαββάτου τὴν ἡμέραν ἀργεῖν. Οὐκ ἐπὶ τῆς τροφῆς δὲ μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἐνδυμάτων, καὶ ἐπὶ τῶν ὑποδημάτων, καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων, δι' αὐτῶν τῶν ἔργων ἦν ἰδεῖν τὰ τῶν ἀποστόλων παραγγέλματα ἐκτελούμενα. Οὐδὲ γὰρ οἰκίαν εἶχον, οὐ τράπεζαν, οὐ κλίνην, οὐχ ἱμάτιον δεύτερον, οὐχ ὑποδήματα, τοῦ Θεοῦ οὕτως οἰκονομήσαντος. Ὅρα πόση τῆς Παλαιᾶς πρὸς τὴν Καινὴν συγγένεια. Ὥσπερ γὰρ τοὺς ἀποστόλους ἐσχημάτιζεν ὁ Χριστὸς ὕστερον τῶν ἀναγκαίων ἕνεκεν, οὕτω πως κἀκείνοις ὁ τῆς πολιτείας ἐῤῥυθμίζετο [a] τρόπος, καὶ ἡ κτίσις ἅπασα πρὸς τὴν ὑπηρεσίαν ἐκείνων παρεσκευάζετο. Καὶ τίνος ἕνεκεν ταῦτα ἐγένετο, φησί; Ἔμελλεν αὐτοὺς εἰς ἕνα συγκλείειν τῆς οἰκουμένης τόπον, καὶ κελεύειν ἐκεῖ διηνεκῶς αὐτὸν θεραπεύειν, καὶ μήτε ναὸν, μήτε βωμὸν ἀλλαχοῦ που τῆς οἰκουμένης ἱδρῦσθαι, ἀλλὰ καὶ ἀναθήματα καὶ θυσίας ἐκεῖ φέρειν, καὶ ἑορτὰς ἐπιτελεῖν, καὶ τὸν νόμον ἀναγινώσκειν, καὶ πάντα τὰ ἄλλα τὰ τῆς ἁγιαστίας ἐκπληροῦν ἐκείνης. Ἵν' οὖν μὴ τῷ διωρισμένῳ τῆς θεραπείας τρόπῳ καὶ τὴν πρόνοιαν αὐτοῦ συγκεκλεῖσθαι ἐκεῖ νομίζωσι, καὶ μερικὸν αὐτὸν εἶναι Θεὸν, προλαβὼν τὴν αὐτοῦ δύναμιν ἐπὶ τῆς ἀλλοτρίας ἐπέδειξεν, ἐπὶ τῆς Αἰγύπτου, ἐπὶ τῆς ἐρήμου, ἔνθα οὐδεὶς ἦν ὁ θεραπεύων, ἔνθα οὐδεὶς ἦν ὁ προσκυνῶν· καὶ πρὸς τὰ ἐναντία ἡ κτίσις ὑπηρετεῖτο, δι' ὧν ἐποίει, τὴν ἐξ ἀρχῆς αὐτοῦ δημιουργίαν καὶ τοὺς ἀγνωμονοῦντας αὐτῷ λογίζεσθαι πείθουσα. Καὶ γὰρ ἡ θάλασσα τοὺς μὲν ἀπέπνιγε, τοὺς δὲ διέσωζε· καὶ ὁ ἀὴρ νῦν μὲν κατέφερε χάλαζαν, καὶ τοὺς βαρβάρους ἀπώλλυ [b], νῦν δὲ κατέφερε μάννα, καὶ τοὺς Ἰουδαίους διέτρεφε. Πάλιν ἡ γῆ νῦν μὲν σκνῖπας ἐπὶ κολάσει τῶν πολεμίων, νῦν δὲ ὀρτυγομήτραν [238] ἐπὶ σωτηρίᾳ τῶν οἰκείων ἐξέφερε. Κἀκείνοις μὲν ἐν ἡμέρᾳ σκότος, τούτοις δὲ ἐν νυκτὶ φῶς ἐγίνετο. Καὶ Αἰγύπτιοι μὲν τὸν Νεῖλον ἔχοντες παραῤῥέοντα, δίψει καὶ αὐχμῷ διεφθείροντο· οὗτοι δὲ ἐν ἐρήμῳ ξηρᾷ καὶ αὐχμώδει στρατοπεδεύοντες, πολλῆς ἀπέλαυον ὑδάτων δαψιλείας· καὶ τοὺς μὲν βάτραχοι κατηγωνίζοντο, τούτους δὲ οὐδὲ οἱ γίγαντες ἐκεῖ χειρώσασθαι ἴσχυον.

ς'. Ἀλλὰ τίνος ἕνεκεν τούτων ὑμᾶς ἀνέμνησεν ὁ μακάριος Παῦλος; Διὰ τὴν αἰτίαν, ἣν ἐξ ἀρχῆς εἶπον ὑμῖν, ἵνα μάθῃς ὅτι οὔτε βάπτισμα, οὔτε ἁμαρτημάτων ἄφεσις, οὐ γνῶσις, οὐ μυστηρίων κοινωνία, οὐ τράπεζα ἱερὰ, οὐχ ἡ ἀπόλαυσις τοῦ σώματος, οὐχ ἡ κοινωνία τοῦ αἵματος, οὐκ ἄλλο τούτων οὐδὲν ἡμᾶς ὠφελῆσαι δυνήσεται, ἐὰν μὴ βίον ὀρθὸν, καὶ θαυμαστὸν, καὶ πάσης ἁμαρτίας ἀπηλλαγμένον ἔχωμεν. Ὅτι γὰρ διὰ τοῦτο τούτων ἀνέμνησε, καταλέξας τὸν τύπον τοῦ βαπτίσματος, τὸν διὰ τῆς θαλάσσης καὶ τῆς νεφέλης, τὸν τύπον τῶν μυστηρίων, τὸν διὰ τοῦ μάννα καὶ τῆς πέτρας προδιέγραψεν ἐν τῇ Παλαιᾷ, καὶ εἰπὼν, ὅτι *Πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, καὶ τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον*, ἐπήγαγε λέγων· *Ἀλλ' οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν εὐδόκησεν ὁ Θεός*. Μετὰ τοσαῦτα καὶ τηλικαῦτα θαύματα, φησὶν, οὐκ ἠγάπησεν αὐτοὺς ὁ Θεός. Ἀλλὰ τί; *Κατεστρώθησαν ἐν τῇ ἐρήμῳ*. Τίνος οὖν ἕνεκα ταῦτα λέγεις ἡμῖν, ὦ Παῦλε; *Ταῦτα δὲ τύπος ἡμῶν ἐγενήθησαν εἰς τὸ μὴ γενέσθαι ἡμᾶς ἐπιθυμητὰς κακῶν, καθὼς κἀκεῖνοι ἐπεθύμησαν, μηδὲ εἰδωλ-*

[a] Alii κἀκείνοις... ἐῤῥυθμίζετο. Alii κἀκείνους... ἐῤῥύθμιζε. Priorem lectionem secutus est interpres vetus.

[b] Duo mss. ἀπώλλυεν. Edili ἀπώλλυ.

tu mirabilem potum habes, sanguinem Salvatoris : sic et illi mirabilem habuere potus naturam ; non invenerunt fontes, non fluvios, sed ex petra dura et inaquosa magnam fluentorum copiam acceperunt. Ideo potum illum, spiritualem vocavit ; non quod natura talis esset, sed quod ex modo, quo suppeditabatur, talis fieret. Neque enim secundum naturæ rationem ipsis dabatur, sed secundum Dei, ipsos ducentis, operationem. Quod ille ad rectum sensum deducens dicebat. Cum enim dixisset, *Et omnes eumdem potum spiritualem biberunt*, aqua autem erat quæ bibebatur, ut ostenderet se ideo *Spiritualem* dixisse, non ob naturam aquæ, sed ob modum, quo suppeditabatur, adjecit : *Bibebant enim de spirituali consequente eos petra : petra autem erat Christus*. Non, inquit, natura lapidis, sed operantis Dei virtus fontes illos emittebat.

5. Et hic Pauli Samosateni hæresim radicitus evellit. Si enim Christus illa omnia operabatur, quomodo ipsum hinc cœpisse dicunt, cum Maria ipsum genuit? Cum enim ea quæ in deserto gesta sunt, ante Mariam facta sint, et Christus secundum Pauli vocem illa omnia fecerit, necesse est illum et ante partum et ante parturitionem fuisse : neque enim qui non exstitisset, tam mirabilia atque incredibilia opera patrasset. Sicut autem cum dixit, omnes per mare transivisse, Ecclesiæ nobilitatem diu ante typis expressam declaravit : sic cum dixit, omnes eamdem escam spiritualem comedisse, idipsum iterum subindicavit. Quemadmodum enim in Ecclesia non aliud corpus dives, aliud pauper, nec alium sanguinem hic, alium ille accipit : sic et illo tempore non aliud dives manna accepit, aliud pauper ; nec alterius ille fontis, alterius hic et indigentioris particeps fuit : sed sicut nunc eadem ipsa mensa, idipsum poculum, idem cibus omnibus huc ingredientibus offertur : ita et tunc idipsum manna, idem fons omnibus proponebatur. Quodque stupendum admirandumque est, tentavere quidam illo tempore plus, quam opus erat, colligere, nihilque profuit illis avaritia. Verum donec æqualitatem servabant, manna manebat manna ; ubi vero plus accipere studebant, avaritia manna in vermes mutabat : quamvis hoc non cum detrimento aliorum faciebant : non enim proximi escam rapiendo plus colligebant, attamen quia plus concupiscebant, damnati sunt. Licet enim proximum non læderent, sibi tamen maximum damnum afferebant, cum hoc colligendi modo avaritiæ assuescerent. Itaque idipsum simul et esca erat et Dei cognitionis doctrina : simul corpora nutriebat, et erudiebat animum ; neque nutriebat tantum, sed etiam a labore eximebat. Neque enim opus erat jungere boves, aratrum trahere, vel terram sulcare, vel per annum exspectare ; sed subito appositam habebant mensam, recentem, novam et quotidianam : rebusque ipsis discebant evangelicum illud præceptum, non debere quempiam sollicitum esse in crastinum (*Matth.* 6. 34) : nulla quippe utilitas ex hac sollicitudine consequebatur. Quod enim plus quispiam colligebat, corrumpebatur et peribat, atque argumentum avaritiæ solum manebat. Deinde ne putarent imbrem illum ex naturæ consuetudine manare, in die sabbati nihil hujusmodi fiebat, Deo hæc utraque ipsos docente ; quod scilicet ipse præteritis diebus hanc mirabilem pluviam operatus esset, et quod illo die pluviam ideo cohiberet, ut vel inviti discerent illo die feriari. Neque ex cibo tantum, sed etiam ex vestimentis et calceamentis et ex aliis omnibus, videre erat tradita apostolis mandata reipsa completa. Neque enim domum habebant, non mensam, non lectum, non vestem mutatoriam, neque calceos, Deo sic dispensante. Vide quanta sit Veteris Testamenti cum Novo affinitas. Quemadmodum enim Christus apostolos demum ad ea quæ necessaria erant informavit, sic et illis vitæ modus adaptatus est, et omnis creatura ad ministerium eorum præparata erat. Et cur, inquies, hæc facta sunt? Ipsos in unum orbis locum conclusurus erat, et mandaturus eis ut sibi perpetuo illic ministrarent, ac neque templum vel altare alibi per orbem construerent ; sed oblationes et sacrificia sua illuc afferrent, festa celebrarent, legerent legem, et omnes alios sanctificationis illius ritus perficerent. Ne igitur ex definito ministerii ritu providentiam suam illic concludi putarent, seque Deum particularem illius loci crederent, prius virtutem suam in aliena terra exhibuit, in Ægypto, in deserto, ubi nemo qui se coleret, nemo erat qui se adoraret : et contrariis rebus creatura serviebat, operibus suis vel incredulis suadens, ut creationem ab initio ab illo factam agnoscerent. Etenim mare alios suffocavit, alios servavit ; aer nunc grandinem, quo barbaros perderet, nunc manna, ut Judæos aleret, emittebat. Rursum terra, nunc sciniphes ad ulciscendos hostes, nunc coturnicem ad salutem suorum efferebat. Illis interdiu tenebræ, his noctu lux aderat. Ægyptii interfluentem habentes Nilum, siti et siccitate peribant ; hi autem in deserto arido et sicco castra metantes, multa fruebantur aquarum copia : et illos quidem ranæ oppugnabant, hos autem ne gigantes quidem capere poterant.

6. Sed cur hæc nobis commemorat beatus Paulus? Ob eam causam, quam initio vobis dixi : ut discas neque baptismum, neque peccatorum remissionem, non scientiam, non mysteriorum participationem, non mensam sacram, non corporis fruitionem, non sanguinis participationem, nec aliud quidpiam prodesse nobis, nisi vitam rectam, mirabilem, et omni peccato liberam ducamus. Quod enim hæc ideo commemoraverit ostendit, cum postquam recensuerat formam baptismi per mare et per nubem, mysteriorumque typum per manna et per petram in Veteri Lege præfiguratum descripserat, ac dixerat, *Omnes eamdem escam spiritualem comederunt, et eumdem potum spiritualem biberunt* ; adjecit dicens : *Sed non in pluribus eorum beneplacitum est Deo*. Post tot tantaque miracula, inquit, non dilexit eos Deus. Sed quid? *Prostrati sunt in deserto*. Cur itaque hæc nobis, Paule, narras? *Hæc autem in figura facta sunt nobis, ut non simus concupiscentes malorum, sicut et illi concupierunt : neque idololatræ efficiamur, sicut quidam ex*

ipsis; quemadmodum scriptum est : Sedit populus manducare et bibere, et surrexerunt ludere. Vide Pauli prudentiam. Dixit peccatum, dixit causam peccati, dixit pœnam propter peccatum inflictam : his nos erudiens, ut ne illos imitemur. Causa peccati fuit gula : *Sedit populus manducare et bibere.* Peccatum, ipse lusus. Deinde pœna, *Prostrati sunt in deserto.* Iterum vero, *Ne fornicemur , sicut quidam eorum fornicati sunt.* Hic causam fornicationis non posuit, sed pœnam. Quam vero illam? *Ceciderunt una die viginti tria millia.* Cur autem occasionem non dixit, ex qua fornicatio orta est? Studiosis reliquit, ut historiam adirent, et radicem mali discerent. Hic est medicinæ modus, dicere nempe unde nascantur morbi, et remedia adhibere vulneribus. Propterea dicit : *Hæc autem omnia in figura contingebant illis, scripta sunt autem ad correptionem nostram.* Itaque qui fecit illa, et improbos ultus est, is ipse nunc nos admonet, non verbis tantum, sed rebus ipsis ; qui maximus est admonitionis modus. Vidistin' quomodo iis qui in gratia sunt, eum, qui in Veteri hoc fecerat, magistrum instituerit, ostendens eumdem ipsum esse qui et illa fecerat, et hæc per ipsum loquebatur? Nam si alienus fuisset, nequaquam illa horum figuram, nec ad correptionem nostram ea scripta fuisse dixisset, neque magistrum nobis instituisset, quem non putasset esse Deum : neque ab iis, quæ tunc facta fuerant, nos terruisset, quasi in illius manus deventuros. Nunc autem ostendens nos in illius manus iterum delapsuros esse, atque utrumque populum, illum nempe et hodiernum, illius gubernari legibus, omnia illa commemoravit, ac dixit, *Ad nostram correptionem scripta sunt.* Hæc igitur cum sciamus, et præteritis et futuris credamus. Si vero quipiam sint, qui futuris non credant, a præteritis eos ad virtutis studium deducamus, illa narrantes quæ Sodomitis acciderunt, quæ in diluvio item, quæ in Ægypto commemorantes; ut aliorum pœnis ad meliorem frugem reducti, vitamque agentes optimam, doctrinam demum de gehenna et de resurrectione admittant. Quandoquidem et nunc qui judicium non credunt, nonnisi a corrupta vita et prava conscientia sic affecti sunt. Itaque si peccata eluamus, et metu præteritorum nos erudiamus, etiam doctrinam de futuris admittere suadebimus. Quemadmodum enim prava dogmata vitam impuram inducere solent, sic et corrupta vita prava dogmata plerumque peperit. Quod ne contingat et nobis ipsis, et aliis, hæc vociferantes verba et rectam fidem servemus, et vitæ institutum optimum exhibeamus, quandoquidem a nobis ex omni parte demonstratum est, sine proba vita nullam fore rectorum dogmatum utilitatem. Fiat autem precibus sanctorum, et præsulum omnium, ut et recta dogmata, quæ a majoribus olim accepimus, pura servemus ; et vitam ipsis congruentem adjiciamus, ut promissa bona consequamur, gratia et benignitate Domini nostri Jesu Christi, quicum Patri simulque sancto Spiritui, gloria, imperium, honor, nunc et semper, et in sæcula sæculorum. Amen.

MONITUM AD HOMILIAM IN ILLUD,

Id unum circa præsentem concionem expiscari possumus, dictam nempe fuisse postquam in præcedenti homilia Jerosolymam calamitates suas ita παθητικῶς deplorantem induxerat Chrysostomus, ut hujusmodi acroamate commoti omnes qui aderant, mox in fletus et gemitus erupturi essent, nisi sedandi luctus causa sermonem alio transtulisset orator. De anno autem vel tempestate, itemque Antiochiæne an Constantinopoli hanc habuerit homiliam, ne conjectando quidem dici potest. Hæc vero præcipue hic demonstranda suscipit : vocem δεῖ seu *oportet* hic non præcipientis aut consulentis esse, sed futura prænuntiantis, quemadmodum et in aliis non paucis Scripturæ locis observatur ; itemque hæreses, quas

IN DICTUM ILLUD APOSTOLI,

OPORTET ET HÆRESES ESSE IN VOBIS, UT QUI PROBATI SUNT, MANIFESTI FIANT (1. *Cor.* 11. 19).

1. Satis nuper hoc spirituale theatrum incaluit, cum Jerosolymam oratione vobis inducerem et plorantem, et proprias calamitates annuntiantem. Vidi enim oculos vestros lacrymarum flumina parturire : vidi ex affectu vestro singulorum animos gemitibus repletos atque turbatos. Ideo statim atque id animad-

λολάτρας γίνεσθαι, καθώς τινες αὐτῶν, ὥσπερ γέγραπται· Ἐκάθισεν ὁ λαὸς φαγεῖν καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν. Ὅρα τοῦ Παύλου τὴν σύνεσιν. Εἶπε τὴν ἁμαρτίαν, εἶπε τὴν αἰτίαν τῆς ἁμαρτίας, εἶπε τὴν κόλασιν τὴν ἐπὶ τῇ ἁμαρτίᾳ, διὰ πάντων ἡμᾶς παιδεύων φεύγειν τὴν ἐκείνων μίμησιν. Αἰτία τῆς ἁμαρτίας ἡ ἀδηφαγία· Ἐκάθισε γὰρ ὁ λαὸς φαγεῖν καὶ πιεῖν. Ἡ ἁμαρτία, αὐτὸ τὸ παίζειν. Εἶτα ἡ τιμωρία, ὅτι Κατεστρώθησαν ἐν τῇ ἐρήμῳ. Πάλιν, Μηδὲ πορνεύωμεν, καθώς τινες αὐτῶν ἐπόρνευσαν. Ἐνταῦθα τὴν αἰτίαν τῆς πορνείας οὐκ ἔθηκεν, ἀλλὰ τὴν τιμωρίαν. Ποίαν δὲ ταύτην; Ἔπεσον ἐν μιᾷ ἡμέρᾳ εἰκοσιτρεῖς χιλιάδες. Τίνος δὲ ἕνεκα τὴν πρόφασιν οὐκ εἶπεν, ἀφ' ἧς ἡ πορνεία γέγονε; Τοῖς φιλοπόνοις διδοὺς ἐπὶ τὴν ἱστορίαν ἐλθεῖν, καὶ μαθεῖν τοῦ κακοῦ τὴν ῥίζαν. Οὗτος γὰρ ἰατρείας τρόπος, τὸ λέγειν ἐξ ὧν τίκτεται τὰ νοσήματα, καὶ φάρμακα ἐπιτιθέναι τοῖς τραύμασι. Διὰ τοῦτό φησι· Ταῦτα δὲ πάντα τύποι συνέβαινον [a] ἐκείνοις, ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν. Ὥστε ὁ ποιήσας ἐκεῖνα, καὶ κολάσας τοὺς ἀγνωμονήσαντας, οὗτος ἡμᾶς νουθετεῖ νῦν, οὐ διὰ ῥημάτων μόνον, ἀλλὰ καὶ δι' αὐτῶν τῶν πραγμάτων, ὅπερ μέγιστός ἐστι νουθεσίας τρόπος. Εἶδες πῶς τοῖς ἐν τῇ χάριτι τὸν ἐν τῇ Παλαιᾷ ταῦτα ποιήσαντα διδάσκαλον ἐπέστησε, δεικνὺς ὅτι εἷς ἐστι καὶ ὁ αὐτὸς, ὁ καὶ ἐκεῖνα ποιήσας, καὶ ταῦτα δι' αὐτοῦ φθεγγόμενος; Εἰ γὰρ ἀλλότριος ἦν, οὐκ ἐκεῖνα τούτων τύπους ἐκάλεσεν, οὐκ ἂν εἰς νουθεσίαν ἡμῶν αὐτὰ γεγράφθαι εἶπεν, οὐκ ἂν διδάσκαλον ἡμῖν ἐπέστησεν, ὃν οὐκ ἐνόμιζεν εἶναι Θεὸν, οὐκ ἂν ἀπὸ τῶν ὑπ' ἐκείνου γενομένων τότε ἡμᾶς ἐφόβησεν, ὡς [239] εἰς τὰς ἐκείνου πάλιν μέλλοντας ἐμπίπτειν χεῖρας. Νῦν δὲ δεικνὺς, ὅτι εἰς τὰς ἐκείνου μέλλομεν ἐμπίπτειν πάλιν χεῖρας, καὶ ἑκάτερος ὁ λαὸς, κἀκεῖνος καὶ οὗτος, τοῖς ἐκείνου διοικοῦνται νόμοις, ἀνέμνησε πάντων ἐκείνων, καὶ εἶπεν, ὅτι Πρὸς νουθεσίαν ἡμῶν ἐγράφη. Ταῦτα οὖν εἰδότες, τοῖς τε παρελθοῦσι, τοῖς τε μέλλουσι πιστεύωμεν. Ἂν δέ τινες ὦσιν οἱ τοῖς μέλλουσιν οὐ πιστεύοντες, ἀπὸ τῶν παρελθόντων αὐτοὺς ἐνάγωμεν εἰς τὴν τῆς ἀρετῆς ἐπιμέλειαν τὰ κατὰ τοὺς Σοδομίτας διηγούμενοι, τὰ κατὰ τὸν κατακλυσμὸν λέγοντες, τὰ κατὰ [b] τὴν Αἴγυπτον ἀναμιμνήσκοντες, ἵνα ταῖς ἑτέρων σωφρονισθέντες κολάσεσι, καὶ βίον ἄριστον ἐπιδειξάμενοι, καὶ τὸν περὶ τῆς γεέννης καὶ τῆς ἀναστάσεως δέξωνται λόγον. Ἐπεὶ καὶ νῦν ὅσοι τῇ κρίσει διαπιστοῦσιν, οὐδαμόθεν ἑτέρωθεν, ἀλλ' ἀπὸ βίου διεφθαρμένου καὶ πονηροῦ συνειδότος τοῦτο πάσχουσιν. Ὥστε ἐὰν ἐκκαθάρωμεν ἑαυτῶν τὰς ἁμαρτίας, καὶ τῷ φόβῳ τῶν παρελθόντων παιδεύσωμεν, καὶ περὶ τῶν μελλόντων πείσομεν δέξασθαι λόγον. Ὥσπερ γὰρ δόγματα πονηρὰ βίον ἀκάθαρτον εἰσάγειν εἴωθεν, οὕτω καὶ διεφθαρμένος βίος πονηρίαν δογμάτων πολλάκις ἔτεκεν. Ὅπερ ἵνα μὴ γένηται, καὶ ἡμῖν αὐτοῖς, καὶ τοῖς ἄλλοις ταῦτα κατεπᾴδοντες τὰ ῥήματα, τήν τε ὀρθὴν πίστιν διαμένωμεν ἔχοντες, καὶ πολιτείαν ἀρίστην ἐπιδειξώμεθα, ἐπειδὴ πανταχόθεν ἡμῖν ὁ λόγος ἀπέδειξεν, ὅτι ταύτης χωρὶς οὐδὲν ὄφελος ἡμῖν ὀρθῶν δογμάτων. Γένοιτο δὲ εὐχαῖς τῶν ἁγίων, καὶ τῶν προέδρων ἁπάντων, τήν τε ὀρθότητα τῶν δογμάτων, ἣν ἄνωθεν καὶ ἐκ προγόνων παρελάβομεν, ἀκέραιον διατηρῆσαι, καὶ βίον αὐτῇ συμβαίνοντα προσθεῖναι, ἵνα τῶν ἐπηγγελμένων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[a] Alii πάντα τύποι συνέβαινον. In aliis τύποι deest.

[b] Alii τῶν κατά.

OPORTET HÆRESES ESSE IN VOBIS, ETC.

hoc loco Paulus commemorat, non dissidia circa fidem et dogmata indicare; sed SCISSURAS illas, queis in communi ac Dominica mensa divites sese a pauperibus sequestrabant, ut seorsim cibum sumerent, in quos ideo invehitur Apostolus. Demum postquam Chrysostomus priscæ Ecclesiæ mirabilem in mensa communi ritum graphice descripsit, et ad pauperum suscipiendam curam hortatus est, orationem claudit.

Incerti interpretationem Latinam, utpote non accuratam, rejecimus, novamque adornavimus.

[240] ΕΙΣ ΤΟ ΑΠΟΣΤΟΛΙΚΟΝ ΡΗΤΟΝ

Τὸ λέγον· « Δεῖ δὲ καὶ αἱρέσεις εἶναι ἐν ὑμῖν, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται. »

α'. Ἱκανῶς πρώην ἡμῖν διεθερμάνθη τὸ πνευματικὸν τοῦτο θέατρον, ὅτε τὴν Ἱερουσαλὴμ εἰσήγαγον ὑμῖν τῷ λόγῳ θρηνοῦσαν, καὶ τὰς οἰκείας ἐξαγγέλλουσαν συμφοράς. Καὶ γὰρ εἶδον ὑμῶν τοὺς ὀφθαλμοὺς τότε ὠδίνοντας πηγὰς ἀφιέναι δακρύων· εἶδον, ἐξ ὧν ἔπασχον, τὴν ἑκάστου διάνοιαν ὁλοφυρμῶν γέμουσαν καὶ

σψγκεχυμένην. Διὸ καὶ ταχέως αἰσθόμενος συνέστειλα τὴν τραγῳδίαν, ἥρπασα ἐκ τοῦ μέσου τὸν λόγον, ὥστε τὸν θρῆνον ἐκεῖνον τῆς ἑκάστου καρδίας ἐκρήγνυσθαι μέλλοντα προκατασχεῖν. Ψυχὴ γὰρ πένθει κατασχεθεῖσα, οὔτε εἰπεῖν, οὔτε ἀκοῦσαί τι δύναιτ' ἂν ὑγιές. Τίνος οὖν ἕνεκεν ἐκείνων ὑμᾶς ἀνέμνησα νῦν; Ὅτι καὶ τὰ σήμερον ῥηθήσεσθαι μέλλοντα συγγενῆ τῶν τότε εἰρημένων ἐστίν. Ὥσπερ γὰρ ἐκεῖνα τὴν ἐν τῷ βίῳ ῥᾳθυμίαν ἡμῶν ἀνέστελλε, καὶ τὴν ὀλιγωρίαν τὴν περὶ τὰ πρακτέα διώρθου, οὕτω δὴ τὰ ῥηθησόμενα νῦν περὶ τὴν τῶν δογμάτων ἀκριβῆ παρατήρησιν ἀσφαλεστέρους ἡμᾶς ἐργάσασθαι δύναιτ' ἄν· ὥστε ἐξ ἁπάντων ἀπηρτισμένους εἶναι, *εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας* φθάνοντας κατὰ τὸν θεῖον Ἀπόστολον. Τότε τὸ σῶμα ὑμῖν ἐθεραπεύσαμεν, νῦν τὴν κεφαλὴν ἰατρεύομεν· τότε διὰ τῶν Ἱερεμίου λόγων, νῦν διὰ τῶν τοῦ Παύλου ῥημάτων.

Τίνα οὖν ἐστι τὰ Παύλου ῥήματα, ἃ σήμερον ἡμῖν ἐξεργάσασθαι πρόκειται; Δεῖ δὲ *καὶ αἱρέσεις εἶναι*, φησὶν, *ἐν ὑμῖν, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται ἐν ὑμῖν*. Οὐ μικρὸν τὸ ζητούμενον. Εἰ γὰρ συμβουλεύων τοῦτό φησιν ὁ Παῦλος, καὶ δεῖ αἱρέσεις εἶναι, ἀναίτιοι οἱ τὰς αἱρέσεις εἰσάγοντες. Ἀλλ' οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν· οὐ γὰρ συμβουλεύοντος τὸ ῥῆμά ἐστιν, ἀλλὰ τὸ μέλλον προλέγοντος. Ὥσπερ γὰρ ἰατρὸς, ὁρῶν τὸν κάμνοντα ἀδηφαγίᾳ καὶ μέθῃ προσέχοντα καὶ ἑτέροις κεκωλυμένοις, φησὶν ὅτι τὴν ἀταξίαν ταύτην δεῖ πυρετὸν τεκεῖν, οὐχὶ νομοθετῶν, οὐδὲ συμβουλεύων, ἀλλ' ἐκ τῶν παρόντων τὸ μέλλον μετὰ σκέψεως προλέγων· καὶ γεωργὸς πάλιν, ἢ κυβερνήτης ὁρῶν νεφῶν συνδρομὰς καὶ βροντὰς καταῤῥηγνυμένας μετὰ ἀστραπῶν, φησὶν ὅτι δεῖ τὰ νέφη ταῦτα τεκεῖν ὑετὸν καὶ ὄμβρον σφοδρὸν, οὐδὲ οὗτος παραινῶν, ἀλλὰ τὸ ἐσόμενον προαναφωνῶν· οὕτω καὶ Παῦλος τὸ, Δεῖ, τέθεικε. Πολλάκις γοῦν καὶ ἡμεῖς ὁρῶντες ἀνθρώπους ἀλλήλοις συῤῥηγνυμένους καὶ χαλεπαῖς ἑαυτοὺς πλύνοντας λοιδορίαις, λέγομεν, Δεῖ συμπληγάδας γενέσθαι τούτους καὶ φυλακίζεσθαι, οὐ συμβουλεύοντες οὐδὲ ἡμεῖς, οὐδὲ παραινοῦντες ἐκείνοις, (πῶς γάρ;) ἀλλ' ἀπὸ τοῦ παρόντος τὸ μέλλον στοχαζόμενοι. Οὕτω δὴ καὶ ὁ Παῦλος οὐχὶ συμβουλεύων ταῦτά φησιν, ὅτι *Δεῖ καὶ αἱρέσεις ἐν ὑμῖν εἶναι*, ἀλλὰ προαναφωνῶν καὶ προφητεύων τὸ μέλλον ἔσεσθαι Ὅτι γὰρ οὐ συμβουλεύει αἱρέσεις εἶναι, αὐτός ἐστιν ὁ λέγων, ὅτι *Κἂν ἄγγελος ὑμᾶς* [a] *εὐαγγελίζηται* [241] *παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω*. Αὐτός ἐστιν ὁ τὴν περιτομὴν, ἐπειδὴ παρὰ καιρὸν παρελαμβάνετο, καὶ ἐθόλου τὸ καθαρὸν τοῦ κηρύγματος, ἐκβάλλων καὶ λέγων, *Ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει*. Πῶς οὖν, φησὶ, καὶ αἰτίαν προσέθηκεν εἰπὼν, *Ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται*; Τὸ, *Ἵνα*, πολλαχοῦ ἐν ταῖς Γραφαῖς οὐκ ἔστιν αἰτιολογίας, ἀλλὰ τῆς τῶν πραγμάτων ἐκβάσεως. Οἷον, ἦλθεν ὁ Χριστὸς, καὶ τὸν τυφλὸν ἀναβλέψαι ἐποίησε· κἀκεῖνος μὲν αὐτὸν προσεκύνησεν· οἱ δὲ Ἰουδαῖοι, τούτου θεραπευθέντος, πάντα ἐποίουν, ὥστε συσχιάσαι τὸ θαῦμα, καὶ τὸν Χριστὸν ἤλαυνον. Τότε τοίνυν φησίν· *Εἰς κρῖμα ἐγὼ ἦλθον εἰς τὸν κόσμον τοῦτον, ἵνα οἱ μὴ βλέποντες βλέπωσι, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται*. Ἆρα οὖν διὰ τοῦτο ἦλθεν, ἵνα ἐκεῖνοι τυφλοὶ γένωνται; Οὐ διὰ τοῦτο ἦλθε, τοῦτο δὲ ἐξέβη, καὶ τὴν ἔκβασιν ἐν σχήματι αἰτιολογίας τέθεικε. Πάλιν, νόμος ἐδόθη, ἵνα κωλύσῃ τὴν τῶν ἁμαρτημάτων φοράν, ἵνα ἐπιεικεστέρους ποιήσῃ τοὺς δεχομένους. Ἀλλὰ τοὐναντίον ἐξέβη παρὰ τὴν ῥᾳθυμίαν ἐκείνων· ηὔξησαν γὰρ τὰ ἁμαρτήματα· καὶ φησὶν ὁ Παῦλος, *Νόμος δὲ παρεισῆλθεν, ἵνα πλεονάσῃ τὸ παράπτωμα*· καὶ μὴν οὐ διὰ τοῦτο ἐπεισῆλθεν, ἀλλ' ἵνα ἐλαττώσῃ τὸ παράπτωμα. Τοῦτο δὲ ἐξέβη παρὰ τὴν ἀγνωμοσύνην τῶν δεξαμένων αὐτόν. Οὕτω δὴ καὶ ἐνταῦθα, τὸ, *Ἵνα*, οὐχὶ αἰτιολογίας ἐστὶν, ἀλλὰ ἐκβάσεως. Ὅτι γὰρ ἄλλη τίς ἐστιν αἰτία τῶν αἱρέσεων, καὶ οὐ διὰ τοῦτο ἐγένοντο αἱρέσεις, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται, ἀλλ' ἑτέρωθεν ἔλαβον τὰς προφάσεις, ἄκουσον τοῦ Χριστοῦ δῆλον τοῦτο ποιοῦντος ἡμῖν· *Ὡμοιώθη*, φησὶν, *ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ σπείροντι καλὸν σπέρμα ἐν τῷ ἀγρῷ αὐτοῦ· καὶ ἐν τῷ καθεύδειν τοὺς ἀνθρώπους, ἦλθεν ἐχθρὸς ἄνθρωπος, καὶ ἔσπειρε τὰ ζιζάνια*. Ὁρᾷς, ὅτι διὰ τοῦτο αἱρέσεις, ἐπειδὴ ἐκαθεύδησαν οἱ ἄνθρωποι, ἐπειδὴ ἐῤῥᾳθύμησαν; ἐπειδὴ οὐ προσέσχον μετὰ ἀκριβείας τοῖς λεγομένοις; Ἵν' οὖν μὴ λέγῃ τις, Τίνος ἕνεκεν συνεχώρησεν ὁ Χριστός; φησὶν ὁ Παῦλος, ὅτι Οὐδέν σε βλάπτει ἡ συγχώρησις αὕτη· ἐὰν ᾖς δόκιμος, φανερώτερος ἔσῃ μᾶλλον. Οὐ γάρ ἐστιν ἴσον, μηδενὸς ὑποσκελίζοντος, μηδὲ ἀπατῶντος, ἐπὶ τῆς ὀρθῆς στῆναι πίστεως, καὶ μυρίων προσρηγνυμένων κυμάτων, ἄσειστον καὶ ἀπερίτρεπτον μεῖναι. Καθάπερ οὖν τὰ δένδρα αἱ τῶν ἀνέμων προσβολαὶ πάντοθεν ῥιπίζουσαι ἰσχυρότερα ποιοῦσιν, ἂν ᾖ καλῶς ἐῤῥιζωμένα καὶ μετὰ ἀκριβείας· οὕτω δὴ καὶ τὰς ψυχὰς τὰς πεπηγυίας ἐν τῷ θεμελίῳ τῆς ὀρθῆς πίστεως, ὅσαι ἂν προσβάλωσιν αἱρέσεις, οὐ περιτρέπουσιν, ἀλλὰ καὶ ἰσχυροτέρας ποιοῦσι. Τί οὖν πρὸς τοὺς ἀσθενοῦντας, φησὶ, καὶ περιτρεπομένους καὶ ὑποσκελιζομένους ῥᾳδίως; Οὐδὲ ἐκεῖνοι παρὰ τὴν τῆς αἱρέσεως προσβολὴν, ἀλλὰ παρὰ τὴν οἰκείαν ἀσθένειαν τοῦτο πάσχουσιν. Ἀσθένειαν δὲ οὐ φυσικὴν λέγω, ἀλλὰ τὴν ἐκ προαιρέσεως, τὴν καὶ ἐγκλημάτων ἀξίαν καὶ ὑπὸ κόλασιν καὶ τιμωρίαν κειμένην, ἣν καὶ ἡμεῖς κύριοι διορθῶσαι. Διὸ κατορθοῦντές τε ἐπαινούμεθα, καὶ μὴ κατορθοῦντες κολαζόμεθα.

β'. Καὶ ἵνα μάθῃς, ὅτι τοὺς νήφοντας οὐδὲν δύναται παραβλάψαι, καὶ ἑτέρωθεν τοῦτο ἀποδεῖξαι πειράσομαι. Τί τοῦ διαβόλου γένοιτ' ἂν πονηρότερον, [242] τί δὲ μιαρώτερον; Ἀλλ' ὅμως οὗτος ὁ πονηρὸς καὶ κακοῦργος καὶ πολλὴν ἔχων ἰσχὺν, μετὰ πάντων αὐτοῦ τῶν μηχανημάτων προσβαλὼν τῷ Ἰὼβ, καὶ πᾶσαν αὐτοῦ τὴν βελοθήκην εἰς τὴν οἰκίαν καὶ τὸ σῶμα τοῦ δικαίου κενώσας, οὐ μόνον αὐτὸν οὐ περιέτρεψεν, ἀλλὰ καὶ λαμπρότερον ἐποίησε. Καὶ οὗτος μὲν οὐδὲ παρὰ τοῦ διαβόλου τότε ἐβλάπτετο· ὁ δὲ Ἰούδας, ἐπειδὴ ἠμελημένος καὶ ῥᾳθυμος ἦν, οὐδὲν παρὰ τῆς τοῦ Χριστοῦ συνουσίας ἐκέρδανεν, ἀλλ' ἔμεινεν ὢν προδότης μετὰ τὰς πολλὰς παραινέσεις ἐκείνας καὶ συμβουλάς· τὸ δὲ αἴτιον, ὅτι μὴ βουλόμενόν τινα οὐκ ἀναγκάζει, οὐδὲ βιάζεται ὁ Θεός· ὥσπερ οὖν οὐδὲ ἐκεῖνον. Οὕτως ἐὰν νήφωμεν καὶ ἡμεῖς, οὐδὲ ὁ διάβολος ἡμᾶς βλάψαι δύναται· ἂν δὲ μὴ νήφωμεν, ἀλλὰ ῥᾳθυμῶμεν, οὐδὲ παρὰ τῶν ὠφελούντων κερδανοῦμεν

[a] Nihil. ὑμῖν.

verti, tragœdiam illam sedavi, sermonem de medio transtuli, fletumque illum ex singulorum cordibus erupturum coercui. Anima quippe luctu occupata, nihil sanum vel dicere vel audire valet. At cur hoc nunc vobis in memoriam revocavi? Quia ea, quæ sum hodie dicturus, illis quæ tunc loquutus sum admodum sunt affinia. Quemadmodum enim illa vitæ desidiam in nobis reprimebant, segnitiemque in agendo nostram corrigebant: sic ea quæ nunc dicturi sumus circa diligentem dogmatum observationem, securiores nos reddere poterunt, ita ut undequaque perfecti futuri simus, *In virum perfectum, in mensuram ætatis* (*Ephes.* 4. 13) pervenientes secundum divinum apostolum. Tunc corpus vestrum curavimus, nunc capiti medicinam afferimus; tunc Jeremiæ verbis, nunc Pauli sermonibus.

Vox, Oportet, *prædictionis sæpe vim habet.*— Quænam sunt illa Pauli verba, quæ nunc nobis explananda proponuntur? *Oportet*, inquit, *et hæreses esse in vobis, ut et qui probati sunt, manifesti fiant in vobis* (1. *Cor.* 11. 19). Non minimum est quod quæritur. Nam si consulentis more Paulus loquitur, et vere oportet hæreses esse, inculpati sunt hæresiarchæ. Atqui non ita est, non ita res se habet: non enim consulentis, sed futura prædicentis hoc dictum est. Quemadmodum enim medicus cum videt ægrum crapulæ et vino aliisque prohibitis deditum, tali intemperantia, inquit, febrim gigni oportet, non legem ponens, non consulens, sed ex præsentibus futura conjectans ac prædicens, ita loquitur; similiterque agricola aut gubernator videns concursum nubium et tonitrua cum fulguribus erumpentia, dicit, Oportet hasce nubes pluviam parere, et imbrem vehementissimum, non cohortando hæc dicit, sed quod futurum est prænuntiat: sic et Paulus illa voce, *Oportet*, usus est. Et nos sæpenumero cum videmus homines acriter disceptantes, ac sese mutuo gravibus contumeliis afficientes, dicimus, Oportet hosce homines in aliquam pugnam erumpere, et custodiendi sunt; non cohortantes, neque consulentes ita loquimur (qui enim id fieri possit?) sed ex præsenti futurum conjectantes. Ita et Paulus non consulens ita loquitur, *Oportet hæreses in vobis esse*, sed prædicens et prophetice prænuntians id quod futurum est. Quod enim non consulat hæreses esse, ipse declarat dicens: *Etiamsi angelus vobis evangelizat præter id, quod accepistis, anathema sit* (*Gal.* 1. 8). Ipse est qui circumcisionem, quia intempestive observabatur, et prædicationis puritatem labefactabat, rejecit ac dixit: *Si circumcidamini, Christus vobis nihil proderit* (*Id.* 5. 2). Quomodo igitur, inquies, causam adjecit, dicens: *Ut qui probati sunt, manifesti fiant?* Illa vox, *Ut*, in Scripturis plerumque non causam significat, sed rerum eventum. Exempli causa, venit Christus, et cæco visum reddidit: ille vero ipsum adoravit (*Joan.* 9): Judæi contra, hoc in sanitatem restituto, nihil non agebant ut miraculum obscurarent; atque Christum expellebant. Tunc igitur ait ille: *In judicium ego veni in mundum hunc, ut qui non vident, videant, et qui vident, cæci fiant* (*Joan.* 9. 39). Ergone ea de causa venit, ut illi cæci fierent? Non certe ideo venit: sed illud accidit, et eventum rei ille ceu causam extulit. Rursum, lex data est ut peccatorum cursum coerceret, ut moderatiores efficeret eos, qui ipsam acciperent. Sed ob illorum ignaviam contrarium accidit: peccata enim auxerunt; dicitque Paulus: *Lex autem subintravit, ut abunduret delictum* (*Rom.* 5. 20); cum tamen non ideo subintraverit, sed ut minueret delictum. Illud autem evenit propter improbitatem eorum, qui illam acceperunt. Sic et hoc loco, *Ut*, non causam indicat, sed eventum. Quod enim alia sit hæresium causa, quodque non ideo hæreses fuerint, ut qui probati essent, manifesti fierent, sed aliunde occasiones acceperint, audi Christum nobis declarantem. *Simile factum est*, inquit, *regnum cœlorum homini seminanti bonum semen in agro suo; et dum dormirent homines, venit inimicus homo, et seminavit zizania* (*Matth.* 13. 24. 25). Viden' ideo hæreses fuisse, quod dormirent homines, quoniam segnes erant? quoniam dictis non diligenter attendebant? Ne itaque quispiam dixerit, Cur hoc permisit Christus? dicit Paulus: Hæc permissio nihil te lædit: si probatus fueris, clarior apparebis. Non enim par res est, nemine supplantare, nemine decipere conante, in recta stare fide, atque innumeris erumpentibus procellis, inconcussum et immobilem manere. Quemadmodum enim arbores ventorum undique irruentium impetu firmiores reddantur, si quidem recte et accurate radicem posuerint: sic et animas in fundamento rectæ fidei defixas quælibet irrumpentes hæreses non subvertunt, sed fortiores reddunt. Quid igitur dicamus de infirmis, qui facile corruunt et supplantantur? Ne illi quidem per hæreseos impetum, sed per propriam infirmitatem hoc patiuntur. Infirmitatem vero non naturalem dico, sed eam, quæ est ex proposito voluntatis, quæ digna reprehensione, pœna atque supplicio, quam emendare penes nos est. Quapropter cum emendamus, laudamur; cum non emendamus, castigamur.

2. *Vigilanti nihil damni infert diabolus. Vox*, Ut, *aliquando eventum, non causam significat. Eleemosynæ modus.* — Atque ut discas eis, qui vigilant, nihil nocere posse, aliunde etiam id demonstrare atagam. Quid diabolo malignius, quid sceleratius? Attamen hic malignus sceleratusque, qui multa vi pollet, cum omnibus machinis suis Job adortus, totaque pharetra sua in domum et in corpus justi viri evacuata, non modo ipsum non subvertit, sed et clariorem fecit. Et ille quidem a diabolo nocumenti nihil accepit; Judas vero, quoniam negligens segnisque erat, nihil ex Christi consortio lucratus est, sed post tot illas adhortationes atque consilia proditor mansit. Causa autem est, quia neminem invitum cogit vel vi adducit Deus, ut nec illum coegit. Eodem modo si nos vigilemus, nihil nocumenti nobis afferre poterit diabolus; sin non vigilemus, sed segniter agamus, ne quidem ab iis, quæ prodesse possent, lucri quid-

piam accipiemus ; sed detrimentum nobis erit extremum : tantum malum est segnities. Judæis ergo non modo nihil profuit Christi adventus, sed etiam nocuit : non Christus illis in causa fuit, sed sua ipsorum segnities et improbitas. Id vero Christum ipsum audi dicentem : *Nisi venissem*, inquit, *et loquutus fuissem eis, peccatum non haberent : nunc autem excusationem non habent de peccato suo* (*Joan.* 15. 22). Viden' adventum ejus et venia ipsos privasse, et omnem defensionis modum abstulisse? Tantum est malum non attendere sibi, neque sua, ut par est, curare. Hoc et in corporibus videre est : eum enim qui oculis laborat, ipse sol caligine offundere solet, sanum vero ne tenebræ quidem lædere possunt. Non sine causa diutius hunc sermonem produco : sed quia multi, cum segnitiem suam culpare, ac improbitatem stuporemque suum corrigere deberent, hac missa cura circumeunt frigidas excusationes quærentes atque dicentes : Nisi diabolus esset, non periremus ; nisi lex esset, non peccaremus ; nisi hæreses essent, non supplantaremur. Hæc sunt obtentus et prætextus, mi homo : vigilanti enim nihil nocet umquam, sicut dormienti, pigritanti et salutem suam prodenti, nihil prodest. Idipsum enim et Paulus subindicans dicebat : *Ut qui probati sunt, manifesti fiant in vobis* (1. *Cor.* 11. 19) : hoc est, ne turbemini, neque anxii estote ; nihil vobis nocere possunt hæreses. Quod itaque etiamsi de hæresibus sermo sit, prædicta quæstio non sic habeat, hinc palam est. Prophetia namque est, non consilium ; prædictio, non admonitio : et illa vox, *Ut*, eventum, non causam, significat. Quod autem non de dogmatibus jam illi sermo sit, sed de pauperibus et divitibus, de cibo, et de abstinentia a cibo, de opulentorum lascivia et crapula, et de pauperum contemptu, qui penes ipsos erat, ferte paulisper id superius narrantem : neque enim alio modo id vobis palam esse potest. Quoniam enim apostoli cœperant verbum pietatis seminare, accesserunt statim tria millia, et rursum quinque millia, et illorum omnium erat cor unum, et anima una. Concordiæ autem causa, et caritatis eorum vinculum, quod tot animas in unum congregabat, pecuniarum contemptus erat. *Nullus enim*, inquit, *quidpiam sibi proprium esse dicebat, sed erant illis omnia communia* (*Act.* 4. 32). Quia enim radix malorum sublata fuerat, avaritia nempe, omnia adverant bona : ac deinde mutuo cohærebant, a nulla re divulsi. Illud enim *meum* et *tuum*, frigidum illud verbum, innumera bella in orbem inducens, ex sancta illa Ecclesia eliminatum erat, et in terra perinde habitabant, atque angeli in cælo. Non divitibus pauperes invidebant, cum nulli essent divites ; nec pauperes a divitibus contemnebantur, cum pauperes non essent, sed omnia essent communia. Ac nemo quidpiam ex iis quæ habebat, suum esse dicebat ; neque enim ut hodie, sic tunc se res habebant. Nunc enim sua habentes, erogant pauperibus : tunc vero non sic ; sed a propriarum pecuniarum dominio absistentes, et in medio eas deponentes atque commiscentes, ne quidem internosci poterant qui nuper divites fuerant ; ita ut si quis ex pecuniarum despectu fastus oriri posset, ille etiam funditus tolleretur, quandoquidem omnia æqualia erant, omnesque pecuniæ commixtæ fuerant. Neque inde solum, sed etiam ex modo deponendi pecunias, illorum pietatem videre erat. *Quotquot enim agros aut domos possidebant, illas vendentes pretium afferebant, et ponebant ad pedes apostolorum* (*Act.* 4. 34). Non dixit, In manus injiciebant, sed *Ad pedes eorum ponebant*, pudorem, reverentiam, timorem, quo erga apostolos afficiebantur, his declarantes : non enim dare magis, quam accipere se putabant. Et hoc maxime est pecunias despicere, hoc vere Christum nutrire, si non cum arrogantia et fastu hoc facias ; si ita largiaris, si ita præbeas, ac si magis in te, quam in accipientem, beneficium conferas. Si enim non sic affectus sis, ne dederis ; nisi te putes magis accipere, quam dare, ne præbueris. Idipsum et aliis rursum testificatus est Paulus his verbis : *Notam autem facio vobis, fratres, gratiam Dei, quæ data est in Ecclesiis Macedoniæ, quoniam altissima paupertas eorum abundavit in divitias simplicitatis eorum : quia secundum virtutem testimonium illis reddo, et supra virtutem voluntarii fuerunt, cum multa exhortatione obsecrantes nos gratiam et communicationem ministerii, quod in sanctos impleverunt* (2. *Cor.* 8. 1-4). Viden' quod ideo plus illos admiretur, quod gratiam scientes et obsecrantes et hortantes, sic pecuniarum copiam exhibuerunt ?

3. Ideo Abrahamum miramur, non tantum quod vitulum mactaverit, non quod farinam miscuerit, sed quod cum multa voluptate et humilitate hospites exceperit, accurrens, ministrans, dominos vocans, thesaurum innumerorum bonorum se reperisse putans, si quando transeuntem hospitem videret. Sic enim duplex est eleemosyna, cum damus, et cum alacritate damus. *Hilarem* enim, inquit, *datorem diligit Deus* (2. *Cor.* 9. 7). Quandoquidem si cum arrogantia, fastu et vana gloria innumera effuderis talenta, omnia perdidisti ; quemadmodum ille Pharisæus, qui bonorum suorum decimam dabat, quia altum sapiebat et superbia tumebat, omnibus amissis, discessit e templo (*Luc.* 18. 10-14). Apostolorum vero tempore non sic se res habebat, sed gaudentes, exsultantes, magno sibi esse lucro putantes, sic pecunias afferebant ; et bene secum actum esse existimabant, si eas apostoli dignarentur accipere. At quemadmodum quidam ad supremos magistratus vocati, et in præcipuis imperii urbibus semper habitaturi, substantia tota in pecuniam conversa, sic solent eo se transferre : sic tunc faciebant homines illi, ad cælum vocati, ad supernam metropolim et cæleste regnum. Quia enim sciebant illam esse vere patriam suam, substantiam suam in pecunias convertentes, eas per apostolicas manus eo præmittebant. Etenim extremæ est insipientiæ quidpiam ex rebus nostris hic relinquere, cum nos post tantillum temporis hinc emigraturi simus : quod enim relinquitur, in damnum

ποτε, ἀλλὰ καὶ ζημίαν ὑποστησόμεθα τὴν ἰσχάτην. τοσοῦτόν ἐστι ῥᾳθυμία κακόν. Οἱ γοῦν Ἰουδαῖοι οὐ μόνον οὐκ ὠφελήθησαν, τοῦ Χριστοῦ παραγενομένου, ἀλλὰ καὶ ἐβλάβησαν· ἀλλ' οὐ παρὰ τὸν Χριστὸν, ἀλλὰ παρὰ τὴν οἰκείαν αὐτῶν ῥᾳθυμίαν καὶ ἀγνωμοσύνην. Καὶ τοῦτο ἄκουσον αὐτοῦ τοῦ Χριστοῦ λέγοντος· *Εἰ μὴ ἦλθον*, φησὶ, *καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν.* Ὁρᾷς, ὅτι ἡ παρουσία αὐτοῦ καὶ συγγνώμης αὐτοὺς ἀπεστέρησε, καὶ τὴν ἀπολογίαν αὐτῶν ἐξέκοψε; Τοσοῦτόν ἐστι κακὸν μὴ συγκροτεῖν ἑαυτὸν, μηδὲ τὰ καθ' ἑαυτὸν οἰκονομεῖν ὡς χρή. Τοῦτο καὶ ἐπὶ σωμάτων συμβαῖνον ἴδοι τις ἄν· τὸν μὲν γὰρ νοσοῦντα τὰς ὄψεις καὶ αὐτὸς ὁ ἥλιος σκοτίζειν εἴωθε, τὸν δὲ ὑγιῆ οὐδὲ τὸ σκότος παραβλάψαι δύναται. Καὶ τοῦτον οὐχ ἁπλῶς μηχύνω τὸν λόγον· ἀλλ' ἐπειδὴ πολλοὶ τὰς ἑαυτῶν ἀφέντες ῥᾳθυμίας αἰτιᾶσθαι, καὶ τὴν ἀγνωμοσύνην αὐτῶν καὶ τὴν ἀναισθησίαν διορθοῦν, τοῦτο μὲν οὐ ποιοῦσι, περιέρχονται δὲ ζητοῦντες ἑαυτοῖς ψυχρὰς ἀπολογίας, καὶ λέγοντες· Εἰ μὴ ὁ διάβολος ἦν, οὐκ ἂν ἀπωλόμεθα· εἰ μὴ νόμος ἦν, οὐκ ἂν ἡμάρτομεν· εἰ μὴ αἱρέσεις ἦσαν, οὐκ ἂν ὑπεσκελίσθημεν. Σκήψεις ταῦτα καὶ προφάσεις, ἄνθρωπε· τὸν γὰρ νήφοντα οὐδὲν βλάπτει ποτὲ, ὥσπερ οὖν τὸν καθεύδοντα καὶ ῥᾳθυμοῦντα καὶ τὴν ἑαυτοῦ προδιδόντα σωτηρίαν οὐδὲν ὠφελεῖ. Τοῦτο γοῦν αὐτὸ καὶ ὁ Παῦλος αἰνιττόμενος ἔλεγεν, *Ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται ἐν ὑμῖν*· τουτέστι, μὴ θορυβεῖσθε, μηδὲ ἀλύετε· οὐδὲν ὑμᾶς αἱ αἱρέσεις παραβλάψαι δύνανται. Ὅτι μὲν οὖν, εἰ καὶ περὶ αἱρέσεων ἦν ὁ λόγος, οὐδὲ οὕτως ἔχει ζήτημα τὸ εἰρημένον, ἐκ τούτων δῆλον. Προφητεία γάρ ἐστιν, οὐ συμβουλή· πρόῤῥησις, οὐ παραίνεσις· καὶ τὸ, *Ἵνα*, ἐκβάσεως, οὐκ αἰτιολογίας. Ὅτι δὲ οὐδὲ περὶ δογμάτων ἐστὶν ὁ λόγος αὐτῷ νῦν, ἀλλὰ περὶ πενήτων καὶ πλουσίων, περὶ τοῦ φαγεῖν καὶ μὴ φαγεῖν, περὶ τῆς τῶν εὐπόρων ἀσωτίας καὶ λαιμαργίας, περὶ τῆς τῶν πενήτων ἐγκαταλείψεως τῆς παρ' αὐτῶν γενομένης, ἀνάσχεσθε μικρὸν ἄνωθεν διηγουμένου· οὐδὲ γὰρ ἂν ἄλλως ὑμῖν γένοιτο σαφὲς τὸ λεγόμενον. Ἐπειδὴ γὰρ ἤρξαντο σπείρειν τὸν λόγον τῆς εὐσεβείας οἱ ἀπόστολοι, προσῆλθον εὐθέως τρισχίλιοι, καὶ πάλιν πεντακισχίλιοι, καὶ πάντων αὐτῶν ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία. Τὸ δὲ τῆς ὁμονοίας αἴτιον, καὶ συνδῆσαν αὐτῶν τὴν ἀγάπην, καὶ τοσαύτας ψυχὰς εἰς [243] ἓν συναγαγὸν, ἡ τῶν χρημάτων ὑπεροψία ἦν. *Οὐδεὶς γάρ τι τῶν ὑπαρχόντων*, φησὶν, *ἴδιον ἔλεγεν εἶναι, ἀλλ' ἦν αὐτῶν ἅπαντα κοινά.* Ἐπειδὴ γὰρ ἀνῃρέθη ἡ ῥίζα τῶν κακῶν, τὴν φιλαργυρίαν λέγω, πάντα ἐπεισῆλθε τὰ ἀγαθὰ, καὶ λοιπὸν συνεσφίγγοντο πρὸς ἀλλήλους, οὐδενὸς ὄντος τοῦ διαιροῦντος αὐτούς. Τὸ γὰρ *ἐμὸν*, καὶ τὸ *σὸν*, τοῦτο τὸ ψυχρὸν ῥῆμα καὶ μυρίους πολέμους εἰς τὴν οἰκουμένην εἰσαγαγὸν, ἐκ τῆς ἁγίας ἐκείνης Ἐκκλησίας ἐξώριστο, καὶ τὴν γῆν ᾤκουν, καθάπερ οἱ ἄγγελοι τὸν οὐρανὸν, καὶ οὔτε ἐφθόνουν οἱ πένητες τοῖς πλουτοῦσιν· οὐδὲ γὰρ ἦσαν πλούσιοι· οὔτε ὑπερεώρων οἱ πλούσιοι τῶν πενήτων· οὐδὲ γὰρ ἦσαν πένητες· ἀλλὰ πάντα ἦν κοινά. Καὶ οὐδὲ εἷς τι τῶν ὑπαρχόντων ἴδιον ἔλεγεν εἶναι· οὐ γὰρ, καθάπερ νῦν γίνεται, οὕτω καὶ τότε συνέβαινε. Νῦν μὲν γὰρ ἔχοντες τὰ ἑαυτῶν, διδόασι τοῖς δεομένοις· τότε δὲ οὐδὲ τοῦτο ἦν, ἀλλ' ἀποστάντες τῆς δεσποτείας τῶν οἰκείων χρημάτων, καὶ εἰς μέσον αὐτὰ καταθέντες καὶ ἀναμίξαντες, οὐδὲ δῆλοι λοιπὸν ἦσαν οἱ πρώην ὄντες εὔποροι· ὥστε καὶ εἴ τις ἐκ τῆς ὑπεροψίας τῶν χρημάτων ἐγένετο τῦφος, καὶ οὗτος ἀνῄρητο παντάπασι, πάντων ὄντων ἐν ἰσότητι μιᾷ, καὶ τῶν χρημάτων ἀναμιχθέντων ἁπάντων. Οὐκ ἐκ τούτου δὲ μόνον, ἀλλὰ καὶ ἐξ αὐτοῦ τοῦ τρόπου τῆς καταβολῆς ἔστιν αὐτῶν ἰδεῖν τὴν εὐλάβειαν. *Ὅσοι γὰρ κτήτορες χωρίων ἢ οἰκιῶν ὑπῆρχον, πωλοῦντες ἔφερον τὰς τιμὰς, καὶ ἐτίθουν παρὰ τοὺς πόδας τῶν ἀποστόλων.* Οὐκ εἶπεν, ὅτι εἰς τὰς χεῖρας αὐτῶν ἐνέβαλλον, ἀλλὰ, *Παρὰ τοὺς πόδας αὐτῶν ἐτίθεσαν*, τὴν αἰδῶ καὶ τὴν εὐλάβειαν καὶ τὸν φόβον, ὃν περὶ τοὺς ἀποστόλους εἶχον, διὰ τούτου δεικνύντες· οὐ γὰρ διδόναι μᾶλλον, ἢ λαμβάνειν ἐνόμιζον. Καὶ τοῦτο γὰρ μάλιστά ἐστιν ὑπεριδεῖν χρημάτων· τοῦτο θρέψαι γνησίως ἐστὶ Χριστὸν, ὅταν μὴ μετὰ ἀπονοίας καὶ τύφου τοῦτο ποιῇς, ὅταν ὡς σαυτὸν μᾶλλον, ἢ τὸν λαμβάνοντα εὐεργετῶν, οὕτω παρέχῃς. Εἰ γὰρ μὴ οὕτω διάκεισαι, μηδὲ δῷς· εἰ μὴ νομίζεις λαμβάνειν μᾶλλον ἢ διδόναι, μὴ παράσχῃς. Τοῦτο καὶ ἑτέροις λοιπὸν ὁ Παῦλος ἐμαρτύρησεν, οὕτω λέγων· *Γνωρίζω δὲ ὑμῖν, ἀδελφοὶ, τὴν χάριν τοῦ Θεοῦ, τὴν δεδομένην ἐν ταῖς Ἐκκλησίαις τῆς Μακεδονίας, ὅτι ἡ κατὰ βάθος πτωχεία αὐτῶν ἐπερίσσευσεν εἰς τὸν πλοῦτον τῆς ἁπλότητος αὐτῶν, ὅτι κατὰ δύναμιν, μαρτυρῶ, καὶ ὑπὲρ δύναμιν, αὐθαίρετοι μετὰ πολλῆς παρακλήσεως δεόμενοι ἡμῶν, τὴν χάριν καὶ τὴν κοινωνίαν τῆς διακονίας τῆς εἰς τοὺς ἁγίους ἐπλήρωσαν.* Ὁρᾷς πῶς αὐτοὺς ἐπὶ τούτῳ μᾶλλον θαυμάζει, ὅτι χάριν εἰδότες, καὶ δεόμενοι, καὶ παρακαλοῦντες, οὕτω τὴν ἐπὶ τῶν χρημάτων δαψίλειαν ἐπεδείκνυντο;

γ'. Διὰ τοῦτο καὶ τὸν Ἀβραὰμ θαυμάζομεν, οὐχ ὅτι μόσχον ἔθυσε μόνον, οὐδὲ ὅτι ἄλευρα ἐφύρασεν, ἀλλ' ὅτι μετὰ πολλῆς ἡδονῆς καὶ ταπεινοφροσύνης τοὺς ξένους ὑπεδέχετο, προστρέχων, θεραπεύων, κυρίους καλῶν, θησαυρὸν μυρίων ἀγαθῶν εὑρηκέναι νομίζων, εἴ ποτε ἴδοι παριόντα ξένον. Οὕτω γὰρ διπλῆ ἐλεημοσύνη γίνεται, ὅταν καὶ διδῶμεν, καὶ διδόντες μετὰ προθυμίας παρέχωμεν. *Ἱλαρὸν* γὰρ *δότην*, φησὶν [244], *ἀγαπᾷ ὁ Θεός.* Ἐπεὶ κἂν μυρία καταβάλῃς τάλαντα μετὰ ἀπονοίας καὶ τύφου καὶ κενοδοξίας, τὰ πάντα ἀπώλεσας· καθάπερ ἐκεῖνος ὁ Φαρισαῖος, ὃς ἀποδεκατῶν αὐτοῦ τὰ ὑπάρχοντα, ἐπειδὴ καὶ μέγα ἐφρόνει καὶ ἐφυσᾶτο, πάντα ἀπολέσας, οὕτω κατῆλθεν ἀπὸ τοῦ ἱεροῦ. Οὐκ ἐπὶ τῶν ἀποστόλων δὲ οὕτως· ἀλλὰ χαίροντες, ἀγαλλόμενοι, κερδαίνειν τὰ μέγιστα νομίζοντες, οὕτως ἔφερον τὰ χρήματα, καὶ ἀγαπητὸν εἶναι ἐνόμιζον, εἰ καταξιώσειεν οἱ ἀπόστολοι δέξασθαι. Καὶ καθάπερ πρὸς τὰς μεγάλας τινὲς ἀρχὰς καλούμενοι, καὶ τὰς βασιλικωτέρας τῶν πόλεων μέλλοντες οἰκεῖν, διαπαντὸς τὴν οὐσίαν αὐτῶν πᾶσαν ἐξαργυρίσαντες, οὕτω μεθίστανται· οὕτω δὴ καὶ οἱ ἄνθρωποι τότε ἐποίουν ἐκεῖνοι, πρὸς τὸν οὐρανὸν χληθέντες, εἰς τὴν ἄνω μητρόπολιν καὶ τὴν ἐκεῖ βασιλείαν. Ἐπειδὴ γὰρ ᾔδεσαν, ὅτι ἐκείνη ὄντως αὐτῶν ἐστιν ἡ πατρὶς, ἐξαργυρίσαντες τὴν ἑαυτῶν οὐσίαν, διὰ τῶν ἀποστολικῶν αὐτὴν χειρῶν ἐκεῖ προέπεμπον. Καὶ γὰρ ἐσχάτης ἀνοίας ἐστὶν ἀφεῖναί τι τῶν ἡμετέρων ἐναπομεῖναι ἐνταῦθα, ἡμῶν μικρὸν ὕστερον μελλόντων ἐντεῦθεν ἀποδημεῖν· καὶ γὰρ ὅπερ ἀπολειφθῇ, ζημία

γίνεται. Πάντα τοίνυν ἐκεῖ προπεμπέσθω, ἔνθα καὶ ἡμεῖς διαπαντὸς διατρίβειν μέλλομεν λοιπόν. Ταῦτα γὰρ καὶ αὐτοὶ λογισάμενοι, πᾶσαν ἀπεδύσαντο τὴν οὐσίαν, καὶ διπλοῦν ἐγίνετο τὸ κατόρθωμα· καὶ γὰρ τοῖς δεομένοις τὴν πενίαν διώρθουν, καὶ πλείω καὶ ἀσφαλεστέραν τὴν αὐτῶν οὐσίαν ἐποίουν, εἰς τὸν οὐρανὸν τοὺς ἑαυτῶν μετατιθέντες θησαυρούς.

Ἐκ τούτου τοίνυν τοῦ νόμου καὶ τοῦ ἔθους ἐγένετό τις συνήθεια θαυμαστὴ τότε ἐν ταῖς ἐκκλησίαις· συνιόντες γὰρ οἱ πιστοὶ πάντες μετὰ τὴν τῆς διδασκαλίας ἀκρόασιν, μετὰ τὰς εὐχὰς, μετὰ τὴν τῶν μυστηρίων κοινωνίαν, τῆς συνάξεως λυθείσης, οὐκ ἀνεχώρουν εὐθέως οἴκαδε, ἀλλ' οἱ πλούσιοι καὶ εὐπορώτεροι φέροντες οἴκοθεν τροφὰς καὶ ἐδέσματα, τοὺς πένητας ἐκάλουν, καὶ κοινὰς ἐποιοῦντο τραπέζας, κοινὰς ἑστιάσεις, κοινὰ συμπόσια ἐν αὐτῇ τῇ ἐκκλησίᾳ· ὥστε καὶ ἀπὸ τῆς κοινωνίας τῆς κατὰ τὴν τράπεζαν, καὶ ἀπὸ τῆς εὐλαβείας τῆς ἀπὸ τοῦ τόπου, καὶ πανταχόθεν τὴν ἀγάπην αὐτοῖς ἐπισφίγγεσθαι, καὶ πολλὴν μὲν τὴν ἡδονὴν, πολλὴν δὲ αὐτοῖς γίνεσθαι τὴν ὠφέλειαν. Οἵ τε γὰρ πένητες παραμυθίας ἀπέλαυον οὐ τῆς τυχούσης, καὶ οἱ πλουτοῦντες πολλὴν εὔνοιαν καὶ παρὰ τῶν τρεφομένων, καὶ παρὰ τοῦ Θεοῦ, δι' ὃν ταῦτα ἐποίουν, καρπωσάμενοι πολλὴν τὴν χάριν, οὕτως ἀπῇεσαν οἴκαδε. Καὶ μυρία ἐκ τοῦ πράγματος τούτου ἐγίνετο τὰ ἀγαθὰ, καὶ τὸ πάντων κεφάλαιον, ἡ φιλία θερμοτέρα ἦν καθ' ἑκάστην σύναξιν, μετὰ τοσαύτης φιλοφροσύνης ἀλλήλοις συνηνωμένων αὐτῶν εὐεργετούντων τε αὐτῶν καὶ εὐεργετουμένων. Τοῦτο τοίνυν τὸ ἔθος Κορίνθιοι, τοῦ χρόνου προϊόντος, διέφθειρον, καὶ καθ' ἑαυτοὺς ἑστιώμενοι οἱ εὐπορώτεροι τοὺς πένητας παρεώρων, καὶ οὐκ ἀνέμενον ὑστερίζοντας πολλάκις, καὶ ὑπὸ βιωτικῶν χρειῶν, οἷα τὰ τῶν πενήτων, κατεχομένους καὶ βραδύνοντας. Ἐκ δὲ τούτου συνέβαινε παραγενομένους αὐτοὺς ὕστερον μετὰ αἰσχύνης ἀναχωρεῖν, τῆς τραπέζης ἀναιρεθείσης, φθανόντων τούτων, κἀκείνων ὑστεριζόντων. Ὁρῶν τοίνυν ὁ Παῦλος ἐκ τοῦ πράγματος τούτου πολλὰ κακὰ, τὰ μὲν γινόμενα, τὰ δὲ μέλλοντα (καὶ γὰρ καταφρόνησις τῶν [245] πενήτων τοῖς πλουσίοις ἐγίνετο καὶ ὑπεροψία πλείων, καὶ τοῖς πένησιν ἀθυμία καὶ ἀπέχθεια πρὸς τοὺς πλουτοῦντας, καὶ ὅσα ἄλλα εἰκὸς ἦν ἀπὸ τούτων τεχθῆναι τῶν κακῶν), διορθοῦται τὴν πονηρὰν ταύτην καὶ πικρὰν συνήθειαν. Καὶ ὅρα μεθ' ὅσης συνέσεως καὶ ἐπιεικείας εἰς τὴν διόρθωσιν ἐνέβαλεν. Ἀρχόμενος γὰρ οὕτω φησί· *Τοῦτο δὲ παραγγέλλων οὐκ ἐπαινῶ, ὅτι οὐκ εἰς τὸ κρεῖττον, ἀλλ' εἰς τὸ ἧττον συνέρχεσθε.* Τί δέ ἐστιν, *Οὐκ εἰς τὸ κρεῖττον;* Οἱ πρόγονοι, φησὶν, οἱ ὑμέτεροι καὶ οἱ πατέρες καὶ τὰς ἑαυτῶν οὐσίας ἐπώλουν καὶ τὰ κτήματα καὶ τὰς ὑπάρξεις, καὶ κοινὰ πάντα εἶχον, καὶ πολλὴν πρὸς ἀλλήλους τὴν ἀγάπην· ὑμεῖς δὲ ὀφείλοντες ἐκείνους ζηλοῦν, οὐ μόνον οὐδὲν ἐποιήσατε τοιοῦτον, ἀλλὰ καὶ ὅπερ εἴχετε μόνον, καὶ τοῦτο ἀπωλέσατε, τὰ συμπόσια τὰ κατὰ σύναξιν γινόμενα· διὰ τοῦτό φησιν, *Ὅτι οὐκ εἰς τὸ κρεῖττον, ἀλλ εἰς τὸ ἧττον συνέρχεσθε.* Καὶ ἐκεῖνοι μὲν καὶ τῶν κτημάτων ἁπάντων τοῖς πένησι παρεχώρησαν· ὑμεῖς δὲ τραπέζης αὐτοῖς μεταδιδόντες, καὶ ταύτης ἀπεστερήσατε. *Πρῶτον μὲν γάρ, συνερχομένων ὑμῶν ἐν ἐκκλησίᾳ, ἀκούω σχίσματα ἐν ὑμῖν ὑπάρχειν, καὶ μέρος τι πιστεύω.*

δ'. Ὅρα πῶς πάλιν συνετῶς ποιεῖται τὴν διόρθωσιν. Οὐκ εἶπεν, οὔτε Ἀπιστῶ, οὔτε Πιστεύω· ἀλλὰ μέσον ἀφῆκε τὸ ῥῆμα, ὅτι *Μέρος τι καὶ πιστεύω*· οὐ πιστεύω τέλεον, ἀλλ' οὐδὲ ἀπιστῶ τέλεον· τοῦ δὲ ἢ τοῦτο, ἢ ἐκεῖνο συμβῆναι παντελῶς ὑμεῖς κύριοι. Ἂν μὲν γὰρ διορθώσησθε, οὐ πιστεύω· ἂν δὲ ἐπὶ τῶν αὐτῶν μείνητε, πιστεύω. Οὔτε οὖν κατηγόρησε, καὶ κατηγόρησεν. Οὐ κατηγόρησεν ἀπηρτισμένως, ἵνα αὐτοῖς ἐλπίδα δῷ διορθώσεως καὶ προθεσμίαν μετανοίας· οὐκ ἀφῆκεν ἀνεγκλήτους, ἵνα μὴ ἐπὶ τῇ αὐτῇ μείνωσι ῥᾳθυμίας. Οὕτω τέλεον ἐπίστευσα, φησί· τοῦτο γάρ ἐστι τὸ εἰπεῖν, *Μέρος τι πιστεύω.* Τοῦτο δὲ ἔλεγε προτρέπων μεταβαλέσθαι καὶ διορθώσασθαι καὶ ἀπαγαγεῖν αὐτὸν τοῦ κἂν ἐκ μέρους πιστεῦσαί τι κατ' αὐτῶν τοιοῦτον. *Δεῖ γὰρ καὶ αἱρέσεις εἶναι, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται ἐν ὑμῖν.* Εἶπε οὖν τὰς αἱρέσεις. Ἐνταῦθα προσέχετε, ὅτι οὐ περὶ δογμάτων ἐστὶ τὸ, *Δεῖ αἱρέσεις ἐν ὑμῖν εἶναι*· ἀλλὰ περὶ τῆς διχονοίας τῆς κατὰ τὰς τραπέζας. Εἰπὼν γὰρ, *Δεῖ δὲ καὶ αἱρέσεις εἶναι*, ἐπήγαγε καὶ τὸν τρόπον τῶν αἱρέσεων· *Συνερχομένων γὰρ ὑμῶν ἐπὶ τὸ αὐτὸ, οὐκ ἔστι κυριακὸν δεῖπνον φαγεῖν.* Τί ἐστι, *Κυριακὸν δεῖπνον φαγεῖν;* Δεσποτικὸν δεῖπνον, φησὶν, οὐκ ἔστι φαγεῖν· ἐκεῖνο λέγων τὸ δεῖπνον, ὃ τῇ ἐσχάτῃ νυκτὶ παρέδωκεν ὁ Χριστὸς, ὅτε οἱ μαθηταὶ μετ' αὐτοῦ πάντες ἦσαν. Ἐν ἐκείνῳ γὰρ τῷ δείπνῳ καὶ Δεσπότης καὶ δοῦλοι πάντες ὁμοῦ κατέκειντο· ὑμεῖς δὲ σύνδουλοι ὄντες ἀλλήλους διεστήσατε καὶ ἀπεσχίσατε. Κἀκεῖνος μὲν οὐδὲ τὸν προδότην ἀπήλασε· καὶ γὰρ ὁ Ἰούδας μετ' αὐτῶν ἦν τότε· σὺ δὲ τὸν ἀδελφὸν διακρούῃ. Διὰ τοῦτό φησιν, *Οὐκ ἔστι κυριακὸν δεῖπνον φαγεῖν, κυριακὸν δεῖπνον καλῶν, τὸ μεθ' ὁμονοίας, τὸ κοινῇ πάντων συγκεκλημένων. Ἕκαστος γὰρ τὸ ἴδιον δεῖπνον προλαμβάνει φαγεῖν· καὶ ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει.* [246] Καὶ οὐκ εἶπεν, Ὃς μὲν πεινᾷ, ὃς δὲ ἐσθίει, ἀλλὰ τῷ τῆς μέθης ὀνόματι μᾶλλον αὐτῶν καθήψατο. Κἀκεῖ καὶ ἐνταῦθα ἀμετρία, φησί. Σὺ μὲν ὑπὸ τῆς ἀδηφαγίας διαῤῥήγνυσαι, ἐκεῖνος δὲ ὑπὸ τοῦ λιμοῦ τήκεται· σὺ καὶ τῶν ὑπὲρ τὴν χρείαν μετέχεις, ἐκεῖνος δὲ οὐδὲ τῶν ἀναγκαίων ἀπέλαυσε. Διπλοῦν τὸ δεινὸν, τῆς ἰσότητος διαφθαρείσης, τοῦτο αἱρέσεις καλεῖ· ἐπειδὴ φιλονείκως πρὸς ἀλλήλους διέκειντο καὶ διεστασίαζον, καὶ ὃς μὲν ἐπείνα, ὃς δὲ ἐμέθυε. Καὶ καλῶς εἶπε, *Συνερχομένων ὑμῶν ἐπὶ τὸ αὐτό.* Τίνος γὰρ ἕνεκεν συνέρχεσθε; φησί· τί βούλεται ἡ σύνοδος; τίνος ἕνεκεν ἡ συλλογὴ κοινὴ, ὅταν ἡ τράπεζα μὴ γίνεται κοινή; Δεσποτικά ἐστι τὰ χρήματα, ἅπερ ἐλάβομεν· κοινὰ προκείσθω τοίνυν τοῖς συνδούλοις τοῖς ἡμετέροις. *Μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν, καὶ πίνειν; ἢ τῆς ἐκκλησίας τοῦ Θεοῦ καταφρονεῖτε, φησὶ, καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας;* Σὺ μὲν νομίζεις, φησὶ, τὸν ἀδελφὸν ὑβρίζειν μόνον, κοινωνεῖ δὲ καὶ ὁ τόπος τῆς ὕβρεως. Ἐκκλησίας γὰρ ὁλοκλήρου καταφρονεῖς. Ἐκκλησία γὰρ διὰ τοῦτο λέγεται, ὅτι κοινῇ πάντας ὑποδέχεται. Τί τοίνυν τῆς οἰκίας σου τὴν εὐτέλειαν εἰς τὴν ἐκκλησίαν εἰσάγεις; Εἰ γὰρ καταφρονεῖς τοῦ ἀδελφοῦ, αἰδέσθητι τὸν τόπον· καὶ γὰρ ἡ ἐκκλησία ὑβρίζεται. Καὶ οὐκ εἶπεν, Ἀποστερεῖτε τοὺς μὴ ἔχοντας, ἢ, Οὐκ ἐλεεῖτε τοὺς μὴ ἔχοντας, ἀλλὰ τί; *Καταισχύνετε τοὺς μὴ ἔχοντας.* Ἐντρεπτικώτατα τὴν ἀσωτίαν αὐτῶν ἐτραγῴδησεν. Οὐ γὰρ οὕτω μέλει τῷ πένητι, φησὶν, ὑπὲρ τῆς τροφῆς, ὡς ὑπὲρ τῆς ὕβρεως. Ὅρα πῶς καὶ ὑπὲρ τούτου σεμνῶς ἀπελογήσατο, κἀκείνων σφοδρότερον κατήψατο. *Τί ὑμῖν εἶπω; ἐπαινέσω ὑμᾶς; Ἐν τούτῳ οὐκ ἐπαινῶ.* Τί τοῦτο; Μετὰ τὴν ἀπόδειξιν τῆς ἀτοπίας ὑφειμένη ἡ

cedit. Omnia igitur illo præmittantur, ubi et nos deinceps semper versaturi sumus. Hæc secum reputantes ipsi, omnem substantiam deponebant; duplexque officium præstabatur: nam et egenorum paupertatem sublevabant, et ampliorem securioremque sibi substantiam parabant; in cælo thesauros suos deponentes.

Priscæ mos Ecclesiæ circa mensam communem.— Ab hac lege et consuetudine mos quidam mirabilis in Ecclesiam tunc inductus est: coacti namque simul fideles omnes post auditam doctrinam, post orationes, post mysteriorum participationem, soluta synaxi, non statim domum concedebant: sed divites et opulentiores, alimenta et fercula e domibus suis afferentes, pauperes advocabant; communique simul mensa fruebantur, communibus epulis atque conviviis in ipsa ecclesia; ita ut et a consortio mensæ, et a loci reverentia, undequaque caritas constringeretur, cum multa voluptate simul atque utilitate. Pauperes enim consolatione non parva, divites vero benevolentia fruebantur, tum eorum quos pascebant, tum Dei, cujus causa hoc faciebant: sicque magnam assequuti gratiam, domum secedebant. Innumera hinc sequebantur bona: quodque caput bonorum est, per singulas synaxes amor magis magisque accendebatur, cum et ii qui beneficia conferebant, et ii qui accipiebant, tanta cum benevolentia contubernales essent. Hunc morem Corinthii processu temporis labefactarunt, cum opulentiores seorsim cibum sumentes, egenos despicerent, nec exspectarent tardius accedentes, et necessitatibus vitæ detentos, ut pauperes solent, atque moras trahentes. Unde contingebat eos, demum advenientes, cum pudore jam sublata mensa recedere; illis præoccupantibus, his vero tardantibus. Videns itaque Paulus inde multa suboriri mala, tum quæ jam acciderant, tum quæ futura erant (nam a divitibus pauperes contemnebantur, ac superbe tractabantur, hincque pauperibus mœror odiumque in divites, aliaque succedebant mala ex hujusmodi rebus oriri solita), hanc pravam acerbamque consuetudinem corrigit. Et vide cum quanta prudentia et moderatione correctionem aggrediatur. Incipiens enim sic ait: *Hoc autem præcipiens, non laudo, quod non in melius, sed in deterius convenitis*(1. *Cor.* 11. 17). Quid sibi vult illud, *Non in melius?* Majores, inquit et patres vestri substantias suas vendebant et prædia et possessiones, atque omnia habebant communia, multamque mutuo caritatem: vos autem, quos par esset illos imitari, non modo nihil simile fecistis, sed etiam id, quod solum habebatis amisistis; nempe convivia in collectis fieri solita. Ideoque ait: *Non in melius, sed in deterius convenitis.* Et illi quidem possessiones omnes in usum pauperum concedebant: vos vero mensa etiam illis concessa privatis. *Primum enim convenientibus vobis in ecclesiam, audio scissuras esse inter vos, et ex parte credo* (1. *Cor.* 11. 18).

4. Vide quomodo rursum prudenter correctionem adhibeat. Non dixit, Credo, vel, Non credo, sed medio verbo usus est, *Ex parte credo;* non omnino credo, nec omnino fidem nego; ut vero hoc vel illud, in vestra penitus potestate est. Si resipiscatis, non credo; sin ita perseveretis, credo. Itaque non accusavit, et accusavit. Non accusavit penitus, ut emendationis spem et inducias ad pœnitentiam daret: non crimine liberos dimisit, ne in eadem segnitie manerent. Nondum omnino credidi, inquit; idipsum enim est dicere, *Ex parte credo.* Id vero dicebat cohortans ut sese emendarent ac corrigerent, ipsumque abducerent, ne rem hujusmodi vel ex parte crederet. *Oportet* enim *hæreses esse, ut qui probati sunt, manifesti fiant in vobis* (1. *Cor.* 11. 19). Dic igitur quænam hæreses? Hic animum adhibete: quoniam non de dogmatibus dicitur illud, *Oportet hæreses in vobis esse:* sed de dissensione circa mensam. Cum enim dixisset, *Oportet autem et hæreses esse*, modum hæreseon adjunxit: *Convenientibus enim vobis in unum, non est dominicam cœnam manducare* (*Ib.* v. 20). Quid est, *Dominicam cœnam manducare?* Dominicam cœnam, inquit, non est manducare: illam vocans cœnam, quam ultima nocte tradidit Christus, quando discipuli cum illo omnes erant. In illa quippe cœna et Dominus et servi omnes simul recumbebant: vos vero, qui conservi estis, inter vos tamen dissidetis ac dividimini. Ille nec proditorem expulit: nam et Judas cum illis tunc erat: tu vero fratrem depellis. Ideo dicit: *Non est dominicam cœnam manducare, dominicam cœnam* vocans eam, quæ concordissime omnibus convocatis sumitur. *Unusquisque enim suam cœnam sumit ad manducandum, et alius quidem esurit, alius autem ebrius est* (*Ib.* v. 21). Non dixit, Alius esurit, alius comedit; sed ebrietatis nomine magis illos tangit. Et hic et illic, ait, nullus est modus. Tu te crapula disrumpis, dum ille fame contabescit; tu plura, quam opus sit, sumis, ille vero ne quidem necessariis fruitur. Duplex hoc corruptæ æqualitatis malum hæreses vocat, quia contentiose invicem agebant et dissidebant, et alio esuriente, alius inebriabatur. Ac bene dixit, *Convenientibus vobis in unum.* Cur convenitis? inquit; quid sibi vult ille conventus? ad quid ille communis cœtus, quando mensa non est communis? Dominicæ sunt facultates, quas accepimus, proindeque communes conservis nostris proponantur. *Numquid domos non habetis ad manducandum et bibendum? aut ecclesiam Dei contemnitis*, inquit, *et confunditis eos qui non habent* (*Ibid.* v. 22)? Tu quidem putas, inquit, fratrem tantum te contumelia afficere, redundat autem contumelia etiam in locum. Ecclesiam quippe totam contemnis. Ecclesia enim ideo dicitur, quia communiter omnes accipit. Cur ergo domus tuæ vilitatem in ecclesiam inducis? Si enim contemnis fratrem, reverere locum: etenim Ecclesia contumelia afficitur. Neque dixit, Eos privatis, qui non habent; aut, Non miseremini eorum qui non habent. Sed quid? *Confunditis eos qui non habent.* Vehementissimo tangendi modo eorum luxum repræsentat. Non tam curat pauper, inquit, cibum, quam contumeliam. Vide quam honeste hoc excuset, et quam vehementer illos tangat. *Quid dicam vobis? laudo vos? In hoc non laudo* (1. *Cor.* 11.

22). Quid hoc est? Post demonstratam absurditatem lenior sequitur increpatio, et jure quidem merito, ne impudentiores evaderent. Priusquam enim rem absurdam esse demonstraret, perfectam sententiam extulit dicens, *Hoc autem præcipiens non laudo* (1. *Cor.* 11.17) Postquam autem accurate demonstravit illos esse complurium criminum reos, leniore utitur criminatione, in jam dictorum apparatu et demonstratione accusationis vehementiam positam relinquens. Deinde in mysticam mensam sermonem transfert, ut eis plus timoris inculeret. *Ego enim*, inquit, *accepi a Domino, quod et tradidi vobis* (*Ib. v.* 23). Qualis hæc consequentia? De communi prandio loqueris, et horrenda mysteria commemoras? Etiam, inquit. Si enim tremenda illa mensa omnibus communis proponitur, et diviti et pauperi, neque illa fruitur uberius dives, et parcius pauper, sed unus honor, et unus accessus; ac donec omnes communicaverint, et participes fuerint hujus spiritualis et sacræ mensæ, quæ proposita sunt non retrahuntur, sed stant sacerdotes omnes, vel omnium pauperrimum et vilissimum exspectantes : multo magis in hac sensili mensa id agendum. Ideo illam dominicam cœnam memoravi. *Ego enim accepi a Domino, quod et tradidi vobis, quoniam Dominus Jesus, in qua nocte tradebatur, accepit panem, et gratias agens fregit, et dixit : Hoc est corpus meum, quod pro multis frangitur, in remissionem peccatorum. Hoc facite in meam commemorationem. Similiter et calicem postquam cœnavit, dicens : Hic calix novum testamentum est in meo sanguine* (*Ibid. v.* 23 - 25).

5. Deinde multa loquutus circa eos, qui indigne mysteria participant, ubi illos vehementer tetigit et coarguit, docuitque eos, qui sanguinem et corpus Christi temere ac perfunctorie accipiunt, eamdem subituros esse pœnam, quam ii qui Christum occiderunt; rursus ad propositum argumentum sermonem refert, dicens : *Itaque fratres, cum convenitis ad manducandum, invicem exspectate. Si quis autem esurit, domi manducet, ut non in judicium conveniatis*(1. *Cor.* 11. 33, 34). Vide quomodo latenter etiam voracitatem eorum damnet. Non dixit, Si esuritis, sed, *Si quis esurit*, ut quisque metu et pudore ductus, ne reus hoc in negotio videatur, sese emendare præoccupet. Atque a metu supplicii sermonem concludit dicens : *Ut non in judicium conveniatis*, id est, in condemnationem et in opprobrium. Non est enim cibus, inquit, neque mensa, quæ cum pudore fratris, cum despectu ecclesiæ, et cum tanta voracitate vel intemperantia conjuncta est. Hæc non sunt lætitia, sed supplicium et pœna. Magnam enim vobis attrahitis ultionem dum fratres contumelia afficitis, ecclesiam contemnitis, sanctumque illum locum propriam domum facitis, quando cibum seorsum sumitis. His et vos auditis, fratres, obturate ora eorum, qui apostolico dicto doctrinaque temere utuntur; corripite eos, qui in suum aliorumque damnum Scripturis utuntur. Nostis enim de quanam re hoc dicat : *Oportet autem et hæreses esse in vobis*, nempe de dissidio circa mensam oboriri solito, quandoquidem *Alius quidem esurit, alius vero ebrius est* (1. *Cor.* 11. 21).

Adhortatio ad pauperum curam. — Ac cum recta fide vitæ rationem cum dogmatibus congruentem exhibeamus, multam erga pauperes benevolentiam, multam egenorum curam suscipiamus; negotiationem spiritualem exerceamus, nihil plus inquiramus, quam necessitas postulet. Hæ sunt divitiæ, hæc negotiatio, hic thesaurus indeficiens, si omnia nostra in cælum transferamus, et circa depositi custodiam metu soluti fidamus. Duplex namque ex eleemosyna nobis lucrum accedet : quod scilicet non ultra timeamus circa depositas pecunias, ne fures aut murorum effossores, aut nequissimi servi ipsas pessumdent : et quod sic depositæ non temere defossæ sine fructu jaceant; sed quemadmodum radix in pingui solo plantata annuos tempestivosque fructus profert, sic et argentum in pauperum manibus insitum, non annuos solum, sed etiam quotidianos spirituales nobis referat fructus, fiduciam erga Deum, peccatorum veniam, cum angelis propinquitatem, conscientiam bonam, lætitiam spiritualis exsultationis, spem pudore vacuam, mirabilia bona, quæ præparavit Deus timentibus se, iisque qui ferventi ardentique animo requirunt misericordiam adventus ejus. Quam nos omnes, hac vita secundum placitum ejus transacta, assequi contingat, nec non æternum eorum qui salutem consequuntur, gaudium, gratia et miserationibus veri Dei et Salvatoris nostri Jesu Christi, cui gloria et imperium cum Patre ejusque sanctissimo Spiritu in sæcula sæculorum. Amen.

MONITUM

Soannes Chrysostomus, qui non semel ex tempore concionatus est, hanc habuit homiliam occasione mendicorum et egenorum, quos hiemis tempore jacentes, cum per forum et angiportus ad ecclesiam pergeret, repererat. Hunc ad concionandum apparatum, dum iter faceret, adornavit : et hanc elegantem concionem de eleemosyna αὐτοσχεδιαστὴς orator pronuntiavit. Eam porro Antiochiæ habitam fuisse indicat, non modo cum ait, se per forum et angiportus, διὰ τῆς ἀγορᾶς καὶ τῶν στενωπῶν, ecclesiam petisse : neque enim cum episcopus Constantinopolitanus erat, tam procul ecclesia degebat; sed etiam et

κατηγορία, καὶ μάλα εἰκότως, ἵνα μὴ ἀναισχυντότεροι γένωνται. Πρὶν ἢ μὲν γὰρ ἀποδεῖξαι τὸ πρᾶγμα ἄτοπον, ἀπηρτισμένην ἐξήνεγκε τὴν ἀπόφασιν, εἰπών· *Τοῦτο δὲ παραγγέλλων οὐκ ἐπαινῶ*· ὅτε δὲ ἀπέδειξεν ἀκριβῶς πολλῶν ὄντας ἐγκλημάτων ἀξίους, ὑφειμένῃ κέχρηται τῇ διαβολῇ, τῇ τῶν εἰρημένων κατασκευῇ καὶ ἀποδείξει τὸ σφοδρότερον τῆς κατηγορίας ἀφεὶς ἐναποκεῖσθαι. Εἶτα ἐπὶ τὴν μυστικὴν τράπεζαν ἐξάγει τὸν λόγον, μειζόνως αὐτοὺς φοβῆσαι βουλόμενος. *Ἐγὼ γὰρ*, φησὶ, *παρέλαβον ἀπὸ τοῦ Κυρίου, ὃ καὶ παρέδωκα ὑμῖν*. Ποία ἀκολουθία αὕτη; Περὶ ἀρίστου διαλέγῃ κοινοῦ, καὶ μυστηρίων φρικτῶν μέμνησαι; Ναὶ, φησίν. Εἰ γὰρ τὰ πνευματικὰ ἐκεῖνα, εἰ γὰρ ἡ τράπεζα ἡ φρικώδης κοινὴ πᾶσι πρόκειται, καὶ πλουσίῳ καὶ πένητι, καὶ οὐχὶ δαψιλέστερον ἀπολαύει ταύτης ὁ πλούσιος, οὐδὲ ἔλαττον ὁ πένης, ἀλλὰ μία τιμὴ, καὶ πρόσοδος μία· καὶ ἕως ἂν πάντες μετασχῶσι καὶ κοινωνήσωσι τῆς πνευματικῆς καὶ ἱερᾶς ταύτης τραπέζης, οὐ συστέλλεται τὰ προκείμενα, ἀλλ' ἑστήκασιν οἱ ἱερεῖς ἅπαντες, καὶ τὸν πάντων πενέστερον καὶ εὐτελέστερον ἀναμένοντες· πολλῷ μᾶλλον ἐπὶ τῆς αἰσθητῆς τοῦτο χρὴ ποιεῖν. Διὰ τοῦτο ἐμνήσθην ἐκείνου τοῦ κυριακοῦ δείπνου. *Ἐγὼ γὰρ παρέλαβον ἀπὸ τοῦ Κυρίου, ὃ καὶ παρέδωκα ὑμῖν, ὅτι ὁ Κύριος Ἰησοῦς ἐν τῇ νυκτὶ, ᾗ παρεδίδοτο, ἔλαβεν ἄρτον, καὶ εὐχαριστήσας ἔκλασε, καὶ εἶπε· Τοῦτό μού ἐστι τὸ* [247] *σῶμα τὸ ὑπὲρ πολλῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν. Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων· Τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῷ ἐμῷ αἵματι.*

ε'. Εἶτα πολλὰ διαλεχθεὶς περὶ τῶν ἀναξίως κοινωνούντων τοῖς μυστηρίοις, καὶ σφόδρα αὐτῶν καθαψάμενος καὶ διελέγξας, διδάξας τε ὅτι τοῖς τὸν Χριστὸν ἀποκτείνασι τὴν αὐτὴν ὑποστήσονται τιμωρίαν οἱ τὸ αἷμα αὐτοῦ καὶ τὸ σῶμα ἁπλῶς καὶ ὡς ἔτυχε λαμβάνοντες, πάλιν εἰς τὴν προκειμένην ὑπόθεσιν τὸν λόγον ἐξήγαγεν, εἰπών· *Ὥστε, ἀδελφοὶ, συνερχόμενοι εἰς τὸ φαγεῖν, ἀλλήλους ἐκδέχεσθε. Εἰ δέ τις πεινᾷ, ἐν οἴκῳ ἐσθιέτω, ἵνα μὴ εἰς κρίμα συνέρχησθε.* Ὅρα πῶς λανθανόντως καὶ λαιμαργίαν αὐτῶν κατέγνω, καὶ οὐκ εἶπεν, Εἰ δὲ πεινᾶτε, ἀλλ', *Εἰ δέ τις πεινᾷ*, ἵνα ἕκαστος αἰσχυνόμενος αὐτὸς ὑπεύθυνος φανῇ τοῖς ἐγκλήμασι, προλαβὼν διορθώσηται. Καὶ εἰς κολάσεως δὲ φόβον τὸν λόγον κατέκλεισεν, εἰπών· *Ἵνα μὴ εἰς κρίμα συνέρχησθε*, τουτέστιν, εἰς κατάκριμα καὶ εἰς ὀνειδισμόν. Οὐ γάρ ἐστι τροφὴ, φησὶν, οὐδὲ τράπεζα ἡ μετὰ αἰσχύνης τοῦ ἀδελφοῦ, ἡ μετὰ καταφρονήσεως τῆς ἐκκλησίας, ἡ μετὰ λαιμαργίας ἢ ἀσωτίας γινομένη. Οὐκ ἔστιν εὐφροσύνη ταῦτα, ἀλλὰ κόλασις καὶ τιμωρία. Μεγάλην γὰρ ἐπισπᾶσθε καθ' ἑαυτῶν δίκην τοὺς ἀδελφοὺς ὑβρίζοντες, τῆς ἐκκλησίας καταφρονοῦντες, οἰκίαν ἰδιωτικὴν τὸν ἅγιον τόπον ποιοῦντες διὰ τὸ καθ' ἑαυτοὺς ἐσθίειν. Ταῦτα καὶ ὑμεῖς ἀκούσαντες, ἀγαπητοὶ, ἐπιστομίζετε τοὺς ἁπλῶς τῇ ἀποστολικῇ κεχρημένους ῥήσει καὶ διδασκαλίᾳ· διορθοῦτε τοὺς ἐπὶ βλάβῃ τῇ ἑαυτῶν καὶ τῇ ἑτέρων ταῖς Γραφαῖς κεχρημένους. Ἴστε γὰρ περὶ τίνος φησὶ τὸ, *Δεῖ δὲ καὶ αἱρέσεις εἶναι ἐν ὑμῖν*, περὶ τῆς διχοστασίας τῆς ἐν ταῖς τραπέζαις γινομένης, ἐπειδὴ *Ὁ μὲν πεινᾷ, ὁ δὲ μεθύει.*

Καὶ μετὰ τῆς ὀρθῆς πίστεως καὶ πολιτείαν συμβαίνουσαν τοῖς δόγμασιν ἐπιδειξώμεθα, πολλὴν περὶ τοὺς πένητας φιλοφροσύνην, πολλὴν ὑπὲρ τῶν δεομένων ποιούμενοι πρόνοιαν· ἐμπορίαν πνευματικὴν ἐμπορευσώμεθα, μηδὲν πλέον τῆς χρείας ἐπιζητῶμεν. Τοῦτο πλοῦτος, τοῦτο ἐμπορία, τοῦτο θησαυρὸς ἀνελλιπὴς, τὸ πάντα τὰ ὄντα εἰς τὸν οὐρανὸν μετατιθέναι, καὶ θαρρεῖν λοιπὸν ὑπὲρ τῆς φυλακῆς τῶν ἀποκειμένων. Διπλοῦν γὰρ ἡμῖν ἀπὸ τῆς ἐλεημοσύνης ἔσται τὸ κέρδος, ὅτι τε οὐκέτι δεδοίκαμεν ὑπὲρ τῶν καταβληθέντων χρημάτων, μή ποτε λῃσταὶ καὶ τοιχωρύχοι καὶ οἰκετῶν κακουργία αὐτὰ λυμήνηται, καὶ ὅτι κείμενα οὐχ ἁπλῶς κατορώρυκται ἄκαρπα· ἀλλ' ὥσπερ ῥίζα ἐν λιπαρῷ φυτευθεῖσα χωρίῳ, καθ' ἕκαστον ἐνιαυτὸν ὡρίμους φέρει τοὺς καρποὺς, οὕτω καὶ ἀργύριον ἐν ταῖς τῶν πενήτων χερσὶ φυτευθὲν, οὐ καθ' ἕκαστον ἐνιαυτὸν μόνον, ἀλλὰ καὶ καθ' ἑκάστην ἡμέραν πνευματικοὺς ἡμῖν φέρει τοὺς καρποὺς, παῤῥησίαν πρὸς τὸν Θεὸν, ἁμαρτημάτων συγχώρησιν, ἀγγέλων ἐγγύτητα, συνειδὸς ἀγαθὸν, εὐφροσύνην πνευματικῆς ἀγαλλιάσεως, ἐλπίδα ἀκαταίσχυντον, τὰ θαυμαζόμενα ἀγαθὰ, ἅπερ [248] ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτὸν, καὶ τοῖς ἐν θερμῇ καὶ ζεούσῃ ψυχῇ ἐκζητοῦσι τὸ Ἔλεος τῆς ἐπιφανείας αὐτοῦ· ἧς γένοιτο πάντας ἡμᾶς τὸν παρόντα βίον εὐαρέστως διανύσαντας ἐπιτυχεῖν, τῆς αἰωνίου τῶν σωζομένων χαρᾶς, χάριτι καὶ οἰκτιρμοῖς τοῦ ἀληθινοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ Πατρὶ καὶ τῷ παναγίῳ αὐτοῦ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

IN HOMILIAM DE ELEEMOSYNA.

longe clarius, num. 6, ubi dicit : *Olim namque cum fames totum orbem invasura esset, hujus civitatis* (id est Antiochiæ, ut videas Act. 11, 30) *incolæ Jerosolymitanis, iisdem ipsis de quibus jam sermo habetur, per Barnabum et Saulum pecunias miserunt.* De anno autem habitæ concionis nihil dicendum suppetit.

Interpretationem Latinam incerti cujusdam utpote non accuratam rejecimus, novamque paravimus.

ΠΕΡΙ ΕΛΕΗΜΟΣΥΝΗΣ

Ἐκφωνηθεὶς ἐν τῷ παριέναι αὐτὸν χειμῶνος ὥρᾳ, καὶ ἰδεῖν τοὺς πένητας καὶ πτωχοὺς ἀνεπιμελήτους ἐῤῥιμμένους κατὰ τὴν ἀγοράν.

—

α'. Πρεσβείαν τινὰ δικαίαν καὶ λυσιτελῆ καὶ πρέπουσαν ὑμῖν ἀνέστην ποιησόμενος τήμερον πρὸς ὑμᾶς· ἑτέρου μὲν οὐδενὸς, τῶν δὲ τὴν πόλιν οἰκούντων ἡμῖν πτωχῶν ἐπὶ ταύτην με χειροτονησάντων, οὐ ῥήμασι καὶ ψηφίσμασι καὶ κοινῆς γνώμῃ βουλῆς, ἀλλὰ διὰ τῶν θεαμάτων τῶν ἐλεεινῶν καὶ πικροτάτων. Παριὼν γὰρ διὰ τῆς ἀγορᾶς καὶ τῶν στενωπῶν, καὶ πρὸς τὴν ὑμετέραν σύνοδον σπεύδων, εἶτα ὁρῶν ἐν μέσοις ἀμφόδοις ἐῤῥιμμένους πολλοὺς, καὶ τοὺς μὲν τὰς χεῖρας ἐκκεκομμένους, τοὺς δὲ τοὺς ὀφθαλμοὺς, τοὺς δὲ ἑλκῶν καὶ τραυμάτων ἀνιάτων γέμοντας, καὶ ταῦτα μάλιστα προβάλλοντας τῶν μερῶν, ἃ συγκαλύπτειν ἀναγκαῖον ἦν διὸ τὴν ἐναποκειμένην αὐτοῖς σηπεδόνα, ἐσχάτης ἐνόμισα ἀπανθρωπίας εἶναι, τὸ μὴ περὶ τούτων διαλεχθῆναι πρὸς τὴν ὑμετέραν ἀγάπην, καὶ μάλιστα μετὰ τῶν εἰρημένων καὶ τοῦ καιροῦ πρὸς τοῦτο συνωθοῦντος ἡμᾶς. Ἀεὶ μὲν γὰρ ἀναγκαῖον τοὺς περὶ τῆς ἐλεημοσύνης ποιεῖσθαι λόγους, ἐπειδὴ καὶ ἡμεῖς πολλῆς ταύτης παρὰ τοῦ ποιήσαντος ἡμᾶς δεόμεθα Δεσπότου· μάλιστα δὲ ἐν τῷ παρόντι καιρῷ, ὅτε πολὺς ὁ κρυμός. Ἐν μὲν γὰρ τῷ θέρει πολλὴν παρὰ τῆς ὥρας ἔχουσι παραμυθίαν οἱ πένητες· καὶ [249] γὰρ καὶ γυμνοὺς βαδίζειν ἀκίνδυνον, ἀντὶ περιβολῆς τῆς ἀκτῖνος ἀρκούσης αὐτοῖς, ἐπ' ἐδάφους ἁπλῶς καθεύδειν καὶ αἰθρίους διανυκτερεύειν ἀσφαλές· καὶ οὔτε ὑποδημάτων αὐτοῖς χρεία τοσαύτη, οὔτε οἰνοποσίας, οὔτε δαψιλεστέρας τροφῆς, ἀλλ' ἀρκοῦνται μὲν ταῖς τῶν ὑδάτων πηγαῖς, ἀρκοῦνται δὲ οἱ μὲν τῶν λαχάνων τοῖς φαυλοτέροις, οἱ δὲ σπερμάτων ξηρῶν ὀλιγότητι, τῇ ὥρας τοῦ ἔτους ἐσχεδιασμένην αὐτοῖς παρεχούσης τὴν τράπεζαν. Καὶ ταύτης δὲ οὐκ ἐλάττονα ἔχουσιν ἑτέραν παραμυθίαν, τὴν τῆς ἐργασίας εὐκολίαν· οἱ γὰρ τὰς οἰκίας οἰκοδομούμενοι, καὶ οἱ τὴν γῆν σκάπτοντες, καὶ οἱ τὴν θάλασσαν πλέοντες, τῆς τούτων μάλιστα δέονται συνεργίας. Καὶ ὅπερ τοῖς πλουτοῦσιν ἀγροὶ καὶ οἰκίαι καὶ λοιπαὶ πρόσοδοι, τοῦτο τούτοις τὸ σῶμά ἐστι καὶ πᾶσα ἀπὸ τῶν χειρῶν ἡ πρόσοδος, ἑτέρωθεν δὲ οὐδαμόθεν. Διὰ τοῦτο θέρους μὲν ἀπολαύουσί τινος παραμυθίας· ἐν δὲ τῇ τοῦ χειμῶνος ὥρᾳ πολὺς αὐτοῖς πάντοθεν ὁ πόλεμος, καὶ διπλῆ ἡ πολιορκία, τοῦ λιμοῦ κατεσθίοντος ἔνδον τὰ σπλάγχνα, τοῦ κρυμοῦ πηγνύντος τὴν σάρκα ἔξωθεν, καὶ νεκρὰν ἐργαζομένου. Διὸ καὶ πλείονος μὲν αὐτοῖς τροφῆς δεῖ, ἰσχυροτέρας δὲ τῆς περιβολῆς, καὶ στέγης, καὶ στιβάδος, καὶ ὑποδημάτων, καὶ πολλῶν ἑτέρων. Καὶ τὸ δὴ πάντων χαλεπώτερον, οὐδὲ ἐργασίας τίς ἐστιν αὐτοῖς εὐπορία· οὐ γὰρ ἐπιτρέπει τοῦ ἔτους ἡ ὥρα. Ἐπεὶ οὖν καὶ πλείων αὐτοῖς ἡ τῶν ἀναγκαίων χρεία, καὶ τὸ ἐργάζεσθαι μετὰ τούτου παρῄρηνται, οὐδενὸς τοὺς ἀθλίους μισθουμένου, οὐδὲ καλοῦντος εἰς διακονίαν, φέρε, τὰς τῶν ἐλεημόνων ἀντεισάγωμεν χεῖρας ἀντὶ τῶν μισθουμένων, τὸν ἀληθῶς προστάτην καὶ κηδεμόνα τῶν ἐν πενίᾳ ζώντων Παῦλον συνεργὸν πρὸς τὴν πρεσβείαν ταύτην λαβόντες. Καὶ γὰρ πολλὴν τοῦ πράγματος ποιεῖται τὴν πρόνοιαν οὗτος, καὶ ὅσην οὐδεὶς ἕτερος. Διά τοι τοῦτο τοὺς μαθητὰς πρὸς τὸν Πέτρον διελόμενος, τὴν τῶν πενήτων οὐ διείλετο προστασίαν· ἀλλ' εἰπὼν, ὅτι *Δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας, ἵνα ἡμεῖς εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν*, ἐπήγαγε, *Μόνον τῶν πτωχῶν ἵνα μνημονεύωμεν, ὃ καὶ ἐσπούδασα αὐτὸ τοῦτο ποιῆσαι*. Καὶ γὰρ πανταχοῦ τῶν Ἐπιστολῶν τὸν περὶ τούτων εἰσφέρει λόγον, καὶ οὐκ ἔστιν εὑρεῖν οὐδεμίαν ἐπιστολὴν ταύτης ἐκτὸς οὖσαν τῆς παραινέσεως. Οἶδε γὰρ, οἶδεν ὅση τοῦ πράγματος ἡ ἰσχύς· διὰ τοῦτο καθάπερ οἰκοδομῇ θαυμαστὴν ὀροφὴν ἐπιτιθεὶς ταῖς λοιπαῖς παραινέσεσι καὶ συμβουλαῖς, τὴν περὶ τούτων εἰσάγει διδασκαλίαν. Ὅπερ οὖν καὶ ἐνταῦθα πεποίηκε διαλεχθεὶς περὶ ἀναστάσεως, καὶ τὰ ἄλλα διορθώσας ἅπαντα, εἰς τὸν περὶ τῆς ἐλεημοσύνης κατέλυσε λόγον, οὕτως εἰπών· *Περὶ δὲ τῆς λογίας τῆς εἰς τοὺς ἁγίους, καθὼς διέταξα ταῖς Ἐκκλησίαις τῆς Γαλατίας, οὕτω καὶ ὑμεῖς ποιήσατε· κατὰ μίαν σαββάτων ἕκαστος ὑμῶν*. Σκόπει σύνεσιν ἀποστολικὴν, πῶς εὐκαίρως ταύτης ἥψατο τῆς παραινέσεως. Ἐπειδὴ γὰρ ἀνέμνησε τοῦ μέλλοντος δικαστηρίου, καὶ τοῦ βήματος ἐκείνου τοῦ φοβεροῦ, καὶ τῆς δόξης, ἧς ἀμφιέννυσθαι ἔμελλον οἱ κατωρθωκότες, καὶ τῆς ἀθανάτου διατριβῆς· τότε λοιπὸν εἰς τὸν περὶ τούτων ἐμβάλλει λόγον, ἵνα ταῖς χρησταῖς ἐλπίσιν ἀναπνεύσας καὶ ῥᾴων γενόμενος ὁ ἀκροατὴς, μετὰ πλείονος αὐτὸν καταδέξηται τῆς προθυμίας, ἐνακμάζοντα τὸν φόβον [250] ἔχων τῆς κρίσεως, καὶ γαυριωμένην τὴν ψυχὴν ταῖς τῶν ἀποκειμένων ἀγαθῶν προσδοκίαις. Ὁ γὰρ περὶ ἀναστάσεως δυνάμενος φιλοσοφεῖν, καὶ μεταστήσας ἑαυτὸν ὅλον πρὸς τὴν ἐκεῖ ζωὴν, οὐδὲν ἡγήσεται τὰ παρόντα εἶναι, οὐ πλοῦτον, οὐκ εὐπορίαν, οὐ χρυσίον, οὐκ ἄργυρον, οὐχ ἱματίων περιβολὴν, οὐ τρυφὴν, οὐ τραπέζας πολυτελεῖς, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν· ὁ δὲ ταῦτα μηδὲν εἶναι νομίζων, εὐκολώτερον τῆς τῶν πενήτων ἀνθ ἕξεται προστασίας. Διὰ δὲ τοῦτο καὶ Παῦλος καλῶς προπαρασκευάσας αὐτῶν τὴν διάνοιαν τῇ περὶ τῆς ἀναστάσεως φιλοσοφίᾳ, τότε εἰσήγαγε τὴν παραίνεσιν.

Καὶ οὐκ εἶπε, Περὶ δὲ τῆς λογίας τῆς εἰς τοὺς πτωχοὺς, οὐδὲ, τῆς εἰς τοὺς πένητας, ἀλλὰ, *τῆς εἰς τοὺς ἁγίους*· παιδεύων τοὺς ἀκούοντας καὶ τοὺς ἐν πενίᾳ θαυμάζειν, ὅταν εὐσεβεῖς ὦσι, καὶ τοὺς ἐν πλούτῳ διαπτύειν, ὅταν ἀρετῆς καταφρονῶσιν. Οἶδε γοῦν καὶ βασιλέα βέβηλον καλεῖν καὶ παράνομον, ὅταν ἐχθρὸς ᾖ τῷ Θεῷ, καὶ πτωχοὺς ἁγίους, ὅταν ἐπιεικεῖς ὦσι καὶ μέτριοι. Τὸν γοῦν Νέρωνα μυστήριον τῆς ἀνομίας καλεῖ, λέγων· *Τὸ γὰρ μυστήριον ἤδη ἐνεργεῖται τῆς ἀνομίας*· τούτους δὲ καὶ οὐδὲ τῆς ἀναγκαίας εὐποροῦντας τροφῆς, ἀλλ' ἐκ τοῦ ἐπαιτεῖν τρεφομένους, ἁγίους ὠνόμασεν. Ἅμα δὲ κἀκείνους λανθανόντως ἐδίδασκε μὴ μέγα φρονεῖν, μηδὲ ἐπαίρεσθαι τῇ τῆς ἐντολῆς δόσει, ὡς εὐτελέσι τισὶ καὶ εὐκατα-

DE ELEEMOSYNA SERMO

HABITUS CUM HIEMIS TEMPORE PERTRANSIISSET, ET PAUPERES MENDICOSQUE NEGLECTOS VIDISSET IN FORO JACENTES.

1. *Homiliæ hujus habendæ occasio.* — Legationem quamdam justam, utilem vobisque congruentem apud vos obiturus accessi hodie ; non ab alio quopiam orator constitutus, quam a pauperibus, qui vestram hanc civitatem incolunt ; non verbis, non calculis, non senatusconsulto missus, sed miserabilibus acerbissimisque spectaculis. Nam cum ad cœtum vestrum properans per forum et angiportus transirem, videremque multos mediis in biviis jacentes, alios exsectis manibus, alios effossis oculis, alios ulceribus vulneribusque insanabilibus plenos, illasque potissimum partes exhibentes, quas propter saniem contegere opus erat : extremæ inhumanitatis esse duxi, si apud caritatem vestram de his non verba facerem, cum maxime præter ea, quæ dicta sunt, me tempus etiam ad eam rem compelleret. Nam semper quidem convenit de eleemosyna sermonem habere, quandoquidem et nos multa Domini qui nos condidit misericordia egemus; sed hac tempestate maxime, tanto urgente frigore. Æstate namque temporis commoditas magnum affert pauperibus solatium : nam vel nudi sine periculo ambulare possunt, cum solares radii vestimenti loco sint, cum tuto possint in nudo pavimento cubare, et sub dio noctes transigere ; neque adeo calceamentis indigent, non vini potu, non lautiore cibo : nam satis sunt ipsis fontes aquarum ; his viliora olera, illis pauca aridaque legumina sufficiunt, anni tempestate apparatu facilem ipsis instruente mensam. Aliudque nec minus commodum tunc ipsis adest; operandi nempe facultas : nam qui domos exstruunt, qui terram fodiunt, qui in mari navigant, horum maxime ministerio opus habent. Quod enim divitibus sunt agri, domus cæterique proventus, idipsum est illis corpus, et qui manibus parari potest reditus : aliunde nihil adest. Quapropter æstate quidem quidpiam offertur solatii; hiberno autem tempore magnum illis undique bellum, duplex obsidio, fame intus viscera rodente, frigoreque extrinsecus carnem congelante, et quasi mortuam reddente. Idcirco largiore cibo, densiore vestitu opus habent, insuperque tecto, strato, calceamentis multisque aliis. Quodque illis acerbius est, ne operandi quidem facultatem habent : neque enim id anni tempestas patitur. Quandoquidem igitur pluribus indigent iisque necessariis rebus, neque operandi facultas adest, nemine miseros conducente, nemine ad opus vocante, age, conducentium vice, misericordium hominum manus porrigamus : atque ad hanc legationem Paulum egenorum vere patronum et curatorem in collegam assumamus. Etenim magnam ille hujusce rei, et quantam nemo alius, sollicitudinem habet. Unde divisis cum Petro discipulis, pauperum curam non divisit : sed cum dixisset, *Dextras dederunt mihi et Barnabæ societatis, ut nos in Gentes, ipsi in circumcisionem* (*Gal.* 2. 9), adjecit, *Tantum ut pauperum memores essemus : quod etiam sollicitus fui hoc ipsum facere* (*Ibid. v.* 10). Etenim ubique per epistolas suas his de rebus sermonem inducit, neque ullam ejus reperias epistolam hujusmodi admonitione vacuam. Sciebat enim, sciebat utique quanti momenti res sit : quamobrem ac si ædificio mirabile fastigium imponat, reliquis monitis et consiliis doctrinam hac de re adjicit. Quod etiam hoc loco fecit, cum de resurrectione loquutus, postquam cætera omnia disposuerat, in hunc de eleemosyna sermonem desinit his verbis : *De collectis autem, quæ fiunt in sanctos, sicut ordinavi Ecclesiis Galatiæ, sic et vos facite : in una sabbatorum unusquisque vestrum* (1. *Cor.* 16. 1. 2). Animadverte prudentiam apostolicam, quam opportune hanc tractet admonitionem. Postquam enim futurum judicium et tribunal illud tremendum commemoraverat, nec non gloriam illam, qua amiciendi sunt ii, qui probe vixerint, atque vitam immortalem : tunc demum his de rebus sermonem infert, ut bona spe fultus atque expeditior factus auditor, majore ipsum alacritate susciperet, tum instante judicii timore motus, tum repositorum exspectatione bonorum gestiens. Etenim qui de resurrectione philosophari potest, et ad futuram illam vitam se totum transfert, præsentia nihili faciet, divitias, facultates, aurum, argentum, sumptuosas vestes, delicias, lautam mensam, aut quidvis aliud simile : qui autem hæc nihil esse reputat, pauperum patrocinium facilius suscipiet. Ideoque Paulus, postquam eorum mentem per philosophiam illam de resurrectione pulchre præparaverat, tunc adhortationem illam intulit.

Pauper pius divite improbo præstantior. Paulus pauperes summopere curat. — Non dixit, De collecta vero in mendicos, vel, in pauperes; sed, *In sanctos* : auditores instituens ut egenos admirationi haberent, si quidem illi pii essent; divitesque respuerent, si virtutem illi despicerent. Solet enim etiam Imperatorem profanum et iniquum vocare, quando inimicus est Dei; et pauperes sanctos, cum probi modestique sunt. Neronem quippe mysterium iniquitatis vocat, dicens : *Mysterium enim nunc operatur iniquitatis* (2. *Thess.* 2. 7) ; hos autem qui alimentis egebant, et emendicato pane alebantur, sanctos appellat. Interim vero subobscure docet illos, ne efferantur animo, neve de hujusmodi mandato extollantur, ac si vilioribus et

despectioribus largiantur, sed certo sciant sibique persuadeant, id sibi maximo esse honori, quod eorum ærumnas participent.

2. Jam vero operæ pretium erit disquirere, quinam sint illi sancti: non enim hic tantum illorum meminit, sed etiam alibi cum dicit: *Nunc autem proficiscor in Jerusalem ministrare sanctis* (*Rom.* 15. 25). Et Lucas in Actis, cum magna fames immineret, hos ipsos sanctos ita commemorat: *Discipuli autem, prout quis habebat, proposuerunt singuli mittere ad pauperes sanctorum, qui sunt in Jerusalem* (*Act.* 11. 29). Et iterum, quod ante dicebam, ait, *Tantum ut pauperum memores essemus, quod etiam sollicitus fui hoc ipsum facere* (*Gal.* 2. 10). Postquam vero sic inter nos divisimus, ut mihi Gentes, Petro Judæi contingerent, communi sententia constituimus, inquit, ut divisio hæc ad pauperes non pertingeret. Nam cum prædicabant, ille Judæis, hic Gentibus prædicabat: cum vero pauperibus patrocinabantur, non ita res constituta erat, ut ille pauperibus Judæorum, hic vero pauperibus Gentium tantum curam impenderet: sed uterque erga pauperes Judæorum magnam gerebat curam. Quamobrem dicebat: *Tantum ut pauperum memores essemus, quod etiam sollicitus fui hoc ipsum facere.* Quinam ergo sunt illi, de quibus hic loquitur, necnon in epistola ad Romanos, et in epistola ad Galatas, pro quibus etiam Macedonas hortatur? Judæorum pauperes, qui Jerosolymis degebant. Et cur tantam eorum curam habet? Annon in singulis civitatibus pauperes et mendici erant? Cur ad illos mittit, et pro eis omnes rogat? Non sine causa sane, nec temere, neque ex personarum acceptione; sed utiliter et commode. Rem autem paulo altius repetere necesse est. Quoniam Judæorum res conciderant, et cum Jesum crucifigerent, vocem illam, *Non habemus regem nisi Cæsarem* (*Joan.* 19. 15), contra se ratam fecerant, ac demum Romanorum imperio subditi erant, neque sui juris, ut antea, erant; neque prorsus servi, ut jam sunt, sed in commilitonum ordine constituti, tributa Imperatoribus pendebant, et prætores ab eis accipiebant: plerumque etiam suis utebantur legibus, et eos qui apud se delinquerent, secundum patria placita plectebant. Quod autem tributa Romanis penderent palam hinc est, quod Jesum tentantes interrogarent, *Magister, licetne dare censum Cæsari, annon* (*Matth.* 22. 17)? at ipse jussis ostendere numisma dixit; *Reddite quæ sunt Cæsaris Cæsari, et quæ sunt Dei Deo* (*Ib. v.* 21); Lucas vero dicit, et milites et tribunos habuisse templum (*Luc.* 22. 52). Quæ argumenta non levia sunt fuisse Judæos Romanis subditos: quod autem propriis uterentur legibus hinc palam est, quod Stephanum lapidarint nec ad tribunal ductum, Jacobum fratrem Domini interfecerint, Christum ipsum crucifixerint, etiamsi judex concederet, ut omni crimine liber abiret. Quapropter manus lavit dicens: *Innocens sum a sanguine hoc* (*Matth.* 27. 24). Et quia admodum instantes videbat, ipse quidem calculum non tulit, sed abscessit: illi vero propria tyrannide usi, totum postea perfecerunt. Paulum etiam sæpe aggrediebantur.

Judæorum in Christianos immanitas. Die dominica præsertim eleemosyna eroganda. — Quia igitur suo tribunali utebantur, hinc contigit ut contribules, qui credebant, cæteris asperiora paterentur. In aliis certe civitatibus et tribunalia et leges et magistratus erant; sed non licebat gentilibus eos ex suis, qui deficerent, propria sententia vel interficere vel lapidibus obruere, aut aliquid ipsis mali inferre: aut si quis deprehendebatur tale quiddam præter judicum sententiam patrasse, is puniebatur; Judæis autem magna circa rem hanc potestas concedebatur. Quapropter graviora, quam cæteri omnes, patiebantur ii ex illis, qui credebant, ac si inter medios lupos intercepti essent, adstante, qui eriperet, nemine. Ita nempe Paulum sæpe flagellabant: audi quomodo id ipse declaret: *Quinquies quadragenas a Judæis una minus accepi: ter virgis cæsus sum, semel lapidatus sum* (2. *Cor.* 11. 24. 25). Quod autem hæc non conjectura dicta sint, ipse Paulus ad Hebræos scribens declarat: *Rememoramini autem pristinos dies, in quibus illuminati magnum certamen sustinuistis passionum: et in altero quidem opprobriis et tribulationibus spectaculum facti, in altero autem socii taliter patientium effecti. Etenim rapinam bonorum vestrorum cum gaudio suscepistis, cognoscentes vos habere meliorem substantiam in cœlis, et manentem* (*Heb.* 10. 32-34). Et cum Thessalonicenses adhortaretur, illos in medium adduxit: *Vos enim imitatores facti estis, fratres, Ecclesiarum Dei, quæ sunt in Judæa: quia eadem passi estis vos a contribulibus vestris, sicut et ipsi a Judæis* (1. *Thess.* 2. 14). Quia igitur graviora, quam omnes alii, patiebantur, et non modo sine misericordia cum illis agebatur, sed etiam omnia iis rapiebantur et auferebantur, et undique ipsi pellebantur, jure omnes ad eorum suscipiendum patrocinium excitat. Iterumque Corinthios illorum gratia hortatur his verbis: *De collecta autem in sanctos, sicut ordinavi Ecclesiis Galatiæ, sic et vos facite* (1. *Cor.* 16. 1).

3. Itaque quinam illi sancti sint, et cur eorum majorem curam gerat, jam satis demonstratum est: reliquum est ut quæramus etiam, cur Galatarum meminerit. Cur autem non dixit: De collecta autem in sanctos hoc facite: una sabbatorum unusquisque vestrum apud se seponat thesaurizans; sed postquam dixisset, *De collecta autem in sanctos, sicut ordinavi Ecclesiis Galatiæ, sic et vos facite?* Cur hoc agit, nec unius duarumve, aut trium civitatum meminit, sed gentis integræ? Ut majus studium susciperent, aliorumque laudes majoris sibi æmulationis occasio essent. Deinde modum, quo præcepit, declarat: *Per unam sabbati*, inquit, *unusquisque vestrum apud se seponat, recondens quod sibi placuerit, ut non cum venero, tunc collectæ fiant* (1. *Cor.* 16. 2). Unam sabbatorum Dominicam vocavit. Et cur talem diem oblationi deputat? cur non dixit, secunda sabbatorum aut tertia sabbatorum, aut in ipsis sabbatis? Non temere profecto, nec sine causa; sed quod vellet a temporis opportunitate juvari, ut majus offerentibus studium accederet.

φρονήτοις παρέχοντας, ἀλλ' εἰδέναι σαφῶς καὶ πείθειν ἑαυτοὺς, ὅτι τιμῆς ἀπολαύουσι μεγίστης, καταξιούμενοι κοινωνεῖν ταῖς ἐκείνων θλίψεσιν.

β'. Ἄξιον δὲ κἀκεῖνο ἐξετάζειν, τίνες εἰσὶν οὗτοι οἱ ἅγιοι· οὐδὲ γὰρ ἐνταῦθα αὐτῶν μέμνηται μόνον, ἀλλὰ καὶ ἑτέρωθι πάλιν οὕτω λέγων· *Νυνὶ δὲ πορεύομαι εἰς Ἱερουσαλὴμ διακονήσων τοῖς ἁγίοις.* Καὶ Λουκᾶς δὲ ἐν ταῖς Πράξεσι, λιμοῦ προσδοκωμένου μεγάλου, τούτων αὐτῶν μεμνημένος τῶν ἁγίων φησί· *Τῶν δὲ μαθητῶν, καθὼς εὐπορεῖτό τις, ὥρισεν ἕκαστος πέμψαι πρὸς τοὺς πτωχοὺς τῶν ἁγίων ἐν Ἱερουσαλήμ.* Καὶ πάλιν, ὃ καὶ ἔμπροσθεν ἔφθην εἰπών, *Μόνον τῶν πτωχῶν ἵνα μνημονεύωμεν, ὃ καὶ ἐσπούδασα αὐτὸ τοῦτο ποιῆσαι.* Ἐπειδὴ δὲ διειλόμεθα, ἐγὼ μὲν τοὺς Ἕλληνας, ὁ δὲ Πέτρος τοὺς Ἰουδαίους, κοινῇ γνώμῃ συνεθέμεθα, φησὶν, ὥστε ἐν τοῖς πτωχοῖς μὴ εἶναι τὴν διαίρεσιν ταύτην. Ὅτε μὲν γὰρ ἐκήρυττον, ὁ μὲν τοῖς Ἰουδαίοις, ὁ δὲ τοῖς Ἕλλησιν ἐκήρυττον· ὅτε δὲ πενήτων προΐσταντο, οὐκέτι οὕτως, ὁ μὲν τῶν πενήτων τῶν Ἰουδαίων, ὁ δὲ τῶν πενήτων τῶν Ἑλλήνων μόνον· ἀλλὰ καὶ τῶν παρὰ Ἰουδαίοις πτωχευόντων ἕκαστος πολλὴν ἐποιεῖτο πρόνοιαν. Διὸ καὶ ἔλεγε, *Μόνον τῶν πτωχῶν ἵνα μνημονεύωμεν, ὃ καὶ ἐσπούδασα αὐτὸ τοῦτο ποιῆσαι.* Τίνες οὖν εἰσιν οὗτοι, περὶ ὧν ἐνταῦθα διαλέγεται, καὶ ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ, καὶ ἐν τῇ πρὸς Γαλάτας, ὑπὲρ ὧν καὶ Μακεδόνας παρεκάλεσεν; Οἱ τῶν Ἰουδαίων πένητες, οἱ ἐν Ἱεροσολύμοις καθήμενοι. Καὶ τίνος οὖν ἕνεκεν τοσαύτην αὐτῶν ποιεῖται πρόνοιαν; μὴ γὰρ οὐχὶ καὶ καθ' ἑκάστην πόλιν ἦσαν πτωχοὶ καὶ πένητες; τί δήποτε οὖν πρὸς ἐκείνους πέμπει, καὶ πάντας ὑπὲρ αὐτῶν παρακαλεῖ; Οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχεν, οὐδὲ προσωποληψίᾳ χρώμενός τινι, ἀλλὰ [251] χρησίμως καὶ συμφερόντως. Μικρὸν δὲ ἀνωτέρω τὸν λόγον ἀγαγεῖν ἀναγκαῖον. Ἐπειδὴ τὰ τῶν Ἰουδαίων μετέπεσε πράγματα, καὶ τὸν Ἰησοῦν σταυρώσαντες, τὴν φωνὴν ἐκείνην καθ' ἑαυτῶν ἐκύρωσαν, λέγοντες, *Οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα*, καὶ λοιπὸν ὑπὸ τὴν Ῥωμαίων ἐτέθησαν ἀρχὴν, οὔτε αὐτόνομοι ἦσαν, καθάπερ καὶ πρότερον, οὔτε καθόλου δοῦλοι, καθάπερ καὶ νῦν· ἀλλ' ἐν τάξει συμμάχων ὄντες διετέλουν, φόρους μὲν τελοῦντες τοῖς βασιλεῦσιν ἑαυτῶν, καὶ τοὺς παρ' ἐκείνων ἄρχοντας δεχόμενοι· πολλαχοῦ δὲ τοῖς ἰδίοις κεχρημένοι νόμοις, καὶ τοὺς παρ' αὐτοῖς ἁμαρτάνοντας κατὰ τὰ πάτρια κολάζοντες νόμιμα. Καὶ ὅτι μὲν φόρους ἐτέλουν Ῥωμαίοις, δῆλον ἐξ ὧν πειράζοντες τὸν Ἰησοῦν, φησὶν, ἠρώτων, *Διδάσκαλε, ἔξεστι δοῦναι κῆνσον Καίσαρι, ἢ οὔ;* ὅτε καὶ αὐτὸς δεῖξαι κελεύσας αὐτοῖς νόμισμα, εἶπεν, *Ἀπόδοτε, λέγων, τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ.* Ὁ Λουκᾶς δὲ καὶ ὅτι στρατηγοὺς καὶ χιλιάρχους εἶχε τὸ ἱερὸν, λέγει. Τὸ μὲν οὖν ὑποκεῖσθαι τοὺς Ἰουδαίους Ῥωμαίοις, οὐ μικρὰ ταῦτα δείγματα· ὅτι δὲ καὶ οἰκείοις ἐκέχρηντο νόμοις, δῆλον ἐκεῖθεν· Τὸν Στέφανον ἐλίθασαν, οὐκ εἰς δικαστήριον ἀγαγόντες· τὸν Ἰάκωβον ἀπέκτειναν τὸν ἀδελφὸν τοῦ Κυρίου· τὸν Χριστὸν αὐτὸν ἐσταύρωσαν, καίτοι τοῦ δικαστοῦ συγχωρήσαντος καὶ ἀφέντος πάσης αὐτὸν κατηγορίας. Διὰ γὰρ τοῦτο καὶ τὰς χεῖρας ἐνίψατο, λέγων· *Ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος τούτου.* Καὶ ἐπειδὴ σφόδρα ἐπικειμένους εἶδεν, αὐτὸς μὲν τὴν ψῆφον οὐκ ἐξήνεγκεν, ἀλλ' ἀπέστη· ἐκεῖνοι δὲ οἰκείᾳ χρησάμενοι τυραννίδι τὸ πᾶν μετὰ ταῦτα εἰργάσαντο· καὶ Παύλῳ δὲ πολλάκις ἐπέθεντο.

Ἐπεὶ οὖν τοῖς ἑαυτῶν ἐκέχρηντο δικαστηρίοις, ἐκ τούτων συνέβαινε τοὺς ἐξ αὐτῶν πιστεύοντας χαλεπώτερα τῶν ἄλλων ἁπάντων πάσχειν κακά. Ἐν μὲν οὖν ταῖς ἄλλαις πόλεσι καὶ δικαστήρια καὶ νόμοι καὶ ἄρχοντες ἦσαν, καὶ οὐκ ἐξῆν τοῖς Ἕλλησι τοὺς ἐξ αὐτῶν ἀποπηδῶντας οἰκείᾳ τυραννίδι ἢ σφάττειν ἢ λιθάζειν, ἢ ἄλλο τι τοιοῦτον διατιθέναι αὐτοὺς κακόν· ἀλλ' εἴ τις ἐάλω τοιοῦτόν τι τολμῶν παρὰ τὴν τῶν δικαζόντων ψῆφον, καὶ αὐτὸς ἐκολάζετο· παρὰ δὲ τοῖς Ἰουδαίοις μετὰ πολλῆς ταῦτα συγχεχώρητο τῆς ἐξουσίας. Διὰ δὴ τοῦτο πάντων δεινότερον ἔπασχον οἱ ἐξ ἐκείνων πιστεύοντες, ὥσπερ ἐν μέσοις ἀπειλημμένοι λύκοις, καὶ οὐδένα τὸν ἐξαιρούμενον ἔχοντες. Οὕτω γοῦν καὶ τὸν Παῦλον ἐμαστίγουν πολλάκις· καὶ ἄκουε αὐτοῦ τοῦτο δηλοῦντος καὶ λέγοντος· *Πεντάκις τεσσαράκοντα παρὰ μίαν ὑπὸ Ἰουδαίων ἔλαβον, τρὶς ἐρραβδίσθην, ἅπαξ ἐλιθάσθην.* Καὶ ὅτι οὐ στοχασμὸς τὸ εἰρημένον, γράφων πρὸς Ἑβραίους ὁ Παῦλός φησιν· *Ἀναμιμνήσκεσθε τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων, τοῦτο μὲν ὀνειδισμοῖς καὶ θλίψεσι θεατριζόμενοι, τοῦτο δὲ κοινωνοὶ τῶν οὕτω πασχόντων γενηθέντες. Καὶ γὰρ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε, γινώσκοντες κρείττονα ὕπαρξιν ἔχειν ἐν οὐρανοῖς καὶ μένουσαν.* Καὶ Θεσσαλονικέας δὲ παρακαλῶν, τούτους εἰς μέσον ἤγαγεν· *Ὑμεῖς γὰρ μιμηταὶ ἐγενήθητε, ἀδελφοὶ, τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ τῶν οὐσῶν ἐν τῇ* [252] *Ἰουδαίᾳ, ὅτι καὶ ὑμεῖς ταὐτὰ ἐπάθετε ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθάπερ κἀκεῖνοι ὑπὸ τῶν Ἰουδαίων.* Ἐπεὶ οὖν πάντων χαλεπώτερα ἔπασχον, καὶ οὐ μόνον οὐκ ἠλεοῦντο, ἀλλὰ καὶ τὰ ὄντα ἁφηροῦντο ἅπαντα, καὶ ἤγοντο καὶ ἐφέροντο, καὶ πάντοθεν ἠλαύνοντο, εἰκότως τοὺς πανταχόθεν ἐπὶ τὴν ἐκείνων ἀντίληψιν διεγείρει. Καὶ ἐνταῦθα πάλιν ὑπὲρ τούτων αὐτῶν παρακαλεῖ Κορινθίους, λέγων· *Περὶ δὲ τῆς λογίας εἰς τοὺς ἁγίους, καθὼς διέταξα ταῖς Ἐκκλησίαις τῆς Γαλατίας, οὕτω καὶ ὑμεῖς ποιήσατε.*

γ'. Τίνες μὲν οὖν εἰσιν οἱ ἅγιοι οὗτοι, καὶ τί δήποτε πλείονα ὑπὲρ αὐτῶν ποιεῖται πρόνοιαν, ἱκανῶς ἀποδέδεικται· δεῖ δὲ λοιπὸν ζητῆσαι, τίνος ἕνεκεν Γαλατῶν μέμνηται. Διὰ τί γὰρ μὴ εἶπε· Περὶ δὲ τῆς λογίας τῆς εἰς τοὺς ἁγίους τοῦτο ποιήσατε· κατὰ μίαν σαββάτων ἕκαστος ὑμῶν παρ' ἑαυτῷ τιθέτω θησαυρίζων· ἀλλ' εἶπεν, *Περὶ τῆς λογίας τῆς εἰς τοὺς ἁγίους, καθὼς διέταξα ταῖς Ἐκκλησίαις τῆς Γαλατίας, οὕτω καὶ ὑμεῖς ποιήσατε*; Τίνος οὖν ἕνεκεν τοῦτο ποιεῖ, καὶ οὐδὲ μιᾶς, οὐδὲ δύο, οὐδὲ τριῶν ἀναμιμνήσκει πόλεων, ἀλλὰ ἔθνους ὁλοκλήρου; Ἵνα πλείονα δέξωνται προθυμίαν, καὶ τὰ ἑτέρων ἐγκώμια αὐτοῖς ὑπόθεσις γένηται ζήλου. Εἶτα λέγει καὶ τὸν τρόπον, καθ' ὃν διέταξε· *Κατὰ μίαν σαββάτων*, φησὶν, *ἕκαστος ὑμῶν παρ' ἑαυτῷ τιθέτω θησαυρίζων ὅ τι ἂν εὐοδῶται, ἵνα μὴ, ὅταν ἔλθω, τότε λογίαι γίνωνται.* Μίαν σαββάτων τὴν κυριακὴν ἐκάλεσε. Καὶ τίνος ἕνεκεν ταύτην ἐπέταξε τῇ εἰσφορᾷ τὴν ἡμέραν; διὰ τί μὴ εἶπε, τῇ δευτέρᾳ τῶν σαββάτων, τῇ τρίτῃ τῶν σαββάτων, ἢ αὐτοῖς τοῖς σάββασιν; Οὐχ ἁπλῶς, οὐδὲ εἰκῇ· ἀλλὰ βουλόμενός τινα καὶ ἀπὸ τοῦ καιροῦ λαβεῖν συμμαχίαν εἰς τὸ προθυμοτέρους ποιῆ

σχι τοὺς εἰσφέροντας. Οὐ μικρὸν δὲ ἐπιτηδειότης καιροῦ ἐν ἅπασι πράγμασι. Καὶ τί, φησὶν, ὁ καιρὸς ἐπιτήδειον ἔχει πρὸς τὸ πεῖσαι διδόναι ἐλεημοσύνην; Κατὰ τὴν ἡμέραν ταύτην τὸ πάσης ἐργασίας ἀφίστασθαι, τὸ φαιδροτέραν γίνεσθαι τὴν ψυχὴν ἐκ τῆς ἀνέσεως, τὸ δὲ πάντων μεῖζον, τὸ μυρίων ἡμᾶς κατ' αὐτὴν ἀπολελαυκέναι καλῶν. Ἐν ταύτῃ γὰρ τῇ ἡμέρᾳ κατελύθη ὁ θάνατος, ἐσβέσθη ἡ κατάρα, ἁμαρτία ἠφανίσθη, ᾅδου πύλαι συνεκλάσθησαν, καὶ δέσμιος ὁ διάβολος γέγονε, καὶ ὁ χρόνιος ἀνῃρήθη πόλεμος, καὶ καταλλαγαὶ Θεοῦ πρὸς ἀνθρώπους ἐγένοντο· καὶ πρὸς τὴν προτέραν, μᾶλλον δὲ πρὸς πολλῷ μείζονα ἐπανῆλθεν εὐγένειαν ἡμῶν τὸ γένος, καὶ τὸ θαυμαστὸν ἐκεῖνο καὶ παράδοξον ἐπεῖδε θέαμα ἥλιος, ἄνθρωπον ἀθάνατον γεγενημένον. Τούτων δὲ πάντων ἡμᾶς ἀναμνῆσαι βουλόμενος, καὶ τῶν τοιούτων, τὴν ἡμέραν εἰς μέσον ἤγαγε, μονονουχὶ συνήγορον αὐτὴν λαμβάνων, καὶ πρὸς ἕκαστον λέγων· Ἐννόησον πόσων καὶ ἡλίκων ἀπέλαυσας ἀγαθῶν κατὰ τὴν ἡμέραν ταύτην, ἄνθρωπε· πόσων ἀπηλλάγης κακῶν· τίς ὢν τὸ πρότερον, τίς ἐγένου μετὰ ταῦτα. Εἰ δὲ τὰς γενεθλίους ἡμῶν ἡμέρας, πολλοὶ δὲ τῶν οἰκετῶν κἀκείνας, ἐν αἷς ἠλευθερώθησαν, μετὰ πολλῆς ἄγουσι τῆς τιμῆς, καὶ οἱ μὲν συμπόσια ποιοῦνται, οἱ δὲ ἐλεύθεροι καὶ ζῶρα δωροῦνται, πολλὰ τὸν καιρὸν τιμῶντες· πολλῷ [253] μᾶλλον ἡμᾶς χρὴ τιμᾷν τὴν ἡμέραν ταύτην, ἣν οὐκ ἄν τις ἁμάρτοι τῆς ἀνθρωπίνης φύσεως ἁπάσης γενέθλιον προσειπών. Ἀπολωλότες γὰρ ἦμεν, καὶ εὑρέθημεν· νεκροὶ, καὶ ἀνεζήσαμεν· ἐχθροὶ, καὶ κατηλλάγημεν. Διὰ τοῦτο καὶ προσήκει αὐτὴν τιμᾷν τιμὴν πνευματικὴν, οὐχὶ συμπόσια ποιοῦντας, οὐδὲ οἶνον ἐκχέοντας, οὐδὲ μεθύοντας καὶ χορεύοντας, ἀλλὰ τοὺς πτωχοτέρους τῶν ἀδελφῶν ἐν πολλῇ καθιστάντας ἀφθονίᾳ. Ταῦτα λέγω, οὐχ ἵνα ἐπαινῆτε, ἀλλ' ἵνα καὶ μιμῆσθε. Μὴ γὰρ δὴ μόνον πρὸς Κορινθίους ταῦτα εἰρῆσθαι νομίζετε, ἀλλὰ καὶ πρὸς ἡμῶν ἕκαστον, καὶ τῶν μετὰ ταῦτα ἐσομένων ἁπάντων· καὶ ποιῶμεν αὐτὸ δὲ τοῦτο, ὅπερ Παῦλος ἐπέταξε· καὶ κατὰ κυριακὴν ἕκαστος ἀποτιθέσθω οἴκοι χρήματα δεσποτικά· καὶ νόμος ἔστω τὸ πρᾶγμα καὶ συνήθεια ἀκίνητος, καὶ οὐ δεησόμεθα παραινέσεως λοιπὸν, οὐδὲ συμβουλῆς· οὐ γὰρ οὕτω λόγος καὶ παραίνεσις ἰσχύει τὰ τοιαῦτα κατορθοῦν, ὡς συνήθεια χρόνῳ βεβαιωθεῖσα. Ἂν τοῦτο κυρώσωμεν κατὰ κυριακὴν ἀποτίθεσθαί τι πρὸς τὴν τῶν πενήτων ἀντίληψιν, οὐδ' ἂν μυρίαι γένοιντο ἀνάγκαι, τὸν νόμον παραβησόμεθα τοῦτον.

Εἰπὼν δὲ, *Κατὰ μίαν σαββάτων*, ἐπήγαγεν, *Ἕκαστος ὑμῶν*. Οὐχὶ πλουσίοις λέγω, φησὶ, μόνον, ἀλλὰ καὶ πένησιν· οὐκ ἐλευθέροις, ἀλλὰ καὶ δούλοις· οὐκ ἀνδράσιν, ἀλλὰ καὶ γυναιξί. Μηδεὶς ἔστω ταύτης ἀτελὴς τῆς λειτουργίας, μηδὲ ἄμοιρος τοῦ κέρδους, ἀλλ' ἕκαστος εἰσφερέτω. Οὐδὲ γὰρ ἡ πενία κώλυμα γένοιτ' ἂν τῆς τοιαύτης εἰσφορᾶς. Κἂν γὰρ μυριάκις ᾖς πένης, οὐκ εἶ πενέστερος τῆς χήρας ἐκείνης, ἣ τὴν οὐσίαν πᾶσαν ἐκένωσε. Κἂν μυριάκις ᾖς πτωχὸς, οὐκ εἶ πτωχότερος τῆς Σιδωνίας γυναικὸς, ἣ δράκα ἀλεύρου μόνον ἔχουσα, οὐδὲ οὕτως ἐστενοχωρεῖτο πρὸς τὴν τοῦ προφήτου δεξίωσιν· ἀλλ' ὁρῶσα καὶ χορὸν περιεστῶτα παίδων, καὶ λιμὸν ἐπικείμενον, καὶ οὐδὲν ἀποκείμενον ἕτερον, μετὰ πολλῆς τῆς προθυμίας τὸν προφήτην ἐδέχετο. Τίνος δὲ ἕνεκεν εἶπεν, ὅτι *Παρ' ἑαυτῷ τιθέτω θησαυρίζων;* Ἐπειδὴ ὁ τιθεὶς ἴσως ἡσχύνετο καὶ ἠρυθρία ὀλίγον ὂν ἐπιδεῖξαι. Διὰ τοῦτό φησι, Σὺ τήρει καὶ φύλαττε, καὶ ὅταν ταῖς κατὰ μέρος εἰσφοραῖς τὸ ὀλίγον πολὺ γένηται, τότε ἄγε εἰς μέσον. Καὶ οὐκ εἶπε, συλλέγων, ἀλλὰ, *θησαυρίζων*, ἵνα μάθῃς ὅτι ἡ δαπάνη αὕτη θησαυρός ἐστιν, ὅτι τὸ ἀνάλωμα τοῦτο πρόσοδος γίνεται· θησαυρὸς θησαυροῦ παντὸς βελτίων. Οὗτος μὲν γὰρ ὁ αἰσθητὸς καὶ ἐπιβουλεύεται καὶ μειοῦται, καὶ τοὺς εὑρόντας πολλάκις ἀπώλεσεν· ὁ δὲ ἐν τοῖς οὐρανοῖς, τοὐναντίον ἅπαν· ἀνάλωτος μένει καὶ ἀνεπιβούλευτος, σωτηρία τοῖς κεκτημένοις καὶ τοῖς μεταλαμβάνουσιν. Οὐ γὰρ δαπανᾶται χρόνῳ, οὐχ ἁλίσκεται φθόνῳ, ἀλλ' ἔστιν ἀχείρωτος πάσαις ταῖς τοιαύταις ἐπιβουλαῖς, καὶ μυρία κομίζει τοῖς λέγουσιν αὐτὸν ἀγαθά.

δ'. Πειθώμεθα τοίνυν, καὶ ποιῶμεν οὕτω καὶ ἡμεῖς· καὶ ἔστω καὶ ἱερὰ χρήματα μετὰ τῶν ἰδιωτικῶν ἐν ταῖς οἰκίαις ἀποκείμενα ταῖς ἡμετέραις, ἵνα καὶ τὰ ἰδιωτικὰ διὰ τούτων φυλάττηται. Καθάπερ γὰρ ἐν ταμιείοις βασιλικοῖς ἂν φανῇ τινος τῶν ἀρχομένων ἀποκείμενα χρήματα, κἀκεῖνα διὰ ταῦτα πολλῆς ἀπολαύει τῆς ἀσφαλείας· οὕτω δὴ καὶ ἐν τῇ οἰκίᾳ τῇ [254] σῇ ἂν ἀποθῇ χρήματα πενήτων καὶ κατὰ κυριακὴν συλλέγῃς, ταῦτα ἐκείνων ἔσται ἀσφάλεια. Οὕτω καὶ οἰκονόμος γενήσῃ τῶν σαυτοῦ χρημάτων ὑπὸ Παύλου χειροτονηθείς. Τί λέγω; Καὶ τὰ ἤδη συλλεγέντα πρὸς τὸ πλείονα συλλέξαι πάλιν ὑπόθεσίς σοι γενήσεται καὶ ἀφορμὴ πλείων. Ἂν γὰρ ἀρχὴν ποιήσῃ μόνον τῆς καλῆς ταύτης συνηθείας, αὐτὸς ὑπὸ σαυτοῦ δυνήσῃ διανίστασθαι πάλιν, οὐδενὸς γενομένου συμβόλου. Γενέσθω τοίνυν ἐκκλησία τῷ τρόπῳ τούτῳ ἡ ἑκάστου οἰκία, χρημάτων ἱερῶν ἔνδον ἀποκειμένων. Καὶ γὰρ τὰ γαζοφυλάκια τὰ ἐνταῦθα κείμενα τούτων ἐστὶ σύμβολον. Ὅπου πενήτων κεῖται χρήματα, ἄβατος τοῖς δαίμοσιν ὁ τόπος ἐστί· καὶ ὑπὲρ ἀσπίδα, καὶ δόρυ, καὶ ὅπλα, καὶ σώματος ἰσχὺν, καὶ στρατιωτῶν πλῆθος, τὰ πρὸς ἐλεημοσύνην συλλεγόμενα χρήματα τειχίζει τὰς οἰκίας. Εἰπὼν τοίνυν πότε; καὶ παρὰ τίνων, καὶ πῶς τὰ τοιαῦτα συλλέγεσθαι δεῖ χρήματα, τὴν ποσότητα λοιπὸν αὐτοῖς τοῖς εἰσφέρουσιν ἐπέτρεψεν. Οὐ γὰρ εἶπεν, ὅτι Τόσον καὶ τόσον εἰσένεγκε, ἵνα μὴ βαρὺ τὸ ἐπίταγμα γένηται, πολλῶν πενίαν προβαλλομένων· ὥστε μὴ λέγειν τοὺς πένητας, Τί οὖν, ἂν μὴ δυνώμεθα; ἀλλὰ τῇ δυνάμει τῶν εἰσφερόντων τὸ μέτρον τῆς εἰσφορᾶς ὡρίσατο. *Ἕκαστος*, φησὶν, *ὑμῶν παρ' ἑαυτῷ τιθέτω θησαυρίζων, ὅ τι ἂν εὐοδῶται.* Καὶ οὐκ εἶπεν, ὅπερ ἂν δυνηθῇ, ἢ ὅπερ ἂν εὑρεθῇ, ἀλλ' *Ὅπερ ἂν εὐοδωθῇ*· δεικνὺς ὅτι καὶ τὴν ἄνωθεν ῥοπὴν καὶ εὔνοιαν ἕξει συναντιλαμβανομένην αὐτῷ. Οὐ γὰρ δὴ τοῦτο μόνον ὁ Παῦλος ἐσκόπει, ὅπως εἰσενεχθείη τοῖς πένησι χρήματα, ἀλλὰ καὶ ὅπως μετὰ προθυμίας πολλῆς. Ἐπεὶ καὶ ὁ Θεὸς τὴν ἐλεημοσύνην διὰ τοῦτο ὥρισεν, οὐχ ἵνα τρέφωνται μόνον οἱ δεόμενοι, ἀλλ' ἵνα καὶ οἱ παρέχοντες εὐεργετῶνται, καὶ διὰ τούτους μᾶλλον, ἢ δι' ἐκείνους. Εἰ γὰρ τὸ ἐκείνων ἐσκόπει μόνον, ὅπως δοθείη τὰ χρήματα μόνον ἐπέταττεν ἄν, οὐκ ἂν δὲ τὴν προθυμίαν τῶν διδόντων ἐζήτει· νυνὶ δὲ ὁρᾷς ἄνω καὶ κάτω ὑπὲρ τούτου μάλιστα τὸν Ἀπόστολον διαταττόμενον, ὅπως χαίροντες, ὅπως ἱλαροὶ παρέχοιεν οἱ παρέχοντες. Καὶ ποτὲ μέν φησι· *Μὴ ἐκ λύπης ἢ ἐξ ἀνάγκης· ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός*· οὐχ ἁπλῶς δότην, ἀλλὰ τὸν μεθ' ἡδονῆς τοῦτο ποιοῦντα. Καὶ πάλιν ἀλλαχοῦ, *Ὁ μεταδιδοὺς ἐν ἁπλότητι, ὁ προϊστάμενος ἐν σπουδῇ, ὁ ἐλεῶν ἐν ἱλαρότητι.*

Neque enim parva res omnibus in negotiis temporis opportunitas. Et quid, dices, opportunitatis habet tempus, ut quis persuadeatur eleemosynam dare? Quod hac die ab omni opere cessetur, quod hilarior animus ex hac quiete reddatur, quodque omnium maximum est, quod illo die innumeris fruamur bonis. Hac quippe die soluta mors est, exstincta maledictio, deletum peccatum, portæ inferi confractæ, vinctus diabolus, diuturnum bellum diremptum, reconciliati Deo homines, nostrumque genus ad pristinam, imo potius ad longe majorem nobilitatem rediit : viditque sol admirandum illud spectaculum, hominem factum immortalem. Hæc omnia et talia volens ipse nobis in memoriam revocare, diem illum in medium attulit, ceu in advocatum illum assumens, ut singulis dicat : Cogita, homo, quot qualibusque bonis donatus sis hodie, quot quantisque malis ereptus : qualis cum prius esses, qualis postea factus sis. Quod si dies natales nostros recolimus, multi autem servi etiam eos, quibus libertate donati sunt, magno cum honore celebrant, ita ut alii convivia faciant, alii autem liberiores dona largiantur : multo magis nos hunc diem venerari par est, quem non erraverit, si quis totius humanæ naturæ diem natalem vocaverit. Perditi enim eramus, et inventi sumus; mortui, et reviximus; inimici, et reconciliati sumus. Quapropter eum honore spirituali colere par est, non conviviis, non vini potu, non ebrietate, non tripudiis, sed fratribus nostris pauperioribus ad rerum copiam adductis. Hæc dico non ut laudetis tantum, sed ut etiam imitemini. Ne putetis enim hæc ad Corinthios solum dicta fuisse, sed etiam ad nostrum singulos et ad universos, qui post futuri sunt. Idipsum vero faciamus quod Paulus præcepit : et die dominico unusquisque nostrum domi opes dominicas reponat : sitque hoc lex et consuetudo immutabilis, neque admonitione deinceps vel consilio opus erit nobis : non enim tantum valet sermo et admonitio, quantum inveterata consuetudo. Si hoc statuamus, ut singulis dominicis aliquid in subsidium pauperum deponamus, ne quidem si sexcentæ urgeant necessitates, hanc legem transgrediemur.

Omnes eleemosynam pro viribus dare oportet; eleemosyna cum gaudio eroganda; eleemosynæ ritus. — Postquam vero dixit, *Per unam sabbati*, subdidit, *Unusquisque vestrum*. Non divites tantum alloquor, inquit, sed etiam pauperes; non liberos tantum, sed etiam servos; non viros modo, sed et mulieres : nullus sit ab hoc ministerio immunis, neque hoc lucro vacuus, sed unusquisque offerat : neque collationi huic obstet inopia. Quantumcumque enim pauper sis, non es pauperior vidua illa, quæ omnem substantiam suam exhausit (*Luc.* 21. 2-4). Quantumcumque pauper sis, non es pauperior muliere Sidonia, quæ licet pugillum farinæ tantum haberet, ne sic quidem ab excipiendo propheta cohibita est; sed licet circumstantes liberos videret, urgentemque famem, neque aliud quidquam haberet depositum, magna cum alacritate prophetam excepit (3. *Reg.* 17. 10. *sqq.*). Qua vero de causa dixit, *Apud se seponat thesaurizans* (1. *Cor.* 16. 2)? Quia fortasse cum modicum esset, id ostendere verebatur et erubescebat. Quapropter dixit, Tu serva et custodi, et cum oblationum frequentia quod parvum erat, multum effectum fuerit, tunc in medium producito. Neque dixit, colligens, sed *Thesaurizans;* ut discas, expensam illam esse thesaurum, quia sumptus ille thesaurus efficitur : thesaurus, inquam, omni thesauro melior. Nam hic, qui sub sensum cadit, thesaurus insidiis impetitur et imminuitur, sæpeque eos, qui ipsum invenerant, perdidit : thesaurus vero cælestis secus; imminui namque et insidiis impeti nequit, salus possidentibus et accipientibus. Non tempore consumitur, non perit invidia, sed talibus prorsus insidiis inaccessus, sexcenta colligentibus confert bona.

4. Obtemperemus igitur, et sic nos ipsi faciamus : sintque sacræ pecuniæ in domibus nostris cum privatis opibus repositæ, ut per eas privatæ illæ conserventur. Quemadmodum enim in regiis ærariis, si subditi cujusdam pecuniæ intersint, privatæ regiarum causa in tuto collocantur : sic et si domi repositas habeas pauperum pecunias, quas die dominico colligas, illæ tuis securitatem parient. Ita dispensator eris pecuniarum tuarum a Paulo constitutus? Quid dico? Eæ quæ jam collectæ ad plures colligendas occasionem tibi ansamque præbebunt. Si enim bonæ huic consuetudini initium dederis, ipse teipsum excitare poteris sine ullo symbolo. Sit igitur hoc modo cujusque domus ecclesia, sacris pecuniis intus repositis. Enimvero gazophylacia, quæ hic habentur, illarum symbolum sunt. Ubi pauperum pecuniæ jacent, inaccessus dæmonibus est locus : collectæ namque ad eleemosynam pecuniæ plus, quam scutum, hasta, et arma, omneque corporis robur, aut militum manus domos muniunt. Cum dixisset ergo, quando, a quibus et quomodo hujusmodi pecuniæ colligendæ sint, quantas illas esse oporteat offerentium arbitrio relinquit. Non enim dixit, Tantum et tantum offer, ne onerosum sit præceptum, multis paupertatem objicientibus; ne pauperes dicerent, Quid igitur si non possimus? sed facultati offerentium oblationis modum permisit : *Unusquisque*, inquit, *vestrum apud se seponat thesaurizans quod sibi placuerit* (1. *Cor.* 16. 2) : non dixit, quod potuerit, aut quod repertum fuerit; sed, *Quod sibi placuerit*, sive quod commodum fuerit, ostendens supernum nutum et benevolentiam ipsi adfuturam esse. Non enim id solum spectabat Paulus, ut pecuniæ pauperibus submistrarentur, sed ut id magna cum alacritate fieret. Etenim Deus non ob id tantum eleemosynam præcepit, ut alantur egeni, sed etiam ut dantibus beneficia accederent; propterque hos magis, quam propter illos. Nam si pauperum dumtaxat habuisset rationem, præcepisset tantum ut pecuniæ erogarentur, neque erogantium alacritatem requisivisset : at nunc vides apostolum omni sollicitudine præcipientem, ut læti hilaresque sint largitores. Et aliquando dicit, *Non ex tristitia, aut ex necessitate : hilarem enim datorem diligit Deus* (2. *Cor.* 9. 7); non simpliciter datorem, sed eum qui libenter id agit. Et iterum alibi : *Qui tribuit in simplicitate, qui præest in sollicitudine, qui miseretur in hila-*

ritate (*Rom.* 12. 8). Hæc est enim eleemosyna, si ita dederis, ut gaudeas, et putes te magis accipere, quam dare. Ideoque modis omnibus conatur ut leve faciat præceptum, ac cum alacritate fiat oblatio. Et considera quot capitibus præcepti pondus auferre satagat. Primo jubet non unum, aut duos tresve offerre, sed universam civitatem. Collecta enim nihil aliud est, quam collatio et symbolum ab omnibus oblatum. Secundo accipientium dignitati prospicit; non enim dixit, pauperes, sed *Sanctos*. Tertio exemplum affert aliorum, qui simile quiddam fecerant: *Sicut ordinavi*, inquit, *Ecclesiis Galatiæ*. Ad hæc diei opportunitatem adjicit: *Per unam sabbatorum*, ait, *unusquisque vestrum apud se seponat thesaurizans*. Quinto, non jubet omnem conferim inferri eleemosynam; sed sensim et paulatim. Non enim par est ratio omnia uno die inferri præcipere, aut in diuturnum tempus illa minutatim dividere: nam hoc modo impensa ne sentitur quidem. Sexto, non præscribit mensuram, sed offerentium arbitrio relinquit, et illud a Deo datum declarat: nam cum dicit, *Quod commodum fuerit*, hæc ambo indicat. Septimum quoque alium modum adjicit, dicens, *Ut non, cum venero, tunc collectæ fiant*. Simul enim eos excitat exspectantes adventum suum, et consolatur, certum adventus sui diem significans. Neque his contentus octavum aliud adjicit. Quodnam illud? *Cum autem præsens fuero*, inquit, *quos probaveritis per epistolas, hos mittam perferre gratiam vestram. Quod si dignum fuerit ut et ego eam, mecum ibunt* (1. *Cor.* 16. 3. 4). Vide quam aliena a fastu et quam modesta sit beata et generosa illa anima, vide quam sollicita, quam amoris plena. Noluit enim, neque passus est ut ii, qui pecunias administraturi erant, arbitratu sui ipsius constituerentur, sed eorum electionem ipsis permisit, neque contumeliæ loco habuit, si Corinthiorum calculo atque sententia, non autem Pauli, constituerentur; contra vero absurdum fore censuit, si oblatio eorum esset, ministrorum autem electio sua. Ideoque id illis commisit, modestiam simul suam ostendens, atque omnem ansam umbramque adversæ suspicionis resecans. Nam licet sole splendidior et ab omni mala suspicione alienus esset: ex abundanti tamen curabat infirmioribus se attemperare, et falsas suspiciones effugere. Propterea dicit: *Cum autem præsens fuero, quos probaveritis, hos mittam perferre gratiam vestram*. Quid dicis? Tu non navigas, neque pecunias accipis, sed aliis rem committis? Ne igitur talia cogitantes segniores evaderent, vide quomodo et hoc iterum caveat. Non enim simpliciter dixit, Quos probaveritis, mittam, sed quid? *Per epistolas*. Etiamsi corpore non adfuturus sim, at literis meis præsens ero, eorumque ministerii particeps.

5. Num vel umbra Pauli, vel calceamentis ejus digni sumus, quando ille tanta apud omnes gloria fulgens omnium rejicit honores, nos autem stomachamur et ægre ferimus, si non sententia et calculo nostro talium pecuniarum prompti creentur, contumeliamque nobis inferri putamus cum nobis inconsultis quidam pecunias impendunt suas? Vide etiam qua ratione sui ubique mentionem faciat, neque uspiam obliviscatur: neque enim hic mandatum vocat illud, neque eleemosynam, sed *Gratiam*; ostendens sicut mortuos suscitare, dæmones pellere et leprosos mundare, sic et pauperes juvare gratiæ opus esse; imo potius hoc quam illud: atque etiamsi gratia sit, studio tamen et alacritate opus nobis est ut eligamus et velimus, et nos gratia dignos reddamus. Hoc itaque ad consolationem attulit, quod literas suas cum illis mitteret; aliud vero majus adjecit, quod se polliceretur itineris socium fore: *Quod si dignum fuerit*, inquit, *ut et ego eam, mecum ibunt* (1. *Cor.* 16. 3. 4). Hic animadvertas velim ejus prudentiam. Neque enim negavit se simul iturum, neque omnino pollicitus est; sed illud etiam dantium arbitrio permisit, eosque profectionis suæ dominos fecit; indicans, si donum tantum foret, ut se incitare posset, iter se susceptorum esse. Nam cum dicit, *Si dignum fuerit*, id subindicantis est. Quod si profectionem illam omnino negasset, ipsos ignaviores segnioresque reddidisset; sin dubie promisisset, negligentiores fecisset. Ideo nec omnino negat, neque pollicetur; sed illud arbitrio Corinthiorum relinquit dicens, *Quod si dignum fuerit*. Audientes enim Paulum ipsum delaturum oblationem suam, majori studio et alacritate ad id rei ferebantur, quod sanctæ illæ manus dona tractaturæ essent, et huic sacrificio preces illius accederent. Porro si Paulo tradituri dona Corinthii, id cum majore alacritate faciebant, tu Pauli Domino daturus (nam per pauperes ille suscipit), quam excusationem habiturus es? Neque enim, nisi magna fuisset oblatio multaque cura digna, ille cui totus orbis creditus, et cui curæ erant omnes sub sole Ecclesiæ, pollicitus esset se pecunias administraturum esse. Hæc igitur animo reputantes, sive largiendum sit, sive aliis largientibus ministrandum, ne segnes simus, neque mœsti, quod facultates nobis minuantur. Quomodo enim absurdum non fuerit, dum agricola semen jaciens, et bona effundens, non tristatur, nec dolet, neque id sumptus loco habet, sed lucrum potius et proventum esse putat, tametsi spes sit incerta: te, qui non pro paribus, sed pro multo majoribus seminas, et qui in ipsas Christi manus argentum jacturus es, refugere, torpere, et inopiam prætendere? Annon poterat Deus præcipere telluri, ut proferret aurum purum? Qui enim dixit, *Germinet terra herbam fœni* (*Gen.* 1. 11), moxque comantem exhibuit, poterat haud dubie præcipere ut fontes et fluvii aurum jugiter funderent. Verum id noluit, sed multos in paupertate dimisit tum ob ipsorum, tum ob tuam utilitatem. Nam ad virtutem opportunior est paupertas divitiis, et iis, qui in peccatis sunt, non parva consolatio oritur ab auxilio egenis præstito. Tantaque hujusce rei cura est Deo, ut cum advenisset carneque indutus cum hominibus conversaretur, non detrectaret, neque ignominiæ loco haberet, quod ipse quæ ad pauperes spectabant dispensaret. Etsi vero tot panes fecerat, et quæcumque vellet jussu perficiebat, licet posset sexcentos thesauros confertim ostendere, noluit tamen; sed marsu-

Ἐπεὶ καὶ τοῦτό ἐστιν ἐλεημοσύνη, τὸ χαίροντα καὶ νομίζοντα λαμβάνειν μᾶλλον ἢ διδόναι, οὕτω παρέχειν. Διὰ τοῦτο παντὶ τρόπῳ πειρᾶται εὔκολον ποιῆσαι τὸ ἐπίταγμα, ἵνα μετὰ προθυμίας ἡ εἰσφορὰ γένηται. Καὶ σκόπει πόσοις ἐπεχείρησε κεφαλαίοις τὸ βαρὺ τοῦ πράγματος ἐπιτεμνόμενος. Ἑνὶ μὲν καὶ πρώτῳ, τῷ μὴ παρ' ἑνὸς καὶ δύο ἢ τριῶν, ἀλλὰ παρὰ πάσης αὐτὸ κελεῦσαι εἰσενεχθῆναι τῆς πόλεως. Λογία γὰρ οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ συλλογὴ καὶ ἔρανος παρὰ πάντων ἐπιδιδόμενος. Δευτέρῳ, τῷ τῶν λαμβανόντων ἀξιώματι· οὐ γὰρ εἶπε, Πτωχούς, ἀλλ' Ἁγίους. Τρίτῳ, τῷ παραδείγματι τῶν ἤδη πεποιηκότων· *Καθὼς διέταξα γάρ*, φησὶ, *ταῖς Ἐκκλησίαις τῆς Γαλατίας.* Πρὸς τούτοις, τῇ τῆς ἡμέρας εὐκαιρίᾳ· *Κατὰ μίαν γάρ*, φησὶ, *σαββάτων ἕκαστος ὑμῶν παρ' ἑαυτῷ τιθέτω θησαυρίζων.* Πέμπτῳ, τῷ μὴ πᾶσαν ὑφ' ἓν κελεῦσαι εἰσενεχθῆναι τὴν ἐλεημοσύνην· ἀλλ' ἠρέμα καὶ κατὰ [255] μικρόν. Οὐ γάρ ἐστιν ἴσον ἐν ἡμέρᾳ μιᾷ κελεύειν τὸ εἰσφέρειν, καὶ ἐν τοσούτῳ κατακερματίζειν αὐτὸ χρόνῳ· τὸ γὰρ τοιοῦτον οὐδὲ αἴσθησιν παρέχει δαπάνης. Ἕκτῳ, τῷ μὴ μέτρον �ρίσαι, ἀλλ' ἐπιτρέψαι τῇ γνώμῃ τῶν εἰσφερόντων, καὶ δεῖξαι παρὰ Θεοῦ τοῦτο διδόμενον· τῷ γὰρ εἰπεῖν, *Ὅ τι ἂν εὐοδῶται*, ἀμφότερα ταῦτα ἐδήλωσε. Προσέθηκε καὶ ἕβδομον ἕτερον τρόπον εἰπών, *Ἵνα μὴ, ὅταν ἔλθω, τότε λογίαι γίνωνται.* Ὁμοῦ τε γὰρ αὐτοὺς καὶ κατεπείγει προσδοκῶντας αὐτοῦ τὴν παρουσίαν, καὶ παραμυθεῖται, προθεσμίαν αὐτοῖς πολλὴν παρέχων. Καὶ οὐδὲ τούτοις ἠρκέσθη μόνον, ἀλλὰ καὶ ὄγδοον προσέθηκεν ἕτερον. Ποῖον δὲ τοῦτο; *Ἐπειδὰν δέ*, φησὶ, *παραγένωμαι, οὓς ἂν δοκιμάσητε δι' ἐπιστολῶν, τούτους πέμψω ἀπενεγκεῖν τὴν χάριν ὑμῶν· καὶ ἐὰν ᾖ ἄξιον τοῦ κἀμὲ πορεύεσθαι, σὺν ἐμοὶ πορεύσονται.* Ὅρα τὸ ἄτυφον καὶ ἐπιεικὲς τῆς μακαρίας καὶ γενναίας ἐκείνης ψυχῆς, καὶ τὸ κηδεμονικὸν καὶ φιλόστοργον. Οὐ γὰρ ἠθέλησεν αὐτὸς, οὐδὲ ἠνέσχετο τοὺς διακονησομένους τοῖς χρήμασι τούτους χειροτονῆσαι ἐξ οἰκείας γνώμης· ἀλλ' ἐκείνοις τὴν αἵρεσιν τούτων ἐπέτρεψε, καὶ οὐκ ἐνόμιζεν ὕβριν εἶναι τὸ πρᾶγμα, εἰ τῇ Κορινθίων ψήφῳ καὶ γνώμῃ, ἀλλὰ μὴ τῇ Παύλου μέλλοιεν οὕτω καθίστασθαι· τοὐναντίον μὲν οὖν αὐτῷ ἄτοπον εἶναι ἐφαίνετο, τὴν μὲν εἰσφορὰν ἐκείνων εἶναι, τὴν δὲ αἵρεσιν τῶν ὑπηρετησομένων αὐτοῦ. Διὰ τοῦτο αὐτοῖς τοῦτο ἐπέτρεψεν, ὁμοῦ τε τὴν ἐπιείκειαν ἐπιδεικνύμενος, ὁμοῦ τε πᾶσαν λαβὴν ἀναιρῶν καὶ σκιὰν ὑποψίας ἀτόπου. Εἰ γὰρ καὶ τοῦ ἡλίου λαμπρότερος ἦν, καὶ πάσης πονηρᾶς ὑποψίας ἀπηλλαγμένος, ἀλλ' ὅμως καὶ οὕτως ἐκ περιουσίας ἐσπούδαζε καὶ τῶν ἀσθενεστέρων φείδεσθαι, καὶ τὰς ψευδεῖς ὑπονοίας διαφεύγειν. Διὰ τοῦτό φησιν· *Ἐπειδὰν παραγένωμαι, οὓς ἂν δοκιμάσητε, τούτους πέμψω ἀπενεγκεῖν τὴν χάριν ὑμῶν.* Τί λέγεις; σὺ δὲ οὐ πλεῖς, οὐδὲ δέχῃ τὰ χρήματα, ἀλλ' ἑτέροις τὸ πρᾶγμα ἐπιτρέπεις; Ἵν' οὖν μὴ ταῦτα ἐννοοῦντες ῥᾳθυμότεροι γένωνται, ὅρα πῶς καὶ τοῦτο πάλιν διώρθωσεν. Οὐ γὰρ εἶπεν ἁπλῶς, Οὓς ἐὰν δοκιμάσητε πέμψω, ἀλλὰ τί; *Δι' ἐπιστολῶν.* Κἂν μὴ τῷ σώματι παρῶ, ἀλλὰ τοῖς γράμμασι παρέσομαι τοῖς ἐμοῖς, καὶ συναντιλήψομαι τῆς διακονίας ἐκείνοις.

ε'. Ἆρα ἄξιοι τῆς σκιᾶς ἐσμεν τῆς τοῦ Παύλου, ἢ τῶν ὑποδημάτων ἐκείνου, ὅταν ἐκεῖνος μὲν τοσαύτην παρὰ πᾶσι δόξαν ἔχων διακρούηται τὰς παρὰ πάντων τιμάς, ἡμεῖς δὲ καὶ ἀγανακτῶμεν, καὶ δυσχεραίνωμεν, ἂν μὴ τῇ ἡμετέρᾳ γνώμῃ, μηδὲ τῇ κρίσει καὶ τῇ ψήφῳ οἱ τὰ τοιαῦτα διακονούμενοι χρήματα χειροτονῶνται; ὅταν ὕβριν εἶναι νομίζωμεν τὸ μὴ μεθ'

ἡμῶν καὶ τῆς ἡμετέρας γνώμης τοὺς τὰ αὐτῶν δαπανῶντας τοῦτο ποιεῖν; Καὶ ὅρα πῶς ἑαυτοῦ πανταχοῦ μέμνηται, καὶ οὐδαμοῦ ἐπιλανθάνεται, οὐδὲ γὰρ ἐνταῦθα ἐντολὴν ἐκάλεσεν, οὐδὲ ἐλεημοσύνην, ἀλλὰ, *Χάριν*· δεικνὺς, ὅτι καθάπερ νεκροὺς ἐγείρειν, καὶ δαίμονας ἐλαύνειν, καὶ λεπροὺς καθαίρειν, χάριτος ἔργον ἐστίν· οὕτω καὶ πενίαν διορθοῦν, καὶ τοῖς δεομένοις χεῖρα ὀρέγειν, καὶ πολλῷ μᾶλλον τοῦτο ἢ ἐκεῖνο· ἀλλ' εἰ καὶ χάρις ἐστὶ, καὶ τῆς ἡμετέρας δεῖται [256] σπουδῆς καὶ προθυμίας, ἵνα ἑλώμεθα καὶ βουληθῶμεν, καὶ τῆς χάριτος ἀξίους ἑαυτοὺς παρασκευάσωμεν. Ἑνὶ μὲν οὖν τούτῳ παρεμυθήσατο, τῷ τὰ γράμματα αὐτοῦ πέμπειν μετ' ἐκείνων· ἑτέρῳ δὲ μείζονι τοῦ προτέρου πάλιν, τῷ καὶ αὐτὸν ὑποσχέσθαι τῆς ἀποδημίας ταύτης κοινωνήσειν αὐτοῖς. *Ἐὰν γὰρ ᾖ ἄξιον*, φησὶ, *τοῦ κἀμὲ πορεύεσθαι, σὺν ἐμοὶ πορεύσονται.* Καὶ σκόπει κἀνταῦθα αὐτοῦ τὴν σύνεσιν. Οὔτε γὰρ ἠρνήσατο συναπιέναι, οὔτε ὑπέσχετο καθάπαξ, ἀλλὰ πάλιν τῇ τῶν διῤῥόντων γνώμῃ τοῦτο ἐπέτρεψε, καὶ κυρίους αὐτοὺς ἐποίησε τῆς ἀποδημίας τῆς ἑαυτοῦ, ἐνδειξάμενος ὅτι εἰ δαψιλὲς εἴη τὸ δεδομένον καὶ τοσοῦτον ὡς κἀὶ αὐτὸν διαναστῆσαι, πάντως ἅψεται τῆς ὁδοῦ. Τὸ γὰρ εἰπεῖν, *Ἐὰν ᾖ ἄξιον*, τοῦτό ἐστιν αἰνιττομένου. Εἰ μὲν οὖν καθόλου τὴν ἀποδημίαν ταύτην ἠρνήσατο, ἀθυμοτέρους ἂν ἐποίησε καὶ ὀκνηροτέρους αὐτούς· πάλιν εἰ ἀμφιβόλως ὡμολόγησε καὶ ὑπέσχετο, ῥᾳθυμοτέρους ἂν εἰργάσατο. Διὰ δὴ τοῦτο οὔτε ἀπαγορεύει καθόλου, οὔτε ὑπισχνεῖται· ἀλλ' ἐπὶ τῇ γνώμῃ τῶν Κορινθίων τοῦτο ποιεῖ, εἰπών, *Ἐὰν δὲ ᾖ ἄξιον*. Ἀκούοντες γὰρ ὅτι Παῦλος μέλλει τὴν προσφορὰν αὐτῶν ἀποφέρειν, πλείονι προθυμίᾳ καὶ σπουδῇ πρὸς τὸ πρᾶγμα ἐχέχρηντο· ὥστε τὰς ἁγίας χεῖρας ἐκείνας διακονήσασθαι τοῖς διδομένοις, καὶ τὰς εὐχὰς τὰς ἐκείνου προστεθῆναι τῇ θυσίᾳ ταύτῃ. Εἰ δὲ Παύλῳ διδόναι μέλλοντες οἱ Κορίνθιοι ὥστε διακομίσαι, μετὰ πλείονος τοῦτο ἐποίουν τῆς προθυμίας· σὺ τῷ Παύλου μέλλων διδόναι Δεσπότῃ (διὰ γὰρ τῶν πενήτων ἐκεῖνος λαμβάνει), ποίαν· ἔξεις ἀπολογίαν ἀναβαλλόμενος; Οὐδὲ γὰρ ἂν, εἰ μὴ μέγα ἦν τὸ πρᾶγμα καὶ πολλῆς ἄξιον σπουδῆς, ὁ τὴν οἰκουμένην πᾶσαν ἐγχειρισθεὶς, καὶ τὰς ὑφ' ἥλιον κειμένας μεριμνῶν Ἐκκλησίας, ὑπέσχετο τῇ τῶν χρημάτων οἰκονομίᾳ διακονήσασθαι τούτων. Ταῦτ' οὖν καὶ ἡμεῖς λογιζόμενοι, ἄν τε δοῦναι δέῃ, ἄν τε παρέχουσιν ἑτέροις ὑπηρετεῖν, μὴ κατοκνῶμεν, μηδὲ ἀθυμῶμεν, ὡς τῆς οὐσίας ἡμῖν ἐλαττουμένης. Πῶς γὰρ οὐκ ἄτοπον, τὸν μὲν γηπόνον τὰ σπέρματα καταβάλλοντα, καὶ τὰ ὄντα κενοῦντα, μὴ δάκνεσθαι, μηδὲ ἀλγεῖν, μηδὲ ἀνάλωμα νομίζειν εἶναι τὸ γινόμενον, ἀλλὰ κέρδος καὶ πρόσοδον, καίτοι ἀδήλου τῆς ἐλπίδος οὔσης· σὲ δὲ οὐκ ἐπὶ τοιούτοις, ἀλλ' ἐπὶ πολλῷ μείζοσι σπείροντα, καὶ αὐτῷ μέλλοντα τὸ ἀργύριον ἐγχειρίζειν τῷ Χριστῷ, ἀναδύεσθαι, καὶ ναρκᾶν, καὶ πενίαν προβάλλεσθαι; Μὴ γὰρ οὐκ ἠδύνατο ὁ Θεὸς κελεῦσαι τῇ γῇ χρυσίον ἀπηρτισμένον ἐκβαλεῖν; Ὁ γὰρ εἰπών, *Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου*, καὶ δείξας αὐτὴν ἐξαίφνης κομῶσαν, ἠδύνατο κελεῦσαι καὶ πηγὰς καὶ ποταμοὺς χρυσίου ῥεῦσαι πάντοθεν. Ἀλλ' οὐκ ἠθέλησεν, ἀλλ' ἀφῆκεν εἶναι πολλοὺς ἐν πτωχείᾳ, διά τε τὸ ἐκείνοις, διά τε τὸ σοὶ συμφέρον. Καὶ γὰρ πρὸς ἀρετὴν ἐπιτηδειότερον πενία πλούτου· καὶ τοῖς ἐν ἁμαρτήμασι καθεστηκόσιν οὐ μικρὰ παραμυθία γίνεται ἀπὸ τῆς εἰς τοὺς δεομένους βοηθείας, καὶ τοσαύτη τοῦ πράγματος σπουδὴ τῷ Θεῷ, ὅτι καὶ παραγενόμενος, καὶ σάρκα περιβαλόμενος, καὶ τοῖς ἀνθρώποις συναναστραφείς, οὐ παρῃτήσατο, οὐδὲ αἰσχύνης ἄξιον εἶναι ἐνόμισεν οἰκονομεῖν αὐτὸς τὰ τῶν πενήτων. [257] Καίτοι γε τοσούτους ἐργασάμενος θησαυροὺς, καὶ πάντα ἐξ ἐπιτάγματος ποιῶν ἁπλῶ-

ἤθελε, καὶ δυνάμενος δεῖξαι μυρίους ἀθρόον θησαυροὺς, οὐκ ἐποίησε τοῦτο· ἀλλὰ γλωσσόκομον ἔχειν ἐκέλευσε τοῖς μαθηταῖς, καὶ τὰ βαλλόμενα βαστάζειν, καὶ τοῖς δεομένοις ἐκεῖθεν ἐπικουρεῖν. Ὅτε γοῦν τῷ Ἰούδᾳ περὶ τῆς προδοσίας αἰνιγματωδῶς διελέγετο, μὴ συνιέντες οἱ μαθηταὶ τὸ λεχθὲν, ἐνόμισαν, φησὶν, ὅτι εἶπεν αὐτῷ ἵνα τοῖς πτωχοῖς τι δῷ· *Καὶ γὰρ τὸ γλωσσόκομον αὐτὸς, φησὶν, εἶχε, καὶ τὰ βαλλόμενα ἐβάσταζε.* Πολὺς γὰρ τῷ Θεῷ λόγος ἐλέους, οὐ τοῦ παρ' αὐτοῦ μόνον εἰς ἡμᾶς, ἀλλὰ καὶ τοῦ παρ' ἡμῶν εἰς τοὺς συνδούλους ὀφείλοντος γίνεσθαι· καὶ ἐν τῇ Παλαιᾷ, καὶ ἐν τῇ Καινῇ μυρίους ὑπὲρ τούτου τίθησι νόμους, κελεύων διὰ πάντων εἶναι φιλάνθρωπον, καὶ διὰ ῥημάτων, καὶ χρημάτων, καὶ πραγμάτων. Καὶ Μωϋσῆς ἄνω καὶ κάτω τοὺς περὶ τούτων διασπείρει λόγους ταῖς νομοθεσίαις ἁπάσαις· καὶ οἱ προφῆται ἐκ προσώπου τοῦ Θεοῦ τοῦτο βοῶσιν, ὅτι *Ἔλεον θέλω, καὶ οὐ θυσίαν*· καὶ οἱ ἀπόστολοι πάντες συνῳδὰ τούτοις καὶ ποιοῦσι καὶ λέγουσι. Μὴ τοίνυν καταμελῶμεν τοῦ πράγματος· οὐ γὰρ τοὺς πένητας, ἀλλ' αὐτοὺς ἡμᾶς τὰ μέγιστα ὠφελοῦμεν, καὶ μείζονα λαμβάνομεν ὧν παρέχομεν.

ς'. Ταῦτα δὲ οὐχ ἁπλῶς λέγω νῦν, ἀλλ' ἐπειδὴ πολλοὶ πολλάκις πρὸς τοὺς δεομένους ἀκριβολογοῦνται, καὶ πατρίδα ἐξετάζοντες, καὶ βίον, καὶ τρόπους, καὶ ἐπιτήδευμα, καὶ τὴν τοῦ σώματος εὐεξίαν, ἐγκλήματα ποιούμενοι, καὶ μυρίας ὑπὲρ ὑγιείας ἀπαιτοῦντες εὐθύνας. Διά τοι τοῦτο, καὶ πολλοὶ πτηρώσεις ὑπεκρίναντο σώματος, ἵνα τὴν ὠμότητα τὴν ἡμετέραν καὶ τὴν ἀπανθρωπίαν τῷ τῆς συμφορᾶς ταύτης ἐπικάμψωσι δράματι. Καὶ τὸ μὲν, θέρους ὄντος, ταῦτα ἐγκαλεῖν, δεινὸν ὄν, οὐχ οὕτω δεινόν ἐστι· τὸ δὲ ἐν κρυμῷ καὶ ψύχει οὕτως ὠμὸν καὶ ἀπάνθρωπον γίνεσθαι δικαστὴν, καὶ μηδεμίαν ἀπονέμειν τοῖς ἀργοῦσι συγγνώμην, οὐκ ἂν ἔχοι τινὰ ὠμότητος ὑπερβολήν; Τί οὖν ὁ Παῦλος, φησὶν, ἐνομοθέτει Θεσσαλονικεῦσι, λέγων· *Εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω*; Ἵνα καὶ σὺ ταῦτα ἀκούσῃς, καὶ μὴ πρὸς ἐκεῖνον μόνον, ἀλλὰ καὶ πρὸς σαυτὸν διαλέγῃ τὰ τοῦ Παύλου ῥήματα. Οἱ γὰρ τοῦ Παύλου νόμοι οὐχὶ τοῖς πένησι μόνον, ἀλλὰ καὶ ἡμῖν κεῖνται. Εἶπω τι φορτικὸν καὶ ἐπαχθές· οἶδα μὲν ὅτι ὀργιεῖσθε· πλὴν ἀλλ' ὅμως ἐρῶ· οὐδὲ γὰρ ὥστε πλῆξαι, ἀλλ' ὥστε διορθῶσαι τοῦτο λέγω. Τούτοις μὲν ἀργίαν ἐγκαλοῦμεν, πρᾶγμα καὶ συγγνώμης πολλάκις ἄξιον· αὐτοὶ δὲ ἐργαζόμεθα τοιαῦτα πολλάκις, ἃ πάσης ἀργίας ἐστὶ χαλεπώτερα. Ἀλλ' ἐγὼ πατρῷον ἔχω κλῆρον, φησίν. Ἐπεὶ οὖν οὗτος πένης ἐστὶ, καὶ ἐκ πενήτων, καὶ οὐκ ἔσχε προγόνους εὐπόρους, ἀπόλλυσθαι δίκαιος, εἰπέ μοι; Δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα ἐλεεῖσθαι καὶ κατοικτίρεσθαι ἄξιος ἂν εἴη παρὰ τῶν ἐγόντων. Σὺ μὲν γὰρ πολλάκις διημερεύων τὴν ἡμέραν ἐν θεάτροις, ἢ ἐν συνεδρίοις καὶ συλλόγοις οὐδὲν ἔχουσι κέρδος, καὶ μυρίοις λέγων κακῶς, οὐδὲν ἠγῇ ποιεῖν δεινὸν, οὐδὲ ἀργεῖν· τὸν δὲ ἄθλιον τοῦτον καὶ ταλαίπωρον πᾶσαν ἀναλίσκοντα τὴν ἡμέραν ἐν ἱκετηρίαις, ἐν δάκρυσιν, ἐν μυρίᾳ ταλαιπωρίᾳ, κρίνεις, καὶ εἰς [258] δικαστήριον ἕλκεις, καὶ εὐθύνας ἀπαιτεῖς; Καὶ ποῦ ταῦτα γνώμης ἀνθρωπίνης, εἰπέ μοι; Ὥστε ὅταν λέγῃς, Τί οὖν ἐροῦμεν τῷ Παύλῳ; μὴ τοῖς πένησιν, ἀλλὰ καὶ σαυτῷ διαλεγόμενος ταῦτα λέγε. Ἄλλως δὲ, μὴ τὴν ἀπειλὴν ἀναγίνωσκε μόνον, ἀλλὰ καὶ τὴν συγγνώμην· ὁ γὰρ εἰπὼν, *Εἴ τις μὴ ἐργάζεται, μηδὲ ἐσθιέτω*, προσέθηκεν· *Ὑμεῖς δὲ, ἀδελφοὶ, μὴ ἐκκακήσητε τὸ καλὸν ποιοῦντες.* Ἀλλὰ τίς αὐτῶν ἡ εὐπρόσωπος πρόφασις· Δραπέται τινές εἰσι, φησὶ, καὶ ξένοι, καὶ μαστιγίαι, καὶ τὰς αὑτῶν ἀφέντες πατρίδας, εἰς τὴν ἡμετέραν πόλιν συῤῥέουσι. Διὰ τοῦτο οὖν ἀγαναχτεῖς, εἰπέ μοι, καὶ τὸν στέφανον τῆς πόλεως διατίλλεις, ὅτι κοινὸν λιμένα πάντες αὐτὴν εἶναι νομίζουσι, καὶ τῆς ἐνεγκούσης τὴν ἀλλοτρίαν προτιθέασι; Διὰ τοῦτο μὲν οὖν ἀγάλλεσθαι ἔδει καὶ χαίρειν, ὅτι καθάπερ εἰς κοινὸν ἐμπόριον τὰς ὑμετέρας χεῖρας τρέχουσιν ἅπαντες, καὶ μητέρα κοινὴν εἶναι ταύτην τὴν πόλιν νομίζουσι. Μὴ δὴ διαφθείρητε τὸ ἐγκώμιον, μηδὲ ἀχρωτηριάσητε τὸν ἔπαινον πάτριον ὄντα αὐτῇ καὶ ἀρχαῖον. Καὶ γάρ ποτε λιμοῦ μέλλοντος εἰς τὴν γῆν ἐμβαλεῖν ἅπασαν, οἱ τὴν πόλιν ταύτην οἰκοῦντες τοῖς ἐν Ἱεροσολύμοις καθημένοις, αὐτοῖς δὲ (Γ. δὴ) τούτοις, περὶ ὧν ἡμῖν οὗτος ὁ λόγος ἅπας κεκίνηται, διὰ χειρὸς Βαρνάβα καὶ Σαύλου χρήματα ἔπεμψαν οὐκ ὀλίγα. Τίνος οὖν ἂν εἴημεν ἡμεῖς συγγνώμης ἄξιοι, ποίας δὲ ἀπολογίας, ὅταν οἱ μὲν πρόγονοι οἱ ἡμέτεροι καὶ τοὺς πόῤῥωθεν καθημένους φαίνωνται διὰ τῶν οἰκείων τρέφοντες χρημάτων, καὶ αὐτοὶ πρὸς ἐκείνους τρέχοντες· ἡμεῖς δὲ καὶ τοὺς ἀλλαχόθεν πρὸς ἡμᾶς καταφεύγοντας ἀπελαύνωμεν, καὶ ἀπαιτῶμεν εὐθύνας ἀκριβεῖς, καὶ ταῦτα εἰδότες, ὅτι μυρίων ὑπεύθυνοι ἐσμεν κακῶν; Κἂν ὁ Θεὸς οὕτως ἀκριβῶς τὰ καθ' ἡμᾶς ἐξετάσῃ, ὥσπερ ἡμεῖς τὰ τῶν πενήτων, οὐδεμιᾶς τευξόμεθα συγγνώμης, οὐδὲ ἐλέου τινός· *Ἐν ᾧ γὰρ κρίματι κρίνετε*, φησὶ, *καὶ ὑμεῖς κριθήσεσθε.* Γενοῦ τοίνυν φιλάνθρωπος καὶ ἥμερος τῷ συνδούλῳ, καὶ πολλὰ ἄφες τῶν ἡμαρτημένων, καὶ ἐλέησον, ἵνα καὶ αὐτὸς τοιαύτης τύχῃς τῆς ψήφου. Τί πράγματα σαυτῷ πλέκεις; τί περιεργάζῃ; Ἆρα εἰ προσέταξεν ὁ Θεὸς βίους ἐρευνᾶν, καὶ εὐθύνας ἀπαιτεῖν, καὶ πολυπραγμονεῖν τρόπους, οὐκ ἂν ἐδυσχέραινον πολλοί; οὐκ ἂν εἶπον πρὸς ἑαυτούς· Τί ποτε τοῦτό ἐστι; δύσκολον ἡμῖν τὸ πρᾶγμα κατέστησεν ὁ Θεός· μὴ γὰρ δυνάμεθα τὴν ἑτέρων ζωὴν ἐξετάζειν; μὴ γὰρ ἴσμεν τὰ ἡμαρτημένα τῷ δεῖνι; Οὐκ ἂν πολλοὶ πολλὰ τοιαῦτα εἶπον; Νῦν δὲ, ὅτε πάσης ἡμᾶς τοιαύτης πολυπραγμοσύνης ἀπήλλαξε, καὶ ὑπέσχετο δώσειν ἀπηρτισμένον τὸν μισθὸν, κἂν πονηροὶ, κἂν χρηστοὶ οἱ λαμβάνοντες ὦσιν, ἑαυτοῖς πράγματα ἐπισπώμεθα. Καὶ πόθεν τοῦτο δῆλον, φησὶν, ὅτι χρηστοῖς, καὶ τοῖς μὴ τοιούτοις δόντες λῃψόμεθα τὸν μισθόν; Ἀφ' ὧν αὐτὸς εἶπεν· *Εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων καὶ διωκόντων ὑμᾶς, ὅπως γένησθε ὅμοιοι τοῦ Πατρὸς ὑμῶν, τοῦ ἐν τοῖς οὐρανοῖς, ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους.* Ὥσπερ οὖν ὁ Δεσπότης σου, μυρίων αὐτὸν βλασφημούντων, μυρίων πορνευόντων, κλεπτόντων, λῃστευόντων, τάφους ἀνορυττόντων, μυρία ἐργαζομένων κακὰ, [259] οὐκ ἀφίσταται τῆς εἰς ἅπαντας εὐεργεσίας, ἀλλὰ κοινὴν τὴν ἀκτῖνα, κοινοὺς τοὺς ὄμβρους, καὶ τοὺς καρποὺς τοὺς ἀπὸ τῆς γῆς προτίθησι, τὴν φιλανθρωπίαν ἐπιδεικνύμενος τὴν ἑαυτοῦ· οὕτω καὶ σὺ ποίησον, καὶ ὅταν ἐλέους καιρὸς ᾖ καὶ φιλανθρωπίας, διόρθου τὴν πενίαν, λῦε τὸν λιμὸν, ἀπάλλαττε τῆς θλίψεως, μηδὲν περαιτέρω περιεργάζου. Εἰ γὰρ δὴ μέλλομεν βίους ἐρευνᾶσθαι, οὐδέποτε οὐδένα ἄνθρωπον ἐλεήσομεν· ἀλλ' ὑπὸ τῆς ἀκαίρου ταύτης πολυπραγμοσύνης ἐμποδισθέντες, ἄκαρποι καὶ πάσης ἔρημοι βοηθείας διαμενοῦμεν, καὶ πολὺν ὑποστησόμεθα πόνον εἰκῆ καὶ μάτην. Διὸ δὴ παρακαλῶ τὴν ἔκαιρον ταύτην περιεργίαν ἐκβαλόντας, τοῖς δεομένοις διδόναι πᾶσι, καὶ μετὰ πολλῆς τοῦτο ποιεῖν τῆς ἀφιλείας, ἵνα καὶ αὐτοὶ κατὰ τὴν ἡμέραν ἐκείνην πολλοῦ τοῦ

pium habere discipulos jussit, et quæ immittebantur portare, atque inde egenis subministrare. Nam cum Judam ænigmatice de proditione alloqueretur, non intelligentes discipuli quod dicebatur, putabant, inquit, ipsum dixisse illi ut pauperibus aliquid daret: nam *Marsupium*, inquit, *ipse habebat, et quæ immittebantur portabat* (*Joan.* 12. 6). Magnam quippe Deus rationem habet de misericordia, non de sua tantum erga nos, sed de nostra etiam in conservos : qua de re multas et in Veteri et in Novo Testamento leges constituit, hominem jubens et verbis et pecuniis et operibus benignum esse. Hac de re passim Moyses in legibus sermonem inserit : hoc ex persona Dei prophetæ clamant, *Misericordiam volo, et non sacrificium* (*Osee* 6. 6) : apostoli quoque iis consona et faciunt et dicunt (*Matth.* 9. 13). Ne itaque rem illam negligamus : non enim pauperibus tantum, sed nobis ipsis maxime prosumus, majoraque accipimus, quam præbemus.

6. *Non perquirenda egenorum vita ut eleemosyna erogetur.* — Hæc non sine causa nunc dico, sed quia plerique egenos curiose interrogant, inquirunt patriam, vitam, mores, artem, corporis valetudinem : accusationes intentant, et sexcentas de sanitate rationes repetunt. Ideoque multi corporis mutilationes simulant, ut fictæ calamitatis artificio crudelitatem immanitatemque nostram flectere valeant. Et æstate quidem taliter criminari, grave licet sit, non usque adeo tamen grave est : hyeme vero urgente frigore ita se inhumanum et ferum præstare judicem, veniamque nullam otiosis concedere, annon summæ crudelitatis fuerit? Cur itaque Paulus, dicet aliquis, Thessalonicensibus hanc legem ferebat : *Si quis non vult laborare, nec manducet* (2. *Thess.* 3. 10)? Ut et tu hæc audias, et non ipsum tantum, sed te quoque hisce Pauli verbis compelles. Pauli quippe leges non pauperibus tantum, sed etiam nobis positæ sunt. Dicam aliquid onerosum et molestum : scio fore ut vos succenseatis; attamen dicam : non enim ut offendam, sed ut emendem dico. Illis otium objicimus, rem sæpe venia dignam : nos autem ea perpetramus, quæ otio longe graviora sint. At ego, inquies, paternam hereditatem habeo. An ergo, dic mihi, quia ille pauper est et ex pauperibus ortus, nec opulentos majores habuit, dignus est qui pereat? Profecto ea ipsa de causa commiseratione et misericordia apud divites dignus fuerit. Tu quidem sæpe diem in theatris transigens, vel in consessibus, colloquiisque, ex quibus nihil accedit lucri, multis obloqueris, nihilque mali te facere nec otiosum esse putas : hunc vero miserum et ærumnosum, qui in precibus, lacrymis milleque ærumnis toto die versatur, damnas, ad tribunal trahis, de eoque rationes exposcis? Hæccine, quæso, humani sunt animi? Igitur quando dicis, Quid dicemus Paulo? tu ea ipsa tibi, non pauperibus dicito. Alioquin vero, ne minas ejus tantum legas, sed et veniam quoque : nam qui dicit, *Si quis non laborat, nec manducet*, adjecit : *Vos autem, fratres, nolite deficere bene facientes* (2. *Thess.* 3. 13). At quonam illi specioso obtentu utuntur? Fugitivi sunt, inquiunt, peregrini, verberones, qui sua relicta patria in civitatem nostram confluunt. Ideone, quæso, stomacharis, et civitatis coronam vellicas, quia omnes eam communem esse portum existimant, et propriæ alienam præferunt? Imo vero hac de causa exsultare oportuit ac lætari, quia ad manus vestras, quasi ad commune quoddam emporium, omnes accurrunt, et communem matrem hanc civitatem esse arbitrantur. Ne, quæso, tantum encomium labefactetis, neque antiquam hanc paternamque laudem decidatis. Olim namque cum fames totum orbem invasura esset, hujus civitatis incolæ Jerosolymitanis, iisdem ipsis, de quibus jam sermo habetur, per Barnabam et Paulum pecunias non paucas miserunt (*Act.* 11. 30). Qua igitur fuerimus venia, qua defensione digni, quando majores quidem nostri etiam procul positos suis pecuniis, etiam ad ipsos accurrentes, aluerunt : nos vero eos, qui aliunde ad nos confugiunt, pellimus, deque illis rationes expetimus, cum sciamus nos plurimorum malorum esse reos? Quod si Deus ita diligenter nos scrutaretur, ut nos causam pauperum, nullam veniam vel misericordiam consequeremur : *In quo* enim *judicio*, inquit, *judicabitis, judicabimini* (*Matth.* 7. 2). Esto igitur benignus humanusque conservo : multaque peccata dimitte, ac misericordiam exerce, ut et ipse talem impetres sententiam. Quid tibi ipsi negotia facessis? quid curiose scrutaris? Si Deus præcepisset ut aliorum vitam scrutaremur, rationes exposceremus, moresque curiose disquireremus, annon multi id moleste ferrent? annon intra se dicerent, Quid igitur hoc est? difficilem nobis rem Deus præscripsit : an possumus aliorum vitam examinare? num scimus quænam ille talis peccata admiserit? Annon multi similia plurima dicerent? Nunc vero, cum nos ab hujusmodi perquisitione liberavit, ac mercedem nobis perfectam se daturum pollicitus est, sive mali sive boni sint ii, qui accipiunt, nobis ipsis negotium facessimus. Et unde hoc liquet, inquies, quod sive bonis, sive malis dederimus, mercedem accepturi simus? Eo quod ipse dixerit : *Orate pro insectantibus, et calumniantibus vos ut sitis similes Patris vestri, qui in cælis est, qui solem suum oriri facit super bonos et malos, et pluit super justos et injustos* (*Matth.* 5. 44. 45). Quemadmodum ergo Dominus tuus, cum innumeri ipsum blasphement, innumeri fornicentur, furentur, latrocinentur, sepulcra effodiant, infinita mala perpetrent, a suis erga omnes beneficiis non absistit; sed communes radios, communes imbres et fructus terræ profert, suam exhibens erga homines beneficentiam : sic et tu facito, et cum tempus misericordiæ humanitatisque exhibendæ adfuerit, pauperes fove, famem sedа, ab ærumnis libera, nihil ulterius scrutare. Nam si vitam hominum curiose disquiramus, nullius unquam miserebimur : sed hac intempestiva curiositate præpediti, absque fructu, et omni adjumento destituti manebimus, multumque laboris frustra et incassum suscipiemus. Quapropter rogo, inopportunam hanc curiositatem abjicientes, egenis omnibus largiamur, idque abundanter faciamus, ut et ipsi illo die magnam a

Deo misericordiam et benignitatem consequamur; quam nos omnes obtinere contingat, gratia et benignitate Domini nostri Jesu Christi, quicum Patri, simulque sancto Spiritui gloria, imperium, honor, nunc et semper, et in sæcula sæculorum. Amen.

MONITUM AD TRES HOMILIAS IN ILLUD APOSTOLI,

An Chrysostomi sint necne tres sequentes homiliæ ausus est quispiam dubitare, cum tamen ita sese prodat Chrysostomi stylus, dictio, tropus, ut si quis vel prioribus labris ejus conciones attigerit, eumdem ipsum S. doctorem loquentem statim agnoscat. Dubitandi causæ viro alioquin docto et facundo hujusmodi fuere : quod nempe hic concionator hom. I, num. 3, Semipelagianis favere videatur, cum dicit, de initio fidei loquens : *Neque enim Deus, neque Spiritus gratia nostrum prævenit propositum : sed tametsi vocet, exspectat tamen ut sponte et propria voluntate accedamus, ac tum demum, cum accesserimus, nobis suum totum exhibet auxilium.* Verum tum ex præcedentibus subsequentibusque hac in homilia Chrysostomi verbis, tum etiam ex aliis huic similibus per diversa ejus opera dispersis locis demonstrari potest, licet non pauca quæ supra dictis consonant, subinde apud Chrysostomum occurrant, eum tamen vere ad initium fidei gratiæ auxilium necessarium esse censuisse. Quia vero quæ ad gratiam spectant, nondum in controversiam vocata, necdum erant certis vocum limitibus circumscripta, ideo aliqua similia apud Chrysostomum, hæc obiter loquentem, occurrunt; unde si quis hinc νοθεία; sententiam ferat, is plane in S. doctoris scriptis sese peregrinum esse comprobet. Verum alius ad hæc fusius pertractanda nobis est constitutus locus. Aliam dubitandi causam effert is ipse qui priorem protulit : Sub initium tertiæ homiliæ,

DE VERBIS APOSTOLI

HABENTES AUTEM EUMDEM SPIRITUM FIDEI, SICUT SCRIPTUM EST (2. *Cor.* 4. 13). ITEM DE HIS VERBIS, CREDIDI, PROPTER QUOD LOCUTUS SUM (*Psal.* 115. 10), ET DE ELEEMOSYNA *(a)*.

1. Sapientissimi medici ubi vident ulcus egere ferro, admovent quidem sectionem, sed hoc faciunt non sine affectu, et commiseratione, verum et mœrent et gaudent non minus quam ipsi qui secantur : mœrent quidem propter dolorem quem secando inferunt; gaudent autem propter sanitatem, quæ hoc modo comparatur. Idem et Paulus fecit, sapiens ille animarum medicus. Corinthios enim cum acriori objurgatione ejus haberent increpans, lætatus est simul et tristatus : tristabatur quod dolorem inferret, lætabatur quod prodesset. Et utrumque hoc significans dicebat : *Quare etiamsi contristavi vos per priorem epistolam, non me pœnitet, tametsi pœnituerat* (2. *Cor.* 7. 8). Cur pœnituerat ? et cur non pœnitet ? Pœnituerat, quia acrius objurgavi; non pœnitet, quia erratum correxi. Et ut scias hanc esse causam, audi quid sequatur : *Video namque quod epistola illa, tametsi ad tempus, contristavit vos : nunc gaudeo, non quod contristati fueritis, sed quod contristati sitis ad pœnitentiam* (*Ib. v.* 9). Etiamsi ad tempus vos contristavi, molestia illa momentanea fuit, inquit : utilitas autem ejus perpetua. Permittite nunc mihi quoque his verbis apud dilectionem vestram uti : quare

(*a*) Collata cum duobus Mss. Colb. 970 et 1050.

ἀλέους καὶ τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας τύχωμεν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

HABENTES AUTEM EUMDEM SPIRITUM, ETC.

inquit ille, hic scriptor dicit, a Pauli tempore quingentos elapsos annos esse, quæ longe recentiorem Chrysostomo auctorem arguant. Hanc vero nullam esse dubitandi rationem statim advertet, quisquis lectioni Chrysostomi assuetus, perpetuam ejus in annorum calculis negligentiam observaverit. Sic non semel ille annos quingentos enumerat a postrema templi Jerosolymitani destructione, quæ aliquot annis Pauli mortem subsecuta est. Sic et alibi passim ἀναχρονισμοὶ, in scriptore nempe temporum rationem parum curante, deprehenduntur.

Antiochiæ habitas fuisse tres hasce conciones, arguunt ea, quæ de monachis habet, verticem montium occupantibus, asperamque vitæ rationem agentibus. Quos sane monachos in vicinis montibus degentes, in Antiochenis homiliis sæpe commemorat, secus vero in Constantinopolitanis. De anno autem ne conjectura quidem loqui possumus. In hisce porro homiliis de eroganda eleemosyna præcipue agitur : quod argumentum summe est a Chrysostomo frequentatum. In secundæ homiliæ priore parte multa contra Manichæos effert, pluribusque demonstrat, Vetus Testamentum cum Novo consonare, atque unum et eumdem esse utriusque legislatorem.

Interpretatio Latina est Sigismundi Gelenii, quam aliquot in locis castigavimus.

[260] ΕΙΣ ΤΗΝ ΑΠΟΣΤΟΛΙΚΗΝ ΡΗΣΙΝ

Τὴν λέγουσαν, « Ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως, κατὰ τὸ γεγραμμένον· » καὶ εἰς τὸ, « Ἐπίστευσα, διὸ ἐλάλησα, » καὶ περὶ ἐλεημοσύνης.

α'. Οἱ σοφώτατοι τῶν ἰατρῶν ἐπειδὰν ἴδωσιν ἕλκος σιδήρου δεόμενον, ἐπάγουσι μὲν τὴν τομὴν, ἐπάγουσι δὲ οὐκ ἀναλγήτως, οὐδὲ ἀσυμπαθῶς, ἀλλὰ καὶ ἀλγοῦσι καὶ χαίρουσιν αὐτῶν οὐχ ἧττον τῶν τεμνομένων· καὶ ἀλγοῦσι μὲν διὰ τὴν ἐκ τῆς πληγῆς γινομένην ὀδύνην, χαίρουσι δὲ διὰ τὴν ἐξ αὐτῆς τικτομένην ὑγίειαν. Τοῦτο καὶ ὁ Παῦλος ἐποίησεν ὁ σοφὸς τῶν ψυχῶν ἰατρός. Κορινθίοις γάρ ποτε δεομένοις ἐπιτιμήσεως σφοδροτέρας ἐπιτιμήσας, καὶ ἤσθη καὶ ἐλυπήθη· ἐλυπήθη μὲν, ὅτι ὠδύνησεν, ἤσθη δὲ, ὅτι ὠφέλησε. Καὶ ἀμφότερα ταῦτα δηλῶν, ἔλεγεν· *Ὥστε εἰ καὶ ἐλύπησα ὑμᾶς ἐν τῇ προτέρᾳ ἐπιστολῇ, οὐ μεταμέλομαι, εἰ καὶ μετεμελόμην.* Διὰ τί μετεμέλου; διὰ τί δὲ πάλιν οὐ μεταμέλῃ; Μετεμελόμην, ἐπειδὴ σφοδρότερον ἔπληξα· οὐ μεταμέλομαι, ἐπειδὴ διώρθωσα. Καὶ ἵνα μάθῃς ὅτι διὰ τοῦτο, ἄκουσον τῶν ἑξῆς· *Βλέπω γὰρ, ὅτι ἡ ἐπιστολὴ ἐκείνη, εἰ καὶ πρὸς ὥραν, ἐλύπησεν ὑμᾶς· νῦν χαίρω, οὐχ ὅτι ἐλυπήθητε, ἀλλ' ὅτι ἐλυπήθητε εἰς μετάνοιαν.* Εἰ καὶ πρὸς ὥραν ἐλύπησα ὑμᾶς, τὸ λυπητήριον * πρόσκαιρον, φησὶ, τὸ δὲ ὠφέλιμον διηνεκές. Διότε δὴ κἀμοὶ ταῦτα τὰ ῥήματα, παρακαλῶ, πρὸς τὴν ἀγά-

* Unus mss. habet τὸ πρόσκαιρον.

πην τὴν ὑμετεραν εἰπεῖν· ὥστε εἰ καὶ ἐλύπησα ὑμᾶς ἐπὶ τῇ προτέρᾳ παραινέσει, οὐ μεταμέλομαι, εἰ καὶ μετεμελόμην· βλέπω γὰρ, ὅτι ἡ παραίνεσις ἐκείνη καὶ ἡ συμβουλὴ, εἰ καὶ πρὸς ὥραν ὑμᾶς ἐλύπησεν, ἀλλ' ἡμᾶς μειζόνως ἠὔφρανεν, *Οὐχ ὅτι ἐλυπήθητε, ἀλλ' ὅτι ἐλυπήθητε εἰς μετάνοιαν*. Ἰδοὺ γὰρ αὐτὸ τοῦτο τὸ κατὰ Θεὸν λυπηθῆναι ὑμᾶς πόσην κατειργάσατο ἐν ὑμῖν σπουδήν; Λαμπρότερος ἡμῖν σήμερον ὁ σύλλογος, φαιδρότερον τὸ θέατρον, πλείων τῶν ἀδελφῶν ὁ χορός. Αὕτη ἡ σπουδὴ τῆς λύπης ἐκείνης καρπός.

Διὰ τοῦτο, ὅσον ὠδυνήθην τότε, τοσοῦτον νῦν χαίρω, ὁρῶν τὴν ἄμπελον ἡμῖν τὴν πνευματικὴν τῷ καρπῷ βριθομένην. Εἰ γὰρ ἐπὶ τῶν ἐδεσμάτων τῶν αἰσθητῶν φέρει τινὰ φιλοτιμίαν καὶ εὐφροτύνην τῷ καλοῦντι τῶν δαιτυμόνων τὸ πλῆθος, πολλῷ μᾶλλον ἐπὶ τῶν ἐδεσμάτων τῶν πνευματικῶν τοῦτο γένοιτ' ἄν· καίτοι γε ἐκεῖ τὸ πλῆθος τῶν κεκλημένων μᾶλλον ἀναλίσκει τὰ παρακείμενα, καὶ δαπάνην ἐργάζεται πλείω· ἐνταῦθα δὲ [261] τοὐναντίον, οὐ μόνον οὐκ ἀναλίσκει τὸ πλῆθος τῶν κεκλημένων, ἀλλὰ καὶ πλεονάζει τὴν τράπεζαν· εἰ δὲ ἐκεῖ ἡ δαπάνη ἡδονὴν ἐργάζεται, πολλῷ μᾶλλον ἐνταῦθα πρόσοδος [a] τοῦτο ἐργάσεται· καὶ γὰρ τοιαύτη τῶν πνευματικῶν ἡ φύσις, εἰς πολλοὺς διανεμομένη, μᾶλλον αὔξεται. Ἐπεὶ οὖν πλήρης ἡμῖν ἡ τράπεζα, προσδοκῶ καὶ τὴν τοῦ Πνεύματος χάριν ἐντιχῆσαι ἡμῶν τῇ διανοίᾳ. Ὅταν γὰρ ἴδῃ πολλοὺς παρόντας, τότε δαψιλεστέραν παρατίθεται τὴν ἑστίασιν· οὐκ ἐπειδὴ τῶν ὀλίγων καταφρονεῖ, ἀλλ' ἐπειδὴ τῆς τῶν πολλῶν ἐφίεται σωτηρίας. Διὰ τυῦτο καὶ τὸν Παῦλον παρατρέχοντα τὰς ἄλλας πόλεις, ἐν Κορίνθῳ μένειν ἐκέλευσε φανεὶς ὁ Χριστὸς, καὶ εἰπών· *Μὴ φοβοῦ, ἀλλὰ λάλει, καὶ μὴ σιωπήσῃς, διότι λαὸς πολύς ἐστί μοι ἐν τῇ πόλει ταύτῃ*. Εἰ γὰρ ὑπὲρ ἑνὸς προβάτου ὄρη καὶ νάπας καὶ τὴν ἄβατον ἔπεισι χώραν ὁ ποιμὴν, ὅταν πολλὰ πρόβατα μέλλῃ ῥᾳθυμίας καὶ πλάνης ἀπάγειν, πῶς οὐ πολλὴν ἐπιδείξεται σπουδήν; Ὅτι γὰρ οὐδὲ τῶν ὀλίγων καταφρονεῖ, ἄκουσον αὐτοῦ λέγοντος· *Οὐκ ἔστι θέλημα τοῦ Πατρός μου, ἵνα ἀπόληται ἓν τῶν μικρῶν τούτων*. Οὔτε οὖν ἡ ὀλιγότης, φησὶν, οὔτε ἡ εὐτέλεια ὑπεριδεῖν αὐτὸν πείθει τῆς σωτηρίας ἡμῶν.

β'. Ἐπεὶ οὖν τοσαύτη μὲν αὐτῷ τῶν μικρῶν καὶ ἐλαχίστων ἡ πρόνοια, τοσαύτη δὲ τῶν πολλῶν, τὸ πᾶν ἐπὶ τὴν ἐκεῖθεν ῥοπὴν ῥίψαντες, ἐπὶ τὴν Παύλου ῥῆσιν τὴν σήμερον ἀναγνωσθεῖσαν τὸν λόγον ἀγάγωμεν. Τίς δὲ ἡ ῥῆσις [b]; *Οἴδαμεν γὰρ, ὅτι ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους, φησὶ, καταλυθῇ* Μᾶλλον δὲ ἀνωτέρω καὶ ἐπ' αὐτὴν τὴν κεφαλὴν τοῦ νοήματος ἴωμεν. Καθάπερ γάρ τινες πηγὴν ἀνιχνεύοντες, εἶτα διάβροχον ἰδόντες χωρίον, οὐκ ἐκεῖ διασκάπτουσι μόνον, ἀλλ' ὑπὸ τῆς νοτίδος αὐτῆς καὶ τῆς φλεβὸς χειραγωγούμενοι ἐνδοτέρω χωροῦσιν, ἕως ἂν ἐπὶ τὴν ῥίζαν καὶ τὴν ἀρχὴν τῶν ναμάτων ἔλθωσιν· οὕτω δὴ καὶ ἡμεῖς ποιήσωμεν. Πηγὴν εὑρόντες πνευματικὴν ἐκ τῆς Παύλου σοφίας ἐξιοῦσαν, ὥσπερ ὑπό τινος φλεβὸς τῆς ῥήσεως χειραγωγούμενοι, πρὸς τὴν ῥίζαν αὐτὴν ἀναβῶμεν τοῦ νοήματος. Τίς οὖν ἐστιν ἡ κεφαλὴ καὶ ἡ ῥίζα; *Ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως, κατὰ τὸ γεγραμμένον· Ἐπίστευσα, διὸ ἐλάλησα· καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν*. Τί λέγεις; ἂν μὴ πιστεύσῃς, οὐ λαλεῖς, ἀλλὰ ἄφωνος ἔστηκας; Ναὶ, φησίν· οὐδὲ διᾶραι στόμα δύναμαι χωρὶς πίστεως, οὐδὲ κινῆσαι γλῶτταν, οὐδὲ ἀνοῖξαι χείλη, ἄφωνος ὁ λογικὸς ἔστηκα χωρὶς τῆς ἐκεῖθεν διδασκαλίας. Καθάπερ γὰρ, ῥίζης μὴ πεφυτευμένης, οὐκ ἂν βλαστήσειε καρπός· οὕτω, πίστεως μὴ προκαταβεβλημένης, οὐκ ἂν προέλθοι διδασκαλίας λόγος. Διὰ τοῦτο καὶ ἀλλαχοῦ φησι· *Καρδίᾳ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν*.

Τί τοῦ δένδρου τούτου βέλτιον, ἢ ἴσον γένοιτ' ἄν, ὅταν μὴ οἱ κλάδοι μόνον, ἀλλὰ καὶ αὐτὴ ἡ ῥίζα φέρῃ καρπὸν, ἡ μὲν δικαιοσύνην, οἱ δὲ σωτηρίαν; Διὰ τοῦτό φησι· *Πιστεύομεν, διὸ καὶ λαλοῦμεν*. Καθάπερ γὰρ τὰ ὑπότροφα μέλη καὶ τῷ γήρᾳ παρειμένα βακτηρία μετὰ ἀσφαλείας χειραγωγοῦσα οὐκ ἀφίησιν ὀλισθῆσαι καὶ καταπεσεῖν, οὕτω δὴ καὶ τὴν ψυχὴν τὴν ἡμετέραν [262] σεσαλευμένην καὶ περιφερομένην ὑπὸ τῆς τῶν λογισμῶν ἀσθενείας, βακτηρίας ἀσφαλέστερον ἡ πίστις ἔλκουσα, καὶ τῇ τῆς οἰκείας ἰσχύος ἐπαναπαύουσα δυνάμει, στηρίζει μετὰ ἀκριβείας, καὶ οὐκ ἀφίησιν ὑποσκελισθῆναί ποτε, τὸ τῶν λογισμῶν ἀσθενὲς τῇ τῆς οἰκείας ἰσχύος περιουσίᾳ διορθουμένη, καὶ τὸν ἐξ αὐτοῦ ἀπελαύνουσα ζόφον, καὶ τὴν ψυχὴν, ὥσπερ ἐν οἴκῳ σκοτεινῷ, τῷ θορύβῳ τῶν λογισμῶν καθημένην τῷ οἰκείῳ φωτὶ καταυγάζουσα. Διὰ τοῦτο οἱ ταύτης ἀπεστερημένοι, τῶν ἐν σκότει διατριβόντων οὐδὲν ἄμεινον διάκεινται, ἀλλ' ὥσπερ ἐκεῖνοι καὶ τοίχοις προσπταίουσι, καὶ τοῖς ἁπαντῶσι προσρήγνυνται, καὶ εἰς βάραθρα καὶ χρημνοὺς καταφέρονται, καὶ τῶν ὀφθαλμῶν αὐτοῖς ὄφελος οὐδὲν, οὐκ ὄντος τοῦ χειραγωγοῦντος φωτός· οὕτω καὶ οἱ τῆς πίστεως ἀπεστερημένοι, καὶ ἀλλήλοις προσερράγησαν, καὶ τοίχοις προσέπταισαν, καὶ τέλος εἰς τὸ τῆς ἀπωλείας βάραθρον φέροντες ἑαυτοὺς κατεκρήμνισαν.

γ'. Καὶ μάρτυρες τῶν λόγων τούτων οἱ τὴν ἔξωθεν αὐχοῦντες σοφίαν, οἱ μέγα ἐπὶ τῷ πώγωνι, καὶ τῷ τρίβωνι, καὶ τῇ βακτηρίᾳ φρονοῦντες. Μετὰ γὰρ μακροὺς καὶ πολλοὺς διαύλους λόγων, τοὺς πρὸ τῶν ὀφθαλμῶν κειμένους λίθους οὐκ εἶδον· εἰ γὰρ ὡς λίθους αὐτοὺς ἑώρων, οὐκ ἂν αὐτοὺς ἐνόμισαν εἶναι θεούς. Καὶ ἀλλήλοις δὲ προσερράγησαν, καὶ εἰς αὐτὸν τῆς ἀσεβείας τὸν βαθύτατον χρημνὸν κατηνέχθησαν, οὐδαμόθεν ἄλλοθεν, ἀλλ' ἢ διὰ τὸ λογισμοῖς ἐπιτρέψαι τὰ καθ' ἑαυτοὺς ἅπαντα. Καὶ τοῦτο ὁ Παῦλος δηλῶν ἔλεγεν· *Ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία· φάσκοντες εἶναι σοφοὶ, ἐμωράνθησαν*. Εἶτα λέγων τοῦ σκότους καὶ τῆς μωρίας τὴν ἀπόδειξιν, ἐπήγαγεν· *Ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου, καὶ πετεινῶν, καὶ τετραπόδων, καὶ ἑρπετῶν*. Ἀλλὰ τοῦτο ἅπαν τὸ σκότος ἐπεισελθοῦσα ἡ πίστις διεσκέδασεν ἐκ τῆς ψυχῆς τοῦ ὑποδεξαμένου αὐτήν· καὶ καθάπερ πλοῖον ὑπὸ τῆς [c] τῶν πνευμάτων ἐμβολῆς κλυδωνιζόμενον καὶ ταῖς τῶν κυμάτων ἐπαναστάσεσι περιαντλούμενον ἐξαρτηθεῖσα ἄγκυρα πάντοθεν ἵστησι, καὶ ἐν μέσῳ ῥιζοῖ τῷ πελάγει· οὕτω δὴ καὶ τὸν νοῦν τὸν ἡμέτερον ὅταν οἱ προσπίπτοντες ἔξωθεν λογισμοὶ κλυδωνίζωσιν, ἀγκύρας ἀσφαλέστερον ἐπεισ-

[a] Alii πρόσοδον.

[b] Τίς δὲ ἡ ῥῆσις; Hæc omittit cod. 748, nec legisse videtur Celenius.

[c] Mss ὑπὲρ τῆς. Editi ὑπὸ τῆς.

etiamsi contristavi vos per priorem admonitionem, non me pœnitet, tametsi pœnituerat : video enim admonitionem illam et consilium, tametsi ad tempus nos contristavit, mihi tamen magnam lætitiam attulisse, *Non quod contristati fueritis, sed quod contristati sitis ad pœnitentiam.* Ecce enim hoc ipsum quod contristati estis secundum Deum, quantum in vobis excitavit alacritatis? Luculentior est hodie noster conventus, festivius nostrum theatrum, numerosior fratrum chorus. Hæc ipsa alacritas tristitiæ illius est fructus.

Dona spiritualia largitione crescunt. Corinthi commorari cur jussus Paulus. — Ideo quantum tunc indolui, tantum nunc gaudeo, videns spiritualem hanc nostram vineam fructibus refertam. Si enim in vulgaribus istis conviviis honorem quemdam et hilaritatem convivatori affert convivarum frequentia, quanto magis in spiritualibus his conviviis idem fieri convenit : quamvis illic invitatorum multitudo magis absumat ea, quæ apponuntur, majorique sit sumptui : hic autem contra, nedum absumat mensas vocatorum multitudo, abundantiam quoque parit; quod si illic sumptus voluptatem affert, quanto magis hic idem faciet accessio et reditus? Hæc est enim spiritualium rerum natura, quo pluribus distribuuntur, hoc amplius crescunt. Quoniam igitur video refertam convivis mensam, exspecto etiam Spiritus gratiam menti nostræ insonaturam. Quando enim multos adesse videt, tunc copiosiores epulas apponere solet; non quod paucos fastidiat, sed quod multorum salutem desideret. Hac de causa Paulum quoque præterrentem cæteras urbes, apud Corinthum commorari Christus per visionem jussit, dicens : *Noli timere, sed loquere et ne taceas, quoniam populus est mihi multus in hac civitate* (*Act.* 18. 9. 10). Si enim propter unam oviculam montes et nemora et inaccessa loca pervagatus est pastor, qui fieri potest ut non longe majorem curam adhibeat, quoties multæ oves a socordia et errore sunt revocandæ? Quod enim ne paucas quidem contemnat, audi ipsum dicentem : *Non est voluntas Patris mei, ut pereat vel unus ex istis parvulis* (*Matth.* 18. 14). Neque paucitas, inquit, neque vilitas inducit eum, ut negligat salutem nostram.

2. Quando igitur tantam habet parvulorum ac paucorum curam, tantam etiam multorum, toti ab ejus favore pendentes, ad Pauli verba quæ hodie lecta sunt, sermonem flectamus. *Scimus*, inquit, *quod si terrenum nostrum domicilium hujus tabernaculi destructum fuerit* (2. *Cor.* 5. 1). Imo vero altius et ad ipsum exordium hujus sententiæ redeamus. Quemadmodum enim qui fontem pervestigant, invento riguo loco non illic solum fodiunt, sed humorem eum, et venam sequentes interius scrutantur, donec ad caput ipsum et initium fluentorum perveniant, sic et nos faciamus. Posteaquam invenimus spiritualem fontem e Paulina sapientia manantem, verba hæc tamquam venam quampiam sequendo ad caput ipsum sententiæ ascendamus. Quod est igitur illud fontis caput? *Habentes igitur eumdem Spiritum fidei, sicut scriptum est, Credidi propter quod loquutus sum : et nos credimus, quapropter et loquimur* (2. *Cor.* 4. 13; *Psal.* 115. 10). Quid ais? nisi credideris, non loqueris, sed mutus perstas? Etiam, inquit; neque diducere os possum sine fide, neque movere linguam, neque aperire labia, ratione præditus cum sim, mutus persto nisi fides loqui me doceat. Sicut enim planta absque radice fructum non profert, ita absque fidei fundamento non provenit sermo doctrinæ : quapropter et alibi inquit : *Corde creditur ad justitiam, ore autem confessio fit ad salutem* (*Rom.* 10. 10).

Fides cum baculo comparata; philosophos ridet profanos; fides cum ancora collata. — Quid huic arbori vel præferri vel conferri potest, cujus quidem non rami solum, sed radix quoque ipsa fert fructum, hæc justitiam, illi salutem? Ideo dicit : *Credimus, quapropter et loquimur.* Sicut enim membra tremula, et senectute languida, baculo tuto deducente, labi et cadere non permittuntur : sic etiam animam nostram infirmis ratiocinationibus circumactam ac jactatam fides quovis baculo tutius sustentans, suaque vi reficiens, summopere firmat, nec sinit subverti, infirmas cogitationes corrigens præstantia suæ virtutis, et caliginem illam dispellens, animamque velut in domicilio tenebroso inter tumultuantes cogitationes sedentem suo lumine illustrans. Hinc fit, ut qui illa carent, nihilo potiore sint conditione, quam qui in tenebris vitam degunt : sed sicut illi et ad parietes et in obvia quæque impingunt, et in foveas ac præcipitia prolabuntur, nec ullum usum oculorum habent, ut quibus nihil præluceat : sic etiam quotquot fide carent, et inter se alii in alios incursant, et in ipsos parietes, et postremo in barathrum aliquod exitiale ultro se ipsi præcipitant.

3. Testes mihi sunt illi qui profanam sapientiam jactant, qui multum sibi promissa barba, tritoque pallio ac baculo placent. Post longas enim ac sæpe repetitas dissertationes, lapides præ oculis sitos non vident : si enim ut lapides eos cernerent, nequaquam eos deos esse putarent. Quin ipsi quoque in alios alii feruntur, atque inter se colliduntur, ut in ipsum impietatis profundissimum præcipitium devolvantur, non aliam ob rem, quam quod ratiocinationibus suis omnia sua permittunt. Id vero Paulus significans dicit : *Evanuerunt in cogitationibus suis, et obtenebratum est insipiens cor eorum : cum se crederent esse sapientes, stulti facti sunt* (*Rom.* 1. 21. 22). Declarans deinde quam occæcati et stulti essent, addit hæc verba : *Mutaverunteque gloriam incorruptibilis Dei in similitudinem imaginis corruptibilis hominis, et volatilium, et quadrupedum, et reptilium* (*Ibid. v.* 23). Sed has tenebras fides adventu suo in universum discutit in anima, quæ se hospitio dignata fuerit : et quemadmodum navem ventorum impetu jactatam, et fluctuum assultu inundatam, demissa ancora omnino stabilit, et vel in medio pelago radicat : ita etiam mentem nostram extraneis cogitationibus jactatam adventu suo fides tutius quam ancora ex imminenti naufragio liberat, tamquam in tranquillum

portum, in conscientiæ certitudinem deducens. Quod et ipsum Paulus significans dicit : *Propterea dedit Deus apostolos ad consummationem sanctorum, donec occurramus omnes in unitatem fidei et agnitionis Filii Dei, ut ne amplius simus parvuli fluctuantes, et quovis vento huc atque illuc jactati* (*Ephes.* 4. 11 - 14). Vides fidei facinus præclarum, quod ceu ancora quæpiam tutissima, a fluctuatione liberat : sicut idem rursus ad Hebræos scribit, hoc modo de fide loquens : *Quam velut ancoram tenemus animæ, tutam firmamque, et introeuntem usque ad ea quæ sunt intra velum* (*Hebr.* 6. 19). Ne enim audita ancora putes deorsum te trahendum, ostendit novum esse quoddam ancoræ genus, quæ non deprimat, sed sursum mentem elevet, ad cælum usque sublatam, et intra velum ceu manu deductam : velum enim hoc loco cælum vocavit. Cur, aut quam ob causam? Quia sicut velum ab exteriore parte tabernaculi dirimebat sancta sanctorum, ita cælum istud tamquam velum medium inter creaturam objectum, ab exteriore tabernaculo, hoc est mundo hoc quem videmus, dirimit sancta sanctorum, videlicet ea quæ supra se sunt, quo præcursor pro nobis introgressus est Christus.

4. Quod autem dicit, sic intelligendum est : Illuc, inquit, animam nostram sublimem attollit fides, non sinens ullis præsentibus malis deprimi, sed spe futurorum labores allevans. Qui enim futura spectat, cælestia sperans, et mentis oculos illo dirigens, ne sentit quidem præsentium malorum molestiam, quemadmodum neque Paulus sentiebat, et hujus philosophiæ causam docebat dicens : *Nam momentanea levitas afflictionis nostræ mire supra modum æternum pondus gloriæ parit nobis* (2. *Cor.* 4. 17). Quomodo et qua ratione? *Dum non spectamus ea quæ videntur, sed ea quæ non videntur* (*Ib.* v. 18), nimirum oculis fidei. Sicut enim corporis oculi nihil vident intelligibile, ita oculi fidei nihil vident sensibile. Sed de qua fide hic loquitur Paulus? nam fidei vocabulum duplicem habet significationem. Etenim fides dicitur, per quam prodigia tunc faciebant apostoli, de qua Christus dicebat : *Si habueritis fidem sicut granum sinapi, dicetis monti huic, Migra, et migrabit* (*Matth.* 17. 19). Et rursum cum discipuli non possent lunaticum liberare a dæmone, causamque sciscitarentur, hanc eis subindicavit, quod fides eos deficeret, dicens, *Propter incredulitatem vestram* (*Ib.*) Et Paulus de eadem dicebat : *Si habuero fidem ita ut montes transferam* (1. *Cor.* 13. 2). Et Petrus cum periclitaretur ne mergeretur pedibus per mare incedens, eamdem increpationem audivit a Christo, *Modicæ fidei, quare dubitasti* (*Matth.* 14. 31)? Itaque fides dicitur qua miracula et prodigia patrantur : dicitur item fides quæ nos ad agnitionem Dei perducit, ob quam quisque nostrum fidelis est : sicut ad Romanos scribens dicit : *Gratias ago Deo meo per Jesum Christum, quod fides vestra annuntiatur in toto mundo* (*Rom.* 1. 8); ac rursum ad Thessalonicenses : *A vobis enim personuit sermo Domini, non solum in Macedonia et Achaia, verum etiam in omni loco fides vestra, quæ est in Deum, dimanavit* (1. *Thess.* 1. 8).

Fidem cognitionis cur Spiritum fidei vocet; fides quare auxilio Spiritus indigeat. — Qualem igitur subindicat in hoc loco fidem? Dubio procul fidem cognitionis : id quod ex sequentibus patet. *Credimus*, inquit, *quapropter et loquimur*. Quid credimus? *Quod qui resuscitavit Christum, etiam nos resuscitabit per virtutem suam* (2. *Cor.* 4. 14). Sed quare eam vocat Spiritum fidei, et in donationum ordinem annumerat? Nam si donum est fides, et solius Spiritus donum, non nostrum meritum, neque increduli punientur, neque credentes laudem promerebuntur. Talis enim est donationum natura, non sunt coronæ, neque præmia. Donum enim non est accipientis meritum, sed largitoris liberalitatis gratificatio. Hanc ob rem etiam discipulos jussit non gaudere eo quod dæmonas ejicerent, et eos qui in nomine suo prophetaverant, et virtutes multas fecerant, expulit e regno cælorum : quoniam ex suis meritis nullam habebant fiduciam, sed ob solas donationes salvi fieri volebant.

5. Si igitur etiam fides tale quiddam est, et nihil ex nostro contulimus, sed totum est gratiæ Spiritus, et ipsa ultro se in animas nostras ingessit, et nullam pro ea recepturi sumus mercedem, quomodo igitur dicit : *Corde enim creditur ad justitiam, ore autem confessio fit ad salutem* (*Rom.* 10. 10)? Quoniam et ejus qui credidit, virtutis meritum est fides. Quo autem modo alibi id rursum subindicat dicens, *Ei vero qui non operatur, sed credit in eum qui justificat impium, imputatur fides sua ad justitiam* (*Ibid.* 4. 5), si totum est gratiæ Spiritus? qui enim etiam patriarcham Abraham plurimis redimivit laudum coronis, eo quod contemptis rebus præsentibus, præter spem in spem credidit? Quam ob rem igitur Spiritum fidei vocat eam? Illud nimirum ostendere volens, quod initio credere, et parere vocanti, nostræ est bonæ mentis : at postquam jacta fuerint fidei fundamenta, jam opus est auxilio Spiritus, ut in nobis perpetuo maneat inconcussa et inexpugnabilis. Neque enim Deus, neque Spiritus gratia nostrum prævenit propositum : sed tametsi vocet, exspectat tamen, ut sponte et propria voluntate accedamus, ac tum demum cum accesserimus nobis suum totum exhibet auxilium. Quoniam enim diabolus, posteaquam ad fidem accessimus, continuo subrepit volens egregiam hanc radicem evellere, et zizania properans interserere, germanumque ac purum semen lædere, opus tum habemus auxilio Spiritus, ut quemadmodum strenuus agricola animæ nostræ insidens, multa cura et providentia novellam fidei plantam undequaque munit. Ideo Thessalonicensibus quoque scribebat dicens : *Spiritum ne exstinguatis* (1. *Thess.* 5. 19) : ut ostendat, accedente Spiritus gratia, inexpugnabiles nos malo dæmoni atque omnibus ejus insidiis futuros esse. Nam si nemo potest dicere Dominum Jesum nisi in Spiritu sancto, multo magis fidem tutam et radicatam non poterit habere nisi in Spiritu sancto.

6. *Quomodo Spiritus sanctus in nobis retineatur. Virginitas sit juncta benignitati.* — At quomodo pote-

ελθοῦσα ἡ πίστις ἀπαλλάττει τοῦ ναυαγίου, ὥσπερ ἐν γαληνῷ λιμένι, τῇ τοῦ συνειδότος πληροφορίᾳ τὸ σκάφος ὁρμίζουσα. Καὶ αὐτὸ τοῦτο πάλιν ὁ Παῦλος δηλῶν ἔλεγεν, ὅτι *Διὰ τοῦτο ἔδωκεν ἀποστόλους ὁ Θεὸς πρὸς καταρτισμὸν τῶν ἁγίων, μέχρι καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ· ἵνα μηκέτι ὦμεν νήπιοι κλυδωνιζόμενοι καὶ περιφερόμενοι παντὶ ἀνέμῳ.* Ὁρᾷς τῆς πίστεως τὸ κατόρθωμα, ὅτι ὡς ἄγκυρά τις ἀσφαλὴς, οὕτως ἐκβάλλει τὸν σάλον· ὅπερ οὖν καὶ αὐτὸς πάλιν Ἑβραίοις ἐπιστέλλει, οὑτωσὶ λέγων περὶ τῆς πίστεως· *Ἣν ὡς ἄγκυραν ἔχομεν τῆς ψυχῆς ἀσφαλῆ, καὶ βεβαίαν, καὶ εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος.* [263] Ἵνα γὰρ ἀκούσας ἄγκυραν, μὴ νομίσῃς κάτω καθέλκεσθαι, δείκνυσιν, ὅτι καινή τις αὖτη τῆς ἀγκύρας ἡ φύσις, οὐ κάτω πιέζουσα, ἀλλ' ἄνω κουφίζουσα τὴν διάνοιαν, καὶ πρὸς τὸν οὐρανὸν μεθιστῶσα, καὶ εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος χειραγωγοῦσα· καταπέτασμα γὰρ ἐνταῦθα τὸν οὐρανὸν ἐκάλεσε. Τίνος ἕνεκα, καὶ διὰ τί; Ὅτι καθάπερ τὸ καταπέτασμα ἀπὸ τῆς ἔξω σκηνῆς διεῖργε τὰ ἅγια τῶν ἁγίων, οὕτω δὴ καὶ ὁ οὐρανὸς οὗτος, ὥσπερ καταπέτασμα, μέσος τῆς κτίσεως παρεμβεβλημένος ἀπὸ τῆς ἔξω σκηνῆς, τοῦτ' ἔστι, τοῦ κόσμου τούτου τοῦ βλεπομένου, διείργει τὰ ἅγια τῶν ἁγίων, τὰ ἄνω λέγων καὶ τὰ ὑπὲρ αὐτῶν, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθε Χριστός.

δ'. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· Ἐκεῖ μετεωρίζει τὴν ψυχὴν τὴν ἡμετέραν, φησὶν, ἡ πίστις, οὐκ ἀφιεῖσα οὐδενὶ τῶν παρόντων δεινῶν ταπεινωθῆναι, ἀνακουφίζουσα τοὺς πόνους τῇ τῶν μελλόντων ἐλπίδι. Ὁ γὰρ πρὸς τὰ μέλλοντα ἀφορῶν, καὶ τὴν ἐκ τῶν οὐρανίων ἀναμένων ἐλπίδα, καὶ τοὺς ὀφθαλμοὺς τῆς διανοίας ἐκεῖ μετάγων, οὐδὲ αἰσθάνεται τῆς ὀδύνης τῶν ἐν τῷ παρόντι δεινῶν, ὥσπερ οὖν οὐδὲ Παῦλος ἠσθάνετο, καὶ τὴν αἰτίαν τῆς φιλοσοφίας ἐδίδασκε, λέγων· *Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης ἡμῖν κατεργάζεται.* Πῶς, καὶ τίνι τρόπῳ; *Μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα* διὰ τῶν τῆς πίστεως ὀφθαλμῶν. Ὥσπερ γὰρ οἱ τοῦ σώματος οὐδὲν βλέπουσι νοητὸν, οὕτως οἱ τῆς πίστεως οὐδὲν βλέπουσιν αἰσθητόν. Ἀλλὰ ποίαν πίστιν ἐνταῦθα λέγει ὁ Παῦλος; τὸ γὰρ τῆς πίστεως ὄνομα διπλῆν ἔχει τὴν σημασίαν. Καὶ γὰρ πίστις λέγεται, καθ' ἣν τὰ σημεῖα ἐποίουν τότε οἱ ἀπόστολοι, περὶ ἧς ὁ Χριστὸς ἔλεγεν· *Ἐὰν ἔχητε πίστιν, ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ, Μετάβηθι, καὶ μεταβήσεται.* Καὶ πάλιν, ὅτε τὸν σεληνιαζόμενον οὐκ ἴσχυσαν ἀπαλλάξαι τοῦ δαίμονος οἱ μαθηταὶ, καὶ τὴν αἰτίαν ἐβούλοντο μαθεῖν, ταύτην αὐτοῖς ἠνίξατο τὴν ἔλλειψιν τῆς πίστεως, λέγων· *Διὰ τὴν ἀπιστίαν ὑμῶν.* Καὶ ὁ Παῦλος δὲ περὶ αὐτῆς ἔλεγεν· *Ἐὰν ἔχω πίστιν, ὥστε ὄρη μεθιστάνειν.* Καὶ ὅτε δὲ καταποντίζεσθαι ἔμελλε παίζῃ βαδίζων ἐπὶ τῆς θαλάσσης ὁ Πέτρος, αὐτὸ τοῦτο πάλιν ἐνεκάλεσεν ὁ Χριστὸς, εἰπών· *Εἰς τί ἐδίστασας, ὀλιγόπιστε;* Λέγεται τοίνυν πίστις ἡ τῶν σημείων καὶ τῶν θαυμάτων ποιητική· λέγεται δὲ πίστις καὶ ἡ τῆς εἰς τὸν Θεὸν γνώσεως παρασκευαστική, καθ' ἣν ἕκαστος ἡμῶν ἐστι πιστός· ὡς ὅταν λέγῃ γράφων Ῥωμαίοις· *Εὐχαριστῶ τῷ Θεῷ μου διὰ Ἰησοῦ Χριστοῦ, ὅτι ἡ πίστις ὑμῶν ἐν ὅλῳ τῷ κόσμῳ καταγγέλλεται·* καὶ Θεσσαλονικεῦσι πάλιν· *Ἀφ' ὑμῶν γὰρ ἐξήχηται ὁ λόγος τοῦ Θεοῦ, οὐ μόνον ἐν τῇ Μακεδονίᾳ, ἀλλὰ καὶ ἐν τῇ Ἀχαΐᾳ, καὶ ἐν παντὶ τόπῳ ἡ πίστις ὑμῶν ἡ πρὸς τὸν Θεὸν ἐξελήλυθε.*

Ποίαν οὖν αἰνίσσεται ἐνταῦθα πίστιν; Εὔδηλον, ὅτι τὴν τῆς γνώσεως· καὶ δηλοῖ τὰ ἑξῆς. *Πιστεύομεν* γὰρ, φησὶ, *διὸ καὶ λαλοῦμεν.* Τί πιστεύομεν; *Ὅτι ὁ ἐγείρας Ἰησοῦν, καὶ ἡμᾶς ἐγερεῖ διὰ τῆς δυνάμεως.* Ἀλλὰ διὰ τί Πνεῦμα πίστεως αὐτὴν καλεῖ, καὶ εἰς τὴν τῶν χαρισμάτων καταλέγει τάξιν; Εἰ γὰρ χάρισμά ἐστιν ἡ πίστις, καὶ τῆς τοῦ Πνεύματος δωρεᾶς μόνον, ἀλλ' οὐχ ἡμέτερον κατόρθωμα, οὔτε οἱ ἀπιστοῦντες κολασθήσονται, οὔτε οἱ πιστεύοντες ἐπαινεθήσονται. [264] Τοιαύτη γὰρ τῶν χαρισμάτων ἡ φύσις, οὐκ ἔχει στεφάνους, οὔτε ἀμοιβάς. Οὐ γὰρ τῶν δεξαμένων τὸ δῶρόν ἐστι κατόρθωμα, ἀλλὰ τῆς τοῦ παρεσχηκότος φιλοφροσύνης χάρισμα. Διὰ τοῦτο καὶ τοῖς μαθηταῖς ἐκέλευσε μὴ χαίρειν ἐπὶ τῷ δαίμονας ἐκβάλλειν, καὶ τοὺς ἐπὶ τῷ ὀνόματι αὐτοῦ προφητεύσαντας καὶ δυνάμεις πολλὰς ποιήσαντας ἐξέβαλε τῆς βασιλείας τῶν οὐρανῶν, ἐπειδὴ ἀπὸ κατορθωμάτων μὲν οἰκείων οὐδεμίαν εἶχον παῤῥησίαν, ἀπὸ δὲ χαρισμάτων ἐβούλοντο σώζεσθαι μόνον.

ε'. Εἰ τοίνυν καὶ ἡ πίστις τοιοῦτόν ἐστι, καὶ οὐδὲν ἡμεῖς εἰσηνέγκαμεν, ἀλλὰ τὸ πᾶν τῆς τοῦ Πνεύματός ἐστι χάριτος, καὶ ἐκείνη ταῖς ἡμετέραις αὐτὴν ἐγκατέβαλε ψυχαῖς, καὶ οὐδένα ἀντὶ τούτων ληψόμεθα μισθὸν, πῶς οὖν ἔλεγε, *Καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν;* Ὅτι καὶ τῆς τοῦ πεπιστευκότος ἀρετῆς ἐστι κατόρθωμα ἡ πίστις. Πῶς δὲ ἀλλαχοῦ τοῦτο αὐτὸ πάλιν αἰνίττεται λέγων, *Τῷ δὲ μὴ ἐργαζομένῳ, πιστεύοντι δὲ ἐπὶ τὸν δικαιοῦντα τὸν ἀσεβῆ, λογίζεται ἡ πίστις εἰς δικαιοσύνην,* εἰ τῆς τοῦ Πνεύματος χάριτος τὸ πᾶν ἐστι; πῶς δὲ καὶ τὸν πατριάρχην Ἀβραὰμ δι' αὐτῆς [a] μυρίοις ἀνέδησεν ἐγκωμίων στεφάνοις, ὅτι τὰ παρόντα πάντα παραδραμὼν, παρ' ἐλπίδα ἐπ' ἐλπίδι ἐπίστευσε; Τίνος οὖν ἕνεκα Πνεῦμα πίστεως αὐτὴν καλεῖ; Ἐκεῖνο δεῖξαι βουλόμενος, ὅτι τὸ μὲν παρὰ τὴν ἀρχὴν πιστεῦσαι, τῆς ἡμετέρας εὐγνωμοσύνης ἐστὶ, καὶ τὸ ὑπακοῦσαι κληθέντας· μετὰ δὲ τὸ καταβληθῆναι τὴν πίστιν, τῆς τοῦ Πνεύματος δεόμεθα βοηθείας, ὥστε μένειν αὐτὴν διηνεκῶς ἀσείστον καὶ ἀπερίτρεπτον. Οὔτε γὰρ ὁ Θεὸς, οὔτε ἡ τοῦ Πνεύματος χάρις τὴν ἡμετέραν προφθάνει προαίρεσιν· ἀλλὰ καλεῖ μὲν, ἀναμένει δὲ ὥστε ἑκόντας καὶ βουληθέντας οἴκοθεν προσελθεῖν· εἶτα, ἐπειδὰν προσέλθωμεν, τότε τὴν παρ' ἑαυτοῦ παρέχει συμμαχίαν ἅπασαν. Ἐπειδὴ γὰρ καὶ ὁ διάβολος μετὰ τὸ τῇ πίστει προσελθεῖν ἡμᾶς, εὐθέως ἐπεισέρχεται, τὴν καλὴν ταύτην ῥίζαν ἀνασπάσαι βουλόμενος, καὶ τὰ ζιζάνια σπεῖραι ἐπειγόμενος, καὶ τοῖς γνησίοις καὶ καθαροῖς λυμήνασθαι σπέρμασι, δεόμεθα τῆς τοῦ Πνεύματος βοηθείας τότε, ἵνα, καθάπερ γεωργὸς φιλόπονος [b], ἐγκαθεζόμενος ἡμῶν τῇ ψυχῇ, πολλῇ τῇ φειδοῖ καὶ προνοίᾳ τειχίζῃ πάντοθεν τὸ νεοπαγὲς τῆς πίστεως φυτόν. Διὰ τοῦτο Θεσσαλονικεῦσιν ἐπέστελλε λέγων, *Τὸ Πνεῦμα μὴ σβέννυτε,* δηλῶν ὅτι τῆς τοῦ Πνεύματος χάριτος ἐπεισελθούσης, ἀκαταγώνιστοι τῷ πονηρῷ δαίμονι λοιπὸν καὶ ταῖς μεθοδείαις αὐτοῦ πάσαις ἐσόμεθα. Εἰ γὰρ οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι ἁγίῳ, πολλῷ μᾶλλον τὴν πίστιν ἀσφαλῆ καὶ ἐῤῥιζωμένην οὐ δυνήσεται κατασχεῖν, εἰ μὴ ἐν Πνεύματι ἁγίῳ.

ς'. Πῶς δὲ δυνησόμεθα τὴν τοῦ Πνεύματος ἐπισπάσασθαι βοήθειαν, καὶ πεῖσαι μεῖναι παρ' ἑαυτοῖς;

[a] Duo mss. δι' αὐτήν.
[b] Duo mss. φιλοπόνως.

Δι' ἔργων ἀγαθῶν καὶ πολιτείας ἀρίστης. Καθάπερ γὰρ τὸ λυχνιαῖον ὑφ' ἑλαίῳ κατέχεται, καὶ ἀναλωθέντος [265] τούτου κἀκεῖνο συναναλωθὲν ἄπεισιν· οὕτω δὴ καὶ ἡ τοῦ Πνεύματος χάρις, παρόντων μὲν ἡμῖν ἔργων ἀγαθῶν, καὶ ἐλεημοσύνης πολλῆς ἐπιχεομένης τῇ ψυχῇ. μένει καθάπερ ἐλαίῳ κατεχομένη ἡ φλόξ· ταύτης δὲ οὐκ οὔσης, ἄπεισι καὶ ἀναχωρεῖ· ὅπερ καὶ ἐπὶ τῶν πέντε παρθένων ἐγένετο. Καὶ γὰρ ἐκεῖναι μετὰ τοὺς πολλοὺς πόνους καὶ τοὺς ἱδρῶτας, ἐπειδὴ τὴν ἀπὸ τῆς φιλανθρωπίας οὐκ εἶχον βοήθειαν, οὐκ ἴσχυσαν παρ' ἑαυταῖς κατασχεῖν τὸ τοῦ Πνεύματος χάρισμα· διὸ καὶ τοῦ νυμφῶνος ἐξεβλήθησαν, καὶ τῆς φωβερᾶς ἐκείνης ἠκουσαν φωνῆς, *Ὑπάγετε, οὐκ οἶδα ὑμᾶς*· ἢ καὶ τῆς γεέννης ἦν χαλεπωτέρα· διὰ τοῦτο καὶ μωρὰς αὐτὰς ὠνόμασεν· εἰκότως· ὅτι τυραννικωτέρας ἐπιθυμίας περιγενόμεναι, ὑπὸ τῆς ἀσθενεστέρας ἐάλωσαν. Ὅρα γάρ· φύσεως βίαν ἐνίκησαν, λυττῶσαν μανίαν ἐχαλίνωσαν, τὰ τῆς ἐπιθυμίας ἐστόρεσαν κύματα, ἐν γῇ διατρίβουσαι ἀγγελικὸν ἐπεδείξαντο βίον, σῶμα περικείμεναι πρὸς τὰς ἀσωμάτους ἡμιλλήθησαν δυνάμεις· καὶ μετὰ τοσοῦτον πόνον χρημάτων ἐπιθυμίας οὐκ ἐκράτησαν, ὄντως μωραὶ καὶ ἀνόητοι· διὰ τοῦτο καὶ οὐδὲ συγγνώμης ἠξιώθησαν. Ῥᾳθυμίας γὰρ τὸ πτῶμα γέγονε μόνον· αἱ γὰρ ἐν τοσαύτῃ φλογὶ κάμινον ἐπιθυμίας δυνηθεῖσαι σβέσαι, καὶ ὑπὲρ τὰ σκάμματα πηδήσασαι, καὶ πλείω τῶν προσταχθέντων ἐπιδειξάμεναι (οὐ γάρ ἐστι νόμος ἡ παρθενία, ἀλλὰ τῇ προαιρέσει τῶν ἀκουόντων ἐπιτέτραπται), εἶτα ὑπὸ χρημάτων ἡττηθεῖσαι, τίνος οὐκ ἂν εἶεν ἐλεεινότεραι, δι' ὀλίγων ἀργυρίων τὸν στέφανον ἀπὸ τῆς κεφαλῆς ῥίψασαι; Ταῦτα λέγω, οὐχὶ τὰς χεῖρας τῶν παρθένων ἐκλύων, οὐδὲ τὴν παρθενίαν σβέσαι βουλόμενος, ἀλλ' ἵνα μὴ ἀνόητα δράμωσιν, ἵνα μὴ μετὰ μυρίους ἱδρῶτας ἀστεφάνωτοι καὶ αἰσχύνης γέμουσαι ἐκ τῶν σκαμμάτων ἀναχωρήσωσι. Καλὸν ἡ παρθενία καὶ ὑπὲρ τὴν φύσιν τὸ κατόρθωμα· ἀλλὰ τὸ καλὸν τοῦτο καὶ μέγα καὶ ὑπὲρ τὴν φύσιν, ἂν μὴ φιλανθρωπίαν ἔχῃ συνεζευγμένην, οὐδὲ ἐπιβαίνειν τῶν τοῦ νυμφῶνος προθύρων δυνήσεται. Καὶ σκόπει μοι τῆς φιλανθρωπίας τὴν ἰσχὺν, καὶ τῆς ἐλεημοσύνης τὴν δύναμιν. Παρθενία μὲν χωρὶς ἐλεημοσύνης οὐκ ἴσχυσεν οὐδὲ μέχρι τῶν προθύρων τοῦ νυμφῶνος ἀγαγεῖν· ἐλεημοσύνη δὲ χωρὶς παρθενίας, τοὺς ἑαυτῆς τροφίμους μετὰ πολλῶν ἐγκωμίων εἰς τὴν πρὸ καταβολῆς κόσμου βασιλείαν ἡτοιμασμένην ἐχειραγώγησεν. Λύται μὲν γάρ, ἐπειδὴ ἐλεημοσύνην οὐκ ἐπεδείξαντο δαψιλῆ, ἤκουσαν, *Ὑπάγετε, οὐκ οἶδα ὑμᾶς*· ἐκεῖνοι δὲ οἱ διψῶντα ποτίσαντες, καὶ πεινῶντα θρέψαντες τὸν Χριστὸν, καίτοι παρθενίαν μὴ προβαλλόμενοι, ἤκουσαν, *Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου*. Καὶ μάλα εἰκότως· ὁ μὲν γὰρ παρθενεύων καὶ νηστεύων, ἑαυτῷ χρήσιμος· ὁ δὲ ἐλεῶν, κοινός ἐστι τῶν ναυαγούντων λιμήν, τὰς τῶν πλησίον διορθούμενος πενίας, καὶ τὰς ἑτέρων λύων ἀνάγκας. Τῶν δὲ κατορθωμάτων ἐκεῖνα μάλιστα εὐδοκιμεῖν εἴωθεν, ἅπερ ἂν πρὸς τὸ συμφέρον ἑτέροις γίνεται [a].

[266] ζ'. Καὶ ἵνα μάθῃς, ὅτι αὗται μᾶλλον τῷ Θεῷ περισπούδαστοι τῶν ἄλλων αἱ ἐντολαὶ, περὶ μὲν νηστείας καὶ παρθενίας διαλεγόμενος, βασιλείας οὐρανῶν μέμνηται· περὶ δὲ ἐλεημοσύνης καὶ φιλανθρωπίας καὶ τοῦ ποιεῖν ἑαυτοὺς οἰκτίρμονας νομοθετῶν, πολὺ μεῖζον τῆς βασιλείας τῶν οὐρανῶν τέθεικεν ἔπαθλον, *Ὅπως γένησθε ὅμοιοι τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς*, λέγων. Ἐκεῖνοι γὰρ μάλιστα τῶν νόμων ὁμοίους ποιοῦσι τοὺς ἀνθρώπους τῷ Θεῷ, ὡς ἀνθρώπους εἰκὸς γενέσθαι ὁμοίους τοῦ Θεοῦ, οἱ πρὸς τὸ κοινῇ συμφέρον ἐκβαίνοντες. Καὶ δηλῶν αὐτὸ τοῦτο ὁ Χριστὸς ἔλεγεν· *Ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους*. Οὕτω καὶ ὑμεῖς τοῖς οὔτε κατὰ δύναμιν εἰς τὸ κοινῇ συμφέρον τῶν ἀδελφῶν ἀποχεχρημένοι, μιμήσασθε τὸν τὰ ἀγαθὰ αὐτοῦ προτιθέντα πᾶσιν ὁμοίως. Μέγα τὸ τῆς παρθενίας ἀξίωμα, καὶ διὰ τοῦτο μᾶλλον συγκροτηθῆναι αὐτὸ βούλομαι. Παρθενίας γὰρ ἀξίωμα οὐκ ἀποσχέσθαι γάμων μόνον, ἀλλὰ τὸ φιλάνθρωπον εἶναι καὶ φιλάδελφον καὶ συμπαθητικόν. Τί γὰρ ὄφελος παρθενία μετὰ ὠμότητος; τί δὲ κέρδος σωφροσύνη μετὰ ἀπανθρωπίας; Οὐχ ἁλὼς σωμάτων ἐπιθυμίᾳ, ἀλλ' ἁλὼς χρημάτων ἐπιθυμίᾳ· οὐκ ἐθαύμασας χρυσίου κάλλος· τὸν μεῖζονα ἐνίκησας ἀνταγωνιστὴν, ἀλλ' ὁ ἐλάττων καὶ ἀσθενέστερος ἐκράτησέ σου καὶ περιεγένετο. Διὰ τοῦτο αἰσχροτέραν ἐποίησέ σου τὴν ἧτταν· διὰ τοῦτο οὐδὲ συγγνώμης ἔτυχες, τοσαύτης μὲν περιγενομένη βίας, καὶ πρὸς τὴν φύσιν αὐτὴν ἀποδυσαμένη, ὑπὸ δὲ φιλαργυρίας ἁλοῦσα, ἣν καὶ οἰκέται πολλάκις καὶ βάρβαροι ἀπονητὶ νικῆσαι ἠδυνήθησαν.

η'. Ταῦτ' οὖν ἅπαντα εἰδότες, ἀγαπητοὶ, καὶ οἱ γάμοις ὁμιλοῦντες, καὶ οἱ παρθενίαν ἀσκοῦντες, πολλὴν ἐπιδειξώμεθα περὶ τὴν ἐλεημοσύνην σπουδὴν, ἐπειδὴ μηδὲ ἑτέρως ἔστι τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτυχεῖν. Εἰ γὰρ παρθενία χωρὶς ἐλεημοσύνης οὐκ ἴσχυσεν εἰς βασιλείαν εἰσαγαγεῖν, ποῖον ἕτερον κατόρθωμα τοῦτο ἰσχύσει, ἢ δυνήσεται ταύτης χωρίς; Οὐκ ἔστιν οὐδέν. Πάσῃ τοίνυν ψυχῇ καὶ δυνάμει τὸ ἔλαιον ἐγχέωμεν ταῖς λαμπάσι, καὶ δαψιλὲς ἔστω καὶ διηνεκὲς τοῦτο, ἵνα φαιδρὸν καὶ πλούσιον μείνῃ τὸ φῶς. Μὴ γὰρ δὴ τὸν πένητα ἴδῃς τὸν λαμβάνοντα, ἀλλὰ τὸν Θεὸν τὸν ἀποδιδόντα· μὴ τὸν δεχόμενον τὸ ἀργύριον, ἀλλὰ τὸν ὑπεύθυνον γινόμενον τῷ ὀφλήματι. Διὰ γὰρ τοῦτο ἕτερος λαμβάνει, καὶ ἕτερος ἀποδίδωσιν, ἵνα ἡ μὲν τοῦ δεχομένου πενία καὶ ἡ συμφορὰ πρὸς ἔλεον ἐπικάμψῃ καὶ συμπάθειαν· ὁ δὲ τοῦ μέλλοντος ἀποδιδόναι πλοῦτος τὴν καταβολὴν ἐγγυώμενος, καὶ τὴν μετὰ πολλῆς προσθήκης ἔκτισιν ἐπομένην, θαῤῥῆσαι παρασκευάσῃ περὶ τοῦ δανείου καὶ τοῦ τέλους, καὶ μετὰ πλείονος δαψιλείας ἐκκαλέσηται τὴν ἐλεημοσύνην. Τίς γὰρ, εἰπέ μοι, μέλλων ἑκατονταπλασίονα λαμβάνειν, καὶ θαῤῥῶν πάντως ὑπὲρ τῆς ἀποδόσεως, οὐχὶ τὰ πάντα προήσεται;

Μὴ τοίνυν φειδώμεθα χρημάτων, μᾶλλον δὲ φειδώμεθα τῶν χρημάτων· ὁ γὰρ φειδόμενος τῶν ὄντων, εἰς τὰς τῶν πενήτων χεῖρας αὐτὰ ἐναποτίθεται, εἰς τὸν ἄσυλον θησαυρὸν, καὶ λῃσταῖς καὶ οἰκέταις καὶ συκοφάνταις κακούργοις καὶ πάσαις ἐφόδοις ἀνάλωτον. [267] Εἰ δὲ καὶ ταῦτα ἀκούων ὀκνεῖς πρᾳέσθαι τι τῶν ὄντων, καὶ οὔτε τὸ ἑκατονταπλασίονα ἀπολαβεῖν, οὔτε ἡ τοῦ πένητος συμφορὰ, οὔτε ἄλλο οὐδὲν ἐπικάμψαι σε δυνήσεται, ἀναλόγισαι τὰ πεπλημμεληκότα σοι· εἴσελθε εἰς τὸ συνειδὸς τῶν ἁμαρτημάτων, πᾶσαν ἐξέτασόν σου τὴν ζωὴν· κατάμαθέ σου τὰ παραπτώματα

[a] Cod. 748 γίνηται.

rimus allicere auxilium Spiritus, eique persuadere ut apud nos manere velit? Per opera bona et optimam vivendi rationem. Sicut enim lucernæ lumen oleo retinetur, et consumpto eo ipsum quoque una consumptum evanescit : ita etiam Spiritus gratia, dum habemus opera bona, et crebris eleemosynis animam rigamus, manet non aliter quam flamma oleo retenta : quæ si non adsint, recedit a nobis et abit; quod etiam quinque illis virginibus accidit. Etenim illæ post multos labores ac sudores, cum nullum haberent ex sua benignitate præsidium, non potuerunt apud se retinere Spiritus gratiam : atque ideo sunt a thalamo repulsæ, vocemque illam terribilem audierunt : *Discedite, non novi vos* (*Matth.* 25. 12) : quæ vel gehenna fuit gravior ; propter hoc etiam stultæ sunt appellatæ; et merito : quoniam cum impotentiores cupiditates vicissent, a minus valida sunt victæ. Vide, quæso : naturæ violentiam superaverunt, rabidam insaniam frenaverunt, cupidinum fluctus sedaverunt, in terra degentes angelicam vitam vixerunt, corpore vestitæ incorporeas virtutes æmulatæ sunt, et post tantos labores pecuniarum cupiditatem non superaverunt, stultæ revera et insensatæ : quapropter ne venia quidem dignæ sunt habitæ. Lapsus enim earum socordiæ fuit solius : quæ enim in tanta flamma fornacem potuerant cupidinum exstinguere, et ultra septa transilierant, et plura quam jussæ erant præstiterant (nulla enim lex virginitatem præcipit : liberæ hoc voluntati auditorum relinquitur), post hæc omnia victæ sunt a pecunia : quo quid esse miserabilius potest, si propter paululum argenti coronam e capite projiciant? Hæc dico, non quod manus virginum dissolvam, neque quod virginitatem exstinguere velim, sed ne inutiliter currant, ne post plurimos sudores corona privatæ et pudore plenæ ex arena discedant. Bona res est virginitas, et majus quam pro naturæ viribus meritum : sed bona hæc res et magna et naturam superans, nisi benignitatem habeat adjunctam, ne in vestibulum quidem thalami ingredi poterit. Atque hic mihi considera benignitatis vim et eleemosynæ potentiam. Virginitas sine eleemosyna ne in vestibulum quidem thalami perducere potuit ; eleemosyna vero vel sine virginitate alumnos suos cum magna laude in regnum ante conditum orbem præparatum manu deducit. Hæ siquidem quoniam largam eleemosynam non exhibuerant, audierunt : *Abite, non novi vos* : illi vero qui sitientem potaverunt, et esurientem aluerunt Christum, tametsi virginitatem non proferrent in medium, audierunt : *Venite, benedicti Patris mei, possidete regnum paratum vobis a constitutione mundi* (*Ibid. v.* 34). Et merito : qui enim virginitatem servat, et jejunat, sibi ipsi utilis est : qui vero miseretur, communis est naufragorum portus, proximorum paupertatem sublevans, et alienis necessitatibus succurrens. Cæterum ex benefactis quæcumque ad aliorum utilitatem fiunt, ea potissimum laudem promereri solent.

7. *Quæ præcepta Deo curæ sint præ cæteris. Virginitatis dignitas.* — Et ut scias talia præcepta præ cæteris Deo curæ esse, de jejunio et virginitate disserens regni cælorum meminit : ubi vero de eleemosyna et liberalitate agit, et ut nos misericordes exhibeamus, præcipit, longe amplius quam regnum cælorum præmium proponit : *Ut fiatis*, inquit, *similes Patris vestri, qui in cælis est* (*Matth.* 5. 45). Illæ enim potissimum leges hominem similem Deo reddunt, quatenus Deo similem fieri hominem licet, quæ ad publicam utilitatem faciunt. Et hoc significans Christus dicit : *Quia solem suum oriri facit super bonos ac malos, et pluit super justos ac injustos.* Ita vos quoque pro sua quisque virili facultatibus vestris in communem fratrum utilitatem utendo, imitamini eum qui bona sua ponit ex æquo omnibus. Ingens est virginitatis dignitas, ideoque illam admodum coli et celebrari cupio. Est enim dignitas virginitatis, non solum abstinere a nuptiis, verum etiam benignum esse, et fratrum amantem, et pronum ad commiserationem. Quæ enim est utilitas virginitatis cum crudelitate? quid lucri ex temperantia cum inhumanitate conjuncta? Non es capta corporum concupiscentia, sed capta es cupiditate pecuniarum : non es admirata hominis faciem, sed admirata es auri pulchritudinem : majorem adversarium vicisti, sed minori et imbecilliori succubuisti. Atque ideo turpius victa es; ideo ne venia quidem digna es, videlicet quæ tantam vim sustinuisti, et adversus ipsam naturam pugnasti, ab avaritia vero expugnata es, quam et mancipia sæpenumero, et barbari homines minimo negotio superare potuerunt.

8. Hæc igitur omnia scientes, dilecti, sive in conjugio, sive in virginitate degentes, magna diligentia eleemosynam exerceamus, quandoquidem nulla alia ratione licet ad regnum cælorum pervenire. Nam si virginitas absque eleemosyna ad regnum non valuit perducere, quodnam aliud benefactum hoc efficere sine hac poterit? Profecto nullum. Toto igitur animo, totisque viribus oleum affundamus lampadibus idque largiter ac indesinenter, ut hilare ac largum lumen permaneat. Nec pauperem respicias accipientem, sed Deum redditurum : non eum qui stipem accipit, sed eum qui se tibi debitorem obligat. Nam ideo alius accipit, alius reddit, ut accipientis paupertas et calamitas ad misericordiam te flectant ac commiserationem : divitiæ vero Dei reddituri, fidejubentis etiam cum auctario solutionem futuram, majorem tibi de fructu et usura fiduciam indant, et ad largiorem eleemosynam provocent. Quis enim, rogo, centuplum recepturus, et de recipiendo securus, non omnia sua libens eroget?

Cohortatur ad eleemosynam impertiendam. — Ne igitur parcamus pecuniæ, imo vero parcamus pecuniæ : nam qui facultatibus suis parcit, in pauperum manus eas deponit, in thesaurum sacrosanctum, quo nec latrones, nec servi, nec sycophantæ malefici, nec ullæ mortalium insidiæ penetrare valeant. Quod si etiam his auditis piget te e bonis tuis nonnihil erogare, et neque centuplum recipiendum, neque pauperis calamitas, neque aliud quidquam flectere te po-

test, reputa quam multa peccaveris, ingredere in conscientiam delictorum, excute omnem actam vitam, accurate errata tua cognosce, et sis licet hominum omnium inhumanissimus, certe pavore peccatorum omni tempore compulsus, et remissionem propter eleemosynam sperans, vel corpus tuum insuper impendes, nedum pecuniam. Si enim saucii, et morbos corporales depellere cupientes, nullis facultatibus parcimus, etiamsi indumentum ipsum divendendum sit, ut ab infirmitate illa liberemur : multo magis animæ infirmitatem et gravissima peccatorum vulnera curaturi per eleemosynam, cum summa alacritate eam exercebimus. Atqui quoties ægrotas, non statim numerata pecunia liberaris a morbo, sed sæpenumero et sectione opus est, et ustione, et amaris pharmacis, et fame, et frigore, et aliis gravioribus mandatis : hic autem non sic, sed satis est dare nummos in manus pauperum, et statim ablueris omnia peccata, sine ullo vel dolore vel labore. Medicus enim qui animam curat, non opus habet arte, non instrumentis artis, non ferro aut igne : sed solus nutus sufficit, ac mox omnia peccata ab anima auferuntur et evanescunt.

9. *Monachorum dura vivendi ratio.* — Non vides monachos istos qui solitariam vitam amplectuntur, et in vertices montium secedunt, quam duram vivendi rationem perferant? Etenim cinerem sibi substernentes, et saccum induentes, et catenis ferreis totum corpus degravantes, et in casa seipsos concludentes assidue cum fame luctantur, in fletu vivunt et vigiliis intolerabilibus, ut partem aliquam peccatorum abluant : tibi vero licet sine omni illo duro victu expeditam hanc et facilem pietatis viam ingredi. Qualis enim, rogo, labor est, his quæ adsunt frui, et quod superest in egenos insumere? Nam etiamsi nulla merces esset proposita, etiamsi non tam ampla retributio præfinita esset, annon vel ipsa rei natura quantumvis inhumanis persuadere poterat, ut eo quod ipsis superest ad egenorum solamen uterentur? Nunc cum tantum coronarum, tantum retributionum, tanta peccatorum oblivio per eleemosynam paretur, quam, rogo, excusationem habebunt, qui pecuniæ parcunt, et animam suam in profundum peccatorum demergunt? Nam etiamsi nihil aliud te moveat et excitet ad condolendum et ad dandam eleemosynam, saltem reputa quam incertus sit vitæ finis, et cogita quod etiamsi pauperibus non des, morte tamen superveniente, velis nolis, tuas res aliis es cessurus. Ergo dispensato divitias tuas, et dum licet, humanus esto. Extremæ enim vesaniæ fuerit, ea quibus vel invitus aliis cessurus es, nolle indigentibus communicare ultro, idque cum tanta bona ex hac benignitate tibi sint proventura. *Ut vestra*, inquit, *copia succurrat illorum inopiæ* (2. *Cor.* 8. 14). Quid est autem quod dicit? Majora accipis, quam das. Das sensibilia, accipis intelligibilia et spiritualia; das pecuniam, accipis remissionem peccatorum; liberas pauperem a fame, ille te liberat ab ira divina. Retributionis hoc genus est et negotiationis, quod majorem ac utiliorem reditum habet quam sumptum. Nam sumptus pecuniarum est : reditus vero non pecunias affert tantum, sed etiam remissionem peccatorum, simulque fiduciam erga Deum, et regnum cælorum, et bona illa quæ neque oculus vidit, nec auris audivit, nec in cor hominis adscenderunt (1. *Cor.* 2. 9). Annon igitur absurdum, quod negotiatores nulli rei parcant, idque cum non singularia quædam, sed paria fere paribus permutare soleant : nos vero, cum non corruptibilia et momentanea, sed incorruptibilia et sempiterna liceat pro nostris corruptibilibus ac momentaneis commutare, non eamdem quam illi diligentiam adhibeamus?

Fides indiget auxilio Spiritus. Ex pravitate morum oritur incredulitas. — Non ita, fratres, non ita nostræ saluti male consulamus, sed moti exemplo virginum, et eorum qui ducuntur in ignem paratum diabolo et angelis ejus, eo quod non aluerint, neque potaverint Christum, retineamus sancti Spiritus ignem per largam benignitatem et profusas eleemosynas, ne circa fidem naufragium faciamus. Fides enim opus habet auxilio Spiritus ac perseverantia, ut inconcussa permaneat : auxilium autem Spiritus vitæ puritate moribusque probatis retineri apud nos solet. Quare si cupimus fidem radicatam habere, vivendi ratione pura nobis opus est, quæ Spiritum retineat, a quo totam fidei vim dependere constat. Impossibile enim est, impossibile profecto si vitam impuram habeas in fide non vacillare.

10. Certe qui de fato nugantur, et salutari de resurrectione sermoni non credunt, ob malam conscientiam et mores depravatos in hoc incredulitatis barathrum seipsos præcipitant. Et quemadmodum febre laborantes, dum volunt æstuationem depellere, sæpe in frigidam aquam sese projiciunt, et paulisper mitigato malo, graviorem sibi ardorem accendunt : ita qui mala conscientia premuntur, et consolationem aliquam quærunt, nec tamen volunt per pœnitentiam peccata abluere, ad fati tyrannidem, et resurrectionis confugiunt abnegationem : atque hoc pacto dum se in hac vita frigidis rationibus paulisper consolantur, majorem gehennæ flammam sibi accendunt; quandoquidem segniores hic facti, postquam illuc devenerint, videbunt pro suis quemque peccatis debita supplicia persolvere. Et ut hoc verum esse sciatis, fidei nempe robur mala opera vehementer impedire, audite quid Paulus dicat ad Timotheum scribens : *Ut milites*, inquit, *egregiam militiam, habens fidem ac bonam conscientiam* (bona autem conscientia ex vita et operibus bonis contingere solet) : *quam quidam*, inquit, *repellentes, circa fidem naufragium fecerunt* (1. *Tim.* 1. 18. 19). Rursum alibi : *Radix omnium malorum est avaritia, per cujus cupiditatem quidam a fide aberraverunt* (*Ibid.* 6. 10). Vides tum illos propterea naufragium fecisse, tum istos ob hoc ipsum aberravisse : queniam illi bonam conscientiam repulerunt, isti vero avaritiæ adhæserunt? Quæ quidem omnia cogitantes, magnam curam habeamus vitæ quam optime instituendæ, ut duplex nobis merces contingat, una ex operum retributione, altera ex fidei robore. Sicut enim se habet ad corpus, ita recta

μετὰ ἀκριβείας· κἂν ἁπάντων ἀνθρώπων ἀπηνέστερος ᾖς, πάντως ὑπὸ τοῦ φόβου τῶν ἡμαρτημένων σοι παρὰ πάντα τὸν χρόνον ὠθούμενος, καὶ διὰ τῆς ἐλεημοσύνης ἄφεσίν σοι προσδοκῶν γενέσθαι τούτων, καὶ τὸ σῶμα ἐπιδώσεις σαυτοῦ, μήτι γε χρήματα. Εἰ γὰρ τραύματα ἔχοντες, καὶ νοσήματα σωματικὰ ἀποκρύσασθαι βουλόμενοι, οὐδενὸς τῶν ὄντων φειδώμεθα, κἂν αὐτὸ τὸ ἱμάτιον ἀποδόσθαι δέοι, ὥστε τῆς ἀῤῥωστίας ἀπαλλαγῆναι ἐκείνης· πολλῷ μᾶλλον τῆς ψυχῆς ἀῤῥωστίαν ἀποτίθεσθαι μέλλοντες καὶ τὰ χαλεπὰ τῶν ἁμαρτημάτων τραύματα διὰ τῆς ἐλεημοσύνης, μετὰ πάσης προθυμίας αὐτὴν ἐργασώμεθα. Καίτοι γε ἐπὶ μὲν τῶν νοσημάτων οὐκ ἔστιν εὐθέως καταβαλόντα ἀργύριον ἀπαλλαγῆναι τῆς νόσου, ἀλλὰ δεῖ καὶ τομῆς πολλάκις καὶ καύσεως καὶ πικρῶν φαρμάκων, καὶ λιμοῦ, καὶ ψύχους, καὶ ἑτέρων φορτικωτέρων ἐπιταγμάτων· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλ' ἀρκεῖ καταβαλεῖν τὸ ἀργύριον εἰς τὰς τῶν πενήτων χεῖρας, καὶ πάντα εὐθέως ἀπολούσασθαι τὰ πεπλημμελημένα χωρὶς ὀδύνης καὶ πόνου. Ὁ γὰρ τὴν ψυχὴν θεραπεύων ἰατρὸς, οὐ δεῖται μεθόδων καὶ ὀργάνων, καὶ σιδήρου καὶ πυρός· ἀλλ' ἀρκεῖ νεῦσαι μόνον, καὶ πάντα ἐκρεῖ τῆς ἡμετέρας ψυχῆς τὰ πλημμελήματα, καὶ εἰς τὸ μὴ ὂν ἀφανίζεται.

θ'. Οὐχ ὁρᾷς τοὺς μοναχοὺς τοὺς τὸν μονήρη βίον ἐπιθυμοῦντας καὶ εἰς τὰς κορυφὰς τῶν ὀρέων ἀναχωροῦντας, ὅσην ὑπομένουσι σκληραγωγίαν; Καὶ γὰρ σποδὸν ὑποστρωννύμενοι, καὶ σάκκον περιβαλλόμενοι, καὶ κλοιὰ παντὶ τῷ σώματι περιτιθέντες, καὶ ἐν οἴκῳ καθείρξαντες ἑαυτοὺς, λιμῷ παλαίουσι διηνεκεῖ, θρήνοις συζῶσι καὶ ἀγρυπνίαις ἀφορήτοις, ἵνα δυνηθῶσι μικρὸν γοῦν μέρος τῶν ἡμαρτημένων ἀπορρίψασθαι· σοὶ δὲ ἔξεστι χωρὶς τῆς σκληραγωγίας ἁπάσης ἐκείνης τὴν εὔκολον ταύτην καὶ ῥᾳδίαν εὐλάβειαν ἐπιδείξασθαι. Ποῖος γὰρ πόνος, εἰπέ μοι, τῶν ὄντων ἀπολαύοντας, τὰ περιττὰ τῆς χρείας εἰς τοὺς δεομένους ἀναλῶσαι; Εἰ γὰρ μὴ μισθὸς ἔκειτο, εἰ γὰρ μὴ ἀμοιβὴ τοσαύτη ὥριστο, αὐτὴ τοῦ πράγματος ἡ φύσις οὐχ ἱκανὴ καὶ τοὺς σφόδρα ἀνημέρους πεῖσαι, τοῖς περιττεύουσιν εἰς παραμυθίαν τῶν δεομένων ἀποχρήσασθαι; Ὅταν δὲ καὶ τοσοῦτοι στέφανοι, καὶ τοσαῦται ἀμοιβαὶ, καὶ τοσαύτη ἁμαρτημάτων ἀμνηστία διὰ τῆς ἐλεημοσύνης γίνηται, ποίαν ἕξουσιν ἀπολογίαν, εἰπέ μοι, οἱ χρημάτων φειδόμενοι καὶ τὴν ψυχὴν τὴν ἑαυτῶν καταποντίζοντες τοῖς ἁμαρτήμασιν; Εἰ γὰρ καὶ μηδέν σε ἕτερον κινεῖ καὶ διανίστησι πρὸς συμπάθειαν καὶ πρὸς ἐλεημοσύνην, τῆς τελευτῆς τὴν ἀδηλίαν ἀναλόγισαι· καὶ ἐνθυμηθεὶς [a], ὅτι κἂν μὴ πένησι δῷς, ἐπελθόντος τοῦ θανάτου καὶ ἄκων ἐκστήσῃ ἑτέροις αὐτῶν, κἂν οὕτω γενοῦ φιλάνθρωπος νῦν. Καὶ γὰρ ἐσχάτης ἀνοίας ἂν εἴη. ὧν καὶ ἄκοντες ἐξίστασθαι μέλλομεν, ἑτέροις [268] τούτων μὴ μεταδοῦναι ἑκόντας τοῖς δεομένοις, καὶ ταῦτα μέλλοντας τοσαῦτα ἀπὸ τῆς φιλοφροσύνης ταύτης καρποῦσθαι καλά. *Τὸ ὑμῶν περίσσευμα*, φησὶ, *γενέσθω εἰς τὸ ἐκείνων ὑστέρημα.* Τί δέ ἐστιν ὃ λέγει; Μείζονα λαμβάνεις, ἢ δίδως. Δίδως αἰσθητὰ, καὶ λαμβάνεις νοητὰ καὶ πνευματικά· δίδως ἀργύριον, καὶ λαμβάνεις ἁμαρτημάτων ἄφεσιν· λύεις σὺ τῷ πένητι λιμὸν, ἐκεῖνος δέ σοι λύει τοῦ Θεοῦ τὴν ὀργήν. Ἀντίδοσίς τίς ἐστι καὶ πραγματεία πολὺ τῆς δαπάνης μείζω καὶ χρησιμωτέραν τὴν πρόσοδον ἔχουσα. Ἡ μὲν γὰρ δαπάνη ἐν χρήμασι γίνεται· ἡ πρόσοδος δὲ οὐκ ἔτι ἐν χρήματι μόνον, ἀλλὰ καὶ ἐν ἁμαρτημάτων ἀφέσει, καὶ παῤῥησίᾳ τῇ πρὸς τὸν Θεὸν, καὶ βασιλείᾳ τῶν οὐρανῶν, καὶ τῇ τῶν ἀγαθῶν ἀπολαύσει, ἃ μήτε ὀφθαλμὸς εἶδε, μήτε οὖς ἤκουσε, μήτε ἐπὶ καρδίαν ἀνέβη ἀνθρώπου. Πῶς οὖν οὐκ ἄτοπον, τοὺς μὲν ἐμπόρους μηδενὸς φείδεσθαι τῶν ὄντων, καὶ ταῦτα οὐχ ἑτέρας τινὸς καινοτέρας, ἀλλ' ὁμοίας τῇ ἐνθήκῃ τῆς ἐμπορίας αὐτῶν μελλούσης ἔσεσθαι· ἡμᾶς δὲ διὰ φθαρτῶν καὶ ἐπικήρων οὐχὶ φθαρτὰ καὶ ἐπίκηρα, ἀλλ' ἄφθαρτα καὶ ἀθάνατα καρποῦσθαι μέλλοντας ἀγαθὰ, μηδὲ τὴν αὐτὴν ἐκείνοις φιλοτιμίαν περὶ τὰ ὄντα ἐπιδείκνυσθαι; Μὴ, ἀδελφοὶ, μὴ οὕτω κακῶς περὶ τῆς ἑαυτῶν βουλευώμεθα σωτηρίας· ἀλλὰ τὸ παράδειγμα τῶν παρθένων εἰδότες, καὶ τοὺς εἰς τὸ πῦρ ἀπαγομένους τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, ἐπειδὴ μὴ ἔθρεψαν, μηδὲ ἐπότισαν τὸν Χριστὸν, κατέχωμεν τοῦ Πνεύματος τὸ πῦρ διὰ φιλανθρωπίας δαψιλοῦς καὶ ἐπιτεταμένης ἐλεημοσύνης, ἵνα μὴ περὶ τὴν πίστιν ναυαγήσωμεν. Ἡ μὲν γὰρ πίστις τῆς τοῦ Πνεύματος δεῖται βοηθείας καὶ τῆς παραμονῆς, ἵνα ἄσειστος μένῃ· ἡ δὲ τοῦ Πνεύματος βοήθεια διὰ βίου καθαροῦ καὶ πολιτείας ἀρίστης ἡμῖν εἴωθεν παραμένειν. Ὥστε εἰ μέλλοιμεν ἐῤῥιζωμένην ἔχειν τὴν πίστιν, πολιτείας ἡμῖν δεῖ καθαρᾶς τῆς τὸ Πνεῦμα πειθούσης μένειν καὶ συνέχειν ἐκείνης τὴν δύναμιν. Οὐ γὰρ ἔστιν, οὐκ ἔστι βίον ἀκάθαρτον ἔχοντα, μὴ καὶ περὶ τὴν πίστιν σαλεύεσθαι.

ι'. Οἱ γοῦν περὶ εἱμαρμένης ληροῦντες, καὶ τῷ σωτηριώδει τῆς ἀναστάσεως διαπιστοῦντες λόγῳ, ἀπὸ συνειδότος πονηροῦ καὶ πράξεων διεφθαρμένων ἐπὶ τὸ βάραθρον τῆς ἀπιστίας ταύτης κατέπεσον. Καὶ καθάπερ οἱ πυρέττοντες βουλόμενοι τὸ πνῖγος ἀποτινάξασθαι, κατὰ ψυχρῶν ἑαυτοὺς πολλάκις ἔῤῥιψαν ὑδάτων, καὶ πρὸς βραχὺ παραμυθησάμενοι τὴν νόσον, χαλεπωτέραν ὕστερον ἀνῆψαν τὴν φλόγα· οὕτω δὴ καὶ οἱ πονηρῷ συνεχόμενοι συνειδότι, εἶτα παραμυθίαν ζητοῦντες εὑρεῖν καὶ μὴ βουλόμενοι μετανοίᾳ τὰ ἁμαρτήματα ἀπονίψασθαι, τὴν τῆς εἱμαρμένης ἐπεισήγαγον τυραννίδα, καὶ τὴν τῆς ἀναστάσεως ἀπιστίαν. Διὰ τοῦτο ἐνταῦθα ἑαυτοὺς διὰ τῶν ψυχρῶν λογισμῶν πρὸς βραχὺ παραμυθησάμενοι, μείζονα τῆς γεέννης ἀνάψουσιν ἑαυτοῖς τὴν φλόγα, ὅταν γενόμενοι ῥᾳθυμότεροι, εἶτα ἀπελθόντες ἐκεῖ θεάσωνται τῶν ἑαυτοῖς πεπλημμεληκότων ἕκαστον αὐτὸν διδόντα εὐθύνας. Καὶ ἵνα μάθητε ὅτι τοῦτό ἐστιν ἀληθὲς, καὶ πράξεις πονηραὶ τῇ τῆς πίστεως λυμαίνονται στερρότητι, ἄκουσον τί φησιν ὁ Παῦλος τῷ Τιμοθέῳ [269] γράφων· *Ἵνα στρατεύσῃ*, φησὶ, *τὴν καλὴν στρατείαν, ἔχων πίστιν καὶ ἀγαθὴν συνείδησιν* (ἡ δὲ ἀγαθὴ συνείδησις ἀπὸ βίου καὶ πράξεων ὀρθῶν γένοιτ' ἄν)· *ἣν τινες ἀπωσάμενοι, περὶ τὴν πίστιν*, φησὶν, *ἐναυάγησαν.* Καὶ πάλιν ἀλλαχοῦ· *Ῥίζα πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία, ἧς τινες ὀρεγόμενοι ἀπεπλανήθησαν τῆς πίστεως.* Εἶδες ὅτι κἀκεῖνοι ἐναυάγησαν διὰ τοῦτο, καὶ οὗτοι διὰ τοῦτο ἀπεπλανήθησαν, ἐπειδὴ οἱ μὲν τὴν ἀγαθὴν συνείδησιν ἀπώσαντο, οὗτοι δὲ τῆς φιλαργυρίας ἐπελάβοντο; Ἅπερ ἅπαντα λογισάμενοι [b] μετ' ἀκριβείας, ἐπιμελώμεθα πολιτείας ἀρίστης, ὥστε γενέσθαι διπλοῦν ἡμῖν τὸν μισθὸν, ἕνα μὲν, τὸν ἐκ τῆς τῶν ἔργων ἀμοιβῆς ἡτοιμασμένον, ἕτερον δὲ, τὸν ἐκ τῆς κατὰ πίστιν στερρότητος. Ὅπερ γάρ ἐστιν ἡ τροφὴ τῷ σώματι, τοῦτο ἡ πολιτεία τῇ πίστει· καὶ καθάπερ ἡ τῆς σαρκὸς φύσις τῆς ἡμετέρας οὐκ ἂν διακρα-

[a] Duo mss ἐνθυμήθητι.

[b] Duo mss. λογιζόμενοι.

τηθείη χωρὶς τροφῆς, οὕτως οὐδὲ ἡ πίστις χωρὶς ἔργων ἀγαθῶν· *Χωρὶς γὰρ ἔργων ἡ πίστις νεκρά.* Ἓν ὑπολέλειπται λοιπὸν εἰπεῖν, τι ποτέ ἐστι, *Τὸ αὐτό*; Οὐ γὰρ εἶπεν ἁπλῶς, ἔχοντες τὸ Πνεῦμα τῆς πίστεως, ἀλλὰ τί; *Ἔχοντες τὸ αὐτὸ Πνεῦμα τῆς πίστεως.* Καὶ ἐβουλόμην μὲν ἐπεξελθεῖν καὶ τοῦτο τῷ λόγῳ· ἀλλ' ἐπειδὴ πολλοὺς ποταμοὺς ὁρῶ νοημάτων ἐκ τῆς ψιλῆς ταύτης ῥήσεως ἐξιόντας, δέδοικα μὴ τῷ πλήθει τῶν ῥηθήσεσθαι μελλόντων τὰ εἰρημένα ἐπικλύσας ἅπαντα, ἄχρηστον ὑμῖν ποιήσω τὴν διδασκαλίαν διὰ τῆς ἀμετρίας ὑμῖν λυμηνάμενος. Διόπερ ἐντεῦθα στήσας τὸν λόγον, παρακαλῶ καὶ δέομαι τά τε εἰρημένα μετ' ἀκριβείας φυλάττειν, ὅσα περὶ πολιτείας, καὶ πίστεως, καὶ παρθενίας, καὶ φιλανθρωπίας, καὶ ἐλεημοσύνης ἠκούσατε, καὶ ταῦτα κατέχοντας ἀσφαλῶς, πρὸς τὴν τῶν μελλόντων ἀκρόασιν ἀπαντῆσαι. Οὕτω γὰρ ἡμῖν στερρὰ καὶ ἄσειστος ἔσται ἡ τῶν εἰρημένων οἰκοδομή, ὅταν, τῶν προτέρων καλῶς πεπηγότων ἐν ταῖς ὑμετέραις διανοίαις, τὰ δεύτερα ἐπεμβάλωμεν. Ὁ δὲ Θεὸς ὁ καὶ ἡμῖν ταῦτα εἰπεῖν δοὺς, καὶ ὑμῖν μετὰ προθυμίας ἀκοῦσαι, καταξιώσειε καὶ τὸν διὰ τῶν ἔργων ἐπιδείξασθαι καρπὸν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.

Εἰς τὴν ἀποστολικὴν ῥῆσιν τὴν λέγουσαν, « Ἔχοντες δὲ τὸ αὐτὸ Πνεῦμα τῆς πίστεως, κατὰ τὸ γεγραμμένον » [a] καὶ πρὸς Μανιχαίους, καὶ πάντας τοὺς διαβάλλοντας τὴν Παλαιὰν καὶ διαιροῦντας αὐτὴν ἀπὸ τῆς Καινῆς, καὶ περὶ ἐλεημοσύνης.

α'. Ἀποστολικῆς ὑμῖν ἐξηγήσεως χρέος ὀφείλω παλαιόν· ἀλλὰ τοῦτο τὸ χρέος ὑμεῖς μὲν ἴσως ἐπιλέλησθε διὰ τὸν χρόνον, ἐγὼ δὲ οὐκ ἐπιλέλησμαι διὰ τὸν περὶ ὑμᾶς πόθον. Τοιοῦτον γὰρ ἡ ἀγάπη· ἄγρυπνόν τι χρῆμα, καὶ μεμεριμνημένον ἐστί· καὶ οὐχὶ τοὺς φιλουμένους μόνον ἐπὶ τῆς διανοίας περιφέρουσιν οἱ φιλοῦντες, ἀλλὰ καὶ ὅσα ἂν αὐτοῖς ὑπόσχωνται [270] δώσειν, τῶν μελλόντων ἀπολαμβάνειν ἀκριβέστερον τὴν μνήμην ἔχουσιν. Οὕτω καὶ μήτηρ φιλόστοργος τοῖς παισὶ τοῖς ἑαυτῆς λείψανα τραπέζης διατηρήσασα, κἂν ἐκεῖνοι τύχωσιν ἐπιλαθόμενοι, αὕτη γε οὐκ ἐπιλήσεται, ἀλλὰ μετὰ σπουδῆς αὐτὰ διαφυλάξασα πάσης, εἰς μέσον φέρει καὶ διατρέφει πεινῶντας. Εἰ δὲ μητέρες οὕτω περὶ τὰ ἔκγονα φιλόστοργοι, πολλῷ μᾶλλον ἡμᾶς περὶ τὴν ὑμετέραν ἀγάπην πλείονα σπουδὴν καὶ ἐπιμέλειαν ἐπιδείκνυσθαι χρή, ὅσῳ τῶν τῆς φύσεως ὠδίνων αἱ τοῦ πνεύματός εἰσι δυνατώτεραι. Τίς οὖν ἡ τράπεζα ἦν, ἧς τὰ λείψανα διετηρήσαμεν ὑμῖν; Ῥῆσις ἦν ἀποστολική, πολλὴν ἡμῖν τότε παρασχοῦσα τροφὴν πνευματικήν, ἧς μέρος μὲν ἐνεθήκαμεν ὑμῶν τῇ διανοίᾳ, μέρος δὲ εἰς τὴν παροῦσαν ἡμέραν ἀνεβαλλόμεθα, ὥστε μὴ τῷ πλήθει τῶν λεγομένων καταχῶσαι τῆς μνήμης τῆς ὑμετέρας τὴν δύναμιν. Τίς οὖν ἐστιν ἡ ῥῆσις; *Ἔχοντες δὲ τὸ αὐτὸ Πνεῦμα τῆς πίστεως, κατὰ τὸ γεγραμμένον· Ἐπίστευσα, διὸ ἐλάλησα·* καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν. Περὶ ποίας μὲν οὖν πίστεως εἴρηται, πότερον τῆς τῶν σημείων ποιητικῆς, περὶ ἧς ὁ Χριστὸς φησιν· *Ἐὰν ἔχετε πίστιν, ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ, Μετάβηθι, καὶ μεταβήσεται·* ἢ τῆς τὴν γνῶσιν ἐμποιούσης ἡμῖν, καθ' ἣν πάντες ἐσμὲν πιστοί· καὶ τίνος ἕνεκα Πνεῦμα πίστεως εἴρηται, καὶ τί ποτέ ἐστιν ἡ πίστις αὕτη, καὶ πάντα δὴ ταῦτα κατὰ δύναμιν τότε πρὸς τὴν ὑμετέραν διελέχθημεν ἀγάπην, ὅτε καὶ τοὺς περὶ ἐλεημοσύνης ἐκινήσαμεν λόγους. Ἐπειδὴ δὲ ἐλείπετο εἰπεῖν καὶ τίνος ἕνεκεν εἴρηται, *Πνεῦμα πίστεως τὸ αὐτό*, καὶ τὸ πλῆθος τῶν τότε λεχθέντων οὐκ ἐπέτρεπε καὶ ταύτῃ μετ' ἀκριβείας ἐπεξελθεῖν τῇ ῥήσει· τούτου χάριν εἰς τὴν παροῦσαν ἡμέραν αὐτὴν ἐταμιευσάμεθα, καὶ νῦν τοῦτο ἀνέστημεν ἀποδιδόντες ὑμῖν τὸ χρέος. Τίνος οὖν ἕνεκεν εἴρηκε, Τὸ αὐτό;

Πολλὴν συγγένειαν τῆς Καινῆς Διαθήκης πρὸς τὴν Παλαιὰν ἐπιδεῖξαι βούλεται· διὰ τοῦτο καὶ προφητικῆς ἡμᾶς ἀνέμνησε ῥήσεως, εἰπών, *Ἔχοντες δὲ τὸ αὐτὸ Πνεῦμα*, καὶ ἐπαγαγών, *Κατὰ τὸ γεγραμμένον· Ἐπίστευσα, διὸ ἐλάλησα.* Τοῦτο δὲ ἄνωθεν καὶ πρὸ πολλῶν χρόνων ὁ Δαυὶδ ἦν εἰρηκώς, ὅπερ ὁ Παῦλος παρῆγαγε νῦν, δηλῶν ὅτι τοῦ Πνεύματος ἡ χάρις ἡ αὐτὴ καὶ ἐν ἐκείνῳ τότε, καὶ νῦν ἐν ἡμῖν τὴν τῆς πίστεως ἐῤῥίζωσε δύναμιν· ὡσεὶ ἔλεγε, Τὸ αὐτὸ Πνεῦμα τῆς πίστεως, τὸ καὶ ἐν ἐκείνῳ λαλῆσαν, καὶ ἐν ἡμῖν ἐνήργησε.

β'. Ποῦ νῦν εἰσιν οἱ τὴν Παλαιὰν διαβάλλοντες, οἱ τὸ σῶμα τῆς Γραφῆς διασπῶντες, οἱ τῇ Καινῇ μὲν ἄλλον, ἕτερον δὲ τῇ Παλαιᾷ Θεὸν ἀπονέμοντες; Ἀκουέτωσαν Παύλου τὰ στόματα τὰ ἄθεα ἐμφράττοντος, καὶ ἐπιστομίζοντος [b] τὴν θεομάχον γλῶτταν, καὶ διὰ τῆς ῥήσεως ταύτης δεικνύοντος, ὅτι τὸ αὐτὸ Πνεῦμα καὶ ἐν τῇ Παλαιᾷ, καὶ ἐν τῇ Καινῇ. Καὶ γὰρ αὐτὰ τὰ ὀνόματα πολλὴν ἡμῖν τῶν Διαθηκῶν δείκνυσι τὴν συμφωνίαν. Ἡ γὰρ Καινὴ διὰ τὴν Παλαιὰν εἴρηται, καὶ ἡ Παλαιὰ διὰ τὴν Καινήν· καθάπερ οὖν καὶ ὁ Παῦλός φησιν, *Ἐν τῷ λέγειν Καινὴν πεπαλαίωκε τὴν πρώτην.* Εἰ δὲ μὴ τοῦ αὐτοῦ εἶεν Δεσπότου, οὔτε αὕτη Καινὴ, οὔτ' ἐκείνη Παλαιὰ δύναιτ' ἂν λέγεσθαι. Ὥστε αὕτη ἡ ἐν τοῖς ὀνόμασι διαφορὰ τὴν συγγένειαν ἑκατέρας ἐκδείκνυται, [271] καὶ ἡ διαφορὰ δὲ αὕτη οὐ κατὰ τὴν οὐσίαν, ἀλλὰ κατὰ τὴν τῶν χρόνων ἐναλλαγήν ἐστι· καὶ γὰρ τὸ καινὸν τῷ παλαιῷ κατὰ τοῦτο ἀντιδιαστέλλεται μόνον· ἡ δὲ τῶν χρόνων ἐναλλαγὴ οὐδὲ διαφορὰν δεσποτείας οὐδὲ μείωσιν εἰσάγει. Καὶ τοῦτο πάλιν ὁ Χριστὸς ἐνέφηνεν, εἰπών· *Διὰ τοῦτο λέγω ὑμῖν, Πᾶς γραμματεὺς μαθητευθεὶς ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά.* Ὁρᾷς διάφορα μὲν τὰ κτήματα, μίαν δὲ τὴν δεσποτείαν; Ὥσπερ οὖν ἐκεῖνος δύναται ἐκβάλλειν καινὰ καὶ παλαιὰ εἷς ὢν οἰκοδεσπότης, οὕτω δὴ καὶ ἐνταῦθα δυνατὸν ἑνὸς εἶναι Θεοῦ τὴν Καινὴν καὶ τὴν Παλαιάν· αὐτὸ γὰρ τοῦτο μάλιστα δείκνυσιν αὐτοῦ τὸν πλοῦτον καὶ τὴν περιουσίαν, τὸ μὴ μόνον καινὰ κεκτῆσθαι, ἀλλὰ καὶ ἐν τοῖς παλαιοῖς τὴν περιουσίαν ἐνδείκνυσθαι.

Ὥστε διαφορὰ μόνον ἐστὶν ὀνομάτων ἐν ταῖς Διαθή-

[a] Duo mss. τοῦ αὐτοῦ. Τῇ προτέρᾳ διαλεχθεὶς εἰς τὴν ἀποστ.... γεγραμμένον, πάλιν εἰς τὴν αὐτὴν εἶπε.

[b] Alii ἄθεα ἐνδιαβάλλοντος, ἐμφράττοντος, ἐπ.στομίζοντος,

vita ad fidem ; et sicut carnis nostræ natura sine alimento durare non potest, ita neque fides sine bonis operibus : *Fides* enim *sine operibus mortua est* (*Jac.* 2. 20). Unum superest dicendum : quid est, *Eumdem?* Non enim simpliciter dixit, Habentes Spiritum fidei : sed quid ? *Habentes eumdem Spiritum fidei*. Et volebam quidem enarrare hoc quoque : sed quoniam video multa sententiarum flumina ex nuda hac vocula prorumpentia, vereor ne multitudine eorum, quæ dicenda essent, inundem omnia, atque ita hæc doctrina nimia prolixitate detrimenti aliquid accipiat. Quapropter hic finem faciens loquendi, oro et obtestor, ut et quæ audivistis, de honeste videndo, de fide, de virginitate, de benignitate, de eleemosyna, diligenter observetis : et hæc bene in memoria retinentes, ad ea quæ supersunt audienda præsto sitis. Sic enim nobis solidum erit ac inconcussum doctrinæ nostræ ædificium, si prioribus in mente vestra bene fundatis, ea quæ sequuntur superstruxerimus. Deus autem qui nobis dedit hæc dicere, et vobis cum alacritate audire, dignos nos faciat, ut et per opera fructum aliquem proferamus, gratia et benignitate Domini nostri Jesu Christi, quoniam ipsi gloria in sæcula sæculorum. Amen.

DE EISDEM VERBIS APOSTOLI, HABENTES AUTEM EUMDEM SPIRITUM FIDEI, SICUT SCRIPTUM EST (2. *Cor.* 4. 13) : ET ADVERSUS MANICHÆOS, ET OMNES QUI VETUS TESTAMENTUM CALUMNIANTUR, ET A NOVO SEPARARE CONANTUR, ET DE ELEEMOSYNA (*a*).

1. *Veri amatores promissorum memores.* — Apostolici vobis sermonis expositionem debeo jam diu : sed hoc debitum vos fortassis estis obliti ob temporis longitudinem, ego vero nor sum oblitus ob meum erga vos affectum. Sic se habet caritas : vigilans est ac sollicita ; nec adamatos solum in animo circumferunt ii qui amant, sed quæ promiserunt magis meminerunt quam ipsi, qui promissa sunt recepturi. Eodem modo mater amantissima postquam mensæ reliquias pueris suis reposuit, etiamsi illi forte obliviscantur, ipsa tamen meminit, easque diligenter asservatas depromit, et famelicos eis pascit. Quod si matres erga liberos tam indulgentes sunt, tanto majori cura et studio vestra caritas nobis est prosequenda, quanto major vis est spiritualis partus quam naturalis. Quænam igitur fuit illa mensa, cujus reliquias vobis servavimus ? Verba erant apostoli, ex quibus tunc non parum nutrimenti spiritualis percepimus, cujus partem vestris mentibus indidimus, partem in hodiernum distulimus, ne multitudine sermonum memoriam vestram obrueremus. Quænam igitur sunt illa verba ? *Habentes autem eumdem Spiritum fidei, sicut scriptum est : Credidi, propter quod loquutus sum : etiam nos credimus, quapropter et loquimur* (2. *Cor.* 4. 13). De qua igitur fide sit sermo, utrum de ea per quam patrantur prodigia, de qua Christus dicit, *Si habueritis fidem sicut granum sinapi, dicetis monti huic, Migra et migravit* (*Matth.* 17. 19) : an de ea, quæ cognitionem in nobis gignit, secundum quam omnes sumus fideles : tum qua de causa Spiritus fidei sit dictus, et quænam sit hæc fides : hæc omnia pro viribus apud vestram dissertimus caritatem, atque interim etiam de eleemosyna verba fecimus. Cum vero superesset disquiendum, cur dictum sit, *Eumdem Spiritum fidei*, et præ multitudine eorum quæ jam dixeram, non liceret etiam hæc verba diligenter enarrare : ideo in præsentem diem ea reposuimus, et nunc illud debitum vobis redditurі venimus. Cur igitur dixit, *Eumdem ?* Magnam cognationem Novi Testamenti et Veteris vult ostendere : ideo prophetæ etiam verba nobis commemorat dicens : *Habentes autem eumdem Spiritum* ; et adjiciens : *Sicut scriptum est : Credidi propter quod loquutus sum* (*Psal.* 115. 10). Hoc autem jamdudum et ante multas ætates David dixerat, quod nunc Paulus adduxit, indicans eamdem Spiritus gratiam, et tunc in illo, et nunc in nobis, fidei radices posuisse : ac si diceret, Idem est fidei Spiritus, qui in illo loquutus est, et in nobis operatus.

2. *Contra Manichæos.* — Ubi nunc sunt qui Vetus Testamentum criminantur, qui corpus Scripturæ dilacerant, qui alium Novo, alium Veteri Testamento Deum attribuunt? Audiant Paulum impia ora obturantem, impugnatrices Dei linguas cohibentem, et hoc dicto ostendentem eumdem esse Spiritum tam Novi quam Veteris Testamenti. Nam et ipsa nomina magnam nobis Testamentorum consonantiam significant. Novum enim ad differentiam Veteris dicitur, et Vetus ad differentiam Novi, sicut et Paulus inquit : *Dicendo Novum, antiquavit illud prius* (*Hebr.* 8. 13). Nisi vero ejusdem essent Domini, neque hoc Novum, neque illud Vetus appellari posset. Itaque hoc ipsum nominum discrimen cognationem utriusque indicat : et differentia hæc non est in eorum essentia, sed in mutatione temporum : solo enim tempore novum a veteri distat. Cæterum temporum differentia nullam dominii mutationem affert, neque diminutionem : id quod et Christus indicavit dicens : *Propterea dico vobis : omnis scriba doctus in regno cælorum similis est homini patrifamilias, qui profert de thesauro suo nova et vetera* (*Matth.* 13. 52). Vides diversas quidem possessiones, idem vero dominium? Quemadmodum igitur ille potest depromere nova et vetera, cum sit unus et idem paterfamilias : ita hic quoque nihil vetat ejusdem esse Dei tum Novum, tum Vetus Testamentum : hoc ipsum enim maxime indicat ejus divitias et abundantiam, quod non solum nova possideat, verum etiam in veteribus abundantiam præ se ferat.

Non contraria sunt duo Testamenta ; Novum Vetere

(*a*) Duo Mss. : *Ejusdem ; pridie sermocinatus de his apostoli verbis, « Habentes autem eumdem..... scriptum est, » iterum de iisdem verbis orationem aggreditur.*

perfectius. — Itaque nomine tantum inter se differunt Testamenta, at non pugnant, neque sunt contraria. Vetus enim ex novo fit vetus; hoc autem non pugnæ est neque contrarietatis, sed differentiæ nominis tantummodo. Ego autem addo, quod etiamsi contrariæ essent leges Veteris legibus Novi, asseverarem ne sic quidem alium Deum fuisse superinducendum. Si enim eodem tempore, eisdem hominibus, in eisdem rebus versantibus, eadem munia obeuntibus, contrarias leges statuisset, rationem fortassis aliquam habere potuisset commentum ipsorum : quod si aliis illæ, aliis hæ scriptæ sunt, alio tempore illis, alio his, aliter se habentibus illis hominibus, aliter his, quid necesse est propter legum differentiam duos contrarios legislatores inducere? Equidem nullam necessitatem video : ipsi proferant, si habent quod dicant : sed nihil habere possunt. Namque et medicus sæpenumero multa contraria facit, sed non contraria ratione, imo eadem et conveniente. Etenim urit et non urit, secat et non secat unum et idem corpus : nunc amara, nunc dulcia pharmaca ad bibendum offert : et facit quidem contraria, sed ratione simili atque eadem : unum enim finem spectat, nimirum ægri sanitatem. Annon igitur absurdum est medicum quidem non incusare, quod multa contraria faciat circa unius corporis naturam, Deum autem criminari quod diverso tempore, diversis hominibus, diversa mandata dederit?

3. Demonstratum est igitur non fuisse incusandum, etiamsi leges inter se fuissent contrariæ : ut autem sciamus non esse contrarias, sed diversas tantum, age ipsas leges in medium producamus. *Audistis*, inquit, *quod dictum sit antiquis, Non occides.* Hæc lex est vetus; videamus nunc novam : *Ego autem dico vobis, quicumque irascitur fratri suo temere, reus est gehennæ ignis* (*Matth.* 5. 21. 22). Hæccine sunt, obsecro, contraria mandata? Et quis hoc diceret mortalium, modo rationis compos? Si enim priore lege vetante occidere, posterior juberet, fortasse aliquis in his verbis legum pugnam esse diceret: nunc cum illa jubente non occidere, hæc jubet ne irasci quidem, augetur prius mandatum, non affertur contrarium : illa enim fructum malitiæ resecat, videlicet cædem : hæc vero etiam radicem ipsam evellit, nimirum iracundiam : illa rivum tollit vitii, hæc fontem ipsum exsiccat. Fons enim et radix cædis est furor et iracundia. Illa lex naturam nostram posteriori paratiorem reddidit, hæc superveniens quod desiderabatur supplevit. Quænam hæc est contrarietas, dum una finem malorum, altera vero etiam principium exstirpat? Illa manum puram facit a sanguine, hæc mentem etiam servat a mala cogitatione. Hæc autem consentientium sunt legum, non pugnantium, sicut veritatis inimici adstruere conantur, non animadvertentes, quod sic magno incuriæ et segnitiei crimini Deum Novi Testamenti objiciunt : eos pericter enim Deus (quæ quidem blasphemia in caput illorum vertat, qui nobis hæc loquendi necessitatem imponat) intempestive res nostras dispensavisse. Quæ autem dico, sic vobis clariora faciam. Lactis alimento similis est Veteris Testamenti educatio, solido vero cibo Novi Testamenti philosophia : ac nemo ante lactis alimoniam solidum cibum adhibet. Quod quidem Novi Testamenti Deus fecit, si non idem est qui etiam Vetus prodidit : prius enim quam lacte nutriret, hoc est legis disciplina, ad solidum nos cibum adduxit. Non hujus autem solum, sed majoris etiam criminis eum reum faciunt, quandoquidem post quinquies mille demum annos, aut plures, providentiam nostri generis suscepit. Si enim non idem erat, qui per prophetas et patriarchas et justos homines res nostras dispensabat, sed alter quispiam præter hunc, sero admodum et tarde videbitur nostri providentiam aggressus, quasi per anteactorum pœnitentiam ad se reversus : quod quidem tantum abest a Deo, ut nec in unum quemvis vulgo hominem competat, tanto tempore tam multis perire permissis, in extremis demum sæculis ad paucorum quorumdam providentiam ac curam accedere.

4. *Unus est utriusque Testamenti legislator. Pauli Samosatensis error.* — Videsne quantis blasphemiis Deum faciant obnoxium isti, qui alium Novi Testamenti legislatorem dicunt, alium Veteris? Quæ sane omnes evanescunt, si unum utriusque Testamenti assentiamur esse Deum. Sic enim apparebit, eum ordine et bona ratione res nostras dispensare, tunc quidem per legem, nunc autem per gratiam : et non recens, neque nuper, sed jam inde ab initio et a prima usque die nostra omnia gubernare. Quo autem magis eorum ora obstruamus, age jam testimonia tum prophetarum, tum apostolorum adducamus, clamantium, unum esse utriusque Testamenti legislatorem. Procedat igitur in medium Jeremias in utero sanctificatus, et probet hoc manifeste, unum esse eumdemque Deum tum Novi Testamenti, tum Veteris. Quid igitur hic dicit ex persona legislatoris clamans? *Testabor vobis testamentum novum, non sicut testamentum quod testatus sum patribus vestris* (*Jerem.* 31. 31). Itaque qui Novum Testamentum dedit, idem est Deus, qui olim Vetus etiam illud dederat. Hic sane Pauli quoque Samosatensis sectatoribus ora sunt occlusa, qui negant ante sæcula fuisse Unigenitum Dei. Si enim ante Mariæ partum, et antequam in carne se videndum præberet, non erat, quomodo legem ferebat cum non esset? quomodo autem dicebat: *Testabor vobis testamentum novum, non sicut testamentum quod testatus sum patribus vestris?* quomodo enim testamentum dabat patribus eorum, cum nondum esset, ut illi quidem affirmant? Sed contra Judæos quidem, eodemque morbo laborantes Paulianos, idoneum est quod opponatur prophetæ hujus testimonium : ut autem etiam Manichæorum ora cohibeamus, ex Novo Testamento adducamus testimonium, quandoquidem Vetus nihili pendunt : imo vero etiam Novum, cui quamvis honorem habere videri velint, non minorem tamen huic quam illi alteri injuriam inferunt : imo quidem modo, quod dum illud a Veteri excindunt, hujus quoque auctoritatem labefactant.

καις, οὐ μαχη, οὐδὲ ἐναντίωσις. Τὸ γὰρ παλαιὸν ἐκ τοῦ καινοῦ γίνεται παλαιόν· τοῦτο δὲ οὐ μάχης, οὐδὲ ἐναντιώσεως, ἀλλὰ διαφορᾶς ὀνόματος μόνης. Ἐγὼ δὲ τοσαύτην ὑπερβολὴν ποιοῦμαι, ὅτι, εἰ καὶ ἐναντίοι ἦσαν οἱ νόμοι τῆς Παλαιᾶς τοῖς τῆς Καινῆς, σφόδρα ἂν διισχυρισάμην, ὡς οὐδὲ οὕτως ἕτερον ἐπεισάγειν Θεὸν ἐχρῆν. Εἰ μὲν γὰρ κατὰ τὸν αὐτὸν καιρὸν, τοῖς αὐτοῖς ἀνθρώποις, περὶ τὰ αὐτὰ διατρίβουσιν, ἐν τοῖς αὐτοῖς οὖσι πράγμασιν, ἐναντίους ἐπέταττε νόμους, εἶχεν ἄν τινα αὐτοῖς λόγον ἴσως τὸ σόφισμα· εἰ δὲ ἑτέροις μὲν ἐκεῖνοι, ἑτέροις δὲ ἐγράφησαν οὗτοι, καὶ ἐν ἑτέρῳ μὲν ἐκείνοις καιρῷ, ἐν ἑτέρῳ δὲ τούτοις, ἄλλους ἐκείνοις διακειμένοις, καὶ ἑτέρως τούτοις, ποία [a] ἀνάγκη διὰ τὴν τῶν νόμων διαφορὰν ἐναντίους εἰσάγειν νομοθέτας δύο; Ἐγὼ μὲν οὐδεμίαν ὁρῶ, εἰ δὲ αὐτοὶ λέγειν ἔχουσι, εἰπάτωσαν· ἀλλ' οὐκ ἂν ἔχοιεν. Καὶ γὰρ καὶ ἰατρὸς ἐναντία πολλὰ ποιεῖ πολλάκις· ἀλλ' οὐκ ἀπὸ ἐναντίας τῆς γνώμης, ἀλλ' ἀπὸ μιᾶς καὶ συμφώνου. Καὶ γὰρ καίει καὶ οὐ καίει, τέμνει καὶ οὐ τέμνει τὸ αὐτὸ σῶμα πολλάκις· καὶ νῦν μὲν πικρὰ, νῦν δὲ γλυκέα δίδωσι πίνειν φάρμακα· καὶ τὰ μὲν γινόμενα ἐναντία, ἡ γνώμη δὲ, ἀφ' ἧς ταῦτα γίνεται, σύμφωνος καὶ μία· πρὸς γὰρ ἓν τέλος βλέπει, τὴν τοῦ κάμνοντος ὑγίειαν. Πῶς οὖν οὐκ ἄτοπον ἰατρῷ μὲν μὴ ἐγκαλεῖν ἐναντία ποιοῦντι πολλὰ καὶ περὶ σώματος ἑνὸς φύσιν, τῷ Θεῷ δὲ μέμψιν ἐπάγειν, εἰ κατὰ διαφόρους καιροὺς διαφόροις ἀνθρώποις διάφορα ἔδωκε τὰ προστάγματα;

γ'. Ὅτι μὲν οὖν, εἰ καὶ ἐναντίοι ἦσαν οἱ νόμοι, οὐδὲ οὕτως ἐγκαλεῖν ἔδει, δῆλον ἐκ τούτων· ὅτι δὲ οὐδέ εἰσιν ἐναντίοι, ἀλλὰ διάφοροι μόνον, φέρε, τοὺς νόμους εἰς μέσον προχειρισώμεθα. *Ἠκούσατε*, φησὶν, *ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, Οὐ φονεύσεις.* Οὗτος παλαιὸς ὁ νόμος· ἴδωμεν τὸν τῆς Καινῆς· *Ἐγὼ δὲ λέγω ὑμῖν, Ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ἔνοχός ἐστιν εἰς τὴν γέενναν τοῦ πυρός.* Ταῦτα ἐναντία, εἰπέ μοι, τὰ προστάγματα; Καὶ τίς ἀνθρώπων, κἂν ὁπωσοῦν διανοίας μετέχων, τοῦτο ἂν εἴποι; Εἰ μὲν γὰρ τοῦ πρωτέρου κελεύσαντος μὴ φονεύειν, οὗτος ἐκέλευσεν, ἴσως ἄν τις ἀντινομίαν ἔφησεν εἶναι τὸ [272] λεγόμενον· εἰ δὲ ἐκείνου κελεύοντος μὴ φονεύειν, οὗτος ἐκέλευσε μηδὲ ὀργίζεσθαι, ἐπίτασις, οὐκ ἐναντίωσις ὁ πρότερος τοῦ δευτέρου [b] νόμος ἐστίν· ὁ μὲν γὰρ τὸν καρπὸν τῆς κακίας ἐξέτεμε, τὸν φόνον, οὗτος δὲ καὶ τὴν ῥίζαν ἀνέσπασε, τὴν ὀργήν· ἐκεῖνος τὸ ῥεῦμα τῆς πονηρίας ἐξέκοψεν, οὗτος καὶ τὴν πηγὴν αὐτὴν ἐξήρανε. Πηγὴ γὰρ καὶ ῥίζα τοῦ φόνου θυμὸς καὶ ὀργή. Ἐκεῖνος τοῦτο [c] προπαρεσκεύασεν ὁ νόμος τὴν φύσιν τὴν ἡμετέραν, οὗτος ἐλθὼν τὸ λεῖπον ἐπλήρωσε. Ποία ἐναντιότης, ὅταν ὁ μὲν τὸ τέλος τῶν κακῶν, ὁ δὲ καὶ τὴν ἀρχὴν ἐκκόπτῃ; Ἐκεῖνος τὴν χεῖρα καθαρὰν ἐποίησεν αἵματος, οὗτος καὶ τὴν διάνοιαν αὐτὴν ἀπήλλαξε τῶν πονηρῶν βουλευμάτων. Ταῦτα δὲ συμφωνούντων ἀλλήλοις νόμων, οὐχὶ μαχομένων ἐστίν· ὅπερ ἄνω καὶ κάτω σπουδάζουσι κατασκευάζειν οἱ τῆς ἀληθείας ἐχθροὶ, μὴ συνορῶντες, ὅτι ἐκ τούτου μεγάλη ῥᾳθυμία; καὶ ὑπεροψίας αἰτίᾳ τὸν τῆς Καινῆς Θεὸν ὑποβάλλουσιν· εὑρεθήσεται γὰρ (ἡ δὲ βλασφημία εἰς τὴν τῶν ταῦτα ἀναγκαζόντων ἡμᾶς λέγειν περιτραπείη κεφαλὴν) ἀκαίρως τὰ καθ' ἡμᾶς οἰκονομήσας· τὸ δὲ πῶς, ἐγὼ λέγω. Γαλακτοτροφίᾳ προσέοικεν ἡ τῆς Παλαιᾶς Διαθήκης παιδαγωγία, στερεᾷ δὲ τροφῇ τῆς Καινῆς Διαθήκης ἡ φιλοσοφία· οὐδεὶς δὲ πρὶν ἢ θρέψαι γάλακτι, πρὸς τὴν στερεὰν ἄγει τροφήν. Ὅπερ ἔσται πεποιηκὼς ὁ τῆς Καινῆς Θεὸς ἄνπερ μὴ αὐτὸς ᾖ ὁ τὴν Παλαιὰν δεδωκώς· πρὸ γὰρ τοῦ θρέψαι γάλακτι καὶ τῇ διὰ τοῦ νόμου παιδαγωγίᾳ, ἐπὶ τὴν στερεὰν ἡμᾶς ἤγαγε τροφήν. Οὐ τούτῳ δὲ μόνον, ἀλλὰ καὶ ἑτέρῳ μείζονι τούτου πάλιν αὐτὸν ὑποβάλλουσιν ἐγκλήματι, εἴ γε μετὰ πενταχισχίλια καὶ πλείονα ἔτη τοῦ γένους ἦκε προνοήσων τοῦ ἡμετέρου. Εἰ γὰρ μὴ αὐτὸς ἦν, ὁ διὰ τῶν προφητῶν καὶ τῶν πατριαρχῶν καὶ τῶν δικαίων ἀνθρώπων τὰ καθ' ἡμᾶς ἅπαντα οἰκονομῶν, ἀλλ' ἕτερός τις παρὰ τοῦτον ὀψέ ποτε καὶ βραδέως εὑρεθήσεται τῆς ἡμετέρας ἐπειλημμένος προνοίας, ὥσπερ ἔκ τινος μετανοίας ἀνενεγκών· ὅπερ οὐ Θεοῦ μόνον, ἀλλὰ καὶ ἀνθρώπου τοῦ τυχόντος ἀνάξιον ἂν εἴη, τοσούτους ἀφέντος ἀπολέσθαι ἐν τοσούτῳ χρόνῳ, ὀψέ ποτε ἐν ἐσχάτῳ τῶν καιρῶν τῆς τῶν ὀλίγων ἐπιλαβέσθαι προνοίας.

δ'. Ὁρᾷς, ὅσαις τὸν Θεὸν ὑποβάλλουσι βλασφημίαις ἐκεῖνοι, ἕτερον μὲν τῆς Καινῆς, ἕτερον δὲ τῆς Παλαιᾶς λέγοντες εἶναι νομοθέτην; Ἅπερ ἅπαντα λύεται, ἂν ἕνα ἑκατέρας τῆς Διαθήκης δῶμεν εἶναι Θεόν. Εὑρεθήσεται γὰρ κατὰ λόγον τὰ καθ' ἡμᾶς οἰκονομῶν, τότε μὲν διὰ τοῦ νόμου, νῦν δὲ διὰ τῆς χάριτος, καὶ οὐ προσφάτως, οὐδὲ νεωστὶ, ἀλλ' ἄνωθεν καὶ ἐκ πρώτης ἡμέρας τῆς ἡμετέρας ἐπειλημμένος προνοίας. Ἵνα δὲ μειζόνως αὐτῶν τὰ στόματα ἀποῤῥάψωμεν, φέρε, καὶ αὐτὰς τὰς ῥήσεις παραγάγωμεν, καὶ προφήτας, καὶ ἀποστόλους βοῶντας, ὅτι Καινῆς καὶ Παλαιᾶς εἷς ἐστιν ὁ νομοθέτης. Παρίτω τοίνυν εἰς μέσον ὁ ἐκ κοιλίας ἁγιασθεὶς Ἱερεμίας, καὶ αὐτὸ τοῦτο δεικνύτω σαφῶς ἕνα καὶ τὸν αὐτὸν [273] ἑκατέρας ὄντα τῆς Διαθήκης Θεόν. Τί οὖν οὗτός φησιν, ἐκ προσώπου τοῦ νομοθέτου κηρύττων; *Διαθήσομαι ὑμῖν διαθήκην καινὴν, οὐ κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν.* Ὥστε ὁ τὴν Καινὴν αὐτοῖς διαθέμενος, αὐτός ἐστιν ὁ καὶ τὴν Παλαιὰν δοὺς Θεός. Ἐνταῦθα καὶ τοὺς ἀπὸ Παύλου τοῦ Σαμοσατέως ἐπεστόμισεν ἱκανῶς, οἳ τὴν προαιώνιον ὕπαρξιν ἀναιροῦσι τοῦ Μονογενοῦς. Εἰ γὰρ πρὸ τοῦ τόκου τῆς Μαρίας οὐκ ἦν, οὐδὲ ὑπῆρχε πρὶν ἢ φανῆναι ἐν σαρκὶ, πῶς ἐνομοθέτει ὁ μὴ ὢν; πῶς δὲ ἔλεγε, *Διαθήσομαι ὑμῖν διαθήκην καινὴν, οὐ κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν;* πῶς διέθετο τοῖς πατράσιν αὐτῶν μὴ ὑπάρχων, μηδὲ ὢν, κατὰ τὸν ἐκείνων λόγον; Ἀλλὰ πρὸς Ἰουδαίους μὲν καὶ τοὺς τὰ Ἰουδαίων νοσοῦντας Παυλιανοὺς ἱκανὴ στῆναι ἡ τοῦ προφήτου μαρτυρία· ἵνα δὲ καὶ Μανιχαίους ἐπιστομίσωμεν, ἀπὸ τῆς Καινῆς τὴν μαρτυρίαν παραγάγωμεν, ἐπειδὴ τῆς Παλαιᾶς οὐδεὶς αὐτοῖς ἐστι λόγος, μᾶλλον δὲ οὐδὲ τῆς Καινῆς· ἀλλὰ καὶ ταύτην, ἣν δοκοῦσι τιμᾷν, οὐχ ἧττον ἐκείνης καθυβρίζουσιν· ἐνὶ μὲν τρόπῳ, τῷ τῆς Παλαιᾶς ἐκκόψαι, καὶ τὸ ἀξιόπιστον αὐτῆς λυμήνασθαι. Οὐ γὰρ μικρὰ τῶν ἐν αὐτῇ κειμένων τῆς ἀληθείας ἀπόδειξις, τῶν ἐν τῇ Παλαιᾷ

[a] Mss ποία ἀνάγκη. Vox ποία totum mutat sensum. Praestat autem Editorum lectioni, in quibus ποία deest.
[b] Savil. conj. ὁ δεύτερος τοῦ πρωτέρου.
[c] Fort. τοῦτῳ.

προφητειῶν ἡ προαναφώνησις ἦν, οὓς ἀποστραφέντες οὗτοι οὐκ αἰσθάνονται τῶν προφητῶν μᾶλλον τοὺς ἀποστόλους ἀτιμάσαντες. Ἑνὶ μὲν οὖν τρόπῳ τούτῳ τὴν Καινὴν καθυβρίζουσιν, ἑτέρῳ δὲ πάλιν δευτέρῳ, τῷ τὰ πλείονα αὐτῆς ἐκκόψαι. Πλὴν ἀλλὰ καὶ αὐτὴ τῶν ἐν τῇ αὐτῇ κειμένων ἡ δύναμις τοσαύτη [a], ὡς καὶ ἀπ' αὐτῶν τῶν λειψάνων εὐφώρατον αὐτῶν γενέσθαι ποιεῖ τὴν κακουργίαν· τὰ γὰρ ἀποκοπέντα μέλη κράζει καὶ βοᾷ, τὴν πρὸς τὰ οἰκεῖα μέλη συμφωνίαν ἐπιζητοῦντα.

ε'. Πῶς οὖν ἀποδείξομεν, ὅτι Καινῆς καὶ Παλαιᾶς εἷς ἐστιν ὁ νομοθέτης; Ἀπὸ τούτων [b] τῶν παρ' αὐτοῖς ὑπολελειμμένων ῥημάτων τῶν ἀποστολικῶν, ἃ δοκεῖ μὲν ἔχειν τοῦ νόμου κατηγορίαν, συνίστησι δὲ αὐτὸν μάλιστα, καὶ δεικνύει θεῖον ὄντα χρησμὸν καὶ ἄνωθεν ἥκοντα. Καὶ τοῦτο δὲ τῆς τοῦ Πνεύματος ἐγένετο σοφίας, ὥστε τῇ προχείρῳ ῥήσει δελεασθέντας τοὺς τοῦ νόμου κατηγοροῦντας ἄκοντας καὶ ἀγνοοῦντας δέξασθαι τὴν ὑπὲρ αὐτοῦ γεγραμμένην ἀπολογίαν· ἵνα, ἂν μὲν θελήσωσι πρὸς τὴν ἀλήθειαν ἰδεῖν, ἔχωσι τὴν ῥῆσιν τὴν χειραγωγοῦσαν αὐτούς· ἂν δὲ ἐπιμένωσι τῇ ἀπιστίᾳ, μηδεμιᾶς συγγνώμης λοιπὸν τύχωσι, καὶ αὐτοῖς, οἷς δοκοῦσι πιστεύειν, ἀπιστοῦντες κατὰ τῆς ἑαυτῶν σωτηρίας. Ποῦ τοίνυν ἡ Καινὴ ἑαυτῆς καὶ τῆς Παλαιᾶς ἕνα τὸν νομοθέτην εἶναί φησι; Πολλαχοῦ μὲν καὶ ἀλλαχοῦ· ἡμεῖς δὲ ἐκείνην τέως σπουδάζομεν τὴν περικοπὴν εἰς μέσον ἀγαγεῖν, τὴν καὶ παρὰ τοῖς Μανιχαίοις σωζομένην ἔτι καὶ νῦν. Τίς οὖν ἐστιν αὕτη; *Λέγετέ μοι, οἱ ὑπὸ νόμον θέλοντες εἶναι, φησὶ, τὸν νόμον οὐκ ἀκούετε, ὅτι Ἀβραὰμ δύο υἱοὺς ἔσχεν, ἕνα ἐκ τῆς παιδίσκης, καὶ ἕνα ἐκ τῆς* [274] *ἐλευθέρας;* Ἤκουσαν οἱ αἱρετικοὶ, ὅτι ἕνα ἐκ τῆς παιδίσκης, καὶ εὐθέως ἐπεπήδησαν· ἐνόμισαν γὰρ κατηγορίαν εἶναι τοῦ νόμου τὸ λεγόμενον· καὶ ἐκκόψαντες αὐτὴν τῆς λοιπῆς ἀκολουθίας, ὡς συνηγοροῦσαν αὐτοῖς κατέχουσι. Φέρε οὖν ἀπ' αὐτοῦ δείξωμεν ἕνα ὄντα τὸν νομοθέτην. *Ἀβραὰμ δύο υἱοὺς ἔσχεν, ἕνα ἐκ τῆς παιδίσκης, καὶ ἕνα ἐκ τῆς ἐλευθέρας· ταῦτα δέ ἐστι, φησὶν, ἀλληγορούμενα.* Τί δέ ἐστιν, *Ἀλληγορούμενα;* Τύποι τῶν ἐν τῇ χάριτι γενομένων ἦσαν τὰ ἐν τῇ Παλαιᾷ Διαθήκῃ γινόμενα. Ὥσπερ γὰρ ἐκεῖ δύο γυναῖκες, οὕτως ἐνταῦθα δύο Διαθῆκαι. Πρῶτον μὲν ἐν τούτῳ δείκνυσι τὴν συγγένειαν τῆς Καινῆς πρὸς τὴν Παλαιὰν, ὅταν ἐκεῖνα τούτων ᾖ τύπος. Ὁ γὰρ τύπος τῆς ἀληθείας οὐκ ἐναντίον, ἀλλὰ συγγενές. Εἰ δὲ ἐναντίος ἦν ὁ Θεὸς τῆς Παλαιᾶς τῷ Θεῷ τῆς Καινῆς, οὐκ ἔμελλε διὰ τῶν γυναικῶν προδιατυποῦν τῆς Καινῆς Διαθήκης τὴν ὑπεροχήν. Εἰ δὲ καὶ ἐκεῖνος προδιετύπωσε, τὸν Παῦλον ἐχρῆν μὴ ἀποχρήσασθαι τῷ τύπῳ. Εἰ δὲ λέγοιεν, ὅτι Ἰουδαϊκῇ συγκαταβαίνων ἀσθενείᾳ, τοῦτο ἐποίει, ἐχρῆν καὶ Ἕλλησι κηρύττοντα τύπους Ἑλληνικοὺς εἰσάγειν, καὶ ἱστορίας μεμνῆσθαι τῶν παρ' Ἕλλησι γεγενημένων πραγμάτων. Ἀλλὰ οὐκ ἐποίησε τοῦτο· καὶ μάλα εἰκότως. Ἐκεῖνα μὲν γὰρ οὐδὲν κοινὸν εἶχε πρὸς τὴν ἀλήθειαν, ταῦτα δὲ Θεοῦ χρησμοὶ καὶ νόμοι· διὸ καὶ πολλὴν συγγένειαν ἔχει τὰ παλαιὰ πρὸς τὴν Καινὴν Διαθήκην.

ς'. Πρῶτον μὲν οὖν τοῦτο δείκνυσιν, ὅτι πολλὴ ἡ συμφωνία τῆς Καινῆς πρὸς τὴν Παλαιάν· δεύτερον δὲ οὐκ ἔλαττον τούτου, καὶ αὐτῇ τῇ ἱστορίᾳ. Ὥσπερ γὰρ τότε δύο γυναῖκες ἦσαν ἑνὸς ἀνδρὸς, οὕτω καὶ νῦν δύο Διαθῆκαι ἑνὸς νομοθέτου· ἐπεὶ, ἂν ἄλλος ᾖ τῆς Καινῆς, καὶ ἄλλος τῆς Παλαιᾶς, περιττῶς τὴν ἱστορίαν εἰσήγαγεν. Οὐ γὰρ ἄλλος μὲν ἦν τῆς Σάῤῥας ἀνὴρ, ἄλλος δὲ τῆς Ἄγαρ, ἀλλ' εἷς καὶ ὁ αὐτός. Ὥστε, ὅταν λέγῃ, *Αὗται γάρ εἰσι δύο διαθῆκαι*, οὐδὲν ἕτερον λέγει, ἀλλ' ἢ, ὅτι ἕνα ἔχουσι νομοθέτην, καθάπερ ἐκεῖναι ἕνα ἄνδρα τὸν Ἀβραάμ. Ἀλλ' ἡ μὲν δούλη, φησὶν, ἡ δὲ ἐλευθέρα ἦν. Καὶ τί τοῦτο; τέως γὰρ ζητούμενον ἦν, εἰ εἷς ἑκατέρων νομοθέτης. Καταδεξάσθωσαν τοίνυν τοῦτο πρότερον, καὶ τότε πρὸς ἐκεῖνο αὐτοῖς ἀποκρινούμεθα. Ἂν γὰρ τοῦτο καταναγκάζῃς αὐτοὺς δέξασθαι, καὶ πεισθῶσιν, ἅπαν αὐτῶν τὸ δόγμα οἰχήσεται. Ὅταν γὰρ εὑρεθῇ τοῦ αὐτοῦ νομοθέτου καὶ ἡ Παλαιὰ οὖσα, καθάπερ οὖν καὶ ἔστι, πᾶσα λέλυται ἡμῖν ἡ πρὸς ἐκείνους ἀμφισβήτησις. Ἵνα δὲ μηδὲ τοῦτο ὑμᾶς θορυβῇ, πρόσχωμεν ἀκριβῶς τῇ ῥήσει. Οὐ γὰρ εἶπε, Μία μὲν δούλη, μία δὲ ἐλευθέρα· ἀλλὰ, *Μία μὲν εἰς δουλείαν γεννῶσα*· οὐ πάντως δὲ ἡ εἰς δουλείαν γεννήσασα, δούλη· καὶ αὐτὸ δὲ τὸ εἰς δουλείαν τεχθῆναι, οὐ τῆς τεκούσης ἔγκλημα, ἀλλὰ τῶν τεχθέντων παιδίων. Ἐπειδὴ γὰρ τῆς ἐλευθερίας διὰ τὴν κακίαν ἑαυτοὺς ἀπεστέρησαν, καὶ τῆς εὐγενείας ἐξέπεσον, ὡς δούλους αὐτοὺς ἀγνώμονας ἐπαίδευσεν ὁ Θεὸς φόβῳ διηνεκεῖ, κολάζων τιμωρίαις καὶ ἀπειλαῖς. Πολλοὶ γοῦν καὶ νῦν πατέρες [275] τοὺς ἑαυτῶν υἱοὺς, οὐχ ὡς υἱοὺς ἐνάγουσιν, ἀλλὰ μετὰ τοῦ πρέποντος οἰκέταις φόβου· καὶ τὸ ἔγκλημα οὐχὶ τῶν πατέρων ἐστὶν, ἀλλὰ τῶν τοὺς πατέρας παρασκευασάντων παίδων, ὡς δούλοις κεχρῆσθαι τοῖς ἐλευθέροις. Οὕτω καὶ ὁ Θεὸς τὸν λαὸν τότε ἐκεῖνον μετὰ τοσούτου φόβου καὶ τιμωρίας τοσαύτης ἐνῆγε, μεθ' ὅσης εἰκὸς ἦν οἰκέτην ἀγνώμονα· ἀλλ' οὐ κατηγορία τοῦ Θεοῦ τὸ γινόμενον, οὐδὲ ἔγκλημα τοῦ νόμου, ἀλλὰ τῶν ἀφηνιαζόντων Ἰουδαίων, σφοδροτέρου δεηθέντων χαλινοῦ. Ἐν αὐτῇ γοῦν τῇ Παλαιᾷ εὑρεθήσονται πολλοὶ οὐχ οὕτως ἀχθέντες, οἷον ὁ Ἄβελ, ὁ Νῶε, ὁ Ἀβραὰμ, ὁ Ἰσαὰκ, ὁ Ἰακὼβ, ὁ Ἰωσὴφ, ὁ Μωϋσῆς, ὁ Ἠλίας, ὁ Ἐλισσαῖος, οἱ ἄλλοι πάντες, ὅσοι τὴν ἐν τῇ Καινῇ φιλοσοφίαν ἐζήλωσαν. Οὐ γὰρ φόβῳ καὶ κολάσει, οὐδὲ ἀπειλῇ καὶ τιμωρίᾳ, ἀλλ' ἀγάπῃ θείᾳ καὶ φίλτρῳ ζέοντι τῷ περὶ Θεὸν ἐγένοντο τοιοῦτοι, οἷοι δὴ καὶ ἐγένοντο. Οὐ γὰρ ἐδεήθησαν προσταγμάτων, οὐδὲ ἐντολῶν καὶ νόμων, ὥστε ἀρετὴν ἑλέσθαι καὶ φεύγειν κακίαν, ἀλλ' ὥσπερ εὐγενεῖς παῖδες καὶ ἐλεύθεροι, τὴν οἰκείαν ἐπιγνόντες ἀξίαν, χωρὶς φόβου τινὸς καὶ κολάσεως ηὐτομόλησαν πρὸς τὴν ἀρετήν· οἱ δὲ λοιποὶ πάντες Ἰουδαῖοι, ἐπειδὴ πρὸς κακίαν ἀπέκλιναν, τοῦ κατὰ τὸν νόμον ἐδεήθησαν χαλινοῦ. Ὅτε γοῦν ἐποίησαν τὸν μόσχον, καὶ τὸ γλυπτὸν προσεκύνησαν, τότε ἤκουσαν· *Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστιν*· ὅτε ἐφόνευσαν, καὶ τὰς γυναῖκας τῶν πλησίον διέφθειραν, τότε ἤκουσαν,

[a] Τοσαύτη deest in mss.
[b] Mss. ἀπ' αὐτῶν.

Non parum enim veritatem ejus illustrant Veteris Testamenti prophetarum præconia, quos isti aversando non intelligunt majore apostolos quam prophetas contumelia se afficere. Unam, inquam, Novo Testamento injuriam faciunt istam; alio vero modo iterum, quod bonam ex eo partem resecant. Attamen tanta est eorum, quæ in illo continentur, vis, ut vel ex ipsis reliquiis facile maleficium istorum deprehendatur : resecta enim membra clamant, et pristinum cum suis membris consensum indesinenter requirunt.

5. *Probat unum esse legislatorem utriusque Testamenti ex apostolicis verbis, et ex eo quod Vetus Novum præfiguraverit.* — Quomodo igitur demonstrabimus Veteris et Novi Testamenti unum esse legislatorem? Ex ipsis apostolicis verbis, quæ apud ipsos etiam relicta sunt : quæ tametsi prima fronte videantur Vetus illud accusare, non mediocriter tamen id commendant, et divinis oraculis cælitus proditum esse indicant. Et hoc sancti Spiritus sapientia factum est, ut accusatores legis, allecti prima facie verborum, imprudentes et inviti adscriptam ejus defensionem receperint : ut si vellent ad verum respicere, haberent sermonem quem sequerentur : quod si in incredulitate permanerent, nullam sibi in posterum veniæ spem reliquam facerent : ut qui etiam illis quæ alias recipere videntur, fidem in suam ipsorum perniciem abrogarent. Ubi igitur Novum Testamentum suarum ac veterum legum eumdem auctorem esse testatur? Et alibi quidem non uno loco : nos tamen data opera eam textus partem adducemus, quæ vel in Manichæorum codicibus hactenus mansit incolumis. Quænam hæc? *Dicite mihi*, inquit, *qui sub lege vultis esse, legem non audistis? quod Abraham duos filios habuit : unum ex ancilla, alterum e libera* (*Gal.* 4. 21. 22)? Audiverunt hæretici unum habuisse ex ancilla, et confestim accurrerunt : rati enim his verbis legis accusationem contineri, resectis consequentibus, illam accusationem retinent sibi patrocinantem. Age igitur ex hoc ipso loco ostendamus eumdem esse legislatorem. *Abraham duos filios habuit, unum ex ancilla, alterum ex libera. Hæc autem sunt*, inquit, *per allegoriam dicta* (*Ib. v.* 24). Quid est, *Per allegoriam dicta?* Figuræ eorum, quæ sub gratia gererentur, erant quæcumque sub Lege fiebant. Sicut enim illic duæ mulieres, ita hic duo Testamenta. Primum in hoc apparet cognatio Novi cum Veteri, quod illa horum figuræ erant. Figura enim veritati non contraria est, sed cognata. Quod si Veteris illius Deus Novi hujus Deo contrarius esset, haudquaquam per illas mulieres Novi præcellentiam præfigurasset. Quod si ille præfiguravit, par erat Paulum non abuti hac figura. Sin autem dicant, quod ad Judaicam infirmitatem se demittens hoc faciebat, oportebat eum etiam Græcis prædicantem figuras Græcorum adhibere, et rerum apud Græcos gestarum historias commemorare. Sed hoc nusquam fecit, et merito. Illa enim nihil cum veritate commune habebant, hæc autem Dei leges erant, et oracula : quapropter magna cognatio veteribus illis cum Novo Testamento intercedit.

6. *Argumentum secundum ex eadem historia. Non pauci in Veteri Testamento amore ducti, non timore.*— Primum igitur argumentum hoc est, Vetus Testamentum modis omnibus cum Novo consonare : secundum autem illo non minus, ex ipsa historia sumitur. Quemadmodum enim tunc duæ mulieres erant unius viri : ita nunc duo Testamenta unius legislatoris; si enim alius esset Novi, alius Veteris, supervacaneum erat hanc historiam adducere. Neque enim alium habebat Sara virum, alium Agar; sed utraque unum et eumdem. Itaque dicendo, *Hæc enim sunt duo Testamenta* (*Gal.* 4. 24), nihil aliud dicit quam quod eumdem habeant legislatorem, sicut illæ unum virum Abraham. Sed altera quidem erat serva, altera vero libera. Quid tum? hactenus enim quærebatur, an unus utriusque sit legislator. Recipiant igitur prius hoc, ac tum demum ad illud alterum eis respondebimus. Si enim eos hoc ut admittant, ac nobis assentiantur, coegeris, universum illorum dogma corruet. Comperto enim etiam Veteris Testamenti eumdem legislatorem esse, sicut revera est, finem habebit omnis illorum nobiscum controversia. Attamen ne vel hinc turbemini, advertamus diligenter hæc verba. Non enim dixit, Una quidem serva, una vero libera : sed, *Una quidem in servitutem gignens* (*Ibid.*) : nec statim serva est, quæ in servitutem gignit : et hoc ipsum ad servitutem natum esse non matris est crimen, sed parvulorum qui nascuntur. Quoniam enim sua malitia seipsos libertate privaverunt, et a jure ingenuitatis exciderunt, non secus quam ingratos servos tractavit eos Deus, terrore ac minis castigans. Quin et hodie multi patres liberos suos non ut filios, sed ut servos metu coercent : quæ culpa non parentum est, sed filiorum, qui causa fuerunt parentibus ut servilem in modum ab eis educarentur. Eumdem ad modum etiam Deus ejus temporis populum terroribus ac pœnis erudiebat, non aliter quam nullius frugis servum; nec tamen hæc Dei culpa fuit, aut legis, sed Judæorum respuentium frenum, et duriori freno opus habentium. Siquidem in ipso Veteri Testamento multos reperire licet, qui non ad eamdem sint tracti disciplinam, ut Abel, Noe, Abraham, Isaac, Jacob, Joseph, Moses, Elias, Elisæus, et omnes qui Novi Testamenti instituta sunt æmulati : non enim terrore ac pœnis, nec minis ac mulctis, sed amore Dei, et ferventi erga illum affectione tales erga Deum sunt redditi, quales fuerunt. Non enim opus habebant mandatis, neque præscriptis et legibus, ut virtutem sectarentur ac vitia fugerent : sed ut ingenui et liberali ingenio filii, agnoscentes suam conditionem, absque metu ullo aut castigatione in virtutis castra se contulerunt : reliquum vero vulgus Judæorum, quoniam ad malitiam defecerant, legis freno necessario coercendi fuerunt. Ideoque postquam vitulum finxerunt, et sculptile adoraverunt, tum demum audierunt, *Dominus Deus tuus Dominus unus est* (*Deut.* 6. 4); posteaquam cædes patraverunt et uxores proximi stupraverunt, tunc

audiverunt, *Non occides, non mœchaberis*: et simili modo reliqua omnia.

7. Itaque non est vituperium legis quod puniat et mulctet, et servos velut improbos emendet ac castigot, sed præconium insigne, nec vulgaris laus, quod eos qui ad extremam malitiam prolapsi fuerant, potuerit severitate sua liberare a vitiis, mollireque et obsequentes gratiæ facere, atque ad novam hanc philosophiam ceu viam quamdam sternere. Idem enim Spiritus tum in Veteri Testamento, tum in Novo dispensabat omnia, licet diverso modo. Propterea Paulus dicebat: *Habentes autem eumdem Spiritum fidei, sicut scriptum est, Credidi, propter quod loquutus sum.*

Morum probitas cum fidei sinceritate jungenda.—Nec solum propter hoc dixit, *Eumdem spiritum*, sed et ob aliam non leviorem causam, quam volebam quidem nunc afferre; sed veritus ne pluribus gravati jam dictorum obliviscamini, in aliam diem vobis eum sermonem servabo, interim hortatus, ut præsentem totum in memoriam recondatis, atque diligenter retineatis, atque virtutes Christianas cum dogmatum puritate conjungatis: *Ut sic fiat integer homo Dei ad omne opus bonum præparatus* (2. *Tim.* 3. 17): quandoquidem nihil nobis profuerit recte sentire, si vita interim fuerit malis moribus vitiata: quemadmodum contra nihil prodest vita incorrupta, nisi accedat fidei quoque sinceritas. Ut igitur integram utilitatem consequamur, utrinque nobis provideamus, fructus etiam generosos in aliis proferentes: et cum primis eleemosynam, de qua etiam nuper ad vos verba feci, magna cum largitate atque alacritate illam exercentes. *Qui* enim *parce seminat*, ait Scriptura, *parce et metet: et qui seminat in benedictionibus, de benedictionibus et metet* (2. *Cor.* 9. 6). Quid est, *In benedictionibus?* Cum magna largitate. Hic quidem in rebus sæcularibus tam messis quam sementis eorumdem est seminum: nam qui serit, triticum aut hordeum seminat, aut aliquid simile, et qui metit, idipsum metit; at in eleemosyna non idem usu venit. Sed spargis argentum, et colligis fiduciam erga Deum: das pecuniam, et accipis remissionem peccatorum: præbes panem ac vestem, et pro his regnum cælorum tibi paratur, bonaque illa infinita, quæ nec oculus vidit, nec auris audivit, nec in cor hominis ascenderunt (1. *Cor.* 2. 9): et quod est omnium bonorum summa, similis efficeris Deo, quatenus id homini est possibile. Nam cum de eleemosyna et benignitate disseruisset Christus subjunxit: *Ut efficiamini similes Patri vestro cælesti, qui solem suum oriri jubet super malos ac bonos, et pluit super justos ac injustos* (*Matth.* 5. 45). Tu non potes oriri jubere solem, neque imbres immittere, neque beneficus esse in orbem terrarum tam longe lateque patentem; utere facultatibus tuis ad beneficentiam, et factus es similis ei qui solem suum oriri jubet, in quantum hominem Deo similem fieri licet.

8. *Eleemosyna etiam indignis datur. Segnes revocat ab otio Paulus, sed multum abest quin a benefaciendo avertat.*—Animadvertite diligenter quæ dico: *Super bonos ac malos*, inquit. Ergo tu quoque quoties eleemosynam facis, ne vitam examines, neque morum rationem reposcas. Eleemosyna enim, hoc est miseratio, ideo dicitur, ut etiam indignis præbeamus: qui enim miseratur, non recte viventem, sed peccantem miseratur: nam qui recte vivit, laude est dignus et corona; qui vero peccat, venia et misericordia. Quapropter hac quoque parte Deum imitabimur, si etiam malis benignitatem nostram non subducamus. Considera enim quam multi orbem terrarum habitent blasphemi, scelerati, præstigiatores, omnibus vitiis referti; attamen hos quoque per singulos dies enutrit Deus, docens nos ut universos homines beneficentia complectamur. Nos vero omnia contrario modo facimus: non solum enim malos et improbos homines aversamur, verumetiam cum sanus quispiam nos adit, aut propter probitatem, aut propter libertatem, forte etiam propter pigritiam (ut et hoc addam), in paupertate vivens, probra, contumelias, et innumera in eum jaculati dicteria, vacuis ipsum manibus remittimus, valetudinem exprobrantes, otium objicientes, pœnas reposcentes. Hoccine jussus es, o homo, objurgare tantum ac increpare egenos? Miserari ac sublevare paupertatem eorum jussit Deus, non rationem reposcere ac conviciari. Sed vis illius mores corrigere, et hominem inertem a segnitie sua revocatum ad opus aliquod applicare? Da prius, ac tum demum increpa, ut non crudelitatis suspectus fias, sed benignitatis laudem reportes. Eum enim qui nihil dans tantum opprobrat, aversatur pauper, et inique fert, ac ne aspicere quidem sustinet; et merito. Putat enim non quod bene sibi velit, sed quod dare nolit, objurgatorem eum esse; ita ut revera est. Qui vero posteaquam dedit objurgat, facit ut libenti animo objurgatio sua recipiatur: eo quod non propter inhumanitatem, sed propter benevolentiam increpationem adhibere videatur. Sic etiam Paulus fecit; cum enim dixisset: *Qui non vult operari, ne edat* (2. *Thess.* 3. 10), adjungit exhortationem dicens: *Vos autem bonum facientes ne deficiatis* (*Ib. v.* 13). Atqui hæc præcepta contraria esse videntur. Si enim otiosos non oportet cibum capere, quomodo jubes bene talibus facere? Sed non sunt contraria: absit. Ideo enim hoc dixi, inquit, *Qui non vult operari, ne edat*, non ut eos qui alioqui largituri erant, averterem a danda eleemosyna, sed ut in otio viventes a segnitie sua revocarem. Itaque cum dicit, *Ne edat*, illos exstimulat ad laborem, comminatione hac territos: cum vero dicit, *Bonum facientes ne deficiatis*, hos excitat ad beneficentiam, utili exhortatione impulsos. Ne enim quidam retraherent manus audito qua illi comminatione feriantur, ad beneficentiam his verbis illos provocat: *Bonum faciendo ne deficiatis.* Itaque etiamsi otioso des, bonum fecisti.

9. Hoc et in sequentibus manifestum fecit. Cum enim dixisset: *Si quis non audit sermones nostros per epistolam, hunc indicate, et ne conmisceamini illi* (2. *Thess.* 3. 14), atque hoc modo hominem ejecisset ex Ecclesia, rursum alio modo eum reconciliat, reducens in gratiam cum eis a quibus ejectus fuerat:

Οὐ φονεύσεις, οὐ μοιχεύσεις, καὶ τὰ ἄλλα δὲ πάντα ὁμοίως.

ζ'. Ὥστε οὐκ ἔγκλημα τοῦ νόμου τὸ κόλασιν ἐπάγειν καὶ τιμωρίαν, καὶ καθάπερ οἰκέτας ἀγνώμονας παιδεύειν καὶ σωφρονίζειν, ἀλλὰ καὶ ἐγκώμιον μέγιστον, καὶ οὐχ ὁ τυχὼν ἔπαινος, ὅτι τοὺς πρὸς τοσαύτην κατενεχθέντας κακίαν ἠδυνήθη διὰ τῆς οἰκείας σφοδρότητος ἀπαλλάξαι τῆς πονηρίας, μαλάξαι τε καὶ ποιῆσαι καταπειθεῖς τῇ χάριτι [a], καὶ πρὸς τὴν τῆς Καινῆς ὁδηγῆσαι φιλοσοφίαν. Τὸ γὰρ αὐτὸ Πνεῦμα καὶ τὰ ἐν τῇ Παλαιᾷ, καὶ τὰ ἐν τῇ Καινῇ πάντα οἰκονόμει, εἰ καὶ διαφόρως. Διὰ τοῦτο καὶ Παῦλος ἔλεγεν· *Ἔχοντες δὲ τὸ αὐτὸ Πνεῦμα τῆς πίστεως κατὰ τὸ γεγραμμένον· Ἐπίστευσα, διὸ ἐλάλησα.*

Οὐ διὰ τοῦτο δὲ μόνον ἔλεγε, *Τὸ αὐτὸ Πνεῦμα*, ἀλλὰ καὶ δι' ἑτέραν αἰτίαν οὐκ ἐλάττονα τῆς εἰρημένης, ἣν ἐβουλόμην μὲν νῦν εἰπεῖν, δεδοικὼς δὲ μὴ τὰ εἰρημένα ἐκβλύσητε, εἰς ἑτέραν ὑμῖν διάλεξιν ταύτην ταμιεύσομαι, τέως ταύτης μεμνῆσθαι πάσης παρακαλέσας ὑμᾶς, καὶ μετὰ ἀκριβείας φυλάττειν αὐτήν, καὶ τὴν ἀπὸ τῆς πολιτείας ἀρετὴν προστιθέναι, καὶ τῇ τῶν δογμάτων συνυφαίνειν αὐτὴν καθαρότητι· *Ἵνα ἄρτιος ὁ ἄνθρωπος ᾖ τοῦ Θεοῦ, πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένος*· ἐπεὶ κέρδος οὐδὲν ἔσται ἡμῖν τῶν ὀρθῶν δογμάτων, ὅταν ὁ βίος διεφθαρμένος ᾖ· ὥσπερ οὖν οὐδὲ πολιτείας ἀρίστης ὄφελος, πίστεως οὐκ οὔσης ὑγιοῦς. Ἵνα οὖν ἀπηρτισμένην ἔχωμεν τὴν ὠφέλειαν, ἑκατέρωθεν ἑαυτοὺς ἀσφαλιζώμεθα, ἔν τε τοῖς ἄλλοις ἅπασι καρποὺς ἐπιδεικνύμενοι γενναίους, καὶ μετὰ τῶν ἄλλων τὴν ἐλεημοσύνην, περὶ ἧς καὶ πρώτην [276] ὑμῖν διελέχθην, μετὰ πολλῆς μὲν τῆς προθυμίας, μετὰ πολλῆς δὲ αὐτὴν ἐπιτελοῦντες τῆς δαψιλείας. *Ὁ γὰρ σπείρων φειδομένως*, φησὶ, *φειδομένως καὶ θερίσει· καὶ ὁ σπείρων ἐπ' εὐλογίαις, ἐπ' εὐλογίαις καὶ θερίσει.* Τί ἐστιν, *Ἐπ' εὐλογίαις*; Μετὰ πολλῆς τῆς ἀφθονίας. Ἐνταῦθα μὲν οὖν ἐπὶ τῶν βιωτικῶν πραγμάτων καὶ ὁ ἀμητὸς καὶ ὁ σπόρος τῶν αὐτῶν ἐστι σπερμάτων· καὶ γὰρ ὁ σπείρων, πυρὸν ἢ κριθὰς καταβάλλει, ἢ καὶ ἄλλο τι τῶν τοιούτων, καὶ ὁ θερίζων τὸ αὐτὸ θερίζει πάλιν· ἐπὶ δὲ τῆς ἐλεημοσύνης οὐχ οὕτως, ἀλλὰ ἑτέρως. Σὺ μὲν γὰρ καταβάλλεις ἀργύριον, συλλέγεις δὲ παῤῥησίαν τὴν πρὸς τὸν Θεόν· δίδως χρήματα, καὶ λαμβάνεις ἁμαρτημάτων λύσιν· παρέχεις ἄρτον καὶ ἱμάτιον, καὶ ἀντὶ τούτων σοι ἡ τῶν οὐρανῶν εὐτρεπίζεται βασιλεία, καὶ τὰ μυρία ἀγαθὰ, ἃ μήτε ὀφθαλμὸς εἶδε, μήτε οὖς ἤκουσε, μήτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη· τὸ δὴ πάντων κεφάλαιον τῶν ἀγαθῶν, ὅμοιος γίνῃ τῷ Θεῷ, κατὰ δύναμιν τὴν ἀνθρωπίνην. Περὶ γὰρ ἐλεημοσύνης καὶ φιλανθρωπίας διαλεχθεὶς ὁ Χριστὸς ἐπήγαγεν· *Ὅπως γένησθε ὅμοιοι τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς, ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους.* Οὐ δύνασαι ἀνατεῖλαι ἥλιον, οὐδὲ ὄμβρους ἀφεῖναι σὺ, οὐδὲ οἰκουμένην εὐεργετῆσαι τοσαύτην· τοῖς οὖσι χρήμασιν ἀπόχρησαι πρὸς τὴν φιλοφροσύνην, καὶ γέγονας ὅμοιος τῷ τὸν ἥλιον ἀνατέλλοντι, ὡς ἄνθρωπον ὅμοιον Θεῷ γενέσθαι δυνατόν.

η'. Προσέχετε μετὰ ἀκριβείας τοῖς εἰρημένοις. Ἐπὶ *πονηροὺς καὶ ἀγαθοὺς*, φησί. Καὶ σὺ τοίνυν, ὅτε ἐλεημοσύνην ποιεῖς, μὴ βίον ἐξετάσῃς, μηδὲ τρόπων εὐθύνας ἀπαίτει. Ἐλεημοσύνη γὰρ διὰ τοῦτο λέγεται, ἵνα καὶ τοῖς ἀναξίοις παρέχωμεν· ὁ γὰρ ἐλεῶν, οὐ τὸν κατωρθωκότα, ἀλλὰ τὸν ἡμαρτηκότα ἐλεεῖ· ὁ μὲν γὰρ κατορθῶν, ἐπαίνων ἄξιος καὶ στεφάνων ἐστίν· ὁ δὲ ἁμαρτάνων, ἐλέου καὶ συγγνώμης. Ὥστε καὶ κατὰ τοῦτο μιμησόμεθα τὸν Θεὸν, ἐὰν καὶ πονηροῖς παρέχωμεν. Ἐννόησον γὰρ ὅσοι τὴν οἰκουμένην οἰκοῦσι βλάσφημοι, μιαροὶ, γόητες, πάσης ἐμπεπλησμένοι κακίας· ἀλλὰ καὶ τούτους καθ' ἑκάστην τρέφει τὴν ἡμέραν ὁ Θεὸς, ἡμᾶς παιδεύων τὴν φιλοφροσύνην ἐπὶ πάντας ἐκτείνειν. Ἡμεῖς δὲ ἅπαν τοὐναντίον ποιοῦμεν· οὐ γὰρ πονηροὺς, οὐδὲ φαύλους ἀνθρώπους ἀποστρεφόμεθα μόνον, ἀλλὰ κἂν ὑγιαίνων τις ἡμῖν προσέλθῃ ἢ δι' ἐπιείκειαν, ἢ δι' ἐλευθερίαν, ἢ καὶ δι' ἀργίαν ἴσως (καὶ γὰρ καὶ τοῦτο τίθημι), πενίᾳ συζῶν, λοιδορίας, ὕβρεις, μυρία κατ' αὐτοῦ συνείροντες σκώμματα, κεναῖς αὐτὸν ἀποπέμπομεν χερσὶ, τὴν ὑγείαν ὀνειδίζοντες, τὴν ἀργίαν προσφέροντες, εὐθύνας ἀπαιτοῦντες. Μὴ γὰρ τοῦτο προσετάγης, ἄνθρωπε, ἐγκαλεῖν καὶ ἐπιτιμᾷν ἁπλῶς τοῖς δεομένοις; Ἐλεεῖν καὶ διορθοῦσθαι τὴν πενίαν αὐτῶν ὁ Θεὸς ἐκέλευσεν, οὐχὶ εὐθύνας ἀπαιτεῖν καὶ ὑβρίζειν. Ἀλλὰ βούλει διορθῶσαι τὸν τρόπον, καὶ τῆς ἀργίας ἀπαγαγεῖν, καὶ εἰς ἔργον ἐμβαλεῖν τὸν ἀργοῦντα; Δὸς πρότερον, [277], καὶ τότε ἐπιτίμησον, ἵνα μὴ ὠμότητος ὑποψίαν, ἐγκληθεὶς [b] βαρύτητα, ἀλλὰ κηδεμονίας δόξαν λάβῃς. Τὸν μὲν γὰρ μὴ δόντα, ἀλλ' ἐγκαλοῦντα μόνον ἀποστρέφεται, καὶ ἀηδίζει, καὶ οὐδὲ ἰδεῖν ἀνάσχοιτ' ἂν ὁ πένης· καὶ μάλα εἰκότως. Οὐ γὰρ διὰ κηδεμονίαν, ἀλλὰ διὰ τὸ μὴ βούλεσθαι δοῦναι νομίζει τὰ ἐγκλήματα γίνεσθαι· ὅπερ οὖν καὶ ἔστιν ἀληθές. Ὁ δὲ μετὰ τὸ δοῦναι ἐγκαλῶν, εὐπαράδεκτον ποιεῖ τὴν παρῄνεσιν· οὐ γὰρ ἐξ ἀπανθρωπίας, ἀλλ' ἐκ κηδεμονίας ποιεῖται τὴν ἐπιτίμησιν. Οὕτω καὶ Παῦλος ἐποίησεν· εἰπὼν γὰρ, *Εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω*, ἐπάγει λέγων· *Ὑμεῖς δὲ τὸ καλὸν ποιοῦντες μὴ ἐκκακήσητε.* Καίτοι δοκεῖ ταῦτα ἐναντία εἶναι τὰ προστάγματα. Εἰ γὰρ οὐ δεῖ τοὺς ἀργοῦντας ἐσθίειν, πῶς τούτοις κελεύεις τὸ καλὸν ποιεῖν; Ἀλλ' οὐκ ἔστιν ἐναντίον· μὴ γένοιτο. Διὰ γὰρ τοῦτο, φησὶν, εἶπον, ὅτι *Εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω*, οὐχ ἵνα τοὺς μέλλοντας διδόναι ἀπαγάγω τῆς ἐλεημοσύνης, ἀλλ' ἵνα τοὺς ἐν ἀργίᾳ ζῶντας ἀπαγάγω τῆς ἀργίας. Τὸ μὲν οὖν εἰπεῖν, *Μηδὲ ἐσθιέτω*, ἐκείνους διανίστησι πρὸς ἐργασίαν, τῷ φόβῳ τῆς ἀπειλῆς· τὸ δὲ εἰπεῖν, *Τὸ καλὸν ποιοῦντες μὴ ἐκκακεῖτε*, τούτους διεγείρει πρὸς ἐλεημοσύνην τῷ χρησίμῳ τῆς παραινέσεως. Ἵνα γὰρ μὴ, ἀκούσαντες τῆς κατ' ἐκείνων γεγενημένης ἀπειλῆς, συστείλωσι τὰς χεῖρας τινες, ἐκκαλεῖται πρὸς φιλοφροσύνην αὐτοὺς, λέγων· *Τὸ καλὸν ποιοῦντες μὴ ἐκκακεῖτε.* Ὥστε καὶ ἀργοῦντι ἐὰν δῷς, καλὸν πεποίηκας.

θ'. Τοῦτο καὶ ἐν τοῖς ἑξῆς δῆλον ἐποίησεν. Εἰπὼν [c] γὰρ, *Εἴ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν διὰ τῆς ἐπιστολῆς, τοῦτον σημειοῦσθε, καὶ μὴ συναναμίγνυσθε αὐτῷ*· καὶ ἐκκόψας αὐτὸν τῆς ἱερᾶς αὐλῆς, πάλιν αὐτὸν ἑτέρῳ συνάπτει τρόπῳ, τὰς τῶν ἐκτεμόντων διανοίας οἰκειῶν αὐτῷ καὶ συνάγων· ἐπ-

[a] Unus Mss. καταπειθεῖς προκατασκευάσαι τῇ χάρ. Cod. κατεπειθεῖς κατασκευάσαι τῇ χάρ.

[b] Mss. ἐγκληθῇς. Cod. 748 ἵνα μὴ ὠμότητος ὑποψίαν ἐγκληθῇς καὶ βαρύτητα, quæ lectio non est spernenda

[c] Alii ἑξῆς κατεσκεύασεν εἰπών.

ἠγαγε γοῦν λέγων· *Μὴ ὡς ἐχθρὸν, φησὶν, ἡγεῖσθε, ἀλλ' ὡς ἀδελφόν. Ὥσπερ οὖν εἰπὼν, Εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω*, τοῖς κυρίοις ἐκέλευσε πολλὴν αὐτῶν ποιεῖσθαι πρόνοιαν πάλιν· οὕτω καὶ ἐνταῦθα εἰπὼν, *Μὴ συναναμίγνυσθε αὐτῷ*, οὐκ ἀπέστησεν αὐτοῦ τῆς ἐπιμελείας τοὺς ἀκούοντας, ἀλλὰ καὶ σφόδρα αὐτοῖς ἀντιλαβέσθαι παρεκελεύσατο, προσθεὶς καὶ εἰπὼν, *Καὶ μὴ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλ' ὡς ἀδελφόν*. Ἐχωρίσθης αὐτοῦ τῆς συνουσίας, ἀλλὰ μὴ χωρισθῇς τῆς κηδεμονίας· ἀπέκοψας αὐτὸν τῆς συνόδου, μὴ ἀποκόψῃς αὐτὸν τῆς ἀγάπης. Καὶ γὰρ αὐτὸ τοῦτο δι' ἀγάπην ἐκέλευσα γίνεσθαι, ἵνα τῷ χωρισμῷ γενόμενος βελτίων, πρὸς τὸ λοιπὸν ἐπανέλθῃ σῶμα· ἐπεὶ καὶ οἱ πατέρες τῆς οἰκίας τῆς ἑαυτῶν ἐκβάλλουσι τοὺς παῖδας, οὐχ ἵνα ἔξω μένωσι διηνεκῶς, ἀλλ' ἵνα τῷ τῆς οἰκίας ἐκπεσεῖν γενόμενοι σωφρονέστεροι, πρὸς τὴν οἰκίαν ἐπανέλθωσι πάλιν. Πρὸς μὲν οὖν τοὺς ἀργίαν ἐγκαλοῦντας ἱκανὰ τὰ εἰρημένα.

Ἐπειδὴ δὲ καὶ ἕτερός ἐστι πολλοῖς μεμελετημένος λόγος πρὸς ἀπολογίαν, ἀπανθρωπίας καὶ ὠμότητος γέμων, ἀνάγκη καὶ τοῦτον διεξελέγξαι πάλιν, οὐχ ἵνα ἀπολογίας αὐτοὺς ἀποστερήσωμεν, [278] ἀλλ' ἵνα πείσωμεν τὴν οὐκ οὖσαν, οὐδὲ ὠφελοῦσαν ἀπολογίαν ἀποθέσθαι, τὴν δὲ οὖσαν καὶ προστῆναι δυναμένην ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ, ταύτην διὰ τῶν ἔργων μελετᾷν διηνεκῶς.

Τίς οὖν ἐστιν ἡ ψυχρὰ καὶ ἀνόνητος τῶν πολλῶν ἀπολογία; Παιδοτροφίᾳ συζῶ, φησὶν, οἰκίας προΐσταμαι, γυναῖκα τρέφω, πολλὰς ἔχω δαπάνης ἀνάγκας· ὅθεν οὐκ εὐπορῶ τοὺς προσιόντας μοι ἐλεεῖν. Τί λέγεις; Παιδία τρέφεις, καὶ διὰ τοῦτο τοὺς προσιόντας οὐκ ἐλεεῖς; Δι' αὐτὰ μὲν οὖν ταῦτα τοὺς δεομένους ἐλεεῖν δεῖ, διὰ τὰ παιδία, καὶ τὴν αὐτῶν προστασίαν, ἵνα ἀπὸ ὀλίγων χρημάτων πλεω τὸν δόντα αὐτὰ Θεὸν ποιήσῃς, ἵνα καταλίπῃς αὐτοῖς προστάτην ἐκεῖνον καὶ μετὰ τὸν σὸν θάνατον, ἵνα πολλὴν αὐτοῖς ἄνωθεν εὔνοιαν ἐπισπάσῃ ἀπὸ τῶν ἐκείνων χρημάτων τῷ Θεῷ δαπανῶν. Οὐχ ὁρᾷς, ὅτι πολλοὶ ἀνθρώπους πλουτοῦντας καὶ ἐν δυναστείαις ὄντας, οὐδαμόθεν αὐτοῖς προσήκοντας, εἰς τὰς διαθήκας πολλάκις εἰσήγαγον τὰς ἑαυτῶν, καὶ τοῖς ἑαυτῶν παισὶ συγκληρονόμους ἐποίησαν, δι' ἄλλο μὲν οὐδὲν, ἵνα δὲ ἀσφάλειαν τοῖς ἑαυτῶν κτήσωνται παισὶν ἀπὸ ὀλίγων χρημάτων; καὶ ταῦτα, οὐκ εἰδότες πῶς διακείσονται μετὰ τὴν αὐτῶν τελευτὴν περὶ τοὺς αὐτῶν παῖδας οἱ τοῦ κλήρου γενόμενοι κοινωνοί; Σὺ δὲ εἰδὼς τὸ φιλάνθρωπον καὶ χρηστὸν καὶ ἐπιεικὲς τοῦ σοῦ Δεσπότου, οὐ ποιήσεις αὐτὸν κοινωνὸν τῆς διαθήκης τῆς σῆς; οὐ ποιήσεις αὐτὸν συγκληρονόμον τῶν παίδων τῶν σῶν; καὶ ποῦ ταῦτα πατρὸς, εἰπέ μοι, παῖδας φιλοῦντος; Εἰ γὰρ κήδῃ τῶν τεχθέντων παίδων, κατάλειπε γραμματεῖον αὐτοῖς, ἐν ᾧ τὸν Θεὸν ἔχεις ὑπεύθυνον. Τοῦτο μεγίστη κληρονομία, τοῦτο κόσμος, τοῦτο ἀσφάλεια. Εἰσάγαγε αὐτὸν εἰς τὴν κληρονομίαν τὴν ἐνταῦθα, ἵνα σε μετὰ τῶν παίδων εἰς τὴν κληρονομίαν ἀντεισαγάγῃ τὴν ἐκεῖ. Οὗτος ὁ κληρονόμος γενναῖος, φιλάνθρωπος, χρηστὸς, δυνατὸς, πλούσιος· ὥστε κατ' οὐδὲν ἔστιν ὑποπτεῦσαι τὴν κοινωνίαν αὐτοῦ. Διὰ τοῦτο καὶ σπόρος ἡ ἐλεημοσύνη καλεῖται, ἐπειδὴ οὐκ ἔστι δαπάνη τὸ πρᾶγμα, ἀλλὰ πρόσοδος· σὺ δὲ, ὅταν μὲν σπείρειν δέῃ, οὐ προσέχεις, ὅτι κενοῖς τὰ ταμιεῖα τῶν παλαιῶν γεννημάτων [a], ἀλλὰ προσέχεις τῷ μηδέπω παρόντι τῶν γεννημάτων ἀμητῷ· καὶ ταῦτα, οὐκ εἰδὼς, ὅτι πάντως ἐκβήσεται. Καὶ γὰρ καὶ ἐρυσίβη, καὶ χάλαζα, καὶ ἀκρὶς, καὶ ἀέρων ἀνωμαλία, καὶ πολλὰ τῆς ἐλπίδος ἡμᾶς ἀντικρούει τῆς μελλούσης· εἰς δὲ τὸν οὐρανὸν μέλλων σπείρειν, ὅπου πᾶσα μὲν ἀνωμαλία ἀέρων ἐκβέβληται, πάσης δὲ λύπης καὶ ἐπιβουλῆς ἀνῄρηται πρόφασις, ὀκνεῖς καὶ ἀναδύῃ; Καὶ ποίαν εὑρήσεις συγγνώμην, ὅταν εἰς μὲν τὴν γῆν καταβάλλων θαρρῇς, καὶ μετὰ προθυμίας τοῦτο ποιῇς, εἰς δὲ τὴν χεῖρα τοῦ Θεοῦ μέλλων καταβάλλειν, ὀκνεῖς καὶ ἀμελεῖς; Εἰ γὰρ ἡ γῆ τὰ καταβληθέντα ἀποδίδωσι, πολλῷ μᾶλλον ἡ τοῦ Θεοῦ χεὶρ, ἅπερ ἂν δέξηται, μετὰ πάσης ἀποδώσει σοι τῆς περιουσίας.

ι'. Ταῦτ' οὖν εἰδότες, μὴ τῇ δαπάνῃ προσέχωμεν, ὅταν ἐλεημοσύνην ποιῶμεν, ἀλλὰ τῇ προσόδῳ καὶ [279] ταῖς μελλούσαις ἐλπίσι, καὶ τῷ παρόντι δὲ κέρδει· οὐ γὰρ βασιλείαν οὐρανῶν ἐλεημοσύνη προξενεῖ μόνον, ἀλλὰ καὶ τὴν κατὰ τὸν παρόντα βίον ἀσφάλειάν τε καὶ ἀφθονίαν. Τίς ταῦτά φησιν; Αὐτὸς ὁ ταῦτα δοῦναι κύριος. Ὁ γὰρ τὰ αὐτοῦ πένησι, φησὶ, δοὺς, ἑκατονταπλασίονα λήψεται ἐν τῷ αἰῶνι τούτῳ, καὶ ζωὴν αἰώνιον κληρονομήσει. Ὁρᾷς ἐν ἑκατέρᾳ τῇ ζωῇ τὰς ἀμοιβὰς διδομένας μετὰ πολλῆς τῆς περιουσίας; Μὴ τοίνυν ὀκνῶμεν, μηδὲ ἀναβαλλώμεθα, ἀλλὰ καθ' ἑκάστην ἡμέραν τὸν τῆς ἐλεημοσύνης καρπὸν φέρωμεν, ἵνα καὶ τὰ παρόντα ἡμῖν πράγματα κατὰ ῥοῦν φέρηται, καὶ τῆς μελλούσης ἐπιτύχωμεν ζωῆς· ἧς γένοιτο πάντας ἡμᾶς μετασχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, τιμὴ, κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[a] Unus ms. hic et mox γεννημάτων.

ΠΑΛΙΝ ΕΙΣ ΤΗΝ ΑΥΤΗΝ ΡΗΣΙΝ

Ἔχοντες δὲ τὸ αὐτὸ Πνεῦμα τῆς πίστεως, κατὰ τὸ γεγραμμένον, καὶ διὰ τί κοινῇ πάντες ἀπολαμβάνουσι τὰ ἀγαθὰ, καὶ περὶ ἐλεημοσύνης.

α'. Τῇ προτέρᾳ συνάξει καὶ τῇ πρὸ ἐκείνης μίαν τοῦ Ἀποστόλου ῥῆσιν ἀπολαβόντες, εἰς τὴν ἐξήγησιν ταύτης ἅπαντα τὸν λόγον ἀνηλώσαμεν· καὶ τήμερον δὲ τῇ αὐτῇ ταύτῃ πάλιν ἐνδιατρίψαι σπουδάζομεν· ποιοῦμεν δὲ τοῦτο ἐπίτηδες πρὸς ὠφέλειαν τῆς ὑμετέρας ἀγάπης, οὐ πρὸς ἐπίδειξιν τὴν ἡμετέραν. Οὐ γὰρ ἵνα γόνιμόν [a] τινα καὶ πολύνουν ἐμαυτὸν ἀποφήνω, ἀλλ' ἵνα καὶ τὴν Παύλου σοφίαν ὑμῖν ἐκκαλύψω, καὶ τὴν ὑμετέραν διεγείρω προθυμίαν, οὕτω μεταχειρίζω τὸν λόγον. Τό τε γὰρ βάθος τῆς ἐκείνου συνέσεως φαίνεται μειζόνως, ὅταν ἐκ μιᾶς ῥήσεως τοσούτους ἡμῖν τίκτῃ ποταμοὺς νοημάτων· ὑμεῖς τε μαθόντες, ὅτι καὶ ἀπὸ μιᾶς λέξεως ἀποστολικῆς ἄφατον ἔστι καρπώσασθαι φιλοσοφίας πλοῦτον, οὐ παραδραμεῖσθε τὰς Ἐπιστολὰς ἁπλῶς, ἀλλὰ προσαχθήσεσθε, ταῖς ἐλπίσι ταύταις τρεφόμενοι, τῶν ἐγκειμένων ῥήσεων ἑκάστην μετὰ πολλῆς περιεργάζεσθαι

[a] Unus mss. γνώριμον.

quapropter hæc verba subdit, *Non ut inimicum existimate, sed ut fratrem* (2 *Thess.* 3. 15). Quemadmodum igitur cum dixisset, *Si quis non vult laborare, ne edat* (*Ib. v.* 10), illos certe, qui possunt, curam eorum habere jussit : ita etiam hic posteaquam dixit, *Ne commisceamini illi*, non alienavit ab ejus cura auditores, sed jubet diligenter eum suscipere, dicens : *Non ut inimicum existimate, sed ut fratrem.* Reliquisti ejus consuetudinem, sed ne relinquas de eo sollicitudinem : exclusisti eum a conventu, ne excludas a caritate. Etenim hoc ipsum affectu caritatis mandavi, ut hac separatione factus melior, ad reliquum corpus reverteretur ; quandoquidem etiam patres domo sua filios expellunt, non ut perpetuo foris maneant, sed ut quod domo exciderint, modestiores facti, domum postliminio revertantur. Atque hæc sufficiant ad illos, qui pigritiam aliis objicere solent.

Verum quoniam multi aliis utuntur verbis quibus se excusent, quæ plena crudelitatis ac inhumanitatis sunt, necesse est ut illa quoque redarguam, non ut excusationem eis adimam, sed quo persuadeam ut omissa vana et inutili, ad veram et apud Christi tribunal profuturam defensionem operibus ipsis se exerceant.

Excusationes alias avarorum refellit ; coheredes filiorum sunt pauperes ; sementem cur eleemosynam vocet Scriptura. — Quæ est igitur illa vulgarium hominum frigida ac inutilis defensio? Alendi sunt, inquit, liberi, rei familiaris gerenda est cura, uxorem alo, necessarios sumptus multos sustineo : quamobrem non suppetit, unde obvios sublevare possim. Quid ais? Filios alis, et ideo non est unde venientes ad te subleves? Imo propter hoc ipsum sublevandi sunt egeni, ut exigua pecunia Dominum qui eos tibi dedit, propitios, ut etiam post mortem tuam patronum illis relinquas, ut eis magnum favorem cælitus concilies, dum illa pecunia sumptus Deo gratos facies. Annon vides, a multis homines præpotentes ac opulentos, nihil alioqui ad suum genus attinentes, in testamento suo insertos fuisse, et liberis suis coheredes factos, nihil ob aliud quam ut securitatem filiis modica pecunia pararent? idque cum incertum esset quonam affectu post obitum ipsorum filios illos coheredes essent prosequuturi? Tu vero cum scias humanitatem, bonitatem, et æquitatem tui Domini, expertem eum tui testamenti facies? non facies eum coheredem liberorum tuorum? Hoccine est amantissimi patris officium? Nam si prolis tuæ curam geris, relinque illis chartulam scriptam, in qua Deum debitorem habeas. Hæc maxima hereditas, hoc decus est, hæc securitas. Induc eum in terrenam hanc hereditatem, ut te una cum tuis liberis in cælestem illam hereditatem inducat. Hic heres nobilis est, humanus, bonus, potens, dives ; quare nihil est cur ejus societatem suspectam habeas. Ideo etiam sementis vocatur eleemosyna, quia res hæc non tam sumptus est, quam reditus : tu autem quando seminandum est, non magni facis quod evacues fructuum veterum promptuaria, sed ad messis futuræ fructum spectas, idque cum eventum neseias. Nam et rubigo, et calamitas, et locusta, et acris intemperies et multa nos a spe et exspectatione dejiciunt : cum vero in cælum est semen jaciendum, ubi nulla aeris intemperies, nullus dolor, nullæ insidiæ, tergiversaris ac procrastinas? Et quam speras veniam, qui in terram seminando, confidenter et alacriter id facis ; eum vero in manum Dei seminandum est, cessas et negligis? Nam si terra reddit quod sibi est creditum, multo magis Dei manus, quæcumque acceperit, magno cum fœnore est redditura.

10. Hæc igitur scientes non respiciamus sumptum, quando eleemosynam facimus, sed eum qui inde speratur proventum, imo etiam præsens lucrum : non solum enim regnum cælorum eleemosyna procurat, sed in præsenti etiam vitæ securitatem affert et abundantiam. Quis hæc pollicetur? Ipse qui præstare potest Dominus. Dicit enim : Qui sua pauperibus largitur, centuplum accipiet in hoc sæculo, et vitæ æternæ hereditatem habebit (*Matth.* 19. 29). Vides retributionem in utraque vita cum magno fœnore recipiendam? Ne igitur cessemus, neque procrastinemus, sed per singulos dies eleemosynæ fructum percipiamus, ut et in præsenti sæculo rebus secundis fruamur, et futuram vitam consequamur : quæ nobis omnibus contingat, gratia et benignitate Domini nostri Jesu Christi, cum quo Patri una cum Spiritu sancto gloria, honor, imperium in sæcula sæculorum. Amen.

DE EISDEM VERBIS,

HABENTES AUTEM EUMDEM SPIRITUM FIDEI, SICUT SCRIPTUM EST (2. *Cor.* 4. 13) ET QUA DE CAUSA REBUS BONIS OMNES EX ÆQUO FRUANTUR, ET DE ELEEMOSYNA

1. Cum priore conventu, et qui illum præcesserat, unum apostoli dictum susceperimus exponendum, in ejus enarratione totum sermonem consumpsimus, et hodie quoque in eodem versari proposuimus : hoc autem data opera facimus, ad vestram utilitatem, non ad nostram ostentationem. Non enim ut fecundum me et multiscium ostendam ; sed ut tum Pauli sapientiam vobis aperiam, tum vestram alacritatem excitem, ita eumdem verso sermonem. Nam et illius intelligentiæ profunditas magis elucebit, si ex uno dicto tanta nobis sententiarum fluenta proferat ; et vos, cum didiceritis ex uno apostoli verbo ineffabiles sapientiæ divitias depromi posse, non oscitantes percurretis ejus epistolas, sed hac spe inducti singulas earum sententias exquisita cura ac diligentia perscrutabimini. Si enim unum dictum triduo nobis disserendi materiam præbuit, quantum putatis thesaurum nobis profunderet una quæpiam pars diligenter tractata ac consi-

derata? Ne igitur delassemur priusquam totum quod superest decerpserimus. Si enim metallorum auri fossores, licet quantumvis divitiarum inde exhauserint, non prius tamen inde absistunt, quam totum aurum auferant : multo majorem nos alacritatem ac diligentiam in perscrutandis divinis eloquiis adhibere convenit. Nam et nos aurum effodimus, non sensibile, sed spirituale : non enim in metallis terræ, sed in Spiritus metallis operamur. Paulinæ enim epistolæ metalla sunt Spiritus et fontes : metalla quidem, quia quovis auro pretiosiores nobis præbent divitias : fontes vero, quia numquam deficiunt ; sed quantumlibet exhaurias, tantumdem ac multo amplius rursum affluit. Et hoc evidenter declarare potest totum tempus quod præteriit. Siquidem ex quo Paulus vixit, quingenti jam elapsi sunt anni, totoque hoc tempore multi tum commentatores, tum doctores ac interpretes multa sæpe inde exhauserunt, nec tamen repositas inibi divitias evacuare valuerunt. Non est enim sensibilis hic thesaurus, et idcirco non consumitur a multis effodientium manibus, sed augetur et multiplicatur. Et quid dico de illis qui ante nos fuerunt? Quam multi post nos dicturi sunt, ac rursus post illos alii, nec tamen deficient fontis in modum scatentes divitiæ, neque metallorum hoc genus exhaurietur? spiritualia enim sunt, et suapte natura numquam omnino absumi possunt. Quod est igitur illud dictum apostolicum? *Habentes autem eumdem Spiritum fidei, sicut scriptum est, Credidi, quapropter loquutus sum.*

2. Nuper igitur quæsivimus quanam de causa dixerit, *Eumdem Spiritum fidei* ; et unam hactenus causam attulimus : erat autem hæc : ut ostenderet consonantiam Veteris ac Novi Testamenti. Cum enim invenitur idem fidei Spiritus et Davidis linguam movisse, dicentem, *Credidi, propter quod loquutus sum* (*Psal.* 115. 10), et in Pauli anima operatus esse, satis apparet magnam esse prophetarum cum apostolis cognationem, atque ita necessario sequitur magnam esse Veteris et Novi Testamenti consonantiam. Sed ne iterum eadem repetentes molesti vobis simus, age et alteram causam proferamus, ob quam dixit, *Eumdem.* Jam tum enim alteram hujus dicti causam promiseramus. Sed opus est ut excitemini : profundus enim est sensus quem caritati vestræ sum dicturus, et perspicaci animo opus habet, ingenioque peracuto : qua propter obtestor ut summa attentione quæ dicenda sunt auscultetis. Vestrum est lucrum, noster vero labor ; imo gratiæ Spiritus sancti donum, quo revelante secreta, neque qui dicit, neque qui audit defatigatur : revelationem enim magna facilitas sequitur. Attendamus igitur cum diligentia : licet enim majorem partem auribus persequamini, si vel minimum dormitaveritis, interrupto semel contextu totum ignorabitis. Et quemadmodum iis, qui viam ignorant, et ductore opus habent, diu licet illum sequuti, si per negligentiam vel paululum ex oculis eum amittant, nihil prodest hactenus sequutos esse, sed consistunt ignari quanam sit progrediendum : ita etiam qui dicentem prosequuntur animo, etiamsi attente doctrinam ejus hauserint, si paulisper tantum oscitanter audiant, tota serie amissa, non possunt amplius ad sententiarum finem pervenire. Ne igitur idem vobis accidat, omnibus quæ dicturi sumus pari tenore intendite, donec ad finem perveniamus.

3. *Cur dicat eumdem esse Spiritum fidei. Imago persequutionum.* — Dicturi igitur qua de causa dicat, *Habentes autem eumdem Spiritum fidei*, volens ostendere eamdem esse utriusque Testamenti fidem omnium bonorum matrem, paulo altius sermonem repetamus. Sic enim nobis causa evidentius apparebit. Quænam igitur est hæc causa? Magnum bellum circumsteterat fideles dum hæc dicebantur ; bellum, inquam, grave et absque ullis induciis. Nam et civitates integræ et populi undique in eos insurrexerant, et tyranni omnes insidiabantur, et reges contra eos bellum parabant : arma movebantur, gladii acuebantur, exercitus adornabantur, et omnia genera pœnarum ac suppliciorum excogitabantur : inde facultatum rapinæ et confiscationes, et carceres ac mortes quotidianæ, tormenta, vincula, ignis, ferrum, bestiæ, patibula, rotæ, barathra, præcipitia, et quidquid in perniciem fidelium excogitari poterat : ac ne intra hos quidem fines bellum se continuit. Non solum enim ab inimicis excitabatur, sed ipsa etiam natura contra seipsam irritabatur. Etenim liberis insidiabantur patres, et filiæ exosas matres habebant, et amici amicos aversabantur, et in cognationes ac familias bellum hoc latenter sese insinuabat, magnusque tumultus erat per universum orbem habitabilem. Et sicut navis undis insurgentibus, nubibus concurrentibus, elisis tonitribus, caligine undique scapham cingente, mari furente, belluis sævientibus, piratis oppugnantibus, ipsis vectoribus inter se dissidentibus, haudquaquam evadere potest, nisi cælestis dextera, magna illa ac potens, discusso periculo et sedata tempestate, in tranquillitatem reducat navigantes : ita etiam tunc inter initia prædicationis accidit. Non solum enim externa tempestate pulsabantur, sed intus etiam plerumque seditione laborabant. Quis hoc dicit? Paulus ipse sic scribens : *Foris pugnæ, intus timores* (2. *Cor.* 7. 5). Et quod hoc verum sit, quodque doctores pariter ac discipuli innumeris septi fuerint malis, et per omnes ex æquo bellum hoc fuerit grassatum, eumdem Paulum iterum testem adduco. Vestræ autem partes sunt meminisse omnium horum quæ dico, ut cognitis periculis ac tentationibus, omnibusque adversitatibus, quas ejus temporis fideles perferebant, tanto majores gratias agatis Deo, qui omnibus illis calamitatibus finem imposuit, et averruncato bello, tranquillissimam pacem nobis confecit : ut nemo vel socordiæ pœnam effugiat, vel ob vitam recte actam extollatur.

4. *Pace Ecclesiæ non abutendum.*—Neque enim perinde est, si undiquaque impugnatus et innumeris adversitatibus obrutus generose subsistas, ac si in portu nunc sedens, et in summa securitate eumdem animum præ te feras. Illorum enim conditio nihilo melior erat, quam eorum qui turbato mari jactantur : nos vero securius agimus quam qui in portum devecti

τῆς σπουδῆς. Εἰ γὰρ μία λέξις τριῶν ἡμερῶν διάλεξιν ἡμῖν ἔτεκε, πόσον ἡμῖν ἀναβλύσει θησαυρὸν ὁλόκληρος περικοπὴ μετὰ ἀκριβείας θεωρουμένη; Μὴ τοίνυν ἀποκάμωμεν, ἕως ἂν τὸ πᾶν ἀποτρυγήσωμεν. Εἰ γὰρ οἱ μέταλλα διορύττοντες χρυσίου, ὅσον ἂν ἐκεῖθεν κενώσωσι πλοῦτον, οὐ πρότερον ἀφίστανται, ἕως ἂν τὸ πᾶν ἀνέλωνται χρυσίον· πολλῷ μᾶλλον ἡμᾶς μείζονι προθυμίᾳ κεχρῆσθαι δεῖ καὶ σπουδῇ περὶ τὴν τῶν θείων λογίων ἔρευναν. Καὶ γὰρ καὶ ἡμεῖς χρυσίον ὀρύττομεν, οὐκ αἰσθητὸν, ἀλλὰ πνευματικόν· οὐ γὰρ μέταλλα γῆς, ἀλλὰ μέταλλα τοῦ Πνεύματος ἐργαζόμεθα. Αἱ γὰρ ἐπιστολαὶ τοῦ Παύλου τοῦ Πνεύματός εἰσι μέταλλα καὶ πηγαί· μέταλλα μὲν, ὅτι χρυσίου παντὸς τιμιώτερον ἡμῖν παρέχουσι πλοῦτον· πηγαὶ δὲ, ὅτι οὐδέποτε ἐπιλείπουσιν· ἀλλ' ὅσον ἂν κενώσῃς ἐκεῖθεν, τοσοῦτον καὶ πολλῷ πλέον ἐπιῤῥεῖ πάλιν. [280] Καὶ τούτου γένοιτ' ἂν ἀπόδειξις σαφὴς ὁ χρόνος ὁ παρελθὼν ἅπας. Ἐξ οὗ γοῦν Παῦλος ἐγένετο, πεντακόσια λοιπὸν ἔτη παρῆλθε· καὶ τοῦτον ἅπαντα τὸν χρόνον πολλοὶ μὲν συγγραφεῖς, πολλοὶ δὲ διδάσκαλοι καὶ ἐξηγηταὶ πολλὰ πολλάκις ἐκεῖθεν ἐξήντλησαν, καὶ τὸν ἀποκείμενον οὐκ ἐκένωσαν πλοῦτον. Οὐ γὰρ αἰσθητὸς ὁ θησαυρός· διὰ τοῦτο οὐκ ἀναλίσκεται τῇ τῶν ὀρυττόντων πολυχειρίᾳ, ἀλλ' αὔξεται καὶ πλεονάζει. Καὶ τί λέγω τοὺς ἔμπροσθεν; Πόσοι μεθ' ἡμᾶς ἐροῦσι καὶ μετ' ἐκείνους ἕτεροι πάλιν, καὶ οὐ παύσεται πηγάζων ὁ πλοῦτος, οὐδὲ ἐπιλείψει ταύτῃ τὰ μέταλλα; πνευματικὰ γάρ ἐστι, καὶ οὐ πέφυκε δαπανᾶσθαί ποτε. Τίς οὖν ἐστιν ἡ ῥῆσις ἡ ἀποστολικὴ, περὶ ἧς καὶ πρώην πρὸς τὴν ὑμετέραν ἀγάπην διελέχθημεν; *Ἔχοντες δὲ τὸ αὐτὸ Πνεῦμα τῆς πίστεως, κατὰ τὸ γεγραμμένον· Ἐπίστευσα, διὸ ἐλάλησα.*

β'. Τότε μὲν οὖν ἐζητοῦμεν, τίνος ἕνεκεν εἴρηκε, *Πνεῦμα πίστεως τὸ αὐτό*· καὶ μίαν αἰτίαν τέως εἰρήκαμεν· αὕτη δὲ ἦν, τὸ δεῖξαι σύμφωνον τῇ Καινῇ τὴν Παλαιὰν οὖσαν. Ὅταν γὰρ φαίνηται τὸ Πνεῦμα τῆς πίστεως τὸ αὐτὸ καὶ τὴν τοῦ Δαυὶδ κινῆσαν γλῶτταν τὴν λέγουσαν, *Ἐπίστευσα, διὸ ἐλάλησα*, καὶ εἰς τὴν τοῦ Παύλου ψυχὴν ἐνεργοῦν, εὔδηλον ὅτι πολλὴ συγγένεια προφητῶν καὶ ἀποστόλων, καὶ ἀνάγκη πολλὴν Παλαιᾶς καὶ Καινῆς εἶναι τὴν συμφωνίαν. Ἀλλ' ἵνα μὴ πάλιν τὰ αὐτὰ ἀνακινοῦντες ἐνοχλῶμεν ὑμῖν, φέρε, καὶ τὴν ἑτέραν αἰτίαν εἴπωμεν, δι' ἣν εἴρηκε, *Τὸ αὐτό*· καὶ γὰρ καὶ τότε ὑμῖν ὑπεσχόμεθα ἑτέραν αἰτίαν ἐρεῖν τῆς ῥήσεως ταύτης. Ἀλλὰ διανάστητε· βαθὺ γὰρ τὸ νόημα τοῦτό ἐστιν, ὃ μέλλω λέγειν πρὸς τὴν ὑμετέραν ἀγάπην, καὶ διορατικῆς δεόμενον διανοίας, καὶ ὀξυτάτης ψυχῆς· διὸ παρακαλῶ μετὰ ἀκριβείας παρακολουθεῖν τοῖς ῥηθήσεσθαι μέλλουσιν. Εἰ γὰρ ἡμέτερος ὁ πόνος, ἀλλ' ὑμέτερον τὸ κέρδος, μᾶλλον δὲ οὐδὲ ἡμέτερος ὁ πόνος. ἀλλὰ τῆς τοῦ Πνεύματος χάριτος ἡ δωρεά· ὅταν δὲ ἀποκαλύψῃ, οὔτε ὁ λέγων, οὔτε οἱ ἀκούοντες κάμνουσι· πολλὴ γὰρ τῆς ἀποκαλύψεως ἡ εὐκολία. Πρόσχωμεν τοίνυν μετὰ ἀκριβείας· κἂν γὰρ τοῖς πλείοσι παρακολουθήσητε, περὶ δὲ βραχὺ μέρος ἀπονυστάξητε, τὸ πᾶν ἀγνοήσετε τοῦ κάλλους, διακοπείσης τῆς ἀκολουθίας λοιπόν. Καὶ καθάπερ οἱ τὰς ὁδοὺς ἀγνοοῦντες καὶ ἑτέρων δεόμενοι τῶν ὁδηγούντων, κἂν πολὺ προέλθωσιν ἀκολουθοῦντες αὐτοῖς, μικρὸν δὲ ἀπῤῥαθυμήσαντες ἀπολέσωσι τὸν ἡγούμενον, οὐδὲν αὐτοῖς ὄφελος ἔσται τῆς προτέρας ἀκολουθήσεως, ἀλλ' ἵστανται λοιπὸν, οὐκ εἰδότες ὅπου προέλθωσιν· οὕτω καὶ οἱ τῷ λέγοντι παρακολουθοῦντες, ἐὰν παρὰ πᾶσαν τὴν διδασκαλίαν προσέχοντες μικρὸν ῥᾳθυμήσωσιν, ἅπασαν τὴν ἀκολουθίαν ῥίψαντες, οὐκ ἔτι λοιπὸν ἐπιστῆναι τῷ τέλει τῶν νοημάτων δυνήσονται. Ἵν' οὖν μὴ τοῦτο πάθητε, διὰ πάντων τῶν μελλόντων ῥηθήσεσθαι τὴν ἴσην μοι παρέχετε σπουδὴν, ἕως ἂν εἰς αὐτὸ τὸ τέλος ἔλθωμεν.

γ'. Τίνος οὖν ἕνεκεν εἴρηκεν, *Ἔχοντες δὲ τὸ αὐτὸ Πνεῦμα τῆς πίστεως*, καὶ σπουδάζει δεῖξαι καὶ ἐν τῇ Παλαιᾷ καὶ ἐν τῇ Καινῇ πίστιν οὖσαν τὴν μητέρα τῶν ἀγαθῶν, μικρὸν ἄνωθεν ἀναγκαῖον εἰπεῖν· οὕτω γὰρ ἔσται κατάδηλος ἡμῖν ἡ αἰτία μᾶλλον. Τίς οὖν ἐστιν ἡ [281] αἰτία; Πολὺς πόλεμος περιειστήκει τοὺς πιστοὺς, ἡνίκα ταῦτα ἐλέγετο, πόλεμος χαλεπὸς καὶ ἀκήρυκτος. Καὶ γὰρ καὶ πόλεις αὐτοῖς ὁλόκληροι καὶ δῆμοι πάντοθεν ἐπανίσταντο, καὶ τύραννοι πάντες ἐπεβούλευον, καὶ βασιλεῖς παρεσκευάζοντο, καὶ ὅπλα ἐκινεῖτο, καὶ ξίφη ἠκονᾶτο, καὶ στρατόπεδα ἠύτρεπίζετο, καὶ πᾶν εἶδος κολάσεως καὶ τιμωρίας ἐπενοεῖτο· ὅθεν ὑπαρχόντων ἁρπαγαὶ καὶ δημεύσεις, καὶ ἀπαγωγαὶ καὶ θάνατοι καθημερινοὶ, καὶ στρεβλώσεις, καὶ δεσμωτήρια, καὶ πῦρ, καὶ σίδηρος, καὶ θηρία, καὶ ξύλον, καὶ τροχὸς, καὶ βάραθρα, καὶ κρημνοὶ, καὶ πάντα τὰ εἰς ἐπίνοιαν πρὸς τὸν τῶν πιστῶν ὄλεθρον ἐκινεῖτο· καὶ οὐδὲ μέχρι τούτων ὁ πόλεμος εἱστήκει. Οὐδὲ γὰρ παρὰ τῶν ἐχθρῶν ἀνερῥιπίζετο μόνον, ἀλλὰ καὶ αὐτὴ καθ' ἑαυτῆς ἡ φύσις ἐσχίζετο. Καὶ γὰρ παισὶν ἐπολέμουν πατέρες, καὶ θυγατέρες ἐμίσουν τὰς κυησάσας, καὶ φίλοι φίλους ἀπεστρέφοντο, καὶ εἰς τὰς συγγενείας καὶ εἰς τὰς οἰκίας ὁ πόλεμος οὗτος ἕρπων εἰσῄει, καὶ θόρυβος ἦν τότε πολὺς κατὰ τὴν οἰκουμένην. Καὶ καθάπερ πλοῖον, κυμάτων διανισταμένων, νεφῶν συῤῥηγνυμένων, βροντῶν καταῤῥηγνυμένων, ζόφου πάντοθεν κυκλοῦντος τὸ σκάφος, τῆς θαλάσσης μαινομένης, θηρίων ἐπανισταμένων, πειρατῶν προσβαλλόντων, αὐτῶν τῶν ἔνδον στασιαζόντων, οὐκ ἂν διαφύγοι τὸν κίνδυνον, εἰ μὴ ἡ ἄνω χεὶρ, ἡ κραταιὰ καὶ μεγάλη, ἀποκρούσαιτο τὸν πόλεμον, καὶ λύσασα τὸν χειμῶνα καταστήσειεν ἐν γαλήνῃ τοὺς πλέοντας· οὕτω δὴ καὶ τότε ἐν ἀρχῇ τοῦ κηρύγματος γέγονεν. Οὐ γὰρ ἔξωθεν προσέβαλλεν ὁ χειμὼν μόνον, ἀλλὰ καὶ οἱ ἔνδον πολλάκις πρὸς ἀλλήλους ἐστασίαζον. Τίς τοῦτό φησιν; Αὐτὸς ὁ Παῦλος γράφων, *Ἔξωθεν μάχαι, ἔσωθεν φόβοι.* Καὶ ὅτι ταῦτ' ἔστιν ἀληθῆ, καὶ διδασκάλους καὶ μαθητὰς μυρία περιεστοίχιστο κακὰ, καὶ πάντας ὁ πόλεμος ἐπενέμετο, αὐτοῦ πάλιν τοῦ Παύλου τὴν μαρτυρίαν παράγω. Ὑμεῖς δὲ μνημονεύετε τῶν λεγομένων ἁπάντων, ἵν' ὅταν μάθητε τοὺς κινδύνους, τοὺς πειρασμοὺς, τὰ μυρία κακὰ, ἅπερ οἱ τότε πιστεύοντες ὑπέμενον, μειζόνως καὶ διὰ τοῦτο εὐχαριστῆτε τῷ Θεῷ, τῷ λύσαντι πάντα ἐκεῖνα τὰ δεινὰ, καὶ εἰρήνην εἰσαγαγόντι βαθεῖαν, καὶ τὸν πόλεμον ἀπελάσαντι, καὶ πολλὴν κατασκευάσαντι τὴν γαλήνην· ἵνα μηδεὶς μήτε ῥᾳθυμῶν νομίζῃ διαφεύγειν τὴν κόλασιν, μήτε κατορθῶν ἐπαίρηται νῦν.

δ'. Οὐ γάρ ἐστιν ἴσον πανταχόθεν πολεμούμενον καὶ μυρίοις περιαντλούμενον κακοῖς δυνηθῆναι στῆναι γενναίως, καὶ καθάπερ ἐν λιμένι καθήμενον νῦν καὶ πάσης ἀπολαύοντα ἀδείας τὴν αὐτὴν ἐπιδείξασθαι προθυμίαν. Ἐκεῖνοι μὲν γὰρ τῶν ἐν πελάγει σαλευόντων τότε καὶ κλυδωνιζομένων οὐδὲν ἄμεινον διέκειντο· ἡμεῖς δὲ τῶν ἐν λιμένι καθημένων ἀδεέστερον

διάγομεν νῦν. Μὴ τοίνυν μήτε ἐπὶ τοῖς κατορθώμασι μέγα φρονῶμεν, μήτε ἐπὶ τοῖς συμπίπτουσι πειρασμοῖς καταπίπτωμεν, μήτε εἰς ῥᾳθυμίαν τῇ τῆς εἰρήνης ἀδείᾳ ἀποχρώμεθα· ἀλλὰ νήφωμεν ἀεὶ καὶ γρηγορῶμεν. Ἔστι γὰρ καὶ ἡμῖν πάλη πρὸς τὰς ἐπιθυμίας τῆς φύσεως. Οὐκ ἐπανίστανται νῦν ἡμῖν ἄνθρωποι, ἀλλ' ἐπανίστανται αἱ τῆς σαρκὸς ἡδοναί· οὐ [282] πολεμοῦσι τύραννοι καὶ βασιλεῖς, ἀλλὰ πολεμεῖ θυμὸς, κενοδοξίας ἔρως, φθόνος, βασκανίαι, καὶ τὰ μυρία τῆς ψυχῆς πάθη. Ἐπεὶ οὖν ἐκείνων τῶν πειρασμῶν ἀπηλλάγμεθα, τούτων περιγενώμεθα. Διὰ γὰρ τοῦτο ἀνέμνησα ὑμᾶς τῶν καιρῶν ἐκείνων τὰ προσοχθίσματα, ἵνα καὶ ὁ ἐν θλίψει νῦν ὢν, ἱκανὴν ἐκεῖθεν λαμβάνῃ παράκλησιν, καὶ ὁ πολλῆς ἀπολαύων ἀδείας, ἀντὶ τῆς ἀτεχνίας τῶν κινδύνων ἐκείνων πολλὴν εἰσάξῃ προθυμίαν εἰς τὴν τῶν ἀτόπων λογισμῶν μάχην. Εἰς γὰρ ἡμετέραν νουθεσίαν καὶ παράκλησιν καὶ ὑπομονὴν πάντα ἐκεῖνα ἐγράφετο· ἅπερ ἀναγκαῖον νῦν πρὸς ὑμᾶς εἰπεῖν, καὶ διδάξαι τὸ μέγεθος τῶν τότε τοὺς πιστοὺς περιεστηκότων δεινῶν, οὐχὶ τοὺς διδασκάλους μόνον, ἀλλὰ καὶ τοὺς μαθητάς. Ἄκουσον γοῦν τί φησιν ὁ Παῦλος γράφων Ἑβραίοις· *Ἀναμιμνήσκεσθε τὰς προτέρας ἡμέρας, ἐν αἷς φωτισθέντες πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων.* Οὐδὲ γὰρ βραχὺς διεγένετο χρόνος, ἀλλ' ἐν αὐτοῖς εὐθὺς τοῖς προοιμίοις τῆς κατηχήσεως καὶ τῆς διδασκαλίας ἐπανέστησαν αὐτοῖς πειρασμοὶ, καὶ βαπτισθέντες εὐθέως ἐκινδύνευον· τί πάσχοντες, ἄκουε· *Τοῦτο μέν, ὀνειδισμοῖς καὶ θλίψεσι θεατριζόμενοι.* Πάντες γὰρ ἐνέπτυον, ὕβριζον, κατεγέλων, ἐχλεύαζον, μωροὺς ἐκάλουν, ἀνοήτους, ὅτι τῆς πατρῴας ἀποστάντες πολιτείας, καινὸν δόγμα κατεδέξαντο. Οὐ μικρὸν δὲ τοῦτο πρὸς τὸ παρασαλεῦσαι ψυχὴν, ἐὰν μὴ ἐῤῥιζωμένη κατὰ βάθους ᾖ πίστις ᾖ. Καὶ γὰρ οὐδὲν οὕτω δάκνει ψυχὴν, ὡς ὄνειδος· οὐδὲν οὕτω τήκει ψυχὴν καὶ διάνοιαν, ὡς σκώμματα καὶ λοιδορίαι· πολλοὶ γὰρ πολλάκις ἄνδρες ὑπεσκελίσθησαν ὀνειδιζόμενοι. Ταῦτα δὲ λέγω νῦν, ἵνα ἐν παῤῥησίᾳ τὴν πίστιν ἔχωμεν. Εἰ γὰρ τότε, ὅτε πᾶσα αὐτοῖς ὠνείδιζεν οἰκουμένη, οὐχ ὑπεσκελίσθησαν, πολλῷ μᾶλλον νῦν ἐν παῤῥησίᾳ τὸ κήρυγμα τῆς ἀληθείας ἔχειν δεῖ, ὅτε πᾶσα ἡ οἰκουμένη πρὸς ἡμᾶς μετετάξατο. Ὅτι δὲ οὐ μέχρι κατηγορίας καὶ ὀνειδισμῶν καὶ λοιδορίας ἵσταντο ἐκεῖνοι, ἀλλὰ καὶ ἔχαιρον οἱ ταῦτα πάσχοντες, ἄκουσον τῶν ἑξῆς. *Καὶ γὰρ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν*, φησὶ, *μετὰ χαρᾶς προσεδέξασθε.* Ὁρᾷς ὅτι καὶ αἱ οὐσίαι αὐτῶν ἐδημεύοντο τὸ παλαιὸν, καὶ πᾶσιν εἰς ἁρπαγὴν προέκειντο τοῖς βουλομένοις ἐπηρεάζειν. Καὶ ταῦτα μὲν Ἑβραίοις ἐπιστέλλων ἔλεγε.

ε'. Θεσσαλονικεῦσι δὲ ἕτερα τοιαῦτα μαρτυρεῖ πάλιν λέγων· *Ὑμεῖς γὰρ μιμηταὶ*, φησὶν, *ἐγενήθητε τοῦ Κυρίου καὶ ἡμῶν, δεξάμενοι τὸν λόγον ἐν θλίψει πολλῇ.* Ὅρα καὶ τούτους θλιβομένους, καὶ οὐχ ἁπλῶς, ἀλλ' ἐν θλίψει πολλῇ. Μετ' ἐπιτάσεως γὰρ ἦν [a] ὁ πειρασμὸς, διηνεκὴς ὁ κίνδυνος, οὐδὲ μικρὸν ἀναπνεῦσαι παρέχων τοῖς ἀγωνιζομένοις τότε. Ἀλλ' ὅμως καὶ ταῦτα πάσχοντες οὐκ ἐδυσχέραινον, οὐδὲ ἀπεδυσπέτουν, ἀλλὰ μᾶλλον καὶ ἔχαιρον. Πόθεν τοῦτο δῆλον; Ἀπ' αὐτῶν τῶν τοῦ Παύλου ῥημάτων· εἰπὼν γὰρ, *Ἐν θλίψει πολλῇ*, προσέθηκε, *Μετὰ χαρᾶς Πνεύματος ἁγίου*· δηλῶν ὅτι οἱ μὲν πειρασμοὶ τὴν θλῖψιν ἐποίουν, ἡ δὲ τῶν πειρασμῶν ὑπόθεσις τὴν χαρὰν αὐτοῖς ἔτικτεν. Ἦρχει γὰρ εἰς παραμυθίαν τὸ συνειδέναι ἑαυτοῖς, ὅτι ταῦτα διὰ τὸν Χριστὸν [283] ἔπασχον. Διότι οὐχ [b] οὕτω θαυμάζω τοὺς τότε, ὅτι ἐθλίβοντο, ὡς θαυμάζω, ὅτι θλιβόμενοι διὰ τὸν Θεὸν ἔχαιρον. Τοῦτο γὰρ γενναίας καὶ φιλοθέου ψυχῆς, τὸ θλίβεσθαι καὶ κακῶς πάσχειν· τὸ δὲ γενναίως φέρειν τὸν πειρασμὸν, καὶ τῷ συγχωροῦντι τὰς θλίψεις εὐχαριστεῖν, τοῦτο μεγίστης ἀνδρείας, τοῦτο διεγηγερμένης ψυχῆς καὶ τῶν ἀνθρωπίνων ἀπηλλαγμένης ἁπάντων.

Οὐκ ἐνταῦθα δὲ μόνον, ἀλλὰ καὶ ἑτέρωθι δηλῶν, ὅσα ἔπασχον οἱ πιστεύοντες τότε κακὰ παρὰ τῶν οἰκείων καὶ συγγενῶν (τοῦτο γὰρ ἦν τὸ χαλεπώτατον), οὑτωσί πώς φησιν· *Ὑμεῖς γὰρ μιμηταὶ ἐγενήθητε, ἀδελφοὶ, τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ.* Κατὰ τί μιμηταί; *Ὅτι καὶ ὑμεῖς τὰ αὐτὰ ἐπάθετε ἀπὸ τῶν ἰδίων συμφυλετῶν, καθὼς καὶ αὐτοὶ ὑπὸ τῶν Ἰουδαίων.* Ἰδοὺ καὶ πόλεμος, ἀλλὰ καὶ πόλεμος ἐμφύλιος, ὃ μείζω ποιεῖ τὴν ὀδύνην. *Εἰ γὰρ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν*, φησί· *σὺ δὲ, ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου καὶ γνωστέ μου*· ὅπερ τότε συνέβαινε συμβολικῶς. Διὸ καὶ πολλῆς ἐδέοντο τῆς παρακλήσεως. Ὅπερ οὖν καὶ Παῦλος συνορῶν, καὶ τοὺς ὑπ' αὐτῷ ταττομένους βλέπων κάμνοντας καὶ ἱδροῦντας, βαρυνομένους τῷ μεγέθει τῶν συμφορῶν καὶ ταῖς ἐπαλλήλοις ὀδυνωμένους πληγαῖς, πολυτρόπως αὐτῶν διανίστησι τὰ φρονήματα, νῦν μὲν λέγων, *Εἴπερ δίκαιον παρὰ Θεῷ ἀντιποδοῦναι τοῖς θλίβουσιν ὑμᾶς θλῖψιν, καὶ ὑμῖν τοῖς θλιβομένοις ἄνεσιν μεθ' ἡμῶν*· νῦν δὲ λέγων, *Ὁ Κύριος ἐγγύς, μηδὲν μεριμνᾶτε*· καὶ πάλιν, *Μὴ ἀποβάλητε τὴν παῤῥησίαν ὑμῶν· ὑπομονῆς γὰρ ἔχετε χρείαν, ἵνα τὸ θέλημα τοῦ Θεοῦ ποιήσαντες, κομίσησθε τὴν ἐπαγγελίαν.* Εἶτα πρὸς τὴν ὑπομονὴν ἀλείφων αὐτοὺς, ἐπάγει· *Ἔτι γὰρ μικρὸν ὅσον, ὅσον, ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ.* Καὶ καθάπερ παιδίον κλαυθμυρίζον, δυσχεραῖνον, καὶ τὴν μητέρα ἐπιζητοῦν παρακαθήμενός τις παραμυθεῖται λέγων, ὅτι Ἔτι μικρὸν ἀνάμεινον, καὶ ἀπαντήσεται πάντως ἡ μήτηρ· οὕτω καὶ Παῦλος ὁρῶν δυσανασχετοῦντας, ὀδυρομένους, τὴν παρουσίαν ἐπιζητοῦντας τοῦ Χριστοῦ τοὺς τότε πιστεύοντας διὰ τὴν ἀφόρητον τῶν κακῶν ἐπαγωγὴν, παραμυθούμενος ἔλεγεν· *Ἔτι μικρὸν ὅσον, ὅσον, ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ.*

ς'. Ὅτι μὲν οὖν οἱ μαθηταὶ ἐθλίβοντο, καὶ μυρία ἔπασχον δεινὰ, καὶ καθάπερ ἐν μέσοις ἐπειλημμένοι λύκοις ἄρνες, οὕτω πάντοθεν ἠλαύνοντο, δῆλον ἐκ τούτων· ἵνα δὲ μάθῃς ὅτι καὶ οἱ διδάσκαλοι οὐκ ἐλάττονα τούτων, ἀλλὰ καὶ πολλῷ χαλεπώτερα τότε ὑπέμενον (ὅσῳ γὰρ μειζόνως ἐλύπουν τοὺς ἐχθροὺς

[a] Hæc, γὰρ ἦν, desunt in duobus mss.

[b] Alii διόπερ οὐχ.

incolumes jam per otium se reficiunt. Quapropter neque propter bonam vivendi rationem extollamur, neque tentationibus cedamus, neque securitate Ecclesiæ nostram ad segnitiem abutamur : quin potius sobrii simus ac vigilemus. Nam nobis quoque est lucta adversus innatas concupiscentias. Non insurgunt contra nos homines, sed insurgunt carnales voluptates ; non impugnant nos reges atque tyranni, sed impugnat ira, vanæ gloriæ cupido, invidia, æmulatio, atque id genus alii affectus innumeri. Quando igitur illas tentationes evasimus, ne ab his vincamur operam demus. Ideo enim vobis in memoriam revocavi illius temporis calamitates, ut nunc et qui affligitur, idoneam inde consequatur consolationem, et qui in securitate agit, utpote non exercitatus acre contra absurdas cogitationes certamen suscipiat*. Propter nostram enim admonitionem et consolationem ac tolerantiam illa omnia sunt scripta : quæ quidem necesse habemus nunc apud vos eloqui, et docere quantis adversitatibus ejus temporis fideles obsessi fuerint non doctores solum, verumetiam discipuli. Audi igitur quid dicat Paulus ad Hebræos scribens : *Memores estote priorum dierum, in quibus illuminati multum certamen afflictionum sustinuistis* (*Hebr.* 10. 32). Non enim per breve tempus, sed mox ab ipso exordio prædicationis et doctrinæ insurrexerunt adversus eos tentationes, et mox a suscepto baptismo periculis erant obnoxii : at quomodo audi : *Opprobriis et tribulationibus spectaculum facti* (*Ib. v.* 33). Omnes enim despuebant eos, contumeliis afficiebant, deridebant, vituperabant, fatuos vocabant ac insensatos, quod deserta patria vivendi formula, nova placita suscepissent. Quæ quidem non parum valent ad commovendam animam, ni fides profunde sit radicata. Nihil enim æque animam mordet, ac improperium ; nihil æque tabefacit mentem, ac dicteria et convicia : nam multi viri per convicia sunt sæpe subversi. Hæc autem loquor nunc, ut cum fiducia fidem teneamus. Si enim illi totius orbis convicio non sunt subversi, multo magis nostra ætate fides magna confidentia retinenda est, quando totus orbis ad nostras partes accessit. Quod autem illi non intra calumnias tantum et opprobria conviciaque patientiam retinuerint, sed illa cum gaudio toleraverint, audi quæ sequuntur. *Nam et direptionem*, inquit, *facultatum vestrarum cum gaudio pertulistis* (*Ib. v.* 34). Vides quod et bona eorum confiscabantur olim, et omnibus in prædam erant, qui eos lædere cuperent. Atque hæc quidem ad Hebræos scribit.

5. De Thessalonicensibus vero rursum aliud quiddam tale testatur : *Vos enim*, inquit, *imitatores facti estis Domini ac nostri, qui suscepistis sermonem hunc in tribulatione magna* (1. *Thess.* 1. 6). Vide etiam hos affligi, neque id simpliciter, sed afflictione magna. Vehemens tentatio, continuum periculum nec minimam quidem respirandi facultatem concedebat eis, qui tunc temporis in certamine erant. Attamen cum hæc tolerarent, non inique ferebant, neque animum despondebant, imo gaudebant etiam. Unde hoc apparet ? Ex verbis ipsius Pauli. Ubi enim dixit : *In tribulatione magna*, addidit, *Cum gaudio Spiritus sancti* (1. *Thess.* 1. 6), scilicet tentatio pariebat afflictionem, gaudebant tamen reputantes quare tentarentur. Idonea enim erat consolatio, quod conscii essent propter Christum se hæc pati, quapropter non tam demiror quod illo tempore affligerentur, quam quod affligi se propter Deum lætarentur. Hoc enim generosæ ac Deum amantis animæ officium est, nimirum afflictiones et adversitates ferre. Cæterum generose tolerare tentationem, atque insuper gratias agere ei, qui se tentari permittit, id demum summæ fortitudinis est, animæque vigilantis, et quæ omnibus humanis affectibus sit superior.

A familiaribus et propinquis vexati Christiani. — Nec hic tantum, sed et alibi docens quanta mala paterentur ejus temporis fideles a familiaribus ac propinquis (hoc enim erat gravissimum), in hunc modum loquitur : *Vos imitatores fuistis Ecclesiarum Dei, quæ sunt in Judæa.* Qua in re imitatores? *Quoniam et vos eadem estis perpessi a propriis contribulibus, sicut et illi a Judæis* (*Ibid.* 2. 14). Ecce bellum, sed bellum civile, quod majorem facit indignationem. *Si enim inimicus exprobrasset mihi*, inquit, *sustinuissem utique. Tu vero, homo unanimis, dux meus et notus meus* (*Psalm.* 54. 13. 14); id quod tum in figura contingebat. Quapropter multa opus habebant consolatione. Quod quidem Paulus cum videret, eosque qui ad suam curam pertinebant laborare ac sudare animadverteret, quod magnis calamitatibus gravarentur, et alias super alias plagas ægre sustinerent, vide quam variis modis animos eorum excitet, nunc quidem his verbis : *Si quidem justum est apud Deum retribuere tribulantibus vos tribulationem, et vobis qui tribulamini, requiem nobiscum* (2. *Thess.* 1. 6. 7) : nunc vero his : *Dominus prope est, nihil solliciti sitis* (*Philipp.* 4. 5. 6). Ac rursum, *Nolite amittere confidentiam vestram : nam patientia opus habetis, ut Dei voluntatem facientes, reportetis promissionem* (*Hebr.* 10. 35. 36). Deinde ad patientiam eos confirmans subinfert : *Adhuc enim modicum aliquantulum qui venturus est veniet, et non tardabit* (*Ibid. v.* 37). Sicut puerulum plorantem, moleste ferentem, matremque suam requirentem, assidens aliquis sic consolatur : Paulisper adhuc exspecta, et omnino tua mater aderit : ita etiam Paulus, videns ægre ferentes, conquerentes, adventum Christi requirentes ejus temporis fideles propter intolerabilem malorum vim, consolaturus illos dicit : *Adhuc modicum aliquantulum qui venturus est veniet, et non tardabit.*

6. *Doctores ipsi gravius afflicti.* — Itaque quod discipuli affligerentur, et plurima mala paterentur, et sicut agni in medio luporum undique persequutionem sustinerent, per hæc satis apparet ; ut autem sciatis, etiam doctores non minora, imo vero multo graviora sustinuisse (nam quo magis

* Vide hunc locum secundis curis retractatum in Præfat. hujus tomi, col. 14.

inimicos veritatis contristabant, eo magis et a pluribus infestabantur), hoc quoque ab eodem, qui superiora nos docuit, audiemus. Corinthiis enim scribens, sic loquitur : *Nemini dantes ullam occasionem, ut non vituperetur ministerium nostrum : sed in omnibus exhibentes nosmetipsos, sicut Dei ministros, in multa patientia, in afflictionibus, in necessitatibus, in angustiis, in plagis, in carceribus, in seditionibus, in laboribus, in vigiliis, in jejuniis* (2. *Cor.* 6. 3–5). Vidistin' quot certamina enumeraverit, quam crebras tentationes? Rursum eisdem scribens, *Ministri Christi sunt*, inquit, *ut minus sapiens dico, plus ego* (2. *Cor.* 11. 23). Deinde volens nobis persuadere, multo præstantius esse propter Christum affligi quam prodigia facere, et probationem adferens apostolatus, ostendensque se præferendum esse aliis, non apostolis, sed pseudo-apostolis, non a miraculis per se editis argumentatur, sed a continuis periculis in quibus versabatur, in hunc modum scribens : *In laboribus copiosius, in verberibus supra modum, in carceribus abundantius, in mortibus frequenter : a Judæis quinquies quadragenas una minus accepi, ter virgis cæsus sum, semel lapidatus sum, ter naufragium feci, nocte ac die in profundo egi : in itineribus sæpe, in periculis fluminum, periculis latronum, periculis ex genere, periculis ex gentibus, periculis in civitate, periculis in deserto, periculis in mari, periculis in falsis fratribus : in labore et molestia, in vigiliis sæpe, in fame et siti, in frigore et nuditate, præter illa quæ extrinsecus sunt* (*Ib. ad v.* 28). Ili sunt veri apostolatus characteres. Prodigia siquidem et alii sæpe fecerunt, nec eis fecisse profuit, sed post omnia illa audiverunt, *Recedite, non novi vos qui operamini iniquitatem* (*Matth.* 7. 23) : nemo vero eorum qui eadem quæ Paulus commemorare possunt, vocem illam unquam est auditurus : verum cum magna fiducia cælum conscendet, bonisque cælestibus perfruetur universis.

7. Fortasse prolixior visus est vobis sermo noster : sed ne sitis solliciti; non sum oblitus promissionis, sed statim ad illam revertar. Hæc autem non temere longiori oratione prosequuti sumus, sed ut prolixiori verborum apparatu certius ac clarius doctrinam nostram approbaremus, simulque afflictorum animas consolaremur, ut quotquot in periculis versantur et tentationibus, idoneam nacti consolationem discedant, scientes quod socii Pauli per has afflictiones efficiantur, imo vero ipsius Christi angelorum Domini : qui autem afflictionum ejus particeps est in hoc sæculo, in illo particeps erit etiam gloriæ; ait enim : *Si quidem compatimur, ut et conglorificemur* (*Rom.* 8. 17); ac rursum : *Si sustinemus, ut simul etiam regnemus* (2. *Tim.* 2. 12). Omnino enim necesse est, ut fidelium genus afflictionibus prematur : *Omnes enim qui volunt pie in Christo vivere, persecutionem patientur* (2. *Tim.* 3. 12); ac rursum : *Fili, dum accedis ad serviendum Domino, præpara animam tuam ad tentationem; recte fac, et persevera* (*Eccli.* 2. 1). Bella promissiones, statim ab exordio in tentationes incidere? egregia vero exhortatio et insignis consolatio ejus servitutis, pericula confestim degustare? Planæ egregia simul et admiranda, et maximum lucrum adferens. Quodnam illud? Audi quæ sequuntur : *Sicut enim in igne probatur aurum, sic homines accepti in fornace tentationis* (*Eccli.* 2. 5). Quod autem dicit sic accipe : sicut aurum igne examinatum purius redditur, pari modo etiam anima, quæ inter afflictiones versatur ac pericula, hilarior ac splendidior per illa evadit, omnemque peccatorum maculam abstergit. Hinc est quod ad divitem illum dicebat Abraham : *Lazarus recepit mala sua : hic autem consolationem recipit* (*Luc.* 16. 25). Ac Paulus Corinthiis scribens dicit : *Propter hoc inter vos multi imbecilles et invalidi, et dormiunt multi. Etenim si nos ipsos dijudicaremus, non utique judicaremur : at cum judicamur a Domino corripimur, ne cum mundo damnemur* (1. *Cor.* 11. 30-32). Quin et fornicatorem illum hac de causa tradidit in interitum carnis, ut spiritus salvus fieret (1. *Cor.* 5. 5), ostendens præsenti tentatione salutem perfici, et pericula iis, qui cum gratiarum actione subeunt illa, animæ purgationem esse maximam. Itaque quod afflictiones pertulerint fideles, et innumeras calamitates tam discipuli quam doctores, ac ne minimum quidem respiraverint, variis omnium generum bellis undique circumdati, satis hic noster sermo declaravit, et plura etiam de hoc et sacris Literis studiosi colligere possunt.

8. Superest ut hæc ad propositum nostrum adducamus. Quid autem proposueramus dicere? Qua de causa Paulus dixerit, *Habentes eumdem Spiritum fidei.* Cur igitur dixit? Turbabat hoc discipulos, quod gravia quidem in re præsenti experiebantur, bona vero spe solum concipiebant, et illa quidem jam aderant, hæc longe distabant; illa jam contingebant, hæc adhuc sperabantur. Quid mirum si initio prædicationis quibusdam hoc usu veniebat, quandoquidem nunc post tantum temporis spatium, post prædicationem toto orbe propagatam, post tot certa promissionum argumenta, idem multis adhuc usu venire solet?

In Veteri Testamento præmia hic accipiebantur. — Nec hoc solum illos perterrebat, sed et aliud quiddam, idque non minus. Quodnam hoc? Cogitabant apud se, in veteri Testamento non ad eum modum res hominum dispensatas fuisse, sed virtutis præmia confestim accepisse quicumque justam ac temperatam vivendi rationem prætulissent. Non enim post corporum resurrectionem, neque in futura vita, sed hic in præsenti vita omnes eis promissiones implebantur. Ait enim : *Si dilexeris Dominum Deum tuum, bene tibi erit, et multiplicabit Deus armenta boum tuorum, et greges pecorum tuorum : non erit apud te infecundum, neque sterile : non erit apud te languor neque ægritudo* (*Deut.* 7. 13. 15). *Emittet Deus benedictionem in promptuaria cellarum tuarum* (*Deut.* 28. 8. 12); *aperiet cælum, et*

τῆς ἀληθείας, τοσούτῳ καὶ παρὰ πλειόνων ἐβάλλοντο), καὶ ταῦτα παρὰ τοῦ τὰ πρότερα εἰρηκότος ἀκούσωμεν. Κορινθίοις γὰρ γράφων, οὕτως ἔλεγε· *Μηδεμίαν ἐν μηδενὶ διδόντες προσκοπὴν, ἵνα μὴ μωμασθῇ ἡ διακονία ὑμῶν, ἀλλ' ἐν παντὶ συνιστῶντες ἑαυτοὺς, ὡς Θεοῦ διάκονοι, ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς, ἐν ἀκαταστασίαις, ἐν κόποις, ἐν ἀγρυπνίαις, ἐν νηστείαις.* Εἶδες πόσους ἄθλους ἠρίθμησε, πόσας πειρασμῶν νιφάδας; Πάλιν τοῖς αὐτοῖς [284] ἐπιστέλλων, *Διάκονοι Χριστοῦ εἰσι*, φησὶ, *παραφρονῶν λαλῶ, ὑπὲρ ἐγώ.* Εἶτα βουλόμενος ἡμᾶς πεῖσαι, ὅτι τοῦ σημεῖα ποιεῖν πολλῷ λαμπρότερον τὸ διὰ τὸν Χριστὸν θλίβεσθαι, καὶ ποιούμενος ἀπόδειξιν ἀποστολῆς, καὶ δεικνὺς ὅτι βελτίων αὐτῶν ἐστιν, οὐχὶ τῶν ἀποστόλων λέγω, ἀλλὰ τῶν ψευδαποστόλων, οὐκ ἀπὸ θαυμάτων καὶ σημείων, ἀλλ' ἀπὸ κινδύνων ἐπαλλήλων ποιεῖται τὸν τῆς ὑπεροχῆς ἔλεγχον, οὑτωσὶ λέγων· *Ἐν κόποις περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν φυλακαῖς περισσοτέρως, ἐν θανάτοις πολλάκις· πεντάκις τεσσαράκοντα παρὰ μίαν ὑπὸ Ἰουδαίων ἔλαβον, τρὶς ἐῤῥαβδίσθην, ἅπαξ ἐλιθάσθην, τρὶς ἐναυάγησα, νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα· ὁδοιπορίαις πολλάκις, κινδύνοις ποταμῶν, κινδύνοις λῃστῶν, κινδύνοις ἐκ γένους, κινδύνοις ἐξ ἐθνῶν, κινδύνοις ἐν πόλει, κινδύνοις ἐν ἐρημίᾳ, κινδύνοις ἐν θαλάσσῃ, κινδύνοις ἐν ψευδαδέλφοις· ἐν κόπῳ καὶ μόχθῳ, ἐν ἀγρυπνίαις πολλάκις, ἐν λιμῷ καὶ δίψει, ἐν ψύχει καὶ γυμνότητι, χωρὶς τῶν παρεκτός.* Οὗτοι τῆς ἀκριβοῦς ἀποστολῆς οἱ χαρακτῆρες. Σημεῖα μὲν γὰρ καὶ ἕτεροι πολλοὶ πολλάκις ἐποίησαν, καὶ οὐδὲν ἀπώναντο τῶν θαυμάτων, ἀλλὰ μετὰ πάντα ἐκεῖνα ἤκουσαν· *Ὑπάγετε, οὐκ οἶδα ὑμᾶς, οἱ ἐργαζόμενοι τὴν ἀνομίαν·* τῶν δὲ ταῦτα δυναμένων εἰπεῖν, ἅπερ ὁ Παῦλος ἀπηριθμήσατο νῦν, οὐδεὶς ἐκείνης ἀκούσεται τῆς φωνῆς· ἀλλὰ μετὰ πολλῆς τῆς παῤῥησίας τῶν οὐρανῶν ἐπιβήσεται καὶ τῶν ἐν τοῖς οὐρανοῖς ἀγαθῶν ἀπολαύσεται πάντων.

ζ'. Τάχα μακρότερος ἡμῖν ὁ λόγος ἐγένετο· ἀλλὰ μὴ δείσητε· οὐκ ἐπιλελήσμεθα τῆς ὑποσχέσεως, ἀλλ' αὐτίκα δὴ πρὸς αὐτὴν πάλιν ἐπανήξομεν. Καὶ ταῦτα δὲ οὐ μάτην ἐμηκύναμεν, ἀλλὰ διὰ πλείονος κατασκευῆς ἀναμφισβήτητον καὶ σαφέστερον βουλόμενοι ποιήσασθαι τὴν ἀπόδειξιν, ὁμοῦ δὲ τὰς θλιβομένας παρακαλέσαι ψυχὰς, ἵν' ἕκαστος τῶν ἐν πειρασμοῖς ὄντων καὶ κινδύνοις ἱκανὴν λαβὼν παραμυθίαν ἀπέλθῃ, μαθὼν ὅτι Παύλου κοινωνὸς διὰ τῶν παθημάτων γίνεται, μᾶλλον δὲ τοῦ τῶν ἀγγέλων Δεσπότου Χριστοῦ· κοινωνῶν δὲ αὐτοῦ τῶν παθημάτων ἐνταῦθα κοινωνήσει τῆς δόξης ἐκεῖ· *Εἴπερ γὰρ*, φησὶ, *συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν·* καὶ πάλιν· *Εἰ ὑπομένομεν, ἵνα καὶ συμβασιλεύσωμεν.* Ἀνάγκη γὰρ τὸν πιστὸν θλίβεσθαι πάντως. *Πάντες γὰρ οἱ θέλοντες ζῆν εὐσεβῶς ἐν Χριστῷ, διωχθήσονται·* καὶ πάλιν· *Τέκνον, εἰ προσέρχῃ δουλεύειν Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμὸν, εὔθυνον καὶ καρτέρησον.* Καλαὶ αἱ ἐπαγγελίαι ἐκ προοιμίων εἰς πειρασμοὺς ἐμπεσεῖν· μεγάλη προτροπὴ καὶ παράκλησις ἐναργὴς τῆς δουλείας κινδύνων εὐθέως ἀπογεύσασθαι. Μεγίστη οὖν καὶ θαυμασία, καὶ κέρδος ἔχουσα μέγιστον. Ποῖον δὲ τοῦτο; Ἄκουσον τῶν ἑξῆς· *Ὥσπερ γὰρ ἐν πυρὶ δοκιμάζεται χρυσὸς, οὕτως ἄνθρωποι δεκτοὶ ἐν καμίνῳ ταπεινώσεως.* Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· Ὥσπερ τὸ χρυσίον τῷ πυρὶ βασανιζόμενον καθαρώτερον γίνεται, οὕτω καὶ ἡ ψυχὴ, θλίψεσιν ὁμιλοῦσα καὶ κινδύνοις, φαιδροτέρα καὶ [285] λαμπροτέρα ἄνεισι, καὶ πᾶσαν ἁμαρτημάτων ἀποῤῥίψεται κηλῖδα. Ὅθεν καὶ πρὸς τὸν πλούσιον ἔλεγε ὁ Ἀβραὰμ, ὅτι *Λάζαρος ἀπέλαβε τὰ κακὰ, καὶ ἐνταῦθα παρακαλεῖται.* Καὶ Παῦλος Κορινθίοις ἐπιστέλλων ἔγραφε· *Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄῤῥωστοι. Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν.* Καὶ τὸν πεπορνευκότα δὲ δι' αὐτὸ τοῦτο παρέδωκεν εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα τὸ πνεῦμα σωθῇ· δεικνὺς ὅτι σωτηρίαν ὁ παρὼν ἐργάζεται πειρασμὸς, καὶ οἱ κίνδυνοι τοῖς μετ' εὐχαριστίας αὐτοὺς φέρουσι, καθάρσιον ψυχῆς εἰσι μέγιστον. Ὅτι μὲν οὖν ἐθλίβοντο οἱ πιστοὶ, καὶ μυρία ἔπασχον δεινὰ καὶ μαθηταὶ καὶ διδάσκαλοι καὶ οὐδὲ μικρὸν ἀνέπνεον, ποικίλοις τισὶ καὶ παντοδαποῖς πάντοθεν περιεστοιχισμένοι πολέμοις, ἱκανῶς ὁ λόγος ἀπέδειξε, καὶ πλείω δὲ τῶν εἰρημένων τοῖς φιλοπόνοις ἔξεστιν ἀναλέξασθαι ἐκ τῶν θείων Γραφῶν.

η'. Λοιπὸν δὲ ἐπὶ τὸ προκείμενον τὸν λόγον ἀγάγωμεν. Τί δὲ τὸ προκείμενον ἦν εἰπεῖν; Τίνος ἕνεκεν εἶπεν ὁ Παῦλος, *Ἔχοντες Πνεῦμα πίστεως τὸ αὐτό.* Τίνος οὖν ἕνεκεν εἶπεν; Ἐθορύβει τοῦτο τοὺς μαθητὰς, ὅτι τὰ μὲν δεινὰ ἐν πείρᾳ, τὰ δὲ χρηστὰ ἐν ἐλπίσι· καὶ τὰ μὲν παρῆν, τὰ δὲ ἀφειστήκει· καὶ τὰ μὲν ἐγίνετο, τὰ δὲ ἠλπίζετο. Καὶ τί θαυμαστὸν, εἰ τότε ἐν ἀρχῇ τοῦ κηρύγματος τοῦτο ἔπασχόν τινες, ὅπου γε καὶ νῦν μετὰ τοσοῦτον χρόνον, μετὰ τὸ πανταχοῦ τῆς οἰκουμένης ἐκταθῆναι τὸ κήρυγμα, μετὰ τὸ λαβεῖν ἀποδείξεις τοσαύτας τῶν ὑποσχέσεων, πολλοὶ οἱ τοῦτο πάσχοντές εἰσιν;

Οὐ τοῦτο δὲ μόνον αὐτοὺς διετάραττεν, ἀλλὰ καὶ ἕτερον οὐκ ἔλαττον τούτου. Ποῖον δὴ τοῦτο; Ἐνενόουν πρὸς ἑαυτοὺς, ὅτι ἐν τῇ Παλαιᾷ Διαθήκῃ οὐχ οὕτω τὰ πράγματα ᾠκονομήθη, ἀλλὰ τῆς ἀρετῆς τοὺς ἄθλους καὶ τοὺς μισθοὺς εὐθέως ἀπελάμβανον οἱ μετ' ἐπιεικείας καὶ σωφροσύνης προῃρημένοι ζῆν. Οὐ γὰρ μετὰ τὴν τῶν σωμάτων ἀνάστασιν, οὐδὲ ἐν τῇ μελλούσῃ ζωῇ, ἀλλ' ἐνταῦθα, καὶ κατὰ τὸν παρόντα βίον πᾶσαι αὐτοῖς ἐπληροῦντο αἱ ὑποσχέσεις. *Ἐὰν γὰρ ἀγαπήσῃς*, φησὶ, *Κύριον τὸν Θεόν σου, εὖ σοι ἔσται, καὶ πληθυνεῖ ὁ Θεὸς τὰ βουκόλια τῶν βοῶν σου, καὶ τὰ ποίμνια τῶν προβάτων σου· οὐκ ἔσται ἐν σοὶ ἄγονον, οὐδὲ στεῖρον· οὐκ ἔσται ἐν σοὶ μαλακία*, φησὶν, *οὐδὲ νόσος. Ἐξαποστελεῖ ὁ Θεὸς τὴν εὐλογίαν αὐτοῦ εἰς τὰ ταμιεῖα τῶν ἀποθηκῶν σου· ἀνοίξει τὸν οὐρανὸν, καὶ δώσει*

σοι ὑετὸν πρώϊμον καὶ ὄψιμον. Καταλήψεται ὁ ἀλοητὸς τὸν τρυγητὸν καὶ ὁ τρυγητὸς τὸν σπόρον. Καὶ πολλὰ ἕτερα τοιαῦτα αὐτοῖς ἐπηγγείλατο, ἅπερ ἅπαντα κατὰ τὴν παροῦσαν ζωὴν αὐτοῖς ἀπεδίδοτο. Εἴ τις ὀξύτερος, ἤδη προβλέπει τὴν λύσιν. Ἐπεὶ οὖν σώματος ὑγίεια, καὶ γῆς εὐκληρία, καὶ πολυπαιδία καὶ εὐπαιδία, καὶ λιπαρὸν γῆρας, καὶ ὡρῶν κρᾶσις ἀρίστη, καὶ εὐετηρία, καὶ ὄμβρων εὐκαιρία, καὶ πολλὰ ποίμνια [a] καὶ βουκόλια, καὶ πάντα ἁπλῶς τὰ ἀγαθὰ κατὰ τὴν παροῦσαν αὐτοῖς ἐπληροῦτο ζωὴν, [286] καὶ οὐδὲν ἐν ἐλπίσιν ἦν, οὐδὲ μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν· ἀναλογιζόμενοι οὖν ταῦτα οἱ πιστοὶ, ὅτι τοῖς προγόνοις τοῖς ἑαυτῶν παρὰ πόδας ἅπαντα τὰ ἀγαθὰ ἀπήντα, αὐτοῖς δὲ εἰς τὴν μέλλουσαν ζωὴν τὰ ἔπαθλα καὶ οἱ στέφανοι πάντες εἰσὶ τεταμιευμένοι, καὶ ἐν πίστει τὰ τῶν ἐπαγγελιῶν, ἔχαμνον, ἐξελύοντο, τὴν παροῦσαν ζωὴν ἅπασαν διὰ πειρασμῶν ἔλκειν ἀναγκαζόμενοι. Ταῦτα οὖν ἐννοῶν ὁ Παῦλος καὶ τὸ μέγεθος τῶν ἐπηρτημένων αὐτοῖς δεινῶν, καὶ ὅτι τούτοις μὲν τὸν μισθὸν τῶν πόνων μετὰ τὴν ἐντεῦθεν αὐτοῖς ἀποδημίαν ὁ Θεὸς ἐπηγγείλατο, τοὺς δὲ προγόνους αὐτῶν ἐντεῦθεν ἠμείψατο, καὶ συνορῶν πολλὴν ἐκ τῶν λογισμῶν τούτων ἀκηδίαν ἐγγινομένην αὐτοῖς, βουλόμενος αὐτοὺς ἀναστῆσαι καὶ διδάξαι, ὅτι καὶ ἐπὶ τῶν πατέρων τῶν αὐτῶν οὕτω τὰ πράγματα ᾠκονόμητο, καὶ ἐν πίστει πολλοὶ τὸν μισθὸν ἔλαβον, οὐκ ἐν τῇ πείρᾳ, ἀνέμνησεν αὐτοὺς τῆς προφητικῆς ῥήσεως, εἰπών· *Ἔχοντες τὸ αὐτὸ Πνεῦμα τῆς πίστεως, κατὰ τὸ γεγραμμένον· Ἐπίστευσα, διὸ ἐλάλησα·* μονονουχὶ λέγων, ὅτι καὶ ὁ μέγας Δαβὶδ, ὁ θαυμαστὸς καὶ γενναῖος προφήτης ἐκεῖνος, πίστει τὴν ἀμοιβὴν ἐκομίσατο, οὐχὶ τῇ πείρᾳ· οὐ γὰρ ἂν, εἰ μὴ τοῦτο ἦν, εἶπεν, *Ἐπίστευσα, διὸ καὶ ἐλάλησα.* Ἡ γὰρ πίστις ἐλπιζομένων ἐστὶν ὑπόστασις πραγμάτων, οὐ βλεπομένων· ὃ δὲ βλέπει τις, οὐ πάντως καὶ ἐλπίζει. Εἰ τοίνυν ἐπίστευσε, τοῖς ἐλπιζομένοις ἐπίστευσεν. Εἰ δὲ τοῖς ἐλπιζομένοις ἐπίστευσε, τὰ δὲ ἐλπιζόμενα οὐδέπω βλέπεται, οὔπω ἦν ἀπειλημφὼς ταῦτα, εἰς ἅπερ ἐπίστευσε· διὰ τοῦτό φησιν, *Ἔχοντες τὸ αὐτὸ Πνεῦμα τῆς πίστεως,* τοῦτ' ἔστι, τὴν αὐτὴν πίστιν, τὴν ἐν τῇ Παλαιᾷ, καὶ ἡμεῖς ἔχομεν. Διὰ τοῦτο καὶ ἀλλαχοῦ φησι, περὶ τῶν τότε ἁγίων λέγων· *Περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος·* εἶτα διδάσκων, ὅτι τὰ δεινὰ μὲν ὑπέμειναν, τοὺς δὲ μισθοὺς οὐδέπω καὶ νῦν ἀπέλαβον, ἐπήγαγε λέγων· *Κατὰ τὴν πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ κομισάμενοι τὰς ἐπαγγελίας, ἀλλὰ πόρρωθεν αὐτὰς ἰδόντες καὶ ἀσπασάμενοι.* Καὶ πῶς εἶδον, εἰπέ μοι, τὰς μηδέπω παρούσας; Τοῖς τῆς πίστεως ὀφθαλμοῖς, τοῖς ὑπερβαίνουσι τὸν οὐρανὸν, καὶ τὰ ἐκεῖ κατασκοποῦσιν ἅπαντα.

θ'. Σὺ δέ μοι σκόπει Θεοῦ σοφίαν, πῶς καὶ ἔδειξεν αὐτοῖς τὰ βραβεῖα πόρρωθεν, καὶ οὐκ ἔδωκε μὲν εὐθέως, ἵνα μείζονα αὐτῶν ἐργάσηται τὴν ὑπομονήν· ἔδειξε δὲ πόρρωθεν, ἵνα ταῖς ἐλπίσι ταύταις τρεφόμενοι, μηδὲ αἴσθησιν τῶν παρόντων λάβωσι πόνων.

Ἀλλὰ τάχα τις τῶν ὀξύτερον προσεχόντων ἑαυτῷ περιπεπτωκέναι τὸν λόγον ἡγήσεται. Εἰ γὰρ οὐδὲ οἱ πρότεροι, φησὶν, ἀπελάμβανον παρὰ πόδας τὰ ἀγαθὰ καὶ τὰς ἀμοιβὰς, πῶς ἡμῖν μακρὸν ἀπέτεινας λόγον, ἀπαριθμούμενος ὡρῶν εὐκρασίαν, σώματος ὑγίειαν, εὐπαιδίαν, πολυπαιδίαν, εὐετηρίαν, καρπῶν ἀφθονίαν, βουκόλια, ποίμνια, ἅπασαν τὴν βιωτικὴν εὐπραγίαν; [287] Τί οὖν ἂν εἴποιμεν πρὸς τοῦτο; Ὅτι ἑτέρως μὲν τὸ πλῆθος καὶ τὸν ἀσθενέστερον δῆμον, ἑτέρως δὲ τοὺς γενναίους καὶ τὴν ἐν τῇ Καινῇ φιλοσοφίαν ἤδη μετιόντας ἦγεν ὁ Θεὸς τότε. Τοῖς μὲν γὰρ πολλοῖς καὶ χαμαὶ ἑρπομένοις καὶ οὐδὲν μέγα δυναμένοις ἰδεῖν, οὐδὲ ἐκτεῖναι τὴν τῆς ψυχῆς ἐλπίδα πρὸς τὴν τῶν μελλόντων ἀπόλαυσιν ἀγαθῶν, ταῦτα τὰ παρόντα παρεῖχεν ἀγαθὰ, τὴν ἀσθένειαν τῆς ψυχῆς αὐτῶν παραμυθούμενος, καὶ διὰ τούτων αὐτοὺς ὁδηγῶν ἐπὶ τὴν τῆς ἀρετῆς ἐργασίαν, καὶ εἰς τὴν τῶν καλῶν ἐπιθυμίαν ἐμβάλλων· τὸν δὲ Ἠλίαν καὶ τὸν Ἐλισσαῖον, τὸν Ἱερεμίαν, τὸν Ἡσαΐαν, καὶ πάντας δὴ ἁπλῶς τοὺς προφήτας, καὶ ὅσοι τοῦ χοροῦ γεγένηνται τῶν ἁγίων καὶ μεγάλων ἀνδρῶν, ἐπὶ τοὺς οὐρανοὺς ἐκάλει καὶ τὰ ἐκεῖ παρεσκευασμένα τοῖς εὐδοκιμηκόσιν ἀγαθά. Διὸ καὶ ὁ Παῦλος οὐχ ἁπλῶς πάντας ἀπηριθμήσατο, ἀλλὰ τοὺς ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασι, τοὺς ἐν καμίνῳ, τοὺς ἐν δεσμωτηρίῳ, τοὺς ἀποτυμπανισθέντας, τοὺς καταλευσθέντας, τοὺς ἐν λιμῷ, τοὺς ἐν πενίᾳ, τοὺς ἐν ἐρημίαις, τοὺς ἐν σπηλαίοις, τοὺς ἐν ταῖς ὀπαῖς τῆς γῆς, τοὺς τὰ μυρία παθόντας δεινά. Καὶ τότε εἶπε κατὰ πίστιν πάντας τετελευτηκέναι, καὶ μηδέπω κεκομίσθαι τὰς ἐπαγγελίας· οὐχὶ τὸ πλῆθος τὸ Ἰουδαϊκὸν, ἀλλὰ τοὺς κατὰ τὸν Ἠλίαν ἡμῖν αἰνιττόμενος. Εἰ δὲ λέγοι τις· Αὐτοὶ δὲ οὗτοι τίνος ἕνεκεν οὐδέπω καὶ νῦν ἀπέλαβον τοὺς ὀφειλομένους αὐτοῖς στεφάνους; μανθανέτω καὶ ταύτην παρὰ Παύλου τὴν αἰτίαν. Εἰπὼν γὰρ, *Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ κομισάμενοι τὰς ἐπαγγελίας,* ἐπήγαγε, *Τοῦ Θεοῦ κρεῖττόν τι προβλεψαμένου περὶ ἡμῶν, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι.* Κοινὴ γάρ ἐστι, φησὶν, ἡ πανήγυρις, ἐπειδὴ καὶ μείζων ἡδονὴ, ὅταν κοινῇ στεφανώμεθα πάντες. Τοῦτο καὶ ἐν τοῖς Ὀλυμπιακοῖς ἀγῶσι γίνεται· ὁ παλαίσας, ὁ πυκτεύσας, ὁ παγκρατιάσας ἐν διαφόροις μὲν καιροῖς τοὺς ἀγῶνας ὑπομένουσιν, ἐν μιᾷ δὲ καιροῦ ῥοπῇ πάντες ἀνακηρύττονται. Οὕτω καὶ ἐν τοῖς ἀρίστοις γίνεται. Ὅταν γὰρ τῶν δαιτυμόνων οἱ μὲν φθάσωσι προαπαντήσαντες, οἱ δὲ ἔτι μέλλωσι, τιμῶντες τοὺς ἀπολειφθέντας οἱ ἑστιάτορες, τοὺς φθάσαντας ἤδη καὶ παραγενομένους κελεύουσιν ἀναμένειν τοὺς ὑστερήσαντας. Τοῦτο καὶ ὁ Θεὸς πεποίηκεν· ἐπειδὴ γὰρ τοὺς ἐκ τῆς οἰκουμένης ἁπάσης κατὰ διαφόρους καιροὺς εὐδοκιμηκότας ἐπὶ κοινήν τε καὶ πνευματικὴν εὐωχίαν ἐκάλεσε, τοὺς ἤδη φθάσαντας καὶ προαπελθόντας κελεύει τοὺς μετὰ ταῦτα ἀπιέναι μέλλοντας ἀναμένειν, ἵν' οὕτω κοινῇ παραγενομένων ἁπάντων, καὶ ἡ τιμὴ καὶ ἡ ἡδονὴ μία ἅπασι γένηται.

ι'. Ἐννόησον γὰρ ἡλίκον ἐστὶν εἰς τιμῆς λόγον, Παῦλον καὶ τοὺς κατ' ἐκεῖνον ἅπαντας, τὸν Ἀβραὰμ, καὶ τοὺς κατ' ἐκεῖνον, καὶ τοὺς πρὸ ἐκείνου πάλιν πρὸ τοσούτων ἐτῶν ἀθλήσαντας καὶ νικήσαντας καθῆσθαι νῦν τὴν ἡμετέραν ἀναμένοντας εὐδοκίμησιν. Ὅτι γὰρ οὐδέπω τὸν στέφανον Παῦλος ἀπείληφεν, οὐδὲ ἄλλος οὐδεὶς τῶν ἐξ ἀρχῆς εὐηρεστηκότων, ἀλλ' οὐδὲ ἀπολήψονται, ἕως ἂν ἅπαντες οἱ μέχρι τέλους στεφα-

[a] Alii et Cod. 748 πολυπρόβατα. Savil. in marg. πολυποίμνια, καὶ βουκολία.

dabit tibi pluviam matutinam et serotinam (*Ibid.* 11. 14). *Excipiet area vindemiam, et vindemia sementem* (*Levit.* 26. 4. 5). Aliaque multa simili modo eis promisit, quæ quidem omnia in præsenti vita eis reddidit. Si quis est acutior, jam prævidet solutionem. Quandoquidem igitur corporis sanitas, agrorum felicitas, liberorum bonitas atque copia, fausta senectus, anni partium temperies optima, annonæ bonitas, imbrium opportunitas, armentorum et gregum abundantia, omnia denique bona illis in hac vita repræsentabantur, nihilque post hanc vitam et in futurum sæculum sperandum proponebatur : hæc reputantes fideles, majoribus quidem suis omnia bona præ pedibus fuisse sita, sibi vero in futuram vitam præmia et coronas reposita esse, et ex fide ipsorum promissiones pendere : delassabantur ac deficiebant, ut quibus universa vita inter tentationes necessario esset exigenda. Hæc igitur considerans Paulus, et malorum quæ eis impendebant magnitudinem, et quod his quidem post obitum laborum mercedem Deus esset pollicitus, patribus autem præsentem retributionem præstitisset; perspiciensque magnam in illis segnitiem e talibus cogitationibus suboriri, et volens eos excitare ac docere, patrum quoque temporibus eamdem fuisse rerum dispensationem, multosque fide mercedem percepisse, non re, propheticum illis dictum in memoriam revocat dicens : *Habentes eumdem Spiritum fidei, sicut scriptum est, Credidi, propter quod loquutus sum :* tantum non dicens quod magnus etiam ille David, egregius et admirandus propheta, fide retributionem perceperit, non experimento : alioqui, nisi res ita se haberet, non dixisset (*Psal.* 115. 10) : *Credidi, propter quod loquutus sum.* Fides enim ad ea quæ sperantur refertur, non ad ea quæ videntur : quod enim videt quis, plane non sperat (*Hebr.* 11. 1.). Si igitur credidit, illis nimirum credidit quæ sperabat. Quod si eis quæ sperabat credidit, quæ vero sperantur, non videntur, consequitur eum non recepisse ea quæ crediderat; propterea dicit, *Habentes eumdem Spiritum fidei :* hoc est, eamdem fidem, quæ fuit in Veteri Testamento, etiam nos habemus. Quapropter et alibi de ejus temporis sanctis ad hunc modum loquitur : *Circuierunt in melotis, in pellibus caprinis, egentes, afflicti, angustiati, quibus dignus non erat mundus* (*Hebr.* 11. 37. 38) : deinde docens eos calamitates quidem pertulisse, mercedem vero nondum recepisse, subdit verba hæc, *In fide mortui sunt omnes hi, nec promissiones receperunt, sed a longe tantum aspectas salutaverunt* (*Ib.* v. 39. *etc. et* 13). Et quomodo viderunt eas, quæso, quæ nondum erant præsentes? Fidei nimirum oculis, qui cælum penetrant, et quæ in eo sunt universa contemplantur.

9. Tu vero considera mihi Dei sapientiam, quomodo illis præmia e longinquo ostenderit, quæ ideo suis non statim dedit, quo major esset eorum patientia : ostendit autem e longinquo ideo ut, hac spe refecti, ne sensum quidem præsentium laborum percipiant.

Aliter cum vulgo et aliter cum justis et sanctis se gessit Deus. — Sed forsan aliquis ex his qui acrius attendunt, inter se pugnantia nos dicere putabit. Dicet enim : Si neque priscis illis statim oblata sunt bona et præmia, quid ita longum habuisti sermonem, enumerando anni partium temperiem, corporis sanitatem, liberorum bonitatem ac copiam, annonæ facilitatem, fructuum abundantiam, armenta, greges, et omnem vivendi felicitatem? Quid igitur ad hoc est respondendum? Aliter cum vulgo et imbecilliore populo, aliter cum generosis hominibus, ei eam, quæ est Novi Testamenti, philosophiam jam tum meditantibus, se gessisse Deum illo tempore. Multitudini enim quæ humi repebat, nec magnum aliquid videre poterat, neque spem suam ad futurorem bonorum fruitionem extendere, præsentia bona exhibuit, imbecillitatem animæ eorum consolando, et per hoc ad virtutem exercendam ipsos deducendo, atque ad rerum honestarum desiderium; Eliam autem et Elisæum et Jeremiam et Hesaiam et in summa universos prophetas, et quotquot ad magnorum et sanctorum hominum chorum pertinebant, ad cælos vocabat, ad eaque bona quæ electis sunt illic præparata. Quamobrem etiam Paulus non omnes simul enumeravit, sed amictos ovillis ac caprinis pellibus, in fornacem conjectos, vinculis constrictos, distentos, saxis lapidatos, fame et inopia laborantes, in solitudinibus, speluncis et cavernis terræ degentes, innumeraque mala sustinentes. At tum demum dixit omnes hos in spe mortuos, nec adhuc promissionem recepisse : subindicans nobis non vulgus Judaicum, sed homines ad Eliæ similitudinem accedentes. Quod si quis dicat : Illi autem ipsi quamobrem ne nunc quidem debitas sibi coronas perceperunt? causam hujus rei discat a Paulo. Cum enim dixisset : *Fide sunt mortui omnes hi non acceptis promissionibus*, subjunxit, *Deo pro nobis melius aliquid providente, ut non sine nobis consummarentur* (*Hebr.* 11. 13. 40). Communis enim est celebritas hæc, inquit, quandoquidem major etiam est voluptas, dum omnes eadem opera coronamur. Idem fit et in Olympiacis certaminibus : luctator, pugil, pancratiasta, diversis quidem temporibus certamen subeunt, sed uno temporis momento omnes a præcone victores pronuntiantur. Idem fit et in conviviis. Quoties enim convivarum alii venerunt maturius, alii adhuc cunctantur, convivatores in honorem absentium jubent præsentes paulisper manere, donec illi quoque veniant. Idem etiam Deus fecit : quoniam enim ex toto orbe diversis temporibus electos ad commune et spirituale convivium invitavit, jubet eos qui priores iverunt, exspectare eos qui posteriores sunt venturi, ut hoc pacto omnibus una præsentibus, unus omnibus contingat honor et una voluptas.

10. Cogita enim quanta sit honoris accessio, Paulum et sui temporis homines, Abrahamum item atque ejus ætatis viros, ac rursum alios qui tot sæculis ante illum certaverunt et vicerunt, sedere nunc exspectantes donec nos quoque probati simus. Quod enim Paulus nondum coronam receperit, neque eorum quisquam qui unquam ab initio Deo placuerunt, imo ne recepturi quidem sint donec omnes qui coronandi sunt

convenerint, audi ipsum Paulum dicentem : *Bonum certamen certavi, cursum consummavi, fidem servavi : in reliquo reposita est mihi corona justitiæ, quam reddet mihi justus judex* (2. *Tim.* 4. 7. 8). Quando? *In illa die, non solum autem mihi, sed et omnibus qui diligunt adventum ejus.* Et rursum alibi indicans bona illa universis simul ad fruendum concedenda esse, Thessalonicensibus sic scribit : *Siquidem justum est apud Deum ut reddatur affligentibus vos afflictio, vobis autem qui affligimini relaxatio una nobiscum* (2 *Thess.* 1. 6. 7). Ac rursum : *Quoniam nos qui vivimus, qui relinquimur in adventum Domini, non præveniemus eos qui dormierunt* (1. *Thess.* 4. 14) : per hæc omnia docens oportere nos simul omnes et in commune cælestis honoris possessionem ac fructum accipere. Hoc ipsum etiam illis qui nos præcesserunt magnam affert voluptatem, quod una cum propriis membris sint ineffabilibus illis bonis perfruituri. Etenim pater mensam habens splendidam ac opiparam, tum demum majore cum voluptate ea fruetur, quando liberi sunt ejus voluptatis ac hilaritatis participes. Sic etiam Paulus ejusque similes ita demum ampliorem sentient animi voluptatem, quando una cum propriis membris illa perfruentur. Neque enim patribus tantus est erga liberos affectus, quantam illi sollicitudinem gerunt de eis qui eamdem virtutis viam sunt ingressi. Ut igitur etiam nos in eorum qui tunc honorabuntur numero simus, demus operam ut sanctos illos assequamur. Et quomodo assequi poterimus, inquies? quis nobis viam, quæ ad illos ducit, indicabit? Ipse sanctorum illorum Dominus, qui non solum quomodo illos assequamur docet, verumetiam quomodo illorum omnium contubernales ac sodales fieri possimus : ait enim : *Facite vobis amicos de mammona iniquitatis, ut cum defeceritis, recipiant vos in æterna sua tabernacula* (*Luc.* 16. 9). Recte dixit, *Æterna*. Nam in hoc sæculo etiamsi splendidam domum habeas, omnino vetustate est peritura : imo prius quam illa pereat, mors irrueus ejiciet te ex magnifico isto domicilio : non raro quidem vel ante obitum infausta negotia, calumniatorum impetus ac insidiæ faciunt, ut inde ejiciaris. Illic autem non est quod tale quidquam verearis : non corruptionem, non mortem, non ruinam, non damnum a calumniatoribus, nec aliud quidquam; sed immmobile et immortale est domicilium. Quapropter æternum illud appellavit. *Facite vobis amicos*, inquit, *de mammona iniquitatis.*

11. *Eleemosyna ex rapina data, non est eleemosyna. Eleemosynæ laudes. Cur pre foribus templorum pauperes ; fontes ante oratoria.* — Vide quanta sit Domini benignitas, quanta bonitas ac æquitas ; neque enim temere hoc adjunxit : sed quoniam plerique divites ex rapinis ac fraude divitias sibi comparaverunt, Male, inquit, factum, nec oportebat te ita pecunias colligere ; veruntamen quandoquidem jam collegisti, desiste a rapina et fraude, et utere pecunia ad ea, quibus opus habes. Non jubeo te esse ex rapto misericordem, sed a fraude temperantem, divitiis ad benignitatem et eleemosynam uti. Nisi enim a rapina desistas, ne eleemosyna quidem erit : sed etiamsi innumeras pecunias des in manus egenorum, a fraude et rapina interim non abstinens, in homicidarum numero a Deo computaberis. Quapropter oportet a fraude absistere, ac tum demum in egenos misericordem esse. Magna enim est eleemosynæ vis, de qua etiam in priore conventu apud vos disseruimus, ac nunc quoque disseremus. Sed nemo vestrum ita cogitet, hanc admonendi assiduitatem ad auditorum tendere accusationem. Nam et in certaminibus illi potissimum a spectatoribus excitantur, qui ad metam propius accedunt, et certiorem victoriæ spem habere videntur. Ergo quia magna alacritate video vos de eleemosyna sermonem excipere, eo magis libet istam exhortationem continuare. Medici animarum nostrarum sunt pauperes, benefactores et protectores : neque enim tantum das, quantum accipis ; das pecuniam, et accipis regnum cælorum ; sublevas egestatem, et reconcilias tibi Dominum. Vides imparem esse retributionem? Hæc sunt terrena, illa cælestia ; hæc peritura, illa permanentia ; hæc corrumpuntur, illa sunt extra corruptionis periculum. Hac de causa majores nostri pro foribus ecclesiarum pauperes constituerunt, ut vel inhumanissimum et segnissimum quemque aspectus ipse egenorum ad eleemosynam excitet. Ubi enim stat chorus senum incurvorum, pannosorum, squalidorum, sordidatorum, baculos tenentium, atque his ægre se sustentantium, nonnumquam oculis orbatorum, toloque corpore male mulctatorum, quis tam saxeus est, quis tam adamantinus, qui ad eorum grandævitatem, imbecillitatem, cæcitatem, egestatem, habitus vilitatem, totque alia ad condolendum moventia, obdurare se et inflexibilis queat permanere? Hac de causa pro foribus nostris stant, et ipso aspectu, magis quam ullis verbis possunt, ad beneficentiam provocant eos qui introgrediuntur. Quemadmodum enim solemne est ut fontes præsto sint ante oratoria, ut adoraturi Deum manus prius lotas inter precandum attollant : ita pauperes fontium vice ante fores collocaverunt majores nostri, ut quemadmodum manus abluimus aqua, sic prius per beneficentiam abstersa anima, tum demum preces nostras offeramus.

12. Non enim tam apta est aqua ad abluendas corporis maculas, quam eleemosyna ad abolendas sordes animæ. Quemadmodum igitur non audes illotis manibus ad precandum intrare, quamvis levius sit hoc crimen, ita nec absque eleemosyna ad precandum umquam accedas. Atqui non raro etiam cum puras manus habeamus, non tendimus ad Deum nisi prius lotas : tantum valet consuetudo. Idipsum igitur in eleemosyna est faciendum ; et licet nullius magni peccati nobis simus conscii, tamen eleemosyna data conscientiam nostram abstergere oportet. Multa in foro tibi contraxisti mala : inimicus irritavit, judex aliquid parum decorum facere compulit, verba sæpe effutivisti non bona, ne amicum offenderes peccatum aliquod admisisti : alias non paucas maculas contraxisti, ut solent homines qui in foro versantur, judi-

νοῆσθαι μέλλοντες ἀφίκωνται, ἄκουσον αὐτοῦ τοῦ [288] Παύλου λέγοντος· *Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει μοι ὁ δίκαιος κριτής.* Πότε; *Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· οὐ μόνον δὲ ἐμοί, ἀλλὰ καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ.* Καὶ πάλιν ἀλλαχοῦ δεικνὺς, ὅτι κοινῇ πᾶσιν ἡ τῶν ἀγαθῶν ἀπόλαυσις δίδοται, Θεσσαλονικεῦσι γράφων ἔλεγεν· *Εἴπερ δίκαιον παρὰ Θεῷ ἀποδοῦναι τοῖς θλίβουσιν ὑμᾶς θλῖψιν, καὶ ὑμῖν τοῖς θλιβομένοις ἄνεσιν μεθ' ἡμῶν.* Καὶ πάλιν· *Ὅτι ἡμεῖς οἱ ζῶντες, οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας·* διὰ πάντων τούτων δηλῶν, ὅτι κοινῇ πάντας καὶ ὁμοῦ παραγενομένους τῶν οὐρανίων τιμῶν ἀπολαύειν χρή. Τοῦτο καὶ τοῖς φθάσασι πολλὴν φέρει τὴν ἡδονήν, ὅταν μετὰ τῶν οἰκείων μελῶν τῶν ἀπορρήτων ἐκείνων ἀπολαύσωσιν ἀγαθῶν. Καὶ γὰρ πατὴρ τραπέζης μετέχων λαμπρᾶς καὶ πολυτελοῦς, τότε μετὰ πλείονος αὐτῆς ἀπολαύσεται τῆς εὐφροσύνης, ὅταν μετὰ τῶν αὐτοῦ παιδίων μετέχῃ τῆς εὐωχίας καὶ εὐφροσύνης. Οὕτω καὶ Παῦλος καὶ οἱ κατ' ἐκεῖνον ἅπαντες μείζονος αἰσθήσονται τῆς θυμηδίας, ὅταν μετὰ τῶν οἰκείων μελῶν ὄντες ἀπολαύσωσιν αὐτῆς. Οὐ γὰρ τοσαύτην πατέρες περὶ παῖδας ἐπιδείκνυνται φιλοστοργίαν, ὅσην ἐκεῖνοι περὶ τοὺς τὰ αὐτὰ κατωρθωκότας αὐτοῖς ἔχουσι κηδεμονίαν. Ἵν' οὖν καὶ ἡμεῖς τῶν τότε τιμωμένων γενώμεθα, σπουδάζωμεν καταλαβεῖν τοὺς ἁγίους ἐκείνους. Καὶ πῶς δυνησόμεθα, φησὶ, αὐτοὺς καταλαβεῖν; τίς ἡμῖν δείξει τὴν ἐκεῖ φέρουσαν ὁδόν; Αὐτὸς ὁ τῶν ἁγίων ἐκείνων Δεσπότης, ὃς οὐχ ὅπως αὐτοὺς καταληψώμεθα μόνον διδάσκει, ἀλλὰ καὶ ὅπως ὁμωρόφιοι καὶ σύσκηνοι γενώμεθα πᾶσιν αὐτοῖς· *Ποιήσατε γὰρ ὑμῖν φίλους ἐκ τοῦ μαμμωνᾶ τῆς ἀδικίας*, φησὶν, *ἵν' ὅταν ἐκλίπητε, δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους αὐτῶν σκηνάς.* Καλῶς εἶπεν, Αἰωνίους. Ἐνταῦθα μὲν γὰρ κἂν λαμπρὰν ἔχῃς οἰκίαν, ἀπολεῖται πάντως φθειρομένη τῷ χρόνῳ· μᾶλλον δὲ καὶ πρὸ τῆς κατὰ τὸν χρόνον φθορᾶς, θάνατος ἐμπεσὼν ἐκβάλλει σε τῆς λαμπρᾶς ταύτης οἰκήσεως· πολλάκις δὲ καὶ πρὸ τοῦ θανάτου πραγμάτων τινῶν δυσκολίαι καὶ συκοφαντῶν ἔφοδοι καὶ ἐπιβουλαὶ ἐκπεσεῖν αὐτῆς παρεσκεύασαν. Ἐκεῖ δὲ οὐδὲν τούτων ἐστὶν ὑποπτεῦσαι, οὐ φθορὰν, οὐ θάνατον, οὐ κατάπτωσιν, οὐ συκοφαντῶν ἐπήρειαν, οὐκ ἄλλο οὐδὲν, ἀλλ' ἀκίνητος καὶ ἀθάνατός ἐστιν ἡ οἴκησις. Διὰ τοῦτο αἰωνίους αὐτὰς ἐκάλεσε. *Ποιήσατε ὑμῖν φίλους*, φησὶν, *ἐκ τοῦ μαμμωνᾶ τῆς ἀδικίας.*

ιʹ. Ὅρα πόση φιλανθρωπία τοῦ Δεσπότου, πόση χρηστότης καὶ ἐπιείκεια· οὐ γὰρ ἁπλῶς ταύτην ἔθετο τὴν προσθήκην· ἀλλ' ἐπειδὴ πολλοῖς πλουσίοις πλοῦτος συνέλεκται ἐξ ἁρπαγῆς καὶ πλεονεξίας, Κακῶς μὲν, φησὶ, καὶ οὐκ ἐχρῆν σε οὕτω συλλέξαι τὰ χρήματα· πλὴν ἀλλ' ἐπειδὴ συνέλεξας, στῆθι τῆς ἁρπαγῆς καὶ τῆς πλεονεξίας, καὶ χρῆσαι εἰς δέον τοῖς χρήμασιν. Οὐ λέγω, ἵνα ἁρπάζων ἐλεῇς, ἀλλ' ἵνα τῆς πλεονεξίας ἀποστὰς, πρὸς ἐλεημοσύνην [289] καὶ φιλανθρωπίαν ἀποχρήσῃ τῷ πλούτῳ. Εἰ γάρ τις μὴ παύσαιτο τῆς ἁρπαγῆς, οὐδὲ ἐλεημοσύνην ἐργάσεται· ἀλλὰ κἂν μυρία καταβάλῃ χρήματα εἰς τὰς τῶν δεομένων χεῖρας, τὰ ἑτέρων ἁρπάζων καὶ πλεονεκτῶν, τοῖς ἀνδροφόνοις ἐξίστης λελόγισται τῷ Θεῷ. Διὸ χρὴ πλεονεξίας ἀποστάντα πρότερον, οὕτω τοὺς δεομένους ἐλεεῖν. Πολλὴ γὰρ τῆς ἐλεημοσύνης ἡ δύναμις, περὶ ἧς καὶ τῇ προτεραίᾳ συνάξει πρὸς ὑμᾶς διελέχθημεν, καὶ νῦν διαλέξομαι. Ἀλλὰ μηδεὶς τὴν συνέχειαν τῆς ὑπομνήσεως κατηγορίαν ἡγείσθω τῶν ἀκουόντων. Καὶ γὰρ ἐν τοῖς ἀγῶσιν ἐκείνους τῶν δρομέων διεγείρουσιν οἱ θεαταὶ, οὓς ἂν ἴδωσιν ἐγγὺς τοῦ βραβείου γενομένους, καὶ πολλὰς τῆς νίκης ἐλπίδας ἔχοντας. Καὶ ἐγὼ τοίνυν, ἐπειδὴ μετὰ πολλῆς ἀεὶ προθυμίας ὁρῶ τοὺς περὶ ἐλεημοσύνης δεχομένους λόγους ὑμᾶς, διὰ τοῦτο καὶ αὐτὸς συνεχέστερον τὴν ὑπὲρ τούτων κινῶ παραίνεσιν. Ἰατροὶ τῶν ψυχῶν ἡμῶν εἰσιν οἱ πένητες, εὐεργέται καὶ προστάται· οὐ γὰρ τοσοῦτον δίδως, ὅσον λαμβάνεις· δίδως ἀργύριον, καὶ λαμβάνεις βασιλείαν οὐρανῶν· λύεις πενίαν, καὶ καταλλάττεις σεαυτῷ τὸν Δεσπότην. Ὁρᾷς ὅτι οὐκ ἴση ἡ ἀντίδοσις; Ταῦτα ἐπὶ γῆς, ἐκεῖνα ἐν οὐρανῷ· ταῦτα ἀπόλλυται, ἐκεῖνα διαμένει· ταῦτα φθείρεται, ἐκεῖνα πάσης ἐστὶν ἀνώτερα ἀπωλείας. Διὰ τοῦτο καὶ πρὸ τῶν θυρῶν τῶν οἴκων τῶν εὐκτηρίων ἔστησαν τοὺς πένητας οἱ πατέρες οἱ ἡμέτεροι, ἵνα καὶ τὸν νωθρότατον καὶ ἀπανθρωπότατον αὐτὴ τῶν πενήτων ἡ ὄψις πρὸς ὑπόμνησιν ἐγείρῃ τῆς ἐλεημοσύνης. Ὅταν γὰρ ἐστήκῃ χορὸς γερόντων, συγκεκυφότων, ῥάκια περιβεβλημένων, αὐχμώντων, ῥυπώντων, βακτηρίας ἐχόντων, μόλις στηρίζεσθαι δυναμένων, πολλάκις δὲ καὶ τοὺς ὀφθαλμοὺς ἐκκεκομμένων, καὶ τὸ σῶμα ὅλον ἀναπήρων, τίς οὕτω λίθινος, τίς οὕτως ἀδάμας, ὡς καὶ τῆς ἡλικίας, καὶ τῆς ἀσθενείας, καὶ τῆς πηρώσεως, καὶ τῆς πενίας, καὶ τῆς εὐτελοῦς στολῆς, καὶ πάντων ἁπλῶς πρὸς συμπάθειαν ἐπικλώντων αὐτὸν, ἀντιστῆναι καὶ μεῖναι πρὸς ἅπαντα ταῦτα ἀνένδοτος; Διὰ ταῦτα πρὸ τῶν θυρῶν ἡμῶν ἐστήκασι παντὸς λόγου δυνατώτεροι, διὰ τῆς ὄψεως ἐπισπώμενοι, πρὸς φιλανθρωπίαν τοὺς εἰσιόντας ἐκκαλούμενοι. Καθάπερ γὰρ κρήνας εἶναι ἐν ταῖς αὐλαῖς τῶν εὐκτηρίων οἴκων νενόμισται, ἵνα οἱ μέλλοντες εὔχεσθαι τῷ Θεῷ, πρότερον ἀπονιψάμενοι τὰς χεῖρας, οὕτως αὐτὰς εἰς εὐχὴν ἀνατείνωσιν· οὕτω καὶ τοὺς πένητας ἀντὶ πηγῶν καὶ κρηνῶν ἔστησαν οἱ πατέρες πρὸ τῶν θυρῶν, ἵν', ὥσπερ ὕδατι τὰς χεῖρας ἀπονίπτομεν, οὕτω φιλανθρωπίᾳ τὴν ψυχὴν ἀποσμήχοντες πρότερον, οὕτως εὐχώμεθα.

ιβʹ. Οὐδὲ γὰρ οὕτως ὕδατος φύσις ἀπονίπτει κηλῖδας σώματος, ὡς ἐλεημοσύνης δύναμις ἀποσμήχει ῥύπον ψυχῆς. Ὥσπερ οὖν οὐ τολμᾷς ἀνίπτοις χερσὶν εἰσελθὼν εὔξασθαι, καίτοι ἔλαττον τὸ ἔγκλημα ἐκεῖνο, οὕτω μήτε χωρὶς ἐλεημοσύνης ἐπ' εὐχὴν ἔλθῃς ποτέ. Καίτοι καὶ καθαρὰς πολλάκις ἔχοντες τὰς χεῖρας, ἂν μὴ πρότερον αὐτὰς ἀποπλύνωμεν ὕδατι, οὐκ ἀνατείνομεν εἰς εὐχήν· τοσοῦτόν ἐστιν ἡ συνήθεια. Τοῦτο τοίνυν καὶ ἐπὶ τῆς ἐλεημοσύνης ποιῶμεν· κἂν μηδὲν ἑαυτοῖς ὦμεν [290] συνειδότες μέγα ἁμάρτημα, ὅμως ἀποσμήχωμεν τὸ συνειδὸς διὰ τῆς ἐλεημοσύνης. Πολλὰ ἀπὸ τῆς ἀγορᾶς ἐπεσπάσω δεινά· ἐχθρὸς παρώξυνε, δικαστὴς ἠνάγκασέ τι ποιῆσαι τῶν οὐ προσηκόντων πραγμάτων, ῥήματα πολλάκις ἐξέβαλες ἄτοπα, φίλος ἐδυσώπησεν ἐργάσασθαί τι τῶν ἁμαρτίαν ἐχόντων, ἕτερα προσετρίψω πολλά, οἷα εἰκὸς ἄνθρωπον ὄντα πρωστρίβεσθαι, ἐν ἀγορᾷ στρεφόμενον, δικαστηρίοις προσεδρεύοντα, τὰ τῆς πόλεως πράττοντα πράγματα· ὑπὲρ τούτων ἁπάντων εἰσέρχῃ τὸν Θεὸν αἰτήσων συγγνώμην καὶ ἀπολογησόμενος. Κατάβαλε τοίνυν ἀργύριον εἰς τὰς τῶν πενήτων χεῖρας, καὶ ἀπόσμηξον τὰς κηλῖδας ἐκείνας, ἵνα μετὰ παῤῥησίας καλέσῃς

αἰτούμενος τὸν δυνάμενόν σοι ταῦτα ἀφεῖναι τὰ ἁμαρτήματα. Ἂν ἐν συνηθείᾳ καταστήσῃς σαυτὸν μηδέποτε χωρὶς ἐλεημοσύνης τῶν ἱερῶν τούτων προθύρων ἐπιβαίνειν, οὐδέποτε, οὔτε ἐκὼν, οὔτε ἄκων, ὑστερήσεις τῆς καλῆς ταύτης ἐργασίας, τοιοῦτον γὰρ ἡ συνήθεια. Καὶ ὥσπερ οὖν ἀεί, ὅτι οὖν γένοιτο, χερσὶν ἀνίπτοις οὐχ ὑπομένεις εὔξασθαι, ἐπειδὴ κατέστης εἰς συνήθειαν ἅπαξ· οὕτω καὶ ἐπὶ τῆς ἐλεημοσύνης, ἂν τοῦτον σαυτῷ ἐπιθήσῃς τὸν νόμον, καὶ ἐκὼν καὶ ἄκων αὐτὸν καθ' ἑκάστην ἐκπληρώσεις ἡμέραν ὑπὸ τῆς συνηθείας ἑλκόμενος.

Πῦρ ἐστιν ἡ εὐχὴ, μάλιστα ὅταν ἀπὸ νηφούσης καὶ διεγηγερμένης ἀναπέμπηται ψυχῆς· ἀλλὰ τὸ πῦρ τοῦτο καὶ ἐλαίου δεῖται, ἵνα αὐτῶν ἅψηται τῶν οὐρανίων ἀψίδων· ἔλαιον δὲ τοῦ πυρὸς τούτου οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ ἐλεημοσύνη. Ἐπίχεε τοίνυν τὸ ἔλαιον δαψιλὲς, ἵνα εὐφραινόμενος ἐπὶ τῷ κατορθώματι, μετὰ παῤῥησίας πλείονος καὶ προθυμίας μείζονος τὰς εὐχάς σου ἐπιτελῇς. Ὥσπερ γὰρ οἱ μηδὲν ἑαυτοῖς συνειδότες ἀγαθὸν, οὐδὲ εὔξασθαι μετὰ παῤῥησίας δύνανται, οὕτως οἱ κατορθώσαντές τι, καὶ μετὰ τὴν δικαιοσύνην ἐκείνην ἐπὶ τὴν εὐχὴν ἐρχόμενοι, τῇ μνήμῃ τοῦ κατορθώματος εὐφραινόμενοι, μετὰ πλείονος τῆς προθυμίας ποιοῦνται τὴν ἱκετηρίαν. Ἵν' οὖν καὶ κατὰ τοῦτο δυνατωτέρα ἡμῖν ἡ εὐχὴ γένηται, γρηγορούσης ἡμῖν τῆς διανοίας ἐν ταῖς δεήσεσιν ἀπὸ τῆς τῶν κατορθωμάτων μνήμης, μετὰ τῆς ἐλεημοσύνης ἐπὶ τὰς εὐχὰς ἐρχώμεθα, καὶ μνημονεύωμεν μετὰ ἀκριβείας ἅπαντα τὰ εἰρημένα· καὶ πρό γε τῶν ἄλλων ἁπάντων ἐκείνην μοι τὴν εἰκόνα διατηρεῖτε διηνεκῶς, καθ' ἣν εἶπον τοὺς πένητας πρὸ τῶν θυρῶν ἑστάναι τῶν εὐκτηρίων οἴκων, ταύτην ἐπὶ τῆς ψυχῆς ἀναπληροῦντες τὴν χρείαν, ἣν ἐπὶ τοῦ σώματος ἡ κρήνη. Ἂν γὰρ τοῦτο ὦμεν διηνεκῶς μεμνημένοι, συνεχῶς ἀπονιπτόμενοι τὸν λογισμὸν, καθαρὰς μὲν δυνησόμεθα τὰς εὐχὰς ἐπιτελεῖν. πολλὴν δὲ ἐπισπάσασθαι παρὰ τοῦ Θεοῦ τὴν παῤῥησίαν, καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

MONITUM AD HOMILIAM IN ILLUD,

Nullam vel loci vel temporis notam præ se fert hæc homilia. Sed a Pauli laudibus orsus Chrysostomus, ejus exemplo quemque docet abstinendum semper esse a propriis laudibus, quantum facultas ferat; et si quando, urgente casu, cogatur quispiam ea commemorare quæ in suum vertant honorem, id summa

---

[291] ΕΙΣ ΤΟ ΑΠΟΣΤΟΛΙΚΟΝ ΡΗΤΟΝ,

Ὄφελον ἀνέλχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ.

α'. Ἅπαντας μὲν φιλῶ τοὺς ἁγίους, μάλιστα δὲ τὸν μακάριον Παῦλον, τὸ σκεῦος τῆς ἐκλογῆς, τὴν σάλπιγγα τὴν οὐράνιον, τὸν νυμφαγωγὸν τοῦ Χριστοῦ. Τοῦτο δὲ εἶπον, καὶ ὃν περὶ αὐτὸν ἔρωτα ἔχω, εἰς μέσον ἐξήνεγκα, ἵνα καὶ ὑμᾶς κοινωνοὺς ποιήσω τοῦ φίλτρου. Οἱ μὲν γὰρ τὸν σωματικὸν ἔρωτα ἐρῶντες εἰκότως αἰσχύνονται ὁμολογεῖν, ἅτε καὶ ἑαυτοὺς καταισχύνοντες, καὶ τοὺς ἀκούοντας βλάπτοντες· οἱ δὲ τὸν πνευματικὸν, μηδέποτε ὁμολογοῦντες παυέσθωσαν· καὶ γὰρ καὶ ἑαυτοὺς καὶ τοὺς ἀκούοντας ὠφελοῦσι διὰ τῆς καλῆς ταύτης ὁμολογίας. Ἐκεῖνος μὲν γὰρ ὁ ἔρως ἔγκλημα, οὗτος δὲ ἐγκώμιον· ἐκεῖνος μὲν πάθος ψυχῆς διαβεβλημένον ἐστὶν, οὗτος δὲ εὐφροσύνη ψυχῆς, καὶ ἀγαλλίαμα, καὶ κόσμος ἄριστος· ἐκεῖνος εἰσάγει πόλεμον εἰς τὴν τῶν ἐρώντων διάνοιαν, οὗτος καὶ τὸν ὄντα πόλεμον ἐκβάλλει, καὶ ἐν εἰρήνῃ πολλῇ τοὺς ἐρῶντας καθίστησι. Κἀκεῖθεν μὲν οὐδὲν ὄφελος γίνεται, ἀλλὰ καὶ πολλὴ ζημία χρημάτων καὶ δαπάνη τις ἀνόητος, καὶ ζωῆς ἀνατροπὴ, καὶ οἰκιῶν ὁλόκληροι διαφθοραί· ἐντεῦθεν δὲ πολὺς ὁ πλοῦτος τῶν κατορθωμάτων, πολλὴ ἡ περιουσία τῆς ἀρετῆς. Πρὸς δὲ τοῖς εἰρημένοις, οἱ μὲν σωμάτων εὐμόρφων ἐρῶντες, καὶ πρὸς τὰς λαμπρὰς τῶν ὄψεων κεχηνότες, ἂν ὦσιν αἰσχροὶ καὶ δυσειδεῖς, οὐδὲν ἐκ τῆς ἐκείνων ἐπιθυμίας εἰς ἀπαλλαγὴν τῆς οἰκείας κερδαίνουσιν ἀμορφίας, ἀλλὰ καὶ αἰσχρότεροι κρίνονται καὶ εἰδεχθέστεροι· ἐπὶ δὲ τοῦ ἔρωτος τούτου τοὐναντίον ἅπαν. Ὁ γὰρ ψυχῆς ἁγίας ἐρῶν, καὶ εὐμόρφου, καὶ λαμπρᾶς, καὶ περικαλλοῦς, κἂν αὐτὸς αἰσχρὸς ᾖ καὶ δυσειδὴς, κἂν ἁπάντων ἀνθρώπων αἴσχιστος, ἐμμένων τῷ ἔρωτι τῶν ἁγίων, ταχέως ἔσται τοιοῦτος, οἷος ὁ ἐρώμενος. Καὶ γὰρ καὶ τοῦτο τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἔργον, τὸ σῶμα μὲν ἄμορφον καὶ πεπηρωμένον μὴ δύνασθαι διορθοῦν, ψυχὴν δὲ αἰσχρὰν καὶ δυσειδῆ δύνασθαι λαμπρὰν καὶ περικαλλῆ ποιεῖν. Ἀπὸ γὰρ τῆς εὐμορφίας τῆς ἐκείνου οὐδὲν ἂν γένοιτο κέρδος· ἀπὸ δὲ τοῦ κάλλους τοῦ ταύτης τοσαῦτα ἔξεστι καρπώσασθαι ἀγαθὰ, ὅσα [292] εἰκὸς κεκτῆσθαι τὸν ἐραστὴν ἔχοντα τὸν Θεόν. Περὶ ταύτης τῆς εὐμορφίας καὶ ὁ Δαυὶδ ἐν ψαλμοῖς ᾀδων, *Ἄκουσον*, φησὶ, *θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου· κάλλος* ἐνταῦθα λέγων τὸ κατὰ ψυχὴν, ὅπερ δι' ἀρετῆς καὶ εὐλαβείας συνίσταται.

cum consessui intersunt, rem populi administrant: pro his omnibus accedis Deum exoraturus, et veniam petiturus. Ergo da pecuniam in manus pauperum, et absterge illas maculas, ut cum fiducia invoces rogans illum qui potest hæc tibi peccata remittere. Si te assueferis numquam sine eleemosyna sacra hæc vestibula intrare, nec sponte, invitus umquam ab hoc bono opere abstinebis : tantum valet consuetudo. Et sicut quomodocumque se res habeat, numquam sustines illotis manibus precari, posteaquam semel consuetudinem hanc usurpasti, ita etiam in eleemosyna si hanc legem tibi præfixeris, volens nolens quotidie illam implebis, ipsa consuetudine ad hoc pertractus.

Precatio cum igne collata. — Ignis est precatio, præcipue cum a vigilante et sobria mente proficiscitur : sed ignis iste opus habet oleo, ut ad ipsa cæli convexa perveniat : cæterum oleum, quo ignis hic fovetur, non aliud est quam eleemosyna. Affunde igitur oleum hoc largiter, ut exhilaratus hoc tuo bono opere, cum majore alacritate precationem tuam absolvas. Sicut enim qui nullius bonæ rei sibi sunt conscii, nulla cum fiducia precari possunt : ita qui bene aliquid egerunt, et post ista opera ad precandum se conferunt, læti recordatione bene gestorum, majore cum alacritate supplicationem suam offerunt. Ut igitur hac quoque parte efficaciores sint preces nostræ, nimirum mente per beneficentiæ memoriam excitata, cum eleemosyna ad precandum accedamus. et diligenter omnia quæ dicta sunt in memoria retineamus, et ante omnia illam pauperum imaginem, qua eos dixi pro foribus oratorii consistere, idipsum in animæ usum præstantes, quod in corporis usum fons exhibet. Si enim horum memores continue mentem abluerimus, poterimus et puras preces ad Dominum allegare, multam apud Deum fiduciam obtinere, et cæleste regnum consequi, gratia et benignitate Domini nostri Jesu Christi, cui gloria et imperium in sæcula sæculorum. Amen.

UTINAM SUSTINERETIS MODICUM QUID INSIPIENTIÆ MEÆ.

cum moderatione præstandum esse. Idipsum vero confirmat exemplo Davidis et Samuelis : et nihil ve obiter tangit, quo internosci valeat Antiochiæne an Constantinopoli hanc concionem habuerit.

Interpretationem incerti cujusdam, quæ minus bene concinnata erat, expunximus, novamque adornavimus.

IN HOC APOSTOLI DICTUM,

UTINAM SUSTINERETIS MODICUM QUID INSIPIENTIÆ MEÆ (2. *Cor.* 11. 1).

1. *Veri amoris ratio.* — Omnes equidem amo sanctos, maxime vero beatum Paulum, vas electionis, tubam cælestem, Christi pronubum. Id vero dixi, meumque erga illum amorem in medium protuli, ut ejusdem vos participes efficerem. Nam qui corporum amore flagrant, id, et jure quidem, erubescunt profiteri, utpote qui sic et sibi pudorem, et cæteris damnum inferant : qui vero spirituali ardent amore, id fateri nunquam cessent : etenim et sibi et auditoribus suis hac pulchra confessione proderunt. Ille namque amor crimen est, hic vero laudis argumentum : ille ut morbus animæ male audit, hic animi lætitia est, exsultatio, et ornatus optimus : ille bellum in amantium mentem inducit, hic si quod sit bellum eliminat, in magnaque pace constituit amatores. Et hinc nulla provenit utilitas, sed multa pecuniarum jactura, sumptus insani, vitæ subversio, domorum extrema pernicies ; hinc ingentes bonorum operum divitiæ, virtutis magna copia. Ad hæc vero formosorum corporum amatores, qui ad decoras facies inhiant, si turpes ipsi sint ac deformes, nihil ex earum cupidine ad deformitatem suam commutandam lucrantur ; sed ex comparatione turpiores deformioresque esse videntur : contra vero accidit in hoc amore. Nam qui sanctam, formosam, splendidam et decoram diligit animam, etsi deformis ille sit, etsi omnium mortalium turpissimus, in sanctorum amore perseverans, cito talis erit, qualis is qui amatur. Id enim est divinæ benignitatis opus, quod corpus deforme et mutilum nequeat emendari, anima vero turpis ac deformis splendida decoraque possit effici. Ex pulchritudine enim illius nihil lucri provenit, ex pulchritudine autem animæ tot possunt excerpi bona, quot par est obtinere eum, qui Deum amatorem habeat. De hac pulchritudine David in Psalmis canens ait : *Audi, filia, et vide, et inclina aurem tuam, et obliviscere populum tuum, et domum patris tui : et concupiscet rex decorem tuum* (*Psal.* 44. 11. 12) : decorem hic animæ dicit, qui virtute pietateque constituitur.

2. Cum ergo tantum sit lucrum iis, qui cum sanctis

communione junguntur, amoris mei participes estote: hunc sanctum sumno cum affectu diligamus. Nam si hic amor in animum ingrediatur nostrum, splendidamque flammam excitet : si quid spinosum, si quid saxosum vel asperum, vel stupidum in cogitationibus nostris offendat, tum id absumens, tum illud emolliens, animam nostram ceu pingue arvum divinæ sementi aptum efficiet. Nec mihi dicas, Paulus nec adest nunc, nec oculis conspicitur nostris ; quomodo possit amari is, quem non videmus ? Nihil enim huic amori est impedimento : etenim et absentem amare, et non conspectum diligere possumus, cum maxime tot et talia quotidie virtutis illius monumenta videamus, nempe Ecclesias ubique terrarum stabilitas, impietatis eversionem, improbæ vitæ in melius mutationem, erroris expulsionem, dirutas aras, occlusa templa, dæmonum silentium. Hæc quippe omnia Pauli efficax lingua, divina inspirante gratia, destruxit, ac splendidam ubique pietatis flammam accendit. Cum tot tantisque gestis ejus, adsunt quoque sacræ illius epistolæ, quæ beatæ ejus animæ formam accurate nobis depingant. Ac si ergo cum ipso Paulo jam præsente et nobiscum versante dissereremus, sic ejus scriptis studiose obtemperemus, intima et profunda explicemus, discamus quid illud sit quod hodie vociferabatur dicens : *Utinam sustineretis modicum quid insipientiæ meæ ; sed et supportate me : æmulor enim vos Dei æmulatione* (2. *Cor.* 11. 1. 2). Quid ais, Paule ? Qui jubes discipulos in sapientia ambulare erga extraneos, qui dicis, *Sermo vester semper in gratia sale sit conditus, ut sciatis quomodo oporteat vos unicuique respondere* (*Coloss.* 4. 5. 6) ; qui apprecaris omnibus, ut sapientia repleantur spirituali (*Coloss.* 1. 9), ipse dicis, *Utinam sustineretis modicum quid insipientiæ meæ ?* Non satis erat tibi aliquod insipientiæ verbum emisisse, sed et discipulis illud effers ? nec modo effers discipulis, sed id omnibus post futuris hominibus per epistolam notum facis ? Animadvertite quam non oporteat dicta temere prætercurrere, sed unum quodque accurate scrutari ? Illud enim si simpliciter legatur, circum emittitur auditoribus : sin vero examinetur, magnam ostendit Pauli sapientiam, magnam prudentiam, ineffabilem curam.

3. *A Pseudoapostolis accusatus Paulus se laudare cogitur.* — Quid tandem illud est quod dicitur ? Pseudoapostoli multi erant apud Corinthios qui ipsos corrumperent ac Paulum accusarent, ejus famam, qua apud discipulos suos valebat, subdole lædentes, dicteriis illum subsannantes, ut arrogantem insimulantes. Hos plerumque in epistola sua impetere deprehenditur : quemadmodum cum dicit, *Non sumus sicut cæteri, adulterantes verbum Dei* (2. *Cor.* 2. 17) ; ac rursus cum dicit, *Sine onere me vobis servavi* (*Ib c.* 11. 9) : ac pollicitus se hanc legem semper immotam servaturum esse : *Est* enim, inquit, *veritas Christi in me : quoniam hæc gloriatio mea non infringetur in regionibus Achaiæ* (*Ib.* v 10) ; cum deinde causam subjunxit, sceleratos illos subindicat dicens : *Quare ? Quia non diligo vos ? Deus scit. Quod autem facio et faciam : ut amputem occasionem eorum, qui voluit occasionem* (2. *Cor.* 11. 12) ; et ante hæc discipulos cohortatur, ne ipsum inducant in necessitatem suam ipsis potestatem exhibendi, ita dicens : *Rogo autem vos ut præsens audeam, per eam confidentiam qua existimor audere, in quosdam qui arbitrantur nos tanquam secundum carnem ambulemus* (2. *Cor.* 10. 2). Hi enim ipsi, de quibus hæc ait, per ironiam ipsum incusantes hæc dicebant : epistolas Pauli magnum præ se ferre tumorem et verborum arrogantiam, ipsum vero nihili esse, vilem et abjectum. Posteaquam autem huc advenerit, aiebant, nullius pretii dignus videbitur : quod ipsum declarans dicebat : *Ut autem non existimer tanquam terrere vos per epistolas : quoniam quidem epistolæ, inquiunt, graves sunt et fortes : præsentia autem corporis infirma, et sermo contemptibilis* (*Ib. v.* 9. 10). Deinde Corinthios ipsos, qui persuasi fuerant, accusans ait, *Numquid peccatum feci, meipsum humilians, ut vos exaltemini* (2. *Cor.* 11. 7) ? Et hoc crimen diluens ait iterum, *Quia quales sumus verbo per epistolas absentes, tales et præsentes in facto* (2. *Cor.* 10 11). Quia igitur multi apud illos erant pseudoapostoli, quos et operarios dolosos nominat, sic dicit : *Nam ejusmodi pseudoapostoli operarii subdoli sunt, transfigurantes se in apostolos Christi. Et non mirum : ipse enim Satanas transfigurat se in angelum lucis. Non est ergo magnum si ministri ejus transfigurentur velut ministri justitiæ* (2. *Cor.* 11. 13-15). Cum igitur hi, innumeris excogitatis contra eum calumniis, discipulis nocerent, minus congruentem doctoris existimationem inducentes, cogitur ille demum in propriarum laudum commemorationem incidere : neque enim ultra silere tutum erat. Quia igitur sua nobis certamina enarraturus est, necnon eas, quas vidit, revelationes, laboresque quos subiit : ut ostendat omnibus se ægre et invitum id agere, ac licet id necessarium esse videat, insipientiam tamen id vocat, sic loquens, *Utinam sustineretis modicum quid insipientiæ meæ.* Rem stultam, inquit, aggressurus sum, ut meipsum laudem et celebrem ; at non ego in causa sum, sed ii potius, qui me in hanc necessitatem impulerunt : quare rogo me sustineatis, illisque eam causam imputetis.

4. At vide mihi Pauli prudentiam : cum dixisset, *Utinam sustineretis modicum quid insipientiæ meæ, sed et supportate me : æmulor enim vos Dei æmulatione*, non statim ad laudum narrationem venit, sed interpositis verbis, sic infert : *Iterum dico, ne quis me putet insipientem esse : alioquin velut insipientem accipite me* (2. *Cor.* 11. 16). Neque tamen sic ad enarrationem venit, sed iterum subjungit ac dicit : *Quod loquor, non loquor secundum Dominum, sed quasi in insipientia, in hac substantia gloriæ* (*Ib. v.* 17). Nec etiam post hæc audet ingredi, sed rem differt ac dicit : *Quoniam multi gloriantur secundum carnem, et ego gloriabor ; libenter enim suffertis insipientes, cum sitis ipsi sapientes* (*Ib. v.* 18. 19). Quin etiam postea refugit et cunctatur, ac quibusdam interjectis rursum infert : *In quo quis audet, in insipientia dico, audeo et ego* (*Ib. v.* 21). Ac tunc demum, post tot præmissas excusa-

β'. Ἐπεὶ οὖν τοσοῦτόν ἐστι τὸ κέρδος τοῖς κοινωνοῦσι τῶν ἁγίων, κοινωνήσατέ μοι τοῦ ἔρωτος, καὶ φιλήσωμεν τὸν ἅγιον τοῦτον μετὰ πολλῆς τῆς ὑπερβολῆς. Ἂν γὰρ οὗτος εἰς τὴν ψυχὴν τὴν ἡμετέραν ὁ ἔρως εἰσέλθῃ καὶ φλόγα ἀνάψῃ λαμπράν, κἂν ἀκανθῶδες, κἂν λιθῶδές τι καὶ σκληρὸν καὶ ἀναίσθητον ἐν τοῖς λογισμοῖς εὕρῃ τοῖς ὑμετέροις, τὸ μὲν ἀναλώσας, τὸ δὲ μαλάξας, βαθεῖάν τινα καὶ λιπαρὰν ἄρουραν τὴν ἡμετέραν ἐργάσεται ψυχήν, καὶ πρὸς τὴν τῶν θείων σπερμάτων καταβολὴν ἐπιτηδείαν. Καὶ μή μοι λεγέτω τις, ὅτι Νῦν οὐ πάρεστιν, οὐδὲ ὁρᾶται τοῖς ἡμετέροις ὀφθαλμοῖς ὁ Παῦλος· καὶ πῶς δυνατὸν φιλεῖν τὸν μὴ βλεπόμενον; Οὐδὲν γὰρ τῷ ἔρωτι τούτῳ κώλυμα γίνεται· ἔξεστι γὰρ καὶ ἀπελθόντα φιλεῖν, καὶ μὴ ὁρώμενον ἀγαπᾷν, καὶ μάλιστα ὅταν τοσαῦτα καὶ τοιαῦτα τῆς ἀρετῆς ἐκείνου καθ' ἑκάστην ἡμέραν ὑπομνήματα βλέπωμεν, τὰς πανταχοῦ τῆς γῆς Ἐκκλησίας, τῆς ἀσεβείας τὴν ἀνατροπὴν, τοῦ πονηροῦ βίου τὴν ἐπὶ τὸ βέλτιον μεταβολὴν, τῆς πλάνης τὴν ἀπαλλαγὴν, τοὺς ἀνατραπέντας βωμοὺς, τοὺς ἀποκεκλεισμένους ναοὺς, τὴν τῶν δαιμόνων σιγήν. Πάντα γὰρ ταῦτα καὶ τὰ τοιαῦτα τῆς Παύλου γλώττης ἡ δύναμις ὑπὸ τῆς τοῦ Θεοῦ χάριτος ἐμπνεομένη κατέβαλε, καὶ λαμπρὰν πανταχοῦ τῆς εὐσεβείας ἀνῆψε τὴν φλόγα. Ἔχομεν μετὰ τῶν κατορθωμάτων τούτων καὶ τὰς ἐπιστολὰς ἐκείνου τὰς ἁγίας, αἳ τὸν χαρακτῆρα τῆς μακαρίας ἐκείνης ψυχῆς ἀκριβῶς ἡμῖν ὑπογράφουσιν. Ὡς οὖν αὐτῷ τῷ Παύλῳ διαλεγόμενοι παρόντι καὶ συγγινομένῳ, οὕτω μετὰ προθυμίας πειθώμεθα τοῖς γεγραμμένοις, ἀναπτύξωμεν τὰ ἔνδον εἰρημένα, μάθωμεν τί ποτέ ἐστιν ὅπερ σήμερον ἐβόα λέγων· *Ὄφελον ἀνείχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ· ἀλλὰ καὶ ἀνέχεσθέ μου· ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ.* Τί λέγεις, ὦ Παῦλε; ὁ κελεύων τοῖς μαθηταῖς ἐν σοφίᾳ περιπατεῖν πρὸς τοὺς ἔξω, ὁ λέγων, *Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος, εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι·* ὁ πᾶσιν ἐπευχόμενος, ἵνα σοφίας πληρωθῶσι πνευματικῆς, αὐτὸς λέγεις, ὅτι *Εἶθε ἀνείχεσθέ μου μικρὸν τῆς ἀνοίας;* Οὐκ ἤρκει σοι τὸ φθέγξασθαί τι ἀφροσύνης ῥῆμα, ἀλλὰ καὶ εἰς τοὺς μαθητὰς τοῦτο ἐκφέρεις; καὶ οὐκ εἰς τοὺς μαθητὰς ἐκφέρεις μόνον, ἀλλὰ καὶ τοῖς μετὰ ταῦτα πᾶσι γινομένοις ἀνθρώποις διὰ τῆς ἐπιστολῆς τοῦτο δῆλον ποιεῖς; Ὁρᾶτε πῶς οὐχ ἁπλῶς δεῖ παρατρέχειν τὰ λεγόμενα, ἀλλ' ἕκαστον περισκοπεῖν ἀκριβῶς; Τοῦτο μὲν γὰρ ἁπλῶς μὲν ἀναγινωσκόμενον περίσταται [a] τοῖς ἀκροαταῖς, ἐρευνηθὲν δὲ πολλὴν δείκνυσι τοῦ Παύλου τὴν σοφίαν, μεγάλην τὴν σύνεσιν, ἄφατον τὴν κηδεμονίαν.

γ'. Τί ποτ' οὖν ἐστι τὸ λεγόμενον; Ψευδαπόστολοι πολλοὶ ἦσαν παρὰ τοῖς Κορινθίοις, διαφθείροντες αὐτοὺς, κατηγοροῦντες τοῦ Παύλου, ὑπορύττοντες αὐτοῦ τὴν δόξαν, ἣν παρὰ τοῖς μαθηταῖς εἶχεν, εἰς [295] εἰρωνείαν αὐτὸν σκώπτοντες, ὡς ἀλαζόνος κατηγοροῦντες. Πρὸς τούτους καὶ διατεινόμενος πολλαχοῦ τῆς ἐπιστολῆς φαίνεται. Καὶ γὰρ ὅταν λέγῃ, *Οὐκ ἐσμεν ὥσπερ οἱ λοιποὶ, καπηλεύοντες τὸν λόγον τοῦ Θεοῦ·* καὶ πάλιν εἰπὼν, *Ἀβαρῆ ὑμῖν ἐμαυτὸν ἐτήρησα,* καὶ ὑποσχόμενος διαπαντὸς τοῦτον ἀκίνητον διατηρῆσαι τὸν νόμον (*Ἔστι γὰρ, φησὶν, ἀλήθεια Χριστοῦ ἐν ἐμοὶ, ὅτι ἡ καύχησίς μου αὕτη οὐ φραγήσεται ἐν τοῖς κλίμασι τῆς Ἀχαΐας*), ἐν τῇ τῆς αἰτίας ἐπαγωγῇ ἠνίξατο τοὺς μιαροὺς ἐκείνους οὕτως εἰπών· *Διὰ τί; ὅτι οὐκ ἀγαπῶ ὑμᾶς; Ὁ Θεὸς οἶδεν. Ἀλλ' ὃ ποιῶ, καὶ ποιήσω, ἵνα ἐκκόψω τὴν ἀφορμὴν τῶν θελόντων ἀφορμήν·* καὶ ἀνωτέρω δὲ τούτων παρακαλεῖ τοὺς μαθητὰς μὴ καταστῆσαι αὐτὸν εἰς ἀνάγκην τοῦ τὴν οἰκείαν ἐπιδεῖξαι δύναμιν αὐτοῖς, οὕτωσὶ λέγων· *Δέομαι δὲ τὸ μὴ παρὼν θαρρῆσαι τῇ πεποιθήσει, ᾗ λογίζομαι τολμῆσαι ἐπί τινας τοὺς λογιζομένους ἡμᾶς ὡς κατὰ σάρκα περιπατοῦντας.* Αὐτοὶ γὰρ οὗτοι, περὶ ὧν ταῦτά φησιν, εἰς εἰρωνείαν αὐτὸν διαβάλλοντες, οὕτως ἔλεγον, ὅτι αἱ μὲν ἐπιστολαὶ Παύλου πολὺν ἔχουσιν ὄγκον καὶ ῥημάτων ἀπόνοιαν, αὐτὸς δὲ οὐδαμινὸς καὶ εὐτελὴς καὶ ἀπερρίμμενος. Ἐπειδὰν γοῦν ἐνταῦθα παραγένηται, οὐδενὸς ἄξιος φαίνεται λόγου· ὅπερ οὖν καὶ αὐτὸ πάλιν ἐμφαίνων ἔλεγεν, *Ἵνα δὲ μὴ δόξω ὡς ἂν ἐκφοβεῖν ὑμᾶς διὰ τῶν ἐπιστολῶν·* ὅτι *αἱ μὲν ἐπιστολαὶ, φησὶ, βαρεῖαι καὶ ἰσχυραὶ, ἡ δὲ παρουσία τοῦ σώματος ἀσθενὴς, καὶ ὁ λόγος ἐξουθενημένος.* Εἶτα αὐτοῖς ἐγκαλῶν τοῖς Κορινθίοις τοῖς ἀναπειθομένοις, φησίν· *Ἢ ἁμαρτίαν ἐποίησα ἐμαυτὸν ταπεινῶν, ἵν' ὑμεῖς ὑψωθῆτε;* Καὶ ἀποδυόμενος δὲ τὸ ἔγκλημα αὐτὸ ἐκεῖνο πάλιν λέγει· *Ὅτι οἷοί ἐσμεν δι' ἐπιστολῶν ἀπόντες, τοιοῦτοι καὶ παρόντες τῷ ἔργῳ.* Ἐπεὶ οὖν πολλοὶ παρ' αὐτοῖς ἦσαν ψευδαπόστολοι, οὓς καὶ ἐργάτας δολίους καλεῖ, οὕτω λέγων· *Οἱ γὰρ τοιοῦτοι ψευδαπόστολοι, ἐργάται δόλιοι, μετασχηματιζόμενοι εἰς ἀποστόλους Χριστοῦ. Καὶ οὐ θαυμαστόν·* καὶ *γὰρ αὐτὸς ὁ Σατανᾶς μετασχηματίζεται εἰς ἄγγελον φωτός. Οὐ μέγα οὖν, εἰ καὶ οἱ διάκονοι αὐτοῦ μετασχηματίζονται ὡς διάκονοι δικαιοσύνης.* Ἐπεὶ οὖν οὗτοι μυρίας εὑρόντες κατ' αὐτοῦ διαβολὰς, τοὺς μαθητὰς ἔβλαπτον, οὐ τὴν προσήκουσαν περὶ αὐτοῦ πείθοντες αὐτοὺς ἔχειν δόξαν, ἀναγκάζεται λοιπὸν εἰς διήγησιν τῶν οἰκείων ἐγκωμίων ἐμπεσεῖν· οὐδὲ γὰρ ἦν τὸ σιγᾷν λοιπὸν ἀσφαλές. Ἐπεὶ οὖν μέλλει τοὺς οἰκείους ἄθλους ἡμῖν ἐξηγεῖσθαι, καὶ τὰς ἀποκαλύψεις, ἃς εἶδε, καὶ τοὺς μόχθους, οὓς ἐμόχθησε, βουλόμενος δεῖξαι πᾶσιν, ὅτι ἄκων καὶ βιαζόμενος τοῦτο ποιεῖ, καὶ ἀνάγκην οὖσαν ὁρῶν, ὅμως ἀφροσύνης αὐτὸ πρᾶγμα ἐκάλεσεν, οὕτως εἰπών· *Ὄφελον ἀνείχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ.* Μέλλω, φησὶ, πρᾶγμα ἀνόητον ποιεῖν, καὶ ἐγκωμιάζειν καὶ ἐπαινεῖν· ἀλλ' οὐκ ἐγὼ τούτων αἴτιος, ἀλλ' οἱ εἰς τοιαύτην με ἀνάγκην ἐμβαλόντες· διὰ τοῦτο παρακαλῶ ὑμᾶς ἀνασχέσθαι, κἀκείνοις τὴν αἰτίαν λογίσασθαι.

δ'. Καὶ ὅρα τὴν Παύλου σύνεσιν· εἰπὼν, *Ὄφελον ἀνείχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ· ἀλλὰ καὶ ἀνέχεσθέ μου·* [294] *ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ,* οὐκ εὐθέως ἦλθεν ἐπὶ τὴν διήγησιν τῶν ἐγκωμίων, ἀλλὰ μεταξὺ πάλιν ἐνθεὶς ῥήματα, οὕτω πώς φησιν· *Πάλιν λέγω, μή τίς με δόξῃ ἄφρονα εἶναι· εἰ δὲ μή γε, κἂν ὡς ἄφρονα δέξασθέ με.* Καὶ οὐδὲ οὕτως ἥψατο τῆς διηγήσεως, ἀλλὰ πάλιν ἐπάγει καὶ λέγει· *Ὃ λαλῶ, οὐ λαλῶ κατὰ Κύριον, ἀλλ' ὡς ἐν ἀφροσύνῃ, ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως.* Καὶ οὐδὲ μετὰ ταῦτα τὰ ῥήματα ἐτόλμησε καθεῖναι, ἀλλὰ πάλιν ὁρμήσας ἀνακρούεται καὶ φησιν· *Ἐπειδὴ πολλοὶ καυχῶνται κατὰ τὴν σάρκα, κἀγὼ καυχήσομαι· ἡδέως γὰρ ἀνέχεσθε τῶν ἀφρόνων, φρόνιμοι ὄντες.* Εἶτα πάλιν ἀναδύεται καὶ ὀκνεῖ, καὶ ἕτερά τινα εἰπὼν, πάλιν ἐπάγει· *Ἐν ᾧ δ' ἂν τις τολμᾷ, ἐν ἀφροσύνῃ λέγω, τολμῶ κἀγώ.* Καὶ τότε μόλις

[a] Savil. conjicit προσίσταται.

μετὰ τοσαύτας προδιορθώσεις κατετόλμησε τῆς διηγήσεως τῶν ἐγκωμίων. Καὶ καθάπερ ἵππος χρημνὸν ἀπότομον ὑπερβαίνειν μέλλων, ὁρμᾷ μὲν ὡς ὑπερβάλλεσθαι μέλλων, τὸ δὲ βάθος ἰδὼν ναρκᾷ καὶ συστέλλεται, εἶτα τὸν ἐπιβάτην ὁρῶν σφοδρότερον ἀναγκάζοντα, πάλιν ἐπιχειρεῖ, καὶ τὸ αὐτὸ τοῦτο πάσχει, καὶ τὴν ἀνάγκην ἐνδεικνύμενος καὶ τὴν βίαν, ἵσταται ἐπὶ πολὺ χρεμετίζων ἐπὶ τοῦ χείλους τῆς φάραγγος, ὅπως παραθαρρύνας ἑαυτὸν κατατολμήσῃ· οὕτω καὶ ὁ μακάριος Παῦλος καθάπερ ἐπὶ χρημνόν τινα μέλλων ἑαυτὸν ἀφιέναι, τῶν οἰκείων ἐγκωμίων τὴν διήγησιν, καὶ ἅπαξ καὶ δὶς καὶ τρὶς καὶ πολλάκις ἀναδύεται οὕτω λέγων· *Ὄφελον ἀνείχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ·* καὶ πάλιν, *Μή τις με δόξῃ ἄφρονα εἶναι· εἰ δὲ μή γε, κἂν ὡς ἄφρονα δέξασθέ με·* καὶ, *Ὃ λαλῶ, οὐ λαλῶ κατὰ Κύριον, ἀλλ' ὡς ἐν ἀφροσύνῃ, ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως·* καὶ πάλιν, *Ἐπεὶ πολλοὶ καυχῶνται κατὰ σάρκα, κἀγὼ καυχήσομαι· ἡδέως γὰρ ἀνέχεσθε τῶν ἀφρόνων, φρόνιμοι ὄντες·* καὶ πάλιν, *Ἐν ᾧ δ' ἄν τις τολμᾷ, ἐν ἀφροσύνῃ λέγω, τολμῶ κἀγώ.* Καὶ μυριάκις ἑαυτὸν ἄφρονα καλέσας καὶ ἀνόητον, τότε μόλις ἐτόλμησεν ἐλθεῖν εἰς τοὺς ἐπαίνους τοὺς ἑαυτοῦ· *Ἑβραῖοί εἰσι; κἀγώ· Ἰσραηλῖταί εἰσι; κἀγώ· σπέρμα Ἀβραάμ εἰσι; κἀγώ· διάκονοι Χριστοῦ εἰσι; κἀγώ.* Καὶ οὐδὲ ἐνταῦθα ἐπελάθετο ἑαυτοῦ, ἀλλὰ πάλιν τίθησι τὴν προδιόρθωσιν, οὕτως ἐπάγων· *Παραφρονῶν λαλῶ, ὑπὲρ ἐγώ.* Καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ μετὰ τὸ διηγήσασθαι πάντα αὐτοῦ τὰ ἐγκώμια, λέγει· *Γέγονα ἄφρων καυχώμενος·* ὑμεῖς *με ἠναγκάσατε.* Ὡσεὶ ἔλεγεν, Ἐκείνων μοι λόγος οὐδεὶς ἦν, εἰ τὰ ὑμέτερα ἦν ἐῤῥωμένα, εἰ μὴ παρετρέπεσθε, μηδὲ ἐσαλεύεσθε. Καὶ γὰρ εἰ διαπαντὸς ἡμᾶς ἔλεγον ἐκεῖνοι κακῶς, οὐδεμία μοι βλάβη διὰ τῆς ἐκείνων ἐγίνετο κακηγορίας. Ἐπειδὴ δὲ εἶδον τὸ ποίμνιον διαφθειρόμενον, τοὺς μαθητὰς ἀποπηδῶντας, κατεφρόνησα φορτικοῦ πράγματος καὶ ἐπαχθοῦς, καὶ ἠναγκάσθην ἄφρων γενέσθαι, τὰ ἐμαυτοῦ λέγων ἐγκώμια δι' ὑμᾶς καὶ τὴν ὑμετέραν σῶτηρίαν.

ε'. Τοιοῦτον γὰρ τῶν ἁγίων τὸ ἔθος· εἰ μέν τι πράξαιεν φαῦλον, ἐκπομπεύουσιν αὐτὸ, καὶ καθ' ἑκάστην ἡμέραν θρηνοῦσι καὶ πᾶσι ποιοῦσι κατάδηλον· εἰ δέ τι γενναῖον καὶ μέγα, ἀποκρύπτουσι καὶ λήθῃ παραπέμπουσιν. Αὐτὸς γοῦν οὗτος ὁ ἅγιος τὰ μὲν ἁμαρτήματα, [295] καὶ μηδενὸς βιαζομένου, συνεχῶς ἔστρεφε καὶ ἐξεπόμπευε, νῦν μὲν λέγων, *Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ·* νῦν δὲ λέγων, *Χάριν ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ, ὅτι πιστόν με ἡγήσατο, θέμενος εἰς διακονίαν τὸν πρότερον ὄντα βλάσφημον καὶ διώκτην καὶ ὑβριστήν· ἀλλ' ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ·* καὶ πάλιν, *Ἔσχατον δὲ πάντων ὥσπερεὶ τῷ ἐκτρώματι ὤφθη κἀμοί· ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν ἀποστόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος, ὅτι ἐδίωξα τὴν Ἐκκλησίαν τοῦ Θεοῦ·* καὶ πάλιν, *Ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων ἁγίων ἐδόθη ἡ χάρις αὕτη.* Ὁρᾷς πῶς οὐ τῶν ἀποστόλων μόνον, ἀλλὰ καὶ ἁπλῶς τῶν πιστῶν ἁπάντων ἔσχατον ἑαυτὸν καλεῖ, *Ἐμοὶ τῷ ἐλαχιστοτέρῳ*, εἰπών, *πάντων τῶν ἁγίων ἐδόθη ἡ χάρις αὕτη*; Οὕτως οὐδὲ τῆς σωτηρίας, δι' ἧς ἐσώθη, ἄξιος εἶναί φησιν· εἰπὼν γὰρ ὅτι *Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ·* ἄκουσον καὶ διὰ ποίαν αἰτίαν τοῦτο λέγει· *Ἀλλὰ διὰ τοῦτο ἠλεήθην, ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται Ἰησοῦς Χριστὸς τὴν πᾶσαν μακροθυμίαν πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ' αὐτῷ εἰς ζωὴν αἰώνιον.* Ὃ δὲ λέγει, τοῦτό ἐστιν· Οὐ διὰ τὴν ἀξίαν μετάθεσιν τοῦ βίου ἠλεήθην, μὴ τοῦτο νομίσῃς· ἀλλ' ἵνα μηδεὶς ἀπογνῷ τῶν ἐν κακίᾳ βεβιωκότων, μηδὲ τῶν τῷ Χριστῷ πολεμησάντων, τὸν πάντων ἔσχατον, καὶ μεθ' ὃν οὐδεὶς ἦν ἕτερος οὕτω πολέμιος τῷ Χριστῷ, σωθέντα ὁρῶν. Καὶ ὁ μὲν Χριστός φησιν, *Ὅτι σκεῦός ἐκλογῆς μοί ἐστι τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν καὶ βασιλέων·* οὗτος δὲ οὐδὲν ὑπὸ τῶν ἐγκωμίων ἐκείνων φυσηθείς, μένει ταλανίζων ἑαυτὸν μετὰ τοσαύτην παῤῥησίαν, πρῶτον τῶν ἁμαρτωλῶν ἑαυτὸν καλῶν, καὶ διὰ τοῦτο ἠλεῆσθαι λέγων, ἵνα μηδεὶς τῶν πρὸς ἐσχάτην ἐληλακότων κακίαν ἀπογνῷ τῆς οἰκείας σωτηρίας, πρὸς αὐτὸν καὶ τὴν εἰς αὐτὸν γενομένην φιλανθρωπίαν βλέπων.

ς'. Τὰ μὲν οὖν ἁμαρτήματα, καὶ μηδεμιᾶς οὔσης ἀνάγκης, ἐκπομπεύει καθ' ἑκάστην ἡμέραν ἐν ταῖς ἐπιστολαῖς αὐτοῦ πάσαις, στηλιτεύων καὶ δῆλα ποιῶν οὐχὶ τοῖς τότε μόνον ἀνθρώποις, ἀλλὰ καὶ τοῖς μετὰ ταῦτα ἐσομένοις πᾶσι· τὰ δὲ ἐγκώμια, καὶ ἀνάγκην οὖσαν ὁρῶν, ὅμως ὀκνεῖ καὶ ἀναδύεται διηγήσασθαι. Καὶ τοῦτο δῆλον μὲν ἐξ ὧν μυριάκις ἀφροσύνην τὸ πρᾶγμα ἐκάλεσε, δῆλον δὲ καὶ ἀπὸ τοῦ χρόνου παντὸς, ὃν ἐσίγησε τὴν θαυμαστὴν καὶ θείαν ἀποκάλυψιν ἐκείνην· οὐ γὰρ δὴ τότε, οὐδὲ πρὸ δύο καὶ τριῶν καὶ δέκα ἐτῶν, ἀλλὰ πολλῷ πλειόνων ἦν αὐτὴν ἑωρακώς. Διὰ τοῦτο καὶ τὸν χρόνον αὐτὸν τίθησιν οὕτω λέγων· *Οἶδα ἄνθρωπον πρὸ ἐτῶν δεκατεσσάρων ἁρπαγέντα ἕως τρίτου οὐρανοῦ·* ἵνα σὺ μάθῃς, ὅτι οὐκ ἂν οὐδὲ τότε ἐφθέγξατο, εἰ μὴ πολλὴν εἶδεν ἀνάγκην ἐπικειμένην. Εἰ γὰρ ἐβούλετο τοὺς οἰκείους ἐπαίνους διεξιέναι, εὐθέως ἂν αὐτὴν εἶπεν, ὅτε εἶδεν, ἢ τῷ πρώτῳ καὶ δευτέρῳ καὶ τρίτῳ ἔτει· νυνὶ δὲ ἔτη δεκατέσσαρα ἐκαρτέρησε καὶ ἐσίγησε καὶ πρὸς οὐδένα ἐξεῖπεν, ἀλλὰ πρὸς Κορινθίους μόνον. Καὶ πότε; Ὅτε τοὺς ψευδαποστόλους εἶδεν ἐπιφυέντας, δεικνὺς ὅτι οὐδ' ἂν [296] τότε ἐφθέγξατο, εἰ μὴ τοσαύτην ἑώρα διαφθορὰν ἐν τοῖς μαθηταῖς γενομένην. Ἀλλ' οὐχ ἡμεῖς οὕτως, ἀλλὰ τοὐναντίον ἅπαν ποιοῦμεν· τῶν μὲν ἁμαρτημάτων οὐδὲ μίαν μεμνήμεθα ἡμέραν, ἀλλὰ κἂν ἑτέρων μνησθέντων ἀκούσωμεν, ἀγανακτοῦμεν, δυσχεραίνομεν, ὕβριν τὸ πρᾶγμα λογιζόμεθα, μυρίαις αὐτοὺς πλύνομεν λοιδορίαις· εἰ δέ τι μικρὸν ἐργασώμεθα [a] ἀγαθὸν, τοῦτο συνεχῶς στρέφομεν, καὶ τοῖς μεμνημένοις αὐτὸ χάριν ἴσμεν, καὶ φίλους τοὺς τοιούτους εἶναι νομίζομεν· καίτοι γε ὁ Χριστὸς τὸ ἐναντίον ἐπέταξε, κατορθωμάτων μὲν ἐπιλελῆσθαι, ἁμαρτημάτων δὲ μεμνῆσθαι. Καὶ τοῦτο δῆλον μὲν ἡμῖν ἐποίησε καὶ δι' ὧν τοῖς μαθηταῖς παρῄνει λέγων· *Ὅταν πάντα ποιήσητε, λέγετε, ὅτι Ἀχρεῖοι δοῦλοί ἐσμεν·* καὶ διὰ τῆς τοῦ Φαρισαίου παραβολῆς, τὸν τελώνην αὐτοῦ προθείς. Ὥσπερ γὰρ τοῦτον ἡ μνήμη τῶν ἁμαρτημάτων ἐδικαίωσεν, οὕτως ἐκεῖνον ἡ μνήμη τῶν κατορθωμάτων ἀπώλεσε. Καὶ Ἰουδαίοις δὲ ὁ Θεὸς τὰ αὐτὰ δὴ ταῦτα παραινεῖ, λέγων

[a] Savil. ἐργασόμεθα. Leg. ἂν. . ἐργασώμ.

tiones, laudum commemorationem vix audet aggredi. Ac quemadmodum equus præcipitium et præruptum transilire parans, conatum intendit ut transeat, ut vero profunditatem intuetur, obstupescit contrahiturque, hinc ubi videt equitem acrius instare, rursus tentat, idipsumque quod antea, patitur, necessitatem vimque sibi illatam ostendens, stat diu hinniens ad oram prærupti, ut sibi animos faciens demum, transilire audeat : sic et beatus Paulus, tamquam in præcipitium quoddam sese mox demissurus, nempe in propriarum laudum commemorationem, semel, iterum et tertio, imo pluries retrocedit sic dicens, *Utinam sustinueritis modicum quid insipientiæ meæ :* et iterum, *Ne quis me putet insipientem esse : alioquin velut insipientem accipite me ;* et, *Quod loquor, non loquor secundum Dominum, sed quasi in insipientia, in hac substantia gloriæ ;* ac rursum, *Quoniam multi gloriantur secundum carnem, et ego gloriabor ; libenter enim suffertis insipientes, cum sitis ipsi sapientes ;* iterumque, *In quo quis audet, in insipientia dico, audeo et ego.* Ac postquam sexcenties se stultum et insipientem appellavit, vix tandem audet in proprias laudes descendere : *Hebræi sunt, et ego : Israelitæ sunt, et ego : semen Abrahæ sunt, et ego : ministri Christi sunt, et ego* (*Ib. v.* 22. 23). At neque hic oblitus est sui, sed rursum correctionem apponit, sic addens, *Ut minus sapiens dico, plus ego* (*Ibid.*). Neque hic gradum sistit, sed postquam omnes laudes suas enarraverat, sic loquitur : *Factus sum insipiens gloriando, vos me coegistis* (2. *Cor.* 12. 11). Ac si diceret : Eos ego nihili ducebam, si res vestræ bene se haberent, nisi eversi fuissetis, nisi vacillassetis. Nam etsi semper illi me maledictis impetiissent, nihil ex eorum maledictis mihi detrimenti accedebat. Quia vero gregem vidi pessumdari, discipulos resilientes, rem gravem et onerosam despexi, et insipiens fieri coactus sum, dum laudes meas propter vos vestramque salutem decanto.

5. *Sancti peccata sua facile, laudes vero suas nonnisi coacti enuntiant.* — Hic enim mos sanctorum est : si quid mali fecerint, illud evulgant, quotidie deplorant, omnibusque palam faciunt ; si vero quid magni ac generosi, occultant et oblivioni tradunt. Hic itaque sanctus peccata, nemine cogente, frequenter versabat et evulgabat, modo dicens, *Christus Jesus venit in mundum, ut peccatores salvaret, quorum primus sum ego* (1. *Tim.* 1. 15) : modo autem, *Gratias ago ei, qui me confortavit, Christo, quia fidelem me existimavit, ponens in ministerio, qui primus blasphemus fui, et persequutor et contumeliosus : sed misericordiam consequutus sum, quia ignorans feci in incredulitate* (*Ib. v.* 12. 13) ; ac rursum, *Novissime autem omnium tamquam abortivo visus est et mihi : ego enim sum minimus apostolorum, qui non sum dignus vocari apostolus, quoniam persequutus sum Ecclesiam Dei* (1. *Cor.* 15. 8. 9) ; ac rursum, *Mihi omnium sanctorum minimo data est hæc gratia* (*Ephes.* 3. 8). Viden' quomodo non apostolorum modo, sed etiam simpliciter fidelium omnium se minimum vocet? *Mihi minimo omnium sanctorum*, inquit, *data est gratia hæc.* Itaque neque salute, quam consequutus est, se dignum esse dicit : cum enim dixerit, *Christus Jesus venit in mundum, ut peccatores salvaret, quorum primus ego sum* (1. *Tim.* 1. 15) : audi qua de causa id dicat : *Sed ideo misericordiam consequutus sum, ut in me primo ostenderet Christus Jesus omnem patientiam ad informationem eorum, qui crediturі sunt illi, in vitam æternam* (*Ib. v.* 16). Horum autem sensus est : Non ob condignam vitæ mutationem misericordiam consequutus sum : cave id existimes ; sed ut nemo eorum, qui in nequitia vixerunt, etiamsi Christo bellum fecerit, desperaret, dum extremum omnium, quo nullus umquam infestior Christo fuit, salutem consequutum videret. Siquidem Christus dicit, *Quoniam vas electionis est mihi, ut portet nomen meum coram gentibus et regibus* (*Act.* 9. 15) ; hic vero tot laudibus non intumescens, post tantam fiduciam se miserum prædicare pergit, se primum peccatorum vocans, atque ideo misericordiam consequutum dicens, ut nemo vel eorum qui ad extremum nequitiæ devenerint, de propria salute desperaret, dum se sibique collatum beneficium respiceret.

6. Peccata itaque sua, nulla coactus necessitate quotidie evulgat in omnibus epistolis suis ; illaque traducit et declarat non illius temporis hominibus tantum, sed etiam omnibus post futuris ; laudes vero, etiam instante necessitate, narrare cunctatur et refugit. Id sane vel ex eo palam est, quod id sexcenties insipientiam vocet ; palam item est ex tanto tempore, quo mirabilem illam et divinam revelationem tacuit : non enim tunc, vel ante duos tresve aut decem annos, sed ante multo plures illam viderat. Quamobrem ipsum tempus assignat his verbis : *Scio hominem ante annos quatuordecim raptum ad tertium cælum* (2 *Cor.* 12. 2) : ut tu disceres, ne tunc quidem ita loquuturum fuisse, nisi magna urgente necessitate. Si namque voluisset laudes suas recensere, statim atque vidisset eam, declarasset, vel saltem primo, vel secundo aut tertio anno : at ille quatuordecim annis in silentio perseveravit, et nemini dixit, nisi Corinthiis tantum. Quandonam ? Cum pseudoapostolos vidit insurgentes, declarans se ne tunc quidem dicturum fuisse, nisi tantam vidisset corruptionem discipulos invadere. At nos non item : sed prorsus contrarium facimus. Peccatorum ne uno quidem die recordamur ; sed si quospiam ea commemorare audiamus, indignamur, ægre ferimus, contumeliam id esse putamus, innumeris illos maledictis incessimus ; si quid autem boni præstemus, in ore frequenter versamus, id commemorantibus gratiam habemus, illosque nobis amicos existimamus : licet Christus contrarium præceperit, ut recte factorum quidem obliviscamur, peccatorum vero recordemur. Quod nobis declaravit dum sic discipulos cohortaretur : *Cum omnia feceritis, dicite, quoniam servi inutiles sumus* (*Luc.* 17. 10) ; et in parabola Pharisæi, cui publicanum præposuit. Quemadmodum enim hunc peccatorum commemoratio justificavit, sic et illum recte factorum memoria perdidit. Judæis quoque Deus eadem monita tradit, his

verbis : *Ego sum ipse, qui deleo peccata tua, et non recordabor; tu vero recordare* (*Isa.* 43. 25).

7. Hic mos erat apostolorum, hic prophetarum et justorum omnium. David enim peccati sui jugiter recordabatur, bonorum operum nusquam nisi forte cogente necessitate (1. *Reg.* 17). Cum ergo barbaricum illud bellum Judæum vexabat, omniaque periculis plena erant; cum ille juvenis adhuc esset et belli imperitus, relictis ovibus in aciem descendit, cumque omnes exterritos, formidantes ac trementes cerneret, nihil humanum passus est, neque cæteros abjectos videns formidolosus fuit, sed fide omnia, quæ conspiciebantur transcendens, ad Regem cælorum respiciens, multam animo alacritatem concepit, et ad milites fratresque suos accessit, pollicens se ab instanti periculo ipsos liberaturum. Cum autem dictum irriderent fratres ejus (neque enim videbant Deum intus illum concitantem, neque noverant animum illum generosum, ad cælum usque pertingentem, magnaque fiducia plenum), illis relictis, alios adiit. Ubi autem illum adduxissent ad regem, quem timore emortuum reperit : primo is illius animum erigit, his verbis, *Ne concidat cor domini mei super ipso, quia servus tuus ibit et pugnabit cum hoc alienigena* (1. *Reg.* 17. 32). Cum autem ille non fidem haberet ac diceret, *Non poteris ire; tu puer es, ille autem vir bellator a juventute sua* (*Ib. v.* 33), in ancipiti constitutus David cogitur proprias efferre laudes. Quod enim id nollet, ex prioribus arguitur, quandoquidem nec fratribus suis de rebus a se fortiter gestis quidpiam dixerat, ut neque militibus, imo ne ipsi regi, donec vidit eum non credere, contendere et congressum suum contra adversarium impedire. Quid tunc faciendum restabat? an tacendæ laudes erant? At non sivisset egredi, et ab imminenti periculo liberare. Ideo cum tacuisset, quando tacere oportebat, ubi vidit temporis rationem id postulare ut loqueretur, non ultra tacuit, sed sic eum alloquutus est : *Pascens eram servus tuus gregem patris mei, et cum veniret leo aut ursus, et acciperet ovem de grege, egrediebar post eum, et percutiebam eum, et extrahebam ab ore ejus, et apprehendebam guttur ejus, et occidebam eum : ac leonem et ursum percussit servus tuus : et erit alienigena hic et incircumcisus sicut unus ex eis* (1. *Reg.* 17. 34-36). Vides quomodo declaravit qua de causa ab se fortiter gesta commemoraverit? Tum scilicet rex assumpta fiducia, jussit abire. Abiit porro, pugnavit et vicit. At nisi laudes suas enarrasset, nequaquam rex illi monomachiam ejusmodi concessisset; si non credidisset, non sivisset eum in aciem descendere; si non sivisset, victoriam impedivisset : impedita autem victoria, neque Deus tunc glorificatus, neque civitas ab urgentibus malis liberata esset. Ne igitur tot absurda contingerent, neque tantæ dispensationis opus præpediretur, coactus est David proprias recensere victorias. Ut enim tacere sciunt, ubi nulla est loquendi necessitas, ita et loqui norunt, vi instante atque imminente.

8. Neque in hoc tantum, sed etiam in Samuele idipsum contigisse quis videat. Etenim ille cum tot annis Judaico populo præfuisset, idque ad Dei placitum, nec quidpiam magni de se umquam loquutus fuisset, multa licet haberet dicenda, si voluisset, suam a primæva ætate educationem, in templo commorationem, prophetiæ donum ab incunabulis, post hæc bella, victorias, quas non armis, sed ex benevolentia Dei aciem instruens reportavit : horum tamen nihil superiori tempore dixerat. At ubi principatum abdicaturus, alterique imperium traditurus erat, tunc coactus est proprias laudes recensere, idque admodum parce. Evocatoque universo populo, præsente Saule, ita loquutus est : *Ecce audivi vocem vestram, et constitui vobis regem : et ego ecce conversatus sum in conspectu vestro a juventute mea, et usque ad diem hanc, et senui. Respondete contra me in conspectu Domini, et in conspectu christi ejus; cujus vestrum vitulum accepi? aut cujus asinum accepi? aut quem vestrum oppressi? aut cui vestrum vim feci? aut ex cujus vestrum manu accepi placationem aut calceum, et abscondi oculos meos in illo? Dicite contra me, et restituam vobis* (1. *Reg.* 12. 1-3). Ecqua necessitas hæc dicendi, inquies? Multa magnaque. Quoniam enim principem inducturus illis erat Saulem, ut in sui ipsius defensione doceret eum, quo pacto præesse oporteret, et curam gerere subditorum, ipsos subditos philosophiæ suæ testes adducit. Nec illud egit imperii sui tempore, ne quis diceret illos præ ipsius metu ac formidine quæ non erant testificatos esse; verum jam soluta sua administratione, cum in alium præfectura translata esset, nullumque accusanti periculum instaret, tunc cum illis disceptat. Quamquam si alius fuisset, Judæis infensus futurus erat, nec voluisset principem successorem suum æquum moderatumque esse, idque non solum ex injuriæ acceptæ memoria, sed ut et ipse majorem consequeretur laudem.

9. *Principes optant improbos habere successores.* — Illud enim morbi principum animis insidet, ut successores suos improbos sceleratosque esse peroptent. Nam si strenui generosique fuerint, illustriores se existimandos esse putant, si ii, qui imperium excipiunt, non sui similes sint : si autem perversi corruptique sint, successorum nequitiam apologiam sibi fore putant. Sed non talis erat beatus ille vir; optabat quippe votisque omnibus cupiebat, ut longe meliori imperio fruerentur : tanto scilicet amore tenebatur, usque adeo livoris expers erat, et a vana gloria alienus. Siquidem unum tantum expetebat, tempo hominum salutem. Ideo in defensione sua principis officia depingebat. Quia enim, si regem compellasset ac dixisset, Esto æquus, mansuetus, muneribus impervius, nemini vim inferas, neminem lædas, vel defraudes, grave illud molestumque fuisset audienti; si tacuisset item, illud erat populum prodere : defensionis specie utrique remedium adhibuit : illum quippe docuit quem oporteret esse regem, talisque doctrinæ molestiam effugit. Et quidem videtur ille pro suis tantum rebus disceptare, docetque interim illum quo

οὕτως· *Ἐγώ εἰμι αὐτὸς ὁ ἐξαλείφων τὰς ἁμαρτίας σου, καὶ οὐ μὴ μνησθῶ· σὺ δὲ μνήσθητι.*

ζ'. Τοιοῦτον τῶν ἀποστόλων τὸ ἦθος ἦν, τοιοῦτον τῶν προφητῶν καὶ τῶν δικαίων ἁπάντων. Ὁ γοῦν Δαυὶδ τῆς μὲν ἁμαρτίας τῆς ἑαυτοῦ συνεχῶς ἐμέμνητο, τῶν δὲ κατορθωμάτων οὐδαμοῦ, πλὴν εἴ ποτε καταναγκάσθη. Ὅτε γοῦν ὁ βαρβαρικὸς ἐκεῖνος πόλεμος τὴν Ἰουδαίαν κατέλαβε, καὶ πάντα κινδύνων ἦν μεστά, νέος ὢν ἔτι καὶ πολέμων ἄπειρος, καταλιπὼν τὰ πρόβατα, καὶ εἰς τὴν παράταξιν ἐλθών, πάντας κατεπτηχότας βλέπων καὶ δεδοικότας καὶ τρέμοντας, οὐδὲν ἔπαθεν ἀνθρώπινον, οὐδὲ ἐγένετο δειλότερος τοὺς οἰκείους τεταπεινωμένους ὁρῶν· ἀλλὰ τῇ πίστει πάντα τὰ βλεπόμενα ὑπερβάς, καὶ πρὸς τὸν Βασιλέα τῶν οὐρανῶν ἰδών, καὶ πολλῆς ἑαυτὸν ἐμπλήσας προθυμίας, προσῆλθε τοῖς στρατιώταις καὶ τοῖς ἀδελφοῖς, ἐπαγγελλόμενος ἀπαλλάσσειν αὐτοὺς τοῦ κατέχοντος κινδύνου. Ὡς δὲ ἐγέλασαν τὸ εἰρημένον οἱ ἀδελφοὶ (οὐ γὰρ ἑώρων τὸν ἔνδον αὐτὸν ἀλείφοντα θεὸν, οὐδὲ τὴν ψυχὴν τὴν γενναίαν ἐκείνην, καὶ οὐρανομήκη, καὶ πολλῆς γέμουσαν φιλοσοφίας), καταλιπὼν ἐκείνους, πρὸς ἑτέρους ἀπῆλθεν. Ὡς δὲ πρὸς τὸν βασιλέα αὐτὸν εἰσήγαγον, καὶ εὗρεν αὐτὸν ἀποτεθνηκότα τῷ δέει, πρῶτον αὐτοῦ διανίστησι τὸ φρόνημα, οὕτω λέγων· *Μὴ συμπεσέτω ἡ καρδία τοῦ κυρίου μου ἐπ' αὐτόν, ὅτι ὁ δοῦλός σου πορεύσεται καὶ πολεμήσει μετὰ τοῦ ἀλλοφύλου τούτου.* Ἐπειδὴ δὲ ἐκεῖνος ἠπίστει λέγων, *Οὐ δυνήσῃ πορευθῆναι· σὺ παιδάριον εἶ, αὐτὸς δὲ ἀνὴρ πολεμιστὴς ἐκ νεότητος αὐτοῦ*, ἐν ἀπορίᾳ ὢν λοιπὸν ὁ Δαυὶδ ἀναγκάζεται τὰ οἰκεῖα διηγεῖσθαι ἐγκώμια. Ὅτι γὰρ οὐκ ἐβούλετο, διὰ τῶν προτέρων ἔδειξεν, οὔτε πρὸς τοὺς ἀδελφοὺς εἰπών τι τῶν αὐτοῦ κατορθωμάτων, οὔτε πρὸς τοὺς στρατιώτας, ἀλλ' οὐδὲ πρὸς αὐτὸν τὸν βασιλέα, ἕως εἶδεν αὐτὸν ἀπιστοῦντα καὶ ἀγωνιῶντα καὶ κωλύοντα τὴν ἔφοδον τὴν κατ' ἐκείνου. Τί γὰρ ἔδει πρᾶξαι λοιπόν; σιγῆσαι τὰ ἐγκώμια; Ἀλλ' οὐκ ἂν ἐπέτρεψεν ἀπελθεῖν, οὐδὲ ἀπαλλάξαι τῶν κατεχόντων κινδύνων. [297] Διὰ τοῦτο σιγήσας ἡνίκα ἔδει, ἐπειδὴ τὸν καιρὸν εἶδε καταναγκάζοντα εἰπεῖν, οὐκ ἔτι σιγᾷ, ἀλλά φησι πρὸς αὐτόν· *Ποιμαίνων ἤμην ὁ δοῦλός σου ἐν τῷ ποιμνίῳ τοῦ πατρός μου, καὶ ὅταν ἤρχετο λέων ἢ ἄρκτος, καὶ ἐλάμβανε πρόβατον ἐκ τῆς ἀγέλης, ἐξηρχόμην κατόπισθεν αὐτοῦ, καὶ ἐπάτασσον αὐτὸν, καὶ ἐξέσπων ἐκ τοῦ στόματος αὐτοῦ, καὶ ἐκράτουν τοῦ φάρυγγος αὐτοῦ, καὶ ἐθανάτουν αὐτόν· καὶ τὸν λέοντα καὶ τὴν ἄρκτον ἔτυπτεν ὁ δοῦλός σου· καὶ ἔσται ὁ ἀλλόφυλος οὗτος καὶ ἀπερίτμητος, ὡς ἓν τούτων.* Ὁρᾷς πῶς ἐδήλωσε, τίνος ἕνεκεν εἶπε τὰ οἰκεῖα κατορθώματα; Τότε δή, τότε θαρρήσας ὁ βασιλεὺς λοιπὸν ἐκέλευσεν ἀπελθεῖν. Καὶ ἀπῆλθε, καὶ παρετάξατο, καὶ ἐνίκησεν. Εἰ δὲ μὴ ἐγκώμια εἶπεν, οὐκ ἂν αὐτῷ τὴν μονομαχίαν ἐκείνην ἐπίστευσεν ὁ βασιλεύς· μὴ πιστεύσας δὲ, οὐκ ἂν ἀφῆκεν αὐτὸν εἰς τὴν παράταξιν ἀπελθεῖν· μὴ ἀφεὶς δὲ, διεκώλυσεν ἂν τὸ κατόρθωμα· τοῦ δὲ κατορθώματος κωλυθέντος, οὔτε ὁ Θεὸς ἂν ἐδοξάσθη τότε, οὔτε ἡ πόλις τῶν ἐπικειμένων ἀπηλλάγη κινδύνων. Ἵν' οὖν μὴ τοσαῦτα γένηται ἄτοπα, μηδὲ οἰκονομίας μέγεθος κωλυθῇ τοσοῦτον, ἠναγκάσθη τοὺς οἰκείους ἔθλους εἰπεῖν ὁ Δαυίδ. Ὥσπερ γὰρ σιγᾷν ἴσασιν, οὐδεμιᾶς οὔσης ἀνάγκης, οὕτω καὶ λέγειν ἐπίστανται, ἐπειδὰν πολλὴν ἴδωσι βίαν ἐπικειμένην.

η'. Οὐκ ἐπὶ τούτου δὲ μόνου, ἀλλὰ καὶ ἐπὶ τοῦ Σαμουὴλ τὸ αὐτὸ τοῦτο γεγενημένον ἴδοι τις ἄν. Καὶ γὰρ ἐκεῖνος ἔτη τοσαῦτα προστὰς τοῦ δήμου τῶν Ἰουδαίων οὕτως, ὡς ὁ Θεὸς ἤθελε, καὶ μηδὲν μηδέποτε μέγα περὶ ἑαυτοῦ φθεγξάμενος, καίτοι πολλὰ ἔχων, εἴπερ ἐβούλετο, λέγειν, τὴν ἐκ πρώτης ἡλικίας ἀνατροφὴν, τὴν ἐν τῷ ναῷ διατριβὴν, τὴν ἐκ σπαργάνων αὐτοῦ προφητείαν, τοὺς μετὰ ταῦτα πολέμους, τὰς νίκας ἃς ἐνίκησεν, οὐχ ὅπλοις χρώμενος, ἀλλὰ μετὰ τῆς εὐνοίας τοῦ Θεοῦ παρατταττόμενος, ἐν τοῖς ἔμπροσθεν χρόνοις οὐδὲν τούτων εἶπεν. Ἐπειδὴ δὲ ἔμελλεν ἀφίστασθαι τῆς προστασίας, καὶ τὴν ἀρχὴν ἐγχειρίζειν ἑτέρῳ, τότε λοιπὸν ἠναγκάσθη τὰ ἐγκώμια αὐτοῦ διεξελθεῖν, καὶ ταῦτα ὑφειμένως. Καὶ καλέσας τὸν δῆμον ἅπαντα, παρόντος καὶ τοῦ Σαοὺλ, οὕτω πώς φησιν· *Ἰδοὺ ἤκουσα τῆς φωνῆς ὑμῶν, καὶ ἐβασίλευσα ἐφ' ὑμᾶς βασιλέα· καὶ ἐγὼ ἰδοὺ ἀνέστραμμαι ἐνώπιον ὑμῶν ἐκ νεότητός μου, καὶ ἕως τῆς ἡμέρας ταύτης, καὶ γεγήρακα. Ἀποκρίθητε κατ' ἐμοῦ ἐνώπιον τοῦ Κυρίου, καὶ ἐνώπιον χριστοῦ αὐτοῦ· μόσχον τίνος ὑμῶν εἴληφα; ἢ ὄνον τίνος εἴληφα; ἢ τίνα ὑμῶν κατεδυνάστευσα; ἢ τίνα ἐξέπιεσα ὑμῶν; ἢ ἐκ χειρὸς τίνος ὑμῶν εἴληφα ἐξίλασμα ἢ ὑπόδημα, καὶ ἀπέκρυψα τοὺς ὀφθαλμούς μου ἐν αὐτῷ; Εἴπατε κατ' ἐμοῦ, καὶ ἀποδώσω ὑμῖν.* Καὶ ποία ἦν ἀνάγκη ταῦτα λέγειν, φησί; Πολλὴ καὶ μεγάλη. Ἐπειδὴ γὰρ ἄρχοντα ἔμελλεν εἰσάγειν αὐτοῖς τὸν Σαοὺλ, ἐν τῇ καθ' ἑαυτὸν ἀπολογίᾳ διδάξαι βουλόμενος ἐκεῖνον, πῶς προΐστασθαι δεῖ καὶ κήδεσθαι τῶν ἀρχομένων, αὐτοὺς τοὺς ὑπηκόους μάρτυρας αὐτοῦ τῆς φιλοσοφίας παράγει. Καὶ οὐ ποιεῖ τοῦτο ἐν τῷ καιρῷ τῆς ἀρχῆς, ἵνα μή τις εἴπῃ, ὅτι δεδοικότες αὐτὸν καὶ φοβούμενοι, τὰ μὴ ὄντα ἐμαρτύρησαν· ἀλλ' ὅτε παρελύθη τὰ τῆς δημαγωγίας, καὶ εἰς ἕτερον μετέστη τὰ τῆς [298] προστασίας, καὶ κίνδυνος οὐδεὶς ἦν τῷ κατηγοροῦντι λοιπὸν, τότε δικάζεται πρὸς αὐτούς. Καίτοι γε εἰ ἕτερός τις ἦν, ἐμνησικάκησεν ἂν τοῖς Ἰουδαίοις, καὶ οὐκ ἂν ἠθέλησε τὸν ἄρχοντα τὸν μετ' αὐτὸν ἐπιεικῆ γενέσθαι καὶ μέτριον, οὐ διὰ μνησικακίαν δὲ μόνον, ἀλλ' ἵνα καὶ αὐτὸς ἐπαινῆται μειζόνως.

θ'. Καὶ γὰρ νόσημα τοῦτο δεινὸν τοῖς ἄρχουσιν ἐνεστὶ τοὺς μετ' αὐτοὺς ἐπὶ τὴν ἀρχὴν ἐρχομένους εὔχονται φαύλους εἶναι καὶ πονηρούς. Ἄν τε γὰρ γενναῖοι τύχωσιν ὄντες, λαμπροτέρους αὐτοὺς φανεῖσθαι νομίζουσι, τῶν διαδεξαμένων τὴν ἀρχὴν οὐκ ὄντων τοιούτων· ἄν τε σκαιοὶ καὶ διεφθαρμένοι, ἀπολογίαν τῆς οἰκείας ἔσεσθαι πονηρίας τοῦ μετὰ ταῦτα ἄρχοντος τὴν κακίαν. Ἀλλ' οὐχ ὁ μακάριος οὗτος τοιοῦτος· ἀλλ' ἠβούλετο καὶ ηὔχετο καὶ ἐπεθύμει πολλῷ βελτίονος αὐτοὺς ἀπολαῦσαι τῆς προστασίας· οὕτω φιλόστοργος ἦν, οὕτω φθόνου καθαρὸς, οὕτω κενοδοξίας ἀπηλλαγμένος. Καίτοι γε ἓν μόνον ἐζήτει, τῶν ἀνθρώπων τὴν σωτηρίαν. Διὰ τοῦτο καὶ τὸν ἄρχοντα αὐτοῖς ἐν τῇ καθ' ἑαυτὸν ἐρρύθμιζεν ἀπολογίᾳ. Ἐπειδὴ γὰρ τὸ μὲν καλέσαι τὸν βασιλέα καὶ εἰπεῖν, Ἐπιεικὴς ἔσο καὶ μέτριος καὶ ἀδωροδόκητος, καὶ μηδένα βιάζου, μηδὲ ἀδίκει, μηδὲ πλεονέκτει, φορτικὸν ἦν καὶ ἐπαχθὲς τῷ μέλλοντι ταῦτα ἀκούειν· τὸ δὲ σιγῆσαι πάλιν προδοσία τοῦ δήμου ἐγίνετο· ἐν ἀπολογίας προσχήματι ἀμφότερα ταῦτα κατώρθωσε, κἀκεῖνον ἐδίδαξεν ὁποῖον εἶναι χρὴ τὸν βασιλεύοντα, καὶ τὴν ἐκ τοῦ διδάσκειν ἐπάχθειαν ἔφυγε. Καὶ δοκεῖ μὲν ὑπὲρ τῶν

καθ ἑαυτὸν ἀγωνίζεσθαι· παιδεύει δὲ ἐκεῖνον, πῶς καὶ τίνι τρόπῳ τῶν ἀρχομένων ἐπιμελεῖσθαι χρή. Σὺ δέ μοι σκόπει πῶς μετὰ ἀκριβείας ἁπάσης καθαρὸν ἑαυτὸν ἔδειξε λημμάτων. Οὐδὲ γὰρ εἶπε, Μὴ ἀγρούς τινος ὑμῶν ἔλαβον; μὴ χρυσίον; ἀλλ' ὃ πάντων εὐτελέστερον ἦν, *Μὴ ὑπόδημα*; φησίν. Εἶτα καὶ ἑτέραν ἑαυτοῦ πολλὴν ἡμῖν ἐδήλωσεν ἀρετήν. Ἐπειδὴ γὰρ πολλοὶ τῶν ἀρχόντων, ὅταν μὲν κλέπτωσιν, ἐπιεικεῖς εἰσι καὶ μέτριοι καὶ προσηνεῖς οὐκ οἴκοθεν, ἀλλὰ διὰ τὴν ἀνάγκην τοῦ συνειδότος, ἐκ τῶν κλεμμάτων περιῃρημένοι τὴν παῤῥησίαν· οἱ δὲ ἀδωροδόκητοι, φορτικοὶ καὶ ἐπαχθεῖς, οὐδὲ αὐτοὶ πάλιν οἴκοθεν, ἀλλ' ὑπό τινος κενοδοξίας καὶ τοῦ καθαροὶ λημμάτων εἶναι· ἀμφότερα δὲ οὐκ ἄν τις ἴδοι ῥᾳδίως συνελθόντα εἰς ἕνα· δεῖξαι βουλόμενος ὁ ἅγιος οὗτος, ὅτι ἀμφοτέρων παρεγένετο, καὶ λημμάτων ἐκράτει καὶ ὀργῆς, εἰπών, *Μὴ μόσχον τινὸς ὑμῶν εἴληφα*; οὐκ ἐσίγησεν, ἀλλ' ἐπήγαγεν, *Ἢ κατεδυνάστευσά τινα ὑμῶν ἢ ἐξεπίεσα*; τοῦτ' ἔστιν, ἐξέθλιψα; Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· Οὐδεὶς ἂν ἔχοι τοῦτο εἰπεῖν, ὅτι οὐκ ἔλαβον μὲν, ἐπειδὴ δὲ οὐκ ἔλαβον, φορτικὸς ἐγενόμην καὶ ἐπαχθὴς καὶ ὠμὸς καὶ ἄγριος. Διὰ τοῦτο ἔλεγεν, *Ἢ κατεδυνάστευσά τινα ὑμῶν*; Τί οὖν ἐκεῖνοι; *Οὔτε κατεδυνάστευσας ἡμᾶς, οὔτε ἐξεπίεσας, οὐδὲ εἴληφας ἐκ χειρὸς ἡμῶν οὐδέν*. Καὶ ἵνα μάθῃς, ὅτι καὶ τὸν βασιλέα αὐτὸν παιδεύων ταῦτα ἔλεγεν, ἐπήγαγε· *Μάρτυς* [299] *Κύριος, καὶ μάρτυς ὁ χριστὸς αὐτοῦ*· τοῦτο δὲ ἡμῖν αὐτὸ παραδηλῶν καὶ δεικνὺς, ὡς οὐκ ἦν ἡ μαρτυρία κεχαρισμένη, αὐτὸν ἐκάλεσε μάρτυρα τὸν τὰ ἀπόῤῥητα τῆς διανοίας εἰδότα, ὅπερ ἐστὶ καθαροῦ συνειδότος ἀπόδειξις. Οὐδεὶς γὰρ, οὐδεὶς, εἰ μὴ σφόδρα ἦν μεμηνὼς καὶ ἐξεστηκὼς, τοῦ συνειδότος τοῦ ἑαυτοῦ καλέσειεν ἂν ποτε μάρτυρα τὸν Θεὸν, εἰ μὴ σφόδρα ἑαυτῷ θαῤῥοίη. Μαρτυρησάντων τοίνυν ἐκείνων ἐπὶ τοῖς εἰρημένοις αὐτῷ, καὶ ἑτέραν ἑαυτοῦ δείκνυσιν αὐτὸς ἀρετήν· καὶ τῶν παλαιῶν ἀναμνήσας ἁπάντων τῶν κατὰ τὴν Αἴγυπτον, καὶ τῆς τοῦ Θεοῦ προστασίας, καὶ τῶν μετ' ἐκείνους πολέμων, ἀναμιμνήσκει τῆς μάχης τῆς ἐπ' αὐτοῦ γενομένης καὶ τῆς νίκης τῆς παραδόξου· καὶ εἰπὼν πῶς πολλάκις διὰ τὰς οἰκείας ἁμαρτίας τοῖς πολεμίοις παραδοθέντων, ἐκάλεσεν αὐτὸς τὸν Θεὸν, καὶ ἀπήλλαξεν αὐτοὺς τῶν πολεμίων, συνάπτων τοῖς παλαιοῖς τὰ νέα, ἐπάγει καὶ λέγει· *Ἐξαπέστειλε Κύριος τὸν Ἰεροβάαλ, τὸν Γεδεών, καὶ τὸν Βαράκ, καὶ τὸν Ἰεφθάε, καὶ τὸν Σαμουήλ, καὶ ἐξείλετο ὑμᾶς κύκλωθεν ἐκ χειρὸς τῶν ἐχθρῶν ὑμῶν, καὶ κατοικεῖτε πεποιθότες*.

ι'. Ὁρᾷς πῶς ἔθος τοῖς ἁγίοις μὴ τὰ ἑαυτῶν κατορθώματα λέγειν, εἰ μή ποτε καταναγκασθεῖεν; Διὰ τοῦτο καὶ ὁ Παῦλος πρὸς τούτους βλέπων, καὶ παιδευόμενος ἀκριβῶς, ὅτι τὸ αὐτόν τινα περὶ ἑαυτοῦ λέγειν ἐπαχθὲς καὶ φορτικὸν, ἔλεγεν· *Ὤφελον ἀνείχεσθέ μου μικρόν τῇ ἀφροσύνῃ*· οὐ μέγα, ἀλλὰ μικρόν τι. Οὐδὲ γὰρ ἀνάγκης οὔσης μετὰ δαψιλείας ἐχεῖν ἑαυτὸν εἰς τὴν διήγησιν τῶν ἐγκωμίων παρεσκεύασται, ἀλλὰ διὰ βραχέων αὐτὰ παρατρέχει· καὶ αὐτὸ δὴ τοῦτο δι' ἐκείνους καὶ τὴν ἐκείνων σωτηρίαν. Ὥσπερ γὰρ, οὐκ οὔσης ἀνάγκης λέγειν τὰ οἰκεῖα κατορθώματα, ἀνοίας ἐστὶν ἔσχατης, οὕτως ἀνάγκης ἐπικειμένης καὶ βίας ὠθούσης, πάλιν προδοσία ἐστὶ τὸ σιγᾷν τὰ αὐτῶν πεπραγμένα. Ἀλλ' ὅμως ὁ Παῦλος καὶ ἀνάγκην οὖσαν ὁρῶν, ἀπώκνει, καὶ τὸ πρᾶγμα ἀφροσύνην ἐκάλει, ἵνα μάθῃς αὐτοῦ τὴν σύνεσιν καὶ τὴν σοφίαν καὶ τὴν πολλὴν ἀσφάλειαν. Καὶ γὰρ εἰπὼν, *Ὃ λαλῶ, οὐ λαλῶ κατὰ Κύριον*, προσέθηκεν, *Ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως*. Μὴ νομίσῃς, φησὶ, καθόλου με τοῦτο λέγειν. Ὥστε διὰ τοῦτο αὐτὸν μάλιστα ἐπαινῶ καὶ θαυμάζω καὶ σοφώτατον καλῶ, ὅτι πρᾶγμα ἀφροσύνης εἶναι ἐνόμισε τὸ ἑαυτὸν ἐγκωμιάζειν καὶ ἐπαινεῖν. Εἰ δὲ οὗτος ἀνάγκην οὖσαν ὁρῶν, ἀφροσύνην τοῦτο ἐκάλει, τίνος ἂν εἶεν συγγνώμης ἄξιοι, ποίας ἀπολογίας, οἱ μηδὲ ἀνάγκης οὔσης περὶ ἑαυτῶν λέγοντες μεγάλα, ἢ καὶ ἑτέρους λέγειν καταναγκάζοντες; Ταῦτ' οὖν εἰδότες, μὴ ἐπαινῶμεν τὰ λεγόμενα μόνον, ἀλλὰ καὶ μιμησώμεθα καὶ ζηλώσωμεν, καὶ κατορθωμάτων ἐπιλανθανόμενοι, τῶν ἁμαρτημάτων ἀεὶ μνημονεύωμεν, ἵνα καὶ μετριάζειν δυνώμεθα, καὶ πρὸς τὰ ἔμπροσθεν ἐπεκτεινόμενοι, τὸ βραβεῖον λάβωμεν τῆς ἄνω κλήσεως, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

modo quave ratione subditorum curam gerere oporteat. Tu vero mihi perpende quomodo se diligenter omni munere purum esse demonstret. Non enim dixit, Num agros cujuspiam vestrum abstuli? num aurum? sed quod omnium vilissimum erat, Num calceum, inquit? Deinde aliam eamque magnam virtutem suam patefecit. Quia enim multi principes, dum furantur, mansueti sunt et moderati, non suapte natura, sed cogente conscientia, quod scilicet illis admissum furtum fiduciam tollat : contra vero qui munera aversantur, molesti onerosique sunt, nec ipsi suapte natura, sed ex quadam vana gloria, et quod muneribus vacui sint : utraque autem mala in uno concurrere non facile videas : cum ostendere vellet vir ille sanctus, se et muneribus et ira superiorem fuisse, ubi dixisset, *Num vitulum cujusdam vestrum accepi?* non tacuit, sed subjunxit, *Aut oppressi quempiam vestrum? aut depressi*, id est, contrivi? Hujus porro dicti sensus est : Nemo illud dicere possit, quod non acceperim quidem, sed quia non acceperam, ideo gravis, molestus, crudelis et immanis fuerim. Propterea dicebat : *Num oppressi quempiam vestrum* (1. *Reg.* 12. 3-4). Quid igitur illi? *Non oppressisti nos, neque vexasti, nec accepisti ex manu nostra quidpiam.* Et ut discas illum ut regem erudiret hæc dixisse, subjunxit : *Testis Dominus, et testis christus ejus* (*Ib. v.* 5) : hoc autem ostendens atque declarans, nempe testimonium non fuisse ad gratiam datum, ipsum advocavit testem, qui mentis arcana novit, quod est signum puræ conscientiæ. Nemo quippe, nemo, nisi mente captus ac furiosus sit, conscientiæ suæ testem advocaverit Deum, nisi ad modum sibi ipsi fidat. Cum itaque illi dicta ipsius suo testimonio confirmarent, aliam ipse virtutem suam prædicat : ac commemoratis antiquis illis omnibus, qui in Ægypto fuerunt, necnon Dei patrocinio, bellisque quæ postea contigerunt, refert pugnam se duce commissam et victoriam inopinatam : ac cum dixisset quomodo sæpe ob peccata sua inimicis traditos, ipso precante, Deus ab hostibus liberaverit, veteribus recentia adjungens, sic infert : *Misit Deus Jerobaal, Gedeon* (*a*), *Barac, Jephthæ, et Samuelem, et eripuit vos in circuitu de manu inimicorum vestrorum, et habitatis confidenter* (1. *Reg.* 12. 11).

10. *Sancti nonnisi urgente necessitate laudes suas efferunt.* — Viden' quomodo in more sit sanctis non præclara sua gesta narrare nisi urgente necessitate? Ideo Paulus ad hos respiciens, et accurate institutus, molestum onerosumque esse, si quis de seipso aliquid proferret, dicebat, *Utinam sustineretis modicum quid insipientiæ meæ;* non magnum, sed *modicum quid* (2. *Cor.* 11. 1). Neque enim cogente necessitate copiosam laudum suarum narrationem effundere paratus erat, sed paucis illas percurrit : et hoc ipsum propter eos eorumque salutem. Quemadmodum enim sine aliqua necessitate sua recensere præclara gesta extremæ dementiæ est; sic instante necessitate et vi compellente, proditio esset illa tacere quæ probe fecerit. Attamen Paulus etiam cum urgeret necessitas, cunctabatur, remque illam insipientiam vocabat, ut discas ejus prudentiam et sapientiam, magnamque cautionem. Nam cum dixisset, *Quod loquor, non loquor secundum Dominum*, adjecit, *In hac substantia gloriationis* (2. *Cor.* 11. 7). Ne putes, inquit, me generatim hoc dicere. Itaque ideo maxime virum laudo, admiror et sapientissimum voco, quod rem insipientem esse putaret seipsum laudare et celebrare. Quod si ille, licet necessitatem instare videret, hoc stultitiam vocabat, qua venia, qua excusatione digni erunt ii, qui nulla necessitate de seipsis magna jactant, aut alios jactare cogunt? Hæc cum comperta habeamus, ne illa, quæ dicta sunt, laudemus tantum, sed etiam imitemur et æmulemur, et recte factorum obliti peccata semper commemoremus, ut et moderate agere possimus, et ad ea quæ ante nos sunt contendentes, bravium supernæ vocationis accipiamus, gratia et benignitate Domini nostri Jesu Christi, quicum Patri, una cum sancto Spiritu, gloria, imperium, honor, nunc et semper, et in sæcula sæculorum. Amen.

(*a*) In hunc locum notat Savilius vocem, *Gedeon*, esse superfluam ortamque ex glossemate marginali ad *Jerobaal*. Et quidem idem erat *Jerobaal* et Gedeon. Itaque aut vox, *Gedeon*, aut virgula inter *Gedeon* et *Jerobaal* posita deleatur necesse est : virgula autem deleta, duo nomina sumentur conjunctim unum et eumdem significantia.

MONITUM AD HOMILIAM IN ILLUD APOSTOLI,

Hanc homiliam habuisse Chrysostomum quo tempore cum Anomœis Antiochiæ concertabat, si non omnino certum, admodum saltem verisimile est. Id enim exordii verba suadent. *Cum nuper*, inquit, *Pharisæi et publicani mentionem faceremus et duos currus ex virtute et ex vitio jungeremus, utrumque ostendimus, quantum sit in humilitate lucri, et quantum in arrogantia damni*, etc. Hæc porro confer cum his verbis Homiliæ quintæ contra Anomœos num. 6 et 7 : *Ut autem discas, quantum bonum sit non altum sapere, duos finge currus, junge justitiam cum arrogantia, et peccatum cum humilitate : videbisque peccati currum justitiæ currum præcedere.... Ut porro videas hanc bigam illa velociorem esse, recordare Pharisæi et publicani; junxit Pharisæus justitiam et arrogantiam*, etc. His conspectis vix est quod dubitemus hanc homiliam paucis post concionem quintam contra Anomœos diebus pronuntiatam fuisse. Quinta vero homilia contra Anomœos eam præcessit, quæ in S. Philogonium dicta est quinque ante Natalem Domini diebus. Quamobrem si inter Homilias in Philogonium et in Natalem Domini nulla intercesserit, ut optime conjicit Tillemontius, hæc in dies Natalem Domini subsequentes, atque adeo in postremos anni 386 apposite conjicitur. Qua de re pluribus agetur in Vita Chrysostomi. Occasio autem hujus habendæ concionis

IN EOS

QUI MALE UTUNTUR HOC APOSTOLI DICTO, SIVE PER OCCASIONEM, SIVE PER VERITATEM, CHRISTUS ANNUNTIATUR (*Philipp.* 1. 18); ET DE HUMILITATE (*a*).

1. *In humilitate quantum boni, et in arrogantia quantum mali insit.* — Cum nuper Pharisæi et publicani mentionem faceremus, ac duos currus ex virtute et ex vitio jungeremus, utrumque ostendimus, quantum sit in humilitate lucri, et quantum in arrogantia damni. Hæc quippe etiam cum justitia, et cum jejuniis, atque decimarum solutione conjuncta, defecit tamen : illa vero etiam cum peccato copulata, Pharisæum prævertit, etsi improbum aurigam nacta. Quid enim pejus publicano? Attamen quia animam suam contrivit, et se peccatorem declaravit, ut revera erat, Pharisæum superavit, qui jejunia et decimarum solutionem proferre poterat, eratque ab omni nequitia liber. Cur, et qua de causa? Quia etsi ab avaritia et a rapina esset alienus, omnium malorum matrem vanam gloriam et arrogantiam habuit in animo radicatam. Ideo Paulus hortatur et dicit : *Opus suum probet unusquisque, et sic in semetipso gloriam habebit, et non in altero* (*Gal.* 6. 4). Ille autem totius orbis accusator in medium prorupit, sequo omnibus hominibus meliorem dixit. Atqui si denis, si quinis, si binis, imo si uni seipsum prætulisset, ne id quidem ferendum erat : jam vero non se tantum toti orbi anteposuit, sed etiam omnes accusavit. Ideo in cursu defecit. Et ceu navis, qui innumeros fluctus pertransiit, et tempestates multas effugit, ac deinde in ipso portus ostio in aliquem scopulum impegit, omnem in se repositum thesaurum amittit : ita et hic Pharisæus post jejunii cæterarumque omnium virtutum labores, quia linguam non cohibuit, in ipso portu naufragium fecit. Ex precibus enim, unde lucrum erat sperandum, cum tanto abire damno, nihil aliud erat, quam in portu naufragium facere.

2. Hæc cum sciamus, dilecti, etiamsi in ipsum virtutis fastigium pervenerimus, nos omnium postremos existimemus : cum didicerimus arrogantiam ex ipso cœlo posse eum, qui non sibi attendit, dejicere, et humilitatem eum, qui in peccatorum abyssum demersus sit, in altum reducere, si modeste agat. Hæc enim Pharisæo publicanum præposuit; illa vero, nimirum arrogantia et superbia, ipsius diaboli incorporei vim superavit, humilitas autem et propriorum peccatorum agnitio latronem ante apostolos in paradisum induxit. Si autem ii, qui sua confitentur peccata, tantam sibi fiduciam conciliant : ii qui sibi bonorum multorum conscii animam tamen suam humiliant, quantas non coronas assequentur? Quando enim peccatum cum humilitate jugatur, tam expedite currit, ut justitiam cum arrogantia junctam superet atque prævertat. Si ergo illam cum justitia junxeris, quo non perveniet? quot cœlos non pertransibit? Stabit plane fiducia magna inter angelos ante ipsum Dei thronum. Contra si arrogantia cum justitia copulata, nequitiæ suæ mole ac pondere ejus fiduciam detrahere potuit : si cum peccato jungatur, in quam gehennam non præcipitabit eum, qui illa detentus sit?

Humilitas philosophiæ nostræ fundamentum.— Hæc dico non ut justitiam negligamus, sed ut fugiamus arrogantiam; non ut peccemus, sed ut modeste agamus. Philosophiæ quippe nostræ fundamentum est humilitas. Etsi innumera sursum ædifices, etsi eleemosynam, preces, jejunium, omnesque virtutes congeras, nisi eam pro fundamento posueris, omnia frustra et incassum ædificasti, citoque corruent, perinde atque ædificium illud super arenam exstructum. Nullum quippe opus bonum non illa eget, nullum sine illa stare poterit. Sed etiamsi continentiam dixeris, etiamsi virginitatem, etiamsi pecuniarum contemptum, etiamsi quidvis aliud, omnia immun

(*a*) Collata cum Mss. Colbertinis 970 et 3058, qui sic titulum efferunt : *Ejusdem; ante hanc homiliam de Pharisæo sermocinatus, nunc in eos verba facit qui male utuntur*, etc.

SIVE PER OCCASIONEM, SIVE PER VERITATEM CHRISTUS, ETC.

ista fuit, ut ipse non semel, maxime autem num. 5 et 6 aperte significat. Cum quidam hæc Apostoli verba, *Sive per occasionem, sive per veritatem Christus annuntietur, et in hoc gaudeo*, quæ in cœtu Ecclesiæ lecta fuerant, ita prave interpretarentur ut dicerent, dum Christus annuntiaretur, nihil interesse, an hæretica an vera dogmata essent : hoc erroris portentum depellit ille, pluribusque demonstrat non eam esse Pauli mentem ; sed ex vera rerum gestarum historia Pauli sententiam hanc esse confirmat : Cum quidam Pauli inimici eum vinculis constrictum cernerent, ut Neronem in eum magis exasperarent, ipsique perniciem molirentur, veram sanamque fidem ideo prædicabant, ut aucto discipulorum numero tyrannus ille in doctorem catenis onustum magis magisque sæviret, utpote ejus doctrinæ præconem eximium : hac vero de causa, ait Chrysostomus, Paulus dicit, *Sive per occasionem, sive per veritatem Christus annuntietur, et in hoc gaudeo.* Multa præfert hæc homilia in principio de humilitate, et in fine de utilitate necessitateque precationis.

'Incerti interpretationem rejecimus, novamque paravimus.

[300] ΠΡΟΣ [a] ΤΟΥΣ

Οὐκ εἰς δέον χρωμένους τῷ ἀποστολικῷ ῥητῷ τῷ λέγοντι, « Εἴτε προφάσει, εἴτε ἀληθείᾳ Χριστὸς καταγγέλλεται· » καὶ περὶ ταπεινοφροσύνης.

α'. Τοῦ Φαρισαίου καὶ τοῦ τελώνου μνημονεύσαντες πρώην, καὶ ἅρματα δύο τῷ λόγῳ ζεύξαντες ἐξ ἀρετῆς καὶ κακίας, ἑκάτερον ἐδείξαμεν, ὅσον μὲν τῆς ταπεινοφροσύνης τὸ κέρδος, ὅσον δὲ τῆς ἀπονοίας τὸ βλάβος. Αὕτη μὲν γὰρ καὶ δικαιοσύνῃ συμβεβλημένη καὶ νηστείαις καὶ δεκάταις, ὑστέρησεν· ἐκείνη δὲ καὶ μετὰ ἁμαρτίας ζευχθεῖσα προέλαβε τὸ τοῦ [b] Φαρισαίου ζεῦγος, καίτοι καὶ τὸν ἡνίοχον ἔχουσα φαῦλον. Τί γὰρ τελώνου χεῖρον ; Ἀλλ' ὅμως ἐπειδὴ συνέτριψεν αὐτοῦ τὴν ψυχὴν, καὶ ἁμαρτωλὸν ἑαυτὸν ἐκάλεσεν, ὅπερ ἦν, ὑπερέβη τὸν Φαρισαῖον καὶ νηστείας [301] ἔχοντα εἰπεῖν καὶ δεκάτας, καὶ κακίας πάσης ἀπηλλαγμένον. Τίνος ἕνεκεν, καὶ διὰ τί ; Ὅτι εἰ καὶ πλεονεξίας καὶ ἁρπαγῆς ἀπήλλακτο, τὴν μητέρα τῶν κακῶν πάντων κενοδοξίαν τε καὶ ἀπόνοιαν εἶχεν ἐμβριζωμένην ἐπὶ τῆς ψυχῆς. Διὰ τοῦτο καὶ ὁ Παῦλος παρακαλεῖ καὶ λέγει· *Ἕκαστος τὸ ἑαυτοῦ ἔργον δοκιμαζέτω, καὶ τότε εἰς ἑαυτὸν τὸ καύχημα ἕξει, καὶ οὐκ εἰς τὸν ἕτερον.* Ἐκεῖνος δὲ τῆς οἰκουμένης ἁπάσης παρῆλθεν εἰς μέσον κατήγορος, καὶ πάντων τῶν ὄντων ἀνθρώπων ἑαυτὸν ἔφησεν εἶναι βελτίω. Καίτοι καὶ εἰ δέκα μόνον, καὶ εἰ πέντε, καὶ εἰ δύο, καὶ εἰ ἑνὸς ἑαυτὸν προὔθηκεν, οὐδὲ τοῦτο ἀνεκτὸν ἦν· νυνὶ δὲ οὐχὶ προὔθηκεν ἑαυτὸν μόνον τῆς οἰκουμένης, ἀλλὰ καὶ κατηγόρησεν ἁπάντων. Διὰ τοῦτο ὑστέρησε κατὰ τὸν δρόμον. Καὶ καθάπερ ναῦς μυρία διαδραμοῦσα κύματα, καὶ πολλοὺς ἐκφυγοῦσα χειμῶνας, εἶτα ἐν αὐτῷ τῷ στόματι τοῦ λιμένος σκοπέλῳ τινὶ προσαράξασα πάντα τὸν ἐναποκείμενον ἀπόλλυσι θησαυρόν· οὕτω δὴ καὶ ὁ Φαρισαῖος οὗτος, τοὺς πόνους τῆς νηστείας ὑπομείνας καὶ τῆς ἄλλης ἀρετῆς ἁπάσης, ἐπειδὴ γλώττης οὐκ ἐκράτησεν, ἐν αὐτῷ τῷ λιμένι τὸ φορτικὸν ναυάγιον ὑπέμεινε. Τὸ γὰρ ἐξ εὐχῆς, ὅθεν κερδαίνειν ἔδει, τοσαῦτα βλαβέντα μᾶλλον ἀπελθεῖν, οὐδὲν ἕτερόν ἐστιν, ἢ ἐν λιμένι ναυάγιον ὑπομεῖναι.

β'. Ταῦτ' οὖν εἰδότες, ἀγαπητοὶ, κἂν εἰς αὐτὴν τῆς ἀρετῆς τὴν κορυφὴν ἀνέλθωμεν, πάντων ἑαυτοὺς ἐσχάτους νομίζωμεν, μαθόντες ὅτι καὶ ἐξ αὐτῶν τῶν οὐρανῶν ἀπόνοια δύναται κατενεγκεῖν τὸν μὴ προσέχοντα, καὶ ἐξ αὐτῆς τῆς ἀβύσσου τῶν ἁμαρτημάτων ἀνενεγκεῖν εἰς ὕψος ταπεινοφροσύνη τὸν μετριάζειν εἰδότα. Αὕτη γὰρ πρὸ τοῦ Φαρισαίου τὸν τελώνην ἔστησεν· ἐκείνη δὲ, ἡ ἀπόνοια λέγω, καὶ ἡ ὑπερηφανία, καὶ ἀσωμάτου περιεγένετο δυνάμεως τοῦ διαβόλου· ἡ δὲ ταπεινοφροσύνη καὶ τῶν οἰκείων ἁμαρτημάτων ἡ ἐπίγνωσις εἰς παράδεισον τὸν λῃστὴν εἰσήγαγε πρὸ τῶν ἀποστόλων. Εἰ δὲ οἱ τὰ οἰκεῖα ὁμολογοῦντες ἁμαρτήματα, τοσαύτην ἑαυτοῖς προξενοῦσι τὴν παῤῥησίαν, οἱ πολλὰ μὲν ἑαυτοῖς συνειδότες ἀγαθὰ, ταπεινοῦντες δὲ ἑαυτῶν τὴν ψυχὴν, πόσων οὐκ ἐπιτεύξονται στεφάνων ; Ὅταν γὰρ ἁμαρτία συμβεβλημένη ᾖ τῇ ταπεινοφροσύνῃ, οὕτω τρέχει μετ' εὐκολίας, ὡς δικαιοσύνην μετ' ἀπονοίας οὖσαν ὑπερβῆναι καὶ προλαβεῖν. Ἂν τοίνυν μετὰ δικαιοσύνης αὐτὴν συνάψῃς, ποῦ οὐκ ἀφίξεται ; πόσους οὐ διαβήσεται οὐρανούς ; Παρ' αὐτὸν πάντως στήσεται τοῦ Θεοῦ τὸν θρόνον ἀνὰ μέσον τῶν ἀγγέλων μετὰ παῤῥησίας πολλῆς. Πάλιν εἰ μετὰ δικαιοσύνης ἡ ἀπόνοια ζευχθεῖσα, τῇ τῆς οἰκείας κακίας ὑπερβολῇ καὶ βαρύτητι καβελκύσαι τὴν ἐκείνης παῤῥησίαν ἴσχυσεν, ἂν μετὰ ἁμαρτίας ᾖ συμβεβλημένη, εἰς πόσην οὐ κατακρημνίσαι δυνήσεται τὸν ἔχοντα αὐτὴν γέενναν ;

Ταῦτα λέγω, οὐχ ἵνα ἀμελῶμεν δικαιοσύνης, ἀλλ' ἵνα φύγωμεν ἀπόνοιαν· οὐχ ἵνα ἁμαρτάνωμεν, ἀλλ' ἵνα μετριάζωμεν. Θεμέλιος γάρ ἐστι τῆς καθ' ἡμᾶς φιλοσοφίας ἡ ταπεινοφροσύνη. Κἂν μυρία ἄνωθεν οἰκοδομήσῃς, κἂν ἐλεημοσύνην, κἂν εὐχὰς, κἂν νηστείαν, κἂν πᾶσαν ἀρετὴν, ταύτης μὴ προκαταβλητεῖσης, πάντα εἰκῇ καὶ μάτην ἐποικοδομηθήσεται, καὶ καταπεσεῖται ῥᾳδίως κατὰ τὴν οἰκοδομὴν [302] ἐκείνην τὴν ἐπὶ τῆς ψάμμου τεθεῖσαν. Οὐδὲν γάρ ἐστιν, οὐδὲν τῶν ἡμετέρων κατορθωμάτων, ὃ οὐ ταύτης δεῖται· οὐδέν ἐστιν, ὃ χωρὶς ταύτης στῆναι δυνήσεται. Ἀλλὰ κἂν σωφροσύνην εἴπῃς, κἂν παρθενίαν, κἂν χρημάτων ὑπεροψίαν, κἂν ὁτιοῦν, πάντα

[a] Mss. Colbertini 370 et 3038 : Τοῦ αὐτοῦ. Πρὸ ταύτης ἐμιλήσας εἰς Φαρισαῖον, νῦν πρὸς τοὺς οὐκ εἰς δέον, κ. τ. λ.

[b] Duo mss. προέλαβε καὶ προέδραμε τὸ τοῦ. Savil. in marg. καὶ παρέδραμε.

ἀκάθαρτα καὶ ἐναγῆ καὶ βδελυρὰ ταπεινοφροσύνης ἀπούσης. Πανταχοῦ τοίνυν αὐτὴν παραλαμβάνωμεν, ἐν ῥήμασιν, ἐν πράγμασιν, ἐν ἐνθυμήμασι, καὶ μετὰ ταύτης ταῦτα οἰκοδομῶμεν.

γ'. Ἀλλὰ τὰ μὲν περὶ ταπεινοφροσύνης ἱκανῶς εἴρηται, οὐ πρὸς τὴν ἀξίαν τοῦ κατορθώματος· οὐδεὶς γὰρ αὐτὴν κατ' ἀξίαν ὑμνῆσαι δυνήσεται· ἀλλὰ πρὸς τὴν σύνεσιν τῆς ὑμετέρας ἀγάπης. Εὖ γὰρ οἶδ' ὅτι καὶ ἀπὸ ὀλίγων τῶν εἰρημένων μετὰ πολλῆς αὐτὴν ἐπισπάσεσθε τῆς σπουδῆς. Ἐπειδὴ δὲ ἀνάγκη καὶ τὴν ἀποστολικὴν ῥῆσιν τὴν σήμερον ἀναγνωσθεῖσαν, πολλοῖς δοκοῦσαν παρέχειν ῥᾳθυμίας πρόφασιν, ποιῆσαι φανερὰν καὶ δήλην, ὥστε μὴ ψυχράν τινα ἀπολογίαν ἐντεῦθέν τινας ποριζομένους τῆς οἰκείας ἀμελεῖν σωτηρίας, φέρε, ἐπὶ ταύτην τὸν λόγον ἀγάγωμεν. Τίς οὖν ἐστιν ἡ ῥῆσις; *Εἴτε προφάσει*, φησὶν, *εἴτε ἀληθείᾳ Χριστὸς καταγγέλλεται*. Τοῦτο πολλοὶ περιφέρουσιν ἁπλῶς καὶ ὡς ἔτυχεν, οὐ τὰ πρότερα, οὐ τὰ μετὰ ταῦτα ἀναγινώσκοντες· ἀλλὰ τῆς ἀκολουθίας τῶν λοιπῶν ἀποκόψαντες μελῶν ἐπ' ὀλέθρῳ τῆς ἑαυτῶν ψυχῆς τοῖς ῥᾳθυμοτέροις προβάλλονται. Ἐπιχειροῦντες γὰρ αὐτοὺς τῆς ὑγιοῦς ἀπάγειν πίστεως, εἶτα ὁρῶντες δεδοικότας καὶ τρέμοντας, ὡς οὐκ ἀκίνδυνον ὂν τοῦτο ποιεῖν, καὶ βουλόμενοι τὸν φόβον αὐτῶν ἐκλῦσαι, τὴν ἀποστολικὴν ταύτην παράγουσιν ῥῆσιν, λέγοντες· Ὁ Παῦλος συνεχώρησε τοῦτο, εἰπών· *Εἴτε προφάσει, εἴτε ἀληθείᾳ Χριστὸς καταγγελλέσθω*. Ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστι. Πρῶτον μὲν γὰρ οὐκ εἴρηκε, καταγγελλέσθω, ἀλλὰ, *καταγγέλλεται*· πολὺ δὲ τὸ μέσον τούτου κἀκείνου. Τὸ μὲν γὰρ εἰπεῖν, καταγγελλέσθω, νομοθετοῦντός ἐστι· τὸ δὲ εἰπεῖν, *καταγγέλλεται*, τὸ συμβαῖνον ἀπαγγέλλοντος. Ὅτι δὲ οὐ νομοθετεῖ Παῦλος αἱρέσεις εἶναι, ἀλλὰ ἀπάγει πάντας τοὺς αὐτῷ προσέχοντας, ἄκουσον τί φησιν· *Εἰ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω, κἂν ἐγὼ, κἂν ἄγγελος ἐξ οὐρανῶν*. Οὐκ ἂν δὲ ἀνεθεμάτισε καὶ ἑαυτὸν καὶ ἄγγελον, εἰ τὸ πρᾶγμα ἀκίνδυνον ἦδει. Καὶ πάλιν, *Ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ*, φησίν· *ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνήν. Φοβοῦμαι δὲ μήποτε ὡς ὁ ὄφις Εὔαν ἠπάτησεν ἐν τῇ πανουργίᾳ αὐτοῦ, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος τῆς εἰς τὸν Χριστόν*. Ἰδοὺ καὶ ἁπλότητα τέθεικε, καὶ συγγνώμην οὐκ ἔδωκεν. Εἰ γὰρ ἦν συγγνώμη, κίνδυνος οὐκ ἦν· εἰ δὲ κίνδυνος οὐκ ἦν, οὐκ ἂν ἐφοβήθη Παῦλος· καὶ οὐχ ὁ Χριστὸς δὲ τὰ ζιζάνια κἂν ἐκέλευσε [a] καταχαῆναι, εἰ πρᾶγμα ἀδιάφορον ἦν καὶ τούτῳ, κἀκείνῳ, καὶ ἑτέρῳ προσέχειν, καὶ πᾶσιν ἁπλῶς.

δ'. Τί ποτ' οὖν ἐστι τὸ λεγόμενον; Μικρὸν ἄνωθεν ὑμῖν τὴν ἱστορίαν ἅπασαν διηγήσασθαι βούλομαι· δεῖ γὰρ εἰδέναι ἐν τίσιν ὁ Παῦλος ἦν, ἡνίκα ταῦτα ἐπέστελλεν. Ἐν τίσι τοίνυν ἦν τότε; Ἐν δεσμωτηρίῳ [303] καὶ ἀλύσεσι καὶ κινδύνοις ἀφορήτοις. Πόθεν τοῦτο δῆλον; Ἐξ αὐτῆς τῆς ἐπιστολῆς. Ἀνωτέρω γὰρ τούτου φησί· *Γινώσκειν δὲ ὑμᾶς βούλομαι, ἀδελφοὶ, ὅτι τὰ κατ' ἐμὲ μᾶλλον εἰς προκοπὴν τοῦ Εὐαγγελίου ἐλήλυθεν, ὥστε τοὺς δεσμούς μου φανερούς ἐν Χριστῷ γενέσθαι ἐν ὅλῳ τῷ πραιτωρίῳ, καὶ τοῖς λοιποῖς πᾶσι· καὶ τοὺς πλείονας δὲ τῶν ἀδελφῶν πεποιθότας τοῖς δεσμοῖς μου περισσοτέρως τολμᾶν ἀφόβως τὸν λόγον λαλεῖν*. Νέρων δὲ ἦν αὐτὸν ἐμβεβλημένως τότε τῷ δεσμωτηρίῳ. Καθάπερ γὰρ τις ληστὴς τῆς οἰκίας ἐπιβὰς, καθευδόντων ἁπάντων, τὰ πάντα ὑφαιρούμενος, ἐπειδὰν ἴδῃ τινὰ λύχνον ἅψαντα, καὶ τὸ φῶς σβέννυσι, καὶ τὸν λυχνοῦχον ἀναιρεῖ, ἵνα μετὰ ἀδείας αὐτῷ τὰ τῶν ἄλλων ὑφαιρεῖσθαι καὶ ἁρπάζειν ἐξῇ· οὕτω δὴ καὶ Νέρων ὁ Καῖσαρ τότε, ὥσπερ τις ληστὴς καὶ τοιχωρύχος, καθευδόντων ἁπάντων βαθύν τινα καὶ ἀναίσθητον ὕπνον, τὰ πάντων ἁρπάζων, γάμους διορύττων, οἰκίας ἀνατρέπων, ἅπαν κακίας εἶδος ἐπιδεικνύμενος, ἐπειδὴ τὸν Παῦλον εἶδε λύχνον ἅψαντα κατὰ τὴν οἰκουμένην, τὸν τῆς διδασκαλίας λόγον, καὶ ἐλέγχοντα αὐτοῦ τὴν πονηρίαν, ἐσπούδαζε καὶ τὸ κήρυγμα σβέσαι, καὶ τὸν διδάσκαλον ἀνελεῖν, ἵνα μετ' ἐξουσίας αὐτῷ πάντα ποιεῖν ἐξῇ, καὶ δήσας τὸν ἅγιον ἐκεῖνον ἐνέβαλεν εἰς δεσμωτήριον. Τότε τοίνυν ταῦτα ἔγραφεν ὁ μακάριος Παῦλος.

Τίς οὐκ ἂν ἐκπλαγείη; τίς οὐκ ἂν θαυμάσειε; μᾶλλον δὲ τίς κατ' ἀξίαν ἐκπλαγείη καὶ θαυμάσειεν ἂν τὴν γενναίαν ἐκείνην καὶ οὐρανομήκη ψυχήν, ὅτι δεδεμένος ἐν Ῥώμῃ καὶ καθειργμένος, ἀπὸ τοσούτου διαστήματος Φιλιππησίοις ἐπέστελλεν; Ἴστε γὰρ ὅσον τὸ μέσον Μακεδονίας καὶ Ῥώμης. Ἀλλ' οὔτε τῆς ὁδοῦ τὸ μῆκος, οὔτε τοῦ χρόνου τὸ πλῆθος, οὔτε ὁ τῶν πραγμάτων ὄχλος, οὔτε ὁ κίνδυνος καὶ τὰ ἐπάλληλα δεινὰ, οὔτε ἄλλο οὐδὲν τὴν ἀγάπην καὶ τὴν μνήμην ἐξέβαλε τῶν μαθητῶν, ἀλλ' εἶχεν αὐτοὺς ἅπαντας ἐν διανοίᾳ· καὶ οὐχ οὕτως αὐτῷ ταῖς ἁλύσεσιν αἱ χεῖρες ἐδέδεντο, ὡς τῷ πόθῳ τῶν μαθητῶν ἡ ψυχὴ συνεδέδετο καὶ προσήλωτο· ὅπερ οὖν καὶ αὐτὸ δηλῶν ἐν τῷ προοιμίῳ τῆς ἐπιστολῆς ἔλεγε· *Διὰ τὸ ἔχειν με ἐν τῇ καρδίᾳ μου ὑμᾶς, ἔν τε τοῖς δεσμοῖς μου, καὶ ἐν τῇ ἀπολογίᾳ καὶ βεβαιώσει τοῦ Εὐαγγελίου*. Καὶ καθάπερ βασιλεὺς ἐπὶ τὸν θρόνον ἀναβὰς ὑπὸ τὴν ἕω καὶ καθίσας ἐν ταῖς βασιλικαῖς αὐλαῖς, μυρίας εὐθέως δέχεται πανταχόθεν ἐπιστολάς· οὕτω δὴ κἀκεῖνος, καθάπερ ἐν βασιλικαῖς αὐλαῖς τῷ δεσμωτηρίῳ καθήμενος, πολλῷ πλείω καὶ ἐδέχετο καὶ ἔπεμπε τὰ γράμματα [b], τῶν πανταχόθεν ἐθνῶν ἐπὶ τὴν ἐκείνου σοφίαν ὑπὲρ τῶν καθ' ἑαυτοὺς πραγμάτων ἀναφερόντων ἅπαντα· καὶ τοσούτῳ πλείονα πράγματα τοῦ βασιλεύοντος ᾠκονόμει, ὅσῳ καὶ μείζονα ἀρχὴν ἐμπεπίστευτο. Οὐ γὰρ δὴ τοὺς τὴν Ῥωμαίων οἰκοῦντας χώραν μόνον, ἀλλὰ καὶ τοὺς βαρβάρους ἅπαντας, καὶ γῆν καὶ θάλατταν φέρων εἰς τὰς ἐκείνου χεῖρας ἐνέθηκεν ὁ Θεός. Καὶ τοῦτο δηλῶν Ῥωμαίοις ἔλεγεν· *Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, ὅτι πολλάκις ἐλθεῖν προεθέμην πρὸς ὑμᾶς, καὶ ἐκωλύθην ἄχρι τοῦ δεῦρο, ἵνα τινὰ καρπὸν σχῶ καὶ ἐν ὑμῖν, καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν· Ἕλλησί τε καὶ βαρβάροις, σοφοῖς τε καὶ* [304] *ἀνοήτοις ὀφειλέτης εἰμί*. Καθ' ἑκάστην τοίνυν ἐφρόντιζε τὴν ἡμέραν, τοῦτο δὴ Κορινθίοις, τοῦτο δὴ Μακεδόσι, πῶς Φιλιππήσιοι, πῶς Καππαδόκαι, πῶς Γαλάται, πῶς Ἀθηναῖοι, πῶς οἱ τὸν Πόντον οἰκοῦντες, πῶς ἅπαντες ἄνθρωποι. Ἀλλ' ὅμως τὴν γῆν ἅπασαν ἐγκεχειρισμένος οὐχ ὑπὲρ ἐθνῶν ὁλοκλήρων ἐμερίμνα μόνον, ἀλλὰ καὶ ὑπὲρ ἑνὸς ἀνθρώπου· καὶ νῦν μὲν δι' Ὀνήσιμον τὴν [c] ἐπιστολὴν ἔπεμπε, νῦν δὲ διὰ τὸν παρὰ Κορινθίοις πεπορνευκότα. Οὐδὲ γὰρ τοῦτο ἐσκόπει, ὅτι εἷς ἦν ὁ ἁμαρτὼν, καὶ δεόμενος προστασίας· ἀλλ' ὅτι ἄνθρωπος ἦν, ἄνθρωπος τὸ τῷ Θεῷ τιμιώτατον ζῶον, καὶ δι' ὃν οὐδὲ τοῦ Μονογενοῦς ὁ Πατὴρ ἐφείσατο.

ε'. Μὴ γάρ μοι τοῦτο εἴπῃς, ὅτι Δραπέτης ὁ δεῖνα, καὶ ληστὴς καὶ κλέπτης, καὶ μυρίων γέμων κακῶν,

[a] Unus ms. 748 καὶ ὁ Χριστὸς δὲ τὰ ζιζάνια οὐκ ἂν ἐκέλευσε.

[b] Unus ms. ἔπεμπε συνεχῶς τὰ γρ. Cod. 748 συχνῶς.

[c] Duo mss. μὲν Ὀνησίμῳ τήν.

da, exsecranda et abominanda absente humilitate sunt. Ubique igitur illam in verbis, in operibus, in cogitationibus assumamus, et cum illa hæc ædificemus.

3. Verum de humilitate hæc satis sunto, non pro dignitate rei; nemo quippe illam condigne celebrare possit; sed ad intelligentiam vestræ caritati dandam. Novi quippe vos ex paucis illis, quæ præfati sumus, illam multo studio suscepisse. Quia vero necesse est apostolicum dictum hodiernæ lectionis, quod multis videtur segnitiei occasionem præbere, planum facere, ut ne quidam inde frigida sumpta excusatione salutem suam negligant: age illo sermonem transferamus. Quodnam est dictum illud? *Sive per occasionem*, inquit, *sive per veritatem*, *Christus annuntiatur* (*Philipp.* 1. 18). Hoc multi simpliciter et temere circumferunt, qui nec priora nec sequentia legerunt; sed resecta reliquorum membrorum serie, in animarum suarum perniciem hæc segnioribus proponunt. Nam dum tentant eos a sana fide abducere, deindeque vident eos formidolosos ac tremulos, quasi id non vacet periculo: ut timorem eorum solvant, hoc apostolicum proferunt dicentes, Paulus hoc concessit, inquiens, *Sive per occasionem*, *sive per veritatem*, *Christus* annuntietur. Sed hæc non ita se habent, non ita utique. Nam primo non dixit, annuntietur, sed, *Annuntiatur*, quod multum differt ab illo. Etenim dicere, annuntietur, legem dantis est; *Annuntiatur*, vero dicere, id quod contingit narrantis est. Quod vero Paulus non legem ferat ut sint hæreses, sed abducat omnes qui ipsi attenderent, audi quid dixerit: *Si quis vobis evangelizat præter id quod accepistis, anathema sit*, *etsi ego*, *etsi angelus de cælis* (*Gal.* 1. 8. 9). Non autem et se et angelum anathematizasset, si rem sine periculo esse scivisset. Ac rursum: *Æmulor enim vos Dei æmulatione: despondi enim vos uni viro virginem castam; timeo autem ne, sicut serpens Evam decepit astutia sua*, *sic corrumpantur sensus vestri a simplicitate quæ est in Christo* (*Gen.* 3. 4; 2 *Cor.* 11. 2. 3). Ecce et simplicitatem posuit, et veniam non dedit. Nam si venia esset, certe periculum non erat; si periculum non erat, non utique timuisset Paulus; neque Christus zizania comburi jussisset, si res indifferens erat huic, illi vel alii attendere omnibusque simpliciter.

4. Quid sibi vult illud quod dictum est? Paulo altius vobis totam historiam repetam: sciendum quippe est quo in statu Paulus esset cum hæc scriberet. Quo in statu igitur erat? in carcere, et catenis, ingentibusque periculis. Undenam id liquet? Ex ea ipsa epistola: nam antea dixerat: *Scire autem vos volo*, *fratres*, *quod ea*, *quæ circa me sunt*, *magis ad profectum venerunt evangelii; ita ut vincula mea manifesta fierent in Christo in toto prætorio et cæteris omnibus; et plures e fratribus in Domino confidentes vinculis meis*, *abundantius auderent sine timore verbum Dei loqui* (*Philipp.* 1. 12-14). Nero erat, qui illum in carcerem conjecerat. Quemadmodum enim prædo quidam cunctis dormientibus domum ingressus, dum omnia abripit, si quem videat lucernam accendere, lumen exstinguit, et illum interimit, ut omnia libere possit auferre et abripere: sic et tunc Nero Cæsar, ceu quidam prædo et compilator, dormientibus omnibus, profundoque somno obrutis, omnium bona abripiebat, nuptias invadebat, domos subvertebat, omne genus nequitiæ exhibebat: cumque Paulum videret lucernam per totum orbem accendere, nempe doctrinæ verbum, ejusque nequitiam redarguere, prædicationem exstinguere et doctorem occidere conatus est, ut omnia cum potestate sibi facere liceret: vinctumque sanctum illum conjecit in carcerem. Tunc igitur hæc beatus Paulus scripsit.

Sollicitudo Pauli erga discipulos; discipulorum erga magistrum amor. — Quis non stupeat? quis non admiretur? imo quis, ut par est, stupeat et admiretur generosum illum et ad cælos pertingentem animum, qui Romæ vinctus et incarceratus, ex tanto intervallo Philippensibus scriberet? Scitis quantum spatium sit Macedoniam inter et Romam. Sed neque itineris longitudo, neque diuturnitas temporis, neque rerum tumultus, neque pericula et frequentia mala, neque aliud quidpiam caritatem memoriamque discipulorum dejiciebat; sed omnes ille in mente servabat: neque ita catenis manus ligabantur, ut anima ejus amore discipulorum devincta affixaque erat: quod ipsum initio epistolæ declarabat: *Eo quod habeam vos in corde in vinculis meis, et in defensione et confirmatione evangelii* (*Philipp.* 1. 7). Et sicut rex mane in solium conscendens, in regalibus aulis sedens, innumeras statim undique recipit epistolas: sic et ille quemadmodum in regiis aulis in carcere sedens, multo plures accipiebat atque mittebat epistolas, gentibus undique negotia sua omnia ad ejus sapientiam referentibus: tantoque plura ille negotia, quem ipse Imperator, gerebat, quanto majus sibi commissum imperium habebat. Neque enim Romanam tantum ditionem, sed etiam barbaros omnes, terram et mare in manus ejus tradiderat Deus. Idque Romanis declarans dicebat: *Nolo autem vos ignorare*, *fratres*, *quia sæpe proposui venire ad vos*, *et prohibitus sum usque adhuc; ut aliquem fructum habeam et in vobis*, *sicut et in cæteris gentibus: Græcis et barbaris*, *sapientibus et insipientibus debitor sum* (*Rom.* 1. 13. 14). Quotidie ergo sollicitus erat, quid Corinthii, quid Macedones agerent: quomodo Philippenses, quomodo Cappadoces, quomodo Galatæ, quomodo Athenienses, quomodo Pontum incolentes, quomodo omnes homines se haberent. Attamen, cum universus orbis ipsi concreditus esset, non tantum de gentibus omnibus erat sollicitus, sed etiam de uno quopiam homine: et nunc propter Onesimum epistolam mittebat, nunc propter eum, qui apud Corinthios fornicatus erat. Neque enim hoc considerabat, quod unus esset is qui peccaverat, et patrocinio egeret, sed quod homo esset: homo, inquam, pretiosissimum Deo animal, et propter quem Pater Filio suo non pepercit.

5. Ne mihi dixeris quod ille fugitivus, quod latro, quod fur, et innumeris onustus vitiis; vel quod men-

dicus, abjectus, vilis et nullius pretii : sed cogita pro illo Christum mortuum esse, idque tibi satis est ad omnem suscipiendam curam. Cogita quem esse oporteat cum quem Christus sic honoraverit, ut neque sanguini suo pepercerit. Neque enim, si rex pro aliquo sese immolare vellet, aliud quæreremus argumentum, quod magnus ille esset, regique carissimus, ut ego quidem existimo : mors quippe satis esset ad declarandum ejus qui mortem susciperet erga illum affectum. Jam vero non homo, non angelus, non archangelus, sed ipse cælorum Dominus, ipse unigenitus Filius Dei carne indutus seipsum tradidit pro nobis. Annon igitur omnia faciemus, omnia tentabimus, ut homines tanto affecti honore nostra fruantur cura et sollicitudine? Ecquam habebimus excusationem? quam veniam? Hoc ipsum Paulus indicans dicebat : *Ne cibo tuo illum perdas, propter quem Christus mortuus est* (*Rom.* 14. 15). Eos enim qui fratres spernunt et tamquam infirmos despiciunt ut pudefaciat, et ad proximi curam studiumque inducat, vice omnium mortem Domini posuit. Ex tanto igitur intervallo in carcere sedens Philippensibus scripsit. Talis quippe est caritas erga Deum; nullis rebus impeditur humanis, utpote quæ in cælis radicem habeat et remunerationem. Et quid dicit? *Scire vos volo, fratres* (*Philipp.* 1. 12). Vidistin' curam erga discipulos? vidistin' magistri sollicitudinem? Audi et affectum discipulorum erga magistrum, ut scias ideo illos fortes invictosque fuisse, quod mutuo amore devincti essent. Nam si *Frater qui adjuvatur a fratre, quasi civitas firma* (*Prov.* 18. 19), multo magis tot homines caritatis vinculis constricti, omnes depellant maligni dæmonis insidias. Certe quod Paulus devinctus esset discipulis, non opus est demonstrare vel dicere, quando etiam vinculis constrictus illorum sollicitudinem gerebat, et quotidie pro illis moriebatur, incensus amore.

6. Quod vero discipuli Paulo essent omni studio devincti, non viri solum, sed etiam mulieres, audi quid dicat de Phœbe : *Commendo vobis Phœbem sororem, quæ in ministerio est Ecclesiæ, quæ est in Cenchreis, ut eam suscipiatis in Domino digne sanctis, et assistatis ei in quocumque negotio vestri indiguerit, quæ adstitit multis, et mihi ipsi* (*Rom.* 16. 1. 2). Verum hic circa patrocinium tantum ipsius studio testimonium dedit : Priscilla vero et Aquila usque ad mortem Pauli gratia processerunt. De illis autem hoc modo scribit : *Salutant vos Aquila et Priscilla, qui pro anima mea cervicem suam supposuerunt* (*Rom.* 16. 3. 4) (*a*), ad mortem videlicet. De alio quoque sic ad illos scribit : *Usque ad mortem accessit, tradens animam suam, ut impleret id, quod ex vobis deerat erga me obsequium* (*Philipp.* 2. 30). Viden' quomodo magistrum diligerent, quomodo prius, quam animæ suæ, ejus tranquillitati prospicerent? Quamobrem nemo tunc illos superabat. Hæc porro dico, non ut audiamus tantum, sed etiam ut imitemur : neque subditis tantum loquor, sed etiam magistratibus; ut discipuli multam erga magistros curam exhibeant, utque magistri eumdem quem Paulus erga subditos affectum habeant, nec solum præsentes, sed etiam procul positos. Siquidem Paulus ac si in toto orbe ceu una in domo habitaret, sic de omnium salute sollicitus erat, missisque vinculis suis, ærumnis, plagis, angustiis, considerabat et sciscitabatur quotidie, quomodo se haberent ea, quæ ad discipulos spectabant : sæpeque illa solum de causa mittebat, nunc Timotheum, nunc Tychicum : nam de hoc quidem ait : *Ut sciat quæ ad vos spectant, et consoletur corda vestra* (*Ephes.* 6. 22) : de Timotheo autem : *Misi eum ad vos non amplius sustinens, ne forte tentaverit vos is qui tentat* (1. *Thes.* 3. 5). Alibi vero Titum, alibi alium. Quia enim ipse uno detentus in loco illis adesse non poterat, qui viscera ejus erant, per discipulos suos ipsos conveniebat.

7. *Caritas inæqualitatem abjicit.* — Tunc ergo in vinculis cum esset, Philippensibus scripsit : *Scire autem vos volo, fratres* (*Philipp.* 1. 12); discipulos vocat fratres. Talis quippe caritas est : inæqualitatem omnem abjicit, præeminentiam et dignitatem non novit; sed etiamsi quis sit omnibus sublimior, ad omnium humillimum descendit, quod et Paulus faciebat. Sed audiamus quid illos scire velit : *Quia quæ circa me sunt, magis ad profectum venerunt evangelii* (*Ibid.*) Dic mihi, quomodo et qua ratione? Num a vinculis liberatus es? num catenam deposuisti, et cum libertate in urbe prædicas? num in Ecclesiam ingressus longos multosque texuisti sermones circa fidem, multosque adeptus discipulos abscessisti? num mortuos suscitasti, et admirationi fuisti? num leprosos mundasti, et omnes stupefacti sunt? num dæmones fugasti, et sublimis inde factus es? Nihil horum, inquit. Quomodo igitur profectus evangelii fuit? dic, quæso. *Ita ut*, inquit, *vincula mea manifesta in Christo fierent in toto prætorio, et in cæteris omnibus* (*Ibid.* *v.* 13). Quid dicis? Hiccine profectus? hæc accessio? hoc augmentum prædicationis, quod omnes didicerint, te vinctum esse? Etiam, inquit. Audi igitur ea, quæ sequuntur, ut discas, vincula non modo impedimentum non fuisse, sed etiam argumentum majoris fiduciæ : *Ita ut plures e fratribus in Domino, confidentes vinculis meis, abundantius auderent sine timore verbum loqui* (*Ibid.* *v.* 14). Quid dicis, Paule? Vincula non anxietatem, sed fiduciam indidere? non timorem, sed amorem? Non habent hæc dicta consequentiam. Scio et ego. Non enim secundum humanarum rerum morem hæc contigerunt, inquit : sed supra naturam sunt illa, et divinæ gratiæ gesta. Ideo quod aliis anxietatem parit, id apud illum fiduciam præbebat. Etenim si quis capto constrictoque duce id evulget, totum exercitum in fugam conjicit; et si quis pastorem ex ovili abduxerit, abigendi gregis libertatem præbet. Verum non sic in Paulo, sed contrarium eveniebat. Nam dux alligabatur, et alacriores milites erant, majorique animo adversarios adoriebantur; pastor constrictus erat, et oves non consumebantur, nec dispergebantur.

8. *Ærumnæ et catenæ Pauli magnæ consolationi*

(*a*) Hæc differunt a textu epistolæ ad Romanos.

ἢ ὅτι πτωχὸς καὶ ἀπερρίμμένος, καὶ εὐτελὴς, καὶ οὐδενὸς ἄξιος λόγου· ἀλλ' ἐννόησον ὅτι καὶ ὑπὲρ τούτου Χριστὸς ἀπέθανε, καὶ ἀρκεῖ σοι τοῦτο εἰς πάσης προνοίας ὑπόθεσιν. Ἐννόησον ὁποῖόν τινα ἐκεῖνον εἶναι χρὴ, ὃν τοσούτου Χριστὸς ἐτιμήσατο, ὡς μηδὲ τοῦ αἵματος φείσασθαι τοῦ ἑαυτοῦ. Οὐδὲ γὰρ, εἰ βασιλεὺς ὑπέρ τινος εἵλετο καταθῦσαι ἑαυτὸν, ἐζητήσαμεν ἂν ἑτέραν ἀπόδειξιν τοῦ μέγαν τινὰ εἶναι καὶ περισπούδαστον ἐκεῖνον τῷ βασιλεῖ, οὐκ ἔγωγε οἶμαι· ἤρκει γὰρ ἡ τελευτὴ δεῖξαι τοῦ τετελευτηκότος τὴν περὶ αὐτὸν ἀγάπην. Νυνὶ δὲ οὐκ ἄνθρωπος, οὐκ ἄγγελος, οὐκ ἀρχάγγελος, ἀλλ' αὐτὸς ὁ τῶν οὐρανῶν Δεσπότης, αὐτὸς ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ σάρκα περιβαλόμενος ἐπέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν. Οὐ πάντα οὖν ποιήσομεν καὶ πραγματευσόμεθα, ὥστε τοὺς οὕτω τιμηθέντας ἀνθρώπους πάσης ἀπολαῦσαι παρ' ἡμῶν προνοίας; Καὶ ποίαν ἕξομεν ἀπολογίαν; τίνα συγγνώμην; Τοῦτο γοῦν αὐτὸ καὶ ὁ Παῦλος ἐνδεικνύμενος ἔλεγε· *Μὴ τῷ βρώματί σου ἐκεῖνον ἀπόλλυε, δι' ὃν Χριστὸς ἀπέθανε.* Τοὺς γὰρ καταφρονοῦντας τῶν ἀδελφῶν, καὶ ὡς ἀσθενούντων ὑπερορῶντας βουλόμενος ἐντρέψαι καὶ εἰς σπουδὴν ἀγαγεῖν καὶ πεῖσαι κήδεσθαι τῶν πλησίον, ἀντὶ πάντων τὸν τοῦ Δεσπότου θάνατον τέθεικε. Καθήμενος τοίνυν ἐν τῷ δεσμωτηρίῳ τοῖς Φιλιππησίοις ἐπέστελλεν ἐκ τοσούτου τοῦ διαστήματος. Τοιαύτη γὰρ ἡ κατὰ Θεὸν ἀγάπη· οὐδενὶ τῶν ἀνθρωπίνων διακόπτεται, ἄνωθεν ἔχουσα τὰς ῥίζας ἐκ τῶν οὐρανῶν καὶ τὰς ἀμοιβάς [a]. Καὶ τί φησι; *Γινώσκειν δὲ ὑμᾶς βούλομαι, ἀδελφοί.* Εἶδες πρόνοιαν ὑπὲρ μαθητῶν; εἶδες διδασκάλου κηδεμονίαν; Ἄκουσον καὶ φιλοστοργίαν μαθητῶν περὶ τὸν διδάσκαλον, ἵνα ἴδῃς [b] ὅτι τοῦτο ἦν τὸ ποιοῦν ἰσχυροὺς ἐκείνους καὶ ἀκαταγωνίστους, τὸ συνδεδέσθαι ἀλλήλοις. Εἰ γὰρ *Ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρά,* πολλῷ μᾶλλον τοσοῦτοι συνδεδεμένοι τοῖς τῆς ἀγάπης δεσμοῖς, πᾶσαν ἂν ἀπεκρούσαντο τὴν τοῦ πονηροῦ δαίμονος ἐπιβουλήν. Ὅτι μὲν οὖν ὁ Παῦλος συνεδέδετο τοῖς μαθηταῖς, οὐδὲ ἀποδείξεως δεῖ λοιπὸν ἡμῖν, οὐδὲ λόγου, ὅπου γε καὶ δεδεμένος αὐτῶν ἐμερίμνα, καὶ καθ' ἑκάστην ἡμέραν καὶ ὑπὲρ αὐτῶν ἀπέθνησκε τῷ πόθῳ πυρούμενος.

[305] Γ'. Ὅτι δὲ καὶ οἱ μαθηταὶ τῷ Παύλῳ συνδεδεμένοι μετὰ ἀκριβείας ἦσαν ἁπάσης, καὶ οὐκ ἄνδρες μόνον, ἀλλὰ καὶ γυναῖκες, ἄκουσον τί φησι περὶ τῆς Φοίβης· *Συνίστημι δὲ ὑμῖν Φοίβην τὴν ἀδελφὴν, διάκονον οὖσαν τῆς Ἐκκλησίας τῆς ἐν Κεγχρέαις, ἵνα προσδέξησθε αὐτὴν ἐν Κυρίῳ ἀξίως τῶν ἁγίων, καὶ παραστῆτε αὐτῇ, ἐν ᾧ ἂν ὑμῶν πράγματι χρήζῃ, ἥτις προστάτις πολλῶν ἐγενήθη, καὶ αὐτοῦ ἐμοῦ.* Ἀλλ' ἐνταῦθα μὲν μέχρι προστασίας ἐμαρτύρησεν αὐτῇ τὴν σπουδήν· Πρίσκιλλα δὲ καὶ Ἀκύλας καὶ μέχρι θανάτου διὰ τὸν Παῦλον ἐχώρησαν, καὶ περὶ αὐτῶν δὲ οὕτω γράφει λέγων· *Ἀσπάζονται ὑμᾶς Ἀκύλας καὶ Πρίσκιλλα, οἵτινες ὑπὲρ τῆς ψυχῆς μου τὸν ἑαυτῶν τράχηλον ὑπέθηκαν* [c], εἰς θάνατον δηλονότι. Καὶ περὶ ἑτέρου πάλιν αὐτοῖς τούτοις γράφων, φησίν· *Ὅτι ἤγγισεν ἕως θανάτου, παραβουλευσάμενος τῇ ψυχῇ, ἵνα τὸ ὑμῶν ὑστέρημα ἀναπληρώσῃ τῆς πρός με λειτουργίας.* Εἶδες πῶς ἐφίλουν τὸν διδάσκαλον; πῶς πρὸ τῆς ψυχῆς τῆς ἑαυτῶν τὴν ἄνεσιν ἐσκόπουν τὴν ἐκείνου; Διὰ τοῦτο οὐδεὶς αὐτῶν περιεγένετο τότε. Ταῦτα δὲ λέγω, οὐχ ἵνα ἀκούωμεν μόνον, ἀλλὰ ἵνα καὶ μιμώμεθα [d]· καὶ οὐ πρὸς τοὺς ἀρχομένους μόνον, ἀλλὰ καὶ πρὸς τοὺς ἄρχοντας ἡμῖν ὁ λόγος ἀποτείνεται, ἵνα καὶ οἱ μαθηταὶ πολλὴν περὶ τοὺς διδασκάλους κηδεμονίαν ἐπιδεικνύωνται, καὶ οἱ διδάσκαλοι τὴν αὐτὴν τῷ Παύλῳ φιλοστοργίαν περὶ τοὺς ὑποταττομένους ἔχωσιν, οὐχὶ τοὺς παρόντας μόνον, ἀλλὰ καὶ τοὺς πόρρωθεν ὄντας. Καὶ γὰρ ὁ Παῦλος καθάπερ μίαν οἰκῶν οἰκίαν τὴν οἰκουμένην ἅπασαν, οὕτω τῆς πάντων ἐφρόντιζε σωτηρίας, καὶ τὰ αὐτοῦ πάντα ἀφεὶς δεσμὰ καὶ θλίψεις καὶ πληγὰς καὶ στενοχωρίας, ἐπεσκόπει καὶ ἐπυνθάνετο καθ' ἑκάστην ἡμέραν, πῶς τὰ τῶν μαθητῶν ἔχοι· καὶ πολλάκις δι' αὐτὸ τοῦτο μόνον ἔπεμψε, νῦν μὲν Τιμόθεον, νῦν δὲ Τυχικόν· καὶ περὶ μὲν ἐκείνου φησίν· *Ἵνα γνῶ τὰ περὶ ὑμῶν, καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν·* περὶ δὲ Τιμοθέου· *Ἔπεμψα αὐτὸν πρὸς ὑμᾶς μηκέτι στέγων, μήπως ἐπείρασεν ὑμᾶς ὁ πειράζων·* καὶ Τίτον πάλιν ἀλλαχοῦ, καὶ ἄλλον ἑτέρωσε. Ἐπειδὴ γὰρ αὐτὸς τῇ τῶν δεσμῶν ἀνάγκῃ πολλάκις ἐν ἑνὶ κατεχόμενος τόπῳ συγγενέσθαι τοῖς αὐτοῦ σπλάγχνοις οὐκ ἠδύνατο, διὰ τῶν μαθητῶν αὐτοῖς συνεγένετο.

Ζ'. Καὶ τότε τοίνυν ἐν δεσμοῖς ὢν γράφει τοῖς Φιλιππησίοις λέγων· *Γινώσκειν δὲ ὑμᾶς βούλομαι, ἀδελφοὶ,* τοὺς μαθητὰς ἀδελφοὺς καλῶν. Τοιοῦτον γὰρ ἡ ἀγάπη· πᾶσαν ἀνωμαλίαν ἐκβάλλει, καὶ ὑπεροχὴν καὶ ἀξίαν οὐκ οἶδεν, ἀλλὰ κἂν ἁπάντων ὑψηλότερος ᾖ τις, πρὸς τὸν πάντων κάτεισι ταπεινότερον· ὅπερ καὶ Παῦλος ἐποίει. Ἀλλ' ἀκούσωμεν τί βούλεται γινώσκειν αὐτούς· *Ὅτι τὰ κατ' ἐμὲ, φησὶ, μᾶλλον εἰς προκοπὴν τοῦ Εὐαγγελίου ἐλήλυθεν.* Εἰπέ μοι, πῶς καὶ τίνι τρόπῳ; Ἆρα τῶν δεσμῶν ἀφέθης; ἆρα ἀπέθου τὴν ἅλυσιν, καὶ μετὰ ἀδείας κηρύττεις ἐν τῇ πόλει; ἆρα εἰς ἐκκλησίαν εἰσελθὼν, μακροὺς καὶ πολλοὺς κατέτεινας λόγους περὶ τῆς πίστεως, καὶ πολλοὺς λαβὼν μαθητὰς ἀπῆλθες; ἆρα νεκροὺς ἤγειρας, καὶ ἐθαυματοῦργησας; ἆρα λεπροὺς ἐκάθηρας, καὶ ἐξεπλάγησαν [306] ἅπαντες; ἆρα δαίμονας ἀπήλασας, καὶ ἀνυψώθης; Οὐδὲν τούτων, φησί. Πῶς οὖν ἡ προκοπὴ γέγονε τοῦ Εὐαγγελίου; εἰπέ. *Ὥστε τοὺς δεσμούς μου, φησὶ, φανεροὺς ἐν Χριστῷ γενέσθαι ἐν ὅλῳ τῷ πραιτωρίῳ, καὶ τοῖς λοιποῖς πᾶσι.* Τί λέγεις; τοῦτο ἄρα, τοῦτο ἡ προκοπή; τοῦτο ἡ ἐπίδοσις; τοῦτο ἡ αὔξησις τοῦ κηρύγματος, ὅτι πάντες ἔμαθον ὅτι δέδεσαι; Ναὶ, φησίν. Ἄκουσον γοῦν τῶν ἑξῆς, ἵνα μάθῃς ὅτι τὰ δεσμὰ οὐ μόνον οὐκ ἐγίνετο κώλυμα, ἀλλὰ καὶ ὑπόθεσις πλείονος παῤῥησίας· *Ὥστε τοὺς πλείονας τῶν ἀδελφῶν ἐν Κυρίῳ, πεποιθότας τοῖς δεσμοῖς μου, περισσοτέρως τολμᾶν ἀφόβως τὸν λόγον λαλεῖν.* Τί λέγεις, ὦ Παῦλε; οὐκ ἀγωνίαν ἀνέβαλεν, ἀλλὰ θάρσος τὰ δεσμά; οὐ φόβον, ἀλλὰ πόθον; Οὐκ ἔχει τὰ λεγόμενα ἀκολουθίαν. Οἶδα κἀγώ. Οὐδὲ γὰρ κατὰ ἀνθρωπίνων πραγμάτων ἀκολουθίαν ταῦτα συνέβαινε, φησίν· ἀλλ' ὑπὲρ φύσιν ἦν τὰ γινόμενα, καὶ θείας χάριτος τὰ κατορθώματα. Διὰ τοῦτο ὃ τοῖς ἄλλοις ἀγωνίαν ἐποίει, τοῦτο ἐπ' ἐκείνῳ [e] θάρσος παρεῖχε. Καὶ γὰρ στρατηγὸν ἐὰν λαβών τις καὶ καθείρξας ποιήσῃ φανερὸν τοῦτο, εἰς φυγὴν ἐμβάλλει τὸ στρατόπεδον ἅπαν· καὶ ποιμένα δὲ ἐάν τις τῆς ποίμνης ἀπαγάγῃ, μετὰ πολλῆς τῆς ἀδείας ἀπελαύνει τὰ πρόβατα. Ἀλλ' οὐκ ἐπὶ Παύλου οὕτως, ἀλλὰ τοὐναντίον ἅπαν. Ὁ στρατηγὸς γὰρ ἐδέδετο, καὶ οἱ στρατιῶται προθυμότεροι ἐγίνοντο, καὶ μετὰ πλείονος τῆς παῤῥησίας τοῖς ἐναντίοις ἐπεπήδων· ὁ ποιμὴν καθείρκτο, καὶ τὰ πρόβατα οὐκ ἀνηλοῦτο, οὐδὲ ἐσκορπίζετο.

[a] Mss. τὰς ἀμοιβάς. Editi τὰς ἀφορμάς.
[b] E Cod. 748 εἰδῇς.
[c] Hæc non quadrant ad textum Epist. ad Romanos.
[d] Duo Mss. ἵνα καὶ διεγειρώμεθα.
[e] Mss. ἐπ' ἐκείνων.

η'. Τίς εἶδε, τίς ἤκουσεν ἐν τοῖς τῶν διδασκάλων δεινοῖς πλείονα παράκλησιν λαμβάνοντας τοὺς μαθητάς; Πῶς οὐκ ἔδεισαν; πῶς οὐκ ἐφοβήθησαν; πῶς οὐκ εἶπον πρὸς τὸν Παῦλον, *Ἰατρὲ, θεράπευσον σεαυτόν*; ἀπάλλαξον σεαυτὸν τῶν πολυπλόκων δεινῶν, καὶ τότε ἡμῖν τὰ μυρία προξενήσεις ἀγαθά. Πῶς ταῦτα οὐκ εἶπον; Πῶς; ὅτι πεπαιδευμένοι ἦσαν παρὰ τῆς τοῦ Πνεύματος χάριτος, ὅτι ταῦτα οὐκ ἐξ ἀσθενείας ἐγίνετο, ἀλλ' ἐκ τῆς τοῦ Χριστοῦ συγχωρήσεως, ἵνα μειζόνως ἡ ἀλήθεια διαλάμπῃ, διὰ δεσμῶν καὶ φυλακῶν καὶ θλίψεων καὶ στενοχωριῶν αὐξανομένη καὶ πρὸς μεῖζον αἰρομένη μέγεθος. Οὕτως ἡ δύναμις τοῦ Χριστοῦ ἐν ἀσθενείᾳ τελειοῦται. Εἰ μὲν γὰρ ὑπεσκέλισε τὸν Παῦλον τὰ δεσμὰ, καὶ δειλότερον ἐποίησεν, ἢ αὐτὸν, ἢ τοὺς ἐκείνῳ προσηκοντας ἔδει διαπορεῖν· εἰ δὲ μᾶλλον θαρρεῖν παρεσκεύασε καὶ εἰς πλείονα δόξαν ἤγαγεν, ἐκπλήττεσθαι δεῖ καὶ θαυμάζειν, πῶς διὰ πράγματος ἀτιμίαν ἔχοντος δόξα τῷ μαθητῇ προεξενεῖτο, διὰ πράγματος δειλίαν ἐμβάλλοντος θάρσος καὶ παράκλησις πᾶσιν ἐκείνοις ἐγένετο. Τίς γὰρ αὐτὸν οὐκ ἐξεπλήττετο τότε, ὁρῶν ἅλυσιν περικείμενον; Τότε δαίμονες ἐδραπέτευον μᾶλλον, ὅτε ἐώρων αὐτὸν ἐν δεσμωτηρίῳ διατρίβοντα. Οὐ γὰρ οὕτω βασιλικὴν κεφαλὴν λαμπρὰν τὸ διάδημα ποιεῖ, ὡς τὰς ἐκείνου χεῖρας ἡ ἅλυσις, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ἀπανθοῦσαν αὐταῖς χάριν. Διὰ τοῦτο πολλὴ παράκλησις ἐγίνετο τοῖς μαθηταῖς. Καὶ γὰρ ἐώρων τὸ μὲν σῶμα δεδεμένον, τὴν δὲ γλῶτταν οὐ δεδεμένην· [307] τὰς μὲν χεῖρας ἐσφιγμένας, τὸν δὲ λόγον λελυμένον, καὶ τῆς ἀκτῖνος τῆς ἡλιακῆς ταχύτερον τὴν οἰκουμένην ἐπιτρέχοντα πᾶσαν. Καὶ τοῦτο αὐτοῖς παράκλησις ἐγίνετο διὰ τῶν ἔργων μανθάνουσιν, ὅτι οὐδὲν τῶν παρόντων δεινόν. Καὶ γὰρ ὅταν ὑπὸ θείου πόθου καὶ ἔρωτος ἡ ψυχὴ βαφεῖσα τύχῃ γνησίως, πρὸς οὐδὲν ἐπιστρέφεται τῶν παρόντων· ἀλλ' ὥσπερ οἱ μαινόμενοι καὶ πυρὸς καὶ σιδήρου καὶ θηρίων καὶ πελάγους καὶ πάντων καταπολμῶσιν, οὕτω καὶ οὗτοι μανίαν τινὰ καλλίστην καὶ πνευματικωτάτην μανέντες, μανίαν ἀπὸ σωφροσύνης γινομένην, πάντων κατεγέλων τῶν ὁρωμένων. Διὰ τοῦτο δεδεμένον ὁρῶντες τὸν διδάσκαλον, μᾶλλον ἐσκίρτων, μᾶλλον ἠγάλλοντο, διὰ τῶν ἔργων τοῖς ἐναντίοις δόντες ἀπόδειξιν, ὅτι πάντοθέν εἰσιν ἀνάλωτοι καὶ ἀχείρωτοι.

θ'. Τότε τοίνυν, ὅτε ἐν τούτοις τὰ πράγματα ἦν, τινὲς τῶν ἐχθρῶν τῶν Παύλου βουλόμενοι τὸν πόλεμον ἀναῤῥιπίσαι χαλεπώτερον, καὶ μεῖζονα τοῦ τυράννου ποιῆσαι τὴν πρὸς αὐτὸν ἀπέχθειαν, προσεποιοῦντο καὶ αὐτοὶ κηρύττειν, καὶ ἐκήρυττον τὴν ὀρθὴν καὶ ὑγιῆ πίστιν ὑπὲρ τοῦ τὸ δόγμα ἐπιδοῦναι μειζόνως· τοῦτο δὲ ἐποίουν, οὐχὶ τὴν πίστιν σπεῖραι βουλόμενοι, ἀλλ' ἵνα μαθὼν ὁ Νέρων, ὅτι τὸ κήρυγμα αὔξεται καὶ τὸ δόγμα ἐπιδίδωσι, ταχύτερον τὸν Παῦλον ἐπὶ τὸ βάραθρον ἀπαγάγῃ. Δύο τοίνυν ἦν διδασκαλεῖα, τῶν Παύλου μαθητῶν, καὶ τῶν ἐχθρῶν τῶν τοῦ Παύλου· τῶν μὲν ἐξ ἀληθείας κηρυττόντων, τῶν δὲ ἀπὸ φιλονεικίας καὶ τῆς πρὸς τὸν Παῦλον ἀπεχθείας. Καὶ ταῦτα δηλῶν ἔλεγε· *Τινὲς μὲν διὰ φθόνον καὶ ἔριν τὸν Χριστὸν κηρύττουσιν*, ἐκείνους ἐμφαίνων τοὺς ἐχθρούς· *Τινὲς δὲ καὶ δι' εὐδοκίαν*, περὶ τῶν ἑαυτοῦ μαθητῶν τοῦτο λέγων. Εἶπε πάλιν περὶ ἐκείνων, *Οἱ μὲν ἐξ ἐριθείας*, οἱ ἐχθροί· οὐχ ἁγνῶς, οὐχ ὑγιῶς, *ἀλλ' Οἰόμενοι θλῖψιν ἐπιφέρειν τοῖς δεσμοῖς μου· οἱ δὲ ἐξ ἀγάπης*· πάλιν τοῦτο περὶ τῶν ἀδελφῶν τῶν ἑαυτοῦ· *Εἰδότες ὅτι εἰς ἀπολογίαν τοῦ Εὐαγγελίου κεῖμαι. Τί γάρ; Πλὴν παντὶ τρόπῳ, εἴτε προφάσει, εἴτε ἀληθείᾳ, Χριστὸς καταγγέλλεται.* Ὥστε μάτην καὶ εἰκῇ ἐπὶ τῶν αἱρέσεων τοῦτο τὸ ῥῆμα παραλαμβάνεται. Οἱ γὰρ τότε κηρύττοντες οὐχὶ δόγμα διεφθαρμένον ἐκήρυττον, ἀλλὰ πίστιν ὑγιῆ καὶ ὀρθήν. Εἰ γὰρ δόγμα διεφθαρμένον ἐκήρυττον, καὶ ἕτερα παρὰ τὸν Παῦλον ἐδίδασκον, οὐκ ἔμελλεν αὐτοῖς προχωρεῖν, ὅπερ ἐβούλοντο. Τί δὲ ἐβούλοντο; Τῆς πίστεως αὐξηθείσης καὶ πολλῶν γενομένων τῶν Παύλου μαθητῶν, εἰς μείζονα πόλεμον τὸν Νέρωνα διεγεῖραι. Εἰ δὲ ἕτερα δόγματα ἐκήρυττον, οὐκ ἂν πολλοὺς ἐποίησαν τοὺς Παύλου μαθητάς· μὴ ποιοῦντες δὲ, οὐκ ἂν παρώξυναν τὸν τύραννον. Οὐ τοίνυν τοῦτό φησιν, ὅτι διεφθαρμένα δόγματα εἰσῆγον, ἀλλ' ὅτι ἡ αἰτία, ἀφ' ἧς ἐκήρυττον, αὕτη ἦν διεφθαρμένη. Ἕτερον γάρ ἐστι λαλεῖν τὴν πρόφασιν τοῦ κηρύγματος, καὶ ἕτερον αὐτὸ τὸ κήρυγμα μὴ εἶναι ὑγιές. Τὸ μὲν γὰρ κήρυγμα οὐ γίνεται ὑγιὲς, ὅταν τὰ δόγματα ᾖ πλάνης γέμοντα· ἡ πρόφασις δὲ οὐ γίνεται ὑγιὴς, ὅταν τὸ μὲν κήρυγμα ὑγιὲς ᾖ, οἱ δὲ κηρύττοντες μὴ διὰ τὸν Θεὸν κηρύττωσιν, ἀλλ' ἢ πρὸς ἔχθραν, ἢ πρὸς χάριν ἑτέρων.

[308] ι'. Οὐ τοίνυν τοῦτό φησιν, ὅτι αἱρέσεις εἰσῆγον, ἀλλ' ὅτι οὐκ ἀπὸ προφάσεως ὀρθῆς, οὐδὲ δι' εὐλάβειαν ἐκήρυττον, ὅπερ ἐκήρυττον. Οὐ γὰρ ἵνα τὸ Εὐαγγέλιον αὐξήσωσι, τοῦτο ἐποίουν, ἀλλ' ἵνα αὐτὸ πολεμήσωσι [a], καὶ εἰς μείζονα αὐτὸν ἐμβάλωσι κίνδυνον· διὰ τοῦτο αὐτοῖς ἐγκαλεῖ. Καὶ ὅρα πῶς μετὰ ἀκριβείας αὐτὸ τέθεικεν· *Οἰόμενοι θλῖψιν*, φησὶν, *ἐπιφέρειν τοῖς δεσμοῖς μου*. Οὐκ εἶπεν, ἐπιφέροντες, ἀλλ', *Οἰόμενοι ἐπιφέρειν*, τουτέστι, νομίζοντες· δεικνὺς ὅτι εἰ καὶ ἐκεῖνοι νομίζουσιν, ἀλλ' οὐκ αὐτὸς οὕτω διάκειται, ἀλλὰ καὶ χαίρει διὰ τὴν τοῦ κηρύγματος ἐπίδοσιν. Ἐπήγαγεν οὖν λέγων· *Ἀλλὰ καὶ ἐν τούτῳ χαίρω καὶ χαρήσομαι*· εἰ δὲ πλάνην τὰ δόγματα εἶχε, καὶ αἱρέσεις εἰσῆγον ἐκεῖνοι, οὐκ ἠδύνατο χαίρειν ὁ Παῦλος. Ἐπειδὴ δὲ ὑγιὲς καὶ ἀνόθευτον τὸ δόγμα, διὰ τοῦτό φησι, *Χαίρω καὶ χαρήσομαι*. Τί γὰρ, εἰ ἑαυτοὺς ἀπολλύουσιν ἐκεῖνοι, ἐξ ἀπεχθείας τοῦτο ποιοῦντες; Ἀλλὰ τὰ ἐμὰ καὶ ἄκοντες αὔξουσιν. Εἶδες πόση τοῦ Παύλου ἡ δύναμις; πῶς οὐδενὶ τῶν τοῦ διαβόλου μηχανημάτων ἁλίσκεται; Καὶ οὐ μόνον οὐχ ἁλίσκεται, ἀλλὰ καὶ αὐτοῖς τούτοις αὐτὸν χειροῦται. Πολλὴ μὲν γὰρ οὖν καὶ ἡ τοῦ διαβόλου κακουργία, καὶ τῶν ἐκείνῳ διακονούντων ἡ πονηρία· ἐν προσχήματι γὰρ τοῦ τὰ αὐτὰ φρονεῖν, σβέσαι τὸ κήρυγμα ἐβούλοντο. Ἀλλ' *Ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν*, οὐ συνεχώρει τοῦτο γενέσθαι τότε. Τοῦτο γοῦν αὐτὸ ἐμφαίνων ὁ Παῦλος ἔλεγε· *Τὸ δὲ ἐπιμεῖναι τῇ σαρκὶ ἀναγκαιότερον δι' ὑμᾶς, καὶ τοῦτο πεποιθὼς οἶδα, ὅτι μενῶ καὶ συμπαραμενῶ πᾶσιν ὑμῖν*. Ἐκεῖνοι μὲν γὰρ τῆς παρούσης με ζωῆς ἐκβαλεῖν ἐπιθυμοῦσι, καὶ πάντα διὰ τοῦτο ὑπομένουσιν· ὁ δὲ Θεὸς οὐκ ἀφίησι δι' ὑμᾶς.

Ταῦτα τοίνυν μετὰ ἀκριβείας ἅπαντα μνημονεύετε, ἵνα τοὺς ἁπλῶς καὶ ὡς ἔτυχε ταῖς Γραφαῖς κεχρημένους καὶ ἐπ' ὀλέθρῳ τῶν πλησίον, μετὰ πάσης σοφίας δύνησθε διορθοῦν. Δυνησόμεθα δὲ καὶ μεμνῆσθαι

[a] Αὐτῷ πολεμήσωσι, sic mss.

discipulis erant. — Quis vidit, quis audivit in magistrorum ærumnis plus solatii capere discipulos? Quomodo non tinuerunt? Qui fieri potuit, ut Paulo non dicerent: *Medice, cura teipsum* (*Luc.* 4. 23): eruc te ipsum ab iis, quibus constringeris, malis, et tunc nobis innumera bona conciliabis. Cur hoc non dixerunt? Quam ob rem? Quoniam edocti erant a gratia Spiritus, hæc non ex infirmitate, sed ex permissione Christi fieri, ut veritas magis effulgeret, per vincula, per carceres et ærumnas, angustiasque aucta, et majorem in modum evecta. Sic virtus Christi in infirmitate perficitur (2. *Cor.* 12. 9). Si enim vincula Paulum supplantassent, et timidiorem reddidissent, sive illum, sive eos, qui ipsi hærebant, tunc formidandum erat; sin majorem fiduciam indiderunt, et ad ampliorem gloriam evexerunt, obstupescere ac mirari oportet, quomodo per rem ignominia plenam gloria discipulo conciliaretur; perque rem quæ metum incutere debebat, fiducia et consolatio illis omnibus pareretur. Quis enim non tum obstupescebat, virum cernens catena constrictum? Tunc maxime dæmones fugiebant, cum viderent eum in carcere degentem. Neque enim diadema regium caput perinde conspicuum facit, atque catenæ manus illius, non quidem suapte natura, sed per gratiam in ipsis efflorescentem. Hinc magna consolatio discipulis. Videbant enim corpus vinctum, linguam vero minime ligatam; manus ligatas, sed verbum solutum, quod velocius quam solaris radius totum mundum percurreret. Eratque id illis consolationi, cum per opera ediscerent, nullam rerum præsentium esse gravem. Anima quippe, cum amore desiderioque divino vere corripitur, ad nullam rerum præsentium sese convertit: sed quemadmodum furiosi et ignem et ferrum, et feras et mare et omnia adire nihil dubitant: sic et hi pulcherrimo quodam et spirituali furore correpti, furore, inquam, qui a temperantia proficiscitur, visibilia omnia deridebant. Quapropter cum magistrum cernerent vinctum, magis exsultabant et gaudebant, per ipsa opera adversariis declarantes, se undique invictos insuperabilesque esse.

9. Tunc igitur, cum res ita se haberent, quidam Pauli inimici, cum vellent acrius bellum movere, et tyrannum ad majorem adversus illum inimicitiam inflammare, se prædicare simulabant, et revera prædicabant rectam sanamque fidem, ut doctrina augeretur: illud vero faciebant, non ut fides disseminaretur, sed ut hoc comperto Nero, quod nempe prædicatio cresceret, et doctrina invalesceret, citius Paulum in barathrum conjiceret. Duo itaque magisteria erant, Pauli nempe discipulorum, ejusdemque inimicorum, illis ex veritate, his ex contentione et odio Pauli prædicantibus. Hæc porro declarans dicebat ille: *Quidam propter invidiam et contentionem Christum prædicant* (*Philipp.* 1. 15), proprios indicans adversarios; *Quidam propter bonam voluntatem* (*Ib.*), de suis loquens discipulis. Deinde rursum de illis: *Alii quidem ex contentione*, inimici nempe, non caste, non sincere, sed *Existimantes se pressuram suscitare vinculis meis; alii vero ex caritate* (*Ib. v.* 17, 16); rursus hoc dicit de discipulis suis: *Scientes quoniam in defensionem evangelii positus sum* (*Ib. v.* 16). *Quid enim? Dum omni modo, sive per occasionem, sive per veritatem, Christus annuntietur* (*Ib. v.* 18). Itaque frustra et incassum hoc dictum de hæresibus accipitur. Nam qui tunc prædicabant, non corruptam doctrinam annuntiabant, sed fidem sanam et rectam. Etenim si corruptam doctrinam prædicassent, et alia, quam Paulus docuissent, neutiquam illis accidisset id quod volebant. Quid autem volebant? Ut aucta fide, multisque additis Paulo discipulis, ad majus inferendum bellum Neronem excitarent. Si autem alia dogmata prædicassent, non multos fecissent Pauli discipulos: si non fecissent, non exasperassent tyrannum. Non illud itaque dicit, quod corrupta dogmata inducerent: sed quod causa propter quam prædicabant, vitiosa esset. Aliud quippe est prædicationis causam dicere, et aliud dicere prædicationem non sanam esse. Tunc enim doctrina non est sana, cum dogmata errore plena sunt; occasio autem non est sana, cum doctrina quidem sana est, qui vero prædicant, non propter Deum prædicant, sed aut propter inimicitiam, vel ad aliorum gratiam.

10. Non itaque dicit eos hæreses induxisse, sed non recta occasione, nec pietatis causa id prædicasse quod prædicabant. Id quippe non ideo agebant, ut evangelium augerent, sed ut illud impugnarent, et in gravius periculum conjicerent: ideo illos incusat. Et vide quam accurate illud proferat: *Existimantes*, inquit, *se pressuram inferre vinculis meis* (*Philipp.* 1. 17). Non dixit, inferentes; sed, *Existimantes se inferre*; id est, arbitrantes: ostendens, etiamsi illi sic arbitrarentur, se tamen non ita affectum esse; imo gaudere de prædicationis incremento. Adjecit ergo dicens: *Sed et in hoc gaudeo, et gaudebo* (*Ib. v.* 18). Si autem error fuisset in dogmatibus, et illi hæreses induxissent, non potuisset gaudere Paulus. Quia vero sanum et non adulteratum dogma erat, ideo dicit, *Gaudeo, et gaudebo.* Quid enim, si illi ex inimicitia id agentes, se in perniciem conjiciunt? At mea vel inviti augebunt. Viden' quanta fuerit Pauli virtus? quomodo nullis diaboli machinis captus sit? Nec solum non captus est, sed etiam iisdem ipsum machinis cepit. Ingens profecto erat diaboli vafrities, et ministrorum ejus nequitia: nam se idem ipsum sentire simulantes, prædicationem exstinguere volebant. Sed *Qui comprehendit sapientes in astutia eorum* (1 *Cor.* 3. 19), id fieri non permittebat. Id ipsum porro declarans Paulus dicebat: *Permanere autem in carne magis necessarium est propter vos; et hoc confidens scio quia manebo, et permanebo cum omnibus vobis* (*Philipp.* 1. 24. 25). Illi siquidem ex præsenti vita ejicere me cupiunt, et ea de causa nihil non sustinent: Deus autem vestri causa id non permittet.

11. *Ad precationem hortatur. Perseverantia in precando quantum valeat. Deus per nos rogatus magis exaudit, quam si per alios rogemus.* — Horum itaque omnium diligenter recordamini; ut eos qui temere

et perfunctorie Scripturis utuntur in perniciem proximi, cum omni sapientia emendare valeatis. Poterimus autem et dictorum meminisse, et alios emendare, si ad orationes semper confugiamus, et Deum obsecremus, qui dat verbum sapientiæ, ut det auditus intelligentiam, atque accuratam et invictam spiritualis hujus depositi custodiam. Nam quæ non possumus sæpe proprio studio perficere, ea precum auxilio facile poterimus exsequi, de precibus loquor assiduis. Semper enim et sine intermissione precandum est, sive quis in ærumnis, sive in tranquillitate, sive in calamitatibus, sive in bonis versetur. Is qui in tranquillitate et bonis multis, ut hæc immota firmaque maneant, et numquam excidant : qui in ærumnis et multis calamitatibus, ut benignam quamdam vicissitudinem videat, et in solatium tranquillitatis transferatur. In tranquillitate es? Roga igitur Deum, ut firma tibi maneat hæc tranquillitas. Tempestatem vides ingruentem? Deum obnixe precare, ut procellam avertat, et tranquillitatem ex tempestate faciat. Exauditus es? Gratias age quod exauditus sis. Non exauditus es? Persevera ut exaudiaris. Licet enim Deus donum aliquando differat, non ideo id facit quod odio habeat aut aversetur, sed ut procrastinando te diutius apud se detineat, quemadmodum patres prolis amantes, qui dona differendo segniores filios solerter cogunt assidue penes se stare. Non tibi apud Deum patronis est opus, neque multa circumcursatione, ut aduleris aliis; sed etiamsi desertus patronoque destitutus sis, tute Deum precatus postulatum assequeris. Non ita solet annuere aliis pro nobis orantibus, ut nobis ipsis precantibus, etiamsi innumeris simus malis onusti. Nam si homines, quos innumeris læsimus offensis, cum matutino tempore, meridie, vespere adimus ipsos indignabundos, conspectus frequentia et assiduitate tandem facile placamus, multo magis id apud Deun. contingat.

12. Sed indignus es? Assiduitate dignus evadas. Quod enim indignus possit assiduitate dignus evadere, et quod per nos magis, quam per alios rogatus Deus annuat; quodque donum sæpe differat, non ut dubios animi reddat, et vacuis manibus remittat; sed ut majorum nobis bonorum auctor sit : hæc, inquam, tria per parabolam hodie vobis lectam demonstrare satagam. Accessit ad Christum Chananæa rogans pro filia dæmonium habente, vehementerque clamans, *Miserere mei, Domine, filia mea male a dæmonio vexatur* (*Matth.* 15. 22). En alienigena mulier et barbara, Judæorum reipublicæ extranea. Et quid aliud erat, quam canis, et indigna quæ optatum assequeretur? *Non est enim*, inquit, *bonum accipere panem filiorum, et dare catellis* (*Ib.* v. 26). Attamen assiduitate digna evasit. Neque enim tantum illam in filiorum nobilitatem evexit, quæ canis erat; sed etiam multis cum laudibus dimisit, dicens : *O mulier! magna est fides tua : fiat tibi sicut vis* (*Ib.* v. 28). Cum autem Christus dicat, *Magna est fides tua*, nullum aliud quæras circa magnanimitatem hujusce mulieris argumentum. Vidistin' quomodo ex assiduitate digna facta sit mulier, quæ indigna prius erat? Vis discere nos in precando per nosmetipsos plus perficere, quam per alios? Clamavit hæc, et accedentes discipuli dixerunt : *Dimitte illam, quia clamat post nos* (*Ib.* v. 23) : et ad illos quidem respondit, *Non sum missus nisi ad oves, quæ perierunt, domus Israel* (*Ib.* v. 24) : cum autem illa per seipsam accedit, et clamando perseveravit dicens, *Etiam, Domine, nam et catelli edunt de mensa dominorum suorum* (*Ib.* v. 27) : tunc gratiam contulit, et dixit, *Fiat tibi sicut vis* (*Ib.* v. 28). Vid'stin' quomodo, cum illi precarentur, repulit, cum autem illa munus clamando postulavit, annuit? Illis quippe dicit, *Non sum missus nisi ad oves, quæ perierunt, domus Israel;* huic vero, *Magna est fides tua : fiat tibi sicut vis.* Et quidem initio petitionis nihil respondit : ubi autem semel, iterum et tertio accessit, tunc gratiam contulit; ex fine docens nos, se munus distulisse, non ut illam repelleret, sed ut nobis omnibus patientiam mulieris exhiberet. Nam si ut illam repelleret distulisset, neque in fine postulatum dedisset; quia vero ut philosophiam ejus omnibus exhiberet exspectabat, ideo tacebat. Nam si statim a principio beneficium contulisset, mulieris virtutem fortitudinemque non nossemus. *Dimitte illam*, inquiunt, *quia clamat post nos.* Quid vero Christus? Vos auditis vocem, ego mentem video : scio quid dictura sit. Nolo thesaurum in mente ejus reconditum latere : sed exspecto et taceo, ut ipsum detectum in medium proferam, et omnibus manifestum faciam.

13. Hæc igitur omnia cum didicerimus, etiamsi in peccatis simus, et beneficiis indigni, ne desperemus, scientes nos ex animi assiduitate posse dignos postulatis evadere. Licet sine patrocinio ac deserti simus, ne animum despondeamus, guari magnum illud esse patrocinium, si quis magno cum studio per seipsum ad Deum accedat. Si munus conferre differat et procrastinet, ne concidamus, scientes illam procrastinationem curæ atque benignitatis esse argumentum. Si id persuasum habeamus, et cum animo dolente et fervido, atque excitata voluntate, tali scilicet, qualem habuit accedens Chananæa, et nos ipsum adierimus, etiamsi canes simus, etiamsi quidvis grave perpetraverimus, et nostra mala amoliemur, tantumque fiduciæ accipiemus, ut aliis quoque patrocinari valeamus : quemadmodum et Chananæa non solum ipsa fiduciam et multas laudes consequuta est, sed etiam filiam intolerabilibus molestiis eripere potuit. Nihil enim, nihil utique potentius est oratione ferventi atque sincera. Hæc et præsentia mala solvit, et a futuris illo tempore suppliciis eripit. Ut itaque et præsentem vitam facilius transigamus, et illuc cum fiducia abeamus, multo studio et alacritate precibus vacemus. Sic enim poterimus et præsentia consequi bona, et optima spe frui : quæ nos omnes assequi contingat, gratia, benignitate et commiseratione Domini nostri Jesu Christi, quicum Patri, unaque Spiritui sancto gloria, honor, imperium, in sæcula sæculorum. Amen.

τῶν εἰρημένων, καὶ ἑτέρους διορθοῦν, ἂν εἰς εὐχὰς ἀεὶ καταφεύγωμεν, καὶ παρακαλῶμεν τὸν Θεὸν τὸν διδόντα λόγον σοφίας, δοῦναι καὶ σύνεσιν ἀκροάσεως, καὶ φυλακὴν τῆς πνευματικῆς ταύτης παρακαταθήκης ἀκριβῆ καὶ ἀχείρωτον. Ἃ γὰρ οὐκ ἰσχύομεν πολλάκις ἐξ οἰκείας κατορθῶσαι σπουδῆς, ταῦτα δυνησόμεθα ἀνύσαι εὐμαρῶς δι' εὐχῶν [a], εὐχῶν δὲ λέγω τῶν διηνεκῶν. Ἀεὶ γὰρ καὶ ἀδιαλείπτως εὔχεσθαι χρη, καὶ τὸν ἐν θλίψει, καὶ τὸν ἐν ἀνέσει, καὶ τὸν ἐν δεινοῖς, καὶ τὸν ἐν ἀγαθοῖς ὄντα· τὸν μὲν ἐν ἀνέσει καὶ πολλοῖς ἀγαθοῖς, ἵνα [b] ἀκίνητα καὶ ἀμετάβλητα ταῦτα μένῃ καὶ μηδέποτε μεταπέσῃ· τὸν δὲ ἐν θλίψει καὶ πολλοῖς τοῖς δεινοῖς, ἵνα τινὰ χρηστὴν αὐτῷ ἴδῃ γενομένην μεταβολὴν, καὶ εἰς γαλήνην παρηγορίας μεταβληθῇ. Ἐν γαλήνῃ εἶ; Οὐκοῦν παρακάλει τὸν Θεὸν βεβαίαν σοι μένειν τὴν γαλήνην ταύτην. Χειμῶνα εἶδες ἐπαναστάντα; Παρακάλει ἐκτενῶς τὸν Θεὸν παρενέγκαι τὸ κλυδώνιον, καὶ γαλήνην ἀπὸ χειμῶνος ποιῆσαι. Ἠκούσθης; Ἐπὶ τούτῳ εὐχαρίστησον, ἐπειδὴ ἠκούσθης. Οὐκ ἠκούσθης; Παράμεινον, ἵνα ἀκουσθῇς. Κἂν [309] γὰρ ἀναβάληταί ποτε τὴν δόσιν ὁ Θεὸς, οὐχὶ μισῶν οὐδὲ ἀποστρεφόμενος, ἀλλὰ τῇ μελλήσει τῆς δόσεως διηνεκῶς σε παρ' ἑαυτῷ κατέχειν βουλόμενος, καθάπερ καὶ πατέρες φιλόστοργοι ποιοῦσι· καὶ γὰρ ἐκεῖνοι τῶν ῥᾳθυμοτέρων παίδων τὴν διηνεκῆ πρόσεδρείαν τῇ τῆς δόσεως ἀναβολῇ σοφίζονται. Οὐ χρεία σοι μεσιτῶν ἐπὶ τοῦ Θεοῦ, οὐδὲ πολλῆς τῆς περιδρομῆς, καὶ τοῦ κολακεῦσαι ἑτέρους· ἀλλὰ κἂν ἔρημος ᾖς, κἂν ἀπροστάτευτος, αὐτὸς διὰ σαυτοῦ παρακαλέσας τὸν Θεὸν ἐπιτεύξῃ πάντως. Οὐχ οὕτω δι' ἑτέρων ὑπὲρ ἡμῶν παρακαλούμενος ἐπινεύειν εἴωθεν, ὡς δι' ἡμῶν αὐτῶν τῶν δεομένων, κἂν μυρίων ὦμεν γέμοντες κακῶν. Εἰ γὰρ ἐπ' ἀνθρώπων κἂν μυρία προσκεκρουκότες ὦμεν, ὅταν καὶ ὑπὸ τὴν ἕω, καὶ μέσης ἡμέρας, καὶ ἐν ἑσπέρᾳ φαινώμεθα τοῖς πρὸς ἡμᾶς λελυπημένοις, τῇ συνεχείᾳ καὶ τῇ διηνεκεῖ τῆς ὄψεως συντυχίᾳ καταλύομεν ῥᾳδίως αὐτῶν τὴν ἔχθραν, πολλῷ μᾶλλον ἐπὶ τοῦ Θεοῦ τοῦτο γένοιτ' ἄν.

ιβ'. Ἀλλ' ἀνάξιος εἶ; Γενοῦ τῇ προσεδρείᾳ ἄξιος. Ὅτι γὰρ καὶ τὸν ἀνάξιον δυνατὸν ἄξιον ἐκ τῆς προσεδρείας γενέσθαι, καὶ δι' ἡμῶν αὐτῶν μᾶλλον, ἢ δι' ἑτέρων παρακαλούμενος ὁ Θεὸς ἐπινεύει, καὶ ὅτι τὴν δόσιν ἀναβάλλεται πολλάκις, οὐχ ἡμᾶς ἐξαπορῆσαι βουλόμενος, οὐδὲ κεναῖς ἐκπέμψαι χερσὶν, ἀλλ' ἵνα μειζόνων ἡμῖν ἀγαθῶν αἴτιος γένηται· τὰ τρία ταῦτα διὰ τῆς παραβολῆς τῆς σήμερον ἀναγνωσθείσης ὑμῖν πειράσομαι ποιῆσαι φανερά. Προσῆλθε τῷ Χριστῷ ἡ Χαναναία ὑπὲρ θυγατρὸς δεομένη δαιμονιζομένης, καὶ βοῶσα μετὰ πολλῆς ἐκτενείας, φησίν· *Ἐλέησόν με, Κύριε, ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται.* Ἰδοὺ ἀλλόφυλος ἡ γυνὴ, καὶ βάρβαρος, καὶ τῆς πολιτείας τῆς Ἰουδαϊκῆς ἐκτός. Καὶ τί γὰρ ἕτερον ἢ κύων, καὶ ἀνάξιος τοῦ λαβεῖν τὴν αἴτησιν; *Οὐ γάρ ἐστι, φησὶ, καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ δοῦναι τοῖς κυναρίοις.* Ἀλλ' ὅμως ἀπὸ τῆς προσεδρείας γέγονεν ἀξία. Οὐ γὰρ μόνον εἰς τὴν τῶν παίδων αὐτὴν εὐγένειαν εἰσήγαγε, κύνα οὖσαν, ἀλλὰ καὶ μετὰ πολλῶν τῶν ἐγκωμίων ἐξέπεμψεν, εἰπών· *Ὦ γύναι, μεγάλη σου ἡ πίστις· γενηθήτω σοι ὡς θέλεις.* Ὅταν δὲ ὁ Χριστὸς λέγῃ, *Μεγάλη ἡ πίστις*, μηδεμίαν ἑτέραν ἀπόδειξιν ζήτει τῆς μεγαλοψυχίας τῆς κατὰ τὴν γυναῖκα. Εἶδες πῶς ἐκ τῆς προσεδρείας γέγονεν ἀξία, ἀναξία οὖσα ἡ γυνή; Βούλει μαθεῖν καὶ ὅτι δι' ἡμῶν αὐτῶν μᾶλλον, ἢ δι' ἑτέρων παρακαλοῦντες αὐτὸν ἀνύομεν; Ἔκραξεν αὕτη, καὶ προσελθόντες οἱ μαθηταὶ λέγουσιν· *Ἀπόλυσον αὐτὴν, ὅτι κράζει ὄπισθεν ἡμῶν·* καὶ πρὸς μὲν ἐκείνους φησὶν, *Οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ·* ὅτε δὲ αὐτὴ δι' ἑαυτῆς προσῆλθε καὶ ἐπέμενε βοῶσα, καὶ λέγουσα· *Ναὶ, Κύριε, καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν·* τότε τὴν χάριν ἔδωκε, καί φησι· *Γενηθήτω σοι ὡς θέλεις.* Εἶδες πῶς, ὅτε μὲν ἐκεῖνοι παρεκάλουν, διεκρούσατο· ὅτε δὲ αὐτὴ ἡ δεομένη τῆς δωρεᾶς ἐβόησεν, ἐπένευσεν; Ἐκείνοις μὲν γάρ φησιν, *Οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ·* ταύτῃ δὲ εἶπε, *Μεγάλη σου ἡ πίστις· γενηθήτω σοι ὡς θέλεις.* Πάλιν παρὰ μὲν τὴν ἀρχὴν καὶ ἐν προοιμίῳ τῆς αἰτήσεως οὐδὲν ἀπεκρίνατο· ἐπειδὴ [310] δὲ καὶ ἅπαξ καὶ δεύτερον καὶ τρὶς προσῆλθε, τότε τὴν χάριν ἔδωκε, διὰ τοῦ τέλους ἡμᾶς πείθων, ὅτι τὴν δόσιν ἀνεβάλετο, οὐχ ἵνα αὐτὴν διακρούσηται, ἀλλ' ἵνα πᾶσιν ἡμῖν δείξῃ τὴν ὑπομονὴν τῆς γυναικός. Εἰ γὰρ ἵνα αὐτὴν διακρούσηται ἀνεβάλετο, οὐδ' ἂν πρὸς τῷ τέλει ἔδωκεν· ἐπειδὴ δὲ ἀνέμενε δεῖξαι πᾶσιν αὐτῆς τὴν φιλοσοφίαν, διὰ τοῦτο ἐσίγα. Εἰ γὰρ εὐθέως ἔδωκε καὶ παρὰ τὴν ἀρχὴν, οὐκ ἂν ἔγνωμεν τὴν ἀνδρείαν τῆς γυναικός. Ἀπόλυσον αὐτὴν, φησὶν, *ὅτι κράζει ὄπισθεν ἡμῶν.* Τί δὲ ὁ Χριστός; Ὑμεῖς φωνὴν ἀκούετε, ἐγὼ δὲ τὴν διάνοιαν ὁρῶ· οἶδα τί μέλλει λέγειν. Οὐ βούλομαι τὸν ἐγκεκρυμμένον αὐτῆς τῇ διανοίᾳ θησαυρὸν ἀφεῖναι λαθεῖν, ἀλλ' ἀναμένω καὶ σιγῶ, ἵνα αὐτὸν ἐκκαλύψας εἰς τὸ μέσον καταθῶμαι, καὶ πᾶσι ποιήσω φανερόν.

ιγ'. Ταῦτ' οὖν ἅπαντα μαθόντες, κἂν ἐν ἁμαρτήμασιν ὦμεν, καὶ τοῦ λαβεῖν ἀνάξιοι, μὴ ἀπογινώσκωμεν, εἰδότες ὅτι τῇ προσεδρείᾳ τῆς ψυχῆς δυνησόμεθα γενέσθαι τῆς αἰτήσεως ἄξιοι. Κἂν ἀπροστάτευτοι καὶ ἔρημοι ὦμεν, μὴ ἀπαγορεύωμεν, εἰδότες ὅτι μεγάλη προστασία, τὸ αὐτὸν δι' ἑαυτοῦ προσελθεῖν τῷ Θεῷ μετὰ προθυμίας πολλῆς. Κἂν μέλλῃ καὶ ἀναβάληται πρὸς τὴν δόσιν, μὴ ἀναπέσωμεν, μαθόντες ὅτι ἡ μέλλησις καὶ ἀναβολὴ κηδεμονίας καὶ φιλανθρωπίας ἐστὶ τεκμήριον. Ἂν οὕτως ὦμεν πεπεικότες ἑαυτοὺς, καὶ μετὰ ψυχῆς ὀδυνωμένης καὶ θερμῆς καὶ διεγηγερμένης προαιρέσεως, καὶ τοιαύτης οἵας ἡ Χαναναία προσῆλθεν, αὐτῷ προσίωμεν καὶ ἡμεῖς, κἂν κύνες ὦμεν, κἂν ὁτιοῦν εἰργασμένοι δεινὸν, καὶ τὰ οἰκεῖα ἀποκρουσόμεθα κακὰ, καὶ τοσαύτην ληψόμεθα παῤῥησίαν, ὡς καὶ ἑτέρων προσττῆναι· ὃν τρόπον καὶ αὕτη ἡ Χαναναία οὐ μόνον αὐτὴ παῤῥησίας ἀπέλαυσε καὶ μυρίων ἐγκωμίων, ἀλλὰ καὶ τὸ θυγάτριον τῶν ἀφορήτων ἴσχυσεν ἐξαρπάσαι δεινῶν. Οὐδὲν γὰρ, οὐδὲν εὐχῆς δυνατώτερον πεπυρωμένης καὶ γνησίας. Αὕτη καὶ τὰ παρόντα διαλύει δεινὰ, καὶ τῶν κατ' ἐκεῖνον τὸν καιρὸν συμβαινόντων ἐξαρπάζει κολάσεων. Ἵν' οὖν καὶ τὸν παρόντα βίον μετ' εὐκολίας διανύσωμεν, κἀκεῖ μετὰ παῤῥησίας ἀπέλθωμεν, πολλῇ σπουδῇ καὶ προθυμίᾳ ταύτην ἐπιτελέσωμεν διηνεκῶς. Οὕτω γὰρ δυνησόμεθα καὶ τῶν ἀποκειμένων τυχεῖν ἀγαθῶν, καὶ τῶν χρηστῶν ἀπολαύειν ἐλπίδων· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ καὶ οἰκτιρμοῖς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, τιμὴ, κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[a] Alii δι' ἐντεύξεων.
[b] Mss. ἀγαθοῖς φιλοτιμηθέντα, ἵνα.

MONITUM

Hanc homiliam eodem anno eodemque ferme tempore habitam fuisse, quo Homilia in Kalendas, quæ primo anni die, et Homiliæ de Lazaro, quæ sequentibus ineuntis anni diebus pronuntiatæ sunt, in ipso significatur concionis exordio, ubi dicitur, nuper in illud, *De dormientibus nolo vos ignorare*, et in resurrectionem oratum fuisse. Hæc porro de dormientibus concio, quinta est in serie Homiliarum de Lazaro, ut videas Tom. I, p. 762, supra. Eodem igitur anno, et quidem ineunte, hasce novem homilias, nempe in Kalendas, septem de Lazaro, et hanc De viduis Antiochiæ habuit Chrysostomus. Quis autem ille fuerit annus, nobis prorsus incertum videtur. In annum 387 hæc contulit vir doctissimus Tillemontius : sed levissima de causa, ut videas in Monito ad Homiliam in Kalendas, T. I, p. 697. Hic vero novum contra

---

[311] ΕΙΣ ΤΟ

« *Χήρα καταλεγέσθω μὴ ἐλάττων ἐτῶν ἑξήκοντα γεγονυῖα* » καὶ περὶ παίδων ἀνατροφῆς, καὶ περὶ ἐλεημοσύνης.

α'. Εἰς καιρὸν ἡ τοῦ Πνεύματος ᾠκονόμησε χάρις ταύτην τῆς ἀποστολικῆς ἐπιστολῆς ἀναγνωσθῆναι τὴν περικοπήν, ἣν ἠκούσατε σήμερον· ἔχει γάρ τινα πρὸς τὰ πρώην εἰρημένα [a] συγγένειαν καὶ ἀκολουθίαν πολλήν, εἰ καὶ μὴ ἐν τοῖς ῥήμασιν, ἀλλ' ἐν τοῖς νοήμασι. Τὸ μὲν γὰρ πρώην ἀναγνωσθὲν τοῦτο ἦν· *Περὶ δὲ τῶν κεκοιμημένων οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί·* καὶ πολλὰ περὶ ἀναστάσεως ἐλέχθη τότε, τὸ γενναίως τὰ τοιαῦτα φέρειν πάθη, καὶ εὐχαριστεῖν τῷ λαμβάνοντι τοὺς προσήκοντας ἡμῖν Θεῷ. Σήμερον τὸ ἀναγνωσθὲν τοῦτό ἐστι· *Χήρα καταλεγέσθω μὴ ἐλάττων ἐτῶν ἑξήκοντα γεγονυῖα.* Ἐπεὶ οὖν ἀπὸ θανάτου χηρεία γίνεται, καὶ τοῦτο μάλιστά ἐστι τὸ τὴν ὀδύνην ἐπιτεῖνον, καὶ διεγεῖρον τὸ πένθος, μεμνημένοι τῶν πρώην εἰρημένων, ἃ τοὺς πενθοῦντας παρακαλοῦντες εἰρήκαμεν, καὶ ταῦτα μετὰ πάσης ὑποδεξάμενοι τῆς σπουδῆς μετ' ἐκείνων εἰς τὰ ταμιεῖα τῆς διανοίας ἀπόθεσθε. Τὸ γὰρ τῆς χηρείας ὄνομα δοκεῖ μὲν εἶναι συμφορᾶς ὄνομα, οὐκ ἔστι δὲ, ἀλλ' ἀξίωμα, καὶ τιμὴ, καὶ δόξα μεγίστη· οὐκ ὄνειδος, ἀλλὰ στέφανος. Εἰ γὰρ καὶ ἄνδρα οὐκ ἔχει συνοικοῦντα ἡ χήρα, ἀλλὰ τὸν Χριστὸν ἔχει συνοικοῦντα, τὸν πάντα ἀποχρυόμενον τὰ ἐπιόντα δεινά. Ἀρκεῖ γὰρ ἐν ταῖς ἐπιούσαις ἐπηρείαις τῆς χήρας, εἰσελθεῖν καὶ γόνυ κλῖναι, καὶ στενάξαι πικρὸν, καὶ δάκρυα προχεῖν, καὶ πᾶσαν ἀποχρύσασθαι τῶν ἐπηρεαζόντων τὴν ἐπιβουλήν· τὰ γὰρ ὅπλα τῆς χήρας [312] τοιαῦτα, δάκρυα, καὶ στεναγμοὶ, καὶ εὐχαὶ διηνεκεῖς· διὰ τούτων οὐκ ἀνθρωπίνην ἐπήρειαν μόνον, ἀλλὰ καὶ δαιμονικὰς ἐφόδους ἀποκρούσασθαι δύναται. Ἡ χήρα τῶν μὲν βιωτικῶν ἀπήλλακται πραγμάτων, πρὸς δὲ τὸν οὐρανὸν ὁδεύει λοιπόν· καὶ ἦν περὶ τὸν ἄνδρα ἐπεδείκνυτο σπουδὴν καὶ θεραπείαν, ταύτην εἰς τὰ πνευματικὰ πράγματα ἀναλῶσαι δυνήσεται. Εἰ δὲ λέγοις, ὅτι τὸ παλαιὸν συμφορὰ ἦν τὸ πρᾶγμα, ἐκεῖνο ἂν εἴποιμι, ὅτι καὶ ὁ θάνατος κατάρα ἦν· ἀλλὰ γέγονε τιμὴ καὶ ἀξίωμα τοῖς γενναίως αὐτὸν φέρουσιν ἐπιόντα. Οὕτω γοῦν οἱ μάρτυρες στεφανοῦνται· τὸν αὐτὸν τρόπον καὶ ἡ χήρα πρὸς ἀξίωμα μέτεισι μέγα.

β'. Βούλει μαθεῖν ὅσον ἐστὶ χήρα; πῶς ἐστι τιμία τῷ Θεῷ, καὶ ἐπέραστος καὶ συνήγορος μεγίστη, καὶ τοὺς καταδικασθέντας, καὶ τοὺς ἀπεγνωσμένους, καὶ τοὺς παῤῥησίαν οὐκ ἔχοντας, καὶ τοὺς ἐκπεπολεμωμένους τῷ Θεῷ καὶ πάσης ἐστερημένους ἀπολογίας φανεῖσα ἐξαρπάζει καὶ καταλλάττει, καὶ οὐχὶ συγγνώμην αὐτοῖς κομίζει μόνον, οὐδὲ ἀπαλλαγὴν τιμωρίας, ἀλλὰ καὶ πολλὴν τὴν παῤῥησίαν καὶ τὴν λαμπρότητα, καὶ τῶν ἡλιακῶν ἀκτίνων καθαρωτέρους ἐργάζεται, κἂν ἁπάντων ὦσι κατερῥυπωμένοι μᾶλλον ἀνθρώπων; Ἄκουσον αὐτοῦ τοῦ Θεοῦ λέγοντος πρὸς Ἰουδαίους· *Ὅταν τὰς χεῖρας ὑμῶν ἐκτείνητε, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν· ἂν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν· αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις.* Ἀλλ' ὅμως τούτοις τοῖς μιαροῖς, τοῖς ἀνδροφόνοις, τοῖς ἀπαῤῥησιάστοις, τοῖς ἠτιμωμένοις ἐπαγγέλλεται καταλλάττεσθαι, εἰ βοηθήσειαν ἀδικουμέναις χήραις. Μετὰ γὰρ τὸ εἰπεῖν, *Ἀποστρέψω τοὺς ὀφθαλμούς μου, καὶ οὐκ εἰσακούσομαι,* φησί· *Κρίνατε ὀρφανῷ, καὶ δικαιώσατε χήραν· καὶ δεῦτε, καὶ διαλεχθῶμεν· καὶ ἐὰν ὦσιν ὑμῶν αἱ ἁμαρτίαι ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ.* Εἶδες πόσην ἔχει δύναμιν ἡ

[a] Omnes mss. πρὸς τὰ πρώην εἰρημένα. In Editis πρώην deest.

IN HOMILIAM DE VIDUIS.

illam sententiam scrupulum injiciemus. Certum est Chrysostomum anno ineunte 387 non paucas habuisse conciones de ὁμοουσίῳ et contra Anomœos : nec minus certum solere Chrysostomum præteritarum concionum meminisse : an vero contingere potuit, ut vigente illa disceptatione contra Anomœos, in nulla harumce novem homiliarum, quæ sine dubio inter Homilias contra Anomœos intermixtæ fuerunt, si illo anno dictæ fuerint, de illa controversia unquam meminerit? Hac mihi nova suborta dubitandi causa, animi pendeo donec quid certius emergat.

Interpretatio Latina est Frontonis Ducæi.

IN ILLUD,

VIDUA ELIGATUR NON MINUS SEXAGINTA ANNORUM (1. *Tim.* 5. 9); ET DE LIBERORUM EDUCATIONE, AC DE ELEEMOSYNA (*a*).

1. *Connexio dicendorum cum antea dictis. Arma viduarum quæ sint.* — Commodum divini Spiritus gratia disponente contigit, ut is vobis apostolicæ locus epistolæ, quem hodierno die audivistis, legeretur : habet enim cum iis quæ nuper diximus, cognationem et connexionem haud mediocrem, si minus in verbis, certe in sententiis. Hoc enim illud est, quod nuper legebatur, *De dormientibus autem nolo vos ignorare, fratres* (1. *Thess.* 4. 12) : et de resurrectione multa tum a nobis sunt dicta, æquo animo ferenda esse mala ejusmodi, Deoque gratias agendas, qui propinquos nostros sibi assumeret. Hodie vero lectum est istud : *Vidua eligatur non minus sexaginta annorum* (1. *Tim.* 5. 9). Quando igitur ex occasione mortis viduitas oritur, et hoc est, quod maxime dolorem auget, ac luctum excitat, memores eorum, quæ nuper a nobis dicta sunt ad eos qui lugent consolandos, eaque summo studio suscipientes, in vestræ mentis promptuariis illa recondite. Nam viduitas quidem calamitatis esse nomen videtur, sed tamen non est, verum dignitas, honor, et gloria maxima; non opprobrium, sed corona. Licet enim maritum non habeat, cum quo habitet, vidua : tamen Christum habet cum quo habitet, a quo universa, quæ ingruant, mala propulsentur. Sufficit enim dum injuriis vexatur vidua, ut introeat, genu flectat, acerbe ingemiscat, lacrymas fundat, et omnes insidias eorum, a quibus vexatur, repellat. Ejusmodi enim arma sunt viduæ, lacrymæ, gemitus, ac preces assiduæ : per hæc non humanas tantum injurias, sed dæmonum etiam incursus poterit propulsare. Vidua a sæcularibus negotiis immunis est, ad cælum autem deinceps tendit : et quod erga virum studium et cultum exhibebat, eum in res spirituales potest impendere. Quod si dicas, olim rem istam calamitatem fuisse, tum illud subjiciam, mortem quoque maledictam fuisse : tamen in honorem ac dignitatem conversa est his qui patienter tulerint invadentem. Sic nimirum et martyres coronantur, eademque ratione vidua summam ad dignitatem evehitur.

2. Vis intelligere, quanta res sit vidua? quam sit apud Deum honore digna, et amore, utque summopere suo possit apud Deum patrocinio juvare, et cum primum apparuerit, jam damnatos, animum despondentes, hiscere non audentes, odiosos Deo, omni excusationis spe spoliatos liberare, ac reconciliare, neque veniam tantum impetrare et supplicio eximere, sed et multam fiduciam ac splendorem acquirere, et solis radiis puriores reddere, licet omnium sint mortalium sordidissimi? Audi Deum ipsum Judæos sic alloquentem : *Cum extenderitis manus vestras, avertam oculos meos a vobis : si multiplicaveritis orationem, non exaudiam vos : manus enim vestræ sanguine plenæ sunt* (*Isai.* 1. 15). Attamen his sceleratis homicidis, pudore suffusis, ignominia notatis se reconciliatum iri pollicetur, si affectis injuria viduis auxilium ferant. Postquam enim dixit, *Avertam oculos meos, et non exaudiam*, inquit : *Judicate pupillo, et justificate viduam, et venite, et disputemus; et si fuerint peccata vestra quasi phœniceum, sicut nivem dealbabo* (*Ib.* 1.

(*a*) Collata cum Mss. Reg. 1973, et Colbertinis 970 et 1630

17. 18). Vides quantam habeat vidua potestatem? ubi suum ostendat auxilium, non apud magistratum vel regem, qui dominantur in terris, sed apud ipsum cælorum Regem? quantam possit iram sedare, ac Dominum illis, qui incurabili morbo infecti sunt, placare, intolerabili supplicio eripere, animam sordibus obrutam peccatorum ab ejusmodi labe purgare, atque ad summam puritatem perducere? Ne igitur mulierem viduam contemnamus, sed omnem in illam sollicitudinem exhibeamus. Patrona nostra est, quæ vere vidua.

Genera viduarum varia.— Sed operæ pretium fuerit ut attente consideremus, de qua tandem vidua hoc loco verba fiant. Nam et illæ viduæ dicuntur, quæ cum in summam inciderint egestatem et in matriculam relatæ fuerint, ex ecclesiasticis pecuniis aluntur, prout temporibus apostolorum fiebat. *Factum est* enim, inquit, *murmur inter Græcos, eo quod despicerentur in ministerio quotidiano viduæ eorum* (*Act.* 6. 1). Neque vero solum istæ viduæ dicuntur, sed et illæ, quæ nulla inopia pressæ, sed facultatibus abundantes, cum domui præsint, maritum tantum amiserunt. Videamus ergo, de quanam vidua hoc loco verba faciat, dum ait, *Vidua eligatur non minor annis sexaginta;* an de ea quæ auxilio indigeat, et quam opus sit ex ecclesiasticis pecuniis ali, an de ea quæ minime indiga sit, et opibus circumfluat? Haud dubium quin de ista. Nam de illa quidem cum loquitur, quæ fame conficitur, non tempus assignat, non probitatem morum requirit: sed absolute, *Si quis fidelis, aut si qua fidelis*, inquit, *viduas habet, subministret illis, et non gravetur Ecclesia* (1. *Tim.* 5. 16): non dixit, cum sexaginta annorum fuerit; non dixit, Si hospitio recepit[1], si sanctorum pedes lavit (1. *Ib.* 5. 10): ac merito sane. Ubi enim remedium fuerit adhibendum inopiæ, tempus non exspectat. Quid enim, si cum annorum sit quinquaginta, fame conficiatur? Quid si in juvenili ætate corpore sit mutilato? Num dormiet exspectans donec sexagesimus annus appetat? At hoc extremæ foret immanitatis. Quam ob causam cum sedanda fames fuerit, non anxie in tempora et animæ virtutes inquirit: cum vero non inopiæ succurrendum est, sed honor est pro dignitate deferendus, merito hanc de moribus inquisitionem instituit.

3. *Olim chori erant viduarum.* — Nam quemadmodum chori sunt virginum, sic et olim erant viduarum chori, neque passim licebat illis in numerum viduarum referri. Non igitur de illa sermo est, quæ premitur egestate, atque auxilio indiget, sed de ista, quæ viduitatem elegit. Cur autem in hac etiam tempus requirit? Sciebat pyram quamdam esse juventutem, et pelagus plenum fluctuum, ac multis tempestatibus infestum. Postquam igitur ætatis beneficio fuerint immunitatem consequutæ, et tamquam ad portum ad senectutem appulerint, jamque fuerint illis exstinctæ libidines, confidenter eas in cœtum istum adlegit. Quid igitur? nonne plurimæ, dicet aliquis, cum vel post annum vicesimum incepissent, ad finem usque cum laude vixerunt, jugum tulerunt, et apostolicæ vitæ specimen ediderunt! an igitur, quæso, illas prohibebimus, et cum viduitatem servare velint, secundis nuptiis jungi cogemus? hoccine dignum est apostoli consilio? quid igitur hæc sibi volunt? Attendite diligenter, dilectissimi, significationem dictionis. Non enim dixit, Vidua fiat non minor sexaginta annis, sed, *Vidua eligatur:* et rursus non dixit, Viduæ juniores ne eligantur, sed, *Juniores viduas devita* (1. *Tim.* 5. 11): sic enim ait ad Timotheum scribens. Nam quoniam detractionibus et maledictis multi facile sunt obnoxii, et linguas adversus Ecclesiæ præsules exacutas habent, volens rectorem a criminationum periculis vindicare, has leges præscribit, et ait: Tu devita, tu ne eligas. Si velit ipsa ultro ac sua sponte hæc amplecti, faciat: tu quidem ne adhuc admittas, ne forte dicant, Ille talis juniorem coegit, quæ nubere volebat, et domui præesse: propterea lapsa est, et supplantata. Tu illam ne eligas, ut si forte lapsa fuerit, tu a criminationibus sis immunis: si non fuerit lapsa, majori cum securitate convenienti tempore illam eligas. Quod si dicat, *Volo juniores viduas nubere, filios procreare* (1. *Tim.* 5. 14), audi quas juniores appellet, eas quæ cum luxuriatæ fuerint adversus Christum, nubere volunt, verbosas, curiosas, circumeuntes domos, loquentes quæ non oportet, quæ conversæ sunt post satanam. Neque enim cum simpliciter dixisset, *Volo juniores nubere*, tacuit, sed et quales juniores dicit, et earum lapsus enuntiat. Quos tandem lapsus? *Cum luxuriatæ fuerint*, inquit, *adversus Christum, nubere volunt, et otiosæ discunt, et curiosæ, circumeuntes domos, loquentes quæ non oportet, et conversæ sunt* (*Ibid. v.* 11. 13. 15). Post quem autem? *Post satanam.* Quando igitur, postquam viduitatem sunt amplexæ, et omnem hanc ignominiam sustinere voluerunt, rursus nubere volunt, satius est priusquam peccato detineantur, et inita cum Christo pacta violent, ad hoc venire: quod si qua talis non fuerit, necessitatem secundarum nuptiarum non imponit.

4. Porro id verum esse, inde constat. Si enim hoc quasi lege sanxisset omnibus mulieribus, ut nuberent, et domui præessent, superflue illa requisivisset, *Si filios educavit, si sanctorum pedes lavit, si tribulationem patientibus subvenit, si omne opus bonum sectata est* (*Ib. v.* 10): superflue quoque illud dicit, *Quæ fuerit unius viri uxor* (*Ib. v.* 9). Si enim viduas omnes juniores nubere jubes, quomodo poterit aliqua unius viri uxor esse? Itaque illas ejus spectat oratio. Ita facit et dum loquitur de congressu conjugali. Cum enim dixisset, *Nolite fraudare invicem, nisi forte ex consensu ad tempus, ut vacetis jejunio et orationi, et iterum revertamini in idipsum* (1. *Cor.* 7. 5): ne legem esse ac præceptum existimes, causam adjicit, deinde dicens: *Ne tentet vos satanas. Hoc autem dico secundum indulgentiam, non secundum imperium, propter incontinentiam vestram* (*Ib. v.* 6. 5). Quemadmodum

[1] *Non dixit, si filios educavit, si hospitio recepit.* Sic tres Mss.

χήρα; ποῦ τὴν προστασίαν ἐπιδείκνυται τὴν ἑαυτῆς, οὐ παρὰ ἄρχοντι καὶ βασιλεῖ τῶν ἐπὶ τῆς γῆς, ἀλλὰ παρ' αὐτῷ τῷ τῶν οὐρανῶν βασιλεῖ; πόσην δύναται καταλῦσαι ὀργὴν, καταλλάξαι τὸν Δεσπότην τοῖς ἀνίατα νενοσηκόσιν, ἐξαρπάσαι τιμωρίας ἀφορήτου, ψυχὴν βαφεῖσαν τῷ τῶν ἁμαρτημάτων ῥύπῳ τῆς κηλῖδος ἐκπλῦναι ἐκείνης, καὶ πρὸς τὴν ἄκραν ἀγαγεῖν καθαρότητα; Μὴ τοίνυν καταφρονῶμεν χήρας γυναικὸς, ἀλλὰ πᾶσαν περὶ αὐτὴν ἐπιμέλειαν ἐπιδείξωμεν. Προστάτις ἡμῶν ἐστιν ἡ ὄντως χήρα.

Ἄξιον δὲ ἐπιστάντας ἰδεῖν, περὶ ποίας ἐνταῦθα χήρας φησί. Καὶ γὰρ καὶ ἐκεῖναι χῆραι λέγονται, αἱ εἰς εὐτέλειαν ἐσχάτην καταπεσοῦσαι, καὶ ἐγγεγραμμέναι, καὶ ἐκ τῶν ἐκκλησιαστικῶν τρεφόμεναι χρημάτων, καθάπερ οὖν ἐπὶ τῶν ἀποστόλων. Ἐγένετο γὰρ, φησὶ, γογγυσμὸς *μεταξὺ τῶν Ἑλληνιστῶν, ὅτι παρεθεωροῦντο ἐν τῇ διακονίᾳ τῇ καθημερινῇ αἱ χῆραι αὐτῶν*. Οὐχ αὗται δὲ μόνον χῆραι λέγονται, ἀλλὰ κἀκεῖναι, αἱ μηδενὸς μὲν δεόμεναι, ἀλλ' εὐπορίας ἀπολαύουσαι, καὶ οἰκίας προεστῶσαι, τὸν δὲ ἄνδρα ἀποβαλοῦσαι μόνον. Ἴδωμεν οὖν περὶ ποίας χήρας ἐνταῦθά φησι λέγων· *Χήρα καταλεγέσθω μὴ ἐλάττων ἐτῶν ἑξήκοντα γεγονυῖα*· ἆρα [313] περὶ τῆς δεομένης βοηθείας καὶ χρείαν ἐχούσης ἐξ ἐκκλησιαστικῶν τρέφεσθαι χρημάτων, ἢ περὶ τῆς ἀνενδεοῦς καὶ ἐν εὐπορίᾳ ζώσης; Εὔδηλον ὅτι περὶ ταύτης. Περὶ μὲν γὰρ ἐκείνης ὅταν λέγῃ, τῆς λιμῷ διαφθειρομένης, οὐ χρόνον τίθησιν, οὐκ ἀκρίβειαν ἀπαιτεῖ τρόπων· ἀλλ' ἁπλῶς, *Εἴ τις πιστὸς ἢ πιστὴ*, φησὶ, *χήρας ἔχει, ἐπαρκείτω αὐταῖς, καὶ μὴ βαρείσθω ἡ Ἐκκλησία*. Οὐκ εἶπεν, Ὅταν ἑξήκοντα ἐτῶν γένηται· οὐκ εἶπεν, Εἰ ἐξενοδόχησεν [a], εἰ ἁγίων πόδας ἔνιψε· καὶ μάλα εἰκότως. Ἔνθα μὲν γὰρ ἂν πενίαν διορθῶσαι δέοι, οὐκ ἀναμένει χρόνον. Τί γὰρ εἰ πεντήκοντα ἐτῶν οὖσα λιμῷ διαφθείροιτο; τί δὲ ἐὰν ἐν νεότητι τὸ σῶμα ἀνάπηρος οὖσα τύχοι; καθευδεῖται [b] ἀναμένουσα τὸ ἑξηκοστὸν ἔτος; Ἀλλ' ἀπανθρωπίας τοῦτο ἐσχάτης. Διὰ τοῦτο, ὅταν μὲν λιμὸν παραμυθήσασθαι δέοι, οὐδὲν περὶ χρόνων καὶ τῆς κατὰ ψυχὴν ἀρετῆς ἀκριβολογεῖται· ὅταν δὲ μὴ ᾖ διορθώσασθαι πενίαν, ἀλλὰ τιμὴν κατ' ἀξίαν χαρίσασθαι, εἰκότως τοσαύτην ποιεῖται τρόπων ἐξέτασιν.

γ'. Καθάπερ γάρ εἰσι παρθένων χοροὶ, οὕτω καὶ χηρῶν τὸ παλαιὸν ἦσαν χοροὶ, καὶ οὐκ ἐξῆν αὐταῖς ἁπλῶς εἰς τὰς χήρας ἐγγράφεσθαι. Οὐ περὶ ἐκείνης οὖν λέγει τῆς ἐν πενίᾳ ζώσης καὶ δεομένης βοηθείας, ἀλλὰ περὶ ταύτης τῆς ἑλομένης χηρείαν. Τίνος δὲ ἕνεκεν καὶ ἐπὶ ταύτης ἀπαιτεῖ χρόνον; Οἶδεν ὅτι πυρά τίς ἐστιν ἡ νεότης, καὶ πέλαγος κυμάτων γέμον καὶ πολλὰς ἔχον ἐπαναστάσεις. Ἐπειδὰν οὖν μέλλωσιν ἀπὸ τῆς ἡλικίας ἀτέλειαν ἔχειν, καὶ ὥσπερ ἐν λιμένι διατρίβωσι τῷ γήρᾳ, τῶν ἐπιθυμιῶν αὐταῖς σβεσθεισῶν, μετὰ ἀδείας αὐτὰς εἰς τὸν χορὸν εἰσάγει τοῦτον. Τί οὖν, οὐχὶ πολλαὶ, φησὶ, καὶ μετὰ εἰκοστὸν ἔτος ἀρξάμεναι μέχρι τέλους διέλαμψαν, καὶ τὸν ζυγὸν ἤνεγκαν, καὶ ἀποστολικὸν ἐπεδείξαντο βίον; χωλύσομεν οὖν ἐκείνας, εἰπέ μοι, καὶ βουλομένας ἐν χηρείᾳ ζῆν ἀναγκάσομεν δευτέροις ὁμιλῆσαι γάμοις; καὶ ποῦ τοῦτο ἄξιον ἀποστολικῆς γνώμης; τί οὖν ἐστι τὸ λεγόμενον; Προσέχετε μετὰ ἀκριβείας, ἀγαπητοὶ, αὐτῇ τῇ σημασίᾳ τῆς λέξεως. Οὐ γὰρ εἶπε, Χήρα γινέσθω μὴ ἐλάττων ἐτῶν ἑξήκοντα γεγονυῖα, ἀλλὰ, *Χήρα καταλεγέσθω*· καὶ πάλιν οὐκ εἶπε, Χῆραι νεώτεραι μὴ καταλεγέσθωσαν, ἀλλὰ, *Τὰς νεωτέρας δὲ χήρας παραιτοῦ*· πρὸς γὰρ τὸν Τιμόθεον ταῦτα διαλέγεται. Ἐπειδὴ γὰρ πολλοὶ τῶν ἀνθρώπων εὐχείρωτοι περὶ κακηγορίας εἰσὶ, καὶ τὰς γλώττας κατὰ τῶν τῆς Ἐκκλησίας προεστώτων ἠκονήκασι [c], βουλόμενος ἐξαρπάσαι τὸν ἄρχοντα τῶν ἐγκλημάτων, τούτους τίθησι τοὺς νόμους, καί φησι· Σὺ παραιτοῦ, καὶ σὺ μὴ κατάλεγε. Ἂν αὐτὴ βούληται οἴκοθεν καὶ παρ' ἑαυτῆς αἱρεῖσθαι ταῦτα, ποιείτω· σὺ μέντοι μὴ καταδέξῃ μηδέπω, ἵνα μὴ λέγωσιν ὅτι Νεωτέραν οὖσαν, γήμασθαι βουλομένην, οἰκίας προστῆναι, ὁ δεῖνα κατηνάγκασε· διὰ τοῦτο ἔπεσε, καὶ ὑπεσκελίσθη. Σὺ μὴ καταλέξῃς αὐτὴν, ἵνα, κἂν πέσῃ, τῶν ἐγκλημάτων ᾖς ἀπηλλαγμένος· κἂν μὴ πέσῃ, μετὰ πλείονος ἀσφαλείας τῷ προσήκοντι καιρῷ καταλέξῃς. Εἰ δὲ λέγει, *Βούλομαι νεωτέρας χήρας γαμεῖν, τεκνογονεῖν*, ἄκουσον ποίας φησὶ νεωτέρας, τὰς μετὰ τὸ [314] καταστρηνιᾶσαι τοῦ Χριστοῦ βουλομένας γαμεῖν, τὰς φλυάρους, τὰς περιέργους, τὰς περιερχομένας τὰς οἰκίας, τὰς λαλούσας τὰ μὴ δέοντα, τὰς ἐκτραπείσας ὀπίσω τοῦ Σατανᾶ. Οὐ γὰρ εἰπὼν ἁπλῶς, *Βούλομαι νεωτέρας γαμεῖν*, ἐσίγησεν, ἀλλὰ λέγει καὶ ποίας νεωτέρας, καὶ τὰ πτώματα αὐτῶν ἔπεισι. Ποῖα πτώματα; *Ὅταν καταστρηνιάσωσι*, φησὶ, τοῦ *Χριστοῦ, γαμεῖσθαι θέλουσι, καὶ ἀργαὶ μανθάνουσι, καὶ περίεργοι, περιερχόμεναι τὰς οἰκίας, λαλοῦσαι τὰ μὴ δέοντα, καὶ ἐξετράπησαν*. Τίνος ὀπίσω; *Τοῦ Σατανᾶ*. Ἐπεὶ οὖν μετὰ τὸ χηρείαν ἑλέσθαι, καὶ ταύτην πᾶσαν ὑπομεῖναι τὴν ἀσχημοσύνην, βούλονται γαμῆσαι πάλιν, βέλτιον πρὶν ἔχεσθαι, καὶ τὰς πρὸς τὸν Χριστὸν καταπατῆσαι συνθήκας, ἐπὶ τοῦτο ἐλθεῖν· ὡς εἰ μή τις εἴη τοιαύτη, οὐκ ἐπιτίθησιν ἀνάγκην γάμου δευτέρου.

δ'. Καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, δῆλον ἐκεῖθεν. Εἰ γὰρ ὡς νόμον τοῦτο τέθεικε πάσαις ταῖς γυναιξὶ τὸ γαμεῖν καὶ οἰκοδεσποτεῖν, περιττῶς ἐκεῖνα ἀπήτει, *Εἰ ἐτεκνοτρόφησεν, εἰ ἁγίων πόδας ἔνιψεν, εἰ θλιβομένοις ἐπήρκεσεν, εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησε*· περιττῶς κἀκεῖνό φησι τὸ, *Ἑνὸς ἀνδρὸς γεγονυῖα*. Εἰ γὰρ πάσας τὰς νεωτέρας κελεύεις γαμεῖσθαι, πῶς δυνήσεταί τις ἑνὸς ἀνδρὸς εἶναι γυνή; Ὥστε πρὸς ἐκείνας ὁ λόγος αὐτῷ. Οὕτω καὶ ἐπὶ τῆς συνουσίας τῆς κατὰ τὸν γάμον ποιεῖ. Εἰπὼν γάρ, *Μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου πρὸς καιρὸν, ἵνα σχολάζητε τῇ νηστείᾳ καὶ τῇ προσευχῇ, καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχησθε*· ἵνα μὴ νομίζῃς τὸ πρᾶγμα νόμον εἶναι, προστίθησι τὴν αἰτίαν ὕστερον λέγων· *Ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ Σατανᾶς. Τοῦτο δὲ λέγω κατὰ συγγνώμην, οὐκ ἐπιταγήν, διὰ τὴν ἀκρασίαν ὑμῶν*. Ὥσπερ οὖν οὐ πᾶσιν ἐκεῖ ταῦτα διαλέγεται, ἀλλὰ

[a] Οὐκ εἶπεν, Εἰ ἐτεκνοτρόφησεν, εἰ ἐξενοδόχ. Sic tres mss.
[b] Cod. 748 recte καθεδεῖται.
[c] Cod. 748 ἠκόνησαν.

τοῖς ἀκρατεστέροις τῶν ἀνθρώπων καὶ εὐαλώτοις· οὕτω καὶ ἐνταῦθα ταῖς εὐχειρώτοις τῶν γυναικῶν, καὶ μὴ δυναμέναις ἐνεγκεῖν τὸν μετὰ ἀκριβείας βίον τῆς χηρείας, ταύταις παραινεῖ καὶ συμβουλεύει δεύτερον ἐπεισάγειν νυμφίον. Ἡ γὰρ χηρεία διπλοῦν τι πρᾶγμά ἐστι. Τί ποτέ ἐστι διπλοῦν; Ἔργων ἐπίδειξις ἀγαθῶν, καὶ τιμῆς ὑπεροχὴ μεγίστης. Καθάπερ οὖν καὶ ἡ ἀρχὴ διπλοῦν τι πρᾶγμά ἐστιν· ἔχει γὰρ καὶ ἔργα καὶ ἀξίωμα· ἀξίωμα μὲν ἀρχῆς ἡ ἐξουσία, καὶ ἡ παρὰ τῶν πολλῶν θεραπεία, καὶ αὐτὸ τὸ εἶναι ἄρχοντα· ἔργα δὲ ἀρχῆς, τὸ βοηθεῖν τοῖς ἀδικουμένοις, κωλύειν τοὺς ἀδικοῦντας, προεστάναι τῶν πόλεων, διανυχτερεύειν ἐν ταῖς κοιναῖς τῶν πραγμάτων φροντίσι, καὶ μυρία ἕτερα· οὕτω καὶ ἡ χηρεία καὶ ἀξιωμά ἐστι καὶ ἔργον· ἀξίωμά ἐστιν, αὐτὸ τὸ χήρα [a] εἶναι, μέγιστον ὄν, ὡς ἀπεδείξαμεν ἔμπροσθεν· ἔργον ἐστὶ, τὸ μὴ δεύτερον ἐπεισάγειν ἄνδρα, ἀλλ' ἀρκεσθῆναι τῷ προτέρῳ, τὸ τεκνοτροφῆσαι, τὸ ξενοδοχῆσαι, τὸ ἁγίων πόδας νίψαι, τὸ θλιβομένοις ἐπαρκέσαι, τὸ παντὶ ἔργῳ ἀγαθῷ ἐπακολουθῆσαι. Ὁ τοίνυν Παῦλος περὶ αὐτῶν διαλεγόμενος, τὰ μὲν ἔργα τῆς χήρας ἀφίησιν αὐτὴν πάντα ἐπιτελεῖν· εἰς δὲ τὸ ἀξίωμα τῆς χήρας, καὶ τὸν χορὸν, καὶ τὴν τάξιν οὐκ ἀφίησιν αὐτὴν εἰσελθεῖν, ἕως ἂν ἑξηκοστὸν ἔτος παρέλθῃ, μονονουχὶ λέγων· [315] Ποιείτω μὲν τὰ τῆς χήρας ἔργα, τῆς δὲ τιμῆς ἀξιούσθω τότε, ὅταν πάντα ἐπιδειξαμένη καὶ τὴν ἀπὸ τοῦ χρόνου λοιπὸν ἀσφάλειαν ἔχῃ. καὶ τὴν ἀπὸ τῶν ἔργων ἀπόδειξιν, καὶ τὴν ἔξωθεν μαρτυρίαν. Μηδεὶς γυναιξὶ μόνον τὸν λόγον τοῦτον ἐπιτήδειον εἶναι νομιζέτω. Καὶ γὰρ καὶ ἀνδράσιν ἐστὶ χρήσιμος, ἵνα καὶ αὐτοὶ στέργωσι τὰς ἑαυτῶν καὶ ἀπελθούσας, καὶ μὴ λεαίνας συγκατοικίζωσι τοῖς παιδίοις, μητρυιὰς ἐπεισάγοντες, καὶ τὴν ἀσφάλειαν τὴν ἑαυτῶν ἅπασαν ἀνατρέποντες.

ε'. Ταῦτα δὲ λέγομεν οὐχὶ νομοθετοῦντες δεύτερον ἀποστρέφεσθαι γάμον, ἀλλὰ παραινοῦντες καὶ συμβουλεύοντες μετὰ σωφροσύνης ἀρκεῖσθαι τῷ προτέρῳ. Ἕτερόν ἐστιν παραινεῖν καὶ συμβουλεύειν, ἕτερον νομοθετεῖν. Ὁ μὲν γὰρ παραινῶν καὶ συμβουλεύων, κύριον ἀφίησι τὸν ἀκούοντα τῆς τῶν συμβουλευομένων αἱρέσεως εἶναι· ὁ δὲ νομοθετῶν, ταύτην παραιτεῖται [b] τὴν ἐξουσίαν αὐτῶν. Ἀλλ' ἡ Ἐκκλησία οὐ νομοθετεῖ ταῦτα, ἀλλὰ παραινεῖ μόνον· καὶ γὰρ καὶ δεύτερον ἐπέτρεψε γάμον ὁ Παῦλος, οὕτως εἰπών· *Γυνὴ δέδεται νόμῳ, ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς· ἐὰν δὲ κοιμηθῇ ὁ ἀνὴρ, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ· μακαριωτέρα δέ ἐστιν, ἐὰν οὕτω μείνῃ.* Ὥσπερ οὖν καλὸν μὲν ὁ γάμος, κρεῖσσων δὲ ἡ παρθενία· οὕτω καλὸν μὲν καὶ ὁ δεύτερος γάμος, κρεῖσσων δὲ αὐτοῦ ὁ πρῶτος καὶ μόνος. Οὐ τοίνυν ἐκβάλλομεν δεύτερον γάμον, οὐδὲ νομοθετοῦμεν ταῦτα, ἀλλὰ παραινοῦμεν, εἴ τις δύναιτο σωφρονεῖν, ἐπὶ τῷ προτέρῳ μένειν. Παραινοῦμεν δὲ καὶ συμβουλεύομεν καὶ δι' αὐτὴν τῆς οἰκίας τὴν ἀσφάλειαν· μάχης γὰρ πολλάκις καὶ πολέμων καθημερινῶν ὁ δεύτερος γάμος ἀρχὴ καὶ πρόφασις γέγονε. Πολλάκις γοῦν ἀνὴρ ἐπὶ τραπέζης καθήμενος, τῆς προτέρας γυναικὸς ἀναμνησθεὶς ἐπὶ τῇ δευτέρᾳ, ἐδάκρυσεν ῥῆμα· ἡ δὲ εὐθέως ἠγρίανε, καὶ καθάπερ ζηρίον ἐπεπήδησε, τῆς φιλοστοργίας αὐτὸν τῆς πρὸς ἐκείνην ἀπαιτοῦσα δίκην· κἂν ἐπαινέσαι τὴν ἀπελθοῦσαν θελήσῃ, γίνεται πολέμου καὶ μάχης πρόφασις ἡ τῶν ἐγκωμίων ὑπόθεσις. Καὶ πρὸς μὲν τοὺς ἐχθροὺς ἀπελθόντας σπενδόμεθα, καὶ μετὰ τῆς ζωῆς αὐτῶν καὶ τὴν πρὸς αὐτοὺς καταλύομεν ἔχθραν· ἐπὶ δὲ τῶν γυναικῶν τοὐναντίον ἅπαν. Ἦν γὰρ οὐκ εἶδεν, ἧς οὐκ ἤκουσε, παρ' ἧς οὐδὲν ἔπαθε δεινὸν, ταύτην μισεῖ καὶ ἀποστρέφεται, καὶ οὐδὲ ὁ θάνατος τὸ μῖσος σβέννυσι. Τίς εἶδε, τίς ἤκουσε ζηλοτυπουμένην κόνιν, καὶ πολεμουμένην τέφραν;

ς'. Ἀλλ' οὐ μέχρι τούτου τὸ δεινόν· ἀλλὰ κἂν γένωνται παῖδες ἐκ τῆς δευτέρας, κἂν μὴ γένωνται, πόλεμος πάλιν καὶ μάχη. Μὴ γενομένων μὲν γὰρ ὀδυνᾶται μειζόνως, καὶ διὰ τοῦτο, καθάπερ πολεμίους καὶ τὰ μέγιστα ἠδικηκότας τοὺς τῆς προτέρας ὀρᾷ, διὰ τῆς ἐκείνων ζωῆς τῆς οἰκείας ἀπαιδίας σαφεστέραν λαμβάνουσα αἴσθησιν. Ἂν δὲ γένωνται, πάλιν οὐκ ἔλαττον τὸ δεινόν. Ὁ μὲν γὰρ ἀνὴρ πολλάκις φιλοστόργως πρὸς τὴν ἀπελθοῦσαν διακείμενος ἀντέχεται τούτων, φιλῶν τε ὁμοῦ καὶ ἐλεῶν τῆς ὀρφανίας [316] αὐτούς· ἐκείνη δὲ πανταχοῦ τοὺς αὐτῆς προτιμᾶσθαι βούλεται, καὶ οὐδὲ ἐν ἀδελφῶν τάξει, ἀλλ' ἐν οἰκετῶν ἀπερρίμμενων εἶναι βούλεται τούτους· ἅπερ ἅπαντα οἰκίαν ἀνατρέψαι δύναιτ' ἄν, καὶ τῷ γεγαμηκότι ποιῆσαι τὸν βίον ἀβίωτον. Διὰ ταῦτα παραινοῦμεν, εἰ δυνατὸν, σωφρονεῖν, στέργειν τῷ προτέρῳ γάμῳ, καὶ μήτε νυμφίους τὰς γυναῖκας, μήτε γυναῖκας τοὺς ἄνδρας ἐπεισάγειν, ὥστε μὴ τὴν οἰκίαν ἀνατρέπεσθαι πᾶσαν.

Τίνος δὲ ἕνεκεν περὶ χηρείας διαλεγόμενος, οὐκ ἠρκέσθη τῷ προτέρῳ μόνῳ, τῷ εἰπεῖν, *Ἑνὸς ἀνδρὸς γυνή;* Ἵνα μάθῃς, ὅτι χήραν ποιεῖ οὐ τὸ μὴ γαμῆσαι δεύτερον μόνον ἁπλῶς, ἀλλὰ τὸ κομᾷν ἐν ἔργοις ἀγαθοῖς, ἐν ἐλεημοσύνῃ καὶ φιλανθρωπίᾳ, καὶ ταῖς τῶν ξένων θεραπείαις. Εἰ γὰρ τὰς παρθένους οὐδὲν ὠφέλησεν ἡ παρθενία (καίτοι πολλῷ μείζων χηρείας ἡ παρθενία), ἀλλ' ἀπῆλθον, σβεσθέντος αὐταῖς τοῦ πυρὸς τῶν λαμπάδων, ἠτιμωμέναι, ἐπειδὴ τὸν ἀπὸ τῆς φιλανθρωπίας καὶ ἐλεημοσύνης οὐκ ἔσχον ἐπιδεῖξαι καρπὸν, πολλῷ μᾶλλον αἱ χῆραι. Ἐκείνης γοῦν ἀκούσας τῆς παραβολῆς ὁ Παῦλος, καὶ φοβούμενος ὑπὲρ τούτων, πολλὴν ὑπὲρ τοῦ [c] πράγματος ποιεῖται τὴν ἀκριβολογίαν, ἵνα μὴ τῇ μονογαμίᾳ θαῤῥοῦσαι τῆς λοιπῆς ἀρετῆς καταμελήσωσι· διὰ τοῦτό φησιν, *Ἐν ἔργοις καλοῖς μαρτυρουμένη*· ὥσπερ γὰρ καλὸν ἡ παρθενία, χωρὶς δὲ τῶν λοιπῶν ἄκαρπος γέγονε, καὶ τοῦ νυμφῶνος ἀπέκλεισεν· οὕτω καλὸν ἡ χηρεία, χωρὶς δὲ τῆς λοιπῆς ἀρετῆς μάταιόν ἐστι καὶ περιττόν. Διὰ τοῦτο οὐ μέχρι τοῦ μὴ δεύτερον ἐπεισάγειν ἄνδρα τὴν παραίνεσιν ἔστησεν ὁ Παῦλος, ἀλλὰ καὶ ἕτερα πολλῷ πλείονα καὶ μείζονα ἀπαιτεῖ παρὰ τῆς χήρας. Καὶ καθάπερ οἱ τοὺς στρατιώτας καταλέγοντες σώματος ζητοῦσιν εὐεξίαν, οὕτω καὶ οὗτος εἰς τὸ τοῦ Χριστοῦ στρατόπεδον αὐτὴν καταλέγων, ψυχῆς εὐεξίαν ἐζήτησε καὶ εὐτονίαν καὶ τὴν ἐν ἅπασι τοῖς ἀγαθοῖς ἔργοις σπουδὴν, οὕτω λέγων· *Εἰ ἐτεκνοτρόφησεν, εἰ ἐξενοδόχησεν, εἰ ἁγίων πόδας ἔνιψεν, εἰ θλιβομένοις ἐπήρκεσεν.*

[a] Alii χηραν.
[b] Cod. 748 παραιρεῖται, alius παραινεῖται.
[c] Alii πολλὴν ἐπὶ τοῦ.

igitur non omnibus illic ista loquitur, sed iis qui inter homines incontinentiores sunt, et facile capi possunt: sic etiam hoc loco mulieres expugnatu faciles, et quæ non ita facile perferre possunt exactam in viduitate vivendi rationem, hortatur, et consulit, ut alterum virum introducant. Est enim res quædam duplex viduitas. Quid hoc est tandem duplex? Bonorum operum specimen, et honoris summi fastigium. Ut igitur est etiam res quædam duplex magistratus : habet enim et opera et dignitatem; dignitas quidem magistratus est potestas, et cultus qui a vulgo exhibetur, et ipsum esse magistratum; opera vero magistratus sunt injuria affectis succurrere, inferentes injuriam compescere, urbibus præesse, in communibus reipublicæ curis excubando pernoctare, et reliqua innumera : sic et viduitas et dignitas est et opus : maxima dignitas est viduam esse, ut ante demonstravimus; opus est secundum maritum sibi non adsciscere, sed priori esse contentam, filios educare, hospitio recipere, pedes sanctorum lavare, tribulationem patientibus subministrare, omne opus bonum sectari. Itaque Paulus de illis loquens opera quidem omnia viduæ sinit illam perficere : ad dignitatem autem viduæ, ac cœtum, et ordinem illam provehi non sinit, donec sexagesimus annus præterierit, quasi dicat: Opera quidem viduæ faciat, dignitatem vero tum obtineat, cum his omnibus perfectis securitatem beneficio temporis assequuta fuerit, et ex operibus demonstrationem ac testimonium externum. Nemo solis mulieribus arbitretur orationem convenire. Nam et viris prodest, ut et ipsi defunctis uxoribus suis contenti sint, neque velint cum liberis suis lœnas habitare, dum novercas introducunt, et suam omnem securitatem evertunt.

5. *Cohortatur ad monogamiam, nec damnat secundas nuptias.* — Hæc autem a nobis dicuntur, non ut secundas aversari nuptias præcipiamus; sed ut hortemur et consulamus, prioribus esse contentos. Aliud est adhortari, aliud præciperé. Nam qui adhortatur et consulit, in arbitrio ac potestate relinquit auditoris, ut quod consulatur eligat : qui vero præcipit, hanc facultatem ejusmodi non permittit. At Ecclesia ista non præcipit, sed hortatur solum : siquidem secundas etiam nuptias permisit Paulus cum ita dixit : *Mulier alligata est legi, quanto tempore vir ejus vivit : quod si dormierit vir ejus, libera est, cui vult nubat, tantum in Domino. Beatior est autem si sic permanserit* (1. *Cor.* 7. 39. 40). Ut igitur bonum est conjugium, sed melior est virginitas : ita bonum quidem est secundum conjugium, sed melius est primum et solum. Non igitur conjugium secundum rejicimus, neque hæc præcipimus, sed cohortamur, ut si quis castitatem servare possit, sit priori contentus. Cohortamur autem et consulimus ad stabiliendam domus securitatem : sæpe namque secundæ nuptiæ quotidianarum et pugnarum et contentionum initium et occasionem attulerunt. Sane multoties evenit, ut assidens mensæ maritus prioris uxoris recordatus, leniter fleat : at illa confestim exardescit, et tamquam fera insilit, et sui in illam amoris ab eo pœnas exigit. Quod si voluerit laudare defunctam, tum contentionis et pugnæ occasio ex laudibus illius offertur. Ac defunctis quidem inimicis reconciliamur, eodemque fine vita illorum et nostrum in illos odium terminatur : in uxoribus autem contrarium penitus evenit. Quam enim non vidit, quam non audivit, a qua nihil est mali passa, hanc odio prosequitur et aversatur, ac ne mors quidem odium exstinguit. Quis umquam vidit, quis audivit zelotypiam in pulverem, pugnam cum cinere susceptam?

6. Sed non eousque tantum progreditur malum : quin etiam sive ex secunda nati sint liberi, sive non sint nati, pugna rursus et contentio exoritur. Nam si nati non sint, majori mœrore conficitur, et hac de causa natos ex priori tamquam hostes, et a quibus maximis sit affecta injuriis, intuetur, dum ex illorum vita sterilitatis suæ sensum capit majorem. Si vero nati sint, rursus nihilo minus malum est. Siquidem maritus sæpenumero bene affectus erga defunctam hos amplectitur, et amore simul ac misericordia in illos propter orbitatem commovetur : at illa suos ubique præferri vult, ac nec fratrum illos haberi loco, sed abjectorum famulorum : quæ omnia domum possunt subvertere, ac vitam marito acerbam et infestam reddere. Propterea ad servandam castitatem adhortamur, si fieri possit, et ut priori conjugio contenti sitis, et neque mariti uxores, neque uxores maritos adsciscant, ne domum suam omnem susque deque vertant.

Virginitas sine virtutibus aliis non prodest. — Cur autem cum de viduitate dissereret, priori solo contentus non fuit, cum dixit, *Unius viri uxor?* Ut intelligas id viduam non facere, si secundo marito solum utcumque non nubat, sed si bonis operibus, eleemosyna, benignitate, atque officiis erga peregrinos abundet. Nam si virginibus nihil profuit virginitas (*Matth.* 25) (tametsi multo major est viduitate virginitas), sed cum in lampadibus illarum ignis esset exstinctus, ignominia affectæ recesserunt, quoniam benignitatis et eleemosynæ fructum exhibere minime valuerunt, multo magis viduæ. Certe cum illam parabolam audisset Paulus, et istarum causa timeret, exquisite admodum rem examinat, ne forte propter unicum matrimonium sibi confidentes reliquas virtutes negligerent. Propterea dicit, *In operibus bonis testimonium habens* (1. *Tim.* 5. 10). Ut enim bonum est virginitas, absque cæteris autem infructuosa fit, et a conclavi sponsi excludit : sic et viduitas bonum est, sed sine virtutibus cæteris vana res est et superflua. Propterea Paulus dum cohortatur, non eousque solum progreditur, ut non esse superinducendum secundum maritum suadeat, sed et alia plura et majora requirit a vidua. Et quemadmodum ii, qui militum delectum habent, corporis bonam habitudinem requirunt : ita hic, qui ad exercitum Christi hanc deligit, bonam animæ habitudinem requisivit, et fortitudinem, et in omnibus bonis operibus studium, ita dicens : *Si filios educavit, si hospitio recepit, si sanctorum pedes lavit, si tribulationem patientibus subministravit, si omne opus bonum sectata*

est. Etenim unumquodque istorum nudum quidem esse nomen videtur, sed multam in seipso vitam continet.

7. *Viduæ in educandis liberis laus.* — Ac si videtur, primum excutiamus, quod ille primo loco posuit : *Si filios educavit*. Educationem enim innuit non hanc simplicem, quam vulgus censet, dum fame confectos liberos non negligimus : hoc enim ne ipsa quidem naturæ necessitas umquam omitti permittet : quo fit ut neque mandatis hac de causa sit opus et legibus, ut suam prolem educent viduæ ; sed justitiæ curam, educationem cum pietate hoc loco intelligit : quod alioquin eæ, quæ hoc pacto non educant, parricidæ potius sint, quam matres. Hoc non ad mulieres tantum a me dictum est, sed etiam ad viros. Siquidem multi patres, ut bonus equus filio obveniret, et ut ædes magnificæ, et prædium magni pretii, cuncta faciunt atque moliuntur : ut autem anima ejus bona fiat, et pium propositum, nullius pensi habent. Et hoc est quod totum mundum subvertit, quod nostros liberos non curemus, et possessionum opumque ipsorum curam geramus, sed ipsorum animam negligamus, et extremæ dementiæ facinus admittamus. Nam possessiones quidem sint licet multæ ac sumptuosæ, si probus non sit ac studiosus, qui cum virtute possit eas administrare, omnes cum ipso peribunt et evanescent, ac summum possessori damnum inferent : sin autem generosa fuerit et sapiens anima, licet nihil intus sit in promptuariis reconditum, omnium bona tuto poterit retinere. Illud igitur spectandum est, non quo pacto argento et auro, et rebus ejusmodi locupletes eos reddamus, sed quo pacto pietate ac temperantia, virtutumque acquisitione ditissimi omnium fiant : quo pacto fiat, ut multis non indigeant, ut res sæculi hujus et novas cupiditates non tanti faciant. Et ingressus eorum et egressus diligenter et curiose considerandus est, quibuscum versentur, qui familiares illis sint, cum intelligamus, si hæc a nobis neglecta fuerint, nullam nos a Deo veniam impetraturos. Nam si cum aliorum curam non gesserimus, pœnæ a nobis exiguntur (*Nemo enim quod suum est, quærat*, inquit apostolus, *sed quod alterius*) (1. *Cor.* 10. 24), quanto magis si liberorum curam non gesserimus? Nonne ipsum in tuis ædibus ab initio collocavi, inquit? nonne te præceptorem, præfectum et curatorem et judicem illi te præfeci? omnem in illum potestatem in manus tuas transtuli? Tenerum adhuc conformandum ac fingendum commisi : qua venia dignus eris si reluctantem illum neglexeris? Quid enim dicere poteris? Refrenatu difficilem et asperum illum esse? At hæc ab initio prævideri oportuit, et quando freno cohiberi poterat, cum juvenis admodum esset, eum diligenter frenari, et officio suo fungi assuefieri, informari, morbis ejus animæ remedium adhiberi. Quando facilior erat agricolatio, tum resecari spinas oportuit, quando, cum tenera esset ætas, facilius evellebantur, neque passiones neglectæ, et auctæ, expugnatu difficiles evasissent. Idcirco dicit : *Curva a pueritia cervicem ejus* (*Eccli.* 7. 23), quando facilius potest erudiri. Neque vero præcipit tantum, sed et ipse tecum opus aggreditur. Quo tandem pacto? *Qui maledicit patri vel matri*, inquit, *morte pereat* (*Exod.* 21. 17). Vides quantum illis timorem incusserit? quantam formidinem objecerit? quam potenti imperio pollere te voluerit? Quam nos igitur excusationem obtendere poterimus, cum ipse quidem, si nos afficiamur injuria, ne vitæ quidem parcat ipsorum : nos autem, si ab illis Deo inferatur injuria, ne succensere quidem illis velimus? Ego nec occidere illum recuso, qui te affecit injuria : tu vero ne verbis quidem illum contristare dignaris, inquit, a quo leges meæ violantur. Num hæc venia digna? Vides affici contumelia Creatorem, nec indignaris, neque terres, nec reprehendis, præsertim cum intelligas hoc a Deo fuisse prohibitum, non quod ille quidpiam detrimenti patiatur, qui contumeliam accepit (neque enim Numen interitui est obnoxium), sed propter salutem ipsius? Qui enim inique se gerit in Deum et stolide, multo magis in patrem suum et in suam ipsius animam contumeliosus et insolens esse poterit.

8. Ne igitur contemnamus, cum sciamus fore, ut si erga Deum recte se gesserint, etiam in iis quæ ad hanc vitam pertinent celebres sint et illustres. Qui enim vitam cum virtute modestiaque traducit, eum omnes reverentur et colunt, sit licet omnium pauperrimus, sicut improbum ac depravatum aversantur et odio prosequuntur omnes, licet opibus multis circumfluat. Neque solum cæteris hominibus venerandus erit, sed tibi ejus parenti erit carior, cum præter naturam nihilo minorem habeat occasionem amoris, ipsam virtutem : neque vero solum carior, sed et utilior erit tibi dum colet, dum inserviet, dum in senectute sustentabit. Ut enim qui sunt in Deum injurii et ingrati, etiam parentes aspernantur : ita qui suum Conditorem colunt, ingentem genitoribus suis honorem deferunt. Ut igitur et apud Deum et apud homines bene audias, tibique vitam jucundam facias, ac futuris pœnis libereris, omni ipsum studio cole. Nam eos quidem qui liberorum curam non gesserint, tametsi cæteroquin modesti fuerint atque moderati, ob istud peccatum pœnas gravissimas luituros, ex veteri constabit historia, quam narrabo.

Heli pater nimis indulgens. — Sacerdos fuit quidam apud Judæos cæteroquin modestus, ac lenis, Heli nomine. Huic igitur Heli duo fuerunt liberi, qui ad summum improbitatis fastigium pervenerant : illos autem non reprimebat ille, nec prohibebat : imo vero reprimebat ille quidem, atque prohibebat, sed non tanta cum diligentia et vehementia, quanta opus fuit (1. *Reg.* 2. 11). Cum enim flagris cædere debuisset, domo paterna ejicere, omnem correctionis modum adhibere, cohortabatur solum et consulebat ita dicens : *Ne, filii, ne ita faciatis : quoniam non bona auditio, quam audio de vobis* (1. *Reg.* 2. 24). Quid ais? Deum injuria affecerunt, et filios appellas? Conditorem ignorarunt, et tu propinquitatem illorum agnoscis? Propterea dicit, eum non admonuisse illos : admonitio enim est si non utcumque consilium de-

εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησε. Τούτων γὰρ ἕκαστον δοκεῖ μὲν εἶναι ῥῆμα ψιλὸν, πολλὴν δὲ ἐν ἑαυτῷ συνέχει τὴν ζωήν.

ζ'. Καὶ εἰ δοκεῖ, πρῶτον, ἐξετάσωμεν ὃ πρῶτον αὐτὸς τέθεικεν· *Εἰ ἐτεκνοτρόφησε.* Τροφὴν γὰρ ἐνταῦθα λέγει οὐ ταύτην τὴν ψιλὴν καὶ παρὰ τοῖς πολλοῖς νομιζομένην, τὸ μὴ λιμῷ φθειρομένους περιιδεῖν τοὺς παῖδας· τοῦτο γὰρ οὐδὲ αὐτὴ τῆς φύσεως ἡ ἀνάγκη ἀφίησι παραμεληθῆναί ποτε· ὅθεν οὐδὲ προσταγμάτων ὑπὲρ τούτου χρεία καὶ νόμων, ἵνα τὰ ἔκγονα τρέφωσιν αἱ χῆραι· ἀλλὰ τὴν τῆς δικαιοσύνης ἐπιμέλειαν, τὴν ἀνατροφὴν τὴν μετ' εὐλαβείας ἐνταῦθά φησιν· ὡς αἵ γε μὴ οὕτω τρέφουσαι, παιδοκτόνοι μᾶλλόν εἰσιν ἢ μητέρες. Τοῦτο οὐ πρὸς γυναῖκας μόνον λέγω, ἀλλὰ καὶ πρὸς ἄνδρας. Καὶ γὰρ πολλοὶ πολλάκις τῶν πατέρων, ὅπως μὲν ἵππος γένοιτο καλὸς τῷ παιδὶ, καὶ ὅπως οἰκία λαμπρὰ, καὶ ὅπως πολυτελὴς ἀγρὸς, πάντα ποιοῦσι καὶ πραγματεύονται· ὅπως δὲ αὐτῷ ψυχὴ γένοιτο καλὴ καὶ προαίρεσις εὐσεβὴς, οὐδένα ἔχουσι λόγον. Καὶ τοῦτό ἐστιν, ὃ τὴν οἰκουμένην [317] ἀνατρέπει πᾶσαν, ὅτι τῶν οἰκείων ἀμελοῦμεν παίδων, καὶ τῶν μὲν κτημάτων αὐτῶν ἐπιμελούμεθα, τῆς δὲ ψυχῆς αὐτῶν καταφρονοῦμεν, ἐσχάτης ἀνοίας πρᾶγμα ὑπομένοντες. Τὰ μὲν γὰρ κτήματα κἂν πολλὰ ᾖ καὶ πολυτελῆ, τοῦ δυναμένου μετ' ἀρετῆς αὐτὰ οἰκονομεῖν οὐκ ὄντος σπουδαίου, πάντα ἀπολεῖται καὶ οἰχήσεται μετ' αὐτοῦ, καὶ βλάβην ἐσχάτην ἐνέγκοι[a] τῷ κεκτημένῳ· ἂν δὲ ἡ ψυχὴ γενναία γένηται καὶ φιλόσοφος, κἂν μηδὲν ἔνδον ἀποκείμενον ᾖ, τὰ πάντων δυνήσεται μετὰ ἀδείας συσχεῖν. Δεῖ τοίνυν σκοπεῖν, οὐχ ὅπως αὐτοὺς πλουσίους ἐν ἀργυρίῳ καὶ χρυσίῳ καὶ τοῖς τοιούτοις ποιήσωμεν, ἀλλ' ὅπως ἐν εὐλαβείᾳ καὶ φιλοσοφίᾳ καὶ κτήσει τῆς ἀρετῆς πάντων γένοιντ' ἂν εὐπορώτεροι· ὅπως μὴ πολλῶν δέοιντο, ὅπως μὴ περὶ τὰ βιωτικὰ καὶ τὰς νεωτερικὰς ἐπιθυμίας ὦσιν ἐπτοημένοι. Καὶ τὰς εἰσόδους αὐτῶν, καὶ τὰς ἐξόδους μετ' ἀκριβείας περιεργάζεσθαι χρὴ, τὰς διατριβὰς, τὰς συνουσίας, εἰδότας ὅτι τούτων ἀμελουμένων, οὐδεμίαν ἕξομεν παρὰ τῷ Θεῷ συγγνώμην. Εἰ γὰρ τῆς τῶν ἄλλων προνοίας ἀπαιτούμεθα τὰς εὐθύνας (*Ἕκαστος γὰρ μὴ τὸ ἑαυτοῦ ζητείτω,* φησὶν, *ἀλλὰ τὸ τοῦ πλησίον*), πόσῳ μᾶλλον τῆς τῶν παίδων; Οὐ κατῴκισά σοι, φησὶν, αὐτὸν ἐξ ἀρχῆς; ἐπέστησα δέ σε αὐτῷ διδάσκαλον καὶ προστάτην καὶ κηδεμόνα καὶ ἄρχοντα; τὴν ἐξουσίαν αὐτοῦ πᾶσαν φέρων εἰς τὰς σὰς ἐνέθηκα χεῖρας; Ἀπαλὸν ὄντα διαπλάττειν ἐκέλευσα, καὶ ῥυθμίζειν· ποίαν ἂν ἔχοις συγγνώμην, εἰ περιίδοις αὐτὸν ἀποσκιρτήσαντα; Τί γὰρ ἂν εἴποις; ὅτι δυσήνιός ἐστι καὶ τραχύς; Ἀλλ' ἐξ ἀρχῆς ἔδει ταῦτα προορῶντα, ὅτε εὐήνιος ἦν, καὶ κομιδῇ νέος, χαλινοῦν μετ' ἀκριβείας, ἐθίζειν πρὸς τὰ δέοντα, ῥυθμίζειν, κολάζειν αὐτοῦ τὰ νοσήματα τῆς ψυχῆς. Ὅτε εὐκολωτέρα ἡ ἐργασία, τότε τὰς ἀκάνθας ἐκτέμνειν ἔδει, ὅτε ἀπαλωτέρας οὔσης τῆς ἡλικίας εὐκολώτερον ἀνεσπῶντο, καὶ οὐκ ἂν ἀμελούμενα τὰ πάθη, καὶ αὐξανόμενα, δυσκατέργαστα γέγονε. Διὰ τοῦτό φησι, *Κάμψον ἐκ νεότητος τὸν τράχηλον αὐτοῦ,* ὅτε εὐκολωτέρα γένοιτ' ἂν ἡ παιδαγωγία. Οὐκ ἐπιτάττει δὲ μόνον, ἀλλὰ καὶ αὐτὸς συνεφάπτεταί σοι τοῦ ἔργου. Καὶ πῶς, καὶ τίνι τρόπῳ; *Ὁ κακολογῶν πατέρα ἢ μητέρα,* φησὶ, *θανάτῳ τελευτάτω.* Ὁρᾷς πόσον αὐτοῖς ἐπέστησε φόβον; πόσην ἐπετείχισεν ἀγωνίαν; πῶς δυνατήν σου τὴν ἀρχὴν ἐποίησε; Τίνα οὖν ἀπολογίαν ἔχοιμεν ἂν εἰπεῖν, ὅταν αὐτὸς μὲν, ἐπειδὰν ἡμεῖς ὑβριζώμεθα, μηδὲ τῆς ζωῆς αὐτῶν φείδηται· ἡμεῖς δὲ, ὑβριζομένου τοῦ Θεοῦ παρ' αὐτῶν, μηδὲ ἀγαναχτεῖν αὐτοῖς ὑπομένωμεν; Ἐγὼ, φησὶν, οὐδὲ ἀποκτεῖναι παραιτοῦμαι τὸν ὑβρίζοντά σε· σὺ δὲ οὐδὲ ῥήματι λυπεῖν ἀνέχῃ, φησὶ, τὸν τοὺς ἐμοὺς καταπατοῦντα νόμους. Καὶ ποῦ ταῦτα συγγνώμης ἄξια; Ὁρᾷς αὐτὸν ὑβρίζοντα εἰς τὸν πεποιηκότα, καὶ οὐ δυσχεραίνεις, εἰπέ μοι, οὐδὲ φοβεῖς καὶ ἐπιτιμᾷς, καὶ ταῦτα εἰδὼς, ὅτι καὶ τοῦτο αὐτὸς ὁ Θεὸς ἐκώλυσεν, οὐχ ἐπειδὴ βλάβη [318] τις εἰς ὑβριζόμενον γίνεται (ἀνώλεθρον γὰρ τὸ Θεῖον), ἀλλ' ὑπὲρ τῆς ἐκείνου σωτηρίας; Ὁ γὰρ περὶ τὸν Θεὸν ἀγνώμων γενόμενος καὶ ἀναίσθητος, πολλῷ μᾶλλον εἰς τὸν γεγεννηκότα, καὶ εἰς τὴν ἑαυτοῦ ψυχὴν ἐμπαροινῆσαι δυνήσεται.

η'. Μὴ τοίνυν ἀμελῶμεν, εἰδότες ὅτι τῶν κατὰ Θεὸν αὐτοῖς εὖ διακειμένων, καὶ κατὰ τὸν παρόντα βίον ἔσονται εὐδόκιμοι καὶ λαμπροί. Τὸν γὰρ ἀρετῇ συζῶντα καὶ ἐπιεικείᾳ πάντες αἰδοῦνται καὶ τιμῶσι, κἂν ἁπάντων πενέστερος ᾖ, ὥσπερ οὖν τὸν πονηρὸν καὶ διεστραμμένον ἀποστρέφουσι καὶ μισοῦσιν ἅπαντες, κἂν εὐπορίαν ᾖ κεκτημένος πολλήν. Οὐ τοῖς ἄλλοις δὲ μόνον ἀνθρώποις ἔσται αἰδέσιμος, ἀλλὰ καὶ σοὶ τῷ γεγεννηκότι ποθεινότερος, πλὴν τῆς φύσεως οὐκ ἐλάττονα ἑτέραν ὑπόθεσιν ἔχων πρὸς τὸ φιλεῖσθαι τὴν ἀρετήν· οὐ ποθεινότερος δὲ μόνον, ἀλλὰ καὶ χρησιμώτερος ἔσται σοι θεραπεύων, δουλεύων, γηροκομῶν. Ὥσπερ γὰρ οἱ περὶ τὸν Θεὸν ἀγνώμονες καὶ τῶν γεγεννηκότων καταφρονοῦσιν· οὕτως οἱ τὸν πεποιηκότα θεραπεύοντες, ἐν πολλῇ καὶ τοὺς γεγεννηκότας ἔχουσι τῇ τιμῇ. Ἵνα οὖν καὶ παρὰ Θεῷ, καὶ παρὰ ἀνθρώποις εὐδοκιμῇ, καί σοι τὴν ζωὴν ἡδεῖαν ποιῇ, καὶ τῆς μελλούσης ἀπαλλάττῃ κολάσεως, πᾶσαν ἐπιδείκνυσο περὶ αὐτὸν τὴν σπουδήν. Ὅτι γὰρ οἱ τῶν παίδων ἀμελοῦντες, κἂν τἆλλα ὦσιν ἐπιεικεῖς καὶ μέτριοι, διὰ ταύτην τὴν ἁμαρτίαν τὴν ἐσχάτην ὑποστήσονται δίκην, ἱστορίαν σοί τινα διηγήσομαι παλαιάν.

Ἱερεύς τις ἦν παρὰ τοῖς Ἰουδαίοις ἐπιεικὴς τἆλλα καὶ μέτριος, Ἠλεῖ τῷ ὀνόματι. Ἦν οὖν οὗτος; Ἠλεῖ δύο παῖδας ἔχων εἰς ἔσχατον πονηρίας ἐληλακότας· οὐ κατεῖχε δὲ, οὐδὲ ἐκώλυε· μᾶλλον δὲ κατεῖχε μὲν καὶ ἐκώλυεν, οὐ μετὰ τῆς προσηκούσης δὲ ἀκριβείας καὶ σφοδρότητος. Δέον γὰρ μαστιγῶσαι, τῆς πατρῴας ἐκβαλεῖν οἰκίας, πάντα ἐπιδείξασθαι διορθώσεως τρόπον, παρῄνει καὶ συνεβούλευε μόνον, οὕτω λέγων· *Μὴ, τέκνα, μὴ ποιεῖτε οὕτως· ὅτι οὐκ ἀγαθὴ ἡ ἀκοὴ, ἣν ἐγὼ ἀκούω περὶ ὑμῶν.* Τί λέγεις; τὸν Δεσπότην ὕβρισαν, καὶ τέκνα καλεῖς; τὸν Δεσπότην ὕβρισαν, καὶ σὺ ἐπιγινώσκεις αὐτῶν τὴν συγγένειαν; Διὰ τοῦτό φησιν, ὅτι οὐκ ἐνουθέτει αὐτούς· νουθεσία γάρ ἐστιν, οὐκ ἐὰν ἁπλῶς συμβουλεύσωμεν, ἀλλ' ἐὰν σφοδρότερον καὶ τομώ-

[a] Cod. 719 μετὰ τοῦ καὶ βλ. ἐ. ἐνεγκεῖν.

τερον καὶ ὅσην ἡ τοῦ τραύματος ἀπαιτεῖ σηπεδών, τοσαύτην ἐπαγάγωμεν τὴν πληγήν. Οὐ τοίνυν ἀρκεῖ τὸ εἰπεῖν, οὐδὲ τὸ παραινέσαι μόνον, ἀλλὰ καὶ πολὺν ἐπιτειχίσαι δεῖ τὸν φόβον, ὥστε τὴν τῆς νεότητος περικόψαι ῥᾳθυμίαν. Ἐπεὶ οὖν παρῆνει μὲν, οὐ παρῆνει δὲ ὡς ἔδει, τοῖς πολεμίοις αὐτοὺς ἐξέδωκε, καὶ μάχης γενομένης, ἔπεσον ἐπὶ τῆς παρατάξεως, καὶ τὴν ἀγγελίαν οὐκ ἐνεγκών, πεσὼν συνετρίβη καὶ αὐτὸς καὶ ἀπέθανεν. Ὁρᾷς ὅτι δικαίως εἶπον, ὅτι καὶ παιδοκτόνοι οἱ πατέρες εἰσὶν, οἱ μὴ σφοδρῶς τοῖς αὐτῶν κεχρημένοι παισὶ ῥᾳθυμοῦσι, μηδὲ τὴν κατὰ Θεὸν ἀπαιτοῦντες αὐτοὺς εὐλάβειαν; Οὕτω γοῦν ὁ Ἠλεῖ παιδοκτόνος ἐγένετο. Εἰ γὰρ οἱ πολέμιοι κατέσφαξαν αὐτοῦ τοὺς υἱοὺς, ἀλλὰ τῆς σφαγῆς οὗτος αἴτιος ἐγένετο, διὰ τῆς περὶ αὐτοὺς ῥᾳθυμίας ἀποστήσας [319] τοῦ Θεοῦ τὴν βοήθειαν, καὶ γυμνοὺς καὶ ἐρήμους δείξας τοῖς βουλομένοις αὐτοὺς ἀνελεῖν. Οὐκ ἐκείνους δὲ μόνον, ἀλλὰ καὶ ἑαυτὸν προσαπώλεσε.

θ'. Τοῦτο δὴ πολλοὶ καὶ τῶν νῦν πατέρων πάσχουσιν· οὐ βουλόμενοι μαστίξαι, οὐδὲ ἐπιτιμῆσαι ῥήμασιν, οὐδὲ λυπῆσαι τοὺς ἑαυτῶν υἱοὺς ἀτάκτως ζῶντας καὶ παρανόμως, πολλάκις εἶδον ἐπὶ τοῖς ἐσχάτοις ἁλόντας, εἰς δικαστήριον ἁρπαγέντας, ὑπὸ δημίων ἀποτμηθέντας. Ὅταν γὰρ σὺ μὴ παιδεύσῃς, ὅταν σὺ μὴ σωφρονίσῃς, μιαροῖς ἀνθρώποις καὶ διεφθαρμένοις σαυτὸν ἀναμίξας, καὶ κοινωνήσας τῆς πονηρίας αὐτοῖς, ὑπὸ τοῖς κοινοῖς ἄγονται νόμοις καὶ κολάζονται πάντων ὁρώντων· καὶ μετὰ τῆς συμφορᾶς μείζων ἡ αἰσχύνη γίνεται, δακτυλοδεικτούντων ἁπάντων τὸν πατέρα μετὰ τὴν ἐκείνου τελευτήν, καὶ ἄβατον αὐτῷ ποιούντων τὴν ἀγοράν. Ποίοις γὰρ ὀφθαλμοῖς ἀντιβλέψαι δυνήσεται τοῖς ἁπαντῶσιν αὐτῷ μετὰ τὴν τοιαύτην τοῦ παιδὸς ἀσχημοσύνην καὶ συμφοράν; Διὸ δέομαι καὶ ἀντιβολῶ πολλὴν τῶν οἰκείων παίδων ποιεῖσθαι τὴν πρόνοιαν, καὶ πανταχοῦ τὴν σωτηρίαν ζητεῖν αὐτῶν τῆς ψυχῆς. Διδάσκαλος εἰ τῆς οἰκίας ἁπάσης, καὶ τὴν γυναῖκα καὶ τοὺς υἱούς σοι παραπέμπει συνεχῶς ὁ Θεός. Καὶ νῦν μέν φησιν ὁ Παῦλος περὶ τῶν γυναικῶν· *Εἰ δέ τι μανθάνειν θέλουσιν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν*· νῦν δὲ περὶ τῶν παίδων, *Ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου*. Νόμισον ἀγάλματα χρυσᾶ ἔχειν ἐπὶ τῆς οἰκίας, τὰ παιδία· καθ' ἑκάστην ἡμέραν αὐτὰ ῥύθμιζε καὶ περισκόπει μετὰ ἀκριβείας, καὶ παντὶ τρόπῳ τὴν ψυχὴν αὐτῶν κατακόσμει καὶ διάπλαττε· μίμησαι τὸν μακάριον Ἰὼβ, ὃς καὶ ὑπὲρ τῶν κατὰ διάνοιαν αὐτοῖς πλημμελουμένων δεδοικὼς, προσέφερεν ὑπὲρ αὐτῶν θυσίας, καὶ πολλὴν αὐτῶν ἐποιεῖτο τὴν πρόνοιαν. Μίμησαι τὸν Ἀβραάμ· καὶ γὰρ ἐκεῖνος οὐχ ὑπὲρ χρημάτων καὶ κτημάτων ἐσπούδαζεν, ἀλλ' ὑπὲρ τῶν θείων νόμων, ὅπως αὐτῶν τὴν φυλακὴν τοῖς ἐκγόνοις μετὰ ἀκριβείας παρακαταθοῖτο. Καὶ μαρτυρεῖ ταύτην αὐτοῦ τὴν ἀρετὴν ὁ Θεὸς οὕτω λέγων· *Ἤδειν γάρ, ὅτι συντάξει Ἀβραὰμ τοῖς παισὶν αὐτοῦ τὰ κρίματα καὶ τὰ δικαιώματα*. Καὶ ὁ Δαυὶδ δὲ, ἡνίκα ἐτελεύτα, ἀντὶ μεγάλης κληρονομίας καλέσας τὸν υἱὸν τὸν ἑαυτοῦ, ταῦτα παρῄγγυα καὶ συνεχῶς ἔλεγεν· ὅτι Εἰ βουληθείης, παιδίον, κατὰ τοὺς τοῦ Θεοῦ νόμους ζῆν, οὐδὲν ἐμπεσεῖται τῶν ἀδοκήτων, ἀλλὰ πάντα σοι κατὰ ῥοῦν ἥξει τὰ πράγματα, καὶ πολλῆς ἀπολαύσῃ τῆς ἀσφαλείας· ἂν δὲ ἐκείνης ἐκπέσῃς τῆς βοηθείας οὐδὲν ὄφελός σοι τῆς βασιλείας καὶ τῆς πολλῆς ταύτης δυνάμεως. Ταῦτα καὶ τοιαῦτα ἔλεγεν, εἰ καὶ μὴ τοῖς ῥήμασι τούτοις.

ι'. Ταῦτα καὶ ἡμεῖς, καὶ ζῶντες, καὶ μέλλοντες τελευτᾷν, πρὸς τοὺς παῖδας τοὺς ἑαυτῶν διαλεγώμεθα, καὶ πείθωμεν αὐτοὺς, ὅτι μέγας πλοῦτος, καὶ κληρονομία ἀδιάπτωτος, καὶ θησαυρὸς ἀνεπηρέαστος ὁ τοῦ Θεοῦ φόβος ἐστί· καὶ σπουδάζωμεν μὴ χρήματα αὐτοῖς καταλιμπάνειν τὰ ἀπολλύμενα, ἀλλὰ εὐσέβειαν τὴν μένουσαν καὶ μὴ δαπανωμένην. Εὐσεβείας μὲν γὰρ οὐκ οὔσης καὶ τὰ ὄντα ἀπόλλυται χρήματα μετὰ κινδύνων καὶ τῆς ἐσχάτης αἰσχύνης· ταύτης δὲ παρούσης καὶ τὰ οὐκ ὄντα προσγίνεται. Ἐὰν ἀναθρέψῃς [320] σὺ καλῶς τὸ παιδίον, οὕτω κἀκεῖνος τὸν υἱὸν τὸν ἑαυτοῦ, καὶ οὗτος τὸν υἱόν· καὶ καθάπερ σειρά τις καὶ ἀκολουθία πολιτείας ἀρίστης μέχρι παντὸς βαδιεῖται, παρὰ σοῦ λαβοῦσα τὴν ἀρχὴν καὶ τὴν ῥίζαν, καὶ τῆς τῶν ἐγγόνων ἐπιμελείας σοι φέρουσα τοὺς καρπούς. Εἰ μετὰ ἀκριβείας οἱ πατέρες τοὺς ἑαυτῶν ἐπαίδευον παῖδας, οὐ νόμων, οὐ δικαστηρίων ἔδει, οὐ τιμωριῶν καὶ κολάσεων καὶ τῶν δημοσίων φόνων[a]. *Δικαίῳ* γάρ, φησὶ, *νόμος οὐ κεῖται*. Ἐπειδὴ δὲ καταμελοῦμεν αὐτῶν, διὰ τοῦτο μείζοσιν αὐτοὺς περιβάλλομεν κακοῖς, καὶ ταῖς τῶν δημίων ἐκδίδομεν χερσὶ, καὶ εἰς τὰ βάραθρα συνεχῶς ὠθοῦμεν· *Ὁ γὰρ περιψύχων τὸν υἱὸν τὸν ἑαυτοῦ, καταδεσμεύσει τὰ τραύματα αὐτοῦ*, φησί. Τί ἐστιν *Ὁ περιψύχων*; Ὁ ἐλεῶν, ὁ κολακεύων, ὁ θεραπεύων ὑπὲρ τὸ μέτρον. Σφοδρότητος γὰρ οὗτος καὶ ἐπιμελείας δεῖται καὶ φόβων. Ταῦτα λέγω οὐχ ἵνα λίαν[b] τραχεῖς ὦμεν τοῖς παισὶν, ἀλλ' ἵνα μὴ εὐκαταφρόνητοι πρὸς αὐτοὺς φαινώμεθα. Εἰ γὰρ γυνὴ τὸν ἄνδρα φοβεῖσθαι ὀφείλει, πολλῷ μᾶλλον τὸ παιδίον τὸν πατέρα. Καὶ μή μοι λέγε, ὅτι ἀδύνατον περιγενέσθαι τῆς νεότητος. Εἰ γὰρ χήραν γυναῖκα ἀπαιτεῖ τὴν πρόνοιαν ταύτην ὁ Παῦλος, πολλῷ μᾶλλον τοὺς ἄνδρας· εἰ ἀδύνατον ἦν, οὐκ ἂν ἐπέταξεν. Ἀλλ' ἡ πᾶσα πονηρία παρὰ τὴν ἡμετέραν γίνεται ῥᾳθυμίαν, καὶ τὸ μὴ ἐξ ἀρχῆς, μηδὲ ἐκ πρώτης ἡλικίας εἰς εὐλάβειαν ἐνάγειν αὐτούς. Ἀλλ' ὅπως μὲν τῆς ἔξωθεν μετάσχοιεν παιδεύσεως, καὶ εἰς στρατείαν τελέσαιεν, σπουδάζομεν, καὶ χρήματα καταβάλλομεν, καὶ φίλους ἀξιοῦμεν, καὶ πολλαῖς κεχρήμεθα ταῖς περιδρομαῖς· ὅπως δὲ εὐδοκιμήσαιεν παρὰ τῷ βασιλεῖ τῶν ἀγγέλων, οὐδένα ποιούμεθα λόγον. Καὶ εἰς θεάματα μὲν συνεχῶς συγχωροῦμεν ἀναβαίνειν, εἰς ἐκκλησίαν δὲ οὐκ ἀναγκάζομεν οὐδέποτε· ἀλλὰ κἂν ἅπαξ ἢ δεύτερον παραγένηται τὸ παιδίον, ἁπλῶς καὶ εἰκῇ καὶ μάτην καὶ ψυχαγωγίας ἕνεκεν ἐνταῦθα παραγίνεται. Οὐκ ἐχρῆν δὲ οὕτως· ἀλλ' ὥσπερ εἰς διδασκαλεῖον πέμποντες τῶν μαθημάτων ἀπαιτοῦμεν τὰς εὐθύνας, οὕτω καὶ εἰς ἐκκλησίαν πέμποντες, μᾶλλον δὲ ἄγοντες. Οὐ γὰρ ἑτέροις αὐτοὺς ἐπιτρέπειν, ἀλλ' αὐτοὺς κατέχοντας ἐνταῦθα εἰσιέναι ἐχρῆν, καὶ τῆς ἐνταῦθα ἀκροάσεως καὶ διδασκαλίας τὴν μνήμην ἀπαιτεῖν ἔδει. Οὕτω γὰρ, οὕτω ῥᾴων ἐγίνετο καὶ εὔκολος ἡμῖν ἡ τῶν παίδων διόρθωσις· εἰ γὰρ καὶ ἐν τῇ οἰκίᾳ διαπαντὸς ἦκουον ὑμῶν διαλεγομένων περὶ φιλοσοφίας, καὶ συμβουλευόντων αὐτοῖς τὰ δέοντα, καὶ τὰ ἐνταῦθα αὐτοῖς προσετίθετο μετ' ἐκείνων, καὶ ταχέως ἂν τῶν καλῶν τούτων σπερμάτων γενναῖον ἡμῖν ἐπεδείξαντο καρπόν. Ἀλλ' οὐδὲν τούτων ποιοῦμεν, ἀλλὰ πάρεργα ἡμῖν τὰ ἀναγκαῖα· κἂν παραινέσῃ

[a] Omnes mss. φόβων, editi φόνων.
[b] Duo mss. λιμῷ.

mus, sed vehementius et acrius, et si quantam vulneris requirit ulcus, tantam plagam infligamus. Non ergo sufficit si solum dicamus, sed et multum incutere timorem oportet, ut juventutis desidiam excutias. Quoniam igitur hortabatur ille quidem, sed non ut oportuit hortabatur, hostibus illos exposuit, et exorto prælio ceciderunt in acie, cumque nuntium ferre non posset, cadens et ipse confractus est et interiit. Vides merito dictum a me fuisse, liberorum esse parricidas, qui negligentes liberos acriter non castigant, neque ab illis debitum Deo cultum exigunt? Sic nimirum Heli factus est parricida. Licet enim filios ejus hostes occiderint, ille tamen auctor cædis fuit, quod sua circa illos negligentia Dei auxilium ab illis averterit, et nudos ac desertos iis, qui necare vellent, objecerit. Neque vero solum illos, sed et seipsum cum illis interemit.

9. *Pater indulgens parricida est.* — Idipsum nunc quoque plurimis patribus evenit : quia verberare noluerunt, nec verbis castigare, neque contristare liberos inordinate atque inique viventes, sæpenumero in gravissimis illos criminibus deprehensos, in judicium abreptos, a carnificibus capite truncari viderunt. Cum enim tu eos non castiges, cum tu non corrigas, et sceleratis ac perditis hominibus te ipsum admisceas, et in consortium nequitiæ cum illis venias, ex communibus legibus in eos agitur, et in omnium conspectu puniuntur : ac major cum calamitate fit ignominia, dum patrem illum digito monstrant omnes post illius obitum, et illi fori aditum intercludunt. Quibus enim oculis poterit occurrentes sibi post tantam infamiam et calamitatem filii contueri? Quocirca precor et obsecro multam liberorum curam geramus, et ubique salutem illorum animæ quæramus. Magister et doctor es universæ domus tuæ, tibique uxorem et filios perpetuo docendos committit Deus. Et nunc quidem ait Paulus de uxoribus : *Si quid autem volunt discere, domi viros suos interrogent* (1. *Cor.* 14. 35); nunc vero de liberis, *Educate illos in disciplina et correptione Domini* (*Ephes.* 6. 4). Statuas aureas in ædibus habere te existima liberos; singulis diebus eos informa, et diligenter considera, omnique ratione illorum animam exorna et institue : imitare beatum Job, qui timens ob ea quæ ipsi mente peccassent, sacrificia pro ipsis offerebat, ac multum de illis erat sollicitus (*Job* 1. 5). Imitare Abraham : nam et ille pecuniarum et possessionum haud studiosus erat, sed divinarum legum, ut illarum observationem posteris suis exacte commendaret. Quam ejus virtutem testimonio suo declarat Deus in hæc verba : *Scio enim, quia constituet Abraham filiis suis judicia et justificationes* (*Gen.* 18. 19). David quoque, dum moreretur, magnæ hereditatis loco vocato filio suo mandabat, ac frequenter dicebat : Si volueris, fili, ex legum Dei præscripto vivere, nullum inopinatum malum te opprimet, sed omnia prospere tibi succedent, ac multa securitate potieris : sin autem ab illo auxilio excidas, nihil tibi regnum et multa hæc potentia proderit. Hæc et talia dicebat, etsi non istis plane verbis.

10. *Quomodo pueri docendi; fructus bonæ aut malæ educationis liberorum; negligentia parentum.* Hæc etiam nos et dum vivimus, et cum morituri sumus, liberis nostris dicamus, eisque persuadeamus magnas esse divitias et stabilem hereditatem, thesaurumque nullis obnoxium damnis timorem Dei; ac studeamus illis non pecunias quæ pereunt relinquere, sed pietatem quæ permanet, nec umquam absumitur. Si enim pietas non adsit, pereunt pecuniæ quæ suppetunt, cum periculo et ignominia summa : ea vero si adsit, etiam ea quæ non suppetunt, acquiruntur. Si tu filium tuum recte educaveris, ita suum filium ille, et alter suum; ac veluti catena quædam et series optimæ conversationis ad omnes usque perveniet, a te ducto initio et radice, unde tibi ob susceptam filiorum curam fructus nascentur. Si parentes liberos suos diligenter erudirent, non legibus, non judiciis opus foret, non pœnis ac suppliciis, et cædibus publicis : siquidem *Justo*, inquit ille, *lex non est posita* (1. *Tim.* 1. 9). Quoniam autem illorum curam non gerimus, ideirco majoribus illos malis involvimus, et carnificum illos manibus dedimus, atque in barathra frequenter impellimus. *Qui enim refrigerat filium*, inquit, *colligabit vulnera ejus* (*Eccli.* 30. 7). Quid est *Qui refrigerat?* Qui miseretur, qui adulatur, qui blanditur ultra modum. Is enim severitate curaque indiget ac metu. Hæc autem non eo dico, ut nimis asperi liberis simus, sed ne despicatui ab illis habeamur. Si enim uxor virum suum metuere debet, multo magis filius patrem. Neque mihi dicas domari non posse juventutem. Nam si a muliere vidua curam ejusmodi requirit Paulus, multo magis a viris : si fieri id non posset, non imperasset. Verum omnis improbitas ex negligentia nostra oritur, et quod non a principio, neque a primæva ætate ad pietatem ipsos informaverimus. Sed ut profanis quidem imbuantur disciplinis, et in castrorum numeros allegantur, operam damus, et pecunias numeramus, et amicos obsecramus, huc illuc frequenter discurrimus : ut autem apud angelorum Regem in existimatione sint, non admodum laboramus. Atque ad spectacula quidem frequenter ascendere solemus, ad ecclesiam autem numquam venire compellimus : sed si semel aut iterum puerulus huc adveniat, temere, frustra et incassum atque animi causa huc advenit. At non ita fieri oportuit : sed quemadmodum cum ad scholas mittimus, disciplinarum ab illis rationem exigimus, ita cum ad ecclesiam mittimus, vel potius ducimus. Non enim aliis eos committere, a vobis ductos huc oportet intrare, et eorum quæ hic audiverint, et quæ didicerint, memoria reposcenda est. Sic enim fieret ut a nobis facile ac nullo negotio ad meliorem frugem liberi revocarentur. Nam si et domi perpetuo nos de philosophia loquentes audirent, et quod opus facto esset consulentes, et cum illis adjungerentur quæ hoc loco dicuntur, et quamprimum istorum seminum uberem nobis fructum producerent. At nos nihil horum præstamus, sed ea quæ nostra intersunt maxime, perfunctorie curamus : quod si de his cohortetur aliquis,

statim irridetur; atque hinc fit, ut omnia susque deque vertantur, quoûque parentes non castigant, leges externæ castigent.

11. An non te pudet, quæso, nec erubescis, cum filium tuum judex punit, et temperantiorem reddit, quod ille correctione externa indigeat, qui tanto tempore in contubernio tuo vixit? non te abscondis et occultas? An vero tu omnino, dic, quæso, pater illius audes vocari, qui filium ita prodideris, neque necessario illum præsidio munieris, sed ab omni siveris improbitate vitiari? Ac si quempiam quidem fugitivum videas puerulo alapas impingentem, indignaris, irasceris, et fera crudelius in faciem involas ejus, a quo percutitur: cum vero diabolum quotidie videas alapas illi impingere, dæmones ad peccata pellicere, dormis, neque indignaris, neque ex faucibus sævissimæ belluæ filium eripis? Rursus a dæmone si correptum videas, ad omnes sanctos curris, et eos qui cacumina montium incolunt interpellas, ut illum ejusmodi furore liberent: cum autem a peccato semper vexetur, quod dæmone quovis asperius est, nihil tamen te commovet?

Peccator dæmoniaco miserior. — At a dæmone quidem vexari, nihil grave est: neque enim ullo modo potest dæmonium in gehennam præcipitem agere; sed si attenti simus ac vigiles, ubi cum gratiarum actione contumelias ejusmodi tulerimus, etiam coronas nobis insignes et illustres illa tentatio comparabit; eum vero qui peccatis vivat addictus, impossibile est umquam salvum fieri, sed plane necesse est et hic ignominiosum esse, et defunctum rursus illic immortali supplicio puniri. Verumtamen licet hæc sciamus, multum quidem studii in ea quæ sunt minora conferimus: at cum de majoribus agitur, nolumus excitari: dumque correptum a dæmone cernimus, lugemus: dum autem peccantem cernimus, ne percipimus quidem, cum plangere oporteret ac deflere: vel potius non deflere solum, sed et cohibere ac refrenare, consulere, cohortari, timorem incutere, reprehendere, omni medelæ genere morbum illum abigere, ac viduam istam imitari, de qua Paulus ait, *Si filios educavit* (1. *Tim.* 5. 10). Neque enim ad illam tantum, sed ad omnes quoque sermonem hunc dirigit, omnesque cohortatur, dicens, *Educate filios in correptione Domini* (*Ephes.* 6. 4). Nam primum hoc quidem est, et maximum bonum, quod utique primum a vidua exegit; deinde post istud ait: *Si hospitio recepit.* Quid, quæso, dicis? A muliere vidua requiris, ut hospitio recipiat? Non hoc sufficit, ut liberos nutriat? Nequaquam, inquit; sed hoc quoque adjiciatur necesse est, et dum domesticis præest, etiam alienorum curam gerat, ac peregrinis domum aperiat. Vita functus est maritus; omnem operam quam olim in illum, in peregrinos impende. Quid ergo, si paupercula sit, dicet aliquis? Non est ulla pauperior illa vidua, quæ modico illo farinæ, atque olei lecytho magnum prophetam Heliam excepit (3. *Reg.* 17). Nam illi erant liberi: sed neque rei familiaris egestas, nec violentia famis, neque mors imminens, neque liberorum cura, nec viduitas, nec aliud quidquam hospitali mulieri obstaculo fuit.

12. Sic ubique non facultatum mensura, sed animi affectusque mensura quæritur. Qui magnanimus est et mente dives, licet pecunia sit omnium pauperrimus, et hospitalitate, et eleemosyna, et omni reliquo genere liberalitatis omnes poterit superare: qui vero parcus est ac mente pauper, atque humi serpit, sit licet omnium locupletissimus, omnium pauperrimus est et egentissimus; idcirco talia cuncta detrectat et refugit. Et quemadmodum in paupere nullum potest paupertas ad eleemosynam impedimentum afferre, propter mentis opulentiam: sic nec divitem possunt opes juvare ad liberalitatem exercendam præ nimia mentis egestate. Nec longe erunt exempla petenda: siquidem vidua modico farinæ prophetam excepit: Achaab autem, qui tot divitias possidebat, etiam aliena concupivit (3. *Reg.* c. 17. *et* c. 21). Ita non pecuniarum divitiæ, sed mentis divitiæ facilitatem nobis ad eleemosynam præbent: quandoquidem illa etiam vidua duobus obolis innumeros divites superavit, nec paupertas impedimentum objecit (*Luc.* 21. 2-4). Imo hæc ipsa paupertas eleemosynam majorem effecit: quod utique Paulus his verbis expressit: *Altissima paupertas abundavit in divitias simplicitatis eorum* (2. *Cor.* 8. 2). Non enim hoc considerandum est duos illam obolos erogasse, sed quod cum hos solos haberet, illis minime pepercerit, sed totam substantiam suam contulerit, laudare illam oportet ac mirari. Non igitur opibus, sed animi alacritate nobis est opus, quando excipiendi sunt hospites. Nam quemadmodum si hæc adsit, nihil nocere potest paupertas: sic si hæc absit, nihil proderit opulentia. Quid ais? Curam liberorum gerit vidua, et idcirco peregrinos fovere non potest? Imo vero hanc eamdem ob causam facilius id præstare poterit, cum in consortium officiorum exhibendorum filios poscit adsciscere, qui simul juvent, et cum illa præclarum illud opus exsequantur. Itaque non impedimentum, sed auxilium hospitalitatis erit multitudo liberorum, et multorum manus operi admotæ magnam afferent ministerio facilitatem. Noli enim mihi sumptuosam mensam commemorare: si peregrinum tecto exceperit, si quæ suppetebant apposuerit, si multam humanitatem et comitatem exhibuerit, mercedem omnem hospitalitatis promeruit. Nam si solus aquæ frigidæ calix regnum cælorum conciliat (*Matth.* 10. 42), suo tecto excipere, mensæ participem adsciscere, ac reficere, quantum, quæso, fructum pariet? Ac vide, quam accurate rem Paulus exponat. Non enim simpliciter hoc loco hospitalitatem exigit, sed eam quæ cum animi promptitudine, fervida mente, atque ardenti affectu exhibetur. Cum enim dixisset, *Si hospitio excepit*, adjecit, *Si sanctorum pedes lavit.* Non illam cum fastu sedentem oportet obsequium erga peregrinum ancillis demandare, sed ipsam operi manum admovere, fructumque sibi arripere, nec ulli præclarum illum thesaurum cedere. Sed qui fieri poterit istud, dicet aliquis? si enim sit nobilis et illustris, ac celebris, et claris orta majoribus, an ipsa peregrini pedes

εις περὶ τούτων, γέλως εὐθέως· καὶ διὰ τοῦτο τὰ ἄνω κάτω γεγένηται, καὶ οὓς οὐ παιδεύουσιν οἱ γονεῖς, οἱ ἔξωθεν παιδεύουσι νόμοι.

ια'. Οὐκ αἰσχύνῃ καὶ ἐρυθριᾷς, εἰπέ μοι, ὅταν τὸν υἱὸν τὸν σὸν ὁ δικαστὴς κολάσῃ καὶ σωφρονέστερον ποιήσῃ, καὶ τῆς ἔξωθεν ἐκεῖνος δέηται διορθώσεως, τοσοῦτον [321] ἐξ ἀρχῆς σοι συνοικήσας χρόνον; οὐκ ἐγκαλύπτῃ καὶ καταδύῃ; Τολμᾷς δὲ ὅλως, εἰπέ μοι, πατὴρ ἔτι καλεῖσθαι, οὕτω προδοὺς τὸν υἱὸν, καὶ τὴν ἀναγκαίαν οὐκ εἰσενεγκὼν αὐτῷ φορὰν, ἀλλὰ περιιδὼν ὑπὸ πάσης διαφθαρέντα κακίας; Κἂν μὲν δραπέτην τινὰ ἴδῃς [a] ῥαπίζοντα τὸ παιδίον, ἀγαναχτεῖς καὶ ὀργίζῃ καὶ δυσχεραίνεις, θηρίου χαλεπώτερον ἐπιπηδήσας τῇ τοῦ τυπτήσαντος ὄψει· τὸν δὲ διάβολον καθ' ἑκάστην ἡμέραν ὁρῶν αὐτὸν ῥαπίζοντα, δαίμονας εἰς ἁμαρτήματα ἐνάγοντας, καθεύδεις καὶ οὐκ ἀγαναχτεῖς, οὐδὲ ἐξαρπάζεις τοῦ χαλεπωτάτου θηρίου τὸν υἱόν; Πάλιν ἂν μὲν ὑπὸ δαίμονος ἐνεργῆται, πρὸς πάντας τοὺς ἁγίους τρέχεις, καὶ τοὺς ἐν ταῖς κορυφαῖς τῶν ὀρέων ἐνοχλεῖς, ὥστε αὐτὸν τῆς μανίας ἀπαλλάξαι ἐκείνης· ἁμαρτίας δὲ, ἣ παντὸς δαίμονός ἐστι χαλεπωτέρα, συνεχῶς ἐνοχλούσης, οὐδὲν πλέον ποιεῖς;

Καὶ τὸ μὲν παρὰ δαίμονος ἐνοχλεῖσθαι χαλεπὸν οὐδέν· οὐ γὰρ εἰς γέενναν ἐμβαλεῖν τὸ δαιμόνιον δύναται πάντως, ἀλλ' ἐὰν νήφωμεν, καὶ στεφάνους ἡμῖν ὁ πειρασμὸς οὗτος οἴσει λαμπροὺς καὶ περιφανεῖς, ὅταν εὐχαρίστως φέρωμεν τὰς τοιαύτας ἐπηρείας· τὸν δὲ ἁμαρτίᾳ συζῶντα ἀμήχανον σωθῆναί ποτε, ἀλλ' ἀνάγκη πάντως καὶ ἐνταῦθα ἐπονείδιστον εἶναι, καὶ ἀπελθόντα ἐκεῖ ἀθάνατα πάλιν κολάζεσθαι. Ἀλλ' ὅμως ταῦτα εἰδότες, ὑπὲρ μὲν τῶν ἐλαττόνων πολλὴν ποιούμεθα σπουδὴν, ὑπὲρ δὲ τῶν μειζόνων οὐδὲ διαναστῆναι βουλόμεθα· καὶ δαιμονῶντα μὲν ὁρῶντες θρηνοῦμεν, ἁμαρτάνοντα δὲ ὁρῶντες οὐδὲ αἰσθανόμεθα· δέον τότε κατακόπτεσθαι καὶ ὀδύρεσθαι, μᾶλλον δὲ οὐχ ὀδύρεσθαι μόνον, ἀλλὰ καὶ κατέχειν καὶ χαλινοῦν, συμβουλεύειν, παραινεῖν, φοβεῖν, ἐπιτιμᾷν, παντὶ τρόπῳ θεραπείας τὴν ἀῤῥωστίαν ἀπελαύνειν ἐκείνην, καὶ τὴν χήραν μιμεῖσθαι ταύτην, περὶ ἧς ὁ Παῦλός φησιν· *Εἰ ἐτεκνοτρόφησεν.* Οὐ γὰρ πρὸς ἐκείνην μόνον, ἀλλὰ καὶ πρὸς ἅπαντας τοῦτον ἀποτείνει τὸν λόγον, καὶ πᾶσι παραινεῖ λέγων, *Ἐκτρέφετε τὰ παιδία ἐν νουθεσίᾳ Κυρίου.* Πρῶτον γὰρ τοῦτο καὶ μέγιστόν ἐστι τῶν ἀγαθῶν· ὅπερ οὖν καὶ παρὰ τῆς χήρας πρῶτον ἀπῄτησεν· εἶτα μετὰ τοῦτό φησιν, *Εἰ ἐξενοδόχησε.* Τί λέγεις, εἰπέ μοι; χήραν γυναῖκα ξενοδοχίαν ἀπαιτεῖς; οὐ γὰρ ἀρκεῖ τὸ θρέψαι παιδία; Οὐχὶ, φησίν· ἀλλὰ δεῖ καὶ τοῦτο προσεῖναι, καὶ μετὰ τὴν τῶν οἰκείων προστασίαν, καὶ τῶν ἀλλοτρίων ἔχειν πρόνοιαν χρὴ, καὶ τὴν οἰκίαν ἀνοῖξαι τοῖς ξένοις. Ἀπῆλθεν ὁ ἀνὴρ· πᾶσαν τὴν περὶ ἐκεῖνον σπουδὴν περὶ τοὺς ξένους ἀνάλωσον. Τί οὖν, φησὶν, εἰ πένης εἴη; Οὐκ ἔστιν ἐκείνης τῆς χήρας πενεστέρα τῆς ἐν ἀλεύρῳ μικρῷ καὶ ἐλαίου κυάθῳ τὸν μέγαν προφήτην ὑποδεξαμένης τὸν Ἠλίαν. Καὶ γὰρ καὶ ἐκεῖ παιδία παρῆν· ἀλλ' οὔτε ἡ σπάνις τῶν ὄντων, οὔτε ἡ τοῦ λιμοῦ τυραννὶς, οὔτε ὁ προσδοκώμενος θάνατος, οὐχ ἡ τῶν παιδίων φροντὶς, οὐχ ἡ χηρεία, οὐκ ἄλλο οὐδὲν ἐγένετο κώλυμα τῇ φιλοξένῳ γυναικί.

ιβ'. Οὕτω πανταχοῦ οὐ μέτρα οὐσίας, ἀλλὰ μέτρα διανοίας ζητεῖται. Ὁ μεγαλόψυχος καὶ τῇ διανοίᾳ [322] πλούσιος, κἂν ἁπάντων ἀνθρώπων πενέστερος ἐν χρήμασιν ᾖ, πάντας ὑπερβῆναι δυνήσεται καὶ φιλοξενίᾳ καὶ ἐλεημοσύνῃ, καὶ τῇ λοιπῇ πάσῃ φιλοφροσύνῃ· ὁ μικρολόγος καὶ πτωχὸς τὴν διάνοιαν, καὶ χαμαὶ ἕρπων, κἂν ἁπάντων εὐπορώτερος ᾖ, πάντων ἐστὶ πτωχότερος καὶ ἀπορώτερος· διὰ τοῦτο πρὸς τὰ τοιαῦτα ἅπαντα ὀκνεῖ καὶ ἀναδύεται. Καὶ ὥσπερ οὐδὲν ἐπὶ τοῦ πένητος ἡ πενία γένοιτ' ἂν κώλυμα πρὸς ἐλεημοσύνην διὰ τὸν τῆς διανοίας πλοῦτον· οὕτως οὐδὲν ἐπὶ τοῦ πλουτοῦντος ἡ εὐπορία συμπράξαι δυνήσεται πρὸς τὴν φιλοφροσύνην διὰ τὴν τῆς διανοίας πενίαν. Καὶ τὰ παραδείγματα ἐγγύθεν· ἡ μὲν γὰρ χήρα καὶ ἐν ἀλεύρῳ μικρῷ τὸν προφήτην ἐδέξατο· ὁ δὲ Ἀχαὰβ τοσοῦτον κεκτημένος πλοῦτον, καὶ τῶν ἀλλοτρίων ἐπεθύμησεν. Οὕτως οὐκ ἔστι χρημάτων πλοῦτος, ἀλλὰ πλοῦτος διανοίας ὁ παρέχων ἡμῖν εὐκολίαν περὶ τὴν ἐλεημοσύνην· ἐπεὶ καὶ ἡ χήρα ἐκείνη διὰ δύο μόνον ὁβολῶν μυρίους πλουσίους ὑπερηκόντισε, καὶ οὐκ ἐγένετο κώλυμα ἡ πενία. Αὕτη μὲν οὖν ἡ πενία μείζονα τὴν ἐλεημοσύνην εἰργάσατο· ὅπερ οὖν καὶ ὁ Παῦλός φησιν, *Ἡ κατὰ βάθους πτωχεία ἐπερίσσευσεν εἰς τὸν πλοῦτον τῆς ἁπλότητος αὐτῶν.* Οὐ γὰρ τοῦτο χρὴ σκοπεῖν, ὅτι δύο κατέβαλεν ὁβολοὺς, ἀλλ' ὅτι μόνους ἔχουσα τούτους, οὐκ ἐφείσατο, ἀλλ' ὁλόκληρον τὴν οὐσίαν εἰσήνεγκε, θαυμάζειν αὐτὴν χρὴ καὶ στεφανοῦν. Οὐ τοίνυν περιουσίας, ἀλλὰ προθυμίας ἡμῖν δεῖ, ὅταν ὑποδεχώμεθα ξένους. Ὥσπερ γὰρ ταύτης παρούσης οὐδὲν βλάβος γένοιτ' ἂν ἀπὸ πενίας, οὕτως ἀπούσης οὐδὲν ὄφελος γένοιτ' ἂν ἐξ εὐπορίας. Τί λέγεις; Παιδίων ἐπιμελεῖται ἡ χήρα καὶ διὰ τοῦτο οὐκ ἂν δύναιτο θεραπεύειν ξένους; Δι' αὐτὸ μὲν οὖν τοῦτο εὐκολώτερον τοῦτο ἐργάσεται, κοινωνοὺς ἔχουσα τῆς θεραπείας τοὺς υἱοὺς, συναντιλαμβανομένους καὶ συνεφαπτομένους αὐτῇ τῆς καλῆς ταύτης πραγματείας. Ὥστε οὐ κώλυμα, ἀλλὰ βοήθεια τῆς φιλοξενίας ἔσται τῶν παίδων τὸ πλῆθος, καὶ ἡ πολυχειρία πολλὴν τῇ διακονίᾳ παρέξει τὴν εὐκολίαν. Μὴ γάρ μοι πολυτελῆ τράπεζαν εἴπῃς· ἂν εἰς τὴν οἰκίαν δέξηται τὸν ξένον, ἂν τὰ ὄντα παραθῇ, ἂν πολλὴν ἐπιδείξηται τὴν φιλοφροσύνην, ἀπήρτισται τῆς ξενοδοχίας ὁ καρπὸς ἅπας. Εἰ γὰρ ποτήριον ψυχροῦ μόνον βασιλείαν οὐρανῶν προξενεῖ, τὸ καὶ ὁμωρόφιον ποιῆσαι, καὶ τραπέζης κοινωνὸν, καὶ ἀναπαῦσαι, πόσον οἴσει τὸν καρπὸν, εἰπέ μοι; Σκόπει δή μοι Παύλου τὴν ἀκρίβειαν. Οὐ γὰρ ἁπλῶς ξενοδοχίαν ἐνταῦθα ἀπαιτεῖ, ἀλλὰ τὴν μετὰ προθυμίας καὶ ζεούσης ψυχῆς καὶ διανοίας θερμῆς. Εἰπὼν γὰρ, *Εἰ ἐξενοδόχησεν*, ἐπήγαγεν, *Εἰ ἁγίων πόδας ἔνιψεν.* Οὐ θεραπαινίσιν ἐπιτρέπειν χρὴ αὐτὴν μετὰ τύφου καθημένην τοῦ ξένου τὴν θεραπείαν, ἀλλ' αὐτουργὸν γενέσθαι, καὶ τὸν καρπὸν ἁρπάζειν, καὶ μηδενὶ παραχωρεῖν τοῦ καλοῦ τούτου θησαυροῦ. Καὶ πῶς, τοῦτο γένοιτ' ἄν, φησίν; εἰ γὰρ εὐγενὴς εἴη καὶ περιφανὴς καὶ λαμπρὰ καὶ ἐπίσημος ἐκ προγόνων. αὐτὴ τοῦ [323] ξένου νίψει τοὺς πόδας; καὶ πῶς οὐχ

[a] Cod. T 18 recte ἴδῃς. Edd. εἴδῃς.

αἰσχρόν; Αἰσχρὸν μὲν οὖν τὸ μὴ νίπτειν, ἄνθρωπε. Κἂν γὰρ μυριάκις ἀὐτῆς τὴν εὐγένειαν ἐπάρῃς καὶ τὴν περιφάνειαν, καὶ τὴν λαμπρότητα, τῆς αὐτῆς μετέχει τῷ νιπτομένῳ φύσεως, καὶ σύνδουλός ἐστι τοῦ θεραπευομένου καὶ ὁμότιμος.

ιγ'. Ἐννόησον τίς τῶν μαθητῶν τοὺς πόδας ἔνιψε, καὶ παῦσαί μοι περὶ εὐγενείας διαλεγόμενος. Ὁ κοινὸς τῆς οἰκουμένης Δεσπότης, ὁ τῶν ἀγγέλων βασιλεὺς καὶ ἔνιψε καὶ λέντιον περιεζώσατο, καὶ οὐχὶ τῶν μαθητῶν μόνον, ἀλλὰ καὶ αὐτοῦ τοῦ προδότου. Εἶδες πόσον τὸ μέσον τοῦ νίπτοντος καὶ τῶν νιπτομένων; Ἀλλ' ὅμως τὸ μέσον ἅπαν τοῦτο κατέβη, καὶ ὁ Δεσπότης τὸν δοῦλον ἔνιψεν, ἵνα ἡ δούλη τὸν σύνδουλον μὴ ἐπαισχύνηται. Διὰ τοῦτο καὶ τοῦ προδότου, ἵνα μὴ μέλλῃς λέγειν, ὅτι εὐτελὴς καὶ εὐκαταφρόνητος ὁ μέλλων ἀπολαύειν τῆς θεραπείας. Εἰ γὰρ καὶ εὐτελὴς καὶ εὐκαταφρόνητος, ἀλλ' οὔπω κατὰ τὸν Ἰούδαν ἐστὶν, οὐδὲ τοιαῦτά σοι διέθηκεν, οἷα τὸν Δεσπότην ἐκεῖνος, μετὰ τὰς μυρίας εὐεργεσίας ἐπὶ προδοσίαν ἐλθών. Ἀλλ' ὅμως ἅπαντα ταῦτα προειδὼς ἔνιψεν [a], ἡμῖν νόμους τιθεὶς, ἵνα κἂν ἁπάντων ὦμεν ὑψηλότεροι, κἂν ἁπάντων λαμπρότεροι καὶ περιφανέστεροι, κἂν ἁπάντων χείρους οἱ μέλλοντες πρὸς ἡμᾶς κατάγεσθαι, μὴ διὰ τοῦτο αὐτῶν φεύγωμεν τὴν θεραπείαν, μηδὲ τὴν εὐτέλειαν ἐπαισχυνώμεθα. Σὺ δὲ, ὦ γύναι, ἐὰν μέν τινα ἴδῃς ἐν τοῖς βιωτικοῖς σοι βοηθοῦντα πράγμασιν, ἢ ἐν δικαστηρίῳ συμπράττοντα, ἢ ἐν ἄλλῳ τινὶ τοιούτῳ, καὶ ἁπαντᾷς, καὶ μετὰ πολλῆς δέχῃ τῆς εὐνοίας, καὶ χεῖρας καταφιλεῖς, καὶ ἀργύριον καταβάλλεις, καὶ τὰ τῶν θεραπαινίδων ποιεῖς· ἂν δὲ τὸν Χριστὸν εἰσελθόντα ἴδῃς [b], ὀκνεῖς καὶ καταδύῃ πρὸς τὴν αὐτοῦ θεραπείαν; Εἰ μὴ ὡς τὸν Χριστὸν δέχῃ τὸν ξένον, μὴ δέξῃ· εἰ δὲ ὡς τὸν Χριστὸν δέχῃ, μὴ ἐπαισχυνθῇς τοῦ Χριστοῦ νίψαι τοὺς πόδας. Οὐχ ὁρᾷς πόσοι τῶν ἐπηρεαζομένων εἰς ἀνδριάντων κατέφυγον πόδας; Καίτοι γε ἀναίσθητος ἡ ὕλη, καὶ ἄψυχος ὁ χαλκός· ἀλλ' ὅμως ἐπειδὴ βασιλέων εἰσὶν εἰκόνες, προσεδόκησάν τινα καρπώσασθαι παρὰ τῶν ποδῶν ἐκείνων ὠφέλειαν. Σὺ δὲ οὐκ ἀναισθήτους πόδας, οὐδὲ ἄψυχον ὕλην, ἀλλ' εἰκόνα ἔνδον ἔχουσαν τὸν βασιλέα θεωροῦσα πρὸς σὲ εἰσιοῦσαν, οὐ προστρέχεις, εἰπέ μοι, καὶ τοὺς πόδας κατέχεις, καὶ παντὶ θεραπεύῃ τρόπῳ; Καὶ ποῦ ταῦτα συγγνώμης ἄξια; πόσης δὲ οὐκ ἂν εἴη τοῦτο αἰσχύνης; Ἐννόησον τίνι κοινωνεῖς φυσωμένη, καὶ πρὸς ἀλαζονείαν ἐπαιρομένη, καὶ τοῦ ξένου τὴν θεραπείαν αἰσχυνομένη. Τῷ διαβόλῳ δηλονότι· ἐκείνου γὰρ ἡ ὑπερηφανία νόσημα. Ἂν δὲ προσδράμῃς, ἐννόησον τίνα μιμῇ. Τὸν Δεσπότην τὸν σὸν, καὶ τὸ τοῦ Χριστοῦ ποιεῖς ἔργον. Ποῖα τοίνυν αἰσχύνη, ἢ ποῖον ὄνειδος τῷ Δεσπότῃ κοινωνεῖν, εἰπέ μοι; Αἰσχύνη μὲν οὖν τὸ ταῦτα ἐπαισχύνεσθαι, καὶ νομίζειν ὄνειδος εἶναι, ὅπερ ἐποίησεν ὁ Χριστός· μεγάλα δύνανται πόδες ἁγίων εἰς οἰκίαν εἰσιόντες· αὐτὸ τὸ ἔδαφος ἁγιάζουσι, θησαυρὸν μυρίων εἰσάγουσιν ἀγαθῶν, φύσιν πεπηρωμένην διορθοῦνται, λιμὸν λύουσι, πολλὴν εἰσάγουσι [324] τὴν εὐπορίαν. Οὕτω καὶ οἱ πόδες τοῦ Ἡλίου εἰς τὴν οἰκίαν τῆς χήρας εἰσελθόντες καινόν τινα καὶ παράδοξον εὐεργεσίας ἐπιδείξαντο τρόπον. Ἄρουραν τὴν οἰκίαν τῆς χήρας ἐποίησε, καὶ τὴν ὑδρίαν ἅλωνα. Καινός τις τρόπος σπόρου καὶ ἀμητοῦ ἐγίνετο τότε· ἔσπειρεν εἰς τὸ τοῦ δικαίου στόμα, καὶ τὰ καταβληθέντα μετὰ πολλῆς τῆς ἀφθονίας ἐκ τῆς ὑδρίας ἐθέριζεν· ἔσπειρεν ἄλευρον, καὶ ἐθέριζεν ἄλευρον· οὐκ ἐδεήθη βοῶν, καὶ ζεύγους, καὶ ἀρότρου, καὶ αὐλακος, οὐδὲ ὑετοῦ καὶ ἀέρος καὶ θρεπάνης, οὐδὲ ἅλωνος καὶ δραγμάτων, οὐδὲ ἀνέμων διακρινόντων ἀπὸ τοῦ καρποῦ τὰ ἄχυρα, οὐδὲ μύλης τριβούσης· ἀλλὰ ἐν μιᾷ καιροῦ ῥοπῇ τούτων ἁπάντων τὸ τέλος εὗρεν ἐπὶ τῆς ὑδρίας· καὶ δύο πηγὰς, τὴν μὲν ἀλεύρου, τὴν δὲ ἐλαίου διηνεκῶς ἀνῆκεν ἡ τοῦ προφήτου φωνή.

ιδ'. Τοιαῦτα τῶν ἁγίων τὰ δῶρα, καὶ δαψίλειαν καὶ εὐκολίαν ἔχει πολλήν. Τὰ μὲν γὰρ ἀπὸ τῆς γῆς δρεπόμενα δαπανᾶται, ἐκεῖναι δὲ αἱ πηγαὶ ἀντλούμεναι καθημέραν οὐκ ἐκενώθησαν, ἀλλ' ἦν ἰσοστάσιος πρὸς τὴν ἐκκένωσιν τῆς ἐπιῤῥοῆς ἡ μάχη. Τοιαῦτα χαρίζονται πόδες ἁγίων, μᾶλλον δὲ καὶ πολλῷ πλείονα τούτων· καὶ εἰ μὴ μακρὸν ἐποίουν τὸν λόγον, πολλὰς ἂν ἀπηριθμησάμην τοιαύτας δωρεάς. Ἀλλ' ὥσπερ τιμώμενοι τοιαῦτα φέρουσι δῶρα, οὕτως ἀτιμαζόμενοι μεγάλην ἐπάγουσι κόλασιν καὶ πῦρ ἀπαραίτητον. Πόθεν τοῦτο δῆλον; Ἄκουσον αὐτοῦ τοῦ Χριστοῦ λέγοντος τοῖς μαθηταῖς· *Εἰς ἣν ἂν πόλιν ἢ οἰκίαν εἰσέλθητε, ἐρωτήσατε τίς ἄξιός ἐστιν ἐν αὐτῇ, κἀκεῖ μείνατε, καὶ εἰσερχόμενοι λέγετε· Εἰρήνη τῇ οἰκίᾳ ταύτῃ.* Ἵνα γὰρ μὴ λέγῃς, Δαπανῶ τὰ χρήματα, ἀναλίσκω τὴν οὐσίαν, τράπεζαν παρατιθεῖσα τοῖς ξένοις, αὐτὸν πρότερον τὸν εἰσιόντα παρασκευάζει σοι κομίσαι ξένια καὶ δῶρα πᾶσαν ὑπερβαίνοντα περιουσίαν. Ποῖα δὴ ταῦτα; Τῆς εἰρήνης τὴν χορηγίαν. Ταύτης γὰρ ἴσον οὐδέν. Ὁρᾷς μεθ' ὅσης εὐπορίας ὁ ἅγιος εἰσέρχεται εἰς τὴν οἰκίαν; Τὸ ῥῆμα τοῦτο ψιλὸν μέν ἐστι, μυρίων δὲ ἀγαθῶν ὑπόθεσις. Τί γὰρ ἀσφαλέστερον οἰκίας γένοιτ' ἂν εἰρήνης ἀπολαυούσης; Εἰρήνην δὲ ἐπεύχονται οἱ ἅγιοι τοῖς ὑποδεχομένοις, οὐ τὴν πρὸς ἀλλήλους μόνον, ἀλλὰ καὶ τὴν πρὸς ἡμᾶς αὐτούς. Πολλάκις γοῦν πόλεμον ἐν τοῖς λογισμοῖς ἔχομεν, καὶ μηδενὸς ἐνοχλοῦντος ταραττόμεθα, καὶ ἐπιθυμίαι πονηραὶ συνεχῶς ἡμῖν ἐπανίστανται. Καὶ ταύτην οὖν καταστέλλει τὴν μάχην ἐκεῖνο τῶν ἁγίων τὸ ῥῆμα, καὶ πολλὴν ἔνδον ποιεῖ γαλήνην. Ὁμοῦ τε γὰρ ἐκεῖνος ἐφθέγξατο, καὶ πᾶσα ἐνθύμησις διαβολικὴ καὶ λογισμὸς ἄτοπος ἐδραπέτευσεν ἐκ τῆς ἡμετέρας ψυχῆς· ὥστε μείζονα λαμβάνεις ἢ δίδως. *Κἂν μὲν δέξωνται*, φησὶν, *ὑμᾶς, ἐλθέτω ἡ εἰρήνη ἐπ' αὐτούς· ἐὰν δὲ μὴ δέξωνται, ἐκτινάξατε τὸν κονιορτὸν τῶν ποδῶν ὑμῶν. Ἀμὴν, λέγω ὑμῖν, ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόῤῥας ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἢ τῇ πόλει ἐκείνῃ.* Ὁρᾷς ὅτι ἀτιμαζόμενοι πόδες ἁγίων πόσον ἐπάγουσι πῦρ; Διὰ τοῦτο κελεύει νίπτειν αὐτοὺς, ἵνα θεραπευόμενοι πολλὴν ἡμῖν προξενήσωσι παρὰ τῷ Θεῷ τὴν παῤῥησίαν· ὁμοῦ δὲ καὶ ἐκεῖνο διὰ ταύτης ἡμᾶς παιδεύει τῆς παραινέσεως, τὰ τῆς φιλοξενίας ἔργα [325] δι' ἑαυτῶν ἅπαντα ἐπιτελεῖν. Μίμησαι τὸν Ἀβραὰμ, γενοῦ θυγάτηρ ἐκείνου, ὃς τριακοσίους δέκα καὶ ὀκτὼ ἔχων οἰκογενεῖς, αὐτὸς μετὰ τῆς γυναικὸς διενείματο τῆς φιλοξενίας τὸν

[a] Duo mss. ἔνιπτεν.
[b] Hic et supra ἴδῃς dedit cod. 748. Editum fuerat ἴδοις, Savil. in marg. εἴδῃς. Supra etiam εἰδῇς legebatur. Edit.

lavabit? nonne hoc turpe fuerit? Turpe sane fuerit si non lavet, mi homo. Quantumvis enim nobilitatem ipsius in cælum efferas, et claritatem generis atque splendorem, ejusdem particeps est naturæ cum eo qui abluitur, et conserva illius est, et honore par illi cui defertur obsequium.

13. *Exemplum Christi pedes lavantis; bona ex susceptione peregrinorum manantia; exemplum viduæ.*—Cogita quis erat ille qui discipulorum pedes lavit, ac de nobilitate verba facere desine. Communis orbis terrarum Dominus, Rex angelorum et lavit, et linteo se præcinxit, nec discipulorum tantum, sed et proditoris ipsius (*Joann.* 13. 4. *sqq.*). Vides quantum inter eum qui lavabat, et eos qui lavabantur esset intervallum? Attamen toto hoc intervallo se demisit, et Dominus servum lavit, ut serva conservum non erubescat. Idcirco etiam proditoris, ne forte dicere posses vilem et abjectum esse illum, cui cultus esset ille atque obsequium deferendum. Licet enim et vilis sit et abjectus, nondum tamen Judæ similis est, nec in te talia perpetravit, qualia in Dominum ille, qui acceptis innumeris beneficiis ad proditionem venit. Attamen his omnibus prævisis lavit, ac nobis legem constituit, ut licet sublimiores omnibus simus, licet omnibus clariores et illustriores simus, licet omnibus inferiores sint qui apud nos diversaturi sunt, ne idcirco illis inservire recusemus, neque vilitatis nos pudeat. At tu, mulier, si quempiam videris in sæcularibus tibi negotiis opem ferre, vel in judicio succurrere, vel in alia quapiam re simili, et occurris, et multa cum benevolentia suscipis, manus deosculasimilis, pecunias erogas, et ancillarum munera obis: Christum autem introcuntem si videas, pigritaris, et cultum ac ministerium illi exhibere detrectas? Si non ut Christum suscipis peregrinum, nē suscipias: sin autem ut Christum suscipis, lavare Christi pedes non erubescas. Nonne vides, quam multi eorum, qui injuriis afficiuntur, ad statuarum pedes confugiant? Tametsi materia est sensu destituta, et æs animæ expers: sed quoniam Imperatorum sunt illæ imagines, aliquam se a pedibus illis opem impetraturos confidunt. At tu quæ non sensu carentes pedes, neque materiam expertem animæ, sed imaginem intus apud se Regem gestantem domum tuam ingredi videas, non accurris, quæso, nec pedes amplecteris, atque omni ratione colis? Quis hoc facinus venia dignum judicet? quis non potius omni plectendum ignominiæ nota censeat? Cogita cui communices, dum inflaris et arroganter efferris, atque inservire peregrino erubescis. Haud dubium quin diabolo: illius enim morbus est superbia. Sin autem accurras, cogita quem imiteris Dominum tuum, et opus Christi perficis. Quis ergo pudor, quæ ignominia, quæso, fieri Christi consortem? Imo vero pudor est, si istorum nos pudeat, et ignominiam id quod Christus fecerit, arbitremur. Multa possunt domum introeuntes sanctorum pedes: pavimentum ipsum sanctificant, innumerorum thesaurum bonorum invehunt: mutilatam naturam instaurant, famem pellunt, multas opes inducunt. Ita quoque pedes Heliæ viduæ domum ingressi novum quendam et admirabilem ubertatis annonæ modum intulerunt (3. *Reg.* 17). Viduæ domum in agrum convertit, et hydriam in aream. Novum quoddam sementis ac messis genus tunc apparuit: in os justi semen jactabat, et quæ sata fuerant multa cum ubertate ex hydria metebat: seminabat farinam, et farinam metebat; non indiguit bobus, et jugo, et aratro, et sulco, nec pluvia et aere ac falce, nec area et manipulis, neque ventis, qui paleas a granis discernerent, neque mola, quæ tereret: sed uno temporis momento in hydria finem omnium istorum invenit: ac duos fontes, unum farinæ, alterum olei vox prophetæ perennes effudit.

14. Talia sunt dona sanctorum, et ubertatem et facilitatem ingentem in se continent. Nam ea quidem, quæ decerpuntur e terra, consumuntur: at illi fontes hausti quotidie, non exhauriebantur, sed cum illis, qui evacuabant, pari successu scaturigo pugnabat. Talia sunt, quæ sanctorum pedes largiuntur, vel potius his multo plura: ac nisi fieret prolixior oratio, multa ejusmodi dona numerando percenserem. Sed quemadmodum ii qui honorem illis deferunt, talia dona consequuntur: ita qui despiciunt, magnum sibi supplicium et inevitabilem ignem accersunt. Unde id constat? Audi Christum ipsum dicentem discipulis: *In quamcunque civitatem, aut domum intraveritis, interrogate quis in ea dignus sit, et ibi manete, et intrantes dicite, Pax huic domui* (*Matth.* 10. 11. 12). Ut enim non dicas, Pecunias expendo, facultates assumo, dum peregrinis mensam appono, efficit ut ille ipse, qui domum intrat, prior tibi dona hospitalia muneraque largiatur, quæ divitias omnes exsuperant. Quænam illa porro sunt? Pacis largitatem. Nihil enim est, quod cum illa conferri possit. Vides quanta cum opum affluentia sanctus domum introeat? Hoc verbum quidem nudum est, at infinitorum bonorum est occasio. Quid enim ea domo tutius reperiri possit, quæ pace fruatur? Porro illis a quibus excipiuntur, sancti pacem precantur, noncum invicem tantum, sed cum nobis ipsis. Sæpe namque fit, ut pugnam in nostris cogitationibus sentiamus, et nemine interpellante turbemur, atque in nos assidue pravæ cupiditates insurgant. Et hanc igitur pugnam verbum illud sanctorum sedat, ac multam intus tranquillitatem creat. Nam simul atque loquutus est ille, diabolica cuncta cogitatio, pravumque consilium ex animo nostro exsulat: itaque majora recipis quam largiaris. *Et si quidem vos*, inquit, *receperint, veniat pax super illos: si vero non receperint, excutite pulverem pedum vestrorum. Amen dico vobis, tolerabilius erit terræ Sodomorum et Gomorrhæ in die illa, quam illi civitati* (*Matth.* 10. 13–15). Vides quantum ignem despecti pedes sanctorum accumulent et attrahant? Propterea jubet, ut eos lavemus, ut cum eos nostro ministerio curaverimus, multam nobis apud Deum concilient gratiam: simulque nos illud hac admonitione docet, ut hospitalitatis opera per nos ipsi omnia exerceamus. Imitare Abrahamum, filia illius fias, qui trecentos decem et octo vernaculos cum haberet, ipse

cum uxore fructum hospitalitatis partitus est, et ipse quidem vitulam adferebat, illa vero farinam pinsebat. Hos tu quoque æmulare : non enim solum pecunias erogare, sed etiam pauperibus ministrare multam mercedem obtinet. Propterea etiam apostoli septem illos in quibus Stephanus, ejusmodi ministerio præfecerunt (*Act.* 6). Tametsi nihil illi de suo pauperibus erogabant, sed ab aliis data recte dispensabant : magnam tamen retulere mercedem, quod a cæteris collata recte diligenterque dispensarent.

15. *Pauperibus inserviendum est.*— Esto tu quoque rerum tuarum bonus dispensator, ut duplicem fructum accipias, et quod eroges, et quod recte dispenses. Nec te pudeat manu tua pauperi inservire. Non erubescit Christus per pauperem manum extendere, atque accipere, tu vero manum extendere ac largiri pecuniam erubescis? Quis hoc extremæ lementiæ facinus esse non dicat? Unum solum est pudor et ignominia, nequitia nempe et crudelitas atque inhumanitas : comitas autem, eleemosyna, et humanitas, ac pauperibus ministrare clariores nos efficit. Quanto enim ditior es ac locupletior, tanto te magis omnes laudabunt, cum ad mendicos et viles te demiseris : neque solum homines, sed etiam angeli, et Dominus angelorum : nec laudabit solum, sed et duplici præmio remunerabitur. Non enim eleemosynæ tantum, sed humilitatis etiam multam tibi mercedem præparabit. Ne igitur in pauperes ministerii nos pudeat, neque peregrinorum lavare pedes recusemus : sanctificantur enim tali famulatu manus nostræ ; quod si post ministerium illud ad orationem illas extenderis, illis aspectis facilius exoratur Deus, et postulata concedit. Nam pecunias quidem erogare possunt plurimi : per se vero pauperibus inservire, et cum animi alacritate, et caritate, ac fraterno amore id agere, magno indiget animo, et philosophia prædito. Atque hoc illud est, quod omnium maxime Paulus requirit, cum eis, qui tribulatione, paupertate et incommodis premuntur, compati jubet, quasi in malis eisdem versemur : *Vinctis*, inquit, *tamquam simul vincti* (*Heb.* 13. 3). Quam ob causam non hic solum orationem terminavit, sed et aliud adjecit : *Si tribulationem patientibus subministravit, si omne opus bonum sectata est* (1. *Tim.* 5. 10). Quid est, *Si omne opus bonum sectata est?* Ita ut etiam in carcerem introiret, ac vinctos inviseret, et ægrotos visitaret, et recrearet afflictos, et mœrentes consolaretur, et quocumque modo posset, cuncta suppeditaret, ac nihil omnino detrectaret eorum, quæ ad salutem ac solatium nostrorum fratrum pertinerent. Quod si a muliere vidua tam multa requirat bona opera, qua nos excusatione censeri dignos æquum erit, qui cum viri simus, ea non agamus, quæ mulieribus Paulus agenda præscripsit? Sed fortasse dicet aliquis : Quo tandem pacto a muliere vidua tantam diligentiam requirit, cum vero de virginitate scriberet, nihil tale loquutus est? Ac majorem quidem his philosophiam ab ipsis exegit. Nam cum dicit : *Divisa est uxor et virgo* : et, *Quæ innupta est, sollicita est de iis, quæ sunt Domini, quomodo placeat Domino* ; et rursus : *Hoc autem dico propter id quod honestum est, et quod facultatem præbeat sine impedimento Dominum obsecrandi* (1. *Cor.* 7. 34. 35) : nihil aliud per hæc significat, nisi virginem, quæ secularibus negotiis omnibus nuntium semel remiserit, totam animam consecrare Deo oportere, neque quidquam habere commune cum terra, nec aliquando his, aliquando illis vacare, sed cum in universum illis abrenuntiarit, totum in res spirituales debere studium suum impendere. Sane quidem ipsa quoque decem virginum parabola nobis hoc ipsum declaravit (*Matth.* 25). Hanc nimirum ob causam conclavi sponsi exclusæ sunt, quod oleum non haberent : oleum vero nihil aliud est, quam misericordia et eleemosyna, benignitas, et sublevatio eorum qui patiuntur injuriam, et eorum qui dolore premuntur consolatio : quod cum illis deesset, abierunt illæ atque a thalamo exciderunt.

16. *Ad eleemosynam adhortatio.*— Hæc igitur omnia cum sciamus et uxores et viri, et virgines et matrimonio junctæ, et viduæ, multum ad eleemosynam studium conferamus, neque dicamus, Ille improbus est, et indignus, qui beneficium accipiat; ille vilis est, ille abjectus. Ne dignitatem spectes ejus, qui cultu et subsidio indiget, sed inopiam tantum. Quamvis enim vilis et abjectus sit, et despectus, ita tibi Christus mercedem imputat, ac si per eum ipse beneficium accepisset. Ne enim eorum, qui beneficiis afficiuntur, dignitatis rationem haberemus, audi quid dicat : *Esurientem me vidistis, et aluistis* (*Matth.* 25. 35). Deinde cum illi dicerent, *Quando te vidimus esurientem, et aluimus* (*Ib. v.* 37) ? adjecit dicens : *Quamdiu fecistis uni ex his parvis, mihi fecistis* (*Ib. v.* 40). Itaque nullus relictus est prætextus. Siquidem ne dicere possemus, Ubi nunc Heliæ similem inveniemus? ubi similem Elisæo? item, Da mihi tales viros, et summa cum animi alacritate suscipiam illos, neque lavare pedes recusabo, et omni officiorum genere colam : ne hæc dicremus, quod multo majus est, ipse Heliæ et Elisæi et prophetarum omnium Dominus per pauperes ad nos se ingressurum promisit cum dixit : *Quamdiu fecistis uni de his minimis, mihi fecistis.*

Quatuor ob causas Christi nomine dandum. — Sed quod dictum est, ne prætereas. Illud enim, *Esurientem me aluistis*, quatuor exhibet eleemosynæ necessitates : quod fide dignus sit is qui petit, quod Dominus sit is qui petit : quod urgeat inopia, dum fames premit : quod facile sit largiri, cum alimenta poetulet, et solum panem, non delicias petat : quod magna remuneratio exspectetur, cum pro exiguis istis promissum sit regnum. Inhumanus, crudelis, et immisericors es? Reverere, inquit, dignitatem ejus qui postulat. At respectu dignitatis non exoraris? Calamitate saltem flectere. Sed neque calamitatis ratio te ad misericordiam inflectit? Ob petitionis facilitatem concede. Neque dignitas, neque inopiæ necessitas, neque largitionis facilitas commovere te potest?

καρπόν· καὶ ὁ μὲν δάμαλιν ἔφερεν, ἡ δὲ ἐφύρασεν [a] ἄλευρον. Τούτους καὶ σὺ ζήλωσον· οὐ γὰρ τὸ δοῦναι χρήματα μόνον, ἀλλὰ καὶ τὸ διακονῆσαι τοῖς δεομένοις πολὺν ἔχει τὸν μισθόν. Διὰ τοῦτο καὶ οἱ ἀπόστολοι τοὺς ἑπτὰ ἐκείνους τοὺς περὶ Στέφανον ἐπέστησαν τῇ τοιαύτῃ διακονίᾳ. Καίτοι γε οὐδὲν οἴκοθεν ἐκεῖνοι παρεῖχον τοῖς πένησιν, ἀλλὰ τὰ παρ' ἑτέρων διδόμενα ᾠκονόμουν καλῶς· ἀλλ' ὅμως μέγαν ἀπηνέγκαντο τὸν μισθὸν, ὅτι τὰ παρ' ἑτέρων διδόμενα καλῶς καὶ μετὰ ἀκριβείας ᾠκονόμουν ἁπάσης.

ιε'. Γενοῦ τοίνυν καὶ σὺ τῶν σαυτοῦ καλὸς οἰκονόμος, ἵνα διπλοῦν λάβῃς τὸν καρπὸν, καὶ τοῦ δοῦναι, καὶ τοῦ καλῶς οἰκονομῆσαι. Μὴ ἐπαισχυνθῇς διὰ τῆς σαυτοῦ χειρὸς θεραπεῦσαι τὸν πένητα. Ὁ Χριστὸς οὐκ ἐπαισχύνεται χεῖρα ἐκτεῖναι καὶ λαβεῖν διὰ τοῦ πένητος, καὶ σὺ χεῖρα ἐκτεῖναι καὶ δοῦναι ἀργύριον ἐπαισχύνῃ; Καὶ πῶς τοῦτο οὐκ ἐσχάτης ἀνοίας; Ἐν μόνον ἐστὶν αἰσχύνη, πονηρία καὶ ὠμότης καὶ ἀπανθρωπία· φιλοφροσύνη δὲ καὶ ἐλεημοσύνη καὶ φιλανθρωπία καὶ τὸ διακονεῖσθαι τοῖς δεομένοις λαμπροτέρους ἡμᾶς ἐργάζεται. Ὅσον γὰρ ἂν ᾖς πλουσία καὶ εὔπορος, τοσοῦτον ἐπαινέσονταί σε πάντες, ὅταν πρὸς τοὺς πτωχοὺς καὶ εὐτελεῖς καταβαίνῃς, οὐκ ἄνθρωποι δὲ μόνον, ἀλλὰ καὶ ἄγγελοι, καὶ ὁ τῶν ἀγγέλων Δεσπότης· οὐκ ἐπαινέσεται δὲ μόνον, ἀλλὰ καὶ ἀμείψεται διπλαῖς δωρεαῖς. Οὐ γὰρ τῆς ἐλεημοσύνης μόνον, ἀλλὰ καὶ τῆς ταπεινοφροσύνης πολλούς σοι παρασκευάσει τοὺς μισθούς. Μὴ τοίνυν ἐπαισχυνώμεθα ταῖς τῶν πενήτων θεραπείαις, μηδὲ παραιτώμεθα νίπτειν τῶν ξένων τοὺς πόδας· ἁγιάζονται γὰρ ἡμῶν αἱ χεῖρες διὰ τῆς τοιαύτης διακονίας· κἂν εἰς εὐχὴν αὐτὰς ἀνατείνῃς ἀπὸ τῆς θεραπείας ἐκείνης, ὁρῶν αὐτὰς ὁ Θεὸς δυσωπεῖται μᾶλλον, καὶ τὴν αἴτησιν δίδωσι. Τὸ μὲν γὰρ χρήματα δοῦναι, πολλῶν ἂν εἴη· τὸ δὲ δι' ἑαυτῶν θεραπεῦσαι τοὺς δεομένους καὶ μετὰ προθυμίας τοῦτο ποιῆσαι καὶ ἀγάπης καὶ φιλαδελφίας, πολλῆς καὶ μεγάλης δεῖται ψυχῆς καὶ φιλοσόφου. Καὶ τοῦτό ἐστιν, ὃ μάλιστα πάντων ὁ Παῦλος ἐπιζητεῖ, τοῖς ἐν θλίψει καὶ πενίᾳ καὶ περιστάσεσιν οὕτω κελεύων συναλγεῖν, ὡς ἐν τοῖς αὐτοῖς ὄντας δεινοῖς. *Τοῖς γὰρ δεσμίοις*, φησὶν, *ὡς συνδεδεμένοι*. Διόπερ οὐδὲ ἐνταῦθα τὸν λόγον ἔστησε μόνον, ἀλλὰ καὶ ἕτερον ἐπήγαγεν· *Εἰ θλιβομένοις ἐπήρκεσεν, εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησεν*. Τί ἐστιν· *Εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησεν*; Ὥστε καὶ εἰς δεσμωτήριον εἰσιέναι, καὶ τοὺς δεδεμένους ἐπισκέπτεσθαι, καὶ ἀῤῥωστοῦντας ἐπισκοπεῖν, καὶ θλιβομένους παραμυθεῖσθαι, καὶ ὀδυνωμένους παρακαλεῖν, καὶ πάντα τρόπον τὰ κατὰ δύναμιν εἰσφέρειν ὑπὲρ πάντα, καὶ μηδὲν ὅλως παραιτεῖσθαι τῶν εἰς σωτηρίαν καὶ ἀνάπαυσιν τῶν ἀδελφῶν γινομένων τῶν ἡμετέρων. Εἰ δὲ χήραν γυναῖκα τοσαῦτα ἀπαιτεῖ κατορθώματα, τίνος ἂν εἴημεν ἀπολογίας [328] ἄξιοι οἱ ἄνδρες ἡμεῖς ταῦτα μὴ ποιοῦντες, ἃ γυναῖκας χήρας ποιεῖν ἐνομοθέτησεν ὁ Παῦλος; Ἀλλ' ἴσως ἂν εἴποι τις· Καὶ πῶς χήραν γυναῖκα τοσαύτην ἀπαιτεῖ ἀκρίβειαν, ὅτε δὲ περὶ παρθενίας ἐπέστελλεν, οὐδὲν διελέχθη τοιοῦτον; Πλείονα μὲν τούτων φιλοσοφίαν αὐτὰς ἀπήτησεν. Ὅταν γὰρ εἴπῃ· *Μεμέρισται ἡ γυνὴ καὶ ἡ παρθένος*· καί· *Ἡ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου, πῶς ἀρέσει τῷ Κυρίῳ*· καὶ πάλιν· *Τοῦτο δὲ λέγω διὰ τὸ εὔσχημον καὶ εὐπρόσεδρον τῷ Κυρίῳ ἀπερισπάστως*· οὐδὲν ἄλλο διὰ τούτων αἰνίττεται τῶν ῥημάτων ἀλλ' ἢ ὅτι τῶν βιωτικῶν ἁπάντων πραγμάτων καθάπαξ ἑαυτὴν ἀποῤῥήξασαν τὴν παρθένον ὁλόκληρον ἀναθεῖναι δεῖ τῷ Θεῷ τὴν ψυχὴν καὶ μηδὲν πρὸς τὴν γῆν ἔχειν κοινὸν, μηδὲ ποτὲ μὲν τούτοις, ποτὲ δὲ ἐκείνοις σχολάζειν, ἀλλὰ καθόλου τούτοις ἀποταξαμένην, ὅλην εἰς τὰ πνευματικὰ πράγματα ἀναλίσκειν τὴν σχολήν. Καὶ ἡ παραβολὴ δὲ τῶν δέκα παρθένων αὐτὸ τοῦτο ἐδήλωσεν ἡμῖν. Διὰ τοῦτο γοῦν ἀπεκλείσθησαν τοῦ νυμφῶνος, ὅτι ἔλαιον οὐκ εἶχον· ἔλαιον δὲ οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ φιλανθρωπία καὶ ἐλεημοσύνη καὶ φιλοφροσύνη καὶ προστασία τῶν ἀδικουμένων καὶ παράκλησις τῶν ὀδυνωμένων· ὅπερ οὐκ ἔχουσαι ἀπῆλθον ἐκεῖναι, καὶ τοῦ νυμφῶνος ἐξέπεσον.

ς'. Ταῦτ' οὖν εἰδότες ἅπαντα, καὶ γυναῖκες, καὶ ἄνδρες, καὶ παρθένοι, καὶ γεγαμηκέναι, καὶ χῆραι, πολλὴν τῆς ἐλεημοσύνης ποιώμεθα σπουδήν· καὶ μὴ λέγωμεν, ὅτι ὁ δεῖνα πονηρὸς καὶ οὐκ ἄξιος εὖ παθεῖν, ὁ δεῖνα εὐτελὴς, ὁ δεῖνα ἀπερῥιμμένος. Μὴ πρὸς τὴν ἀξίαν ἴδῃς τοῦ δεομένου τῆς θεραπείας, ἀλλὰ πρὸς τὴν χρείαν μόνον. Κἂν γὰρ εὐτελὴς ᾖ καὶ ἀπερῥιμμένος, κἂν εὐκαταφρόνητος, ὁ Χριστὸς οὕτω σοι λογίζεται τὸν μισθὸν, ὡς αὐτὸς εὖ παθὼν δι' ἐκείνου. Ἵνα γὰρ μὴ πρὸς τὴν ἀξίαν βλέπωμεν τῶν εὐεργετουμένων, ἄκουσον τί φησι· *Πεινῶντά μέ εἴδετε, καὶ ἐθρέψατε. Εἶτα ἐκείνων λεγόντων· Πότε σε εἴδομεν πεινῶντα, καὶ ἐθρέψαμεν*; ἐπήγαγε λέγων· *Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τῶν μικρῶν τούτων, ἐμοὶ ἐποιήσατε*· ὥστε οὐδεμία ἡμῖν καταλέλειπται πρόφασις. Ἵνα γὰρ μὴ λέγωμεν, ὅτι Ποῦ νῦν κατὰ τὸν Ἠλίαν εὑρεῖν; ποῦ δὲ κατὰ τὸν Ἐλισσαῖον; καὶ, Δός μοι τοιούτους ἄνδρας, καὶ μετὰ πάσης αὐτοὺς ὑποδέξομαι τῆς προθυμίας, καὶ οὐ παραιτήσομαι νίψαι τοὺς πόδας καὶ παντὶ θεραπεῦσαι τρόπῳ· ἵνα μὴ ταῦτα λέγωμεν, ὃ πολλῷ μεῖζόν ἐστιν, αὐτὸς ὁ τοῦ Ἠλίου καὶ τοῦ Ἐλισσαίου καὶ τῶν προφητῶν Δεσπότης ἁπάντων διὰ τῶν πενήτων ὑπέσχετο πρὸς ἡμᾶς εἰσιέναι, λέγων· *Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν μικρῶν, ἐμοὶ ἐποιήσατε*.

Ἀλλὰ μὴ παραδράμῃς τὸ εἰρημένον. Τὸ γὰρ, *Πεινῶντά με εἴδετε καὶ ἐθρέψατε*, τέσσαρας ἀνάγκας ἐφίστησιν ἐλεημοσύνης· τὸ ἀξιόπιστον τοῦ αἰτοῦντος, ὅτι Δεσπότης ἐστὶν ὁ αἰτῶν· τὸ ἀναγκαῖον τῆς χρείας, ὅτι πεινᾷ· τὸ εὔκολον τῆς δόσεως, ὅτι τραφῆναι ζητεῖ καὶ ἄρτον αἰτεῖ μόνον, οὐχὶ τρυφήν· τὸ μέγεθος τῆς δωρεᾶς, ὅτι βασιλείαν ἀντὶ τούτων τῶν μικρῶν ἐπαγγέλλεται. Ἀπάνθρωπος εἶ καὶ ὠμὸς καὶ ἀντιλεής; Αἰδέσθητι, φησὶ, τὸ ἀξίωμα τοῦ αἰτοῦντος. Ἀλλ' οὐ δυσωπεῖ [b] σε τὸ ἀξίωμα; Πρὸς τὴν συμφορὰν ἐπικάμφθητι. Ἀλλ' οὔτε τὰ τῆς συμφορᾶς εἰς ἔλεόν σε [327] ἐπικάμπτει; Διὰ τὸ τῆς αἰτήσεως εὔκολον δός. Οὔτε τὸ ἀξίωμα, οὔτε τὸ ἀναγκαῖον τῆς χρείας, οὔτε τὸ εὔκολον τῆς δόσεως δύναταί σε πεῖσαι; Οὐκοῦν διὰ τὸ μέγεθος τῶν ἐπηγγελμένων ἀγαθῶν παράσχες.

[a] Duo mss. ἔφυρεν.

[b] Hæc est conjectura Savilii, quam confirmat Cod. 718. Edebatur δυσωπεῖσαι. Edit.

τῷ δεομένῳ. Ὁρᾷς τέσσαρας αἰτίας δυναμένας καὶ τὸν λίθον αὐτὸν, καὶ τὸν μικρολόγον, καὶ τὸν τετυφωμένον, καὶ τὸν ἀνηλεῆ, καὶ τὸν νωθρότατον ἁπάντων ἀνθρώπων διαναστῆσαι; Τίς οὖν ἔσται συγγνώμη τοῖς μετὰ τοσαύτην παραίνεσιν καὶ συμβουλὴν τῶν δεομένων ὑπερορῶσιν; Εἶπω δὴ καὶ ἕτερον πρὸς τούτοις· ἀκουέτωσαν οἱ μεμυημένοι. Αὐτὸς, ὅταν δέῃ σε θρέψαι, οὐδὲ τῆς σαρκὸς φείδεται τῆς ἑαυτοῦ· ὅταν δέῃ σε ποτίσαι, οὐδὲ τοῦ αἵματος φείδεται, οὐδὲ φθονεῖ· σὺ δὲ οὐδὲ ἄρτου μεταδίδως, οὐδὲ ποτηρίου; Καὶ ποίαν ἕξεις συγγνώμην τοιαῦτα λαμβάνων, καὶ οὕτω τίμια, καὶ τῶν εὐτελῶν φειδόμενος; Ὅρα μὴ πολλάκις φειδόμενος τῷ Χριστῷ δοῦναι ἐπὶ κέρδει, δῷς ἐπὶ βλάβῃ τῷ διαβόλῳ. Ὅταν γὰρ πένησι μὴ δῶμεν, συκοφάνταις διδόαμεν· κλέπται πολλάκις, ἢ καὶ οἰκέται κακοῦργοι λαμβάνοντες ἀπῆλθον, ἢ καὶ ἕτεραι πραγμάτων περιστάσεις. Καὶ ταῦτα δὲ ὅταν διαφύγωμεν ἅπαντα, θάνατος ἐπελθὼν γυμνὸν ἀπήγαγεν. Ἵν' οὖν μὴ ταῦτα γίνηται, προλαβόντες δῶμεν αἰτοῦντι τῷ Χριστῷ, καὶ εἰς τὸν ἄσυλον ἀποθώμεθα θησαυρὸν, ἵνα καὶ ὑπὲρ τῆς φυλακῆς καὶ ὑπὲρ τῆς προσόδου θαῤῥῶμεν. Οὐ γὰρ διατηρεῖ μόνον, ἅπερ ἔλαβε, μετὰ ἀκριβείας· ἀλλὰ μετὰ πλείονος αὐτὰ ἀποδίδωσί σοι τῆς προσθήκης πάλιν. Μὴ τοίνυν νομίζωμεν ἡμῖν ἐλαττοῦσθαι τὴν οὐσίαν, ὅταν ἐλεημοσύνην παρέχωμεν. Οὐ γὰρ ἐλαττοῦται, ἀλλ' αὔξεται· οὐ δαπανᾶται, ἀλλὰ πλεονάζει, καὶ πραγματεία τίς ἐστι καὶ σπόρος τὸ γινόμενον· μᾶλλον δὲ ἀμφοτέρων τούτων κερδαλεώτερον καὶ ἀσφαλέστερον. Ἡ μὲν γὰρ ἐμπορία καὶ πνεύμασι καὶ κύμασι θαλάσσης ὑπόκειται καὶ ναυαγίοις πολλοῖς, καὶ τὰ σπέρματα καὶ αὐχμοῖς καὶ ἐπομβρίαις καὶ ἑτέραις ἀέρων ἀνωμαλίαις· τὰ δὲ εἰς τὴν χεῖρα τοῦ Χριστοῦ καταβαλλόμενα χρήματα ἀνώτερα πάσης ἐστὶν ἐπιβουλῆς. Οὐδεὶς δύναται ἁρπάζειν ἐκ τῆς χειρὸς τοῦ λαβόντος τὰ δοθέντα ἅπαξ· ἀλλὰ μένει πολὺν ἡμῖν καὶ ἄφατον ἐργαζόμενα τὸν καρπὸν, καὶ τὸν ἄμητον ἐν καιρῷ φέροντα πλούσιον. *Ὁ σπείρων* γὰρ *φειδομένως*, φησὶ, *φειδομένως καὶ θερίσει· καὶ ὁ σπείρων ἐπ' εὐλογίαις, ἐπ' εὐλογίαις καὶ θερίσει.* Σπείρωμεν τοίνυν μετὰ δαψιλείας, ἵνα καὶ οὕτω θερίσωμεν, καὶ τῆς αἰωνίου ζωῆς ἀπολαύσωμεν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ σὺν τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

MONITUM

Nihil de tempore vel de anno hujus habitæ concionis dicendum succurrit : nihil signi suppetit, quo eam vel Antiochiæ vel Constantinopoli dictam internoscamus. Hoc unum certo et ἀκινδύνως dicere possumus, esse illam genuinam et Chrysostomo dignissimam. Hic propositum cernimus argumentum a S. do-

[328] ΕΙΣ ΤΟΝ ΗΛΙΑΝ

Καὶ εἰς τὴν χήραν, καὶ περὶ ἐλεημοσύνης.

α'. Ἐν ταῖς ἡμέραις αἷς ἐνηστεύομεν ἅπαντες, τοὺς περὶ τῆς ἐλεημοσύνης πολλάκις ἑλόμενος κινῆσαι λόγους, ἐξεκρουόμην, τῆς ἑσπέρας καταλαμβανούσης καὶ τοῦ λόγου διακοπτούσης ἡμῖν τὸν δρόμον. Τοῦτο δὲ ἐγένετο, τοῦ Θεοῦ τάχα συμφερόντως οἰκονομοῦντος, καὶ πρὸς τὴν παροῦσαν ἡμέραν τὴν περὶ τούτων ὑπερτιθέντος παραίνεσιν· ἵνα μὴ κατὰ τὴν ἐκκλησίαν διῃρημένων ὑμῶν, οὕτως ἡ τῆς ἐλεημοσύνης παρατέθῃ τράπεζα σήμερον· οὐκ ἐπειδὴ μέγα τι καὶ γενναῖον ἡμεῖς ἔχομεν εἰπεῖν, ἀλλ' ἐπειδὴ μεγάλη καὶ γενναία τῆς ἐλεημοσύνης ἡ δύναμις. Πολλὴ γὰρ τοῦ πράγματος ἡ παῤῥησία πρὸς τὸν Θεόν· καὶ καθάπερ τις βασιλεύουσα τῆς καθ' ἡμᾶς πολιτείας, οὕτω μετὰ ἀδείας πολλῆς τῶν οὐρανίων ἀψίδων ἐπιβαίνειν εἴωθε· καὶ αἱ τὰς πύλας τῶν οὐρανῶν ἐγχειρισμέναι δυνάμεις, ἂν μὲν ἴδωσι τὴν ἐλεημοσύνην ἐπιβαίνουσαν, μετὰ πολλῆς τῆς τιμῆς καὶ ταῖς ἄλλαις ὑπ' αὐτὴν τὰς πύλας ἐκείνας ἀνοίγουσιν ἀρεταῖς· ἂν δὲ χωρὶς τῆς ἐλεημοσύνης ἴδωσι παραγενομένας, ἀποκλείουσι τὰς θύρας αὐταῖς. Καὶ τοῦτο ἐκ τῶν παρθένων δῆλον ἐκείνων, αἳ διὰ τοῦτο τῆς ἱερᾶς παστάδος ἀπεκλείσθησαν, ἐπειδὴ διηνεκὲς ἔλαιον ἐν ταῖς λαμπάσιν οὐκ εἶχον. Καὶ σκόπει μοι τὴν διαφοράν. Ἐλεημοσύνη μὲν χωρὶς παρθενίας τοὺς αὐτῆς τροφίμους εἰς τὸν οὐρανὸν εἰσήγαγε· παρθενία δὲ χωρὶς ἐλεημοσύνης οὐκ ἴσχυσεν. Ἐπεὶ οὖν τοσαύτη τοῦ πράγματος ἡ δύναμις, μετὰ πάσης σπουδῆς καὶ τοὺς περὶ αὐτῆς δεχώμεθα λόγους. Γένοιτο δ' ἂν ἀρίστη καὶ σύντομος τοῦ πράγματος ἡ παραίνεσις, εἰ πρὸς τὴν χήραν ὑμᾶς ἀπαγάγοιμεν τὴν ἐν Σαρεφθοῖς τῆς Σιδῶνος. Τῶν γὰρ λόγοις συμβουλευόντων οἱ διὰ τῶν ἔργων παιδεύοντες ἀξιοπιστότεροι διδάσκαλοι γίνονται· διὸ καὶ ἡ χήρα ἀρίστη τοῦ πράγματος τούτου γένοιτ' ἂν ἡμῖν διδάσκαλος. Ἡμεῖς μὲν γὰρ λόγῳ παραινοῦμεν· ἐκείνη δὲ διὰ τῶν ἔργων ὑμᾶς παιδεῦσαι δυνήσεται, τὴν ὁμότροπον ἔχουσα μεθ' αὑτῆς συνεζευγμένην. Δύο γάρ εἰσιν αὗται αἱ χῆραι· μία μὲν ἐν τῇ Καινῇ, ἡ τὰ δύο λεπτὰ καταβαλοῦσα, μία δὲ ἐν τῇ Παλαιᾷ, ἡ τὸν προφήτην ὑποδεξασθαι καταξιωθεῖσα· καὶ ἀμφότεραι [329] πρὸς τὴν αὐ-

Saltem igitur ob eorum bonorum, quæ promissa sunt, magnitudinem egeno præbe. Vides quatuor causas, quæ possent vel lapidem ipsum, et avarum, et excæcatum, et immisericordem hominem, et omnium stupidissimum excitare? Quam igitur veniam sperare poterunt, qui post tantam cohortationem et consilium egenos despicient? Dicam et aliud præterea quiddam : audiant qui mysteriis sunt initiati. Cum ali te opus fuerit, ne carni quidem suæ parcit ipse : cum tibi potum dari opus fuerit, ne sanguini quidem suo parcit, nec illum invidet : tu vero ne panem quidem impertis, nec calicem? Quam tandem veniam obtinebis, qui tot bonis tam pretiosis acceptis, tam vilibus parcas? Vide ne frequenter cum Christo largiri ad lucrum recusaveris, ad damnum diabolo largiaris. Cum enim pauperibus non demus, impostoribus damus : fures plerumque vel malefici famuli abripientes abeunt, vel etiam aliquis alius rerum casus aufert. Et vero postquam hæc evitaverimus omnia, mors interveniens dudum abducet. Ne igitur isthæc eveniant, prius Christo petenti largiamur, et in thesauro nullis prædonibus obnoxio reponamus, ut et de custodia et de proventu confidamus. Non enim solum quæ accepit, diligenter asservat, sed et majori tibi rursus cum accessione restituit. Ne igitur imminui nobis facultates arbitremur, cum eleemosynam erogamus. Non enim minuuntur, sed augentur ; non absumuntur, sed multiplicantur, et negotiatio quædam res ista et sementis est : vel potius utroque istorum quæstuosius quiddam et lutius. Nam mercatura quidem ventis ac fluctibus multisque naufragiis est obnoxia, itemque semina siccitatibus aeris, imbribus, cæterisque injuriis et inæqualitatibus aeris : quæ vero in manus Christi conferuntur pecuniæ, ab insidiis omnibus sunt immunes. Nemo rapere potest de manu ejus, cum acceperit ea quæ semel ei sunt tradita : sed manent multumque nobis et immensum fructum pariunt, et uberem in tempore messem proferunt. *Qui* enim *parce seminat*, inquit, *parce et metet*; *et qui seminat in benedictionibus*, *de benedictionibus etiam metet* (2. *Cor.* 9. 6). Copiose itaque seminemus, ut ita quoque metamus, et vita fruamur æterna : quam nos omnes utinam consequamur, gratia et benignitate Domini nostri Jesu Christi, cum quo Patri simulque Spiritui sancto gloria, imperium, honor, nunc et semper et in sæcula sæculorum. Amen.

AD HOMILIAM IN HELIAM ET VIDUAM.

ctore summopere frequentatum, de eleemosyna scilicet et de hospitalitate, quas ille semper inter præcipua Christianæ vitæ officia habuit.

Interpretatio Latina est Frontonis Ducæi.

IN HELIAM,

ET IN VIDUAM, ET DE ELEEMOSYNA.

1. *Eleemosynæ dignitas ; duæ viduæ duo testamenta exprimunt.*—Diebus illis, quibus jejunabamus omnes, cum sæpenumero sermonem instituere de eleemosyna statuissem, superveniente vespera sum impeditus, quæ nobis cursum orationis interrupit. Hoc vero fiebat Deo fortasse in nostram utilitatem ita disponente, atque in hunc diem cohortationem de his rebus differente : ne dum vos in Ecclesia divisi eratis, eleemosynæ mensa vobis apponeretur : non quod hodie magnum aliquid et insigne dicendum habeamus, sed quod magna sit et eximia virtus eleemosynæ. Multam quippe fiduciam apud Deum res ista conciliat, et tamquam regina quædam religionem nostram regens multa cum securitate cælestes ingredi sedes consuevit, et illæ, quibus cælorum januæ commissæ sunt, potestates, si quidem intrantem viderint eleemosynam, multo cum honore reliquis etiam virtutibus propter ipsam fores illas aperiunt : sin autem absque eleemosyna venire viderint, fores illis occludunt. Atque hoc ex virginibus illis patet, quæ propterea sacro illo thalamo fuerunt exclusæ, quod oleum in lampadibus suis perpetuo non haberent (*Matth.* 25). Ac mihi discrimen considera. Eleemosyna quidem absque virginitate suos alumnos introduxit in cælum : at virginitas absque eleemosyna minime potuit. Quando igitur tanta rei hujus est virtus, omni studio institutos de ea sermones excipiamus. Enimvero compendiosa fuerit admodum ad hanc rem cohortatio, si vos ad viduam Sarephthis Sidonis habitantem abducamus. Nam qui operibus ipsis instruunt, multo digniores fide magistri fiunt, quam qui verbis solis consilium dant : quocirca vidua quoque nobis rei hujus optima erit magistra. Siquidem nos verbis quidem adhortamur : at illa vos operibus docere poterit, cum eisdem præditam moribus, sociam habeat sibi copulatam. Duæ quippe sunt hæ viduæ, una in Novo Testamento, quæ duo minuta misit (*Luc.* 21), altera in Veteri, quæ pro-

phetam suscipere meruit (3. *Reg.* 17) : atque ambæ ad eamdem philosophiæ virtutem pervenerunt, eamdemque comitatem exhibuerunt, et suorum recte factorum similitudine Testamentorum nobis affinitatem expresserunt. Nam quemadmodum sublimes quidam scopuli, circumdati portubus, quos appellari Pharos mos est, in quibus tota nocte inexstinctus ignis lucet, errantes in mari splendore luminis ad portus securitatis deducunt : sic istæ tamquam portubus comitate circumdatæ, magnanimitatis suæ lumine profundissima in nocte : non enim potior est conditio vitæ nostræ quam noctis, sicut et Paulus dicit : *Nox præcessit, dies autem appropinquavit* (*Rom.* 13. 12); eos igitur qui profundissima in nocte in avaritiæ mari oberrant, et jamjam submergendi sunt, ad suam invitant securitatem, et humanitatis semper ardentem habentes ignem, inexstinctum eleemosynæ lumen conservant.

2. Sed de illa quidem alio loco ; hodierno die apud vos de ista Veteris Testamenti agemus. Omnino enim dum hæc laudabitur, illius quoque præconiorum corona nectetur : nam quarum paria sunt recte facta, earum quoque laudatrix oratio communis est. Orta est igitur hujus tempore fames gravissima, non quod defessa tellus fruges negaret, sed quod hominum peccata Dei donum averterent. Orta est igitur fames gravissima, et omnium acerbissima ; atque illam famem Helias magnus invexit, et tamquam terribilem famulum quemdam vocavit, ut conservos injuria Dominum afficientes castigaret : imo vero Judæorum illam advocavere peccata ; prophetæ autem illam os intulit, *Vivit enim*, inquit, *Dominus Deus, si erit pluvia nisi per os meum* (3. *Reg.* 17. 1).

Descriptio sterilitatis et siccitatis aeris. — Intolerandum igitur erat malum : neque enim tantum sterilem reddidit terræ uterum terribilis illa vox prophetæ, sed et ipsa fluminum fluenta cohibuit, omnesque tum exarescebant torrentes. Et quemadmodum cum vehemens et ardens febris corporis naturam invasit, non superficiem tantum arefacit, sed et interiora permeans ipsam ossium naturam exurit : ita quæ tum vigebat siccitas aeris, non solam terræ faciem incendebat, sed ad ipsa ejus viscera penetrans omnem inferiorem humorem exhauriebat. Quid ergo Deus ad prophetam ? *Surge*, inquit, *et vade in Sarephtha Sidoniæ : ibi mandabo mulieri viduæ, ut nutriat te* (3. *Reg.* 17. 9). Quid hoc sibi vult ? In sua patria nullam comitatem expertus est, et ad alienam regionem illum mittis, atque ad mulierem viduam ? Nam si opulenta esset, si ditissima, si regis uxor ipsius, si multis terræ frugibus repleta haberet promptuaria, nonne voluntatem ejus vehementius quam terram ipsam metus famis sterilem redderet ? Ne igitur hæc propheta diceret, aut animo versaret, ideireo prius eum per corvos aluit (3. *Reg.* 17. 6), ut per ea quæ gerebantur, ista propemodum illi diceret : si effeci, ut rationis expers natura hospitio te reciperet, multo magis ratione præditæ, ut hoc faciat, persuadebitur.

3. Propterea vidua post corvos. Videre erat prophetam mulierculæ factum obnoxium, animam illam ad cælos usque sublimem ac divinam, generosum et excelsum Heliam velut erronem quemdam ac mendicum ad viduæ januam venire, atque illud os, quod cælum clauserat, mendicorum voces effundere : Da mihi panem, da mihi aquam ; ut tu discas, nihil æque benevolum et humanum esse ac viduæ domum, et tabernaculum egestatis plenum, ac divitiarum expers, et malorum quæ ex divitiis oriuntur. Locus enim erat a tumultibus liber, omnisque philosophiæ plenus, et portu quovis tranquillior. Talia maxime requirunt domicilia sanctorum animæ.

Deus quomodo punit Sodomitarum nefaria scelera; quomodo Deus in puniendo eos se gessit. — Pergebat igitur ad viduam propheta, quæ Judæos, quibus perosi erant peregrini, exemplo erat suo redargutura : pergebat ad viduam, omnesque docebat, merito Judæos pœnam illam sustinere. Nam cum in aliquos pœnam illaturus est Deus, non quoquo modo supplicium immittit, neque sui judicii contentus est calculo, sed et apud homines excusat se rebus ipsis ac tuetur, perinde quasi communi quodam in judicio suspicionibus vulgi expositus disceptaret. Et quemadmodum qui judicium exercent, cum ad mortis supplicium quempiam sunt abducturi, in sublimi præsidentes tribunali, ac vela contrahi jubentes : totam civitatem circum sese stare curantes, ita velut in publico theatro judicant, et in oculis omnium atque auribus interrogationes adhibent reo, et acta, et commentarios scelerum ab illo perpetratorum legi præcipiunt, et efficiunt ut reus ipse suorum facinorum fiat accusator, ac tum demum sententiam ferunt : ita quoque Deus tamquam in excelso quodam tribunali prædicationis Scripturæ præsidens, universum orbem terrarum præcipiens circumsistere, spectantibus omnibus et audientibus, quæstionem instituit peccatorum, non commentarios et acta legi præcipiens, neque tabulas in medium adducens, sed ipsa reorum peccata nobis ob oculos contemplanda proponens.

4. Sane cum infesta fulmina in Sodomitas erat immissurus, et populos urbesque terribilis illius flammæ opera de medio regionis sublaturus, cum novum et insolitum illum imbrem dejiciebat, multo priori terribiliorem, quem primum et solum sol umquam aspexit : antequam ejusmodi pœnam inferret, eorum improbitatem, qui puniendi erant, nobis indicavit, non tabulis ut dixi lectis, sed adductis in medium ipsis eorum peccatis (*Gen.* 19). Propterea nimirum angelos misit, non tantum ut Lot educerent, sed ut illorum iniquitatem ostenderent ; quod etiam evenit. Cum enim eos Lot excepisset, hospitis domum obsederunt omnes, et in orbem circumsteterunt. Hujus autem obsidionis copiarum dux erat infandus amor, et iniqui cupiditas coitus, qui et ætatis et naturæ limites excedebat. Neque enim juvenes solum circumsteterunt, sed etiam seniores : et neque canities rabiem sedavit, neque furorem sene-

τὴν ἔφθασαν τῆς φιλοσοφίας ἀρετὴν, καὶ τὴν αὐτὴν ἐπεδείξαντο φιλοφροσύνην, τῇ τῶν κατορθωμάτων ὁμοιότητι τὴν συγγένειαν ἡμῖν τῶν Διαθηκῶν ἐνδεικνύμεναι. Καθάπερ γὰρ σκόπελοί τινες ὑψηλοὶ περιβεβλημένοι λιμένας, οὓς δὴ φάρους καλεῖν εἰώθασι, διὰ πάσης τῆς νυκτὸς ἄσβεστον ἔχοντες πῦρ, τοὺς πεπλανημένους κατὰ τὸ πέλαγος τῇ λαμπηδόνι τοῦ φωτὸς πρὸς τὴν τοῦ λιμένος χειραγωγοῦσιν ἀσφάλειαν· οὕτω καὶ αὗται καθάπερ τινὰς λιμένας τὴν φιλοφροσύνην περιβεβλημέναι, τῷ φωτὶ τῆς οἰκείας μεγαλοψυχίας τοὺς ἐν τῇ βαθυτάτῃ νυκτί· νυκτὸς γὰρ οὐδὲν ἄμεινον ἡμῶν ἡ ζωὴ διάκειται, καθάπερ καὶ ὁ Παῦλός φησιν, ὅτι *Ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικε*· τοὺς οὖν ἐν τῇ βαθυτάτῃ νυκτὶ κατὰ τὸ πέλαγος τῆς φιλαργυρίας πλανωμένους, καὶ γίνεσθαι μέλλοντας ὑποβρυχίους, πρὸς τὴν παρ' ἑαυτῶν καλοῦσιν ἀσφάλειαν, τὸ τῆς φιλανθρωπίας διαπαντὸς καιόμενον ἔχουσαι πῦρ, καὶ διασώζουσαι τὸ τῆς ἐλεημοσύνης ἄσβεστον φῶς.

β'. Ἀλλὰ περὶ ἐκείνης μὲν ἐν ἑτέρῳ καιρῷ· τήμερον δὲ περὶ τῆς ἐν τῇ Παλαιᾷ πρὸς ὑμᾶς ἐροῦμεν. Πάντως γὰρ καὶ ταύτης ἐπαινουμένης, ἐκείνης τῶν ἐγκωμίων οἱ στέφανοι πλέκονται· ὧν γὰρ τὰ κατορθώματα ἴσα, καὶ οἱ λόγοι τῶν ἐγκωμίων κοινοί. Ἐγένετο τοίνυν κατὰ τοὺς ταύτης χρόνους λιμὸς χαλεπός· οὐχὶ ἡ γῆ δὲ καμοῦσα παρῃτήσατο τὴν φοράν, ἀλλὰ τῶν ἀνθρώπων τὰ ἁμαρτήματα τοῦ Θεοῦ τὴν δωρεὰν ἀπεκρούσαντο. Ἐγένετο τοίνυν λιμὸς χαλεπὸς, καὶ λιμῶν ἁπάντων πικρότατος· καὶ τοῦτον ἦγαγε τὸν λιμὸν ὁ μέγας Ἠλίας, καθάπερ τινὰ φοβερὸν οἰκέτην καλέσας, ὥστε τοὺς συνδούλους τὸν Δεσπότην ὑβρίζοντας σωφρονίσαι· μᾶλλον δὲ ἐκάλεσεν αὐτὸν τῶν Ἰουδαίων τὰ ἁμαρτήματα· ἐκόμισε δὲ αὐτὸν τοῦ προφήτου τὸ στόμα, *Ζῇ* γάρ, φησὶ, *Κύριος ὁ Θεός, εἰ ἔσται ὑετὸς, εἰ μὴ διὰ στόματός μου.*

Ἦν τοίνυν ἀφόρητον κακόν· οὐδὲ γὰρ τὴν γαστέρα τῆς γῆς ἄγονον ἐποίησε μόνον ἡ φοβερὰ τοῦ προφήτου φωνὴ, ἀλλὰ καὶ αὐτὰ τῶν ποταμῶν τὰ ῥεῖθρα ἀνέστειλε, καὶ οἱ χείμαρροι τότε ἐξηραίνοντο πάντες. Καὶ καθάπερ πυρετὸς λάβρος καὶ διακαὴς εἰς σώματος φύσιν ἐμπεσὼν, οὐχὶ τὴν ἐπιφάνειαν ξηραίνει μόνον, ἀλλὰ καὶ πρὸς αὐτὸ χωρήσας τὸ βάθος, αὐτὴν τῶν ὀστῶν καταφρύγει τὴν φύσιν· οὕτω καὶ ὁ τότε γενόμενος αὐχμὸς, οὐχὶ τὴν ὄψιν τῆς γῆς κατέκαυσε μόνον, ἀλλὰ καὶ πρὸς αὐτὰς τὰς λαγόνας ἐλθὼν, πᾶσαν κάτωθεν ἀνέσπασε τὴν νοτίδα. Τί οὖν ὁ Θεὸς πρὸς τὸν προφήτην; *Ἀνάστηθι*, φησὶ, *καὶ πορεύθητι εἰς Σαρεφθὰ τῆς Σιδῶνος· ἐκεῖ ἐντελοῦμαι γυναικὶ χήρᾳ τοῦ διαθρέψαί σε.* Τί τοῦτο; ἐπὶ τῆς οἰκείας οὐδεμιᾶς ἀπέλαυσε φιλοφροσύνης, καὶ εἰς τὴν ἀλλοτρίαν αὐτὸν πέμπεις, καὶ πρὸς γυναῖκα χήραν; Εἰ γὰρ εὔπορος ἦν, εἰ γὰρ πλουσιωτάτη, εἰ γὰρ αὐτοῦ τοῦ βασιλεύοντος γυνὴ, εἰ γὰρ ταμιεῖα πολλῶν εἶχεν ἐμπεπλησμένα γεννημάτων, οὐκ ἂν αὐτῆς μᾶλλον τῆς γῆς τὴν προαίρεσιν ἀπεστείρωσεν ὁ τοῦ λιμοῦ φόβος; Ἵνα οὖν μὴ ταῦτα ὁ προφήτης λέγῃ, μηδὲ διαλογίζηται, διὰ τοῦτο αὐτὸ, [330] πρότερον διὰ τῶν κοράκων ἔθρεψε, μονονουχὶ πρὸς αὐτὸν λέγων διὰ τῶν γενομένων, ὅτι Εἰ τὴν ἄλογον φύσιν ξενοδοχῆσαί σε παρεσκεύασα, πολλῷ μᾶλλον ἡ λογικὴ πεισθήσεται τοῦτο ποιῆσαι.

γ'. Διὰ τοῦτο μετὰ τοὺς κόρακας ἡ χήρα. Καὶ ἦν ἰδεῖν τὸν προφήτην ὑπόδικον γενόμενον γυναικὸς, τὴν οὐρανομήκη καὶ θείαν ψυχὴν ἐκείνην, τὸν γενναῖον καὶ ὑψηλὸν Ἠλίαν, ὥσπερ ἀλήτην τινὰ καὶ προσαίτην πρὸς τὰς θύρας τῆς χήρας ἐρχόμενον, καὶ τὸ στόμα, ὃ τὸν οὐρανὸν ἔκλεισε, τὰς τῶν προσαιτούντων φθεγγόμενον φωνάς· Δός μοι ἄρτον, δός μοι ὕδωρ· ἵνα σὺ μάθῃς ὅτι οὐδὲν οὕτως ἐπιτήδειον, ὡς γυναικὸς οἰκία χήρας, καὶ σκηνὴ πενίας γέμουσα, καὶ πλούτου καὶ τῶν ἀπὸ τοῦ πλούτου κακῶν ἀπηλλαγμένη. Καθαρὸν γὰρ θορύβων ἦν τὸ χωρίον, καὶ πάσης φιλοσοφίας μεστὸν, καὶ λιμένος παντὸς εὐδιώτερον. Τοιαῦτα δὴ μάλιστα ἐνδιαιτήματα τῶν ἁγίων ἐπιζητοῦσιν αἱ ψυχαί.

Ἀπῄει τοίνυν πρὸς τὴν χήραν ὁ προφήτης, τῆς Ἰουδαϊκῆς μισοξενίας ἔλεγχον ἐσομένην· ἀπῄει πρὸς τὴν χήραν, διδάσκων ἅπαντας ὅτι δικαίως ἐκείνην τὴν κόλασιν ὑπομένουσιν Ἰουδαῖοι. Καὶ γὰρ ὅταν μέλλῃ τινὰς κολάζειν ὁ Θεὸς, οὐχ ἁπλῶς ἐπάγει τὴν τιμωρίαν, οὐδὲ τῇ τῆς οἰκείας κρίσεως ἀρκεῖται ψήφῳ, ἀλλὰ καὶ τοῖς ἀνθρώποις διὰ τῶν πραγμάτων ἀπολογεῖται, ὥσπερ ἐν κοινῷ δικαστηρίῳ κρινόμενος ταῖς τῶν πολλῶν ὑπονοίαις. Καὶ καθάπερ οἱ δικάζοντες, ὅταν μέλλωσί τινα τὴν ἐπὶ θάνατον ἄγειν ὁδὸν, ἐφ' ὑψηλοῦ τοῦ βήματος προκαθίσαντες, καὶ τὰ παραπετάσματα συνελκυσθῆναι κελεύσαντες, καὶ τὴν πόλιν αὐτοῖς περιστήσαντες ἅπασαν, οὕτω καθάπερ ἐν θεάτρῳ κοινῷ δικάζοντες πρὸς τὸν κατάδικον, ὑπὸ ταῖς ἁπάντων ὄψεσι καὶ ἀκοαῖς τὰς πεύσεις ποιούμενοι, καὶ τὰ ὑπομνήματα τῶν ἐκείνοις τετολμημένων ἀναγνωσθῆναι κελεύοντες, καὶ αὐτὸν τὸν ὑπεύθυνον τῶν αὐτῷ τετολμημένων γενέσθαι κατήγορον παρασκευάζοντες, τότε τὴν ψῆφον ἐπάγουσιν· οὕτω καὶ ὁ Θεὸς, καθάπερ ἐφ' ὑψηλοῦ τοῦ βήματος, τοῦ τῶν Γραφῶν κηρύγματος προκαθίσας, καὶ τὴν οἰκουμένην ἅπασαν περιστήσας, ὑπὸ ταῖς ἁπάντων ὄψεσι καὶ ἀκοαῖς ποιεῖται τῶν ἁμαρτημάτων τὴν ἐξέτασιν, οὐχ ὑπομνήματα ἀναγνωσθῆναι κελεύων, οὐδὲ γράμματα παράγων εἰς μέσον, ἀλλ' αὐτοῖς ἡμᾶς τοῖς τῶν καταδίκων ἐφιστῶν ἁμαρτήμασιν.

δ'. Ὅτε γοῦν τοὺς χαλεποὺς κεραυνοὺς κατὰ τῶν Σοδομιτῶν ἀφεῖναι ἤμελλε, καὶ δήμους καὶ πόλεις ἀναρπάζειν ἐκ μέσου τῆς χώρας διὰ τῆς φοβερᾶς φλογὸς ἐκείνης, ὅτε τὸν καινὸν καὶ παράδοξον ὑετὸν ἐπὶ τὴν γῆν ἤφιει, τοῦ προτέρου φρικωδέστερον ὄντα, ὃν πρῶτον καὶ μόνον ἥλιος ἐπεῖδεν· ἐπεὶ τοιοῦτον πρὶν [a] ἢ τὴν κόλασιν ταύτην ἐπαγαγεῖν, ἔδειξε τῶν μελλόντων κολάζεσθαι τὴν πονηρίαν ἡμῖν, οὐχὶ γράμματα ἀναγινώσκων, καθάπερ ἔφην, ἀλλ' αὐτὰ εἰς μέσον παραγαγὼν τὰ ἁμαρτήματα. Διὰ τοῦτο γοῦν ἔπεμψε τοὺς ἀγγέλους, οὐχ ἵνα τὸν Λὼτ ἐξαγάγωσι μόνον, ἀλλ' ἵνα σοι δείξωσι τὴν παρανομίαν ἐκείνων· ὃ δὴ καὶ γέγονεν. Ἐπειδὴ γὰρ αὐτοὺς ὁ Λὼτ ὑπεδέξατο, τὴν οἰκίαν ἐπολιόρκουν τοῦ ξενοδόχου πάντες, περιστάντες [331] κύκλῳ. Ἐστρατήγει δὲ τῆς πολιορκίας ἄτοπος ἔρως, καὶ μίξεως ἐπιθυμία παρανόμου, καὶ ἡλικίας καὶ φύσεως ὅρους ὑπερβαίνουσα. Οὐδὲ γὰρ νεανίσκοι περιέστησαν μόνον, ἀλλ' ἤδη καὶ πρεσβῦται· καὶ οὐδὲ ἡ πολιὰ τὴν λύτταν κατέπαυσεν, οὐδὲ τὸ γῆρας

[a] Savil. in marg. conj ἐπεῖδε τοιοῦτον· πρίν.

τὴν μανίαν ἔσβεσεν, ἀλλ' ἦν ἰδεῖν ἐν λιμένι ναυάγιον, ἐν γήρᾳ παράνομον ἐπιθυμίαν. Καὶ οὐδὲ ἐνταῦθα ἔστησαν τῆς παρανομίας, ἀλλὰ τοῦ Λὼτ ὑποσχομένου τὰς ἑαυτοῦ παραδώσειν θυγατέρας, οὐδὲ οὕτως ἀφίσταντο, ἀλλ' ἐπέκειντο, λέγοντες μὴ πρότερον ἀποστήσεσθαι, ἕως ἂν τοὺς ἄνδρας λάβωσι· καὶ μεγάλα ἠπείλουν δώσειν κακὰ τῷ τὰς ἑαυτοῦ θυγατέρας ὑποσχομένῳ δώσειν διὰ τὴν εἰς τοὺς ξένους τιμήν. Εἶδες πῶς πανταχόθεν ἔδειξε τῶν Σοδομιτῶν τὴν κακίαν, καὶ τότε τὴν τιμωρίαν ἐπήγαγεν; Ἵνα γὰρ μὴ μετὰ ταῦτα ὁρῶν κολαζομένους αὐτοὺς καταχλασθῇς διὰ τὸ μέγεθος τῆς συμφορᾶς, μηδὲ μετ' ἐκείνων ἐγκαλῇς τῷ Θεῷ, ἀλλὰ μετὰ τοῦ Θεοῦ κατακρίνῃς ἐκείνους, προλαβὼν τῇ τῆς πονηρίας ἀποδείξει, πάντα προανήρπασεν αὐτῶν τὸν ἔλεον, τῆς πρὸς αὐτοὺς συμπαθείας ἀπαγαγὼν ἡμᾶς. Ὃ δὴ καὶ νῦν ἐπὶ τοῦ προφήτου πεποίηκεν. Ἵνα μὴ θεωρῶν ὑπὸ τοῦ λιμοῦ διαφθειρομένους τοὺς Ἰουδαίους; ἀλγῇς, δείκνυσί σοι τὴν ἀπανθρωπίαν αὐτῶν καὶ τὴν ὠμότητα, καὶ τῆς φιλοξενίας τὴν σπάνιν. Οὐ γὰρ δὴ μόνον οὐχ ὑπεδέξαντο τὸν προφήτην, ἀλλὰ καὶ ἀποκτείνειν ἠπείλουν· καὶ τοῦτο δῆλον ἐκ τῶν Θεοῦ ῥημάτων. Οὐ γὰρ εἶπεν, *Ἀναχώρησον*, μόνον, ἀλλὰ καὶ, *Κρύβηθι*. Οὐκ ἀρκεῖ γάρ σοι πρὸς σωτηρίαν ἡ φυγή, ἀλλὰ δεῖ καὶ λαθεῖν μετὰ πολλῆς τῆς ἀκριβείας· δῆμος γάρ ἐστιν Ἰουδαϊκὸς, δῆμος αἱμάτων διψῶν προφητικῶν, καὶ ταῖς τῶν ἁγίων ἐμμελετήσας σφαγαῖς· ἀπὸ τῶν προφητικῶν αἱμάτων ἀεὶ τὰς ἑαυτῶν ἥμαξαν δεξιάς. Καὶ, ὅτε μὲν ἐκ τῆς Ἰουδαίας αὐτὸν ἐξέπεμψεν, *Ἄπελθε καὶ κρύβηθι*, φησίν· ὅτε δὲ πρὸς τὴν χήραν ἀπέστελλεν, *Ἐγὼ*, φησὶν, *ἐντελοῦμαι αὐτῇ*. Ὁρᾷς πῶς ἐκεῖθεν μὲν φεύγοντα μετὰ πολλῆς ἀσφαλείας τοῦτο ποιῆσαι προστάττει· ἐνταῦθα δὲ καταφεύγοντα μετὰ πολλῆς παῤῥησίας καὶ τοῦ θάῤῥους ἀπιέναι κελεύει;

ε'. Οὐ τοῦτο δὲ μόνον, ἀλλά τι καὶ ἕτερον ᾠκονόμηται διὰ τῆς τοῦ προφήτου πρὸς τὴν χήραν παρουσίας. Ἵνα γὰρ μὴ μετὰ ταῦτα ὁρῶντές τινες τὸν Χριστὸν μετὰ τὰς πολλὰς καὶ ἀφάτους εὐργεσίας τὰς ἐπὶ τῆς Ἰουδαίας, μετὰ τοὺς μυρίους νεκροὺς, οὓς ἀνέστησε, μετὰ τοὺς τυφλοὺς, οὓς ἀναβλέψαι ἐποίησε, μετὰ τοὺς λεπροὺς, οὓς ἐκάθηρε, μετὰ τοὺς δαίμονας, οὓς ἀπήλασε, μετὰ τὴν θαυμαστὴν καὶ σωτήριον διδασκαλίαν, παρὰ μὲν τῶν εὐεργετηθέντων ἐλαυνόμενον, παρὰ δὲ τῶν ἐν τοῖς ἔθνεσι τιμώμενον, οὐδὲν τοιοῦτον εἰδότων οὔτε ἀκηκοότων, θαυμάζωσι, διαπορῶσι, καὶ ἄπιστον τὸ πρᾶγμα εἶναι νομίζωσιν· ἄνωθεν καὶ πρὸ πολλοῦ τοῦ χρόνου διὰ τῶν δούλων τὴν Ἰουδαϊκὴν ἀγνωμοσύνην διδάσκει, καὶ τῶν ἐθνῶν φιλοφροσύνην ἡμᾶς παιδεύει. Οὕτω γοῦν τὸν Ἰωσὴφ, οὗ παρεγένετο θρέψων ἐκεῖνος, καὶ ἀνελεῖν ἐπεχείρησαν, ἄνθρωπος δὲ βάρβαρος εἰς μεγίστην ἤγαγε τιμήν. Οὕτω τὸν [332] Μωσέα ἀπήλασαν οἱ εὐεργετηθέντες Ἰουδαῖοι, ὑπεδέξατο δὲ ἄνθρωπος βάρβαρος Ἰωθὼρ, καὶ πολλῆς αὐτὸν φιλοφροσύνης ἠξίωσεν. Οὕτω τὸν Δαυῒδ ἀπήλασε μὲν ὁ Σαοὺλ μετὰ τὴν τοῦ Γολιὰθ κεφαλὴν, μετὰ τοὺς μυρίους κινδύνους, οὓς καὶ αὐτῷ καὶ τῇ πόλει πολλάκις ἐπαγομένους ἔλυσεν· ὑπεδέξατο δὲ Ἀγχοὺς ὁ βαρβάρων βασιλεὺς, καὶ εἰς πολλὴν ἤγαγε τιμήν. Οὕτω καὶ νῦν τὸν Ἠλίαν ἀπήλασαν μὲν Ἰουδαῖοι, ὑπεδέξατο δὲ ἡ χήρα. Ὅταν οὖν ἴδῃς τὸν Χριστὸν ἀπελαυνόμενον μὲν παρὰ αὐτῶν, ὑποδεχόμενον δὲ παρὰ τῶν ἐθνῶν, ἄνωθεν τοὺς τύπους καταμαθὼν, μὴ θαυμάσῃς ἐπὶ τῆς τοῦ πράγματος ἀληθείας. Ἤκουσας γοῦν καὶ σήμερον τοῦ Χριστοῦ λέγοντος, καὶ αὐτὸ τοῦτο αἰνιττομένου. Πρὸς γὰρ τοὺς Ἰουδαίους δυσχεραίνοντας διαλεγόμενος ἔλεγεν, ὅτι *Πολλαὶ χῆραι ἦσαν ἐν ταῖς ἡμέραις Ἠλίου, καὶ πρὸς οὐδεμίαν ἀπεστάλη Ἠλίας, εἰ μὴ πρὸς τὴν χήραν τὴν ἐν Σαρεφθοῖς τῆς Σιδῶνος*. Ἀλλ' ἴσως ἐκεῖνο ἄν τις διαπορήσειε, τί δήποτε τὸν οὕτω ζηλώσαντα ὑπὲρ τῆς τοῦ Θεοῦ δόξης θλίβεσθαι καὶ στενοχωρεῖσθαι ἀφῆκεν ὁ Θεὸς, νῦν μὲν εἰς τὸν χειμάῤῥουν πέμπων, νῦν δὲ πρὸς τὴν χήραν, νῦν δὲ εἰς ἄλλο χωρίον, καθάπερ τινὰ μετανάστην τόπους ἐκ τόπων ἀμείβειν παρασκευάζων. Ὅτι γὰρ ἐθλίβετο καὶ ἐστενοχωρεῖτο, ἄκουσον καὶ τοῦ Παύλου λέγοντος, *Περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι*. Τίνος οὖν ἕνεκεν θλίβεσθαι αὐτὸν συνεχώρησεν; Εἰ μὲν γὰρ ὑπὲρ τῶν εἰς αὐτὸν ἁμαρτημάτων ταύτην ἀπῄτει τοὺς Ἰουδαίους τὴν δίκην, εἰκότως ἄν τις ἔφησε τῇ στενοχωρίᾳ τῆς θλίψεως αὐτὸν λαμβάνειν πεῖραν, ὥστε γενέσθαι πραότερον, καὶ καθυφεῖναι τῆς ὠμότητος. Εἰ δὲ οὐχ ὑπὲρ τῶν εἰς αὐτὸν γινομένων αὐτοῖς μνησικακῶν, ἀλλ' ὑπὲρ τῆς εἰς τὸν Δεσπότην ἀσεβείας καὶ ὕβρεως τηκόμενος, ταύτην ἐπήγαγεν αὐτοῖς τὴν συμφορὰν, τίνος ἕνεκεν καὶ αὐτὸς κοινωνεῖ τῶν δεινῶν, καὶ οὐκ ἀπολαύει πολλῆς τῆς ἀνέσεως καὶ ἀδείας; Ὅτι εἰ τῶν ἄλλων κακουχουμένων καὶ τῷ λιμῷ διαφθειρομένων, αὐτὸς ἀνέσεως καὶ τραπέζης ἀπέλαυε πλουσίας, ἴσως ἄν τις ἐνόμισεν ὠμότητος εἶναι τὸ γεγενημένον. Θαυμαστὸν γὰρ οὐδὲν ἐδόκει, εὐθηνίας ἀπολαύοντα, τοῖς ἀλλοτρίοις ἐντρυφᾷν κακοῖς. Διὰ τοῦτο ὁ Θεὸς αὐτὸν ἀφῆκε κοινωνῆσαι τῆς συμφορᾶς, καὶ πεῖραν λαβεῖν τῶν συμβάντων δεινῶν, καὶ μετασχεῖν τοῦ λιμοῦ, ἵνα μάθῃς ὅτι οὐ λιμὸς, ἀλλὰ θεῖος ἦν ζῆλος παρ' αὐτῷ. Οὐ γὰρ ἂν εἵλετο στενοχωρούμενος οὕτω, καὶ ὑστερούμενος, καὶ θλιβόμενος, καὶ κακουχούμενος, μὴ λῦσαι τὴν ἀπειλὴν, εἰ μὴ ἀπὸ πολλοῦ τοῦ ζήλου τὴν μακαρίαν ἐκείνην ἀφῆκε φωνήν. Διόπερ καὶ ἥδιον ἦν αὐτῷ στενοχωρεῖσθαι, καὶ σωφρονιζομένους αὐτοὺς ὁρᾷν, ἢ τῆς ἀνάγκης ἀπαλλαγέντας τῆς ἐπικειμένης, πρὸς τὴν προτέραν ἀσέβειαν ἐπανελθόντας ἰδεῖν.

ς'. Τοιαῦται γὰρ πανταχοῦ τῶν ἁγίων αἱ ψυχαί· ὑπὲρ τῆς ἑτέρων διορθώσεως τὴν ἑαυτῶν ἀσφάλειαν προδιδόασιν. Ἵνα οὖν μή τις λέγῃ, ὅτι διὰ τὴν ὠμότητα ἐπέτεινε τὸν λιμὸν, ἀφῆκεν αὐτὸν κοινωνῆσαι τοῦ λιμοῦ, ἵνα μάθῃς τοῦ προφήτου τὴν φιλοσοφίαν. Καὶ [333] χωρὶς τούτου δὲ, ἐπειδὴ εἴωθέ πως ἡ τῶν θαυμάτων φύσις τούς τε θαυματουργοῦντας ἐπαίρειν, τούς τε ὁρῶντας θαύματα μείζονα τῆς ἀνθρωπίνης φύσεως περὶ αὐτῶν πείθει ἐπινοεῖν· καὶ ταῦτα ἀμφότερα διωρθώσατο, τὴν τῆς φύσεως ἐναλλάξας ἀσθένειαν. Καὶ ὅτι ταῦτα οὕτως ἔχει, ἐκ τῆς τοῦ Παύλου φωνῆς ῥᾴδιον μαθεῖν. Ὅτι μὲν γὰρ ἐπαίρει τὰ θαύματα, ἄκουσον τί φησι· *Καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων ἵνα μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ τῇ σαρκὶ, ἄγγελος Σατᾶν, ἵνα με κολαφίζῃ*. Ὅτι δὲ καὶ τοὺς ὁρῶντας τὰ θαύματα καὶ τοὺς ἀκούοντας μείζονα πείθει περὶ τῶν θαυματουργούντων ἐπινοεῖν, καὶ τοῦτο ἐκεῖθεν δῆλον. Εἰπὼν γὰρ περὶ

ctus exstinxit, sed videre erat in portu naufragium, iniquam in senectute cupiditatem. At non huc usque tantum progressa est illorum improbitas, sed et cum filias suas traditurum se Lot polliceretur, ne sic quidem recesserunt, sed urgebant dicentes non se prius quam viros accepissent recessuros; seque gravissima illaturos mala minabantur ei, qui ut hospitibus honorem deferret, filias suas se promiserat traditurum. Vides ut omni ex parte Sodomitarum nequitiam demonstrarit, ac deinde pœnam illis intulerit? Ne enim postea cum eos affectos supplicio videris, propter calamitatis magnitudinem animo frangaris, neque cum illis Deum accuses, sed illos cum Deo condemnes, antea demonstrata illorum improbitate omnem erga illos misericordiæ occasionem præripuit, et nos ab omni commiseratione in illos avocavit. Quod et nunc erga prophetam præstitit. Ne fame confectos intuens Judæos doleres, immanitatem illorum et crudelitatem ostendit, et quam raro comiter peregrinos exciperent. Non enim solum prophetam non susceperunt, sed et se interfecturos minabantur : id quod ex Dei verbis colligitur. Non enim ait tantum, *Recede*, sed etiam, *Abscondere* (3. *Reg.* 17. 3). Non sufficit ad salutem fuga, sed et oportet ut te diligenter occultes : populus quippe Judaicus est, populus sanguinem sitiens prophetarum, et in sanctis necandis exercitatus : semper manus suas prophetico sanguine cruentarunt. Et cum illum quidem emittebat ex Judæa, *Vade et abscondere*, inquit : cum autem ad viduam mittebat : *Ego*, inquit, *illi mandabo* (*Ibid. v.* 9). Vides, ut inde quidem fugientem jubeat illud cum multa cautione præstare; huc autem confugientem magna cum fiducia præcipiat et securitate discedere?

5. *Cur ab aliis ejectus, a vidua susceptus propheta; cur Heliam Deus affligi siverit.* — Neque solum hoc, sed et aliud per hunc prophetæ adventum ad viduam providit ac disposuit. Ne enim postea cum Christum nonnulli cernerent post multa et immensa beneficia in Judæam collata, post innumeros mortuos quos suscitaverat, post cæcos, queis visum restituerat, post leprosos, quos mundaverat, post dæmones, quos ejecerat, post admirabilem salutaremque doctrinam, ab illis, quos devinxerat beneficiis, esse vexatum, et a gentilibus honore affectum, qui nihil viderant, nec audiverant, mirarentur, dubitarent, et rem esse incredibilem existimarent : prius ac multo ante tempore per servos suos, et quam improbi fuerint Judæi nos docet, et quam comes et humani fuerint gentiles nos instruit. Sic nimirum et Joseph illi, quibus ipse cibaria ministraturus advenerat, etiam necare conati sunt : homo autem barbarus in summum illum honorem evexit. Non aliter Moysem, quem beneficio affecti expulere Judæi, homo barbarus Jothor excepit, et multam in eum comitatem et humanitatem exhibuit. Sic Davidem Saul post amputatum Goliath caput ejecit, post mille pericula quæ ab ejus civitatisque cervicibus sæpe depulerat : Anchus autem rex barbarorum excepit, et in magnum honorem evexit. Ita nunc etiam Heliam expulere Judæi, sed vidua suscepit. Quando igitur Christum ab illis repulsum videris exceptum a gentibus, animadversis antea figuris, ne prodentem se rei veritatem mireris. Audisti ergo Christum hodie dicentem, et hoc ipsum subindicantem. Cum enim Judæos indignantes alloqueretur, dicebat, *Multæ viduæ erant in diebus Heliæ, et ad nullam missus est Helias, nisi ad viduam, quæ erat in Sarephthis Sidonis* (*Luc.* 4. 25). Sed quæret fortasse quispiam, quam ob causam eum qui tantum pro Dei gloria zelum præ se tulerat, vexari Deus permiserit et affligi, cum eum ad torrentem nunc mitteret, nunc ad viduam, nunc alium in locum, tamquam exsulem quemdam volens locum ex loco mutare. Vexatum enim et afflictum fuisse audi quo pacto Paulus etiam testetur : *Circuierunt in melotis, in pellibus caprinis, egentes, angustiati, afflicti* (*Heb.* 11. 37). Cur igitur illum sivit affligi? Nam si quidem ob ea peccata quæ in ipsum admiserant, has a Judæis pœnas exegisset, merito dixisset eum vexatione ista periculum afflictionis fecisse, ut mitior fieret et nonnihil de crudelitate remitteret : si autem non quod malorum memor esset, quæ ab illis passus fuerat, sed quod propter eorum adversus Dominum improbitatem et insolentiam contabesceret, hanc illis calamitatem invehebat : qua de causa in consortium et ipse malorum vocatur, nec multis deliciis ac securitate perfruitur? Quia nimirum si dum alii calamitate premerentur, et fame perirent, ipse deliciis et opipara mensa frueretur, illud fortasse factum quispiam crudelitati tribuisset. Nihil enim mirum fuisset visum, hominem, cui affatim cuncta suppeterent, aliorum malis oblectari. Idcirco participem eum esse calamitatis permisit Deus, et experiri mala quæ accidebant, ac famem pati, ut discas non famem apud illum, sed zelum fuisse. Neque enim sic in angustias redactus, egestate pressus, vexatus, et afflictus adduci potuisset, ut minas rescinderet, nisi præ nimio zelo beatam illam vocem emisisset. Quocirca jucundius illi fuisset affligi, atque castigatos illos cernere, quam urgenti necessitate liberatos ad priorem reversos impietatem videre.

6. Tales enim sunt ubique animæ sanctorum : ut cæteri resipiscant, securitatem suam periculo exponunt. Ne quis diceret eum præ nimia crudelitate famem auxisse, participem eum fieri famis permisit, ut philosophiam prophetæ cognoscas. Præterea vero cum soleat plerumque miraculorum natura eos, qui miracula patrant, efferre, atque eorum spectatores in eam mentem impellere, ut aliquid in eis humana natura sublimius esse arbitrentur : his etiam duobus remedium adhibuit, et naturæ infirmitatem immutavit. Hæc autem ita se habere, facile fuerit ex Pauli vocibus intelligere. Nam miracula quidem efferre solere, audi quo pacto testetur : *Et ne magnitudo revelationum extollat me, datus est mihi stimulus carnis meæ, angelus Satanæ, ut me colaphizet* (2. *Cor.* 12. 7). Efficere porro miracula, ut qui ea cernunt, majorem concipiant opinionem de illis, a quibus eduntur, hoc

etiam inde constat. Cum enim suarum revelationum fecisset mentionem, addit, *Nam si voluero gloriari, non ero insipiens : veritatem enim dicam* (2. *Cor.* 12. 6). Cur non igitur gloriaris? *Parco autem, ne quis in me existimet, supra id quod videt me, aut aliquid audit ex me.* Ne igitur tale quidpiam prophetæ accideret (licet enim Helias esset, homo tamen erat), immiscuit miraculo naturæ defectum. Propterea qui cælo imperavit, fami non imperavit : qui terræ partum cohibuit, ventris reprimere necessitatem non potuit, sed muliere vidua indiguit, ut divinam gratiam agnoscas, et humanam simul infirmitatem. Non ad hoc tantum factum illud profuit, sed ad aliud quidpiam nihilo minus isto. Quodnam illud tandem? Ut cum te quispiam ad prophetæ zelum fuerit adhortatus, non animum despondeas, nec desperes, quod hominem esse alterius naturæ arbitreris, ideoque tantam apud Deum fiduciam habuisse. Quod quidem innuit quispiam cum dixit : *Helias homo erat similis nobis passibilis* (*Jac.* 5. 17) : quasi diceret : Ne impossibile arbitreris esse, ad idem cum illo philosophiæ fastigium pervenire : nam et ejusdem ille particeps fuit naturæ. Veruntamen admirabile ac divinum illud ejus propositum multo cæteris eum sublimiorem ostendit.

7. Sed jam tempus est, ut ad viduam redeamus. *Venit*, inquit, *in Sarephtha Sidonis, et invenit mulierem viduam colligentem ligna* (3. *Reg.* 17. 10). Digna domestica paupertate hactenus sunt vestibula. Quid igitur? num retro conversus est, cum talia vidisset hospitalitatis exordia? Nequaquam; quippe qui sententiam divinam audierat : sed clamavit post eam, et dixit : *Sume vero mihi aquam, et ivit, ut sumeret* (*Ib.* v. 11). Vere generosa et sapiens mulier, ac nisi paulo videatur audacius hoc dictum, ipsa etiam prophetæ magnanimitate digna : imo nullo pacto debet audax illud dictum videri : nisi enim digna fuisset, nequaquam habita digna fuisset, quæ sanctum illum exciperet. Quemadmodum et ad discipulos dixit Christus, *In quamcumque civitatem aut castellum intraveritis, interrogate, quis in ea dignus sit, et ibi manete* (*Matth.* 10. 11) : ita Deus hic quoque quoniam præ omnibus dignam noverat hanc mulierem, quæ prophetam susciperet, propterea cæteris omnibus omissis illuc eum misit. At enim ex rebus ipsis nobilitatem ejus videamus. *Sume mihi*, inquit, *aquam in vase.* Magna sane mulieris humanitas. Quod enim responderit, quod in colloquium ejus venerit, quod illum corripiens totam civitatem ad puniendum sacrum illud caput non vocaverit, nonne stupore et admiratione dignum videtur? Siquidem merito famis adactam necessitate mulierculam eo usque fuisse iracundia commotam, ex hoc Judaico exemplo cognosce.

Elisæus duplex Helias.— Discipulus Heliæ Elisæus, duplex Helias (duplicem enim magistrum in discipulo licebat intueri), famem postea prophetavit; non ipse immisit sicut Helias, sed venturam prædixit. Quid ergo rex, qui temporibus illis regnabat? Indutus est sacco, inquit : siquidem humiliavit eum calamitas : sic tamen humiliatus cum lamentantem mulierem audiisset propter ea quæ famis causa acciderant, tanta tum exarsit iracundia, ut confestim exclamarit ac dixerit : *Hæc faciat mihi Deus et hæc adjiciat, si stabit caput Elisæi filii Saphat super ipsum hodie* (4. *Reg.* 6. 31). Vidistin' regis iracundiam? Vide mulieris sapientiam : hæc enim invento eo qui non famem prædixerat, sed invexerat, cum prope civitatem esset, non indignata est, non excanduit, non cæteros ad supplicium sumendum vocavit, sed modestissime paruit.

8. Scitis autem quo pacto, si quando negotio quopiam simus occupati, ne familiares quidem sæpenumero lubenter aspiciamus, sed et adversus eos indignemur : cum vero tanta etiam afflictio ingruerit, vel ipsum etiam lumen molestiam nobis videtur exhibere : id quod rursus ex Judaico patet exemplo. Sane quidem cum venisset Moyses, et innumera Judæis annuntiasset bona, liberationem a tyrannide, libertatem, et in antiquam patriam reditum : *Videntes eum*, inquit, *non audierunt eum præ pusillanimitate, et operibus duris* (*Exod.* 6. 9). Illi tam faustum nuntium ferentem cum vidissent, aversati sunt : hæc venientem prophetam cum vidisset, non ut famem depelleret, sed ut illam gravaret, nihil ei tale accidit. Et illi quidem adeo difficiles ac morosi erant propter operum laborem : hæc autem non labore, sed fame vehementer afflicta (magnum quippe est inter laborem famemque discrimen), non modo virum non aversata est, sed etiam totam suam paupertatem exhausit, ut eum susciperet, qui famem illis induxerat. *Et ivit ut sumeret aquam*, inquit, *et clamavit propheta, et dixit, Sume mihi jam etiam panem, et comedam* (3. *Reg.* 17. 11). Quid igitur mulier? Ne hoc quidem ægre fert, sed quid ait? *Vivit Dominus Deus tuus, si est mihi panis subcineritius, nisi quantum pugillus farinæ* (*Ib.* v. 12). Quam ob causam jurat? Panem petiit propheta, cæterum illa panem non habebat. Timuit ergo, ne forte dum illa coqueret, torreret, præpararet, deinde tardaret, more impatiens propheta discederet, et præda hospitalitatis aufugeret. Propterea juramento illum præoccupavit dicens, non sibi farinam deesse, verum subcineritium panem sibi non esse, farinam esse. Neque juramento solum fidem facit, sed et ipsa rerum quæ fiunt demonstratione. *Ecce* enim, inquit, *colligo duo ligna, et ingrediar, et faciam illa filiis meis, et comedemus, et moriemur.*

Nullam relinquit excusationem divitibus vidua. — Audiant qui magnificas ædes construunt, et sumptuosa prædia mercantur, ac famulorum greges per forum traducunt : vel potius et locupletes et pauperes audiant omnes : nulli enim post viduam istam excusatio relinquetur. Tam multis illa impedimentis intricata erat, sed illa tamen interrupit et transcendit. Audi vero. Alienigena erat : unum est hoc impedimentum. Sidonia; secundum impedimentum. Non enim par est conditio, si alienigena sis quovis pacto, et si ex Sidone oriundus improbissima civitate:

τῶν ἀποκαλύψεων τῶν αὐτοῦ, φησίν· *Ἐὰν γὰρ καὶ θελήσω κυνηχήσασθαι, οὐκ ἔσομαι ἄφρων· ἀλήθειαν γὰρ ἐρῶ.* Τίνος οὖν ἕνεκεν οὐ καυχᾶσαι; *Φείδομαι δὲ μή τις εἰς ἐμὲ λογίσηται ὑπὲρ ὃ βλέπει με, ἢ ἀκούσῃ τι ἐξ ἐμοῦ.* Ἵνα οὖν μὴ καὶ ἐπὶ τοῦ προφήτου τοιοῦτόν τι συμβῇ (εἰ γὰρ καὶ Ἠλίας ἦν, ἀλλ' ἄνθρωπος ἦν), ἐγκατέμιξε θαύματι τὸ τῆς φύσεως ἐλάττωμα. Διὰ τοῦτο ὁ τῶν οὐρανῶν κρατήσας, τῆς πείνης οὐκ ἐκράτησεν· ὁ τὰς ὠδῖνας τῆς γῆς ἐπισχών, τῆς γαστρὸς τὴν ἀνάγκην ἐπισχεῖν οὐκ ἴσχυσεν, ἀλλὰ χήρας ἐδεῖτο γυναικὸς, ἵνα μάθῃς καὶ τὴν θείαν χάριν, καὶ τὴν ἀνθρωπίνην ἀσθένειαν. Οὐκ εἰς τοῦτο δὲ μόνον ὠφέλει τὸ συμβὰν, ἀλλὰ καὶ εἰς ἕτερον οὐκ ἔλαττον τούτου. Ποῖον δὴ τοῦτο; Ἵν' ὅταν σε παρακαλῇ τις πρὸς τὸν τοῦ προφήτου ζῆλον, μὴ καταπέσῃς, μηδὲ ἀπογνῷς νομίζων ἑτέρας εἶναι τὸν ἄνθρωπον φύσεως, καὶ διὰ τοῦτο τοσαύτην πρὸς τὸν Θεὸν ἐσχηκέναι τὴν παῤῥησίαν. Ὅπερ οὖν καί τις ᾐνίξατο εἰπών· *Ἠλίας ὁμοιοπαθὴς ἡμῖν ἦν ἄνθρωπος·* μονονουχὶ λέγων, Μὴ νομίσῃς ἀδύνατον εἶναι πρὸς τὴν αὐτὴν ἐκείνῳ φθάσαι τῆς φιλοσοφίας τὴν κορυφήν· καὶ γὰρ καὶ ἐκεῖνος τῆς αὐτῆς ἐκοινώνησε φύσεως. Ἀλλ' ὅμως ἡ θαυμαστὴ καὶ θεία προαίρεσις πολὺ τῶν ἄλλων αὐτὸν ὑψηλότερον ἔδειξεν.

ζ'. Ἀλλὰ καιρὸς λοιπὸν πρὸς τὴν χήραν ἐπανελθεῖν. *Ἦλθε,* φησὶν, *εἰς Σαρεφθὰ τῆς Σιδῶνος, καὶ εὗρε γυναῖκα χήραν συλλέγουσαν ξύλα.* Ἄξια τῆς ἔνδον πενίας τέως τὰ προπύλαια. Τί οὖν; ἀπετράπη τοιαῦτα τῆς φιλοξενίας ἰδὼν τὰ προοίμια; Οὐδαμῶς· θείας γὰρ ἦν ἀκηκοὼς ἀποφάσεως· ἀλλ' ἐβόησεν ὀπίσω αὐτῆς, καὶ εἶπε, *Λάβε δή μοι ὕδωρ, καὶ ἐπορεύθη λαβεῖν.* Ὄντως γενναία καὶ φιλόσοφος ἡ γυνὴ, καὶ εἰ μὴ τολμηρὸν εἰπεῖν, καὶ αὐτῆς τοῦ προφήτου μεγαλοψυχίας ἀξία· μᾶλλον δὲ οὐ τολμηρὸν εἰπεῖν· εἰ γὰρ μὴ ἦν ἀξία, οὐκ ἂν ὑποδέξασθαι κατηξιώθη τὸν ἅγιον ἐκεῖνον. Καθάπερ ὁ Χριστός φησι πρὸς τοὺς μαθητάς· ὅτι *Εἰς ἣν δὲ ἂν πόλιν ἢ κώμην εἰσέλθητε, ἐρωτήσατε τίς ἄξιος ἐν αὐτῇ, κἀκεῖ μείνατε·* οὕτω καὶ ἐνταῦθα ὁ Θεὸς, ἐπειδὴ μάλιστα πάντων ἀξίαν ᾔδει τὴν γυναῖκα τοῦ δέξασθαι τὸν προφήτην, διὰ τοῦτο τὰς ἄλλας πάσας ἀφεὶς, ἐκεῖσε αὐτὸν ἔπεμψε. Πλὴν ἀλλὰ καὶ δι' αὐτῶν τῶν πραγμάτων ἴδωμεν αὐτῆς τὴν εὐγένειαν. *Λάβε δή μοι,* φησὶν, *ὕδωρ εἰς ἄγγος.* Πολλὴ ἡ [334] φιλοφροσύνη τῆς γυναικός. Ὅτι γὰρ ἀπεκρίνατο, ὅτι λόγου μετέδωκεν, ὅτι μὴ κατασχοῦσα αὐτὸν τὴν πόλιν ἅπασαν ἐκάλεσε πρὸς τὴν τιμωρίαν τῆς θείας ἐκείνης κεφαλῆς, οὐκ ἄξιον ἐκπλήττεσθαι καὶ θαυμάζειν; Καὶ γὰρ ὅτι εἰκὸς ἦν τοῦ λιμοῦ τὴν ἀνάγκην πρὸς ταύτην ἐξαγαγεῖν τὴν ὀργὴν τὸ γύναιον, ἐξ Ἰουδαϊκοῦ παραδείγματος μάνθανε.

Ὁ Ἐλισσαῖος, ὁ μαθητὴς τοῦ Ἠλίου, ὁ διπλοῦς Ἠλίας (ἐν γὰρ τῷ μαθητῇ διπλοῦν τὸν διδάσκαλον ἦν ἰδεῖν), προεφήτευσε μετὰ ταῦτα λιμόν· οὐχὶ αὐτὸς ἐπήγαγε, καθάπερ Ἠλίας, ἀλλὰ μέλλοντα ἥξειν προεῖπε. Τί οὖν ὁ βασιλεὺς, ὁ κατ' ἐκείνους τοὺς χρόνους βασιλεύων; Περιεβάλλετο σάκκον, φησί· καὶ γὰρ ἐταπείνωσεν αὐτὸν ἡ συμφορά· ἀλλ' ὅμως οὕτω ταπεινωθεὶς, ἀκούσας γυναικὸς ὀδυρομένης τινὸς ἐπὶ συμβᾶσι διὰ τὸν λιμὸν, εἰς τοσαύτην ἐξηνέχθη τότε ὀργὴν, ὡς ἀναβοῆσαι εὐθέως καὶ εἰπεῖν, *Τάδε ποιήσαι μοι ὁ Θεὸς, καὶ τάδε προσθείη, εἰ στήσεται ἡ κεφαλὴ Ἐλισσαίου υἱοῦ Σαφὰτ ἐπ' αὐτὸν σήμερον.* Εἶδες τοῦ βασιλέως τὴν ὀργήν; Μάθε τῆς γυναικὸς τὴν φιλοσοφίαν· αὕτη γὰρ οὐχὶ τὸν προειπόντα λιμὸν, ἀλλὰ τὸν ἐπαγαγόντα εὑροῦσα, καὶ τῆς πόλεως οὖσα ἐγγὺς, οὐκ ἠγανάκτησεν, οὐκ ἠγρίανεν, οὐχ ἑτέρους πρὸς τιμωρίαν ἐκάλεσεν, ἀλλὰ καὶ μετὰ πολλῆς ὑπήκουσε τῆς ἐπιεικείας.

η'. Ἴστε δὲ ὅτι ἐπειδάν περί τινα χρείαν ὦμεν ἠσχολημένοι, οὐδὲ τοὺς ἐπιτηδείους πολλάκις ὁρῶμεν ἡδέως, ἀλλὰ καὶ πρὸς αὐτοὺς δυσχεραίνομεν· ὅταν δὲ θλῖψις τοσαύτη παρῇ, καὶ αὐτὸ τὸ φῶς ἐνοχλεῖν ἡμῖν δοκεῖ· καὶ τοῦτο πάλιν ἐξ Ἰουδαϊκοῦ μαθεῖν ἔστι παραδείγματος. Ὅτε γοῦν ἦλθεν ὁ Μωϋσῆς τὰ μυρία τοῖς Ἰουδαίοις ἀπαγγέλλων ἀγαθὰ, τυραννίδος ἀπαλλαγὴν, ἐλευθερίαν, καὶ πρὸς τὴν παλαιὰν πατρίδα ἐπάνοδον· *Ἰδόντες αὐτὸν,* φησὶν, *οὐκ ἤκουσαν αὐτοῦ ἀπὸ τῆς ὀλιγοψυχίας, καὶ τῶν ἔργων τῶν σκληρῶν.* Ἐκεῖνοι τὸν κομίζοντα εὐαγγέλια τοσαῦτα ἰδόντες ἐπεστράφησαν· αὕτη δὲ ἰδοῦσα τὸν προφήτην ἐλθόντα, οὐχὶ ὥστε λῦσαι τὸν λιμὸν, ἀλλ' ὥστε καὶ αὐτῇ γενέσθαι βαρὺν, οὐδὲν τοιοῦτον ἔπαθε. Κἀκεῖνοι μὲν οὕτως ἦσαν δυσχερεῖς διὰ τὸν τῶν ἔργων πόνον· αὕτη δὲ οὐχὶ πόνου, ἀλλὰ λιμοῦ σφοδρῶς ἐπικειμένου (πολὺ δὲ πόνου καὶ λιμοῦ τὸ μέσον), οὐ μόνον οὐκ ἀπεστράφη τὸν ἄνδρα, ἀλλὰ καὶ πᾶσαν αὐτῆς τὴν πενίαν ἐκένωσεν, ὥστε ὑποδέξασθαι τὸν ἐπαγαγόντα αὐτοῖς τὸν λιμόν. *Καὶ ἐπορεύθη,* φησὶ, *λαβεῖν ὕδωρ, καὶ ἐβόησεν ὁ προφήτης καὶ εἶπε, Λάβε δή μοι καὶ ἄρτον, καὶ φάγομαι.* Τί οὖν ἡ γυνή; Οὐδὲ ἐνταῦθα δυσχεραίνει, ἀλλὰ τί φησι; *Ζῇ Κύριος ὁ Θεός σου, εἰ ἔστι μοι ἐγκρυφίας, ἀλλ' ἢ ὅσον δρὰξ ἀλεύρου.* Τίνος ἕνεκεν ὄμνυσιν; Ἄρτον ᾔτησεν ὁ προφήτης, αὐτὴ δὲ ἄρτον οὐκ εἶχεν. Ἔδεισεν οὖν μή ποτε πεπτούσης αὐτῆς, ὀπτώσης, καὶ παρασκευαζούσης, εἶτα βραδυνούσης, οὐκ ἀναμείνας τὴν ἀναβολὴν ὁ προφήτης ἀποπηδήσῃ, καὶ φύγῃ τῆς φιλοξενίας τὸ θήραμα. Διὰ τοῦτο αὐτὸν ὅρκῳ προκατέλαβε λέγουσα, οὐχ ὅτι Οὐκ ἔστι μοι ἄλευρον, ἀλλ' ὅτι Ἐγκρυφίας μὲν οὐκ ἔστιν, [335] ἄλευρον δέ ἐστι. Καὶ οὐ διὰ τοῦ ὅρκου μόνον αὐτὸν πιστοῦται, ἀλλὰ καὶ δι' αὐτῆς τῶν πραγμάτων τῆς ἀποδείξεως. *Ἰδοὺ γὰρ,* φησὶ, *δύο συλλέγω ξυλάρια, καὶ εἰσελεύσομαι, καὶ ποιήσω αὐτὰ τοῖς τέκνοις μου, καὶ φαγόμεθα, καὶ ἀποθανούμεθα.*

Ἀκουέτωσαν οἱ τὰς λαμπρὰς οἰκίας οἰκοδομούμενοι, καὶ τοὺς πολυτελεῖς ἀγροὺς ὠνούμενοι, καὶ οἰκετῶν ἀγέλας ἐπὶ τῆς ἀγορᾶς περιφέροντες· μᾶλλον δὲ καὶ εὔποροι καὶ πένητες ἀκουέτωσαν πάντες· οὐδενὶ γὰρ μετὰ τὴν χήραν ταύτην ἀπολογία ἔσται λοιπόν. Τοσαῦτα ἦν αὐτῇ τὰ κωλύματα, ἀλλ' ὅμως πάντα ἐκεῖνα διέκοψε καὶ ὑπερέβη. Ἄκουε δέ. Ἀλλόφυλος ἦν· ἓν τοῦτο τὸ κώλυμα. Σιδωνία· δεύτερον κώλυμα. Οὐδὲ γὰρ ἴσον ἀλλόφυλον εἶναι ἁπλῶς, καὶ Σιδώνιον τῆς πονηροτάτης πόλεως· ὡς γὰρ ἔσχατον κακίας

ὑπόδειγμα, τὴν πόλιν ἐκείνην ἐν τοῖς Εὐαγγελίοις παρήγαγεν ὁ Χριστός. Ἦν τοίνυν καὶ ἀλλόφυλος, καὶ Σιδωνία, καὶ γυνή, τὸ ἀσθενὲς γένος καὶ πάντοθεν δεόμενον τῆς ἀντιλήψεως. Προσῆν καὶ χηρεία, τέταρτον κώλυμα· πέμπτον, ἐκείνων ἁπάντων μεῖζον, παιδοτροφίας ἐπιμέλεια. Ἀκουέτωσαν αἱ χῆραι καὶ παῖδας τρέφουσαι, ὡς οὐκ ἦν ἱκανὴ ἡ σκῆψις αὕτη πρὸς τὸ μὴ ποιεῖν ἐλεημοσύνην, μηδὲ ὑποδέχεσθαι ξένους· καὶ δραξ ἀλεύρου ὑπελέλειπτο μόνον, καὶ μετ' ἐκείνην θάνατος προσεδοκᾶτο. Σὺ μὲν γὰρ κἂν ἅπαντα κενώσῃς τὰ χρήματα, κἂν γυμνώσῃς τῆς περιουσίας σαυτὸν, δύνασαι πρὸς τὰς ἑτέρων θύρας ἀπελθεῖν καὶ τυχεῖν παραμυθίας· τότε δὲ οὐδὲ ἐπαιτεῖν δυνατὸν ἦν, οὕτως ἅπαντας τοὺς λιμένας ἔχωσεν ὁ λιμός. Ἀλλ' οὐδὲν τούτων ἐκώλυσεν. Εἶπω καὶ ἕβδομον κώλυμα, αὐτὸν τὸν μέλλοντα ἐπιξενίζεσθαι τῇ γυναικί. Οὐδὲ γὰρ οἰκεῖος, οὐδὲ γνώριμος ἦν, ἀλλὰ ξένος καὶ ἀλλότριος, καὶ κατ' αὐτὸν τῆς εὐσεβείας λόγον κεχωρισμένος αὐτῆς. Οὐ μόνον δὲ ξένος καὶ ἀλλότριος, ἀλλὰ καὶ αὐτὸς ἦν ὁ τὸν λιμὸν ἐπαγαγών.

θ'. Ἀλλ' οὐδὲν τούτων ἀπέτρεψε τὴν γυναῖκα, ἀλλ' ἐξ ἴδου τροφὴν στόματι τῷ πᾶσαν αὐτῆς δαπανήσαντι τὴν τροφὴν, καὶ τὸν αἴτιον τοῦ λιμοῦ τοῖς λειψάνοις ἔτρεφε τοῦ λιμοῦ. Διὰ σὲ, φησὶν, ἡ ἅπασά μοι περιουσία εἰς τὴν δράκα περιέστη ταύτην· ἀλλ' οὐδὲ τῆς δρακὸς ταύτης φείδομαι διὰ σὲ, ἀλλὰ καὶ ἐμαυτὴν καὶ τὰ παιδία ἐπιδώσω θανάτῳ, ἵνα σὺ, φησὶν, ὁ τῆς στενοχωρίας αἴτιος μηδὲ μικρὰν τῆς στενοχωρίας αἴσθησιν λάβῃς. Ποίαν τις ὑπερβολὴν ἐπινοήσειε φιλοξενίας ἑτέραν; Οὐκ ἔστιν οὐδεμίαν εὑρεῖν. Εἶδε ξένον, καὶ τῆς φύσεως εὐθέως ἐπελάθετο, καὶ τὰς ὠδῖνας ἠγνόησε, καὶ πρὸς τὸν τῶν παίδων βλέπουσα χορὸν, οὐ κατεκλάσθη. Καὶ οἶδα μὲν ἀκούσας πολλάκις λεγόντων πολλῶν, ὅτι Ὁ δεῖνα πτωχὸν ἰδὼν, τὸν χιτωνίσκον, ὃν περιεβέβλητο μόνον, τοῦτον ἀποδυσάμενος, τὸν γυμνὸν περιέβαλεν, αὐτὸς δὲ παρ' ἑτέρου δανεισάμενος ἱμάτιον, οὕτως ἀπῆλθε· καὶ μέγα ἔδοξε τοῦτο εἶναι καὶ θαυμαστόν. Καὶ γὰρ ὄντως ἐστὶ μέγα· τὸ δὲ τῆς χήρας ταύτης πολὺ τούτου μεῖζον. Ἐκεῖνος μὲν γὰρ ἑαυτὸν γυμνώσας, καὶ τὸν γυμνὸν περιβαλὼν, ἔσχε παρ' ἑτέρου λαβεῖν ἱμάτιον· αὕτη δὲ τὴν δράκα [336] τοῦ ἀλεύρου προῖεμένη, οὐκ ἴσχυσε δράκα ἑτέραν λαβεῖν· οὐδὲ μέχρι γυμνότητος ἦν ὁ κίνδυνος αὐτῇ, ἀλλὰ μετ' ἐκεῖνο θάνατος προσεδοκᾶτο καὶ αὐτῆς καὶ τῶν παίδων. Ὅταν οὖν μήτε πενίας, μήτε παιδοτροφίας ἐπιμέλεια κωλύσῃ, μήτε λιμὸς χαλεπὸς, μήτε πτωχεία τοσαύτη, μήτε θάνατος προσδοκώμενος, ποίαν ἕξομεν ἀπολογίαν οἱ εὔποροι; ποίαν οἱ πένητες; *Ζῇ Κύριος ὁ Θεός σου, εἰ ἔστι μοι ἐγκρυφίας, ἀλλ' ἢ ὅσον δραξ ἀλεύρου ἐν τῇ ὑδρίᾳ, καὶ ὀλίγον ἔλαιον ἐν τῷ καμψάκῃ· καὶ ἰδοὺ συλλέγω δύο ξυλάρια, καὶ εἰσελεύσομαι, καὶ ποιήσω αὐτὰ τοῖς τέκνοις μου, καὶ φαγόμεθα, καὶ ἀποθανούμεθα.* Ταύτην ἕκαστος τὴν ἐλεεινὴν, μᾶλλον δὲ ἕκαστος ταύτην τὴν μακαρίαν φωνὴν καὶ τῶν οὐρανῶν ἀξίαν ἐν τοῖς τοίχοις τῆς οἰκίας ἐγγραφέτω τῆς ἑαυτοῦ, ἐν τῷ θαλάμῳ, ἐν ᾧ ἂν καθεύδωμεν, ἐν τῷ οἴκῳ, ἐν ᾧ ἀριστοποιούμεθα. Ταύτην ἐπὶ τῆς οἰκίας, ταύτην ἐπὶ τῆς ἀγορᾶς, ταύτην ἐν τοῖς συλλόγοις τῶν φίλων, ταύτην εἰς δικαστήριον ἀπιὼν, ταύτην εἰσιὼν, ταύτην ἐξιὼν ἕκαστος μελετάτω τὴν φωνήν· καὶ σφόδρα ἂν ἰσχυρισαίμην, ὅτι οὐδ' ἂν εἰ λίθινός τις εἴη, καὶ σιδηροῦς, καὶ ἀδάμας, ἀνέξεται προσελθόντα πένητα κεναῖς ἀποπέμψαι χερσὶν, ἂν τὴν φωνὴν ἐγγράψῃ ταύτην, ἂν τὴν χήραν πρὸ τῶν ὀφθαλμῶν ἔχῃ.

Ἀλλ' ἴσως ἐκεῖνο ἐρεῖ τις· Ἄγε κἀμοὶ προφήτην, καὶ μετὰ τῆς αὐτῆς εὐνοίας ὑποδέξομαι. Ὑπόσχου τοῦτο, καὶ ἄγω σοι τὸν προφήτην. Καὶ τί λέγω τὸν προφήτην; Αὐτὸν ἄγω σοι τὸν τοῦ προφήτου Δεσπότην, τὸν κοινὸν ἡμῶν Θεὸν καὶ Κύριον τὸν Χριστόν. Αὐτὸς γάρ φησιν, ὅτι *Πεινῶντά με εἴδετε, καὶ ἐθρέψατε.* Εἰ δὲ ἀπιστοῦσί τινες τῇ φωνῇ, καὶ τῆς φιλοφροσύνης ἀμελοῦσι, μαθήσονται τότε διὰ τῆς κολάσεως καὶ τῆς τιμωρίας τοῦτο. Ὥσπερ γὰρ αὐτοῦ τοῦ Χριστοῦ παραμελήσαντες, οὕτω πρὸς ἀφόρητον ἀπελεύσονται κόλασιν. Οὕτως οὖν οἱ τοὺς πτωχοὺς τρέφοντες καθάπερ αὐτὸν τὸν Χριστὸν θεραπεύσαντες, εἰς τὴν τῶν οὐρανῶν εἰσάγονται βασιλείαν.

ι'. Τάχα πλείω τοῦ δέοντος τὰ εἰρημένα. Εἴθε μὲν οὖν πάσας τὰς ἡμέρας ἐνδιατρίβειν ἦν τοῖς περὶ τῆς ἐλεημοσύνης λόγοις. Εἰ δὲ ἀρκούντως ὑμῖν ἔχειν ταῦτα δοκεῖ, φέρε αὐτὰ ἀνακεφαλαιωσώμεθα πάντα. Εἶπον τίνος ἕνεκεν ὁ προφήτης πρὸς τὴν χήραν ἀπεστέλλετο, ἵνα μὴ μακαρίζῃς [a] πενίαν, ἵνα μὴ θαυμάζῃς πλοῦτον, ἵνα μὴ τὸν εὔπορον ζηλωτὸν εἶναι νομίζῃς, ἵνα μὴ τὸν ἐν πτωχείᾳ ζῶντα ἄθλιον καὶ ἐλεεινὸν, ἵνα μάθῃς τὴν Ἰουδαϊκὴν πονηρίαν. Ἔθος γὰρ τῷ Θεῷ μέλλοντι κολάζειν, καὶ ἡμῖν ἀπολογεῖσθαι διὰ τῶν πραγμάτων αὐτῶν· ἵνα μὴ μετὰ ταῦτα ἰδὼν τὸν κοινὸν ἁπάντων Σωτῆρα παρὰ μὲν ἐκείνων ἐλαυνόμενον, παρὰ δὲ τῶν ἐθνῶν ὑποδεχόμενον, θαυμάζῃς καὶ διαπορῇς, ἄνωθεν αὐτῶν τὴν ἀγνωμοσύνην καταμαθὼν, καὶ ὡς ἔθος αὐτοῖς τοὺς εὐεργέτας ἐλαύνειν· ἵνα μὴ νομίσῃς ὠμότητος εἶναι τοῦ προφήτου τὴν εὐχὴν, καὶ τὴν τῆς τιμωρίας παράτασιν, ἀλλὰ ζήλου θείου καὶ κηδεμονίας· ἵνα μάθῃς ὅτι ἐν τοῖς μεγίστοις κατορθώμασι καὶ σωφρονισμοῦ ἡμῶν ἡ φύσις δεῖται· ἵνα μὴ παρακαλούμενος εἰς τὸν αὐτὸν τοῦ προφήτου ζῆλον, ἀδύνατον εἶναι νομίσῃς τὴν μίμησιν. Εἶπον περὶ [337] τῆς χήρας, πῶς ἐν τοσαύτῃ στενοχωρίᾳ οὖσα, τοῦ λιμοῦ καταναγκάζοντος, οὐδὲ ῥῆμα πικρὸν πρὸς τὸν προφήτην ἐξέβαλε, καίτοι γε εἰκὸς ἦν· καὶ ἔδειξα καὶ τοῦτο ἐκ τῶν Ἰουδαϊκῶν φρονημάτων· ἀλλ' οὐδὲν τοιοῦτον ἔπαθεν ἐκείνη, ἀλλὰ μετὰ πάσης αὐτὸν ἐδέξατο φιλοφροσύνης, καὶ τὴν πενίαν ἅπασαν εἰς τὴν ἐκείνου τιμὴν ἐκένωσε, καὶ Σιδωνία οὖσα καὶ ἀλλόφυλος, καὶ οὔτε τῶν προφητῶν φιλοσοφούντων περὶ ἐλεημοσύνης ἤκουσεν, οὔτε τοῦ Χριστοῦ λέγοντος, *Πεινῶντά με εἴδετε, καὶ ἐθρέψατε.* Τίς οὖν ἡμῖν ἔσται συγγνώμη, εἰ μετὰ τοιαύτας παραινέσεις, εἰ μετὰ τοιούτων ἐπάθλων ὑπόσχεσιν, εἰ μετὰ τὴν βασιλείαν τῶν οὐρανῶν, μὴ φθάσαιμεν πρὸς τὸ αὐτὸ τῇ χήρᾳ τῆς φιλοφροσύνης μέτρον; Ἐκείνη μὲν γὰρ καὶ Σιδωνία ἦν, καὶ ἀλλόφυλος, καὶ γυνὴ χήρα, καὶ παίδων ἐπεμελεῖτο πολλῶν, καὶ λιμὸν ἐπικίνδυνον ἑώρα καὶ θάνατον προσδοκώμενον, καὶ ἄνθρωπον ἀγνῶτα ὑποδέχεσθαι ἔμελλε καὶ τὸν ἐπαγαγόντα τὸν λιμὸν, καὶ οὐδὲ οὕτως ἐφείσατο τῆς δρακός· ἡμεῖς

[a] F. ταλανίζῃς.

tanquam enim summæ improbitatis exemplum in Evangeliis illam urbem in medium Christus adduxit (*Matth.* 11. 21. 22). Erat igitur et alienigena, et Sidonia, et mulier, sexus infirmus, et omni ex parte subsidio indigens. Accedebat viduitas quartum impedimentum : quintum illis omnibus majus, alendorum cura liberorum. Audiant viduæ, ac liberorum nutrices, non fuisse idoneam et legitimam illam excusationem, quominus impertiret eleemosynam, vel hospites exciperet : et pugillus farinæ reliquus erat tantum, ac post illum mors exspectabatur. Nam tu quidem licet omnes pecunias profuderis, licet facultatibus teipsum spoliaveris, potes ad aliorum fores pergere, atque inde solatium obtinere : tum vero neque mendicare licebat, ita portus omnes fames obstruxerat. Nihil tamen horum prohibuit. Dicam et septimum impedimentum, ipsum nimirum, quem mulier hospitio fuit exceptura. Nam neque familiaris, neque notus erat, sed peregrinus et alienus, et ipso religionis ab illa septo separatus. Neque vero tantum peregrinus, et exterus, sed ille ipse erat, qui famem induxerat.

9. Nihil tamen horum feminam avertit, sed ori cibum porrigebat, quod omnes illi cibos absumpserat, et famis auctorem famis reliquiis nutriebat. Propter te, inquit, facultates omnes meæ ad hunc pugillum redactæ sunt : sed nec isti pugillo tua causa parcam, verum et me et liberos meos objiciam morti, ut tu, inquit, hujus auctor necessitatis ne minimum quidem necessitatis sensum capias. Cui potuit umquam majus hospitalitatis studium in mentem venire? Nullum plane licebit reperire. Vidit peregrinum, et naturæ confestim oblita est, dolores partus ignoravit, et oculis ad filiorum turbam conversis animo fracta non est. Ac me quidem scio frequenter audiisse multos qui dicerent : Ille cum pauperem conspexisset, tunicam, qua sola erat indutus, exuens nudum vestivit; ipse vero, cum mutuam ab altero vestem sumpsisset, deinde discessit : et hoc magnum quid et mirabile visum est. Siquidem vere magnum est : istud vero viduæ factum hujus multo illo majus. Nam ille quidem cum se nudasset, ac nudum operuisset, potuit ab altero vestem accipere : hæc vero cum farinæ pugillum prodegisset, alterum pugillum accipere minime potuit; neque nuditatis tantum illi periculum subeundum erat, sed postea mors ipsius ac liberorum erat exspectanda. Cum igitur neque paupertate, neque alendorum cura filiorum, neque gravi fame, neque tanta egestate, neque mortis exspectatione fuerit impedita, quæ nobis reliqua erit excusatio locupletibus, quæ pauperibus? *Vivit Dominus Deus tuus, si est mihi panis subcinericius, nisi quantum pugillus farinæ in hydria, et parum olei in lecytho : et ecce colligo duo ligna, et ingrediar, et faciam illa filiis meis, et comedemus, et moriemur.* Hanc unusquisque miserandam, vel potius unusquisque beatam illam vocem ac cælo dignam domus suæ parietibus inscribat, in cubiculo, in quo dormimus, in conclavi, in quo prandemus. Hanc in ædibus, hanc in foro, hanc in amicorum cœtibus, hanc dum ad judicum tribunal pergit, hanc dum ingreditur, hanc dum egreditur vocem quisque meditetur : et constanter affirmo, quantumvis saxeus fuerit quis, et ferreus, et adamas, minime umquam adductum iri ut accedentem pauperem vacuis manibus a se dimittat, si vocem hanc inscripserit, si viduam ante oculos positam habuerit.

Non prophetæ solum excipiendi sunt. — Sed dicet fortasse quispiam: Adducito mihi prophetam, et eadem cum benevolentia illum suscipiam. Hoc mihi promitte, tum ego tibi prophetam adducam. Quid dico prophetam? Ipsum tibi prophetæ Dominum adducam, communem Deum ac Dominum nostrum Christum. Ipse enim dicit, *Esurientem me vidistis, et aluistis* (*Matth.* 25. 35). Quod si qui forte voci fidem derogant, et humanitatem non curant, cum supplicio pœnisque castigati hoc discent. Tamquam enim Christum ipsum non curassent, sic ad intolerandum supplicium abducentur. Sic igitur et qui pauperes aluerint, quasi Christum ipsum curarint, in regnum cælorum introducuntur.

10. Fortasse plura dicta sunt, quam oportuit. Utinam autem dies omnes in sermones de eleemosyna liceret impendere! Quod si vobis hæc sufficere videntur, age summatim omnia illa repetamus. Dixi qua de causa propheta ad viduam mitteretur, ne paupertatem despicias, ne divitias tanti facias, ne locupletem beatum arbitreris, ne infelicem ac miseratione dignum eum qui egestate premitur, ut Judaicam nequitiam cognoscas. Hic enim Dei mos est, cum supplicium est illaturus, ut rebus ipsis se purget : ne cum postea communem omnium Salvatorem rejectum ab illis videris, et a gentibus susceptum, mireris et dubites, cum multo ante ipsorum improbitatem cognoveris, eosque bene de se meritos vexare consuevisse : ne crudelitatis esse arbitreris orationem prophetæ, atque productionem pœnæ, sed zeli divini ac sollicitudinis : ut discas in maximis recte factis etiam castigatione naturam nostram indigere : ne cum ad eumdem cum propheta zelum te adhortamur, fieri non posse putes, ut illum imiteris. Dixi de vidua, quo pacto in tantas angustias redacta, fame cogente, ne verbum quidem asperum adversus prophetam emisit, tametsi rerum statui consentaneum erat, atque hoc ex superbia Judæorum ostendi : nihil tamen horum illi accidit, sed cum multa illum comitate atque humanitate suscepit, totamque suam egestatem in ejus honorem impendit, cum Sidonia esset et alienigena, neque prophetas de eleemosyna philosophantes audiisset, neque Christum dicentem, *Esurientem me vidistis, et aluistis.* Quanam igitur venia digni censebimur, si tot auditis cohortationibus, si post tantorum promissa præmiorum, si proposito regno cælorum, non ad eumdem cum vidua comitatis et humanitatis gradum perveniamus? Nam illa quidem Sidonia fuit et alienigena, et mulier vidua, et multorum illi erat cura liberorum, periculosam famem videbat et mortem imminentem, et hominem ignotum erat exceptura quique famem invexerat, et ne sic quidem pugillo pepercit : at nos qui et prophe-

tiæ participes fuimus, et divinis exculti dogmatibus, qui de rebus futuris possumus philosophari, neque famem videmus instantem, et qui multo plura, quam mulier possidemus, quamnam poterimus excusationem obtendere, qui facultatibus parcimus, et nostræ salutis prodigi samus? Ut igitur gravia illa tormenta vitemus, omnem misericordiam in egenos exhibeamus, ut et nos assequi bona futura mereamur gratia et benignitate Domini nostri Jesu Christi, cum quo gloria Patri, una cum Spiritu sancto in sæcula sæculorum. Amen.

MONITUM

Hanc pulcherrimam concionem habuit Chrysostomus Antiochiæ, ut arguitur ex iis quæ sub initium dicuntur, nempe ad hunc martyrum locum populum ventitasse. Extra urbem nempe erat ecclesia, propter martyrum reliquias frequentata, quo pergebant populi pietatis gratia, et ubi conciones frequenter habe-

DE FUTURORUM DELICIIS,

ET PRÆSENTIUM VILITATE (a).

1. *Auditoribus de alacritate gratulatur; quæ vera sint insignia magistratus exponit.* —Vehemens æstus est, et molestus ardor; attamen alacritatem vestram non debilitavit, nec audiendi cupiditatem repressit. Talis est auditor fervens et attentus; audiendi desiderio corroboratus omnia patienter ferre potest, ut cupiditatem hanc præclaram et spiritualem expleat, et nec a frigore, nec ab æstu, non a negotiorum turba, non a multitudine curarum, non ab aliis rebus ullis ejusmodi potest supplantari : quemadmodum et supinum ac desidem non aeris bona temperies, non otium et securitas, non facilitas aut voluptas potest excitare, sed correptus somno quodam residet crimine ac vituperatione dignissimo. Vos autem tales non estis : sed iis qui nostram incolunt urbem multo meliores estis. Siquidem vos urbis caput ac vertex estis adeo erecti ac vigiles, et qui ea quæ dicuntur, perpetuo persequi studiose soletis. Hoc mihi theatrum regum aulis est augustius. Nam illic quidem ea quæ tribuuntur, una cum hac vita finiuntur, et tumultus plena sunt ac turbis redundant : hic vero nihil tale; sed et securitas omnis, et honor a turbis immunis est, et magistratus qui numquam finiuntur, nec ipsa morte interrumpuntur, sed tum temporis tutiores fiunt. Nolo enim mihi commemores eum qui sedeat in curru, supercilia attollat, multoque sit satellitio cinctus, neque cingulum et vocem præconis : nolo mihi magistratum inde designes : sed ab animi statu, si affectibus imperet, si vitia subigat, videlicet, si divitiarum cupiditati dominetur, si corporum inexplebilem amorem subegerit, si non invidia tabescat, si non inanis gloriæ perturbatione distrahatur, si egestatem non metuat et tremat, si non in deterius mutationem, si hoc timore non exanimetur. Talem mihi magistratum ostende : hoc enim est gerere magistratum. Quod si hominibus quidem imperet, sed affectibus animi serviat, hunc ego dixerim plus quam omnes homines esse servituti obnoxium. Et quemadmodum qui febrim habeat visceribus ac venis intus inclusam, tametsi nihil tale species corporis externa præ se ferat, omnino febre maxime correptum asserent medici, licet ignorent imperiti : sic et ego illum cui serva sit anima et animi affectibus mancipata, licet nihil tale facies externa, sed contrarium præ se ferat, servituti obnoxium præ cæteris dixerim, utpote qui vitiorum febrim grassantem intus habeat, ac tyrannidem passionum ipsi animæ insidentem : magistratum autem gerere, et liberum esse ac regibus ipsis augustiorem, quamvis pannis indutus sit, quamvis in carcere habitet, quamvis catena sit circumdatus, eum qui hujus tyrannidis jugum excusserit, et neque pravis cupiditatibus teneatur, nec absurdo paupertatis et ignominiæ, neque eorum quæ in hac vita molesta videntur, timore correptus contremiscat.

2. Ejusmodi magistratus non pecunia venales prostant, neque invidorum patent incursibus : hunc accusatoris lingua non novit, nec oculus invidorum, neque insidiatorum machinæ, sed tamquam in inviolabili quodam philosophiæ domicilio residens permanet semper invictus, neque tantum cæteris rerum adversarum casibus, sed nec ipsi morti cedit.

Martyrum potestas quanta; spirituales divitiæ distributione crescunt; cur caducas esse res vitæ hujus voluerit Deus; angelica est vita evangelica. — Ostendunt hoc martyres, quorum corpora quidem dissoluta sunt, et in pulverem cineremque redacta : magistratus autem ac principatus quotidie vivit, et operatur, dum dæmones abigit, et morbos in fugam convertit, dum integras urbes excitat, et populos in hunc locum deducit. Tanta magistratus et imperii istius est virtus, non vivorum tantum principum, sed etiam vita fun-

(a) Collata cum Mss. Reg. 1974, et Colb. 3038.

δὲ καὶ προφητείας μετεσχηκότες, καὶ θείκων ἀπολαύοντες διδαγμάτων, καὶ πολλὰ περὶ τῶν μελλόντων φιλοσοφεῖν ἔχοντες, καὶ οὐδὲ λιμὸν ὁρῶντες ἐπικείμενον, καὶ πολὺ πλείονα κεκτημένοι τῆς γυναικὸς, ποίαν δυνησόμεθα ἀπολογίαν προβαλέσθαι φειδόμενοι τῶν ὄντων, καὶ τῆς ἑαυτῶν σωτηρίας ἀφειδοῦντες; Ὅπως ἂν οὖν τὰ χαλεπὰ ἐκεῖνα κολαστήρια ἐκφύγωμεν, πᾶσαν εὐσπλαγχνίαν εἰς τοὺς πένητας ἐπιδειξώμεθα, ἵνα καὶ ἡμεῖς τῶν μελλόντων ἀγαθῶν καταξιωθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ δόξα τῷ Πατρὶ, σὺν τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

AD HOMILIAM DE FUTURORUM DELICIIS, ETC.

bantur, ut jam non semel vidimus. Æstate vero dictam homiliam declarat initio. Quo autem anno ne conjectura quidem assequi possumus.

Interpretatio Latina est Frontonis Ducæi.

ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΜΕΛΛΟΝΤΩΝ

Ἀπολαύσεως, καὶ τῆς τῶν παρόντων εὐτελείας.

α'. Σφοδρὸν τὸ κῦμα, καὶ βαρὺς ὁ αὐχμός· ἀλλὰ τὴν προθυμίαν ὑμῶν οὐκ ἐξέλυσεν, οὐδὲ τὸν πόθον τῆς ἀκροάσεως ἐμάρανε. Τοιοῦτον γὰρ ἀκροατὴς θερμὸς καὶ διεγηγερμένος· τῷ τῆς ἀκροάσεως ἔρωτι νευρούμενος, πάντα ῥᾳδίως ἂν ἐνέγκαι, ὥστε τὴν ἐπιθυμίαν ἐμπλῆσαι ταύτην τὴν καλὴν καὶ πνευματικήν· [338] καὶ οὔτε χρυμὸς, οὔτε αὐχμός, οὐ πραγμάτων ὄχλος, οὐ φροντίδων πλῆθος, οὐκ ἄλλο τῶν τοιούτων οὐδὲν ὑποσκελίσαι δύναιτ' ἄν· ὥσπερ οὖν τὸν ὕπτιον καὶ ἀναπεπτωκότα οὐκ ἀέρων εὐκρασίαι, σὺ σχολὴ καὶ ἄδεια, οὐ ῥᾳστώνη καὶ ἄνεσις διεγείρειεν ἄν, ἀλλὰ μένει καθεύδων ὕπνον τινὰ πολλῆς κατηγορίας ἄξιον. Ἀλλ' οὐχ ὑμεῖς τοιοῦτοι, ἀλλὰ παρὰ [a] τῶν τὴν πόλιν οἰκούντων ἡμῖν ἀμείνους. Καὶ γὰρ τὸ κεφάλαιον τῆς πόλεως ὑμεῖς, οὕτω συντεταμένοι καὶ νήφοντες, καὶ τοῖς λεγομένοις μετὰ ἀκριβείας παρακολουθοῦντες ἀεί. Τοῦτο ἐμοὶ τὸ θέατρον τῶν βασιλικῶν αὐλῶν σεμνότερον. Ἐκεῖ μὲν γὰρ τὰ διδόμενα, οἷα ἂν ᾖ, τῷ παρόντι συγκαταλύεται βίῳ, καὶ θορύβου γέμει καὶ ταραχῆς ἐμπέπλησται· ἐνταῦθα δὲ τοιοῦτον οὐδὲν, ἀλλὰ καὶ ἀσφάλεια πᾶσα, καὶ τιμὴ ταραχῆς ἀπηλλαγμένη, καὶ ἀρχαὶ τέλος οὐκ ἔχουσαι, οὐδὲ αὐτῷ τῷ θανάτῳ διακοπτόμεναι, ἀλλὰ τότε ἀσφαλέστεραι γινόμεναι. Μὴ γάρ μοι τὸν ἐπ' ὀχήματος εἵπῃς καθήμενον, καὶ τὰς ὀφρῦς ἀναστῶντα, καὶ πολλοὺς ἔχοντα δορυφόρους, μήτε τὴν ζώνην καὶ τὴν τοῦ κήρυκος φωνήν· μὴ ἐντεῦθέν μοι τὸν ἄρχοντα χαρακτηρίσῃς, ἀλλ' ἀπὸ τῆς καταστάσεως τῆς κατὰ ψυχὴν, εἰ τῶν ἑαυτοῦ παθῶν ἄρχει, εἰ τῶν νοσημάτων περιγίνεται· οἷον, εἰ χρημάτων ἐπιθυμίας κρατεῖ, εἰ σωμάτων ἀκόρεστον ἔρωτα ὑπέταξεν, εἰ μὴ τήκεται φθόνῳ, εἰ μὴ σύρεται τῷ χαλεπῷ τῆς κενοδοξίας πάθει, εἰ μὴ δέδοικε καὶ τρέμει πενίαν, εἰ μὴ τὴν ἐπὶ τὸ σκυθρωπότερον μεταβολὴν, εἰ μὴ ἀποτέθνηκε τῷ δέει τούτῳ. Τοιοῦτόν μοι δεῖξον τὸν ἄρχοντα· τοῦτο γὰρ ἀρχή. Εἰ δὲ κρατεῖ μὲν ἀνθρώπων, δουλεύει δὲ πάθεσι, πάντων ἀνθρώπων δουλικώτερον τὸν τοιοῦτον εἴποιμι ἂν ἔγωγε. Καὶ καθάπερ τὸν ἐν τῷ βάθει τὸν πυρετὸν ἔχοντα κατακλειόμενον, κἂν μηδὲν τοιοῦτον ἡ ἐπιφάνεια τοῦ σώματος ἐνδείκνυται, πάντως μάλιστα φαῖεν ἂν πυρέττειν οἱ τῶν ἰατρῶν παῖδες, κἂν οἱ ἰδιῶται ἀγνοῶσιν· οὕτω δὴ κἀγὼ τὸν ψυχὴν ἔχοντα δούλην, καὶ τῶν παθῶν αἰχμάλωτον [b], κἂν μή τι τοιοῦτον ἡ ἔξωθεν ἐπιδείκνυται ὄψις, ἀλλὰ τοὐναντίον, ἁπάντων δουλικώτερον φαίην ἂν τὸν ἐν τῷ βάθει τὸν πυρετὸν τῶν κακῶν ἔχοντα, καὶ τὴν τυραννίδα τῶν παθῶν ἐν αὐτῇ ἱδρυμένην τῇ ψυχῇ· ἄρχοντα δὲ καὶ ἐλεύθερον, καὶ βασιλέων βασιλικώτερον, κἂν ῥάκια περιβεβλημένος ᾖ, κἂν δεσμωτήριον οἰκῇ, κἂν ἅλυσιν περικέηται, τὸν ταύτην ἀποδυσάμενον τὴν τυραννίδα, καὶ οὔτε ταῖς πονηραῖς ἐπιθυμίαις κατεχόμενον, οὔτε ἄλογον δέος πενίας καὶ ἀτιμίας, αὐτῶν τῶν δοκούντων εἶναι λυπηρῶν ἐν τῷ παρόντι βίῳ, δεδοικότα καὶ τρέμοντα.

β'. Αὗται αἱ ἀρχαὶ οὐκ εἰσὶ χρημάτων ὠνηταὶ, οὐδὲ τοὺς φθονοῦντας ἔχουσι· ταύτην οὐκ οἶδε κατηγόρου γλῶττα, οὔτε βασκάνων ὀφθαλμὸς, οὐδὲ ἐπιβούλων μηχανήματα, ἀλλ' ὥσπερ ἐν ἀσύλῳ χωρίῳ τινὶ τῷ τῆς φιλοσοφίας ἐνδιαιτωμένη, μένει διηνεκῶς ἀχείρωτος, οὐ μόνον ταῖς ἄλλαις τῶν πραγμάτων περιστάσεσιν, ἀλλ' οὐδὲ αὐτῇ εἴκουσα τῇ τελευτῇ.

Καὶ δεικνύουσι ταῦτα οἱ μάρτυρες, ὧν τὰ σώματα μὲν διελύθη καὶ κόνις γέγονε καὶ τέφρα, ἡ δὲ ἀρχὴ καθ' ἑκάστην ζῇ τὴν ἡμέραν καὶ ἐνεργεῖ, δαίμονας [339] ἀπελαύνουσα, καὶ νοσήματα δραπετεύειν παρασκευάζουσα, καὶ πόλεις ὁλοκλήρους ἀναπτερουμένη, καὶ δήμους ἐνταῦθα ἄγουσα. Τοσαύτη τῆς ἀρχῆς ταύτης ἡ δύναμις, οὐχὶ ζώντων τῶν ἀρχόντων μόνον, ἀλλὰ καὶ τελευτησάντων, ὡς ἀνάγκη μὲν μηδένα, γνώμῃ δὲ καὶ πόθῳ πάντας ἐνταῦθα ἐλθεῖν, καὶ

[a] Savil. conj. πολύ.

[b] Duo mss. τῶν παθῶν καὶ τῶν νόσων αἰχμ.

μηδενὶ μαραίνεσθαι χρόνῳ. Ὁρᾶτε ὡς οὐ μάτην τοῦτο τὸ θέατρον σεμνότερον ἔφην εἶναι τῶν βασιλικῶν αὐλῶν; Τὰ μὲν γὰρ ἐκεῖ φύλλοις ἔοικε μαραινομένοις, καὶ σκιαῖς παρατρεχούσαις· τὰ δὲ ἐνταῦθα διδόμενα τὸν ἀδάμαντα μιμεῖται, μᾶλλον δὲ κἀκείνου στερρότερα, ἅτε ἀθάνατα ὄντα καὶ ἀκίνητα καὶ οὐδεμιᾷ εἰκοντά ποτε μεταβολῇ, καὶ τοῖς ἐρῶσιν αὐτῶν ἀδεῶς ἐπιόντα, μάχης ἀπηλλαγμένα καὶ φιλονεικίας, καὶ φθόνου καὶ δικαστηρίων, καὶ ἐπιβούλων καὶ συκοφαντίας. Τὰ μὲν γὰρ βιωτικὰ πολλοὺς ἔχει τοὺς φθονοῦντας· τὰ δὲ πνευματικά, ὅσον ἂν εἰς πλείονας ἔλθῃ, τοσοῦτον μᾶλλον τὴν εὐπορίαν ἐνδείκνυται τὴν ἑαυτῶν. Καὶ τοῦτο ἔξεστιν ὑμῖν ἐκ τοῦ λόγου τούτου μαθεῖν. Τὸν γὰρ λόγον, ὃν εἰς πάντας ἐκχέω, ἂν μὲν οἴκοι κατάσχω παρ' ἐμαυτῷ, ἀπορώτερος γίνομαι· ἂν δὲ εἰς πάντας ἐκχέω, ὥσπερ εἰς ἄρουραν καθαρὰν βάλλων τὰ σπέρματα, ἐπιτείνω μου τὴν εὐπορίαν, πλείονα ποιῶ τὸν πλοῦτον, ἅπαντας ὑμᾶς εὐπορωτέρους ἐργαζόμενος, αὐτὸς δὲ οὐδὲν ἐν ταύτῃ πενέστερος γινόμενος, ἀλλὰ καὶ πλουσιώτερος μειζόνως· ὅπερ ἐπὶ χρημάτων οὐκ ἔνι, ἀλλὰ τοὐναντίον ἅπαν. Εἰ γὰρ ἔχων χρυσίον ἀποκείμενον, εἰς πάντας αὐτὸ διανείμαι ἐλοίμην, οὐκέτι ἂν δυναίμην ἔχειν τὴν προτέραν εὐπορίαν, τῇ διαιρέσει ταύτης ἐλαττουμένης.

γ'. Ἐπεὶ οὖν τοσαῦτα τῶν πνευματικῶν παρέξαίρετα, καὶ πολλὴν ἔχει τὴν εὐκολίαν, ἅτε πᾶσι τοῖς βουλομένοις δωρεὰν παραγινόμενα, τούτων μᾶλλον ἐρῶμεν, τὰς σκιὰς ἀφέντες, καὶ μὴ τοὺς κρημνοὺς καὶ τοὺς σκοπέλους διώκοντες. Καὶ γὰρ ἵνα τοῦτον τὸν ἔρωτα ὁ Θεὸς ἐπιτείνῃ, καὶ πρὸ τῆς τελευτῆς τοῦ κεκτημένου ταῦτα ἀνθρώπου θάνατον αὐτοῖς συνεκλήρωσεν. Οἷόν τι λέγω· οὐχ ὅταν ὁ κεκτημένος ταῦτα τελευτήσῃ, τότε καὶ αὐτὰ τελευτᾷ, ἀλλὰ καὶ ζῶντος ἔτι μαραίνεται ταῦτα καὶ ἀποθνήσκει, ἵνα τὸ ἐπίκηρον αὐτῶν καὶ τοὺς σφόδρα αὐτῶν ἐρῶντας καὶ περὶ αὐτὰ μεμηνότας τῆς χαλεπῆς ταύτης ἀπαγάγῃ λύττης, παιδεύοντα αὐτῶν τὴν φύσιν, καὶ διδάσκοντα διὰ τῆς πείρας, ὅτι σκιᾶς ἐστιν ἀῤῥανέστερα, καὶ ταύτῃ τὸν ἔρωτα καταλύοντα. Οἷον ὡς ἐπὶ παραδείγματος· ὁ πλοῦτος οὐχὶ τοῦ πλουτοῦντος μόνον τελευτῶντος κατελύεται, ἀλλὰ καὶ ζῶντος μᾶλλον ἀπέστη. Ἡ νεότης τὸν ἔχοντα οὐχὶ τελευτήσαντα μόνον, ἀλλὰ καὶ ἐμπνέοντα ἔτι ἀπολιποῦσα οἴχεται, ἐν τῇ τῆς ἡλικίας ὁδῷ καταλύουσα, καὶ τῷ γήρᾳ παραχωροῦσα. Τὸ κάλλος ὁμοῦ καὶ ἡ εὐμορφία, ἔτι ζώσης τῆς γυναικὸς, ἐτελεύτησε, καὶ πρὸς ἀμορφίαν μετέστη· αἱ δόξαι, αἱ δυναστεῖαι πάλιν ὁμοίως· αἱ τιμαὶ, αἱ ἀρχαὶ, ἐφήμεροι καὶ πρόσκαιροι, καὶ τῶν ἐχόντων αὐτὰ ἀνθρώπων θνητότεραι· καὶ ὥσπερ σωμάτων θανάτους ἔστι καθημερινοὺς ὁρᾷν, οὕτω καὶ πραγμάτων. Τοῦτο δὲ γέγονεν, ἵνα τῶν παρόντων ὑπερορῶντες. [340] τῶν μελλόντων ἐχώμεθα, καὶ τῆς ἐκείνων ἐκκρεμώμεθα ἀπολαύσεως, καὶ ἐν τῇ γῇ βαδίζοντες, τῷ πόθῳ ἐν οὐρανοῖς διατρίβωμεν. Καὶ γὰρ δύο τούτους αἰῶνας ἐποίησεν ὁ Θεὸς, τὸν μὲν παρόντα, τὸν δὲ μέλλοντα· τὸν μὲν ὁρατὸν, τὸν δὲ ἀόρατον· τὸν μὲν αἰσθητὸν, τὸν δὲ νοητόν· τὸν μὲν σωματικὴν ἔχοντα ἀνάπαυσιν, τὸν δὲ ἀσώματον· τὸν μὲν ἐν πείρᾳ, τὸν δὲ ἐν πίστει· τὸν μὲν ἐν χερσὶ, τὸν δὲ ἐν ἐλπίσι· καὶ τὸν μὲν εἶναι στάδιον ἐκέλευσε, τὸν δὲ βραβεῖον· καὶ τούτῳ μὲν σκάμματα καὶ πόνους καὶ ἱδρῶτας συνεκλήρωσεν, ἐκείνῳ δὲ στεφάνους καὶ ἔπαθλα καὶ ἀμοιβάς· τὸν μὲν πέλαγος, τὸν δὲ λιμένα κατεσκεύασε· καὶ τὸν μὲν βραχὺν, τὸν δὲ ἀγήρω καὶ ἀθάνατον. Ἐπεὶ οὖν πολλοὶ τῶν ἀνθρώπων τῶν νοητῶν ἐκείνων τὰ αἰσθητὰ προετίμων, συνεκλήρωσε τούτοις τὸ ἐπίκηρον καὶ τὸ πρόσκαιρον, ἵνα ταύτῃ τῶν παρόντων ἀπαγαγὼν, τῷ ἔρωτι τῶν μελλόντων μετὰ πολλῆς αὐτοὺς προσδήσῃ τῆς ἀκριβείας. Εἶτα ἐπειδὴ ἀόρατα ἦν ἐκεῖνα καὶ νοερὰ, καὶ ἐν πίστει καὶ ἐν ἐλπίσιν, ἔρα τί ποιεῖ. Παραγενόμενος ἐνταῦθα, καὶ τὴν σάρκα λαβὼν τὴν ἡμετέραν, καὶ τὴν θαυμαστὴν ἐκείνην οἰκονομίαν ἐργασάμενος, ὑπ' ὄψιν ἄγει τὰ μέλλοντα, τὰς παχυτέρας καὶ ταύτῃ πληροφορῶν διανοίας. Ἐπειδὴ γὰρ ἦλθε νομίζων πολιτείαν ἀγγελικὴν, καὶ τὴν γῆν οὐρανὸν ἐργαζόμενος, καὶ ταῦτα ἐπιτάττων, ἃ τοῖς ἀσωμάτοις ἐξωμοίουν δυνάμεσι τοὺς μετιόντας, καὶ τοὺς ἀνθρώπους ἀγγέλους ἐποίησε, καὶ πρὸς τὰς ἐλπίδας ἐκάλει τὰς ἄνω, καὶ μικρὰ σκάμματα διέτεινε, καὶ ὑψηλότερα ἵπτασθαι ἐκέλευσε, καὶ πρὸς αὐτὰς ἀναβαίνειν τῶν οὐρανῶν τὰς ἀψῖδας, καὶ πρὸς δαίμονας ἀποδύεσθαι, καὶ πρὸς ἅπασαν τοῦ διαβόλου τὴν φάλαγγα παρατάττεσθαι, σῶμα ἔχοντας, σαρκὶ συμπεπλεγμένους, καὶ τὰ σώματα νεκροῦν, καὶ τῶν παθῶν ἐξορίζειν τὸν θόρυβον, καὶ τὴν σάρκα ἁπλῶς περικεῖσθαι, τὴν ἅμιλλαν δὲ πρὸς τὰς ἀσωμάτους δυνάμεις τείνασθαι.

δ'. Ἐπειδὴ ταῦτα ἐπέταξεν, ὅρα τί ποιεῖ, πῶς εὔκολον τὸν ἀγῶνα ἐργάζεται. Μᾶλλον δὲ, εἰ δοκεῖ, πρότερον εἴπωμεν τῶν ἐπιταγμάτων τὸ μέγεθος, καὶ πῶς ὑψηλὸν τὸ πτερὸν κατεσκεύαζε, καὶ τῆς ἀνθρωπίνης σχεδὸν ἐξοικίζων φύσεως, πρὸς οὐρανὸν μεθορμίσθαι πάντας ἐκέλευσε. Τοῦ γὰρ νόμου κελεύοντος ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, αὐτός φησιν· *Ἐάν τις σε ῥαπίσῃ εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην.* Οὐκ εἶπε, φέρε γενναίως μόνον καὶ πράως τὴν παροιμίαν, ἀλλὰ καὶ πρόθι περαιτέρω τὴν φιλοσοφίαν, καὶ μείζονα παρασκευάζου πάσχειν, ἢ ἐκεῖνος ποιῆσαι ἐπιθυμεῖ· τῇ δαψιλείᾳ τῆς φιλοσοφίας νίκησον αὐτοῦ τὸ προπετὲς τῆς παροινίας, ἵνα αἰδεσθείς σου τὴν ὑπερβάλλουσαν ἐπιείκειαν, ἀναχωρήσῃ. Καὶ πάλιν φησὶν· *Εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς· εὔχεσθε ὑπὲρ τῶν ἐχθρῶν ὑμῶν· καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς.* Τὴν περὶ τῆς παρθενίας πάλιν εἰσήγαγε συμβουλὴν λέγων· *Ὁ δυνάμενος χωρεῖν, χωρείτω.* Ἐπειδὴ γὰρ ἐκ παραδείσου τὸ πρᾶγμα ἀπέπτη, καὶ μετὰ τὴν παρακοὴν ἀνεχώρησε κατιὼν ἐκ τοῦ οὐρανοῦ, πάλιν αὐτὴν ἐπανήγαγε, καθάπερ φυγάδα πρὸς τὴν ἀρχαίαν ἐπαναγαγὼν πατρίδα, καὶ [341] τῆς μακρᾶς ἐξορίας ἀπαλλάττων· καὶ ἐλθὼν πρῶτον ἐκ παρθένου ἐτέκετο, καὶ τοὺς τῆς φύσεως ἐκείνης νόμους, ἐκ προοιμίων τιμῶν αὐτὴν, καὶ μητέρα τὴν παρθένον ἀποφαίνων. Ἐπειδὴ τοίνυν παραγενόμενος τοιαῦτα ἐπέταττε, καὶ ὑψηλὴν τὴν πολιτείαν εἰργάζετο, ἄξια καὶ τὰ ἔπαθλα τῶν πόνων ἐδίδου, μᾶλλον δὲ πολλῷ μείζονα καὶ ὑψηλότερα. Ἀλλ' ἦν καὶ ταῦτα ἀόρατα, καὶ ἐν ἐλπίσι καὶ ἐν πίστει καὶ ἐν προσδοκίᾳ τῇ τῶν μελλόντων. Ἐπεὶ οὖν τὰ μὲν ἐπιτάγματα ἐπίπονα καὶ ὑψηλὰ, τὰ δὲ ἔπαθλα καὶ τὰ βραβεῖα ἐν πίστει, ὅρα

ctorum, ut necessitate compulsus nemo, sed sponte ac proprio inducti affectu huc omnes accurrant, nec ulla temporis longinquitate minuatur. Videtis quam non sine causa theatrum istud regum aulis augustius esse dixerim? Nam quæ illic sunt, foliis similia sunt exarescentibus, et umbris prætereuntibus : ea vero quæ hic traduntur, adamantem imitantur, vel potius illo firmiora sunt, utpote quæ immortalia sint, et immota, nec ulli cedant unquam mutationi, et ad suos amatores intrepide accedant, pugnæ ac contentionis expertia, atque, ab invidia, judiciis, et insidiis, ac calumniis sint immunia. Siquidem sæcularia multos patiuntur invidos, spiritualia vero, quanto pluribus communicata fuerint, eo majorem suam ubertatem ostendunt. Atque id ex hac ipsa oratione intelligere potestis. Quam enim in omnes orationem effundo, si quidem domi apud me detineam, pauperior fiam : sin autem in omnes effundam, tamquam si in vacuum quoddam arvum semen jactem, facultates meas augeo, divitias meas amplifico, locupletiores reddo vos omnes ; nec idcirco tamen pauperior evado, sed opulentior multo : quod in pecuniis non licet, imo plane contrarium evenit. Nam si reconditum aurum habeam, et in omnes illud velim distribuere, non amplius tantas possidere potero divitias, cum hac divisione fuerint imminutæ.

3. Cum igitur spiritualium rerum tanta sit præstantia, tanta facilitas, utpote quæ cunctis volentibus gratis obveniant, has potissimum adamemus, et umbras omittamus, nec præcipitia et scopulos persequamur. Ut enim hunc amorem Deus augeret, etiam ante obitum hominis, a quo possidentur, ista morti obnoxia esse præcepit. Verbi gratia : non cum interierit is, qui hæc possidet, et ista intereunt, sed et ipso adhuc vivente marcescunt et pereunt, ut eorum caduca conditio summo illorum amore flagrantes, et insana cupiditate ductos, ab illa sæva rabie revocet : eorumque naturam admoneat, et experientia magistra doceat, ea quavis umbra imbecilliora esse, atque hac ratione cupiditatem illam exstinguat. Exempli causa : divitiæ non solum cum interit dives, pereunt, sed illo potius vivente discedunt. Juventus possessorem suum non morientem solum, sed spirantem adhuc relinquens evanescit ; quæ in ætatis adultæ via finitur, et senectuti locum cedit. Pulchritudo simul et forma, vivente adhuc muliere, desinit et in deformitatem transit : gloria, principatus rursus pari ratione : honores, magistratus, diurni sunt et ad breve tempus durant, et amplius quam homines ipsi, qui eos obtinent, mortales sunt : et quemadmodum quotidianos corporum videre licet interitus, ita quoque rerum. Porro id accidit, ut præsentia contemnentes adhæreamus futuris, et eorum simus exspectatione suspensi, ac dum in terris ambulamus, desiderio in cælo versemur. Etenim duo sæcula condidit Deus, præsens, et futurum ; unum visibile, alterum invisibile : unum quod sub sensus cadit, alterum quod est spirituale : unum quod corporali quiete perfruitur, alterum quod incorporea : unum in experientia, alterum in fide : unum in manibus, alterum in spe ; et unum esse stadium jussit, alterum bravium : atque huic quidem certamina, labores ac sudores attribuit, illi vero coronas, præmia et retributiones : hoc pelagus, illud portum effecit, et hoc breve quidem, illud vero senectutis expers, et immortale. Quoniam igitur homines multi spiritualibus illis ea quæ sensibilia sunt præferebant, his caducam conditionem ac temporariam attribuit, ut hoc pacto a præsentibus abductos, vehementer amori futurorum addicat. Deinde quoniam invisibilia erant illa et spiritualia, in fide atque in spe posita, vide quid agat. Cum huc advenisset, ac nostram carnem assumpsisset, et mirabilem illam dispensationem perfecisset, futura ponit ob oculos, et hac ratione crassiores mentes securas reddit. Nam quoniam conversationem ac vitæ rationem angelicam afferens veniebat, ac terram in cælum convertebat, eaque mandabat, quæ similes redderent incorporeis virtutibus eos qui ea perficerent, homines reddebat angelos, ad spem cælestium rerum vocabat, longiora certamina proponebat, altius evolare jubebat, et ad ipsa fastigia cælorum ascendere, adversus dæmones pugnam inire, contra universas diaboli copias aciem eos instruere, qui corpus habebant, et cum carne copulati erant, mortificare corpora, ac perturbationum tumultum ablegare, et corpore utcumque esse circumdatos, cæterum cum incorporeis virtutibus certatim contendere.

4. Hæc ubi præcepit, vide quid agat ; quo pacto facile certamen reddat. Quinimo, si videtur, prius mandatorum sublimitatem exponamus, et quo pacto in altum nos voluerit evolare, cum ex humana propemodum natura emigrare, atque in cælum omnes transferri jusserit. Cum enim oculum pro oculo reddi lex præciperet, ipse dixit, *Si quis te percusserit in dexteram maxillam, obverte illi et alteram* (*Matth.* 5. 39). Non dixit, tantum fer patienter ac leniter contumeliam, sed ulterius philosophia modestiaque progredere, atque ad majora patienda paratus esto, quam ille facere cupiat : et patientiæ tuæ ubertate petulantiam ejus et insolentiam vince, ut summam tuam reveritus modestiam recedat. Et rursus ait, *Orate pro calumniantibus vos : orate pro inimicis vestris : benefacite iis, qui oderunt vos* (*Matth.* 5. 44). Consilium de virginitate rursus introducens dixit : *Qui potest capere capiat* (*Matth.* 19. 12). Nam quoniam e paradiso illa evolavit, et post transgressionem recessit, de cœlo descendens ipsam rursus reduxit, et tamquam exsulem in antiquam patriam suam restituit, et a diuturna relegatione liberavit : primum adveniens nimirum ex virgine natus est, et leges naturæ mutavit, cum ab ipso exordio vitæ suæ illam honore affecerit, et virginem matrem reddiderit. Cum igitur veniens talia præcepisset, et ad tantam sublimitatem conversationem hominum evexisset, præmia quoque laboribus digna proposuit, imo vero majora multo et sublimiora. Verumtamen invisibilia erant hæc quoque atque in spe, fide et exspectatione posita futurorum. Itaque cum laboriosa mandata essent ac

sublimia, præmia vero et bravia in fide, vide quid faciat, quo pacto levem agonem, quo pacto facilia reddat certamina. Quo tandem pacto? Duabus scilicet viis : una, quod eadem ipse exsequatur; altera, quod præmia ostendat et sub aspectum proferat. Nam quæ ab illo dicta sunt, quædam mandatum erant, quædam præmia. Mandatum quidem, *Orate pro calumniantibus vos et persequentibus* (*Matth.* 5. 44) : præmium autem : *Ut sitis filii Patris vestri, qui in cælis est* (*Ibid. v.* 45). Rursus, *Beati cum maledixerint vobis, et persecuti vos fuerint, et dixerint omne malum verbum adversum vos mentientes. Gaudete et exsultate, quoniam merces vestra copiosa est in cælis* (*Ib. v.* 11. 12). Vides unum mandatum esse, alterum præmium? Rursus, *Si vis perfectus esse, vende quæ habes, et da pauperibus : et veni, sequere me, et habebis thesaurum in cœlo* (*Matth.* 19. 21). Vides aliud mandatum, et præmium? Alterum enim ipsis præcepit, alterum ipsis paravit, quod merces erat ac retributio. Et rursus : *Quicumque reliquerit domos, et fratres et sorores* : hoc mandatum est : *Centuplum accipiet, et vitam æternam possidebit* (*Ib. v.* 29) : hoc præmium est, et corona.

5. Quoniam igitur magna erant præcepta, et præmia non apparebant, vide quid agat : ipse operibus illa ostentat, et in aspectum coronas profert. Ut enim qui minime tritam viam jubetur insistere, si quem viderit per eam prius incedentem, facilius eam aggreditur, et majorem animo concipit alacritatem : ita quoque fit in mandatis : qui vident eos, qui præcesserint, facile sequuntur. Ut igitur natura nostra facilius sequatur, carnem et naturam nostram assumens, ita per illam incessit, et operibus mandata expressit. Siquidem illud, *Si quis te percusserit in dexteram maxillam, obverte illi et alteram* (*Matth.* 5. 39), ipse præstitit, quando alapam illi pontificis servus impegit. Non enim ipsum ultus est, sed tantam modestiam præ se tulit, ut diceret : Si *male loquutus sum, testimonium perhibe de malo : si autem bene, quid me cædis* (*Joan.* 18. 23)? Vides tremendam lenitatem? vides humilitatem stupendam? Percutiebatur, non a libero quopiam, sed a servo, a verberone, et vernaculo, et tanta cum modestia respondet. Ita quoque Pater ejus dicebat Judæis : *Populo meus, quid feci tibi, aut quid contristavi te, aut quid molestus fui tibi? responde mihi* (*Mich.* 6. 3). Quemadmodum ipse dicit: *Testimonium perhibe de malo*, sic et Pater ejus, *Responde mihi* : et quemadmodum ait ipse, *Quid me cædis?* sic etiam Pater, *Quid contristavi te, aut in quo molestus fui tibi?* Paupertatem rursus docens, vide quo pacto illam opere exhibeat dicens : *Vulpes foveas habent, et volucres cæli nidos, Filius autem hominis non habet ubi caput suum reclinet* (*Matth.* 8. 20). Vides extremam paupertatem? Non mensam habebat, non lucernam, non domum, non sellam, non aliud quidquam ejusmodi. Docebat ut male audientes patienter ferrent, id vero ille opere exhibuit. Quando enim dæmonium habentem, et Samaritanum ipsum appellabant, cum illos rursus necare posset, et contumelia pœnam ab illis exigere, nihil tale faciebat, imo etiam bene de illis merebatur, et ex illis dæmones expellebat. Cumque dixisset, *Orate pro calumniantibus vos* (*Matth.* 5. 44), in crucem cum ascendisset, id fecit. Postquam enim eum crucifixerunt, et clavis affixerunt, pendens dicebat, *Dimitte illis : non enim sciunt quid faciunt* (*Luc.* 23. 34). Hæc ab eo dicebantur, non quod ipse dimittere minime posset, sed ut nos orare pro inimicis doceret. Nam quia non sermone tantum, sed opere quoque doctrinam præ se ferebat, propterea preces etiam adjunxit. Nullus igitur ex hæreticis, ob nimiam ejus humanitatem, infirmitatem hæc verba judicet indicare. Ipse enim est qui dicit : *Ut autem sciatis, quia Filius hominis habet potestatem in terra dimittendi peccata* (*Matth.* 9. 6). Sed quoniam docere volebat (is autem qui docet non verbis tantum suis, sed etiam factis doctrinam profert in medium), hac de causa preces etiam adjunxit : nam alioqui discipulorum etiam pedes lavit, non quod inferior esset : verum cum Deus esset ac Dominus, ad tantam se humilitatem demisit.

6. *Resurrectionis futuræ argumenta; transfiguratio Christi futuræ gloriæ imago.* — Hanc etiam ob causam dicebat : *Discite a me, quia mitis sum, et humilis corde* (*Matth.* 11. 29). Alio modo rursus ipsa bravia præmiaque in medium afferri, ac subjici oculis audi. Pollicitus erat corporum resurrectionem, immortalitatem, occursum in aera, raptum in nubibus; hæc rebus ipsis ostendit. Quo tandem modo? Mortuus cum esset, resurrexit : quapropter et quadraginta diebus cum ipsis versatus est, ut certiores illos redderet, et qualia corpora nostra post resurrectionem futura sint, ostenderet. Rursus qui per Paulum dixit : *In nubibus rapiemur obviam illi in aera* (1. *Thess.* 4. 17), hoc etiam opere demonstravit. Siquidem post resurrectionem, cum esset in cælos ascensurus, præsentibus ipsis, *Elevatus est*, inquit, *et nubes suscepit eum ab oculis eorum* (*Act.* 1. 9); et cum intentis oculis essent, dum abiret ille. Sic nimirum et corpus nostrum consubstantiale corpori erit illi, utpote quod ex eadem sit massa : sicut enim caput, ita et corpus; sicut principium, ita et finis. Atque hoc manifestius indicans Paulus dicebat : *Qui reformabit corpus humilitatis nostræ, ut conforme fiat corpori claritatis suæ* (*Philip.* 3. 21). Si igitur conforme sit, eamdem etiam viam conficiet, et in nubibus pariter elevabitur. Hæc tu quoque in resurrectione exspecta. Nam quoniam ad illud usque tempus obscurum fuerat audientibus verbum regni cælorum, propterea cum ascendisset in montem, coram discipulis suis transfiguratus est (*Matth.* 17), eisque futurorum gloriam præmonstravit, et obscure tamquam in ænigmate, quale corpus nostrum futurum esset, ostendit. Verum cum vestibus tum quidem apparuit : at non ita in resurrectione. Neque enim vestibus indiget corpus nostrum, neque tecto, neque concameratione, neque alia ulla re simili. Nam si ante transgressionem Adam, cum esset nudus, non erubescebat, gloria circumdatus : multo magis corpora nostra, quæ ad præstantiorem melioremque conditionem tranferentur, nullo

τί ποιεῖ· πῶς εὔκολον τὸν ἀγῶνα ἐργάζεται· πῶς ῥᾴδια τὰ σκάμματα. Πῶς καὶ τίνι τρόπῳ; Δύο δὴ ταύταις ὁδοῖς· μιᾷ μὲν, τὸ αὐτὸν αὐτὰ μετελθεῖν· ἑτέρᾳ δὲ, τὸ αὐτὸν δεῖξαι τὰ βραβεῖα καὶ ὑπ' ὄψιν ἀγαγεῖν. Τῶν γὰρ ἀπ' αὐτοῦ λεγομένων τὰ μὲν ἐντολὴ ἦν, τὰ δὲ ἔπαθλα· ἐντολὴ μὲν, *Εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς καὶ διωκόντων*· ἔπαθλον δὲ, *Ὅπως γένησθε υἱοὶ τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς*. Πάλιν, *Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι. Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς*. Εἶδες τὸ μὲν, ἐντολήν, τὸ δὲ, ἔπαθλον; Πάλιν, *Εἰ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ*. Εἶδες ἄλλην ἐντολὴν, καὶ ἔπαθλον; Τὸ μὲν γὰρ αὐτοὺς ἐκέλευσε ποιεῖν, τὸ δὲ αὐτὸς ἡτοίμασεν, ὅπερ ἦν μισθὸς καὶ ἀντίδοσις. Καὶ πάλιν, *Ὅστις ἀφῆκεν οἰκίας καὶ ἀδελφοὺς, καὶ ἀδελφάς*· τοῦτο ἐντολή· *Ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει*· τοῦτο βραβεῖον καὶ στέφανος.

ε'. Ἐπεὶ οὖν καὶ τὰ ἐπιτάγματα μεγάλα ἦν, καὶ τὰ ἔπαθλα αὐτῶν οὐ φαινόμενα, ὅρα τί ποιεῖ· αὐτὸς αὐτὰ διὰ τῶν ἔργων ἐπιδείκνυται, καὶ τοὺς στεφάνους ἐπ' ὄψιν ἄγει. Ὥσπερ γὰρ ὁ κελευόμενος ἀτριβῆ βαδίζειν ὁδὸν, ἐὰν ἴδῃ πρότερόν τινα βαδίσαντα, εὐκολώτερον ἅπτεται, καὶ πλείονα λαμβάνει τὴν προθυμίαν· οὕτω καὶ ἐν ταῖς ἐντολαῖς, οἱ τοὺς προηγουμένους ὁρῶντες, ῥᾳδίως ἔπονται. Ἵν' οὖν εὐκολώτερον ἡ ἡμετέρα φύσις ἀκολουθήσῃ, ταύτην λαβὼν τὴν σάρκα, καὶ τὴν φύσιν τὴν ἡμετέραν, οὕτως αὐτὴν ἐβάδισε, καὶ τὰς ἐντολὰς διὰ τῶν ἔργων ἐπεδείξατο. Τὸ γὰρ, *Ἐάν τίς σε ῥαπίσῃ ἐπὶ τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην*, αὐτὸς ἐποίησεν, ὅταν αὐτὸν ἐῤῥάπισεν ὁ δοῦλος τοῦ ἀρχιερέως. Οὐ γὰρ ἠμύνατο αὐτὸν, ἀλλὰ τοσαύτην ἐπιείκειαν ἐπεδείξατο, ὡς εἰπεῖν· *Εἰ μὲν κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις;* Εἶδες πρᾳότητα φρίκης γέμουσαν; εἶδες ταπεινοφροσύνην ἔκπληξιν ἔχουσαν; Ἐτύπτετο, οὐ παρ' ἐλευθέρου τινὸς, ἀλλὰ παρ' οἰκέτου, μαστιγίου, καὶ οἰκοτρίβου, καὶ μετὰ τοσαύτης ἀποκρίνεται τῆς ἐπιεικείας ταῦτα. Οὕτω καὶ ὁ Πατὴρ αὐτοῦ τοῖς Ἰουδαίοις ἔλεγε· *Λαός μου, τί ἐποίησά σοι; ἢ τί σε ἐλύπησα; ἢ τί παρηνόχλησά σοι; ἀποκρίθητι*. Ὥσπερ αὐτός φησι, *Μαρτύρησον περὶ τοῦ κακοῦ*, οὕτω καὶ ὁ Πατὴρ αὐτοῦ, *Ἀποκρίθητί μοι*· καὶ ὥσπερ αὐτός φησι, *Τί με δέρεις*, οὕτω καὶ ὁ Πατὴρ, *Τί σε λύπησά σε, ἢ τί παρηνόχλησα;* Πάλιν ἀκτημοσύνην παιδεύων, ὅρα πῶς διὰ τῶν ἔργων αὐτὴν ἐπιδείκνυται λέγων· *Αἱ ἀλώπεκες* [342] *φωλεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις· ὁ δὲ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλῖναι*. Εἶδες ἀκτημοσύνης ἐπίτασιν; Οὐ τράπεζα ἦν αὐτῷ; οὐ λυχνία, οὐκ οἶκος, οὐ δίφρος, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. Ἐδίδασκε περὶ τοῦ κακῶς ἀκούοντας φέρειν γενναίως, ὅπερ διὰ τῶν ἔργων ἐπεδείξατο. Ὅτε γὰρ δαιμονῶντα αὐτὸν ἐκάλουν καὶ Σαμαρείτην, δυνάμενος αὐτοὺς πάλιν ἀπολέσαι, καὶ τῆς ὕβρεως αὐτῶν ἀποτίσαι δίκην, οὐδὲν ἐποίει τοιοῦτον, ἀλλὰ καὶ εὐηργέτει, καὶ τοὺς δαίμονας αὐτῶν ἀπήλαυνε. Καὶ εἰπὼν, *Εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς*, εἰς τὸν σταυρὸν τοῦτο ἀναβὰς ἐποίησεν. Ἐπειδὴ γὰρ αὐτὸν ἐσταύρωσαν καὶ προσήλωσαν, χρεμάμενος ἔλεγεν, *Ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσι*. Ταῦτα ἔλεγεν οὐκ ἀτονῶν αὐτὸς ἀφιέναι, ἀλλ' ἡμᾶς παιδεύων εὔχεσθαι ὑπὲρ τῶν ἐχθρῶν. Ἐπειδὴ γὰρ οὐ λόγῳ μόνῳ, ἀλλὰ καὶ ἔργῳ τὴν διδασκαλίαν ἐπεδείκνυτο, διὰ τοῦτο καὶ τὴν εὐχὴν προσέθηκε. Μηδεὶς τοίνυν τῶν αἱρετικῶν, διὰ τὴν πολλὴν αὐτοῦ φιλανθρωπίαν, ἀσθένειαν καταγινωσκέτω τῶν εἰρημένων· αὐτὸς γάρ ἐστιν ὁ λέγων, *Ἵνα δὲ εἰδῆτε, ὅτι ἐξουσίαν ἔχει ὁ Υἱὸς τοῦ ἀνθρώπου ἀφιέναι ἐπὶ τῆς γῆς ἁμαρτίας*. Ἀλλ' ἐπειδὴ παιδεύειν ἐβούλετο (ὁ δὲ παιδεύων οὐ δι' ὧν λέγει μόνον, ἀλλὰ καὶ δι' ὧν ποιεῖ τὴν διδασκαλίαν προάγει), τούτου χάριν καὶ τὴν εὐχὴν προσέθηκεν· ἐπεὶ καὶ τῶν μαθητῶν τοὺς πόδας ἔνιπτεν, οὐχ ὡς ἐλάττων ὢν, ἀλλὰ Θεὸς ὢν καὶ Δεσπότης εἰς τοσοῦτο κατέβη ταπεινοφροσύνης.

ς'. Διὰ δὴ τοῦτο ἔλεγε· *Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ*. Ἑτέρως πάλιν τὸ τὰ βραβεῖα αὐτὰ καὶ τὰ ἔπαθλα εἰς μέσον ἀγαγεῖν, καὶ ὑπὸ ὀφθαλμοὺς δεικνύναι, ἄκουσον. Ὑπέσχετο σωμάτων ἀνάστασιν, ἀφθαρσίαν, τὴν εἰς ἀέρα ἀπάντησιν, τὴν ἐν νεφέλαις ἁρπαγήν· ταῦτα διὰ τῶν πραγμάτων ἔδειξε. Πῶς καὶ τίνι τρόπῳ; Ἀποθανὼν ἀνέστη· διὸ καὶ τεσσαράκοντα ἡμέρας αὐτοῖς συνῆν, ἵνα αὐτοὺς πληροφορήσῃ καὶ δείξῃ ἡλίκα ἡμῶν εἶναι μέλλει τὰ σώματα μετὰ τὴν ἀνάστασιν. Πάλιν λέγων διὰ τοῦ Παύλου, ὅτι *Ἐν νεφέλαις ἁρπαγησόμεθα εἰς ἀπάντησιν αὐτοῦ εἰς ἀέρα*, καὶ τοῦτο ἔδειξεν ἔργοις. Μετὰ γὰρ τὴν ἀνάστασιν, ἡνίκα ἔμελλεν ἀνιέναι εἰς οὐρανοὺς, παρόντων αὐτῶν *Ἐπήρθη*, φησὶ, *καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν*· καὶ ὡς ἀτενίζοντες ἦσαν, πορευομένου αὐτοῦ. Οὕτως οὖν καὶ τὸ ἡμέτερον σῶμα ὁμοούσιον ἔσται ἐκείνῳ τῷ σώματι, ἅτε ἐκ τοῦ φυράματος ὄν· ὥσπερ γὰρ ἡ κεφαλὴ, οὕτω καὶ τὸ σῶμα· ὥσπερ ἡ ἀρχὴ, οὕτω καὶ τὸ τέλος. Καὶ τοῦτο σαφέστερον ὁ Παῦλος δηλῶν ἔλεγεν· *Ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν, εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ*. Εἰ τοίνυν σύμμορφον γίνεται, καὶ τὴν αὐτὴν ὁδὸν βαδιεῖται, καὶ ὁμοίως ἐπὶ νεφελῶν ἀρθήσεται. Ταῦτα προσδόκα καὶ αὐτὸς ἐν τῇ ἀναστάσει. Ἐπειδὴ γὰρ ἄδηλον ἦν τοῖς ἀκούουσι τέως τὸ ῥῆμα τῆς βασιλείας, διὰ τοῦτο ἀνελθὼν ἐν τῷ ὄρει μετεμορφώθη ἔμπροσθεν τῶν μαθητῶν αὐτοῦ παρανοίγων αὐτοῖς τῶν μελλόντων [343] τὴν δόξαν, καὶ ὡς ἐν αἰνίγματι καὶ ἀμυδρῶς ἐπιδεικνὺς οἷον ἔσται τὸ σῶμα τὸ ἡμέτερον. Ἀλλὰ τότε μὲν μετὰ ἱματίων ἐφάνη, ἐν δὲ τῇ ἀναστάσει οὐχ οὕτως. Οὐ γὰρ δεῖται τὸ σῶμα ἡμῶν ἱματίων, οὐδὲ στέγης, οὐδὲ ὀρόφου, οὐδὲ ἄλλου τῶν τοιούτων οὐδενός. Εἰ γὰρ ὁ Ἀδὰμ πρὸ τῆς παραβάσεως γυμνὸς ὢν οὐκ ἠσχύνετο, δόξῃ ἠμφιεσμένος, πολλῷ μᾶλλον τὰ σώματα τὰ ἡμέτερα, ὅσα ἐπὶ μείζονα καὶ ἀμείνω λῆξιν βαδιεῖται, οὐδενὸς τούτων δεηθήσεται. Διὰ δὴ τοῦτο καὶ αὐτὸς ἀνιστάμενος, τὰ ἱμάτια ἐπὶ τοῦ τάφου καὶ τῆς σοροῦ κεῖσθαι εἴασε, γυμνὸν ἀναστήσας

τὸ σῶμα, δόξης ἀφάτου καὶ μακαριότητος ἐμπεπλησμένον Ταῦτα οὖν εἰδότες, ἀγαπητοὶ, καὶ διὰ λόγων παιδευθέντες, καὶ δι' ὀφθαλμῶν διδαχθέντες, τοιαύτην ἐπιδειξώμεθα πολιτείαν, ἵνα ἐν νεφέλαις ἁρπαγέντες ἀεὶ μετ αὐτοῦ διατρίβοντες ὦμεν, σωζόμενοι καὶ τῇ αὐτοῦ χάριτι, καὶ τῶν μελλόντων ἀπολαύοντες ἀγαθῶν ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμὴ, προσκύνησις, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

MONITUM AD HOMILIAM DE NON EVULGANDIS FRATRUM PECCATIS,

Optime calculum posuit Tillemontius cum dixit, Concionem de non evulgandis fratrum peccatis uno die præcedere illam, quæ in Editione Morelli ipsi præmittitur, titulumque habet, *Non esse desperandam.* In hac enim de illa ut p.idie habita diserte loquitur Chrysostomus n. 3 : *Sed quam tandem ob causam publicanum tam cito exaudivit Deus, Isaac autem viginti annos orare permisit, eique pro uxore sua supplicare, ac tum demum justi precibus annuit? Sunt enim vobis hesternæ doctrinæ reliquiæ persolvendæ :* ἀνάγκη γὰρ τῆς χθὲς διδασκαλίας ἀποδοῦναι ὑμῖν τὰ λείψανα. Hæc autem fuse prosequitur ille in Homilia de non evulgandis fratrum peccatis num. 3 et 4, ubi de Rebeccæ viginti annorum sterilitate in fecunditatem mutata multa disserit. Cæterum hæc quæ de Rebecca dicuntur, ipsis pene verbis jacent in Homilia 49 in Genesim, totamque pene homiliam illam quadragesimam nonam, paucis exceptis, constituunt. Cave tamen putes, in secunda de non desperando homilia, illam in Genesim concionem memorari : non enim in illam quadrare possunt ea quæ initio hujus secundæ homiliæ dicuntur ; nempe : *Quod et a vobis hesterno die peractum est. Compunctionis sermonem sparseram, et confessionis gemitus germinavit, gemitus multos bonorum divitias secum ferens.* Nam in illa in Genesim homilia ne γρῦ quidem exstat quod compunctionem movere possit. In priore vero de non evulgandis fratrum peccatis admodum παθητικῶς loquitur adversus eos qui contra inimicos suos fundunt preces ; numero scilicet 5 et 6, præsertim ante finem, ubi ait : Σύντριβον τὴν διάνοιαν, ταπείνωσον τὴν ψυχὴν τῇ μνήμῃ τῶν σοι πεπλημμεληκότων, *Contere animum tuum, mentem humilia tuorum recordatione delictorum.* Unde etiam evellitur hic Tillemontii scrupulus. Cur, inquit, compunctionem in priore homilia non expresse commemorat, cum tamen in posteriore dicat, se in

---

[344] ΠΕΡΙ ΤΟΥ ΜΗ ΔΗΜΟΣΙΕΥΕΙΝ

τὰ ἁμαρτήματα τῶν ἀδελφῶν, μηδὲ κατεύχεσθαι τῶν ἐχθρῶν.

α'. Μακαρίζω τῆς σπουδῆς ὑμᾶς, ἀγαπητοὶ, μεθ' ἧς εἰς τὸν πατρῷον οἶκον συντρέχετε. Ἀπὸ γὰρ τῆς σπουδῆς ταύτης καὶ περὶ τῆς ὑγιείας ἡμῶν τῆς κατὰ ψυχὴν ἔχω θαρρεῖν· καὶ γὰρ ἰατρεῖον θαυμαστὸν τῆς Ἐκκλησίας τὸ διδασκαλεῖόν ἐστιν· ἰατρεῖον, οὐχὶ σωμάτων, ἀλλὰ ψυχῶν. Πνευματικὸν γάρ ἐστι, καὶ οὐχὶ τραύματα σαρκὸς, ἀλλ' ἁμαρτήματα διανοίας διορθοῦται· τῶν δὲ ἁμαρτημάτων τούτων καὶ τῶν τραυμάτων τὸ φάρμακον λόγος ἐστί. Τοῦτο τὸ φάρμακον οὐκ ἐκ βοτανῶν τῶν ἐπὶ γῆς, ἀλλ' ἀπὸ τῶν

horum indigebunt. Hac nimirum de caus cum et ipse resurgeret, vestes in sepulcro et loculo manere permisit, nudumque corpus suscitavit, immensæ gloriæ et beatitudinis plenum. Hæc igitur nobis cum explorata sint, dilectissimi, et verbis eruditi, et per oculos edocti, talem conversationem exhibe mus, ut in nubibus rapti, semper cum illo versemur, ejusque gratia salvi facti, futuris bonis perfruamur : quæ nobis omnibus assequi contingat in Christo Jesu Domino nostro, cum quo Patri, una cum Spiritu sancto gloria, imperium, honor, adoratio, nunc et semper et in sæcula sæculorum. Amen.

ET IN SEQUENTEM DE NON DESPERANDO.

priore de compunctione verba fecisse? At non dicit ille se in priore compunctionem nominatim commemorasse; sed talia fatur : *Compunctionis sermonem sparserant, et confessionis gemitus germinavit.* Quid porro aliud sunt hæc, *Contere animum tuum, mentem humilia tuorum recordatione delictorum*, atque alia multa hinc et inde sparsa, quam compunctionis sermo? Æque facile est alium ejusdem evellere scrupulum, qui hujusmodi est : In posteriore homilia, num. 3, ait Chrysostomus : *Sed quam tandem ob causam publicanum tam cito exaudivit Deus, Isaac autem viginti annos orare permisit, ac tum demum justi precibus annuit? Sunt enim vobis hesternæ doctrinæ reliquiæ persolvendæ.* Hic innuere videtur Chrysostomus, inquit Tillemontius, se in priori concione de publicano simul et de Isaaco sermonem habuisse, eum tamen nonnisi de Isaaco verba faciat, deque precibus ab illo per annos viginti ad impetrandam a Deo prolem emissis. At nihil est in postremo allatis verbis, ni fallor, quod de publicano habitam in priori concione mentionem fuisse suadeat. Hæc quippe verba, *Sunt enim vobis hesternæ doctrinæ reliquiæ persolvendæ*, ad ea quæ ad Isaacum spectant, quæque hæc postrema præcedunt, non vero ad illa prius posita de publicano, sunt referenda. Hi ergo scrupuli nulli sunt, neque etiam tanti esse a Tillemontio existimantur, ut illum a sententia dimoveant. Utraque igitur homilia de perseverantia in emittendis precibus agit, et in utraque pluribus docetur non esse precandum contra inimicos. In neutra vero aliquam temporis notam expiscari possumus.

Interpretatio utriusque Latina est Frontonis Ducæi.

QUOD NON OPORTEAT PECCATA

FRATRUM EVULGARE, NEQUE INIMICIS IMPRECARI.

1. *Scriptura numquam suam beneficam vim amittit; pauperibus utilior est quam divitibus.* — Laudo vos, dilectissimi, quod tanto studio ad paternam domum concurratis. Nam ex hoc studio de vestra secundum animam sanitate confidendi mihi præbetur occasio : siquidem mirabilis quædam est officina medici Ecclesiæ schola : medici non corporum, sed animorum. Spiritualis namque est, neque vulnera carnis, sed peccata mentis sanat : porro peccatorum istorum ac vulnerum medicamentum est doctrina. Hoc medicamentum non ex herbis terrestribus, sed ex verbis constat cælestibus ; hoc non manibus medicorum, sed

linguis prophetarum est compositum. Quam ob causam perpetuum est, et neque temporum longinquitate debilitatur, neque morborum virtute superatur. Nam medicorum quidem medicamenta utroque defectu ac vitio laborant : dum recentia sunt, vim suam produnt : cum vero multum temporis est elapsum, in modum corporum senectute confectorum imbecilliora reddantur : quin etiam persæpe morborum difficultate vincuntur, quippe quæ humana sint : at divinum medicamentum tale non est, sed multo tempore interjecto suam omnem vim retinet. Sane ex eo tempore, quo vixit Moyses (ab illo enim initium est Scripturarum), tam multos homines sanavit, et suam virtutem non amisit : sed neque ab ulla umquam ægritudine superatum est. Hoc medicamentum non numerata pecunia licet accipere, sed qui sinceram voluntatem et affectum exhibet, totum illud secum reportat. Idcirco divites simul et pauperes pariter hac medicina fruuntur. Nam ubi quidem pecunias impendi necesse est, qui locuples est, utilitatis fit particeps : pauper autem sæpe lucri expers discedit ; cum tanti reditus illi non suppetant, ut ad medicamentum conficiendum sufficiant. Hic vero quoniam pecuniam numerare non permittitur, sed fides et voluntas est exhibenda, qui numerare potest ista et cum alacritate persolvere, hic potissimum percipit utilitatem : quandoquidem hæc sunt quæ pro mercede medicinæ istius exiguntur. Et dives et pauper pariter hanc utilitatem participant : imo vero non pariter utilitatem participant, sed majori percepta pauper abscedit. Quid ita ? Quod nimirum dives variis præoccupatus sollicitudinibus, superbia tumens, et opibus inflatus ac fastu, desidiæ deditus ac negligentiæ, non admodum attente, neque magno cum studio medicinam auditionis Scripturæ recipiat ; pauper autem a deliciis et ingluvie, ac negligentia immunis, multamque inde animæ suæ concilians philosophiam, dum totum tempus in opere manuum ac legitimis laboribus consumit, attentior ac robustior evadat, ac majori cum diligentia quæ dicuntur percipiat : quo fit, ut majori pretio persoluto, majori decerpta utilitate discedat.

2. Hæc a me non eo dicuntur consilio, ut divites quoscumque vituperem, nec ut pauperes quoscumque laudem : nam neque divitiæ malum sunt, sed divitiis male uti : neque paupertas bonum, sed paupertate bene uti. Torquebatur dives ille qui ætate Lazari vixerat, non quia dives fuerat, sed quia crudelis fuerat et inhumanus. Laudabatur pauper ille in sinu Abrahæ, non quia pauper fuerat, sed quia paupertatem cum gratiarum actione toleraverat. Res enim aliæ (attendite diligenter ad ea quæ dicimus : poterunt enim sufficientem philosophiam modestiamque vobis inserere, ac vitiosam omnem cogitationem expellere, atque efficere ut rectum de rebus judicium feratis) ; res igitur aliæ sunt natura bonæ, aliæ plane contrariæ ; aliæ quæ nec bonæ sunt nec malæ, sed medium quemdam locum tenent. Bonum est quiddam natura sua pietas, malum impietas : bonum virtus, malum improbitas : porro divitiæ ac paupertas per se neque hoc sunt, neque illud : sed pro ratione propositi ac voluntatis eorum qui utuntur illis, aut hoc aut illud fiunt. Nam si ad humanitatem quidem divitiis utare, tibi res ad occasionem boni tradetur ; sin autem ad rapinas, avaritiam et injuriam, in contrarium ipsius usum convertes : verumtamen non sunt in causa divitiæ, sed is qui ad injuriam divitiis est usus. Ita quoque de paupertate dici potest : siquidem illam patienter tuleris Domino gratias agens, res tibi occasio fiet ac materia coronarum : sin autem idcirco blasphemus fueris in Creatorem, ejusque providentiam accusaveris, rem ad malum usum rursus traduxisti. Sed quemadmodum illic avaritiæ fraudisve divitiæ causa non sunt, sed is qui male divitiis utitur : sic etiam blasphemiæ culpam non rejiciemus in paupertatem, sed in eum qui rem moderate ferre noluit. Ubique namque cum laus, tum vituperium ex sententia et voluntate nostra pendet. Bonæ sunt divitiæ, sed non simpliciter, verum illi, cui peccatum non est : et rursus mala est paupertas, sed non simpliciter, verum in ore impii, quoniam ægre fert, quoniam blasphemat, quoniam Creatorem accusat.

3. *Nec divitiæ nec paupertas vituperandæ.*—Ne igitur divitias accusemus, neque paupertatem simpliciter vituperemus, sed eos qui his rebus recte uti nolunt : res enim ipsæ sunt in medio positæ. Sed quod dicebam (bonum enim est ut ad prius illud argumentum revertamur), et dives et pauper eadem cum fiducia et libertate his nostris medicamentis fruuntur : sæpenumero etiam majori cum studio pauper. Non hæc medicamentorum istorum præcipua laus est, quod animas sanent, quod temporis longinquitate non corrumpantur, quod a morbis non vincantur, quod eorum utilitas gratis proposita sit, quod ex æquo divitibus et pauperibus pateat medicina : sed et aliud quidpiam nihilo minus his bonis habent. Quodnam illud tandem est ? Quod eos qui ad hanc medici officinam veniunt non divulgamus. Nam illi quidem qui ad profanas medicorum officinas abeunt, multos habent vulnerum spectatores : ac nisi prius medicus ulcus detegat, medicamentum non adhibet : hic vero non ita fit, sed cum innumeros videamus ægrotos, occulte illos curamus. Neque enim in medium adductis peccatoribus, eorum deinde peccata divulgamus : sed communi omnibus doctrina proposita, conscientiæ relinquimus auditorum, ut convenientem suo vulneri ex iis quæ dicta sunt eliciant medicinam. Prodit enim ab oratoris lingua doctrinæ sermo qui vituperationem vitii continet, laudem virtutis, reprehensionem luxuriæ, commendationem castitatis, accusationem superbiæ, præconium modestiæ, tamquam varium multiplexque pharmacum ex omnibus speciebus compositum : porro conveniens sibi et utile ut accipiat, est uniuscujusque auditorum. Procedit igitur aperte sermo, et cujusque conscientiæ insidens, latenter suam exhibet medicinam, et prius quam ægritudo publicetur, sæpe restituit sanitatem.

4. Heri quidem certe audistis quo pacto virtutem orationis laudarim, quo pacto eos qui negli-

ῥημάτων τῶν ἐξ οὐρανοῦ σύγκειται· τοῦτο οὐκ ἰατρῶν χεῖρες, ἀλλὰ προφητῶν κατεσκεύασαν γλῶτται. Διὰ τοῦτο διαρκές ἐστι, καὶ οὔτε πλήθει χρόνων ἀμαυροῦται, οὔτε δυνάμει νοσημάτων ἐλέγχεται. Τὰ μὲν γὰρ τῶν ἰατρῶν φάρμακα ἀμφότερα ταῦτα ἔχει τὰ ἐλαττώματα· νεαρὰ μὲν γὰρ ὄντα τὴν ἰσχὺν ἐπιδείκνυται τὴν ἑαυτῶν· ὅταν δὲ χρόνος παρέλθῃ πολύς, καθάπερ τὰ γεγηρακότα τῶν σωμάτων, ἀσθενέστερα γίνεται· πολλάκις δὲ αὐτὰ καὶ δυσκολία ἀῤῥωστημάτων διήλεγξεν· ἀνθρώπινα γάρ ἐστι· τὸ δὲ θεῖον φάρμακον οὐ τοιοῦτον, ἀλλὰ χρόνου διαγενομένου πολλοῦ, τὴν οἰκείαν ἰσχὺν ἔχει πᾶσαν. Ἐξ ὅτου γοῦν ἐγένετο Μωϋσῆς (ἐξ ἐκείνου γὰρ ἡ ἀρχὴ τῶν Γραφῶν), τοσούτους ἐθεράπευσεν ἀνθρώπους, καὶ τὴν οἰκείαν δύναμιν οὐκ ἀπέβαλεν· ἀλλ' οὐδὲ νόσημα αὐτοῦ περιεγένετο πώποτε. Τοῦτο τὸ φάρμακον οὐκ ἔστιν ἀργύριον καταβαλόντα λαβεῖν, ἀλλ' ὁ προαίρεσιν καὶ διάθεσιν γνησίαν ἐπιδειξάμενος, ἅπαν ἔχων ἀπῆλθε. Διὰ τοῦτο καὶ πλούσιοι καὶ πένητες ὁμοίως τῆς ἰατρείας ἀπολαύουσι ταύτης. Ἔνθα μὲν γὰρ ἀνάγκη καταθεῖναι χρήματα, ὁ μὲν εὔπορος μετέχει τῆς ὠφελείας· ὁ δὲ πένης πολλάκις ἀπεστερημένος τοῦ κέρδους ἀπέρχεται, οὐκ ἀρκούσης αὐτῷ τῆς προσόδου πρὸς τὴν τοῦ φαρμάκου κατασκευήν. Ἐνταῦθα δὲ, ἐπειδὴ ἀργύριον [345] οὐκ ἔστι καταβαλεῖν, ἀλλὰ πίστιν ἐπιδείξασθαι δεῖ καὶ προαίρεσιν, ὁ ταῦτα καταβαλὼν μετὰ προθυμίας, οὗτος καρποῦται μάλιστα τὴν ὠφέλειαν· ἐπειδὴ καὶ ταῦτα τῆς ἰατρείας ἐστὶν ὁ μισθός. Καὶ ὁ πλούσιος καὶ ὁ πένης τῆς ὠφελείας κοινωνοῦσιν ὁμοίως· μᾶλλον δὲ οὐχ ὁμοίως κοινωνοῦσι τῆς ὠφελείας, ἀλλὰ πολλάκις πλείονος[a] ἀπολαύσας ὁ πένης ἀπέρχεται. Τί δήποτε; Ὅτι ὁ μὲν πλούσιος πολλαῖς προκατειλημμένος φροντίσιν, ἔχων τὴν ἀπόνοιαν καὶ τὸ φύσημα τὸ τῆς εὐπορίας, ὀλιγωρίᾳ συζῶν καὶ ῥᾳθυμίᾳ, οὐ μετὰ πολλῆς τῆς ἀκριβείας, οὐδὲ μετὰ πολλῆς τῆς σπουδῆς τὸ φάρμακον τῆς ἀκροάσεως τῶν Γραφῶν δέχεται· ὁ δὲ πένης τρυφῆς καὶ ἀδηφαγίας καὶ ῥᾳθυμίας ἀπηλλαγμένος, ἅπαντα τὸν χρόνον ἐν τῇ τῶν χειρῶν ἐργασίᾳ καὶ τοῖς δικαίοις ἀναλίσκων πόνοις, καὶ πολλὴν ἐντεῦθεν ψυχῇ συλλέγων φιλοσοφίαν, προσεκτικώτερός τε καὶ εὐτονώτερος γίνεται, καὶ μετὰ πλείονος προσέσχε ἀκριβείας τοῖς λεγομένοις· ὅθεν καὶ πλείονα καταβαλὼν τὸν μισθὸν, πλείονα τὴν ὠφέλειαν καρπωσάμενος ἄπεισιν.

β'. Οὐ τῶν πλουτούντων ἁπλῶς κατηγορῶν ταῦτα εἶπον, οὐδὲ τοὺς πένητας ἁπλῶς ἐπαινῶν· οὔτε γὰρ ὁ πλοῦτος κακὸν, ἀλλὰ τὸ κακῶς κεχρῆσθαι τῷ πλούτῳ· οὔτε ἡ πενία καλὸν, ἀλλὰ τὸ καλῶς κεχρῆσθαι τῇ πενίᾳ. Ἐκολάζετο ὁ πλούσιος ἐκεῖνος ὁ ἐπὶ τοῦ Λαζάρου, οὐκ ἐπειδὴ πλούσιος ἦν, ἀλλ' ἐπειδὴ ὠμὸς ἦν καὶ ἀπάνθρωπος. Ἐπῃνεῖτο ὁ πένης ἐκεῖνος ὁ ἐν τοῖς κόλποις τοῦ Ἀβραὰμ, οὐκ ἐπειδὴ πένης ἦν, ἀλλ' ἐπειδὴ μετ' εὐχαριστίας τὴν πενίαν ἤνεγκε. Τῶν γὰρ πραγμάτων (προσέχετε δὲ μετὰ ἀκριβείας τούτῳ τῷ λόγῳ· ἱκανὴν γὰρ ὑμῖν ἐνθεῖναι φιλοσοφίαν δυνήσεται, καὶ πάντα διεφθαρμένον λογισμὸν ἐκβαλεῖν, καὶ ποιῆσαι περὶ τῶν ὄντων ὀρθὴν ἔχειν τὴν κρίσιν), τῶν τοίνυν πραγμάτων τὰ μέν ἐστι φύσει καλὰ, τὰ δὲ τὸ ἐναντίον· τὰ δὲ οὔτε καλὰ, οὔτε κακὰ, ἀλλὰ τὴν μέσην τάξιν ἐπέχει. Καλὸν ἡ εὐσέβεια φύσει, κακὸν ἡ ἀσέβεια· καλὸν ἡ ἀρετὴ, κακὸν ἡ πονηρία· ὁ δὲ πλοῦτος καὶ ἡ πενία καθ' ἑαυτὰ μὲν οὔτε τοῦτό ἐστιν, οὔτε ἐκεῖνο· παρὰ δὲ τὴν προαίρεσιν τῶν χρωμένων ἢ τοῦτο ἢ ἐκεῖνο γίνεται. Ἂν μὲν γὰρ πρὸς φιλανθρωπίαν χρήσῃ τῷ πλούτῳ, γέγονέ σοι καλοῦ τὸ πρᾶγμα ὑπόθεσις· ἂν δὲ εἰς ἁρπαγὰς καὶ πλεονεξίας καὶ ὕβριν, πρὸς τὸ ἐναντίον ἔτρεψας αὐτοῦ τὴν χρῆσιν, ἀλλ' οὐχ ὁ πλοῦτος αἴτιος, ἀλλ' ὁ πρὸς ὕβριν τῷ πλούτῳ χρησάμενος. Οὕτω καὶ περὶ τῆς πενίας ἔστιν εἰπεῖν· ἂν μὲν γὰρ γενναίως αὐτὴν ἐνέγκῃς εὐχαριστῶν τῷ Δεσπότῃ, γέγονέ σοι στεφάνων τὸ πρᾶγμα ἀφορμὴ καὶ ὑπόθεσις· ἂν δὲ βλασφημῇς διὰ τοῦτο τὸν πεποιηκότα, καὶ κατηγορῇς αὐτοῦ τῆς προνοίας, ἐπὶ κακῷ πάλιν ἐχρήσω τῷ πράγματι. Ἀλλ' ὥσπερ ἐκεῖ τῆς πλεονεξίας οὐχ ὁ πλοῦτος αἴτιος, ἀλλ' ὁ κακῶς τῷ πλούτῳ χρησάμενος· οὕτω καὶ ἐνταῦθα τῆς βλασφημίας οὐ τὴν πενίαν αἰτιασόμεθα, ἀλλὰ τὸν μὴ βουληθέντα σωφρόνως τὸ πρᾶγμα ἐνεγκεῖν. Παντὸς γὰρ καὶ ὁ ἔπαινος καὶ ὁ ψόγος τῆς γνώμης τῆς [346] ἡμετέρας καὶ τῆς προαιρέσεώς ἐστιν. Ἀγαθὸς ὁ πλοῦτος, ἀλλ' οὐχ ἁπλῶς, ἀλλ' ᾧ μή ἐστιν ἁμαρτία· καὶ πάλιν, πονηρὰ ἡ πενία, ἀλλ' οὐχ ἁπλῶς, ἀλλ' ἐν στόματι ἀσεβοῦς, ἐπειδὴ δυσχεραίνει, ἐπειδὴ βλασφημεῖ, ἐπειδὴ ἀγανακτεῖ, ἐπειδὴ κατηγορεῖ τοῦ πεποιηκότος.

γ'. Μὴ τοίνυν κατηγορῶμεν πλούτου, μηδὲ κακίζωμεν πενίαν ἁπλῶς, ἀλλὰ τοὺς οὐκ ἐθέλοντας τούτοις χρῆσθαι καλῶς· αὐτὰ γὰρ τὰ πράγματα ἐν μέσῳ κεῖται. Ἀλλ' ὅπερ ἔλεγον (καλὸν γὰρ ἐπανελθεῖν ἐπὶ τὴν προτέραν ὑπόθεσιν), ὅτι καὶ πλούσιος καὶ πένης μετὰ τῆς αὐτῆς ἀδείας καὶ παῤῥησίας τῶν ἐνταῦθα φαρμάκων ἀπολαύουσι· πολλάκις δὲ μετὰ πλείονος σπουδῆς ὁ πένης. Οὐδὲ γὰρ τοῦτο μόνον ἐστὶ τὸ ἐξαίρετον τῶν φαρμάκων, ὅτι ψυχὰς θεραπεύει, ὅτι μήκει χρόνου οὐ διαφθείρεται, ὅτι ὑπὸ νοσήματος οὐχ ἥττηται, ὅτι δωρεὰν πρόκειται ἡ ὠφέλεια, ὅτι ἐξ ἴσου καὶ πλουσίοις καὶ πένησι τὸ τῆς θεραπείας· ἀλλ' ἔχει τι καὶ ἕτερον οὐκ ἔλαττον τούτων τῶν ἀγαθῶν. Ποῖον δὴ τοῦτο; Τοὺς ἐρχομένους εἰς τὸ ἰατρεῖον τοῦτο οὐ δημοσιεύομεν ἡμεῖς. Οἱ μὲν γὰρ εἰς τὰ ἰατρεῖα τὰ ἔξωθεν ἀπιόντες, πολλοὺς ἔχουσι τοὺς τὰ τραύματα θεωροῦντας· κἂν μὴ ἀποκαλύψῃ πρότερον ὁ ἰατρὸς τὸ ἕλκος, τὸ φάρμακον οὐκ ἐπιτίθησιν· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ μυρίους ὁρῶντες κάμνοντας, λανθανόντως ποιούμεθα τὴν θεραπείαν αὐτῶν. Οὐ γὰρ εἰς μέσον ἄγοντες τοὺς ἡμαρτηκότας, οὕτω δημοσιεύομεν αὐτῶν τὰ ἁμαρτήματα· ἀλλὰ κοινὴν ἅπασι προθέντες τὴν διδασκαλίαν, τῷ τῶν ἀκροωμένων συνειδότι καταλιμπάνομεν, ὥστε ἕκαστον τὸ κατάλληλον φάρμακον τῷ οἰκείῳ τραύματι ἐκ τῶν λεγομένων ἐπισπάσασθαι. Πρόεισι μὲν γὰρ ὁ λόγος τῆς διδασκαλίας ἀπὸ τῆς γλώττης τοῦ λέγοντος, ἔχων κατηγορίαν κακίας, ἔπαινον ἀρετῆς, μέμψιν ἀσελγείας, ἐγκώμιον σωφροσύνης, ψόγον ἀπονοίας, ἐπιεικείας ἔπαινον, καθάπερ ποικίλον καὶ παντοδαπὸν φάρμακον ἐξ ἁπάντων εἰδῶν συγκείμενον· τὸ δὲ πρόσφορον ἑαυτῷ καὶ χρήσιμον λαβεῖν, ἑκάστου τῶν ἀκουόντων ἐστί. Πρόεισι μὲν οὖν φανερῶς ὁ λόγος, εἰς δὲ τὸ ἑκάστου συνειδὸς ἐγκαθεζόμενος, λανθανόντως καὶ τὴν παρ' ἑαυτοῦ θεραπείαν παρέχει, καὶ πρὶν ἢ δημοσιευθῆναι τὸ νόσημα, τὴν ὑγίειαν πολλάκις ἐπήγαγεν.

δ. Ἠκούσατε γοῦν χθὲς, πῶς ἐπῄνεσα τῆς εὐχῆς τὴν δύναμιν, πῶς ἐκάκισα τοὺς μετὰ ῥᾳθυμίας εὐχομέ-

[a] Hæc est lectio marginalis Savilii, quam confirmat Cod. 748. Edebatur πλειόνως. Edit.

νους, οὐδένα αὐτῶν δημοσιεύσας. Οἱ μὲν οὖν συνειδότες ἑαυτοῖς σπουδὴν, ἐδέξαντο τὸ ἐγκώμιον τῆς εὐχῆς, καὶ ἐγένοντο σπουδαιότεροι τοῖς ἐπαίνοις· οἱ δὲ συνειδότες ἑαυτοῖς ῥᾳθυμίαν, ἐδέξαντο πάλιν τὴν ἐπιτίμησιν, καὶ τὴν ὀλιγωρίαν ἀπέθεντο. Ἀλλ' οὔτε τούτους, οὔτε ἐκείνους ἴσμεν· ἡ δὲ ἄγνοια ἀμφοτέροις χρήσιμος αὕτη. Πῶς, ἐγὼ λέγω. Ὁ τῶν ἐγκωμίων ἀκούσας τῆς εὐχῆς, καὶ συνειδὼς ἑαυτῷ σπουδὴν, εἰ πολλοὺς εἶχε μάρτυρας τῶν ἐγκωμίων, πρὸς ἀπόνοιαν ἂν ἐξωλίσθησε· νυνὶ δὲ λανθανόντως δεξάμενος τὸν ἔπαινον, πάσης ἀλαζονείας ἀπήλλακται. Πάλιν ὁ συνειδὼς ἑαυτῷ ῥᾳθυμίαν, τῆς κατηγορίας ἀκούσας, ἐγένετο βελτίων ἀπὸ τῆς κατηγορίας, οὐδένα σχὼν τῆς [347] ἐπιτιμήσεως γνωστῶν [a] ἀνθρώπων· τοῦτο δὲ αὐτὸν οὐχ ὡς ἔτυχεν ὤνησε. Διὰ γὰρ τὸ πρὸς τὴν τῶν πολλῶν ἐπτοῆσθαι δόξαν, ἕως μὲν ἂν λανθάνειν νομίζωμεν ὄντες κακοὶ, σπουδάζομεν γίνεσθαι βελτίους· ἐπειδὰν δὲ πᾶσι γενώμεθα κατάδηλοι, καὶ τὴν ἐκ τοῦ λανθάνειν ἀπολέσωμεν παραμυθίαν, ἀναισχυντότεροι καὶ ῥᾳθυμότεροι μᾶλλον γινόμεθα. Καὶ καθάπερ τὰ ἕλκη γυμνούμενα, καὶ ἀέρι ψυχρῷ συχνῶς ὁμιλοῦντα, χαλεπώτερα γίνονται· οὕτω καὶ ἡ ψυχὴ ἡμαρτηκυῖα, ἂν μεταξὺ πολλῶν ἐλέγχηται ἐφ' οἷς ἐπλημμέλησεν, ἀναισχυντοτέρα γίνεται. Ἵν' οὖν μὴ τοῦτο γένηται, λανθανόντως ὁ λόγος ὑμᾶς ἐθεράπευσε. Καὶ ἵνα μάθητε, ὅτι ἡ λανθάνουσα αὕτη ἰατρεία πολὺ τὸ κέρδος ἔχει, ἀκούσατε τί φησιν ὁ Χριστός· *Ἐὰν ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου, ἔλεγξον αὐτόν*· καὶ οὐκ εἶπε, μεταξὺ σοῦ καὶ τῆς πόλεως, οὐδὲ μεταξὺ σοῦ καὶ τοῦ δήμου, ἀλλὰ, *Μεταξὺ σοῦ καὶ αὐτοῦ μόνον*. Ἀμάρτυρος ἔστω, φησὶν, ἡ κατηγορία, ἵνα εὔκολος γένηται ἡ πρὸς διόρθωσιν μεταβολή. Μέγα ἄρα ἀγαθὸν, τὸ ποιεῖσθαι τὴν παραίνεσιν μὴ δημοσιευομένην. Ἀρκεῖ τὸ συνειδὸς, ἀρκεῖ ὁ κριτὴς ἐκεῖνος ὁ ἀδέκαστος. Οὐχ οὕτω σὺ ἐπιτιμᾷς τῷ ἡμαρτηκότι, ὡς τὸ συνειδὸς ἑαυτοῦ (πικρότερός ἐστιν ὁ κατήγορος ἐκεῖνος), οὔτε ἀκριβέστερον εἰδὼς τὰ πεπλημμελημένα. Μὴ τοίνυν προσθῇς τραῦμα τραύμασι, δημοσιεύων τὸν ἡμαρτηκότα, ἀλλ' ἀμάρτυρον ποιοῦ τὴν παραίνεσιν. Τοῦτο τοίνυν καὶ ἡμεῖς ποιοῦμεν νῦν, ὅπερ καὶ Παῦλος ἐποίησεν, ἀμάρτυρον κατασκευάζων τοῦ παρὰ Κορινθίοις ἡμαρτηκότος τὴν κατηγορίαν. Καὶ ἄκουε πῶς· *Διὰ τοῦτο*, φησὶν, *ἀδελφοὶ, μετεσχημάτισα ταῦτα εἰς ἐμαυτὸν καὶ Ἀπολλώ*. Καὶ μὴν οὐχὶ αὐτὸς, οὐδὲ Ἀπολλὼ ἦσαν οἱ σχίσαντες τὸν δῆμον καὶ τὴν Ἐκκλησίαν διατέμόντες· ἀλλ' ὅμως συνεσκίασε τὴν κατηγορίαν, καὶ καθάπερ προσωπείοις τισὶ, τοῖς αὐτοῦ καὶ Ἀπολλὼ ὀνόμασι τὰς τῶν ὑπευθύνων ἀποκρύψας ὄψεις, ἐξουσίαν αὐτοῖς ἔδίδου μεταβαλέσθαι ἐκ τῆς πονηρίας ἐκείνης. Καὶ πάλιν, *Μήπως ἐλθόντα με ὁ Θεὸς ταπεινώσῃ, καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων καὶ μὴ μετανοησάντων ἐπὶ τῇ ἀκαθαρσίᾳ καὶ ἀσελγείᾳ ᾗ ἔπραξαν*. Ὁρᾷ πῶς καὶ ἐνταῦθα ἀδιορίστως λέγει τοὺς ἡμαρτηκότας, ἵνα μὴ φανερὰν ποιήσας τὴν κατηγορίαν, ἀναισχυντοτέραν ἐργάσηται τὴν τῶν ἡμαρτηκότων ψυχήν. Ὥσπερ οὖν ἡμεῖς μετὰ τοσαύτης φειδοῦς τοὺς ἐλέγχους ποιούμεθα, οὕτω, παρακαλῶ, καὶ ὑμεῖς μετὰ πάσης σπουδῆς δέξασθε τὴν διόρθωσιν, καὶ μετὰ ἀκριβείας τοῖς λεγομένοις προσέχετε.

ε'. Διελέχθημεν ὑμῖν χθὲς περὶ τῆς δυνάμεως τῆς κατὰ τὴν εὐχήν. Ἔδειξα πῶς ὁ διάβολος τότε ἐφ- εὑρεύει κακοῦργος ὤν. Ἐπειδὴ γὰρ μέγιστον κέρδος ἐκ τῆς εὐχῆς ὁρᾷ γινόμενον ἡμῖν, τότε μάλιστα ἐπιτίθεται· ἵνα ἡμᾶς ἐκκρούσῃ τῆς ἀπολογίας, ἵνα κεναῖς οἴκαδε ἀποπέμψῃ χερσί. Καὶ καθάπερ ἐπὶ τῶν ἀρχόντων, ἐπειδὰν οἱ τῆς τάξεως καὶ περὶ αὐτὸν ὄντες τὸν ἄρχοντα ἀπεχθῶς ἔχωσι πρὸς τοὺς ἐντυγχάνοντας, διὰ τῶν ῥάβδων πόρρωθεν αὐτοὺς ἀπελαύνουσι, κωλύοντες προσελθεῖν καὶ ἀποδύρασθαι καὶ φιλανθρωπίας τυχεῖν· οὕτω καὶ ὁ διάβολος, ἐπειδὰν ἴδῃ προσιόντας [348] τῷ δικαστῇ, πόρρωθεν ἀπελαύνει, οὐ διὰ ῥάβδου, ἀλλὰ διὰ ῥᾳθυμίας. Οἶδε γὰρ, οἶδε σαφῶς, ὅτι ἂν προσέλθωσι νήφοντες, καὶ εἴπωσι τὰ ἡμαρτημένα, καὶ ἀποδύρωνται ζεούσῃ τῇ ψυχῇ, πολλὴν λαβόντες συγγνώμην ἀπέρχονται· φιλάνθρωπος γάρ ἐστιν ὁ Θεός· καὶ διὰ τοῦτο προλαμβάνει, καὶ ἀπάγει τῆς ἐντεύξεως αὐτοὺς, ἵνα μηδενὸς ὧν δέονται ἐπιτύχωσιν. Ἀλλ' οἱ μὲν στρατιῶται τῶν ἀρχόντων μετὰ βίας ἀποσοβοῦσι τοὺς ἐντυγχάνοντας· ὁ δὲ οὐ μετὰ ἀνάγκης, ἀλλ' ἀπατῶν ἡμᾶς καὶ εἰς ῥᾳθυμίαν ἐμβάλλων. Διὰ τοῦτο οὐδὲ συγγνώμης ἐσμὲν ἄξιοι, ἑκόντες ἑαυτοὺς ἀποστεροῦντες τῶν ἀγαθῶν. Φῶς ἐστι διανοίας καὶ ψυχῆς ἡ μετὰ σπουδῆς εὐχὴ, φῶς ἄσβεστον καὶ διηνεκές. Διὰ τοῦτο μυρίους συρφετοὺς λογισμῶν ἐμβάλλει ταῖς ἡμετέραις [b] διανοίαις, καὶ ἅπερ οὐδέποτε ἐλογισάμεθα, ταῦτα συνάγων ἐν τῷ καιρῷ τῆς εὐχῆς καταχεῖ ταῖς ψυχαῖς ἡμῶν. Καὶ καθάπερ ἄνεμοι πολλάκις ἀπεναντίας προσπίπτοντες, λυχνιαῖον πῦρ ἀναπτόμενον ῥιπίσαντες ἔσβεσαν· οὕτω καὶ ὁ διάβολος, ἐπειδὰν ἴδῃ τὴν φλόγα τῆς εὐχῆς ἡμῖν ἀναπτομένην, μυρίαις φροντίσιν ἔνθεν καὶ ἔνθεν ῥιπίζων, οὐ πρότερον ἀφίσταται ἕως ἂν σβέσῃ τὸ φῶς. Ἀλλ' ὅπερ οἱ τοὺς λύχνους ἐκείνους ἀνάπτοντες ποιοῦσι, τοῦτο καὶ ἡμεῖς ποιήσωμεν. Τί δὲ ἐκεῖνοι ποιοῦσιν; Ἐπειδὰν ἴδωσιν ἄνεμον προσιόντα σφοδρὸν, τὸν δάκτυλον ἐπιθέντες τῇ ὀπῇ τοῦ λύχνου ἀποτειχίζουσι τῷ πνεύματι τὴν εἴσοδον. Ἕως μὲν γὰρ ἂν ἔξωθεν προσβάλλῃ, δυνησόμεθα ἀντιστῆναι· ἐπειδὰν δὲ ἀνοίξωμεν αὐτῷ τὰς θύρας τῆς διανοίας, καὶ ἔνδον δεξώμεθα τὸν ἐχθρὸν, οὐκ ἔτι λοιπὸν οὐδὲ μικρὸν ἀντιστῆναι δυνάμεθα· ἀλλὰ πανταχόθεν κατασβέσας ἡμῶν τὴν μνήμην, ὥσπερ λύχνον καπνιζόμενον, ἀφίησι τὸ στόμα ῥήματα προφέρειν κενά. Ἀλλ' ὥσπερ ἐκεῖνοι τὸν δάκτυλον ἐπιτιθέασι τῇ ὀπῇ τοῦ λύχνου, οὕτως ἡμεῖς ἐπιθῶμεν τὸν λογισμὸν τῇ ἡμετέρᾳ διανοίᾳ· ἀποφράξωμεν τοῦ πονηροῦ πνεύματος τὴν εἴσοδον, ἵνα μὴ σβέσῃ ἡμῶν τὸ φῶς τῆς εὐχῆς. Μέμνησθε τούτων ἀμφοτέρων τῶν παραδειγμάτων, καὶ τοῦ τῶν στρατιωτῶν, καὶ τοῦ ἄρχοντος, καὶ τοῦ κατὰ τὸν λύχνον; Διὰ γὰρ τοῦτο ταῦτα λέγομεν ὑμῖν τὰ παραδείγματα, ἐν οἷς στρεφόμεθα, ἐν οἷς ἐσμεν, ἵνα καὶ ἐντεῦθεν ἀναχωρήσαντες καὶ οἶκοι γενόμενοι, ἀπὸ τῶν ἐν χερσὶ πραγμάτων ὑπόμνησιν λαμβάνωμεν τῶν εἰρημένων. Μέγα ὅπλον εὐχὴ, καὶ μεγάλη ἀσφάλεια.

ς'. Ἠκούσατε χθὲς, πῶς οἱ τρεῖς παῖδες πεπεδημένοι κατέλυσαν τὴν τοῦ πυρὸς δύναμιν, πῶς κατεπάτησαν τὴν φλόγα, πῶς περιεγένοντο τῆς καμίνου, καὶ τῆς ἐνεργείας ἐκράτησαν τοῦ στοιχείου; Ἀκούσατε σήμερον πάλιν, πῶς ὁ γενναῖος καὶ μέγας Ἰσαὰκ αὐτῆς περιεγένετο τῆς τῶν σωμάτων φύσεως δι' εὐχῆς. Ἐκεῖνοι κατέλυσαν τοῦ πυρὸς τὴν δύναμιν, οὗτος σή-

[a] Forte γνωστήν. Hæc vox abest a Cod. 748.

[b] Addit Cod. 748 ὁ πονηρός.

orabant, vituperarim, nec ullum tamen eorum palam notavi. Quotquot igitur conscii fuerunt suæ diligentiæ, laudem orationis exceperunt, et laudibus diligentiores sunt facti : qui vero suæ conscii negligentiæ fuerunt, rursus reprehensionem exceperunt, et desidiam excusserunt. Verumtamen neque hi nobis, neque illi sunt noti, atque hæc ignorantia prodest utrisque. Quo pacto id fiat, exponam. Qui laudes orationis audivit, et suæ diligentiæ conscius est, si multos haberet laudum testes, in superbiam laberetur : jam vero laudem clam excipiens ab omni ostentatione est immunis. Rursus is qui sibi conscius est negligentiæ, dum vituperationem audit, hac vituperatione fit melior, cum neminem suæ reprehensionis habeat spectatorem : hoc vero non mediocriter illi prodest. Nam cum vulgi existimationi simus addicti, quamdiu quidem latere nos putamus, qui mali sumus, fieri meliores studemus : postquam autem omnibus innotuimus, et solatium illud ex occultatione perdidimus, eo magis impudentes ac negligentes evadimus. Et quemadmodum quæ deteguntur ulcera, semperque frigido aeri exponuntur, acerbiora fiunt : ita quoque anima peccati rea, si coram multis, ob ea quæ deliquit, reprehendatur, impudentior evadit. Ne igitur hoc accideret, clam vos sermo curavit. Atque ut intelligatis admodum utilem hanc occultam esse medendi rationem, audite quid Christus dicat : *Si peccaverit in te frater tuus, corripe eum :* et non dixit, inter te et civitatem, neque inter te et populum, sed *Inter te et ipsum solum* (*Matth.* 18. 15). Sit sine testibus accusatio, inquit, ut facilior sit mutatio in melius. Magnum ergo bonum est, si non publice fiat cohortatio. Sufficit conscientia : sufficit incorruptus ille judex. Non ita tu peccatorem reprehendis, ut ipsius conscientia (quippe quod asperior ille sit accusator), neque delicta ejus accuratius nosti. Noli ergo vulnus vulneribus addere, dum auctorem peccati divulgas, sed semotis arbitris admonitionem adhibeto. Hoc igitur nunc quoque nos agimus, quod Paulus egit, dum sine testibus apud Corinthios ejus qui peccarat instituit accusationem. Audi vero quo pacto. *Propterea, fratres, transfiguravi hæc in meipsum et Apollo* (1 *Cor.* 4. 6). Atqui non ipse, neque Apollo erant, qui populum sciderant, et Ecclesiam diviserant : accusationem tamen occultavit, et tamquam larvis quibusdam suo et Apollo nominibus reorum vultus obtegens, facultatem illis tribuit ex illa nequitia emergendi. Et rursus : *Ne forte cum venero, humiliet me Deus, et lugeam multos ex iis, qui ante peccarunt, et non egerunt pœnitentiam super immunditia et impudicitia, quam gesserunt* (2. *Cor.* 12. 21). Vide quo pacto indefinite dicat eos qui peccarunt, ne si manifestam accusationem instituerat, impudentiam augeret eorum animæ qui peccarant. Itaque sicut nos tanta cautione reprehensiones facimus, sic, admoneo, et vos omni cum studio emendationem admittatis, ac diligenter iis quæ dicuntur, attendatis.

5. *Tum præcipue nos vexat dæmon, cum oramus ; quomodo dæmoni resistendum.* — Disseruimus apud vos hesterno die de orationis virtute. Ostendi quo pacto tum temporis diabolus, ut maleficus est, insidias struat. Cum enim maximum nobis lucrum ex oratione cernat obvenire, tunc maxime impetum facit : ut excusatione nos privet, ut vacuis manibus nos domum remittat. Et quemadmodum apud magistratus, si forte satellites, et qui magistratus latus stipant, eos qui ipsum conveniunt, odio prosequantur, virgis procul arcent illos, atque accedere vetant, et conquéri, ejusque clementiam experiri : sic nimirum et diabolus cum accedentes ad judicem homines viderit, procul arcet non virga, sed negligentia. Novit quippe, probe novit, si providi vigilesque accesserint, et peccata sua confessi fuerint, animaque ferventi defleverint, multam illos veniam impetraturos : benignus enim est Deus : atque idcirco præoccupat illos et ab alloquio repellit, ut nihil eorum quæ postulant, consequantur. Sed milites quidem magistratuum violenter illos summovent, qui eos conveniunt : hic vero non vim afferens, sed nos decipiens, et ad negligentiam impellens. Quapropter nec venia digni sumus, cum nos ipsos bonis sponte privemus. Lux est mentis et animæ cum studio fusa oratio, lux inexstincta et perennis. Propterea innumeras nostris mentibus cogitationum sordes injicit, et quæ nunquam cogitavimus, hæc collecta tempore orationis in animam nostram infundit. Et quemadmodum venti sæpenumero ex adverso ingruentes accensum ignem lucernæ flatu diventilatum exstinguunt : sic et diabolus cum in nobis accensam orationis flammam viderit, innumeris nos sollicitudinibus hinc inde perflatos non prius sinit quiescere, quam lucem exstinxerit. Sed quod illi faciunt, qui lucernas illas accendunt, nos quoque faciamus. Quid illi vero faciunt? Cum vehementem ingruere ventum vident, imposito digito lucernæ foramini spiritui aditum intercludunt. Quamdiu siquidem exterius impetum faciet, resistere valebimus : ubi vero mentis illi fores aperuerimus, et inimicum intus admiserimus, tum non amplius, ne minimum quidem resistere possumus : sed memoria nostra undique exstincta ut lucerna fumigans, inania verba sinit os nostrum effundere. Verum ut illi lucernæ foramini digitum imponunt, ita nos rationem menti præficiamus, maligno spiritui aditum intercludamus, ne orationis nostræ lumen exstinguat. Meministis hujus exempli utriusque, et militum ac magistratus, et lucernæ ? Propterea namque vobis hæc exempla recitamus, in quibus versamur, in quibus sumus, ut etiam cum hinc recesserimus, ac domi fuerimus, per eas res quas habemus præ manibus, eorum quæ dicta sunt nobis memoria refricetur.

6. *Magnum telum precatio. Orbitas liberorum non est pœna peccati ; quam causam habeat ; partus sterilis partus virginis fidem facit.* — Magna est armatura oratio, magnum præsidium. Audistis heri quo pacto tres pueri vincti impetum ignis repressérint, quo pacto flammam calcarint, quo pacto fornacem superaverint, quo pacto virtutem clemen-

ti devicerint? Audite rursus hodie, quo pacto generosus ac magnus Isaac ipsam corporis naturam oratione superarit. Illi virtutem ignis dissolverunt, hic hodierno die vincula solvit mutilatæ naturæ. Ac disce qua ratione id egerit. *Rogabat*, inquit, *Isaac pro uxore sua, quoniam sterilis erat* (*Gen.* 25. 21). Hæc vobis hodie sunt lecta: heri de oratione sermo est habitus, et hodie rursus demonstratio virtutis oratio is occurrit. Videtis ut ita Spiritus gratia disponente sit factum, ut iis consona, quæ dicta sunt heri, hodierno die legerentur? *Rogabat* (*a*), inquit, *pro Rebecca uxore sua, quoniam sterilis erat.* Hoc in primis operæ pretium est quærere, qua de causa sterilis esset. Admirabilis cujusdam vitæ magnæque castitatis plena eum ipsa erat, tum vir ejus. Non possumus carpere sanctorum vitam, ac dicere peccatorum effectum esse sterilitatem. Nec ista sterilis fuit sola, sed et mater ipsius Sarra, quæ illum peperit; neque vero mater ejus tantum sterilis fuit, neque uxor, sed et nurus, Jacobi uxor Rachel. Quid sibi vult hæc turba sterilium? Omnes justi, omnes virtute præditi, omnes Dei testimonio approbati erant. De illis enim dixerat: *Ego sum Deus Abraham, et Deus Isaac, et Deus Jacob* (*Exod.* 3. 6). De iisdem etiam sic loquitur Paulus: *Quam ob causam non confunditur Deus vocari Deus eorum* (*Hebr* 11. 16) Multa eorum præconia in Novo, multæ illorum laudes in Veteri Testamento: omni ex parte clari et illustres, et omnes steriles habebant uxores, ac sine liberis multo tempore vixerunt. Cum igitur virum et uxorem videris ex virtutis præscripto vitam degentes, cum religiosos, pietatis studiosos et liberis destitutos, ne peccatorum retributionem omnino esse liberorum existimes orbitatem. Multæ quippe sunt rationes providentiæ divinæ ac nobis occultæ, et pro omnibus agendæ sunt gratiæ, soliique illi miseri censendi qui vitiis contaminati vivunt, non qui liberis carent. Sæpenumero Deus utiliter id agit: nos autem eorum quæ fiunt causam ignoramus. Ideirco sapientiam ejus ubique laudari par est, et benignitati ejus ineffabili gloriam deferri.

7. Atque hic quidem sermo nostros instruere mores potest: sed et tangenda nobis est causa, ob quam steriles illæ mulieres fuerunt. Quænam igitur fuit causa? Ut, cum virginem parientem communem nostrum Dominum videris, fidem habere non renuas. Ergo mentem tuam in sterilium utero exerce: ut, cum infecundum ac vinctum uterum videris divina gratia ad liberos gignendos adapertum, ne mireris, dum peperi se virginem audis. Imo vero et mirare et obstupesce, verumtamen credere miraculum ne recusa. Cum dixerit tibi Judæus, Quo pacto peperit virgo? tu dic illi, Quo pacto peperit sterilis et senectute confecta? Duo impedimenta tunc erant, ætas exoleta, et lapsa natura: in virgine autem unum fuit impedimentum, quod nuptias experta non esset. Viam igitur sternit virgini sterilis. Atque ut intelligas ideirco steriles præcessisse, ut partus virginis credetur, audi quibus eam verbis Gabriel sit affatus. Cum enim venisset, eique dixisset, *Concipies in utero, et paries filium, et vocabis nomen ejus Jesum* (*Luc.* 1 31), obstupuit virgo, et mirata est, dixitque: *Quomodo fiet istud, quoniam virum non cognosco* (*Ib. v.* 34)? Quid igitur angelus? *Spiritus sanctus superveniet in te* (*Ib. v.* 35). Noli ordinem quærere naturæ, inquit, cum supra naturam est id quod geritur: ne nuptias et dolores partus circumspice, cum nuptiis superior generationis modus fuerit. *Quomodo fiet istud*, inquit, *quoniam virum non cognosco?* Atqui propterea fiet istud, quia virum non cognoscis. Si enim virum cognovisses, habita digna non esses, quæ huic ministerio inservires. Itaque ob hoc ipsum crede, ob quod fidem renuis habere. Porro ejusmodi inservire ministerio digna non esses habita, non quod malum sit conjugium, sed quia melior est virginitas: augustiorem enim esse nostro ingressum Domini oportebat; regius quippe erat: atqui rex per augustiorem viam ingreditur. Oportuit illum et generationi communicare, et a nostra differre. Itaque hæc ambo disponuntur. Nam ex utero nasci, commune nobiscum est: sed absque conjugio nasci, conditionem nostram excedit. Atque in utero quidem gestari et concipi, naturæ est humanæ; quod autem sine coitu fiat conceptio, natura humana est augustius. Propterea hæc ambo acciderunt, ut et quanto te præstantior sit is qui paritur, discas, et quantum naturæ tuæ communicet.

8. Ac mihi sapientiam considera, quæ in iis quæ geruntur, elucet. Neque præstantia illa similitudinem et cognationem, qua nobiscum junctus est, læsit; neque cognatio nostra præstantiam ejus obscuravit, sed utraque rebus omnibus declarata est; et alia quidem nostra habebat integra, alia vero a nobis diversa. Sed quod dicebam, propterea steriles præcesserunt, ut partus virginis crederetur, ut ista quasi manu duceretur ad fidem promisso ac pollicitationi illi habendam, quam angelo audivit dicente, *Spiritus sanctus superveniet in te, et virtus Altissimi obumbrabit tibi*: sic, inquit, paritura es. Ne respicias terram; de cælo venit efficacitas. Spiritus est gratia quod geritur, ne mihi quæras naturam et leges nuptiarum. Sed quoniam illius captum excedebant hæc verba, vult etiam alteram demonstrationem præbere. Tu vero considera, quo pacto sterilis ad fidem huic rei habendam deducat. Nam quoniam illa demonstratio mentem virginis excedebat, audi quo pacto ad humiliora sermonem demittens per res subjectas sensibus illam quasi manu ducat. *Ecce* enim, inquit, *Elizabet cognata tua, et ipsa concepit filium in senectute sua: et hic mensis sextus est illi, quæ vocatur sterilis* (*Luc.* 1. 36). Vides sterilem esse propter virginem? Nam alioqui cur illi protulit in medium cognatæ partum? quam ob causam dixit: *In senectute sua?* cur adjunxit, *Ei quæ vocatur sterilis?* Illam nimirum his omnibus ad fidem annuntiationi habendam incitabat. Propterea et ætatem et naturæ imbecillitatem narravit: propterea quoque a die conceptionis elapsum tempus exspecta-

(*a*) Hæc ipsa habentur Homilia 49 in Genesim, t. 4.

μερόν τῆς φύσεως πεπηρωμένης ἔλυσε τὰ δεσμά. Καὶ μάθε πῶς τοῦτο ἐποίει. *Ἐδέετο*, φησὶν, *Ἰσαὰκ περὶ τῆς γυναικὸς αὐτοῦ, ὅτι στεῖρα ἦν.* Ταῦτα σήμερον ὑμῖν ἀνεγνώσθη· χθὲς περὶ εὐχῆς ὁ λόγος, καὶ σήμερον πάλιν ἀπόδειξις τῆς δυνάμεως τῆς εὐχῆς. Ὁρᾶτε πῶς ἡ τοῦ Πνεύματος ᾠκονόμησε χάρις σύμφωνα τοῖς χθὲς εἰρημένοις ἀναγνωσθῆναι τὰ τήμερον; Ἐδέετο, [349] φησὶν, Ἰσαὰκ περὶ Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ, ὅτι στεῖρα ἦν. Τοῦτο πρῶτον ἄξιον ζητῆσαι, τίνος ἕνεκεν στεῖρα ἦν. Βίου ἦν θαυμαστοῦ καὶ πολλῆς γέμοντος σωφροσύνης καὶ αὐτὴ, καὶ ὁ ἀνήρ. Οὐκ ἔχομεν ἐπιλαβέσθαι τῆς ζωῆς τῶν δικαίων, καὶ εἰπεῖν, ὅτι ἔργον ἁμαρτιῶν ἡ στείρωσις. Καὶ οὐκ αὐτὴ στεῖρα μόνον, ἀλλὰ καὶ ἡ μήτηρ αὐτοῦ ἡ Σάῤῥα, ἡ τεκοῦσα αὐτόν· οὐχ ἡ μήτηρ δὲ αὐτοῦ μόνον στεῖρα ἦν, οὐδὲ ἡ γυνὴ, ἀλλὰ καὶ ἡ νύμφη, ἡ τοῦ Ἰακὼβ γυνὴ ἡ Ῥαχήλ. Τί βούλεται τῶν στειρῶν τούτων ὁ χορός; Πάντες δίκαιοι, πάντες ἐν ἀρετῇ ζῶντες, πάντες ὑπὸ τοῦ Θεοῦ ἐμαρτυρήθησαν. Περὶ γὰρ αὐτῶν ἔλεγεν· *Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακώβ.* Περὶ τῶν αὐτῶν καὶ Παῦλος οὕτω πως λέγει· *Δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ὁ Θεὸς, Θεὸς καλεῖσθαι αὐτῶν.* Πολλὰ αὐτῶν τὰ ἐγκώμια ἐν τῇ Καινῇ, πολλοὶ αὐτῶν οἱ ἔπαινοι ἐν τῇ Παλαιᾷ. Παντάχόθεν λαμπροὶ καὶ εὐδόκιμοι, καὶ πάντες στείρας ἔσχον γυναῖκας, καὶ ἐν ἀπαιδίᾳ μέχρι πολλοῦ διετέλεσαν χρόνου. Ὅταν οὖν ἴδῃς ἄνδρα καὶ γυναῖκα ἀρετῇ συζῶντας, ὅταν ἴδῃς θεοφιλεῖς, εὐσεβείας ἐπιμελουμένους, καὶ ἀπαιδίαν νοσοῦντας, μὴ νομίσῃς ἁμαρτιῶν εἶναι πάντως τὴν ἀπαιδίαν ἀνταπόδοσιν. Πολλοὶ γὰρ τῆς οἰκονομίας οἱ τοῦ Θεοῦ λόγοι καὶ ἡμῖν ἀπόῤῥητοι, καὶ ὑπὲρ πάντων εὐχαριστεῖν δεῖ, καὶ μόνους ἐκείνους ταλανίζειν τοὺς ἐν κακίᾳ ζῶντας, οὐχὶ τοὺς παιδία μὴ κεκτημένους. Πολλάκις ὁ Θεὸς ποιεῖ συμφερόντως· ἡμεῖς δὲ τὴν αἰτίαν τῶν γινομένων οὐκ ἴσμεν. Διὰ τοῦτο πανταχοῦ θαυμάζειν χρὴ αὐτοῦ τὴν σοφίαν, καὶ δοξάζειν τὴν φιλανθρωπίαν αὐτοῦ τὴν ἄφατον.

ζ'. Ἀλλὰ οὗτος μὲν εἰς ἦθος ὁ λόγος ἡμᾶς παιδεῦσαι δύναται· δεῖ δὲ καὶ τὴν αἰτίαν εἰπεῖν, δι' ἣν ἦσαν αἱ γυναῖκες ἐκεῖναι στεῖραι. Τίς οὖν ἡ αἰτία; Ἵν', ὅταν ἴδῃς τὴν Παρθένον τίκτουσαν τὸν κοινὸν ἡμῶν Δεσπότην, μὴ ἀπιστήσῃς. Οὐκοῦν γύμνασόν σου τὴν διάνοιαν ἐν τῇ μήτρᾳ τῶν στειρῶν· ἵν', ὅταν ἴδῃς πεπηρωμένην καὶ δεδεμένην τὴν μήτραν πρὸς παιδοποιίαν ἀνοιγομένην ἐκ τῆς τοῦ Θεοῦ χάριτος, μὴ θαυμάσῃς ἀκούων ὅτι παρθένος ἔτεκε. Μᾶλλον δὲ καὶ θαύμασον, καὶ ἐκπλάγηθι, ἀλλὰ μὴ ἀπιστήσῃς τῷ θαύματι. Ὅταν λέγῃ πρὸς σὲ ὁ Ἰουδαῖος, Πῶς ἔτεκεν ἡ παρθένος; εἰπὲ πρὸς αὐτὸν, Πῶς ἔτεκεν ἡ στεῖρα καὶ γεγηρακυῖα; Δύο κωλύματα τότε ἦν, τό τε ἄωρον τῆς ἡλικίας, καὶ τὸ ἄχρηστον τῆς φύσεως· ἐπὶ δὲ τῆς Παρθένου ἓν κώλυμα μόνον ἦν, τὸ μὴ μετασχεῖν γάμου. Προσδοποιεῖ τοίνυν τῇ παρθένῳ ἡ στεῖρα. Καὶ ἵνα μάθῃς ὅτι διὰ τοῦτο αἱ στεῖραι προέλαβον, ἵνα πιστευθῇ τῆς Παρθένου ὁ τόκος, ἄκουσον τῶν ῥημάτων τοῦ Γαβριὴλ τῶν πρὸς αὐτήν. Ἐπειδὴ γὰρ ἦλθε καὶ εἶπεν αὐτῇ, *Συλλήψῃ ἐν γαστρὶ, καὶ τέξῃ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν*, ἐξεπλάγη ἡ Παρθένος καὶ ἐθαύμασε, καὶ εἶπε· *Πῶς ἔσται μοι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω;* Τί οὖν ὁ ἄγγελος; *Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ.* Μὴ ζήτει φύσεως ἀκολουθίαν, [350] φησὶν, ὅταν ὑπὲρ φύσιν ᾖ τὸ γινόμενον· μὴ περιβλέπου γάμον καὶ ὠδῖνα, ὅταν μείζων γάμου τῆς γενέσεως ὁ τρόπος ᾖ. *Καὶ πῶς ἔσται τοῦτο*, φησὶν, *ἐπεὶ ἄνδρα οὐ γινώσκω;* Καὶ μὴν διὰ τοῦτο ἔσται τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκεις. Εἰ γὰρ ἐγίνωσκες ἄνδρα, οὐκ ἂν κατηξιώθης ὑπηρετήσασθαι τῇ διακονίᾳ ταύτῃ. Ὥστε δι' ὃ ἀπιστεῖς, διὰ τοῦτο πίστευε. Οὐκ ἂν δὲ κατηξιώθης τοιαύτῃ διακονίᾳ ὑπηρετήσασθαι, οὐκ ἐπειδὴ κακὸν ὁ γάμος, ἀλλ' ἐπειδὴ κρεῖσσων ἡ παρθενία· τὴν δὲ τοῦ Δεσπότου εἴσοδον σεμνοτέραν ἐχρῆν εἶναι τῆς ἡμετέρας· βασιλικὴ γὰρ ἦν· ὁ δὲ βασιλεὺς διὰ σεμνοτέρας εἰσέρχεται. Ἔδει καὶ κοινωνεῖν τὴν γέννησιν ἐκεῖνον, καὶ ἐξηλλάχθαι τῆς ἡμετέρας. Οὐκοῦν ἀμφότερα ταῦτα οἰκονομεῖται. Τὸ μὲν γὰρ ἀπὸ μήτρας γενέσθαι, κοινὸν πρὸς ἡμᾶς· τὸ δὲ χωρὶς γάμων γενέσθαι, μεῖζον ἢ καθ' ἡμᾶς. Καὶ τὸ μὲν γαστρὶ κυηθῆναι καὶ συλληφθῆναι, τῆς φύσεως τῆς ἀνθρωπίνης· τὸ δὲ χωρὶς μίξεως γενέσθαι τὴν κύησιν, σεμνότερον τῆς φύσεως τῆς ἀνθρωπίνης. Διὰ τοῦτο δὲ ἀμφότερα ταῦτα γέγονεν, ἵνα καὶ τὴν ὑπεροχὴν καὶ τὴν κοινωνίαν τὴν πρὸς σὲ μάθῃς τοῦ τικτομένου.

η'. Καὶ σκόπει μοι τὴν σοφίαν τῶν γινομένων. Οὔτε ἡ ὑπεροχὴ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν καὶ συγγένειαν ἐλυμήνατο, οὔτε ἡ πρὸς ἡμᾶς συγγένεια τὴν ὑπεροχὴν ἠμαύρωσεν, ἀλλ' ἑκατέρα ἐδείκνυτο διὰ τῶν πραγμάτων ἁπάντων· καὶ τὰ μὲν ὁλόκληρα εἶχεν ἡμέτερα, τὰ δὲ ἐξηλλαγμένα πρὸς ἡμᾶς. Ἀλλ' ὅπερ ἔλεγον, ὅτι διὰ τοῦτο προέλαβον αἱ στεῖραι, ἵνα πιστευθῇ τῆς Παρθένου ὁ τόκος, ἵνα αὐτὴ χειραγωγηθῇ πρὸς τὴν πίστιν τῆς ἐπαγγελίας καὶ τῆς ὑποσχέσεως ἐκείνης, ἧς ἤκουσε παρὰ τοῦ ἀγγέλου λέγοντος, *Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι·* οὕτω, φησὶν, ἔχεις τεκεῖν. Μὴ βλέπε πρὸς τὴν γῆν· ἀπὸ τῶν οὐρανῶν ἡ ἐνέργεια ἔρχεται. Πνεύματός ἐστι χάρις τὸ γινόμενον, μὴ ζήτει μοι φύσιν καὶ νόμους γάμων. Ἀλλ' ἐπειδὴ μείζονα ταύτης ἐκεῖνα ἦν τὰ ῥήματα, βούλεται καὶ ἑτέραν παρασχεῖν ἀπόδειξιν. Σὺ δέ μοι παρατήρει, πῶς ἡ στεῖρα αὐτὴν ὁδηγεῖ πρὸς τὴν πίστιν τούτου. Ἐπειδὴ γὰρ ἐκείνη ἡ ἀπόδειξις μείζων ἦν τῆς διανοίας τῆς Παρθένου, ἄκουσον πῶς καὶ ἐπὶ τὰ ταπεινότερα κατήγαγε τὸν λόγον, διὰ τῶν αἰσθητῶν αὐτὴν χειραγωγῶν. *Ἰδοὺ γὰρ*, φησὶν, *Ἐλισάβετ ἡ συγγενής σου, καὶ αὐτὴ συνειληφυῖα υἱὸν ἐν γήρᾳ αὐτῆς· καὶ οὗτος μὴν ἕκτος ἐστὶν αὐτῇ τῇ καλουμένῃ στείρᾳ.* Ὁρᾷς ὅτι ἡ στεῖρα διὰ τὴν Παρθένον; ἐπεὶ, τίνος ἕνεκεν παρήγαγεν αὐτῇ τὸν τόκον τῆς συγγενίδος; τίνος ἕνεκεν ἔλεγεν, *Ἐν γήρᾳ αὐτῆς*; τίνος ἕνεκεν ἐπήγαγε, *Τῇ καλουμένῃ στείρᾳ*; Διὰ πάντων τούτων ἐνάγων αὐτὴν δηλονότι πρὸς τὸ πιστεῦσαι τῷ εὐαγγελισμῷ. Διὰ τοῦτο καὶ τὴν ἡλικίαν εἶπε, καὶ τὴν πήρωσιν τῆς φύσεως· διὰ τοῦτο

καὶ τὸν χρόνον ἀνέμεινε τὸν ἀπὸ τῆς συλλήψεως· οὐ γὰρ ἐκ προοιμίων αὐτῇ εὐθέως εὐηγγελίσατο, ἀλλ' ἀνέμεινεν ἐξαμηνιαῖον χρόνον τῇ στείρᾳ γενέσθαι· ἵνα ὁ τῆς γαστρὸς ὄγκος λοιπὸν τὴν κύησιν ἐγγυήσηται, καὶ ἀναμφισβήτητος ἀπόδειξις γένηται τῆς [351] συλλήψεως. Καὶ θέα μοι πάλιν τὴν σύνεσιν τοῦ Γαβριήλ. Οὐδὲ γὰρ ἀνέμνησεν αὐτῆς τῆς Σάρρας, οὐδὲ τῆς Ῥεβέκκας, οὐδὲ τῆς Ῥαχήλ· καίτοι καὶ αὗται στεῖραι ἦσαν, καὶ αὗται γεγηρακυῖαι, καὶ θαῦμα τὸ γινόμενον ἦν· ἀλλὰ παλαιὰ τὰ διηγήματα ἦν. Τῶν δὲ ἀρχαίων τὰ νέα καὶ πρόσφατα καὶ κατὰ τὴν γενεὰν συμβαίνοντα τὴν ἡμετέραν μᾶλλον ἡμᾶς εἰς πίστιν τῶν θαυμάτων ἐνάγειν εἴωθε. Διὰ τοῦτο ἐκείνας ἀφεὶς, ἀπ' αὐτῆς ἐννοῆσαι τῆς συγγενίδος τῆς Ἐλισάβετ τὸ ἐπ' αὐτῇ προεβάλλετο, ὥστε ἀπ' ἐκείνης πρὸς τὸν οἰκεῖον αὐτὴν τόκον ἐναγαγεῖν τὸν φρικωδέστατον ἐκεῖνον καὶ σεμνότατον. Μέσος γὰρ τοῦ τε ἡμετέρου καὶ τοῦ δεσποτικοῦ ὁ τόκος ὁ τῆς στείρας ἦν, ἐλάττων μὲν τοῦ τῆς Παρθένου, μείζων δὲ τοῦ ἡμετέρου. Διὰ τοῦτο, ὥσπερ διά τινος γεφύρας, μέσης τῆς Ἐλισάβετ, ἀπὸ τῶν κατὰ φύσιν ὠδίνων ἐπὶ τοὺς ὑπὲρ φύσιν ἀνάγει τῆς Παρθένου τὴν διάνοιαν.

θ'. Ἐβουλόμην πλείονα εἰπεῖν, καὶ ἑτέρους λόγους ὑμᾶς διδάξαι, δι' οὓς στεῖρα ἡ Ῥεβέκκα καὶ ἡ Ῥαχὴλ ἦν· ἀλλ' ὁ καιρὸς οὐκ ἀφίησι κατεπείγων τὸν λόγον πρὸς τὴν τῆς εὐχῆς δύναμιν. Διὰ γὰρ τοῦτο καὶ ταῦτα πάντα ἐκινήσαμεν, ἵνα μάθητε, πῶς τὴν στείρωσιν τῆς γυναικὸς ἔλυσε τοῦ Ἰσαὰκ ἡ εὐχὴ, καὶ εὐχὴ τοσούτου χρόνου. *Ἐδέετο*, φησὶν, *Ἰσαὰκ περὶ Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ, καὶ ἐπήκουσεν αὐτοῦ ὁ Θεός.* Μὴ γὰρ νομίσῃς ὅτι ἐκάλεσε τὸν Θεὸν, καὶ εὐθέως εἰσηκούσθη· πολὺν γὰρ ἀνάλωσε χρόνον δεόμενος τοῦ Θεοῦ. Καὶ εἰ βούλεσθε μαθεῖν πόσον, ἐγὼ ὑμῖν καὶ τοῦτο μετὰ ἀκριβείας ἐρῶ. Εἴκοσι ἐτῶν ἀριθμὸν ἀνάλωσε δεόμενος τοῦ Θεοῦ. Πόθεν τοῦτο δῆλον; Ἐκ τῆς ἀκολουθίας αὐτῆς. Βουλομένη γὰρ ἡ Γραφὴ τὴν πίστιν καὶ τὴν ὑπομονὴν καὶ τὴν φιλοσοφίαν δεῖξαι τοῦ δικαίου, οὐδὲ τὸν χρόνον ἀπεσιώπησεν, ἀλλὰ καὶ αὐτὸν δῆλον ἡμῖν ἐποίησε, λανθανόντως μὲν, ὥστε διεγεῖραι ἡμῶν τὴν ῥᾳθυμίαν, πλὴν ἀλλ' οὐκ ἀφῆκεν εἶναι ἀφανῆ. Ἄκουσον γοῦν πῶς λανθανόντως ἡμῖν τὸν χρόνον ἐδήλωσεν. *Ἰσαὰκ δὲ ἦν ἐτῶν τεσσαράκοντα*, φησὶν, *ὅτε ἔλαβε τὴν Ῥεβέκκαν θυγατέρα Βαθουὴλ τοῦ Σύρου.* Ἔμαθες πόσων ἐτῶν ἦν, ὅτε τὴν γυναῖκα ἠγάγετο; Τεσσαράκοντα ἐτῶν, φησὶν, ἦν ὅτε ἔλαβε τὴν Ῥεβέκκαν. Ἀλλ' ἐπειδὴ ἐμάθομεν πόσων ἐτῶν ὢν ἔγημε τὴν γυναῖκα, μάθωμεν καὶ πότε ἐγένετο λοιπὸν πατὴρ, καὶ πόσων ἐτῶν ἦν τότε, ὅτε ἐγέννησε τὸν Ἰακώβ· καὶ δυνησόμεθα ἰδεῖν πόσον ἔμεινε χρόνον στεῖρα ἡ γυνὴ, καὶ ὅτι τοῦτον ἅπαντα ἐδέετο τοῦ Θεοῦ τὸν χρόνον. Πόσων οὖν ἐτῶν ἦν, ὅτε ἐγέννησε τὸν Ἰακώβ; *Ἐξῆλθε*, φησὶν, *Ἰακὼβ ἐπειλημμένος τῇ δεξιᾷ τῆς πτέρνης τοῦ ἀδελφοῦ αὐτοῦ· διὰ τοῦτο ἐκάλεσεν αὐτὸν Ἰακὼβ, ἐκεῖνον δὲ Ἡσαῦ. Ἰσαὰκ δὲ ἦν ἐτῶν ἑξήκοντα, ὅτε ἐγέννησεν αὐτούς.* Εἰ τοίνυν, ὅτε μὲν ἠγάγετο τὴν Ῥεβέκκαν, τεσσαράκοντα ἦν, ὅτε δὲ ἐγέννησε τοὺς υἱοὺς, ἑξήκοντα, εὔδηλον ὅτι εἴκοσιν ἔτη μεταξὺ στεῖρα ἔμεινεν ἡ γυνὴ, καὶ τοῦτον ἅπαντα τὸν χρόνον ἐδέετο τοῦ Θεοῦ ὁ Ἰσαάκ.

[352] ι'. Εἶτα οὐκ αἰσχυνόμεθα, οὐδὲ ἐγκαλυπτόμεθα, τὸν μὲν δίκαιον ὁρῶντες εἴκοσιν ἔτη παραμένοντα καὶ οὐκ ἀφιστάμενον· ἡμεῖς δὲ ἐκ πρώτης αἰτήσεως ἢ δευτέρας πολλάκις ἀπαγορεύοντες καὶ δυσχεραίνοντες; Καίτοι ὁ μὲν πολλὴν πρὸς τὸν Θεὸν εἶχε τὴν παῤῥησίαν. καὶ ὅμως οὐκ ἐδυσχέραινε πρὸς τὴν ἀναβολὴν τῆς δόσεως, ἀλλ' ἔμενε καρτερῶν· ἡμεῖς δὲ μυρίων ἁμαρτημάτων γέμοντες, πονηρῷ συνειδότι συζῶντες, οὐδεμίαν εὔνοιαν περὶ τὸν Δεσπότην ἐπιδεικνύμενοι, ἂν μὴ, πρὶν ἢ φθέγξασθαι, ἀκουσθῶμεν, ἀλύομεν, ἀποδυσπετοῦμεν, ἀφιστάμεθα τῆς αἰτήσεως· διὰ τοῦτο κεναῖς ἀεὶ ἀναχωροῦμεν χερσί. Τίς εἴκοσιν ἔτη ὑπὲρ ἑνὸς πράγματος παρεκάλεσε τὸν Θεὸν, καθάπερ οὗτος ὁ δίκαιος; μᾶλλον δὲ τίς εἴκοσι μῆνας μόνους;

Χθὲς μὲν οὖν ἔλεγον, ὅτι πολλοί εἰσιν οἱ μετὰ ῥᾳθυμίας εὐχόμενοι, καὶ χασμώμενοι, καὶ διατεινόμενοι, καὶ μεταστρεφόμενοι συνεχῶς, καὶ ὀλιγωρίᾳ πάσῃ περὶ τὰς εὐχὰς κεχρημένοι· σήμερον δὲ καὶ ἑτέραν βλάβην εὗρον ταῖς εὐχαῖς προσγινομένην ὀλεθριωτέραν ἐκείνης. Πολλοὶ γὰρ πρηνεῖς ἑαυτοὺς ῥιπτοῦντες, καὶ τῷ μετώπῳ τὴν γῆν τύπτοντες, καὶ θερμὰ προχέοντες δάκρυα, καὶ πικρὸν κάτωθεν στενάζοντες, καὶ τὰς χεῖρας ἐκτείνοντες, καὶ πολλὴν σπουδὴν ἐπιδεικνύμενοι, τῇ θερμότητι ταύτῃ καὶ τῇ προθυμίᾳ κατὰ τῆς οἰκείας κέχρηνται σωτηρίας. Οὐ γὰρ ὑπὲρ τῶν οἰκείων ἁμαρτημάτων παρακαλοῦσι τὸν Θεὸν, οὐδὲ συγγνώμην αἰτοῦσι τῶν πλημμεληθέντων αὐτοῖς, ἀλλὰ τὴν σπουδὴν ταύτην κατὰ τῶν ἐχθρῶν κινοῦσιν ἅπασαν, ταὐτὸν ποιοῦντες, ὥσπερ ἂν εἴ τις τὸ ξίφος ἀκονήσας, μὴ κατὰ τῶν πολεμίων χρῷτο τῷ ὁπλῳ, ἀλλὰ διὰ τῆς οἰκείας αὐτὸ δέρῃς ὠθοῖ. Οὕτω καὶ οὗτοι οὐχ ὑπὲρ τῆς ἀφέσεως τῶν οἰκείων ἁμαρτημάτων, ἀλλὰ κατὰ τῆς τιμωρίας τῶν ἐχθρῶν ταῖς εὐχαῖς κέχρηνται· ὅπερ ἐστὶ καθ' ἑαυτῶν τὸ ξίφος ὠθεῖν. Ἐπενόησε δὲ καὶ τοῦτο ὁ πονηρὸς, ἵνα πάντοθεν ἑαυτοὺς ἀπολλύωμεν, καὶ διὰ ῥᾳθυμίας, καὶ διὰ σπουδῆς. Οἱ μὲν γὰρ τῇ περὶ τὰς εὐχὰς ὀλιγωρίᾳ παροξύνουσι τὸν Θεὸν, τὴν καταφρόνησιν διὰ τῆς ῥᾳθυμίας ἐπιδεικνύμενοι· οἱ δὲ ἐπειδὴ σπουδὴν ἐπιδείκνυνται, τὴν σπουδὴν πάλιν κατὰ τῆς ἑαυτῶν ἐπιδείκνυνται σωτηρίας. Ὁ δεῖνα, φησὶ, ῥᾳθυμεῖ· ἀρκεῖ μοι πρὸς τὸ μηδενὸς αὐτὸν ἐπιτυχεῖν· οὗτος σπουδαῖός ἐστι καὶ διεγηγερμένος· τί οὖν ἵνα γένηται; Οὐ δύναμαι ἐκλῦσαι τὴν σπουδὴν, οὐδὲ εἰς ὀλιγωρίαν ἐμβαλεῖν· ἑτέρως αὐτοῦ περιοδεύσω τὴν ἀπώλειαν. Πῶς; Εἰς παρανομίαν τῇ σπουδῇ χρήσασθαι παρασκευάσω· τὸ γὰρ κατὰ τῶν ἐχθρῶν εὔχεσθαι, παράνομόν ἐστιν. Ἀπελεύσεται τοίνυν οὐ μόνον οὐδὲν κερδάνας ἀπὸ τῆς σπουδῆς, ἀλλὰ καὶ πλείονα τὴν βλάβην ὑπομείνας τῆς διὰ ῥᾳθυμίας. Τοιαῦται αἱ τοῦ διαβόλου μηχαναί· τοὺς μὲν διὰ τῆς ῥᾳθυμίας, τοὺς δὲ δι' αὐτῆς ἀπάλλυσι τῆς σπουδῆς, ὅταν μὴ κατὰ νόμους αὕτη γίνηται.

ια'. Ἀλλὰ καὶ αὐτῶν ἄξιον ἀκοῦσαι τῶν ῥημάτων τῆς εὐχῆς, καὶ πῶς παιδικῆς ἐστι διανοίας τὰ ῥήματα, πῶς νηπιώδους ψυχῆς. Αἰσχύνομαι μὲν οὖν αὐτὰ μέλλων ἐρεῖν, πλὴν ἀνάγκη πάντως εἰπεῖν καὶ μιμήσασθαι τὴν ἀπαίδευτον γλῶτταν ἐκείνην. Τίνα οὖν ἐστι

vit. Non enim a principio statim illi annuntiavit, sed ut semestre tempus sterili elaberetur, exspectavit : ut ventris tumor conceptionem indicaret, et uterum illam gestare dubitare minime posset. Ac mihi rursus prudentiam Gabrielis considera. Neque enim illi revocavit in memoriam Sarram, nec Rebeccam, nec Rachelem, tametsi steriles etiam erant istæ, ac senectute confectæ, neque res carebat miraculo : sed veteres erant illæ historiæ. Porro quæ nova sunt et recentia, quæ nostra ætate acciderunt, multo magis quam antiqua nos solent ad fidem habendam miraculis incitare. Quam ob causam, illis prætermissis, exemplum ipsi cognatæ suæ Elizabet proponebat, ut ex eo id, quod illi eventurum erat, intelligeret, ut illius partu ad suum illum maxime tremendum atque venerandum certo credendum induceretur. Medius quippe inter nostrum et Domini partum fuit ille sterilis mulieris, minor quidem virgineo, sed major nostro. Propterea tamquam per quemdam pontem per Elizabet, quæ media erat, a naturali partu ad illum qui naturam excedit, subvehit mentem virginis.

9. *Quot annos precatus sit Isaac.* — Voluissem equidem plura dicere, vosque alias docere rationes, ob quas sterilis erat Rebecca, et Rachel : sed non sinit tempus, quod orationem cogit ad ostendendam virtutem precum festinare. Ideirco namque de his omnibus sermonem instituimus, ut intelligeretis, qua ratione preces Isaac sterilitatem uxoris solverint, et preces temporis tam diuturni. *Deprecabatur*, inquit, *Isaac pro Rebecca uxore sua, et exaudivit eum Deus* (*Gen.* 25. 21). Noli enim putare Deum illum invocasse, ac statim exauditum fuisse : multum enim temporis Deum orando consumpsit. Ac si discere velitis quantum, ego vobis illud exacte narrabo. Viginti annorum numerum Deum orando consumpsit. Unde id constat? Ex ipsa serie narrationis. Volens enim Scriptura fidem, patientiam et philosophiam justi indicare, ne tempus quidem siluit, sed et ipsum declaravit, licet subobscure, ut negligentiam nostram excitaret; attamen ignotum esse non sivit. Audi ergo, quo pacto subobscure nobis tempus indicarit. *Isaac autem erat quadraginta annorum*, inquit, *quando accepit Rebeccam filium Bathuel Syri* (*Gen.* 25. 20). Didicisti quot annorum esset quando duxit uxorem? Quadraginta annorum, inquit, erat, quando Rebeccam accepit. Sed quoniam (*a*) quot annorum esset didicimus, cum sibi matrimonio junxit uxorem, discamus et quando tandem susceperit liberos, et quot annorum esset, cum Jacob genuit; tum videre poterimus quanto tempore sterilis uxor manserit, ac toto illo tempore Isaacum Deum esse deprecatum. Quot igitur annorum erat quando Jacobum genuit? *Exiit*, inquit, *Jacob dextera tenens calcaneum fratris sui : propterea vocavit eum Jacob, illum autem Esau. Isaac autem erat annorum sexaginta, quando genuit eos* (*Gen.* 25. 25. 26). Si ergo cum duxit Rebeccam, quadraginta erat annorum, quando porro filios genuit, sexaginta, liquet viginti annos interim sterilem uxorem mansisse, totoque hoc tempore Isaacum Deum orasse.

10. Annon igitur erubescimus et confundimur, cum justum videmus annos viginti exspectasse, nec abstitisse : nos vero post unam vel alteram petitionem sæpe deficimus, et indignamur? Tametsi hic multam apud Deum fiduciam habebat, et tamen dilationem doni non ægre ferebat, sed patienter exspectabat : at nos innumeris onerati peccatis, prava conscientia torti, nec ullam erga Dominum benevolentiam exhibentes, nisi prius quam eloquuti fuerimus, audiamur, animo concidimus, ægre ferimus, a precatione absistimus : quo fit ut vacuis semper manibus recedamus. Quis spatio viginti annorum pro una re Deum precatus est sicut hic justus? vel potius, quis viginti solos menses?

Cui similes sint, qui contra inimicos orant. — Heri quidem dicebam multos esse qui negligenter orant, et oscitantes, se extendentes, ac perpetuo se huc illuc vertentes, omnem incuriam præ se ferunt : hodie vero vitium aliud quod precibus intervenit multo perniciosius illo reperi. Multi enim pronos in terram se projicientes, terram fronte ferientes, calidas fundentes lacrymas, acerbe interius ingemiscentes, extensis manibus, multumque studium præ se ferentes, hoc fervore ac promptitudine animi adversus propriam salutem utuntur. Nam Deo preces offerunt non pro suis delictis, neque ut veniam peccatorum suorum petant, sed hoc studium omne conferunt adversus inimicos : ac perinde faciunt, ac si quis ensem acuat, nec adversus hostes illo genere armorum utatur, sed eo jugulum suum trajiciat. Sic et isti non ad obtinendam suorum veniam delictorum, sed ad accelerandum inimicorum supplicium precibus utuntur : quod est seipsos gladio suo transfigere. Hoc autem malignus ille excogitavit, ut nos omni ex parte perdamus, et dum negligentes sumus, et dum studium aliquod adhibemus. Hi enim hac sua in precibus incuria Deum irritant, dum per hanc negligentiam contemptum præ se ferunt : illi vero studium exhibent, sed in salutis suæ perniciem exhibent. Ille, inquit, negligens est; hoc mihi sufficit ut nihil obtineat : hic diligens est et attentus; quid ergo faciam? Non possum studium ejus infringere, neque in eum torporem immittere; alia ratione perniciem in eum machinabor. Quo tandem modo? Efficiam ut studio diligentiaque ad iniquitatem utatur : iniquum enim est adversus inimicos preces fundere. Ita fiet, ut non modo nullo reportato lucro ex studio suo discedat, sed plus detrimenti patiatur, quam negligentia invexisset. Ejusmodi sunt diaboli machinæ : alios per negligentiam, alios per ipsum studium perdit, cum non ex præscripto legum adhibetur.

11. *Oratio eorum qui vindicta delectantur.* — Sed operæ pretium fuerit verba orationis audire, et quo pacto puerilis verba sint mentis, et animi infantilis. Me quidem pudet illa dicere, necesse est tamen omnino ea ut dicamus, et indoctam linguam illam imitemur.

(*a*) Hactenus in Homilia 49 in Genesim.

Quænam igitur illa sunt verba? Vindica me de inimicis meis : ostende illis me quoque Deum habere. Non tum Deum nos habere discunt, ni homo, cum nos indignamur, et irascimur, et ægre ferimus : sed cum modesti sumus, mites et humani, omnemque philosophiam exercemus. Ita quoque dixit Deus : *Luceat lux vestra coram hominibus, ut videant opera vestra bona, et glorificent Patrem vestrum qui in cœlis est* (*Matth.* 5, 16). Non animadvertis injuriam te facere Deo, cum Deum adversus inimicos rogas? Quo tandem pacto, inquit, Deo fit injuria? Quoniam ipse dixit: *Orate pro inimicis vestris* (*Ib.* v. 44), et divinam hanc legem invexit. Cum igitur legislatorem rogas, ut suas violet leges, et hortaris, ut suis contrarias leges ferat, et cum qui prohibuerat, ne adversus inimicos orares, precaris, ut te adversus inimicos orantem audiat : non oras, dum id facis, neque hortaris, sed legislatori contumeliam infers, et in eum insolescis, qui bona tibi largiturus erat, quæ occasione precum obveniunt. Et quo pacto fieri, quæso, potest, ut audiaris dum oras, si eum qui est auditurus irrites? Hæc enim dum facis, in barathrum salutem tuam compellis, et in præcipitium ruis, dum inimicum in conspectu Regis perentis. Quamvis enim manibus id non facias, verbis tamen eum percutis : quod erga conservos præstare non audes. Igitur id agere audeas magistratu spectante : licet innumera tua sint recte facta, omnino confestim ad mortem abduceris. Ergone coram magistratu non audes æqualem afficere contumelia : coram Deo autem qui id facis, non, quæso, tremis, non times dum orationis tempore ac precum sic excandescis et efferaris, ac majorem præ te fers iniquitatem illo qui centum denarios repetebat? Quod enim tu majorem injuriam inferas, audi quo pacto testetur historia. Decies mille talenta quispiam domino debebat : deinde cum non haberet unde redderet, orabat ut patienti animo erga se esset, ut vendita uxore, domo, ac filiis debitum domino suo persolveret (*Matth.* 18. 24. *sqq.*) Cum autem illum dominus lamentantem videret miseratione commotus est, et decem millia talentorum remisit. Egressus ille cum alterum servum invenisset, qui centum denarios ipsi debebat, suffocans eum multa cum crudelitate atque immanitate repetebat. His auditis dominus in carcerem eum conjecit, et quod prius remiserat, debitum denum millium talentorum, illi rursus imposuit, et ille suæ in conservum crudelitatis pœnas dedit.

12. At tu quanto iniquior illo ac stupidior evaseris, qui adversus inimicos precaris, vide. Ille dominum non rogabat, ut denarios centum repeteret, sed ipse repetebat centum denarios : tu vero Dominum ad impudentem ac prohibitam repetitionem cohortaris. Atque ille quidem non in oculis domini, sed foris conservum suffocabat : at tu in ipso tempore orationis stans coram Rege id facis. Quod si ille cum neque dominum ad repetendum esset hortatus, et postquam egressus fuisset, hoc faceret, nullam est veniam consequutus, tu qui Dominum ad hanc vetitam solutionem impellis, et in ejus conspectu hæc agis, quo non supplicio, quæso, muletaberis? At inflammatur animus tuus ira ex recordatione inimicitiæ, et intumescit, et cor commovetur, ac dum acceptæ injuriæ meministi, animi tumorem non potes reprimere? Tu vero isti oppone excandescentiæ peccatorum tuorum memoriam, ac futuri judicii timorem. Recordare quam multorum apud Dominum reus sis, teque istorum omnium pœnis obnoxium esse, tum omnino metus iste iracundiam illam vincet, quandoquidem hæc quoque passio longe est illa potentior. Recordare gehennæ pœnarum ac suppliciorum tempore orationis, ac ne in mentem quidem veniet inimicus. Contere animum tuum, mentem humilia tuorum recordatione delictorum, ac ne molestiam quidem ullam iracundia exhibebit. Sed hoc illud est, unde cuncta mala nascuntur, quod in aliorum quidem peccata diligenter inquiramus, nostra vero negligenter admodum præteramus. At contrarium agendum esset : propriorum quidem numquam obliviscendum esset, aliena numquam oporteret mente versare. Id si faciamus, et Deus propitius nobis erit, et immortali odio proximum prosequi desinemus, et nullum unquam habebimus inimicum. Quod et si quando habeamus, odium cito deponemus, et celerem peccatorum veniam obtinebimus. Nam quemadmodum is, qui acceptarum a proximo injuriarum memor est, dimitti pœnas minime sinit, quas suis peccatis meretur : ita qui ab ira immunis est, cito etiam immunis erit a peccatis. Si enim nos improbi, et iræ servientes, ob Dei mandatum omnia in nos commissa peccata despicimus : multo magis benignus ac bonus Dominus, cum ab omni perturbatione sit purus, delicta nostra dissimulabit, et nostrorum remissione peccatorum, exhibitam proximo comitatem et humanitatem remunerabitur. Quam utinam nobis omnibus assequi contingat, gratia et benignitate Domini nostri Jesu Christi, cui gloria et imperium in sæcula sæculorum. Amen.

NON OPORTERE QUEMQUAM DE SEIPSO DESPERARE, AUT PRECES CONTRA INIMICOS FUNDERE AUT ANIMO DEFICERE, QUAMVIS PETENS NON ACCIPIAT; ET AD MARITOS DE PACE ERGA UXORES CONSERVANDA.

1. *Fructus sermonum antea habitorum. Publicanus limes ultimus malitiæ.* — Magnas vobis ago gratias, quod cum animi alacritate habitos de precibus sermones (*a*) exceperitis, quod beatum me reddideritis.

(*a*) Chrysostomus sermones de precibus habuerat.

[553] τὰ ῥήματα; Ἐκδίκησόν με ἐκ τῶν ἐχθρῶν μου· δεῖξον αὐτοῖς, ὅτι Θεὸν ἔχω κἀγώ. Οὐ τότε μανθάνουσιν, ἄνθρωπε, ὅτι Θεὸν ἔχομεν, ὅταν ἀγαναχτῶμεν, καὶ ὀργιζώμεθα, καὶ δυσχεραίνωμεν· ἀλλ' ὅταν ἐπιεικεῖς ὦμεν, καὶ πρᾶοι, καὶ ἥμεροι, καὶ πᾶσαν ἀσκῶμεν φιλοσοφίαν. Οὕτω καὶ ὁ Θεὸς εἶπε· *Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.* Οὐκ ἐννοεῖς ὅτι ὕβρις ἐστὶν εἰς τὸν Θεὸν, τὸ αἰτεῖν κατὰ τῶν ἐχθρῶν τὸν Θεόν; Καὶ πῶς ὕβρις ἐστί; φησίν. Ὅτι αὐτὸς εἶπεν, *Εὔχεσθε ὑπὲρ τῶν ἐχθρῶν ὑμῶν*, καὶ τὸν θεῖον τοῦτον εἰσήγαγε νόμον. Ὅταν οὖν τὸν νομοθέτην ἀξιοῖς τοὺς οἰκείους παραλύειν νόμους, καὶ παρακαλῇς αὐτὸν ἀντινομοθετεῖν αὐτῷ, καὶ τόν σε κωλύσαντα κατεύχεσθαι τῶν ἐχθρῶν ἱκετεύῃς ἀκοῦσαί σου κατευχομένου τῶν ἐχθρῶν, οὐκ ἐῦχῃ τοῦτο ποιῶν, οὐδὲ παρακαλεῖς, ἀλλ' ὑβρίζεις τὸν νομοθέτην, καὶ παροινεῖς εἰς τὸν μέλλοντα διδόναι σοι τὰ ἀγαθὰ τὰ ἀπὸ τῆς εὐχῆς. Καὶ πῶς δυνατὸν ἀκουσθῆναι εὐχόμενον, εἰπέ μοι, ὅταν τὸν μέλλοντα ἀκούειν παροξύνῃς; Ταῦτα γὰρ ποιῶν εἰς βάραθρον τὴν οἰκείαν ὠθεῖς σωτηρίαν, καὶ κατὰ χρημνοῦ φέρῃ, τὸν ἐχθρὸν ἐπ' ὄψεσι τύπτων τοῦ βασιλέως. Εἰ γὰρ καὶ μὴ ταῖς χερσὶ τοῦτο ποιεῖς, τοῖς ῥήμασιν αὐτὸν τύπτεις· ὅπερ οὐδὲ ἐπὶ τῶν ὁμοδούλων ποιῆσαι τολμᾷς. Τόλμησον γοῦν ἐπὶ ἄρχοντος τοῦτο ποιῆσαι· κἂν μυρία ᾖς κατωρθωκὼς, τὴν ἐπὶ θάνατον εὐθέως ἀπαχθήσῃ πάντως. Εἶτα ἐπὶ ἄρχοντος μὲν οὐ τολμᾷς τὸν ὁμότιμον ὑβρίσαι, ἐπὶ δὲ τοῦ Θεοῦ τοῦτο ποιῶν, εἰπέ μοι, οὐ φρίττεις, οὐδὲ δέδοικας ἐν καιρῷ δεήσεως καὶ εὐχῆς ἀγριαίνων οὕτω καὶ ἐκθηριούμενος, καὶ μείζονα ἀγνωμοσύνην ἐπιδεικνύμενος τοῦ τὰ ἑκατὸν ἀπαιτοῦντος δηνάρια; Ὅτι γὰρ ἐκείνου σὺ μᾶλλον ὑβρίζεις, αὐτῆς ἄκουσον τῆς ἱστορίας. Μύρια τάλαντα ὤφειλέ τις τῷ δεσπότῃ· εἶτα οὐκ ἔχων ἀποδοῦναι, ἠξίου μακροθυμῆσαι, ἵνα πραθείσης αὐτοῦ τῆς γυναικὸς καὶ τῆς οἰκίας καὶ τῶν παίδων, διαλύσηται τὸ ὄφλημα τὸ δεσποτικόν. Ἰδὼν δὲ αὐτὸν ὀδυρόμενον ὁ δεσπότης κατηλέησε καὶ τὰ μύρια ἀφῆκε τάλαντα. Ἐξελθὼν ἐκεῖνος καὶ εὑρὼν οἰκέτην ἕτερον ὀφείλοντα αὐτῷ δηνάρια ἑκατὸν, ἄγχων ἀπῄτει μετὰ πολλῆς τῆς ὠμότητος καὶ τῆς ἀπανθρωπίας. Ἀκούσας ταῦτα ὁ δεσπότης ἐνέβαλεν αὐτὸν εἰς τὸ δεσμωτήριον, καὶ ὃ πρότερον ἀφῆκεν ὄφλημα τῶν μυρίων ταλάντων, ἐπέθηκεν αὐτῷ πάλιν, καὶ τῆς εἰς τὸν σύνδουλον ὠμότητος ἔδωκε τὴν τιμωρίαν ἐκεῖνος.

ιβ'. Σὺ δὲ κἀκείνου θέα πόσον ἀγνωμονέστερος καὶ ἀναισθητότερος γέγονας, τῶν ἐχθρῶν κατευχόμενος. Ἐκεῖνος οὐχὶ τὸν δεσπότην ἠξίου ἀπαιτῆσαι, ἀλλ' αὐτὸς ἀπῄτει τὰ ἑκατὸν δηνάρια· σὺ δὲ καὶ τὸν Δεσπότην ἐπὶ τὴν ἀπαίτησιν ταύτην τὴν ἀναίσχυντον καὶ κεκωλυμένην παρακαλεῖς. Κἀκεῖνος μὲν οὐκ ἐπ' ὄψεσι τοῦ κυρίου, ἀλλ' ἔξω τὸν σύνδουλον ἤγχε· σὺ δὲ ἐν αὐτῷ τῷ καιρῷ τῆς εὐχῆς πρὸ τοῦ βασιλέως ἐστὼς ταῦτα ποιεῖς. Εἰ δὲ ἐκεῖνος οὔτε τὸν δεσπότην [554] παρακαλέσας ἐπὶ τὴν ἀπαίτησιν, καὶ μετὰ τὸ ἐξελθεῖν ταῦτα ποιῶν, οὐδεμιᾶς ἔτυχε συγγνώμης, σὺ καὶ τὸν Δεσπότην ἐπὶ τὴν κεκωλυμένην ταύτην ἔκτισιν διεγείρων, καὶ ἐπ' ὄψεσιν αὐτοῦ ταῦτα ποιῶν, ποίαν οὐ δώσεις τιμωρίαν, εἰπέ μοι; Ἀλλὰ φλεγμαίνει σου τῇ μνήμῃ τῆς ἔχθρας ἡ διάνοια καὶ οἰδεῖ, καὶ ἀνέστηκεν ἡ καρδία, καὶ τοῦ λελυπηκότος ἀναμιμνησκόμενος οὐ δύνασαι καταστεῖλαι τὸ οἴδημα τῶν λογισμῶν; Ἀλλ' ἀντίστησον τῇ φλεγμονῇ ταύτῃ τὴν ἀπὸ τῶν σῶν ἁμαρτημάτων μνήμην, τὸν ἀπὸ τῆς μελλούσης κολάσεως φόβον. Ἀναμνήσθητι πόσων ὑπεύθυνος εἶ τῷ Δεσπότῃ, καὶ ὅτι πάντων ἐκείνων δίκας ὀφείλεις αὐτῷ, καὶ κρατήσει πάντως οὗτος ὁ φόβος τῆς ὀργῆς ἐκείνης, ἐπειδὴ καὶ πολὺ δυνατώτερον τοῦτο ἐκείνου τοῦ πάθους. Ἀναμνήσθητι γεέννης καὶ κολάσεως καὶ τιμωρίας κατὰ τὸν καιρὸν τῆς εὐχῆς, καὶ οὐδὲ εἰς νοῦν λαβεῖν δυνήσῃ τὸν ἐχθρόν. Σύντριψον τὴν διάνοιαν; ταπείνωσον τὴν ψυχὴν τῇ μνήμῃ τῶν σοι πεπλημμεληκότων, καὶ οὐδὲ ἐνοχλῆσαι δυνήσεταί σοι θυμός. Ἀλλὰ τοῦτό ἐστι τὸ πάντων αἴτιον τῶν κακῶν, ὅτι τὰ μὲν τῶν ἄλλων ἁμαρτήματα μετὰ πολλῆς ἐξετάζομεν τῆς ἀκριβείας, τὰ δὲ ἡμέτερα μετὰ πολλῆς παραπεμπόμεθα τῆς ῥᾳθυμίας. Τοὐναντίον δὲ ποιεῖν ἐχρῆν· τὰ μὲν οἰκεῖα κακὰ ἥκιστα ἔχειν, τῶν δὲ ἀλλοτρίων μηδέποτε ἔννοιαν λαμβάνειν. Ἂν τοῦτο ποιῶμεν, καὶ τὸν Θεὸν ἕξομεν ἵλεων, καὶ τοῖς πλησίον παυσόμεθα ἀθάνατα ὀργιζόμενοι, καὶ ἐχθρὸν οὐδένα οὐδέποτε ἕξομεν· εἰ δὲ καὶ σχοίημέν ποτε, ταχέως καὶ τὴν ἀπέχθειαν καταλύσομεν, καὶ τῶν οἰκείων ἁμαρτημάτων ταχεῖαν λάβωμεν [a] συγχώρησιν. Ὥσπερ γὰρ ὁ τῷ πλησίον μνησικακῶν οὐκ ἀφίησι τὴν ἐπὶ τοῖς οἰκείοις ἁμαρτήμασι καταλυθῆναι κόλασιν, οὕτως ὁ καθαρὸς ὢν ὀργῆς, καθαρὸς καὶ ἁμαρτημάτων ἔσται ταχέως. Εἰ γὰρ ἡμεῖς οἱ πονηροὶ καὶ θυμῷ δουλεύοντες, διὰ τὸ τοῦ Θεοῦ πρόσταγμα πάντα τὰ εἰς ἡμᾶς παρορῶμεν ἁμαρτήματα, πολλῷ μᾶλλον ὁ φιλάνθρωπος καὶ ἀγαθὸς καὶ παντὸς καθαρὸς ὢν πάθους παραβλέψεται ἡμῶν τὰ πλημμελήματα, τῆς εἰς τὸν πλησίον φιλοφροσύνης, ἐν τῇ τῶν οἰκείων ἁμαρτημάτων συγχωρήσει, τὴν ἀμοιβὴν ἡμῖν ἀποδιδούς· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[a] Cod. 748 ἕξομεν.

Περὶ τοῦ μὴ ἀπαγιρώσκειν τινὰς ἑαυτῶν, μηδὲ κατεύχεσθαι τῶν ἐχθρῶν, μηδὲ ἀπαγορεύειν ἐν τῷ μὴ λαμβάνειν αἰτοῦντας· καὶ πρὸς ἄνδρας περὶ τῆς πρὸς τὰς γυναῖκας εἰρήνης.

α'. Πολλὰς ὑμῖν ἔχω χάριτας, ὅτι μετὰ προθυμίας τοὺς περὶ τῆς εὐχῆς ἐδέξασθε λόγους, ὅτι με μακάριον ἐποιήσατε. *Μακάριος* γὰρ *ὁ λέγων εἰς ὦτα ἀκουόντων.* Οὐκ ἀπὸ τῶν κρότων καὶ τῶν ἐπαίνων

μόνον, ἀλλὰ καὶ ἀφ' ὧν ποιοῦντας εἶδον, ἐπείσθην. [355] Ὅτε γὰρ ὑμῖν παρῄνουν μὴ κατεύχεσθαι τῶν ἐχθρῶν, καὶ ἔλεγον ὅτι τὸν Θεὸν παροξύνομεν τοῦτο ποιοῦντες, καὶ ἀντινομοθετοῦμεν αὐτῷ (αὐτὸς γὰρ εἶπεν, *Εὔχεσθε ὑπὲρ τῶν ἐχθρῶν*, ἡμεῖς δὲ κατευχόμενοι τῶν ἐχθρῶν, ἀξιοῦμεν αὐτὸν τὸν ἑαυτοῦ λῦσαι νόμον), ὅτε οὖν ταῦτα καὶ τὰ τοιαῦτα ἔλεγον, πολλοὺς ἐν ὑμῖν εἶδον πρόσωπα τύπτοντας καὶ στήθη, στενάζοντας πικρῶς, εἰς τὸν οὐρανὸν τὰς χεῖρας ἀνατείνοντας, συγγνώμην αἰτοῦντας περὶ τῶν τοιούτων εὐχῶν. Τότε δὲ καὶ ἐγὼ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἀνατείνας, ηὐχαρίστησα τῷ Θεῷ, ὅτι οὕτω ταχέως ὁ λόγος τῆς διδασκαλίας τὸν καρπὸν ἡμῖν ἤνεγκε. Τοιοῦτον γὰρ ὁ σπόρος ὁ πνευματικός· οὐ δεῖται ἐνιαυτῶν, οὐδὲ χρόνων, οὐδὲ ἡμερῶν, ἀλλὰ ἂν ἐπιλάβηται ψυχῆς γενναίας, εὐθέως τὸν στάχυν ἀκμάζοντα καὶ ἀπηρτισμένον δείκνυσιν· ὃ δὲ καὶ χθὲς γέγονεν ὑφ' ὑμῶν. Κατέβαλον λόγον κατανύξεως, καὶ ἐβλάστησε στεναγμὸς ἐξομολογήσεως, στεναγμὸς πολὺν ἔχων τὸν πλοῦτον τῶν ἀγαθῶν. Εἰ γὰρ ὁ τελώνης ἐκεῖνος, ἵνα τὸ στῆθος τύπτων εἴπῃ, *Ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ*, ἀπῆλθε δεδικαιωμένος ὑπὲρ τὸν Φαρισαῖον, πόσην εἰκὸς ἡμᾶς κτήσασθαι παῤῥησίαν, ἐν βραχεῖ χρόνῳ τοσαύτην κατάνυξιν ἐπιδειξαμένους; Καίτοι τελώνου χεῖρον οὐδέν· οὗτος γὰρ ἔσχατος ὅρος κακίας ἐστίν· ὅπερ οὖν καὶ ὁ Χριστὸς παραδηλῶν, εἰς παράδειγμα τῶν ἐσχάτων κακῶν τὰς πόρνας καὶ τοὺς τελώνας ἄγει συνεχῶς. Πεπαῤῥησιασμένη γάρ ἐστι βία, ἀνεπιτίμητος ἁρπαγή, ἀναίσχυντος πλεονεξίας τρόπος, πραγματεία λόγον οὐκ ἔχουσα, ἀναιδὴς ἐμπορία· ἀλλ' ὅμως ὁ τοσούτοις συζῶν κακοῖς, ἴσχυσεν ἀπὸ ψιλῶν ῥημάτων ἀποῤῥίψασθαι τὰ ὀνείδη, καὶ πλέον ὧν ᾔτησε λαβεῖν. Αὐτὸς μὲν γὰρ ἠξίου λέγων, *Ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ*· ὁ δὲ Θεὸς οὐχ ἵλεως μόνον, ἀλλὰ καὶ ἐδικαίωσεν αὐτὸν ὑπὲρ τὸν Φαρισαῖον. Διὰ τοῦτό φησιν ὁ Παῦλος· *Τῷ δὲ δυναμένῳ πάντα ποιῆσαι ὑπὲρ ἐκ περισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν*. Καίτοι ὁ Φαρισαῖος ἠῦξατο, καὶ ἐν τῷ ἱερῷ ἔστη, καὶ τὸν αὐτὸν ἐκάλεσε Θεὸν, καὶ πλείονα εἶπε ῥήματα, καὶ ἀπὸ εὐχαριστίας τὸ προοίμιον ἐποιήσατο τῆς εὐχῆς. Πόθεν οὖν ἐκεῖνος μὲν καὶ ἃ εἶχεν ἀπώλεσε καλὰ, οὗτος δὲ καὶ ἣν οὐκ εἶχε προσέλαβε παῤῥησίαν; Ὅτι οὐ τῆς εὐχῆς ὁ αὐτὸς τρόπος ἦν. Ὁ μὲν γὰρ ἀλαζονείας ἔγεμε καὶ τύφου καὶ ἀπονοίας, οὗτος δὲ εὐγνωμοσύνης πολλῆς· διὰ τοῦτο οὗτος μὲν μυρία ἁμαρτημάτων φορτία ἔχων, πάντα ἀπέθετο, καὶ δικαιοσύνην ἔλαβεν· ἐκεῖνος δὲ πλήρη τὴν ναῦν κατορθωμάτων ἀναγαγὼν, καὶ ἐλεημοσύνης, καὶ νηστείας, καθάπερ τινὶ σκοπέλῳ προσαράξας τῷ τῆς κενοδοξίας καὶ ἀπονοίας φρονήματι, ἐν αὐτῷ τῷ λιμένι τὸ ναυάγιον ὑπέμεινε· τὸ γὰρ ἐν εὐχῇ ζημιωθῆναι, ἐν λιμένι ναυάγιόν ἐστιν ὑπομεῖναι. Ἀλλ' οὐ παρὰ τὴν φύσιν τῆς εὐχῆς τοῦτο γέγονεν, ἀλλὰ παρὰ τὴν προαίρεσιν τὴν αὐτοῦ.

β'. Ὁρᾷς πῶς οὐκ ἀρκεῖ πρὸς σωτηρίαν ἡμῖν ἡ εὐχὴ, ἐὰν μὴ προσῇ τὸ κατ' ἐκείνους εὔξασθαι τοὺς νόμους, οὓς τέθεικεν ὁ Χριστός; Τίνας δὲ τέθεικε νόμους; [356] Ὑπὲρ τῶν ἐχθρῶν εὔχεσθαι, καὶ τῶν πολλὰ λυπούντων. Κἂν μὴ τοῦτο ποιῶμεν, ἀπολλύμεθα πάντως· καὶ δῆλον ἐκ τοῦ παραδείγματος τοῦ κατὰ τὸν Φαρισαῖον. Εἰ γὰρ οὗτος, οὐχὶ τῶν ἐχθρῶν κατευξάμενος, ἀλλὰ κενοδοξήσας μόνον, τοσαύτην ἔδωκε δίκην, τίς μένει τιμωρία τοὺς μακροὺς καὶ πολλοὺς κατὰ τῶν ἐχθρῶν ἀποτείνοντας λόγους; Τί ποιεῖς, ἄνθρωπε; ἔστηκας συγγνώμην αἰτῶν ἁμαρτημάτων, καὶ θυμοῦ πληροῖς τὴν διάνοιαν; Ὅτε πάντων ἡμερωτέρους εἶναι χρὴ, Δεσπότῃ διαλεγομένους, ὑπὲρ οἰκείων πλημμελημάτων παρακαλοῦντας, ἔλεον καὶ φιλανθρωπίαν καὶ συγγνώμην αἰτοῦντας, τότε ἀγριούμεθα, καὶ πρὸς θηριωδίαν ἐκπίπτομεν, καὶ πικρίας τὸ στόμα πληροῦμεν; Καὶ πῶς δυνησόμεθα, εἰπέ μοι, τῆς σωτηρίας ἐπιτυχεῖν, σχῆμα μὲν ἱκετῶν προβαλλόμενοι, ῥήματα δὲ ἀπονοίας φέροντες, καὶ καθ' ἑαυτῶν παροξύνοντες τὸν Δεσπότην; Εἰσῆλθες τὰ οἰκεῖα θεραπεῦσαι τραύματα, οὐχὶ τὰ τοῦ πλησίον χαλεπώτερα ἐργάσασθαι· ἱλασμοῦ καιρός ἐστιν, εὐχῆς καιρὸς καὶ στεναγμοῦ, οὐχὶ ὀργῆς· δακρύων, οὐχὶ θυμοῦ, κατανύξεως, οὐχὶ ἀγαναχτήσεως. Τί συγχέεις τὴν τάξιν; τί σαυτῷ πολεμεῖς; τί καταλύεις σου τὴν οἰκοδομήν; Τὸν εὐχόμενον πρὸ τῶν ἄλλων ἁπάντων ἥμερον ἔχειν χρὴ διάνοιαν, κατεσταλμένον νοῦν, συντετριμμένην καρδίαν· ὁ δὲ τῶν ἐχθρῶν καταβοῶν οὐκ ἂν δυνηθείη τοῦτο κατορθῶσαί ποτε· θυμοῦ γάρ ἐστι πεπληρωμένος, καὶ οὐχ οἷός τέ ἐστιν [a] ἔχειν κατεσταλμένην διάνοιαν.

Μὴ τοίνυν κατευχώμεθα τῶν ἐχθρῶν, ἀλλὰ μηδὲ τῶν κατορθωμάτων τῶν ἡμετέρων μνημονεύωμεν, ἵνα μὴ πάθωμεν ὅπερ ὁ Φαρισαῖος. Ὥσπερ γὰρ ἁμαρτημάτων μεμνῆσθαι, καλὸν, οὕτω κατορθωμάτων ἐπιλελῆσθαι, καλόν. Τίνος ἕνεκεν; Ὅτι ἡ μὲν τῶν κατορθωμάτων μνήμη πρὸς ἀλαζονείαν ἡμᾶς ἐπαίρει, ἡ δὲ τῶν ἁμαρτημάτων μνήμη καταστέλλει τὴν διάνοιαν καὶ ταπεινοῖ· καὶ ἐκείνη μὲν ῥᾳθυμοτέρους ποιεῖ, αὕτη δὲ σπουδαιοτέρους ἐργάζεται. Καὶ γὰρ ὅσοι μηδὲν νομίζουσιν ἔχειν καλὸν, προθυμότεροι γίνονται πρὸς τὸ κτήσασθαι τὰ καλά· οἱ δὲ πολλὴν ἑαυτοῖς ἀποτεθεῖσθαι τὴν ἐμπορίαν ἡγούμενοι, θαῤῥοῦντες τῇ ταύτης περιουσίᾳ, οὐκ ἂν πολλὴν ἐπιδείξαιντο σπουδὴν πρὸς τὸ πλείονα περιλαβέσθαι πάλιν.

γ'. Μὴ τοίνυν μνησθῇς τῶν κατορθωμάτων, ἵνα μνησθῇ αὐτῶν ὁ Θεός. Λέγε γάρ, φησὶ, *τὰς ἁμαρτίας σου πρῶτος, ἵνα δικαιωθῇς*. Καὶ πάλιν· *Οὐ μὴ μνησθῶ τῶν ἀνομιῶν σου, φησί· σὺ δὲ μνήσθητι*. Ἀλλὰ τίνος ἕνεκεν τοῦ τελώνου οὕτω ταχέως ἐπήκουσεν ὁ Θεὸς, τὸν δὲ Ἰσαὰκ ἀφῆκεν εἴκοσιν ἔτη δέεσθαι καὶ παρακαλεῖν αὐτὸν περὶ τῆς γυναικὸς αὐτοῦ, καὶ τότε ἐπένευσε ταῖς εὐχαῖς τοῦ δικαίου; Ἀνάγκη γὰρ τῆς χθὲς διδασκαλίας ἀποδοῦναι ὑμῖν τὰ λείψανα. Τίνος οὖν ἕνεκεν τοῦτο γέγονεν; Ἵνα ἀπὸ μὲν τῶν κατὰ τὸν τελώνην μάθῃς τὴν φιλανθρωπίαν τοῦ Δεσπότου ταχέως ἐπακούσαντος, ἀπὸ δὲ τῶν κατὰ τὸν Ἰσαὰκ μάθῃς τὴν ὑπομονὴν τοῦ δούλου βραδέως λαβόντος, καὶ οὐκ ἀποστάντος τῆς ἱκετηρίας· ἵνα, κἂν ἁμαρτωλὸς ᾖς,

[a] Savil. οὐχ οἷόν τέ ἐστιν. Ita et Cod. 748.

Beatus quippe, *qui narrat in aures audientium* (*Eccli.* 25. 12). Id mihi non ex plausibus laudibusve tantum, sed et ex iis quæ fieri a vobis cernebam, persuasum est. Cum enim, ut adversus inimicos preces minime funderetis, vos cohortarer, ac dicerem nos, dum id agimus, Deum irritare, ac legibus ejus alias contrarias ferre (dixit enim ipse, *Orate pro inimicis* [*Matth.* 5. 44], at nos dum adversus inimicos oramus, petimus ab eo ut suam legem ipse dissolvat), cum igitur hæc et talia dicerem, multos inter vos cernebam faciem percutientes et pectus, graviter ingemiscentes, manus in cælum tendentes, veniam a Deo propter ejusmodi preces fusas postulantes. Tum vero ego sublatis in cælum oculis Deo gratias egi, quod tam cito nobis doctrinæ sermo fructum protulisset. Ea quippe spiritualis seminis est conditio : non annis indiget, nec temporibus, nec diebus, sed si animam generosam invaserit, confestim spicam virentem et perfectam ostendit : quod et a vobis hesterno die peractum est. Compunctionis sermonem sparseram, et confessionis gemitus germinavit, gemitus multas bonorum divitias secum ferens. Nam si publicanus ille, cum pectus percutiendo dixisset, *Propitius esto mihi peccatori* (*Luc.* 18. 13), plus quam Pharisæus justificatus recessit, quantam nos apud Deum nobis conciliasse gratiam verisimile est, cum intra perbreve tempus tantam compunctionem ostenderimus? Tametsi publicano nihil est pejus : cum is improbitatis limes sit ultimus : quod utique Christus indicans in extremorum malorum exemplum meretrices ac publicanos semper in medium adducit. Est enim violentia quæ libere confidenterque grassatur, rapina sine reprehensione, impudens avaritiæ genus, negotiatio a ratione aliena, insolens mercatura : attamen is qui inter tot mala vixerat, nudis verbis potuit tot probra delere, ac plura quam postularat accipere. Nam petierat quidem ille, *Propitius esto mihi peccatori*, Deus autem non propitius tantum fuit, sed etiam illum supra Pharisæum justificavit. Propterea inquit Paulus : *Ei autem, qui potest omnia facere superabundanter, quam petimus, aut intelligimus* (*Ephes.* 3. 20). Atqui precatus est etiam Pharisæus, et in templo stetit, et eumdem Deum invocavit, et plura verba profudit, et ex gratiarum actione orationis exordium texuit. Unde igitur factum est, ut ille quidem ea quæ habebat bona perdiderit, hic autem eam gratiam ac fiduciam, quam non habebat sibi conciliaverit? Quod nimirum orandi modus idem non esset. Nam ille quidem arrogantiæ, fastus, superbiæque totus plenus erat, hic vero multæ probitatis et æquitatis : idcireo licet hic innumeris peccatorum sarcinis gravaretur, omnes abjecit, et justitiam assumpsit; ille autem qui plenam recte factorum, eleemosynarum, jejuniorum, navem reduxerat, tamquam scopulo cuipiam inanis gloriæ superbiæque tumori allidens in ipso portu naufragium fecit : siquidem in oratione damnum pati, id vero est in portu naufragium facere. Non tamen id ex natura orationis, sed ex culpa voluntatis ejus evenit.

2. *Precationis modus quis.* — Vides ad salutem necessarium esse orationis modum? Vides quam sit necessarium, ut humilitatis, ut contritionis, ut compunctionis, ut lacrymarum, ut confessionis, ut gemitus, ut misericordiæ, ut clementiæ, ut mansuetudinis, ut modestiæ, ut benignitatis, ut æquitatis, ut omnium virtutum, quæ orationem ornant, adsit? Quod si quis ex his unam aut alteram desiderat, is non recte orat. Quamobrem non sufficere bis orationem non sufficere, nisi simul ex legibus, quas tulit Christus, oremus? Quas porro leges ille tulit? Ut pro inimicis oremus, tametsi multis molestiis nos affecerint. Ac nisi hoc præstemus, plane perimus : id quod ex Pharisæi constat exemplo. Si enim iste cum non adversus inimicos orasset, verum inanis gloriæ cupiditati solum addictus fuisset, tantam pœnam sustinuit, quod supplicium illos manet, qui longos multosque sermones producunt adversus inimicos? Quid facis, mi homo? Adstas, ut veniam peccatorum postules, et animam iracundia reples? Quando omnium mitissimos esse nos oportet, dum alloquimur Dominum, dum pro delictis oramus, misericordiam, clementiam, ac veniam implorantes, tum excandescimus, in feritatem devolvimur, et os nostrum felle complemus? Quo pacto, quæso, poterimus salutem adipisci, cum supplicium speciem præ nobis feramus, verba superborum efferamus, et in nos Dominum irritemus? Ingressus es, ut propria vulnera curares, non ut propinqui vulnera redderes acerbiora. Propitiationis tempus est, orationis tempus, ac gemitus, non iracundiæ : lacrymarum, non excandescentiæ : compunctionis, non indignationis. Cur confundis ordinem? cur tibi ipsi repugnas? cur ædificium tuum diruis? Hominem qui orat, ante alia omnia miti animo esse oportet, modesta mente, corde contrito : qui vero clamat adversus inimicos, numquam illud poterit obtinere : quippe qui sit iræ plenus, neque modestia possit mentem in officio continere.

Peccatorum meminisse, recte factorum oblivisci oportet. Cur esset sterilis uxor Isaac; cur sterilis partus præcesserit. — Ne igitur adversus inimicos preces fundamus, sed neque recte factorum memores nostrorum simus, ne nobis id accidat, quod Pharisæo. Nam quemadmodum peccatorum recordari bonum est, ita recte factorum bonum est oblivisci. Quam tandem ob causam? Quoniam recte factorum quidem memoria nos in superbiam erigit, peccatorum autem memoria mentem deprimit atque humilem reddit : atque illa quidem negligentiores efficit, ista vero diligentiores nos reddit. Nam qui nihil sibi esse boni arbitrantur, alacriores ad acquirenda bona fiunt : qui vero multum sibi repositum quæstum existimant, his opibus confidentes non magnum studium præ se ferunt ad plura sibi deinceps comparanda.

3. Noli ergo recte factorum meminisse, ut meminerit illorum Deus. *Dic enim peccata tua primus, ut justificeris* (*Hesai.* 43. 26), et rursus : *Iniquitatum tuarum non recordabor*, inquit : *at tu recordare* (*Ib. v.* 25). Sed quam tandem ob causam publicanum tam cito exaudivit Deus, Isaac autem viginti annos orare permisit, eique pro uxore sua supplicare, ac tum demum justi precibus annuit? Sunt enim vobis hesternæ doctrinæ reliquiæ persolvendæ. Quam igitur ob causam id accidit? Ut ex iis quæ publicano evenerunt, Domini benignitatem cognoscas : ex iis autem, quæ Isaac evenerunt, patientiam servi cognoscas, qui tarde accepit, et precari non destitit; ut licet peccator sis, non desperes : licet justus sis, non efferaris.

Non est opus valentibus medico, sed male habentibus (*Matth.* 9. 12). Male habebat publicanus; propterea cito manum illi porrexit: Isaac autem robustior erat; propterea reliquit ipsum, ut patientiam ejus augeret. Sed hæc quidem ex abundanti a nobis sint dicta. Cur autem uxor sterilis esset, operæ pretium fuerit enarrare: ut, cum virginem videris factam esse matrem, credere non recuses: ut, cum dixerit tibi Judæus, Quo pacto peperit Maria? dicas illi, Quo pacto peperit Sarra, et Rebecca, et Rachel? Cum enim mirabile quidpiam magnumque fuerit eventurum, multæ præcurrunt figuræ. Et quemadmodum cum Imperator ingreditur, præcurrunt milites, ne subito ab imparatis excipiatur: ita cum insolitum futurum esset miraculum, præcedunt figuræ, ut nos prius exercitati ac dispositi non subito attoniti hæreamus, nec rei præter exspectationem visæ territi novitate obstupescamus. Hoc et in morte. Præcessit Jonas, et mentem nostram exercuit. Ut enim illum post tres dies cetus evomuit, cum in eo proprium et conveniens non reperisset alimentum: proprium quippe conveniensque mortis alimentum est peccati natura: inde nata est, inde corroborata est, inde etiam alitur. Ut igitur in nobis, si quando lapidem deglutivimus imprudentes, tum quidem primum illum vis stomachi concoquere aggreditur: cum vero cibum minime sibi proprium comperit, ubi diutius vim suam concoquendi illi applicuit, non illum corrumpit, sed virtutem suam perdit: unde nec priorem cibum potest continere, sed defessa cum ipso illum quoque non sine gravi dolore evomit: ita quoque in morte accidit. Lapidem angularem deglutivit, neque concoquere ipsum potuit; omnis ejus virtus elanguit: propterea cum ipso reliquum quem habebat cibum ejecit, dum hominum naturam simul evomuit. Neque enim deinceps illam in finem poterit continere. Propterea steriles quoque præcesserunt, ut etiam partus fides fieret; vel potius non modo ut fides partus fieret; sed si exacte examinare velimus, ipsius etiam mortis figuram sterilitatem fuisse reperiemus.

4. Sed attendite: subtile namque est quod dicemus: quippe dicturi sumus quo pacto ad fidem resurrectionis nos uteri Sarræ sterilitas quasi manu ducat. Quonam igitur pacto manu ducit? Quemadmodum illa cum esset mortua beneficio Dei suscitata est, et Isaaci corpus vivum germinavit: sic cum esset mortuus Christus, propria virtute resurrexit. Neque violentam esse nostram expositionem, audi qua ratione Paulus testetur. Cum enim de Abrahamo dixisset: *Non consideravit emortuam vulvam Sarræ, sed confortatus est fide dans gloriam Deo, plenissime sciens, quia quæcunque promisit, potens est et facere* (*Rom.* 4. 19-21): hoc est, efficere ut ex corporibus mortuis filius vivus enascatur: deinde ab illa fide, ut ad hanc nos deduceret, adjecit: *Non est scriptum tantum propter ipsum, quia reputatum est illi: sed et propter nos* (*Rom.* 4. 23. 24). Ad quid? *Quibus reputabitur*, inquit, *credentibus in eum, qui suscitavit Jesum Dominum nostrum a mortuis.* Quod autem dicit, est ejusmodi. Isaacum ex mortuis corporibus excitavit: sic etiam Filium suum qui mortuus erat suscitavit. Visne alterius etiam rei symbolum fuisse sterilitatem cognoscere? Multitudinem fidelium paritura erat Ecclesia: ut igitur credere minime recusares quo pacto infecunda, infrugifera, sterilis peperisset, præcessit ea, quæ natura sterilis erat: quæ sterili voluntati viam præmuniret, et Sarra facta est Ecclesiæ figura. Nam ut illa cum sterilis esset, peperit in senecta: sic et ista cum sterilis esset, novissimis temporibus peperit. Atque hoc verum esse, quo pacto Paulus testetur audi: *Nos autem sumus liberæ filii* (*Gal.* 4. 31). Cum enim figura sit Ecclesiæ Sarra, quæ libera est, idcirco addidit, nos liberæ filios esse. Et rursus: *Itaque, fratres, secundum Isaac promissionis filii sumus* (*Gal.* 4. 28). Quid est hoc, *Promissionis*? Quemadmodum illum natura non peperit, sic neque nos natura peperit, sed gratia Dei. Et rursus: *Quæ autem sursum est Jerusalem libera est, quæ est mater nostra* (*Gal.* 4. 26), hæc est autem Ecclesia. *Accessistis enim ad Sion montem*, inquit, *et civitatem Dei viventis, Jerusalem cœlestem, et Ecclesiam primitivorum* (*Hebr.* 12. 22). Si ergo superna Jerusalem est Ecclesia, porro Jerusalem supernæ figura est Sarra, prout dixit, *Duæ sunt, una quidem in servitutem generans, quæ est Agar: quæ autem sursum est Jerusalem libera est, quæ est mater nostra* (*Gal.* 4. 24-26): manifestum est Jerusalem, quæ sursum est, figuram esse Sarram habita ratione partus ac sterilitatis.

5. Scio subtiliora esse quæ diximus: sed si attendamus, nihil eorum nos effugiet, quæ dicuntur. Hi ergo pleniores mysteriorum sunt dogmatumque sermones: sed si lubet accommodatiorem ad mores cum illis proferemus. Sterilis erat uxor, ut castitatem mariti cognoscas: quod nec illam expulerit, tametsi tum id lex nulla prohiberet, neque alteram ductam præter liberam introduxit: quod tamen faciunt multi quærendorum specie liberorum, ut luxuriam suam expleant, et has ejiciunt, illas introducunt: alii quoque pellices in eas armant, et infinitis pugnis ac rixis domos complent. At non ita justus ille: sed quietus erat data sibi a Deo uxore contentus, ac naturæ Dominum precabatur, ut naturæ vincula solveret, neque uxori exprobravit. Unde vero constat eum non exprobrasse? Ex ipsa Scriptura. Si exprobrasset, hoc quoque Scriptura dixisset, neque tacuisset: siquidem et præclara facinora, et vitia justorum commemorat, ut hæc fugiamus, illa æmulemur. Cum igitur apud filium ejus nurus ipsius Rachel lamentaretur, et ille objurgaret, expressit utrumque, nec celavit Scriptura. Cum enim dixisset: *Da mihi liberos: si autem non, moriar*: quid ille ait? *Numquid Deus ego, qui privavit te fructu ventris? Da mihi liberos* (*Gen.* 30. 1. 2). Muliebris postulatio, et a ratione aliena. Marito dicis, *Da mihi liberos*, et naturæ Dominum prætermittis? Idcirco et ille cum illam increpando respondisset, absurdam ejus petitionem repressit, et a quo petendum esset edocuit. At non ita iste, neque tale quidquam ipse dixit, neque apud istum illa conquesta est aut lamentata.

Quid prædicta nos doceant. A veneficiis atque præsti-

μὴ ἀπογνῷς, κἂν δίκαιος ᾖς, μὴ ἐπαρθῇς. [357] *Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες.* Κακῶς εἶχεν ὁ τελώνης· διὰ τοῦτο ταχέως αὐτῷ ὤρεξε χεῖρα· ὁ δὲ Ἰσαὰκ ἰσχυρότερος ἦν, καὶ διὰ τοῦτο αὐτὸν εἴασεν, ἵνα αὐτοῦ τὴν ὑπομονὴν ἐπιτείνῃ. Ἀλλ' οὗτος μὲν ἐκ περιουσίας ἡμῖν ὁ λόγος εἰρήσθω. Τίνος δὲ ἕνεκεν ἡ γυνὴ στεῖρα ἦν, ἀναγκαῖον εἰπεῖν, ἵν', ὅταν ἴδῃς Παρθένον μητέρα γινομένην, μὴ ἀπιστήσῃς· ἵν', ὅταν εἴπῃ σοι ὁ Ἰουδαῖος, Πῶς ἔτεκεν ἡ Μαρία; εἴπῃς αὐτῷ, Πῶς ἔτεκεν ἡ Σάῤῥα, καὶ ἡ Ῥεβέκκα, καὶ ἡ Ῥαχήλ; Ὅταν γὰρ μέλλῃ τι θαυμαστὸν καὶ μέγα γίνεσθαι θαῦμα, πολλοὶ προτρέχουσι τύποι. Καὶ καθάπερ βασιλέως εἰσιόντος, προτρέχουσι στρατιῶται, ὥστε μὴ ἀθρόον ἀπαρασκευάστως δέξασθαι τὸν βασιλέα· οὕτω καὶ θαύματος μέλλοντος γίνεσθαι παραδόξου, προτρέχουσι τύποι, ὥστε ἡμᾶς προμελετήσαντας μὴ καταπλαγῆναι ἀθρόον, μηδὲ ἐκστῆναι τῷ παραδόξῳ τοῦ γινομένου. Τοῦτο καὶ ἐπὶ τοῦ θανάτου. Προέδραμεν Ἰωνᾶς, καὶ ἐγύμνασεν ἡμῶν τὴν διάνοιαν. Καθάπερ γὰρ ἐκεῖνον μετὰ τρεῖς ἡμέρας τὸ κῆτος ἤμεσεν [a], οὐχ εὑρὸν ἐν αὐτῷ τὴν οἰκείαν τροφὴν καὶ κατάλληλον· οἰκεία γὰρ τροφὴ καὶ κατάλληλος θανάτου τῆς ἁμαρτίας ἡ φύσις· ἐντεῦθεν ἐτέχθη, ἐντεῦθεν ἐῤῥιζώθη, ἐντεῦθεν καὶ τρέφεται. Καθάπερ οὖν ἐφ' ἡμῶν, ἐπειδὰν λίθον καταπίωμεν οὐκ εἰδότες, τότε μὲν πρῶτον ἐπιχειρεῖ πέψαι τοῦτον ἡ τοῦ στομάχου δύναμις· ἐπειδὰν δὲ εὕρῃ ἀλλοτρίαν αὐτῷ οὖσαν τροφήν, ὁμιλήσασα ἐπὶ πλέον αὐτῷ τῇ πεπτικῇ δυνάμει, ἐκεῖνον μὲν οὐ διαφθείρει, τὴν δὲ ἑαυτῆς ἀπόλλυσιν ἰσχύν, ὅθεν οὐδὲ τὴν προτέραν δύναται κατέχειν τροφήν, ἀλλὰ ἀτονήσασα κἀκείνην αὐτῷ συνεξεμεῖ μετὰ πολλῆς τῆς ὀδύνης· οὕτω καὶ ἐπὶ τοῦ θανάτου γέγονε. Κατέπιε τὸν λίθον τὸν ἀχρογωνιαῖον, καὶ οὐκ ἴσχυσεν αὐτὸν πέψαι· ἠσθένησεν αὐτοῦ πᾶσα ἡ δύναμις· διὰ τοῦτο μετ' αὐτοῦ καὶ τὴν λοιπὴν, ἣν εἶχε, συνεξέβαλε τροφὴν, τῶν ἀνθρώπων συνεξεμέσας τὴν φύσιν. Οὐδὲ γὰρ ταύτην κατασχεῖν δυνήσεται λοιπὸν εἰς τέλος. Διὰ τοῦτο καὶ αἱ στεῖραι προέδραμον, ἵνα ὁ τόκος πιστωθῇ· μᾶλλον δὲ οὐχ ἵνα ὁ τόκος πιστωθῇ μόνον, ἀλλ' ἐὰν ἀκριβῶς ἐξετάσωμεν, καὶ αὐτοῦ τοῦ θανάτου τὴν στείρωσιν τύπον οὖσαν εὑρήσομεν.

δ'. Ἀλλὰ προσέχετε· λεπτὸν γὰρ τὸ ῥηθησόμενον· μέλλομεν γὰρ ἐρεῖν, πῶς πρὸς τὴν πίστιν τῆς ἀναστάσεως ἡμᾶς ἡ μήτρα τῆς Σάῤῥας στειρωθεῖσα χειραγωγεῖ. Πῶς οὖν ἡμᾶς χειραγωγεῖ; Καθάπερ αὕτη νεκρὰ οὖσα ἐκ τῆς τοῦ Θεοῦ χάριτος ἀνέστη, καὶ σῶμα ἐβλάστησε ζῶν τὸ τοῦ Ἰσαάκ· οὕτω καὶ ὁ Χριστὸς νεκρωθεὶς ἠγέρθη τῇ οἰκείᾳ δυνάμει. Καὶ ὅτι οὐ βεβίασται τὸ εἰρημένον, ἄκουσον αὐτοῦ τοῦ Παύλου λέγοντος. Εἰπὼν γὰρ περὶ τοῦ Ἀβραὰμ, ὅτι *Οὐκ ἐνενόησε τὴν νέκρωσιν τῆς μήτρας Σάῤῥας, ἀλλ' ἐνεδυναμώθη τῇ πίστει, δοὺς δόξαν τῷ Θεῷ, καὶ πληροφορηθεὶς ὅτι ὃ ἐπήγγελται δυνατός ἐστι καὶ ποιῆσαι*, τοῦτ' ἔστιν, ἀπὸ τῶν νεκρῶν σωμάτων ζῶντα ποιῆσαι γεννηθῆναι υἱόν· εἶτα ἀπ' ἐκείνης εἰς ταύτην ἡμᾶς τὴν πίστιν χειραγωγῶν ἐπήγαγεν· *Οὐκ ἐγράφη δι' ἐκεῖνον μόνον, ὅτι ἐλογίσθη αὐτῷ, ἀλλὰ καὶ δι' ἡμᾶς.* Διὰ τί; *Οἷς μέλλει*, φησὶ, *λογίζεσθαι τοῖς πιστεύουσιν ἐπὶ τὸν ἐγείραντα Ἰησοῦν τὸν Κύριον ἡμῶν ἐκ νεκρῶν.* [358] Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· Τὸν Ἰσαὰκ ἀπὸ νεκρῶν σωμάτων ἤγειρεν· οὕτω καὶ τὸν Υἱὸν ἀνέστησε, νεκρὸν γενόμενον. Βούλει καὶ ἑτέρου πράγματος μαθεῖν σύμβολον οὖσαν τὴν στείρωσιν; Ἤμελλεν ἡ Ἐκκλησία τὸ πλῆθος ἀποκυῆσαι τῶν πιστῶν· ἵν' οὖν μὴ ἀπιστῇς, πῶς ἡ ἄγονος, ἡ ἄκαρπος, ἡ στεῖρα ἔτεκε, προέλαβεν ἡ φύσει στεῖρα, προοδοποιοῦσα τῇ προαιρέσει στείρᾳ, καὶ ἡ Σάῤῥα τῆς Ἐκκλησίας ἐγένετο τύπος. Ὥσπερ γὰρ ἐκείνη στεῖρα οὖσα ἔτεκεν ἐν γήρᾳ, οὕτω καὶ αὕτη στεῖρα οὖσα ἔτεκεν ἐπ' ἐσχάτων τῶν καιρῶν. Καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, ἄκουσον Παύλου λέγοντος· *Ἡμεῖς δὲ τῆς ἐλευθέρας τέκνα ἐσμέν.* Ἐπειδὴ γὰρ ἡ Σάῤῥα τύπος ἐστὶ τῆς Ἐκκλησίας, ἡ ἐλευθέρα, διὰ τοῦτο ἐπήγαγεν, ὅτι *Τῆς ἐλευθέρας τέκνα ἐσμέν.* Καὶ πάλιν· *Ἄρα, ἀδελφοὶ, κατὰ Ἰσαὰκ ἐπαγγελίας τέκνα ἐσμέν.* Τί ἐστιν, *Ἐπαγγελίας*; Ὥσπερ ἐκεῖνον οὐκ ἔτεκε φύσις, οὐδὲ ἡμᾶς φύσις ἔτεκεν, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ. Καὶ πάλιν· *Ἡ δὲ ἄνω Ἰερουσαλὴμ ἐλευθέρα ἐστὶν, ἥτις ἐστὶ μήτηρ ἡμῶν·* αὕτη δέ ἐστιν ἡ Ἐκκλησία. *Προσεληλύθατε γὰρ Σιὼν ὄρει*, φησὶ, *καὶ πόλει Θεοῦ ζῶντος, Ἰερουσαλὴμ ἐπουρανίῳ, καὶ Ἐκκλησίᾳ πρωτοτόκων.* Εἰ τοίνυν ἄνω Ἰερουσαλὴμ ἡ Ἐκκλησία ἐστὶ, τῆς δὲ ἄνω Ἰερουσαλὴμ τύπος ἐστὶν ἡ Σάῤῥα, καθὼς εἶπεν, ὅτι *Δύο εἰσὶ, μία μὲν εἰς δουλείαν γεννῶσα, ἥτις ἐστὶν Ἄγαρ· ἡ δὲ ἄνω Ἰερουσαλὴμ ἐλευθέρα ἐστὶν, ἥτις ἐστὶ μήτηρ ἡμῶν*, εὔδηλον ὅτι τῆς ἄνω Ἰερουσαλὴμ τύπος ἐστὶν ἡ Σάῤῥα κατὰ τὸν τόκον καὶ τὴν στείρωσιν.

ε'. Οἶδα ὅτι λεπτότερα τὰ εἰρημένα· ἀλλ' ἐὰν λάβωμεν [b], οὐδὲν ἡμᾶς παραδραμεῖται τῶν λεγομένων. Οὗτοι μὲν οὖν μυστικώτεροι καὶ δογματικώτεροι οἱ λόγοι· εἰ δὲ βούλεσθε, καὶ ἠθικώτερον μετὰ τούτων ἐρῶ. Στεῖρα ἦν ἡ γυνὴ, ἵνα μάθῃς τοῦ ἀνδρὸς τὴν σωφροσύνην· ὅτι οὔτε ἐκείνην ἐξέβαλε, καίτοι οὐδενὸς τότε κωλύοντος νόμου, οὔτε ἑτέραν λαβὼν, τῇ ἐλευθέρᾳ ἐπεισήγαγεν· ὃ δὴ πολλοὶ ποιοῦσι προφάσει παιδοποιίας, τὴν ἀσέλγειαν τὴν ἑαυτῶν πληροῦντες, καὶ τὰς μὲν ἐκβάλλοντες, τὰς δὲ εἰσάγοντες· οἱ δὲ καὶ παλλακίδας ἐφοπλίζοντες, καὶ μυρίων τὰς οἰκίας πληροῦντες πολέμων. Ἀλλ' οὐκ ἐκεῖνος ὁ δίκαιος οὕτως, ἀλλ' ἔμενε στέργων τὴν κληρωθεῖσαν αὐτῷ παρὰ τοῦ Θεοῦ γυναῖκα, καὶ παρεκάλει τὸν τῆς φύσεως Δεσπότην διορθῶσαι τῆς φύσεως τὰ δεσμὰ, καὶ οὐκ ὠνείδισε τῇ γυναικί. Καὶ πόθεν, ὅτι οὐκ ὠνείδισεν; Ἐξ αὐτῆς τῆς Γραφῆς. Εἰ ὠνείδισεν, εἶπεν ἄν ἡ Γραφὴ καὶ τοῦτο, καὶ οὐκ ἐσιώπησε· καὶ γὰρ τὰ κατορθώματα λέγει τῶν δικαίων, καὶ τὰ ἐλαττώματα, ἵνα τὰ μὲν φύγωμεν, τὰ δὲ ζηλώσωμεν. Ὅτε γοῦν πρὸς τὸν υἱὸν αὐτοῦ ἡ νύμφη ἡ Ῥαχὴλ ἀπωδύρετο, κἀκεῖνος ἐπέπληξεν, ἀμφότερα τέθεικε, καὶ οὐκ ἀπέκρυψεν ἡ Γραφή. Ἐπειδὴ γὰρ εἶπε, *Δός μοι τέκνα, εἰ δὲ μὴ, ἀποθανοῦμαι*, τί φησιν ἐκεῖνος; *Μὴ Θεὸς ἐγὼ, ὃς ἐστέρησέ σε καρποῦ κοιλίας; Δός μοι τέκνα.* Γυναικώδης ἡ αἴτησις καὶ ἀλόγιστος. Τῷ ἀνδρὶ λέγεις, *Δός μοι τέκνα*, παραδραμοῦσα τὸν τῆς φύσεως Δεσπότην; Διὰ τοῦτο καὶ ἐκεῖνος πληκτικώτερον ἀποκρινάμενος κατέστειλεν αὐτῆς τὴν ἄλογον [359] αἴτησιν, καὶ ἐδίδαξε παρὰ τίνος δεῖ αἰτεῖν. Ἀλλ' οὐχ οὕτως, οὔτε αὐτὸς [c] οὐδὲν τοιοῦτον εἶπεν, οὔτε ἐκείνη πρὸς τοῦτον ἀπωδύρατο καὶ ἐθρήνησεν.

Ἐντεῦθεν σωφροσύνην παιδευόμεθα καὶ πίστιν. Τὸ

[a] Savil. in marg. hanc conjicit apodosin : οὕτω τὸ μνῆμα τὸν Χριστόν. Cod. 748 textui nostro consonat. Εὑρὸν autem dedit Savil.; Montf. et cod. 748 εὑρών. Edit.

[b] Cod. 748 κάμωμεν.

[c] Cod. 748 ἀλλ' οὐχ οὗτος οὔτε αὐτ., quæ est conjectura Savilii.

μὲν γὰρ δεηθῆναι τοῦ Θεοῦ, τὴν πίστιν αὐτοῦ δείκνυσι· τὸ δὲ μὴ ἐκβαλεῖν τὴν γυναῖκα, τὴν σωφροσύνην ἡμῖν καθίστησι φανεράν· τὸ δὲ μήτε ὀνειδίσαι, μήτε ἀπογνῶναι, καὶ τὴν ὑπομονὴν καὶ τὴν φιλοσοφίαν καὶ τὴν πολλὴν ἐπιείκειαν καὶ τὴν φιλοστοργίαν τὴν πρὸς τὴν γυναῖκα δήλην ποιεῖ. Οὐδὲ γὰρ, καθάπερ πολλοὶ ποιοῦσι νῦν ἐν ταῖς τοιαύταις περιστάσεσιν εἰς μαγγανείας καὶ γοητείας καταφεύγοντες, τὰ περιττὰ ταῦτα καὶ ἀνόνητα καὶ βλαβερὰ, καὶ ψυχὴν ἀπολλύντα, ἐκεῖνος ἐποίησεν, ἀλλὰ ἅπαντα ταῦτα ἀφεὶς, καὶ πάντων τῶν ἀνθρωπίνων καταγελάσας, πρὸς τὸν τῆς φύσεως Δεσπότην τὸν δυνάμενον ταῦτα διορθοῦν μόνον ἀνέδραμεν.

ς'. Ἀκούσατε ταῦτα, ἄνδρες, παιδεύθητε, γυναῖκες, μιμησώμεθα τὸν δίκαιον ἅπαντες. Μηδὲν ἔστω γυναικὶ ἀνδρὸς τιμιώτερον, μηδὲν ἀνδρὶ γυναικὸς ποθεινότερον. Τοῦτο πάντων ἡμῶν συγκρατεῖ τὴν ζωὴν, τὸ ὁμονοεῖν γυναῖκα πρὸς ἄνδρα· τοῦτο συνέχει τὸν κόσμον ἅπαντα. Καθάπερ γὰρ τοῦ θεμελίου σαλευθέντος, πᾶσα ἡ οἰκοδομὴ καταφέρεται· οὕτω καὶ γάμων στασιαζόντων, ἅπας ὁ βίος ἡμῶν ἀνατρέπεται. Ὅρα γάρ· ὁ κόσμος ἐκ τῶν πόλεων συνέστηκεν, αἱ πόλεις ἐκ τῶν οἰκιῶν, αἱ οἰκίαι ἐξ ἀνδρῶν καὶ γυναικῶν. Ἂν τοίνυν ἐπεισέλθῃ πόλεμος μεταξὺ τῶν ἀνδρῶν καὶ τῶν γυναικῶν, εἰς τὰς οἰκίας εἰσῆλθεν ὁ πόλεμος· τούτων δὲ ταραττομένων, καὶ αἱ πόλεις ἀνάστατοι γίνονται· πόλεων δὲ στασιαζουσῶν, καὶ τὴν οἰκουμένην πᾶσαν ἀνάγκη ταραχῆς ἐμπεπλῆσθαι, καὶ πολέμου, καὶ μάχης. Διὰ τοῦτο ὁ Θεὸς πολλὴν ἐποιήσε τοῦ πράγματος τούτου τὴν πρόνοιαν· διὰ τοῦτο οὐκ ἀφίησιν ἐκβαλεῖν γυναῖκα, ἀλλ' ἢ ἐπὶ πορνείᾳ μόνον. Τί οὖν ἂν λοίδορος ᾖ, φησὶν, ἂν δαπανηρὰ καὶ πολυτελὴς, καὶ μυρία ἕτερα ἐλαττώματα ἔχῃ; Φέρε πάντα γενναίως, καὶ μὴ ἐκβάλῃς διὰ τὰ ἐλαττώματα, ἀλλὰ διόρθωσον τὰ ἐλαττώματα. Διὰ τοῦτο κεφαλῆς ἐπέχεις χώραν, ἵνα εἰδῇς θεραπεύειν τὸ σῶμα. Καὶ γὰρ τὸ σῶμα τὸ ἡμέτερον, κἂν μυρία ἔχῃ τραύματα, οὐκ ἀποτέμνομεν τὴν κεφαλήν. Μὴ τοίνυν μηδὲ τὴν γυναῖκα ἀποτέμνῃς ἑαυτοῦ· ἐν τάξει γὰρ ἡμῖν ἐστι τοῦ σώματος ἡ γυνή. Διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλος ἔλεγεν· *Οἱ ἄνδρες οὕτως ὀφείλουσιν ἀγαπᾶν τὰς γυναῖκας, ὡς τὰ ἑαυτῶν σώματα.* Καὶ πρὸς τὰς γυναῖκας δὲ ὁ αὐτὸς νόμος ἡμῖν· ὡς τὴν ἑαυτῆς φίλει κεφαλὴν, ᾧ γύναι· καὶ εἰ τιμᾷς, οὕτω τίμα τὸν ἄνδρα· οὐ γὰρ εἰκῇ τοσοῦτον ὑπὲρ τοῦ πράγματος ποιούμεθα λόγον. Οἶδα ὅσων ἀγαθῶν αἴτιόν ἐστι, τὸ γυναῖκα πρὸς ἄνδρα μὴ διχοστατεῖν· οἶδα ὅσων κακῶν ἐστιν ὑπόθεσις, ὅταν οὗτοι πρὸς ἑαυτοὺς διαστασιάζωσι. Τότε γὰρ οὐ πλοῦτος, οὐκ εὐπαιδία, οὐ πολυπαιδία, οὐκ ἀρχὴ καὶ δυναστεία, οὐ δόξα καὶ τιμὴ, οὐ τρυφὴ καὶ πολυτέλεια, οὐκ ἄλλη τις εὐπραγία δύναιτ' ἂν εὐφρᾶναί ποτε γυναῖκα ἢ ἄνδρα, ὅταν πρὸς ἀλλήλους ζυγομαχῶσι.

ζ'. Τοῦτο δὴ πρὸ τῶν ἄλλων ἁπάντων σπουδάζωμεν. Ἐλαττώματα ἔχει ἡ γυνή; Ποίησον ὅπερ ἐποίησεν [360] ὁ Ἰσαάκ· δεήθητι τοῦ Θεοῦ. Εἰ γὰρ οὗτος τῇ χαρτερίᾳ τῆς εὐχῆς φύσεως ἔλυσε πίρωσιν, πολλῷ μᾶλλον ἡμεῖς προαιρέσεως ἐλαττώματα διορθῶσαι δυνησόμεθα, τὸν Θεὸν συνεχῶς παρακαλοῦντες. Ἐὰν ἴδῃ σε ὁ Θεὸς διὰ τὸν αὐτοῦ νόμον καρτεροῦντα, καὶ φέροντα γενναίως τῆς γυναικὸς τὰ ἁμαρτήματα, συνεφάψεταί σοι τῆς διδασκαλίας, καὶ μισθόν σοι δώσει τῆς ὑπομονῆς. *Τί γὰρ οἶδας*, φησὶν, *ἄνερ, εἰ τὴν γυναῖκα σώσεις; ἢ τί οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις;* Μὴ ἀποκάμῃς δὲ, φησὶ, μηδὲ ἀπελπίσῃς. Συμβαίνει γὰρ αὐτὴν καὶ σωθῆναι· ἂν δὲ ἀδιόρθωτος μένῃ, σὺ τὸν μισθὸν οὐκ ἀπώλεσας τῆς ὑπομονῆς· ἐὰν δὲ ἐκβάλῃς, ἓν πρῶτον ἥμαρτες, τὸ παραβῆναι τὸν νόμον, καὶ μοιχὸς κρίνεσθαι παρὰ τῷ Θεῷ· *Ὃς γὰρ ἂν ἐκβάλῃ τὴν γυναῖκα αὐτοῦ*, φησὶ, *παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχευθῆναι.* Πολλάκις δὲ καὶ ἑτέραν χαλεπωτέραν ἐκείνης λαβὼν, τὴν μὲν ἁμαρτίαν εἰργάσω, ἀναπαύσεως δὲ οὐκ ἀπέλαυσας. Ἂν δὲ καὶ χρείσσω λάβῃς, οὐκ ἀφίησί σοι τὴν ἡδονὴν ἀκέραιον εἶναι τὴν ἐκ τῆς δευτέρας, διὰ τὴν ἄφεσιν τῆς προτέρας, λογιζομένης σοι μοιχείας· μοιχεία γάρ ἐστι τὸ τὴν προτέραν ἀφεῖναι. Ὅταν οὖν ἴδῃς δυσκολίαν τινὰ συμπεσοῦσαν, ἢ ἐν τῷ γάμῳ, ἢ ἐν ἑτέρᾳ πραγμάτων καταστάσει, παρακάλει τὸν Θεόν· αὕτη γὰρ μόνη λύσις ἐστὶν ἀρίστη τῶν συμβαινόντων ἡμῖν δεινῶν. Καὶ γὰρ μέγα τῆς εὐχῆς τὸ ὅπλον ἐστί. Τοῦτο καὶ πολλάκις εἶπον, καὶ νῦν λέγω, καὶ λέγων οὐ παύσομαι· κἂν ἁμαρτωλὸς ὑπάρχῃς, βλέπε πρὸς τὸν τελώνην τὸν μὴ ἀποτυχόντα, τὸν τοσαῦτα ἁμαρτήματα ἀπονιψάμενον. Βούλει μαθεῖν ὅσον ἐστὶν εὐχή; Οὐκ ἀνύει τοσοῦτον φιλία πρὸς Θεὸν, ὅσον εὐχή. Καὶ οὐκ ἐμὸς ὁ λόγος· οὐ γὰρ ἂν ἐτόλμησα τοσοῦτον πρᾶγμα ἀπὸ τῆς ἐμαυτοῦ γνώμης ἀποφήνασθαι· ἄκουσον ἐκ τῶν Γραφῶν πῶς, ὅσον οὐκ ἤνυσε φιλία, ἤνυσεν εὐχή. *Τίς ἐστιν ἐξ ὑμῶν*, φησὶν, *ὃς ἕξει φίλον, καὶ ἐλθὼν εἴπῃ αὐτῷ· Ἑταῖρε, χρῆσόν μοι τρεῖς ἄρτους· κἀκεῖνος ἀποκριθεὶς ἐρεῖ αὐτῷ· Ἡ θύρα κέκλεισται, τὰ παιδία ἐπὶ τῆς κλίνης ἐστί· μή μοι κόπους πάρεχε. Λέγω γὰρ ὑμῖν, εἰ καὶ διὰ τὸ εἶναι φίλον αὐτοῦ μὴ δώσει αὐτῷ, διὰ δὲ τὴν ἀναίδειαν αὐτοῦ δώσει αὐτῷ ὅσων ἂν χρήζῃ.* Ὁρᾷς πῶς, ὅσον οὐκ ἴσχυσεν ἡ φιλία, τοῦτο ἴσχυσεν ἡ προσεδρεία; Ἐπειδὴ γὰρ φίλος ἦν αἰτῶν, ἵνα μὴ νομίσῃς ὅτι διὰ τοῦτο ἤνυσεν, εἶπεν· *Εἰ καὶ διὰ τὸ εἶναι φίλον αὐτοῦ μὴ δώσει αἰτῷ, διὰ δὲ τὴν ἀναίδειαν αὐτοῦ δώσει αὐτῷ.* Εἰ καὶ ἡ φιλία μὴ ἐργάσεται, φησὶ, τοῦτο, ἀλλὰ ἡ προσεδρεία ἐργάσεται, ὅσον ἡ φιλία οὐκ ἴσχυσε. Καὶ ποῦ τοῦτο γέγονεν; Ἐπὶ τοῦ τελώνου. Οὐδὲ γὰρ ἦν τῷ Θεῷ φίλος ὁ τελώνης· ἀλλ' ἐγένετο φίλος· ὥστε κἂν ἐχθρὸς ᾖς, τῇ προσεδρείᾳ γενήσῃ φίλος. Ὅρα καὶ τὴν Συροφοινισσαν, καὶ ἄκουσον τί φησι πρὸς αὐτήν· *Οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ δοῦναι τοῖς κυναρίοις.* Καὶ πῶς ἐποίησεν αὐτὸ, εἰ μὴ ἔστι καλόν; Τῇ προσεδρείᾳ αὐτὸ ἐποίησεν ἡ γυνὴ καλόν· ἵνα μάθῃς, ὅτι ὧν οὐκ ἐσμὲν ἄξιοι, γινόμεθα ἄξιοι, διὰ τῆς προσεδρείας.

[361] η'. Ταῦτα εἶπον ἵνα μὴ λέγῃς ὅτι Ἁμαρτωλός εἰμι, ἀπαρρήσιαστός εἰμι, οὐκ ἔχω εὐχήν. Ἐκεῖνος ἔχει παρρησίαν ὁ μὴ νομίζων ἔχειν παρρησίαν· ὡς ὁ νομίζων παρρησίαν ἔχειν, ἀπώλεσε τὴν παρρησίαν, καθάπερ ὁ Φαρισαῖος· ὁ δὲ νομίζων ἑαυτὸν ἀπερριμμένον καὶ ἀπαρρήσιαστον, οὗτος μάλιστα εἰσακουσθήσεται, καθάπερ ὁ τελώνης. Ὅρα πόσα ἔχεις παραδείγματα, τὴν Συροφοίνισσαν, τὸν τελώνην,

giis declinandum. Conjuges se invicem diligant necesse est.—Hinc castitatem docemur simul et fidem. Nam cum Deum precetur, fidem ejus hoc indicat : cum vero nequaquam uxorem ejiciat, id ejus manifestam reddit castitatem : cum autem non exprobret, neque desperet, id patientiam ejus et animi moderationem, multamque modestiam et amorem erga uxorem ostendit. Neque enim, quemadmodum nunc multi factitant, qui in ejusmodi ærumnis ad veneficia præstigiasque confugiunt, illa superflua, inutilia, noxia, animæque letifera ille fecit, sed omissis omnibus his, cunctisque contemptis rebus humanis, ad naturæ Dominum, qui poterat his solus mederi, recurrit.

6. Audite hæc, mariti, discite, uxores, imitemur justum omnes. Nihil pluris faciat uxor, quam virum : nihil magis vir diligat, quam uxorem. Hoc omnium nostrum vitam tuetur, uxorem cum viro concordare : hoc mundum continet universum. Nam quemadmodum concusso fundamento totum corruit ædificium : sic etiam cum dissidia inter conjuges oriuntur, tota vita nostra subvertitur. Vide namque : mundus ex urbibus constat, urbes ex domibus, ex viris ac uxoribus domus. Si igitur inter viros et uxores pugna consurgat, dum ista turbantur, etiam urbes evertuntur : quod si urbes turbentur, universum etiam orbem omnino necesse est tumultibus, bellis, pugnisque compleri. Propterea Deus istius rei maxime curam gerit ; propterea uxorem ejici non sinit, præterquam ob solam fornicationem. Quid igitur si contumeliosa sit, dicet aliquis, si profusa sit et sumptuosa, et innumeris aliis vitiis scateat? Patienter fer omnia, neque propter vitia ejice, verumtamen vitia corrige. Propterea tu capitis locum tenes, ut corpori scias mederi. Nam neque si corpus nostrum innumeris sit confossum vulneribus, illud a capite separamus. Ne igitur uxorem quoque separes a teipso : nobis enim corporis loco est uxor. Quam ob causam beatus etiam Paulus aiebat : *Viri diligere uxores sic debent, ut corpora sua* (*Ephes.* 5. 28). Et pro uxoribus eadem lex datur : sicut tuum caput amas et colis, uxor, ita virum tuum cole [1] : neque enim sine causa tantam istius rei rationem habemus. Scio quot bona conciliet istud, si nullum inter virum et uxorem dissidium oriatur : scio quot malorum occasiones pariat, si inter se contendant. Tunc enim non divitiæ, non felicitas quam boni afferunt liberi, non multitudo liberorum, non magistratus ac principatus, non gloria, non honor, non deliciæ, non sumptus, non alia quævis felicitas uxorem exhilarare, vel virum poterit, si inter se rixentur.

7. *Uxor vitiosa toleranda est ; non licet uxorem repudiare et aliam ducere. Orationis vis.* — Huic potissimum rei præ cæteris omnibus studeamus. Vitiosa est uxor, fac quod Isaac fecit, Deum precare. Si enim ille precum assiduitate debilitatem solvit naturæ, multo magis nos, si assidue Deum oremus, poterimus vitia voluntatis corrigere. Si te Deus viderit studio suæ legis observandæ tolerare patienterque ferre delicta uxoris, ad illam docendam te juvabit, ac patientiæ tibi mercedem rependet. *Unde enim scis, vir,* inquit, *si uxorem salvam facies? aut unde scis, uxor, si virum salvum facies* (1 *Cor.* 7. 16)? Noli autem animum despondere, noli desperare. Fieri enim potest ut ipsa quoque salva fiat : quod si se non corrigat, tu tamen patientiæ mercedem non amittes : sin autem ejeceris, illud unum primum peccasti quod legem transgressus fueris, et adulter apud Deum judiceris : *Quicumque enim ejecerit uxorem suam,* inquit, *excepta fornicationis causa, facit eam mœchari* (*Matth.* 5. 32). Sæpenumero autem accepta difficiliori, peccatum admisisti, nec tamen ullam relaxationem aut quietem nactus es. Sin meliorem assumpseris, non permittitur tibi, ut sincera voluptate perfruaris ex secunda, ob dimissionem prioris, cum inde tibi adulterium imputetur : est enim adulterium priorem dimittere. Cum igitur aliquam videris oriri difficultatem vel in matrimonio, vel in aliquo alio rerum statu, Deum precare : hic solus optimus e malis emergendi modus. Magna quippe est orationis armatura. Hoc et sæpenumero dixi, et nunc dico, neque dicere cessabo : licet peccator sis, converte oculos tuos in publicanum qui repulsam non tulit, qui tam multis se peccatis expiavit. Visne intelligere quanta res sit oratio? Non tam valet amicitia apud Deum quam oratio. Neque meus est hic sermo : neque enim auderem tanti momenti rem ex mea sententia definire, audi ex Scriptura, quod amicitia non perfecit, id ab oratione esse perfectum. *Quis ex vobis est, qui habebit amicum, et veniens dicet ei, Amice, commoda mihi tres panes : et ille respondens dicet illi, Ostium clausum est, pueri sunt in cubili : noli mihi molestus esse. Dico enim vobis, etsi quod amicus ejus sit, non dabit ei, propter importunitatem tamen ejus dabit ei quotquot habet necessarios* (*Luc.* 11. 5 -8). Vides quo pacto quod non potuit amicitia, hoc assiduitas potuerit? Nam quoniam fuit amicus, qui petebat, ne propterea rem illum perfecisse censeres, dixit, *Etsi quod amicus ejus sit non dabit ei, propter importunitatem ejus dabit ei.* Licet id amicitia non præstet, inquit, assiduitas tamen præstabit id quod amicitia minime potuit. Et ubi tandem id accidit? In publicano. Neque enim erat amicus Deo publicanus, sed amicus est factus : itaque licet inimicus sis, assiduitate fies amicus. Vide etiam Syrophœnissam, et audi quid illi dicat : *Non est bonum sumere panem filiorum, et dare canibus* (*Matth.* 15. 26). Cur igitur id fecit, si bonum non est? Assiduitate mulier id bonum effecit : ut discas nos quibus digni minime sumus, iis per assiduitatem dignos evadere.

8. Hæc ego dixi, ne dicas, Peccator sum, fiduciam non habeo, preces non habeo. Ille fiduciam habet, qui se non habere illam putat : sicut is qui se fiduciam habere putat, fiduciam amisit, quemadmodum Pharisæus : qui vero seipsum abjectum putat et fiducia destitutum, is maxime exaudietur, quemadmodum publicanus. Vide quam multa tibi exempla suppetant, Syrophœnissa, publicanus, latro in cruce, amicus in

[1] Hunc locum sic mutari posse censet Savilius, nempe, *ut ipsum caput tuum virum ama, o mulier, et si colis caput tuum, sic illum cole.*

parabola, qui tres panes petebat, quique non tam propter amicitiam, quam propter assiduitatem obtinuit. Horum unusquisque si dixisset, Peccator sum, et pudore suffusus, et idcirco accedere non debeo, nihil promovisset. At quoniam illorum quisque non ad peccatorum suorum respexit magnitudinem, sed ad divitias benignitatis Dei (*Ephes.* 3. 16), confidens et audax fuit, et quamvis peccator præter dignitatem suam postulavit, et quæ voluit quisque perfecit. Hæc igitur omnia mente versemus, et assidue preces fundamus, vigiles, confidentes, bonæ spei pleni, multo cum studio. Quanto cum studio cæteri adversus inimicos preces fundunt, tanto cum studio nos pro inimicis et pro fratribus preces fundamus, et omnino cuncta quæ in rem nostram fuerint obtinebimus. Benignus enim est qui largitur, nec adeo nos desideramus accipere, ut desiderat ille largiri. Hæc igitur omnia cum sciamus, licet in infimum nequitiæ profundum simus devoluti, nesic quidem de salute nostra desperemus, sed bona etiam cum spe accedamus, nobisque persuadeamus omnino fore, ut quod petimus assequamur, si ex præscripto latarum ab ipso legum petamus. *Eum qui potest omnia facere superabundanter, quam petimus, aut intelligimus* (*Ephes.* 3. 20), Christum, omnium Regem, Deum nostrum decet omnis gloria, honor et adoratio, una cum Patre initii experte, ac sanctissimo vivificoque Spiritu, nunc et semper, et in sæcula sæculorum. Amen.

MONITUM AD HOMILIAM IN ILLUD

Hanc concionem post peractam lectionem Epistolæ ad Galatas Antiochiæ habuit Chrysostomus. Veritus enim ne tantilla, quæ hic apparet inter Petrum et Paulum Ecclesiæ, ait ille, columnas, dissensio, piorum animos interturbaret, longa locum illum oratione explanare nititur. Multis statim explicat, quanta hinc incommoda sequantur, si vere et objurgandi animo, plurimis præsentibus, apostolorum coryphæum Paulus sit adortus. Hinc duas circa hunc locum sententias aperit, statimque refutat: quarum prior est, Petrum de quo hic agitur, non apostolorum principem, sed alium esse cognominem: altera veram statuit esse reprehensionem, sed simulate factam. Deinde vero suam profert ille opinionem: nempe apostolos Petrum et Paulum ad hanc piam simulationem paratos meditatosque venisse; exque pacto et convento

CUM IN PRÆCEDENTI COLLECTA IN NOVA ECCLESIA CUM EPISCOPO CONVENTUM CELEBRASSET, HUNC SERMONEM HABUIT IN VETERI ECCLESIA IN HUNC LOCUM APOSTOLI: CUM VENISSET PETRUS ANTIOCHIAM, IN FACIEM EI RESTITI (*Gal.* 2. 11): ET OSTENDIT EA QUÆ TUM FIEBANT, NON A CONTRARIIS STUDIIS PROFECTA ESSE, VERUM EX PACTO CONVENTO ET PER DISPENSATIONEM (*a*).

1. Unum a vobis abfui diem, et perinde quasi anno integro separatus a vobis fuissem, ita tristis mœstusque permansi. Atque hæc vera esse, ex iis quæ vobis acciderunt, ipsi cognoscitis. Ut enim lactens puerulus a maternis avulsus uberibus [1], quocumque tandem abductus fuerit, crebro se huc illucque convertit, et matrem suam circumspicit: sic ego quoque procul a materno sinu translatus, crebro circumspiciebam, et undequaque sacrum vestrum hunc cœtum requirebam. Sed ea me res tamen satis consolabatur, quod dum amantissimo patri parerem, id mihi accideret, et conceptum ex separatione mœrorem obedientiæ præmium abstergebat. Est enim hoc mihi vel quovis diademate illustrius, et corona gloriosius, ubique cum genitore peregrinari: hoc mihi ornatus est, et securitas: ornatus quidem, quod sic enm manciparim, et ad amorem meum pellexerim, ut nusquam sine filio velit apparere: securitas autem, quod dum præsentem intuetur atque certantem, omnino suarum etiam precum auxilium nobis suppeditet. Et quemadmodum navem gubernatoris manus, clavus, et zephyri flatus ad portum secure deducunt: sic et hujus benevolentia, cum auxilio precum, melius quam zephyrus et gubernator ullus aut gubernaculum, orationem nostram dirigit. Me vero præterea

(*a*) Collata cum Mss. Regio 2343, et Colbertinis 970 et 1050.

[1] Unus Mss., *a paterno sinu avulsus.*

τὸν λῃστὴν τὸν ἐπὶ σταυροῦ, τὸν ἐν τῇ παραβολῇ φίλον τὸν τοὺς τρεῖς ἄρτους αἰτοῦντα, καὶ οὐχ οὕτω διὰ τὴν φιλίαν, ὡς διὰ τὴν προσεδρείαν ἐπιτυχόντα. Τούτων ἕκαστος εἰ εἶπεν, ὅτι Ἁμαρτωλός εἰμι, ὅτι Κατῃσχυμμένος εἰμὶ, καὶ διὰ τοῦτο οὐκ ὀφείλω προσελθεῖν, οὐκ ἂν ἤνυσέ τι πλέον. Ἀλλ' ἐπειδὴ ἕκαστος τούτων οὐ πρὸς τὸ μέγεθος εἶδε τῶν ἁμαρτημάτων, ἀλλὰ πρὸς τὸν πλοῦτον τῆς τοῦ Θεοῦ φιλανθρωπίας, ἐθάρρει, καὶ κατετόλμησε, καὶ ἁμαρτωλὸς ὢν ᾐτεῖτο ὑπὲρ τὴν ἀξίαν τὴν ἑαυτοῦ, καὶ ἤνυσεν ἕκαστος ἅπερ ἠθέλησε. Ταῦτ' οὖν μνημονεύωμεν ἅπαντα καὶ φυλάττωμεν, καὶ εὐχώμεθα διηνεκῶς, μετὰ νήψεως, μετὰ τοῦ θαρρεῖν, μετὰ χρηστῶν ἐλπίδων, μετὰ σπουδῆς πολλῆς. Μεθ' ὅσης ἕτεροι σπουδῆς κατεύχονται τῶν ἐχθρῶν, μετὰ τοσαύτης ἡμεῖς σπουδῆς καὶ ὑπὲρ τῶν ἐχθρῶν, καὶ ὑπὲρ τῶν ἑαυτῶν ἀδελφῶν εὐξώμεθα, καὶ πάντως ἐπιτευξόμεθα τῶν συμφερόντων ἁπάντων. Φιλάνθρωπος γὰρ ὁ διδοὺς, καὶ οὐχ οὕτως ἡμεῖς ἐπιποθοῦμεν λαβεῖν, ὡς ἐκεῖνος ἐπιποθεῖ δοῦναι. Ταῦτ' οὖν ἅπαντα εἰδότες. κἂν εἰς ἔσχατον κακίας πυθμένα κατενεχθῶμεν, μηδὲ οὕτως ἀπογνῶμεν τῆς ἑαυτῶν σωτηρίας, ἀλλὰ μετὰ ἀγαθῆς ἐλπίδος προσίωμεν, πείσαντες ἑαυτοὺς ὅτι πάντως ληψόμεθα ἅπερ αἰτοῦμεν, ἂν κατὰ τοὺς ὑπ' αὐτοῦ κειμένους νόμους αἰτῶμεν. *Τῷ δυναμένῳ πάντα ποιῆσαι ὑπὲρ ἐκπερισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν*, Χριστῷ τῷ παμβασιλεῖ Θεῷ ἡμῶν πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ Πατρὶ, καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

IN FACIEM EI RESTITI.

inter ambos inito, cum se a gentibus segregasse Petrum, ne in Judæorum offensionem incurreret, tum Paulum ei in faciem restitisse, illo non reluctante, quia amborum ea mens erat, ut legis jugum gentibus non imponeretur. Cæterum Chrysostomi opinio, quæ ab Origene manasse creditur, ab Hieronymo primum propugnata, ab Augustino refutata est, asserente veram nec simulatam fuisse Pauli reprehensionem, ita ut ejus argumentis cederet vel ipse Hieronymus. Non desunt tamen, qui priorem sententiam, quæ Petrum ab apostolo alium asserit, nec qui posteriorem a Chrysostomo propugnatam hodieque defendant.

Interpretatio Latina est Frontonis Ducæi.

---

[362] *Τῇ προτέρᾳ συνάξει ἐν τῇ ἐκκλησίᾳ τῇ καινῇ συναχθεὶς μετὰ τοῦ ἐπισκόπου, ταύτην ἐν τῇ παλαιᾷ εἶπεν εἰς τὴν περικοπὴν τοῦ Ἀποστόλου· « Ὅτε δὲ ἦλθε Πέτρος εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην· » καὶ δείκνυσιν, ὅτι οὐκ ἀντίστασις ἦν, ἀλλ' οἰκονομία τὰ γινόμενα.*

α'. Μίαν ὑμῶν ἀπελείφθην ἡμέραν, καὶ ὡς ἐνιαυτὸν ὁλόκληρον ὑμῶν χωρισθεὶς, οὕτως ἀσχάλλων καὶ ἀλύων διετέλουν. Καὶ ὅτι ἀληθῆ ταῦτα, ἴστε ἐξ ὧν καὶ ὑμεῖς ἐπάθετε. Καθάπερ γὰρ παῖς ὑπομάζιος τῆς μητρικῆς θηλῆς ἀποσπασθεὶς, ὅπουπερ ἂν ἀπενεχθῇ, πυκνὰ περιστρέφεται, περιβλεπόμενος τὴν ἑαυτοῦ μητέρα· οὕτω δὴ κἀγὼ τῶν κόλπων τῶν μητρικῶν ἀπενεχθεὶς [a] πορρωτέρω, πυκνὰ περιεσκόπουν, πανταχοῦ τὴν ἁγίαν ὑμῶν ἐπιζητῶν σύνοδον. Πλὴν ἀλλ' εἶχον ἱκανὴν τούτων παραμυθίαν, τῷ πατρὶ φιλοστόργῳ πειθόμενος ταῦτα πάσχειν, καὶ ὁ τῆς ὑπακοῆς μισθὸς τὴν ἀχηδίαν τὴν ἐπὶ τῷ ξενισμῷ γινομένην ἀπεῖργε. Τοῦτο γὰρ ἐμοὶ καὶ διαδήματος πανταχοῦ λαμπρότερον, καὶ στεφάνου σεμνότερον, τὸ πανταχοῦ μετὰ τοῦ γεγεννηκότος περιάγεσθαι· τοῦτο ἐμοὶ καὶ κόσμος, καὶ ἀσφάλεια· κόσμος μὲν, ὅτι οὕτως αὐτὸν ἐχειρωσάμην, καὶ πρὸς τὸν ἔρωτα ἐπεσπασάμην τὸν ἐμὸν, ὡς μηδαμοῦ μηδέποτε ἀνέχεσθαι χωρὶς τοῦ παιδὸς φαίνεσθαι· ἀσφάλεια δὲ, ὅτι παρὼν καὶ ἀγωνιζόμενον βλέπων, πάντως καὶ τὴν παρὰ τῶν εὐχῶν συμμαχίαν ἡμῖν παρέξει. Καὶ καθάπερ πλοῖον κυβερνητῶν χεῖρες, καὶ οἴακες, καὶ ζεφύρου πνοαὶ μετὰ ἀσφαλείας εἰς λιμένα παραπέμπουσιν· οὕτω δὴ καὶ ἡ εὔνοια τούτου, καὶ ἡ ἀγάπη, καὶ ἡ τῶν εὐχῶν βοήθεια, καὶ ζεφύρου καὶ κυβερνήτου κρεῖττον καὶ τῶν οἰάκων [b] κατευθύνει τὸν λόγον ἡμῶν. Ἐμὲ δὲ πρὸς τούτοις κἀκεῖνο παρεμυθεῖτο, τὸ λαμ-

[a] Unus ms. 748 τῶν πατρικῶν ἀπενεχθείς.

[b] Duo mss. κυβερνήτου χειρῶν καὶ οἰάκων. Tertium addit 748.

πρᾶς ὑμᾶς ἀπολαῦσαι τότε τραπέζης, καὶ φιλότιμον καὶ πολυτελῆ τὸν ἑστιάτορα σχεῖν. Ἔγνωμεν δὲ τοῦτο οὐκ ἐξ ἀκοῆς μόνον, ἀλλὰ καὶ ἐξ αὐτῆς τῆς πείρας. Καὶ γὰρ ἦσαν οἱ διακομίζοντες ἡμῖν τὰ εἰρημένα, καὶ ἀπὸ τῶν λειψάνων ὁλόκληρον τὴν εὐωχίαν ἐστοχασάμεθα. Ἐπῄνεσα μὲν οὖν τὸν ἑστιάσαντα, καὶ ἐθαύμασα τῆς πολυτελείας καὶ τοῦ πλούτου· ἐμακάρισα δὲ καὶ ὑμᾶς τῆς εὐνοίας, καὶ τῆς ἀκριβείας, ὅτι μετὰ τοσαύτης φυλακῆς τὰ εἰρημένα κατέχετε, ὡς καὶ ἑτέρῳ διακομίσαι [a]. Διὰ τοῦτο καὶ ἡμεῖς πρὸς τὴν ὑμετέραν ἀγάπην προῆλθομεν διαλεγόμενοι. [363] Ὁ γὰρ καταβάλλων ἐνταῦθα τὰ σπέρματα, οὐ ῥίπτει αὐτὰ παρὰ τὴν ὁδὸν, οὐδὲ εἰς τὰς ἀκάνθας ἐκεῖ, οὐδὲ ἐπὶ τὴν πέτραν σπείρει· οὕτω λιπαρὰ καὶ βαθύγειος ὑμῶν ἐστιν ἡ ἄρουρα, καὶ πάντα εἰς τοὺς οἰκείους δεχομένη κόλπους, πολυπλασιάζει τὰ σπέρματα.

Ἀλλ' εἴπερ ποτὲ προθυμίαν μοι παρέσχετε καὶ πολλὴν σπουδὴν ἐπὶ τὴν [b] ἀκρόασιν, ὥσπερ οὖν ἀεὶ παρεσχήκατε, ταύτην αἰτῶ καὶ τήμερον ἐμοὶ δοῦναι τὴν χάριν. Οὐδὲ μὲν ὑπὲρ τῶν τυχόντων ἡμῖν ἐστιν ὁ λόγος, ἀλλ' ὑπὲρ μεγάλων πραγμάτων. Διόπερ ὀφθαλμῶν δέομαι πανταχόθεν ὀξὺ βλεπόντων, διανοίας διεγηγερμένης, διανεστηκότος φρονήματος, συντεταμένων λογισμῶν, ψυχῆς ἀγρύπνου καὶ ἐγρηγορυίας. Καὶ γὰρ ἠκούσατε τοῦ ἀναγνώσματος πάντες τοῦ ἀποστολικοῦ· καὶ εἴ τις ὀξέως προσέσχε τοῖς ἀναγνωσθεῖσιν, οἶδεν ὅτι μεγάλοι ἡμῖν ἀγῶνες καὶ ἱδρῶτες πρόκεινται τήμερον. *Ὅτε γὰρ ἦλθε Πέτρος, φησὶν, εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην.*

β'. Ἆρα οὖν οὐ θορυβεῖ ἕκαστον τῶν ἀκουόντων τοῦτο, ὅτι Παῦλος ἀντέστη τῷ Πέτρῳ, ὅτι οἱ στῦλοι τῆς Ἐκκλησίας συγκρούονται καὶ ἀλλήλοις προσπίπτουσι; Στῦλοι γὰρ ὄντως εἰσὶν οὗτοι, τὴν ὀροφὴν τῆς πίστεως ἀνέχοντες καὶ διαβαστάζοντες, καὶ στῦλοι, καὶ πρόβολοι, καὶ ὀφθαλμοὶ τοῦ σώματος τῆς Ἐκκλησίας, καὶ πηγαὶ τῶν ἀγαθῶν, καὶ θησαυροὶ, καὶ λιμένες, καὶ πᾶν ὅπερ ἂν εἴποι τις, οὐδέπω τῆς ἀξίας αὐτῶν ἐφίξεται· ἀλλ' ὅσῳπερ ἂν ᾖ μεγάλα αὐτῶν τὰ ἐγκώμια, τοσούτῳ πλείων ἡμῖν ὁ ἀγών. Διανάστητε τοίνυν· ὑπὲρ πατέρων γὰρ ἡμῖν ἐστιν ὁ λόγος, ὥστε ἀποχρούσασθαι τὰ κατ' ἐκείνων φερόμενα ἐγκλήματα παρὰ τῶν ἔξωθεν, καὶ τῶν τῆς πίστεως ἀλλοτρίων. *Ὅτε δὲ ἦλθε Πέτρος εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην, ὅτι κατεγνωσμένος ἦν.* Εἶτα καὶ ἡ αἰτία τῆς καταγνώσεως· *Πρὸ τοῦ γὰρ ἐλθεῖν τινας ἀπὸ Ἰακώβου, μετὰ τῶν ἐθνῶν συνήσθιεν· ὅτε δὲ ἦλθον, ὑπέστελλε καὶ ἀφώριζεν ἑαυτὸν, φοβούμενος τοὺς ἐκ περιτομῆς. Καὶ συναπεκρίθησαν αὐτῷ καὶ οἱ λοιποὶ Ἰουδαῖοι· ὥστε καὶ Βαρνάβας συναπήχθη αὐτῶν τῇ ὑποκρίσει. Ἀλλ' ὅτε εἶδον, ὅτι οὐκ ὀρθοποδοῦσι πρὸς τὴν ἀλήθειαν τοῦ Εὐαγγελίου, εἶπον τῷ Πέτρῳ ἔμπροσθεν πάντων.* Καὶ ἄνω λέγει, ὅτι *Κατὰ πρόσωπον*· καὶ ἐνταῦθα, *Ἔμπροσθεν πάντων.* Παρατηρεῖτε τοῦτο, τὸ εἰπεῖν, *Ἔμπροσθεν πάντων. Εἰ σὺ, Ἰουδαῖος ὑπάρχων, ἐθνικῶς ζῇς, καὶ οὐχὶ Ἰουδαϊκῶς, τί καὶ τὰ ἔθνη ἀναγκάζεις ἰουδαΐζειν;* Τάχα ἐπῄνεσατε τὸν Παῦλον τῆς παῤῥησίας, ὅτι οὐκ ἠδέσθη τὸ ἀξίωμα τοῦ προσώπου, διὰ τὴν ἀλήθειαν τοῦ Εὐαγγελίου οὐκ ἠρυθρίασε τοὺς παρόντας. Ἀλλ' εἰ καὶ Παύλου ἐγκώμιον τοῦτο, ἡμετέρα δὲ αἰσχύνη γίνεται. Τί γάρ, εἰ Παῦλος καλῶς ἐποίησεν; Ἀλλ' ὁ Πέτρος κακῶς, εἴ γε οὐκ ὠρθοπόδει. Τί οὖν ἐμοὶ τὸ ὄφελος, ὅταν τῆς ξυνωρίδος θάτερος ἵππος χωλεύῃ; Οὐ γὰρ πρὸς Παῦλόν μοι νῦν ὁ λόγος, ἀλλὰ πρὸς τοὺς ἔξωθεν. Διὰ τοῦτο καὶ παρακαλῶ προσέχειν. Καὶ γὰρ αὔξω τὴν κατηγορίαν, καὶ μείζονα ποιῶ, ἵνα ἐπιτείνω ὑμῶν τὴν σπουδήν. Ὁ γὰρ ἀγωνιῶν νήφει, καὶ ὁ δεδοικὼς ὑπὲρ πατρὸς, προσέχει· ὁ ἀκούων τῆς κατηγορίας, ἐπιθυμεῖ δέξασθαι τὴν ἀπολογίαν. Ἂν τοίνυν [364] ἄρξωμαι αὔξειν τὴν κατηγορίαν, μὴ ἀπὸ γνώμης τῆς ἐμῆς νομίσητε εἶναι τὰ λεγόμενα. Βαθύνω γὰρ ὑμῶν τῷ λόγῳ τὴν διάνοιαν, διασκάπτω τὸν νοῦν, ἵνα ἐν τῷ βάθει τὰ νοήματα καταθέμενος, ἄσυλον αὐτῶν ἐργάσωμαι τὴν φυλακήν. Ἀλλὰ καὶ τῆς πόλεως ὑμῶν ἐγκώμιον τὰ ῥηθησόμενα. Αὕτη γὰρ τὸν ἀγῶνα ἐδέξατο, αὕτη τὴν μάχην, μᾶλλον δὲ οὐ τὴν μάχην, ἀλλὰ τὴν δοκοῦσαν μὲν εἶναι μάχην, πάσης δὲ εἰρήνης γενομένην χρησιμωτέραν. Οὐ γὰρ οὕτως ἡμῶν τὰ μέλη πρὸς ἄλληλα συνέσφιγκται ταῖς τῶν νεύρων περιβολαῖς, ὡς οἱ ἀπόστολοι πρὸς ἀλλήλους ἦσαν συνδεδεμένοι τοῖς τῆς ἀγάπης δεσμοῖς.

γ'. Ἐπῃνέσατε τὸν Παῦλον; Ἀκούσατε τοίνυν πῶς κατηγορία ἐστὶ Παύλου τὰ εἰρημένα, ἂν μὴ τὸν ἐναποκεκρυμμένον τοῖς ῥήμασι θηρεύσωμεν νοῦν. Τί λέγεις, ὦ Παῦλε; ἐπετίμησας Πέτρῳ, ὅτε εἶδες οὐκ ὀρθοποδοῦντα πρὸς τὴν ἀλήθειαν τοῦ Εὐαγγελίου; Καλῶς. Τίνος οὖν ἕνεκεν *Κατὰ πρόσωπον*; τίνος ἕνεκεν *Ἔμπροσθεν πάντων*; οὐκ ἔδει ἁμάρτυρον γίνεσθαι τὸν ἔλεγχον; Σὺ δὲ πῶς δημοσιεύεις τὸ διαστήριον, καὶ πολλοὺς τῆς κατηγορίας μάρτυρας ποιεῖς; καὶ τίς οὐκ ἂν εἴποι, ὅτι ἐξ ἀπεχθείας τοῦτο ποιεῖς, καὶ φθόνου, καὶ φιλονεικίας; οὐ σὺ ἦσθα ὁ λέγων, *Ἐγενόμην τοῖς ἀσθενέσιν ὡς ἀσθενής*; Τί δέ ἐστι, *Τοῖς ἀσθενέσιν ὡς ἀσθενής*; Συγκαταβαίνων καὶ περιστέλλων αὐτῶν τὰ τραύματα, φησὶ, καὶ οὐκ ἀφεὶς εἰς ἀναισχυντίαν ἐκπεσεῖν. Εἶτα περὶ τοὺς μαθητὰς οὕτω κηδεμὼν καὶ φιλάνθρωπος ὤν, περὶ τὸν συναπόστολον ἀπάνθρωπος ἐγένου; Οὐκ ἤκουσας τοῦ Χριστοῦ λέγοντος, *Ὅταν ἁμάρτῃ ὁ ἀδελφός σου, ὕπαγε, �έλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου*; Σὺ δὲ καὶ δημοσίᾳ ἐλέγχεις, καὶ μέγα φρονεῖς ἐπὶ τῷ πράγματι. *Ὅτε γὰρ ἦλθε Πέτρος, φησὶν, εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην.* Καὶ οὐκ ἐλέγχεις δημοσίᾳ μόνον, ἀλλὰ καὶ, καθάπερ ἐν στήλῃ, τοῖς γράμμασι τὴν μάχην ἐγχαράξας, ἀθάνατον ποιεῖς τὴν μνήμην· ἵνα μὴ οἱ τότε παρόντες μόνον, ἀλλὰ καὶ πάντες οἱ τὴν οἰκουμένην οἰκοῦντες ἄνθρωποι μάθωσι διὰ τῆς ἐπιστολῆς τὸ γεγενημένον. Οὕτω σοι ἐποίησαν οἱ ἀπόστολοι ἐν Ἱεροσολύμοις, ὅτε ἀνῆλθες διὰ δεκατεσσάρων ἐτῶν ἀναθέσθαι αὐτοῖς τὸ Εὐαγγέλιον; Οὐ σὺ λέγεις, ὅτι *Διὰ δεκατεσσάρων ἐτῶν ἀνέβην, καὶ ἀνεθέμην αὐτοῖς τὸ Εὐαγγέλιον, κατ' ἰδίαν δὲ τοῖς δοκοῦσί τι εἶναι*; Τί οὖν; βουλόμενόν σε κατ' ἰδίαν ἀναθέσθαι, ἐκώλυσαν καὶ εἰς μέσον ἤγαγον, καὶ δῆλον ἅπασιν ἐποίησαν; Οὐκ ἔστιν εἰπεῖν. Εἶτα σὺ μὲν κατ' ἰδίαν ἀνατίθης, καὶ οὐδεὶς ἀντιλέγει· τὸν δὲ ἀπόστολον ἐκπομπεύεις; Ἆρα οὖν ἐκεῖ μόνον ταύτης ἀπῆλαυσας τῆς εὐνοίας;

[a] Omnes Mss. ὡς καὶ ἑτέρωθι διακομίσαι. Editi ὡς καὶ ἑτέρῳ διακομίσαι.

[b] Alii σπουδὴν περὶ τήν.

consolabatur etiam illud, quod vos opipara tum mensa frueremini, ac liberalem et sumptuosum convivatorem nacti essetis. Porro id non fando tantum audivimus, sed ipso nobis experimento compertum est. Fuere quippe, qui ea quæ dicebantur, cuncta referebant, et ex reliquiis de toto convivio conjecturam fecimus. Itaque convivatorem quidem laudavi, ejusque magnificentiam ac divitias commendavi : sed et vos propter hanc benevolentiam beatos prædicavi, et propter diligentiam, quod tam accurate quæ dicta sunt memoria teneatis, ut etiam ad alios transferre possitis. Propterea nos quoque apud caritatem vestram perlubenter disserimus. Nam qui sua committit huic loco semina, non ea secus viam projicit, nec in spinas effundit, neque supra petram seminat : ita pinguis et fertilis est ager vester, et omnia quæ suo sinu exceperit multiplicantur ab eo semina.

Attentione auditorum excitata, perpendit agendi rationem Pauli Petrum vituperantis. — Verumtamen si umquam summam alacritatem animi, summumque studium audiendo concionem exhibuistis, sicut semper exhibuistis, hanc et hodierno die mihi peto gratiam concedi. Neque enim de rebus vulgaribus nobis est agendum, sed de iis quæ magni sunt momenti. Quocirca mihi perspicacibus opus est oculis, excitata mente, ac sensibus erectis, attenta cogitatione, animo insomni ac vigilanti. Audivistis enim omnes apostolicam lectionem : et si quis diligenter attendit ad ea quæ lecta sunt, magna nobis certamina laboresque nobis hodierno die propositos esse cognovit. *Cum enim venisset*, inquit, *Petrus Antiochiam, in faciem ei restiti* (*Gal.* 2. 11).

2. Numquid unumquemque vestrum hoc conturbat, dum audit Petro restitisse Paulum : columnas scilicet Ecclesiæ inter se collidi, atque in se invicem incurrere? Siquidem vere columnæ sunt isti, qui fidei tectum sustinent et gestant, et columnæ et propugnacula, et Ecclesiæ corporis oculi, et bonorum fontes ac thesauri, et portus, et quodcumque dixerit quispiam, necdum tamen eorum dignitatem æquabit : sed quanto majores erunt laudes, tanto majora nobis objecta erunt certamina. Attendite igitur : pro patribus enim nobis dicendum est, ut conjecta in eos a profanis et a fidei hostibus crimina refellamus. *Cum autem venisset Petrus Antiochiam, in faciem ei restiti, quia reprehensibilis erat* (*Gal.* 2. 11-14). Deinde additur causa reprehensionis : *Prius enim, quam venirent quidam a Jacobo, cum gentibus edebat : cum autem venissent, subtrahebat et segregabat se, timens eos, qui ex circumcisione erant. Et simulationi ejus consenserunt cæteri Judæi, ita ut et Barnabas duceretur ab eis in illam simulationem. Sed cum vidissem, quod non recte ambularent ad veritatem evangelii, dixi Petro coram omnibus.* Et supra dicit, *In faciem*, et hoc loco, *Coram omnibus.* Notate istud quod dixit : *Coram omnibus. Si tu cum Judæus sis, gentiliter vivis, et non Judaice, quomodo gentes cogis Judaizare?* Fortasse Paulum ob loquendi libertatem laudastis, quod personæ dignitatem non reveritus, propter evangelii veritatem præsentes non erubuerit. At licet ea sit laus Pauli, nostrum in dedecus illud cedit. Quid enim refert quod recte Paulus gesserit? At male gessit Petrus, siquidem non recte ambulabat. Quid ergo mihi prodest, quando alter ex biga equus claudicat? Neque enim mihi cum Paulo res est, sed cum profanis. Idcirco etiam obsecro, ut attendatis. Etenim accusationem augeo, gravioremque reddo, ut studium vestrum excitem. Qui enim in certamine versatur, vigilat, et qui pro patre metuit, est attentus : qui accusationem audit, optat excipere defensionem. Si ergo incipiam accusationem augere, ne ex animi mei sententia verba illa proferri censeatis. Profunde quippe mentem excavo, et altius in animo sulcos ago, ut profundius jactæ sententiæ tenacius hæreant, et fideli memoria teneantur. Sed et in laudem urbis vestræ (*a*) cedunt quæ dicentur. Illa quippe certamen excepit, illa pugnam : imo vero non pugnam, sed quæ videbatur esse pugna, cæterum pace quavis utilior exstitit. Non enim ita membra nostra nervorum amplexibus inter se junguntur, ut apostoli caritatis erant inter se vinculis copulati.

3. Laudastis Paulum? Andite ergo quo pacto ad accusationem tendant Pauli, quæ dicta sunt, nisi unum aliquem in verbis absconditum sensum observemus. Quid ais, o Paule? Increpasti Petrum, cum illum videres ad veritatem evangelii non recte incedere? Bene habet. Cur igitur *In faciem?* cur *Coram omnibus?* Nonne remotis arbitris fieri reprehensionem oportuit? At tu quomodo publice judicium instituis, et multos accusationis testes reddis? Quis non dicet odio impellente hoc a te fieri, vel ex invidia vel studio contentionis? Nonne tu es ille, qui dicebas, *Factus sum infirmis ut infirmus* (1. *Cor.* 9. 22)? Quid porro est, *Infirmis ut infirmus?* Condescendens, et occultans illorum vulnera, inquit, neque permittens, ut in impudentiam prolaberentur. Ergone qui erga discipulos adeo sollicitus fuisti et benignus, erga coapostolum crudelis evasisti? Non audiisti Christum dicentem, *Cum peccaverit frater tuus, vade, corripe cum inter te et ipsum solum* (*Matth.* 18. 15)? At tu et publice corripis, et re perpetrata gloriaris. *Cum enim venisset Petrus*, inquit, *Antiochiam, in faciem ei restiti.* Neque publice tantum corripis, sed etiam velut in columna quadam literis exaratis pugnam illam insculpis, ad memoriam facti sempiternam : ut non illi tantum qui aderant, sed et omnes qui orbem terrarum incolunt homines, ex epistola rem illam cognoscant. Siccine tecum egerunt apostoli Jerosolymis, cum post annos quatuordecim ascendisti, ut evangelium cum illis conferres? Nonne tu dicis, *Post annos quatuordecim ascendi, et contuli cum eis evangelium, seorsum vero cum iis qui videbantur aliquid esse* (*Gal.* 2. 1. 2)? Quid igitur? Num seorsum conferre te volentem prohibuerunt, et in medium adduxerunt, atque omnibus prodiderunt? Dici non potest. Jam tu igitur seorsum confers, nec ullus contradicit : tu vero apostolum palam traducis? An vero tantum illic benevolentiam

(*a*) Antiochiæ habita est hæc oratio.

illorum expertus es? Ac non tum etiam, cum tot adessent millia Judæorum, nonne eadem erga te usi sunt sapientia? nonne te seorsim assumpto tibi dixerunt, *Vides frater, quot millia sunt Judæorum, qui convenerunt, et hi omnes æmulatores sunt legis, et audierunt de te, quia discessionem doceas a lege. Quid ergo est? Fac quod tibi dicimus. Sunt inter nos viri votum habentes super se: his assumptis radere cum illis, et sanctifica te cum illis, ut discant, quia quæ de te audierunt, falsa sunt* (*Act.* 21. 20.-24). Vides ut existimationi tuæ parcant? ut te dispensationis illius sub larva occultent, et sacrificio ac sanctificationibus te obtegant? Cur non eamdem tu quoque sollicitudinem exhibes?

4. Enimvero si vere pugna esset res ista et contentio, his accusationibus locus esset: jam vero certum est non esse pugnam, sed videri quidem, magnam vero Pauli et Petri sapientiam, et inter ipsos mutuam benevolentiam præ se ferre. Interim tamen hanc, quæ talis videtur esse, accusationem audiamus. *Cum autem venisset Petrus Antiochiam, in faciem ei restiti.* Quam ob causam? *Quia reprehensibilis erat.* Quodnam autem genus est reprehensionis? *Prius enim, quam venirent quidam a Jacobo, cum gentibus edebat: cum autem venissent, subtrahebat et segregabat se, timens eos qui ex circumcisione erant.* Quid ais? Timidus Petrus, et parum strenuus? Annon idcirco Petrus est appellatus, quod immobilem haberet fidem? Quid agis, mi homo? Reverere nomen, quod discipulo imposuit Dominus. Timidus Petrus et parum strenuus? Et quis hoc ab ullo sinat affirmari? Non hæc de illo testari potest Jerosolyma, primumque illud theatrum, et Ecclesia, in quam primus prosiliit, et beatam illam vocem primus emisit ac dixit: *Hunc Jesum Deus suscitavit, solutis doloribus inferni* (*Actor.* 2. 24). Et rursus, *Non enim David ascendit in cælum. Dicit autem ipse*, inquit, *Dixit Dominus Domino meo, Sede a dextris meis, donec ponam inimicos tuos scabellum pedum tuorum* (*Ib.* v. 34, 35.)

Petri constantia in Christo prædicando; Petrus aliis apostolis fiducia antecellit. — An ergo timidus est iste ac parum strenuus, qui tanto metu, tantisque periculis impendentibus, tanta cum fiducia ad illos sanguine pastos canes, ardentes ira, cædem adhuc spirantes est ingressus, ac dixit eum, qui ab ipsis fuerat crucifixus, et resurrexisse a mortuis, et in cælo versari, ad Patris dexteram sedere, ac malis innumeris inimicos suos obruere? Non tu illum potius, quæso, miraris, et in cælum effers, quod os diducere, quod labra aperire, quod stare, quod comparere solus cum illis potuerit, qui eum crucifixerant? Quis enim sermo, quæ mens fiduciam, quam illo die præ se tulit, ac loquendi libertatem exprimere poterit? Nulla omnino. Si enim ante passionem conspiraverant Judæi, ut si quis eum confiteretur esse Christum, extra synagogam fieret (*Joan.* 9. 22): post passionem et sepulturam audientes eum, non qui Christum confiteretur solum, sed et totam simul dispensationem summa constantia prædicaret, quo pacto non dilacerarunt, et membratim concisum diviserunt eum omnes, qui primus ipsorum furori ausus fuerat resistere?

5. Hoc enim demum est eximium, non quod fuerit Christum confessus, sed quod ante cæteros omnes, cum illi furerent adhuc cæde tumefacti, confidenter confessus fuerit. Ut igitur in bello atque acie, cohorte communita, illum præcipue laudamus, qui ante cæteros prosiluerit, ejusque frontem perruperit (non enim hujus tantum rei, sed et omnium, quæ cæteri patrarint, præclarorum facinorum causam præbuisse dicetur, qui initii et ingressus auctor fuerit): sic nimirum et de Petro reputare oportet, cum primus ingressus sit, et frontem Judaicæ cohortis perruperit, ac prolixam illam concionem habuerit, pari ratione viam cæteris apostolis aperuisse dicendus est. Quamvis Joannes, quamvis Jacobus, quamvis Paulus, quamvis alius quivis deinde facinus aliquod egregium ediderit, hic omnibus antecellit, qui viam cæteris sua fiducia stravit, et ingressum aperuit, illisque concessit, ut tamquam flumen, quod magno cum undarum impetu ferretur, confidenter intrarent, et eos qui adversarentur secum traherent, eorum vero qui benevole audirent, animas perpetuo rigarent. An igitur ille post crucem talis fuit? nonne ante crucem cunctis fuit ardentior? nonne os fuit apostolorum? nonne silentibus cunctis ipse loquebatur? *Quem me dicunt homines esse Filium hominis* (*Matth.* 16. 13)? ait Christus; et alii quidem Heliam dicebant, alii vero Jeremiam, alii vero unum ex prophetis. *Vos vero, quem me esse dicitis* (*Ibid.* v. 16)? inquit. Tum respondens Petrus, dixit: *Tu es Christus Filius Dei vivi. Vos*, dixit, et pro omnibus ipse loquutus est. Nam quemadmodum pro toto corpore os loquitur, sic apostolorum lingua erat Petrus, et pro omnibus ipse respondit. An igitur hic tantum fuit talis, alibi vero de hoc studio remittit? Nequaquam: sed per omnia, et in omnibus eumdem ardorem ostendit. Cum enim Christus dixisset, *Tradent Filium hominis, et flagellabunt, et crucifigent* (*Marc.* 10. 33. 34), ait ipse, *Propitius tibi, esto, Domine: non erit tibi hoc* (*Matth.* 16. 21). Non enim hoc nobis expendendum est, inconsideratam hanc fuisse responsionem, sed ab eximio et ferventi amore profectam. Rursus ascendit in montem, et transfiguratus est: apparuit interim illic Helias et Moyses colloquens. Rursus illic quoque Petrus: *Si vis, faciamus hic tria tabernacula* (*Matth.* 17. 4).

6. Vide quomodo magistrum amabat, ac diligentiam et prudentiam observa. Nam quia tum temporis, cum temere respondisset, os illi occlusum est, hic magistri potestati rem permittit, dicens, *Si vis*. Fieri posset, inquit, et nunc quoque inconsiderate loquerer amore impulsus. Ne igitur eadem reprehensione feriatur, *Si vis*, inquit. Convivium illud rursus erat sanctum ac tremendum: tumque dicente Jesu, *Unus vestrum me traditurus est* (*Matth.* 26. 21): rursus Petrus ob illam quidem quæ præcesserat, increpationem, interrogare magistrum non ausus est: sed ob amorem, quo flagrabat, tacere non poterat: sed et

ἀλλὰ μὴν καὶ ὅτε δὲ μυριάδες τοσαῦται Ἰουδαίων ἦσαν, οὐ μετὰ τῆς αὐτῆς ἐχρήσαντό σοι σοφίας; οὐ κατ' ἰδίαν λαβόντες σε ἔλεγον· *Θεωρεῖς, ἀδελφὲ, πόσαι μυριάδες εἰσὶν Ἰουδαίων τῶν συνελήλυθότων, καὶ οὗτοι πάντες ζηλωταὶ τοῦ νόμου εἰσὶ, καὶ κατήχηνται περὶ σοῦ, ὅτι ἀποστασίαν ἀπὸ τοῦ νόμου διδάσκεις. Τί οὖν ἐστι; Ποίησον ὃ σοι λέγομεν. Εἰσὶν ἄνδρες ἐν ἡμῖν ἔχοντες εὐχὴν ἐφ' ἑαυτοῖς· τούτους λαβὼν ξύρησαι* [365] *σὺν αὐτοῖς, καὶ ἁγνίσθητι μετ' αὐτῶν, ἵνα μάθωσιν, ὅτι ὧν κατήχηνται περὶ σοῦ, οὐδέν ἐστιν.* Εἶδες πῶς φείδονταί σου τῆς ὑπολήψεως; πῶς κρύπτουσί σε τῷ προσωπείῳ τῆς οἰκονομίας ἐκείνης, τῇ θυσίᾳ, τοῖς ἁγνισμοῖς σε περιστέλλοντες; Διὰ τί μὴ τοσαύτην κηδεμονίαν ἐπεδείξω καὶ σύ;

δ'. Ἀλλ' εἰ ἦν ἀληθῶς μάχη τὰ γενόμενα καὶ φιλονεικία, εἶχεν ἂν λόγον τὰ κατηγορήματα ταῦτα· νῦν δὲ οὐκ ἔστι μάχη, ἀλλὰ δοκεῖ μὲν εἶναι, μεγάλην δὲ καὶ τοῦ Παύλου καὶ τοῦ Πέτρου σοφίαν καὶ εὔνοιαν πρὸς ἀλλήλους ἐπιδείκνυται. Πλὴν τέως αὐτῆς τῆς δοκούσης εἶναι κατηγορίας ἀκούσωμεν. *Ὅτε δὲ ἦλθε Πέτρος εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην.* Διὰ τί; *Ὅτι κατεγνωσμένος ἦν.* Καὶ τίς ὁ τρόπος τῆς καταγνώσεως; *Πρὸ τοῦ γὰρ ἐλθεῖν τινας ἀπὸ Ἰακώβου, μετὰ τῶν ἐθνῶν συνήσθιεν· ὅτε δὲ ἦλθον, ὑπέστελλε καὶ ἀφώριζεν ἑαυτὸν, φοβούμενος τοὺς ἐκ περιτομῆς.* Τί λέγεις; δειλὸς ὁ Πέτρος καὶ ἀνανδρος; οὐ διὰ τοῦτο Πέτρος ἐκλήθη, ἐπειδὴ ἄσειστος ἦν κατὰ τὴν πίστιν; Τί ποιεῖς, ἄνθρωπε; Αἰδέσθητι τὴν προσηγορίαν τοῦ Δεσπότου, ἣν ἔθηκε τῷ μαθητῇ. Δειλὸς ὁ Πέτρος καὶ ἀνανδρος; καὶ τίς σου ταῦτα ἀνέξεται λέγοντος; Οὐ ταῦτα σύνοιδεν[a] αὐτῷ τὰ Ἱεροσόλυμα, καὶ τὸ πρῶτον ἐκεῖνο θέατρον, καὶ ἡ Ἐκκλησία, εἰς ἣν πρῶτος ἐπεπήδησε, καὶ τὴν μακαρίαν ἐκείνην πρῶτος ἀφῆκε φωνὴν, καὶ εἶπε· *Τοῦτον τὸν Ἰησοῦν ἀνέστησεν ὁ Θεὸς, λύσας τὰς ὠδῖνας τοῦ θανάτου.* Καὶ πάλιν· *Οὐ γὰρ Δαυὶδ ἀνέβη εἰς τὸν οὐρανόν.* Αὐτὸς δὲ λέγει, φησὶν, *Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.*

Οὗτος οὖν, εἰπέ μοι, δειλὸς καὶ ἀνανδρος, ὁ τοσούτου φόβου καὶ τοσούτων κινδύνων ἐπικρεμαμένων, μετὰ τοσαύτης παῤῥησίας πρὸς τοὺς αἱμοβόρους κύνας ἐκείνους, καὶ τῷ θυμῷ ζέοντας ἔτι, καὶ φόνου πνέοντας εἰσελθὼν καὶ εἰπὼν, ὅτι ὁ σταυρωθεὶς ὑπ' αὐτῶν, καὶ ἀνέστη, καὶ ἐν τοῖς οὐρανοῖς ἐστι, καὶ ἐκ δεξιῶν κάθηται τοῦ Πατρὸς, καὶ μυρίοις τοὺς ἐχθροὺς αὐτοῦ περιβάλλει κακοῖς; Ὅτι γὰρ διῆραι στόμα, ὅτι γὰρ ἀνοῖξαι χεῖλη, ὅτι στῆναι, ὅτι φανῆναι μόνον μεταξὺ τῶν σταυρωσάντων αὐτὸν ἴσχυσεν, οὐ θαυμάζεις αὐτὸν καὶ στεφανοῖς, εἰπέ μοι; Ποῖος γὰρ λόγος, τίς διάνοια τὴν παῤῥησίαν αὐτοῦ τὴν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ τὴν ἐλευθεροστομίαν παραστῆσαι δυνήσεται; Οὐκ ἔστιν οὐδείς. Εἰ γὰρ πρὸ τοῦ σταυροῦ συνέθεντο οἱ Ἰουδαῖοι, ἐάν τις αὐτὸν ὁμολογήσῃ Χριστὸν, ἀποσυνάγωγον ποιεῖν, μετὰ τὸν σταυρὸν καὶ τὴν ταφὴν ἀκούοντες οὐχὶ Χριστὸν ὁμολογοῦντος μόνον, ἀλλὰ καὶ πᾶσαν ὁμοῦ τὴν οἰκονομίαν μετὰ πάσης φιλοσοφίας ἀνακηρύττοντος, πῶς οὐ διεσπάσαντο, καὶ μεληδὸν αὐτὸν διείλοντο πάντες, πρῶτον πάντων τῆς μανίας αὐτῶν κατατολμήσαντα;

ε'. Τὸ γὰρ δὴ μέγα τοῦτό ἐστιν, οὐχ ὅτι Χριστὸν ὡμολόγησεν, ἀλλ' ὅτι πρὸ τῶν ἄλλων ἁπάντων μαινομένων αὐτῶν καὶ οἰδούντων ἀπὸ τοῦ φόνου, ὡμολόγησε μετὰ παῤῥησίας. Ὥσπερ οὖν ἐν πολέμῳ καὶ παρατάξει, φάλαγγος συμπεφραγμένης, ἐκεῖνον μάλιστα θαυμάζομεν τὸν πρὸ τῶν ἄλλων [366] πηδῶντα, καὶ τὸ μέτωπον αὐτῆς διαῤῥηγνύντα (οὐ γὰρ δὴ τούτου μόνου, ἀλλὰ καὶ τῶν μετὰ ταῦτα ὑφ' ἑτέρων γινομένων κατορθωμάτων οὗτος ἂν εἴη πάντων αἴτιος, ὁ τὴν ἀρχὴν καὶ τὴν εἴσοδον παρασχών), οὕτω δὴ καὶ ἐπὶ τοῦ Πέτρου λογίζεσθαι χρὴ, ὅτι πρῶτος εἰσελθὼν, καὶ τὸ μέτωπον τῆς φάλαγγος τῆς Ἰουδαϊκῆς διαῤῥήξας, καὶ τὴν μακρὰν ἐκείνην δημηγορίαν κατατείνας, οὕτω καὶ τοῖς ἄλλοις ἀποστόλοις ἔδωκεν εἴσοδον. Κἂν Ἰωάννης, κἂν Ἰάκωβος, κἂν Παῦλος, κἂν ἄλλος ὁστισοῦν μετὰ ταῦτα μέγα τι ποιῶν φαίνηται, ἁπάντων οὗτος πλεονεκτεῖ, ὁ προοδοποιήσας αὐτῶν τῇ παῤῥησίᾳ, καὶ διανοίξας τὴν εἴσοδον, καὶ δοὺς αὐτοῖς, καθάπερ ποταμῷ πολλῷ φερομένῳ ῥεύματι, μετὰ πολλῆς ἀδείας ἐπεισελθεῖν, καὶ τοὺς μὲν ἐναντιουμένους παρασύρειν, τῶν δὲ μετ' εὐνοίας ἀκουόντων τὰς ψυχὰς ἄρδειν διηνεκῶς. Ἆρ' οὖν μετὰ τὸν σταυρὸν τοιοῦτος; πρὸ δὲ τοῦ σταυροῦ οὐ πάντων θερμότερος; οὐχὶ τὸ στόμα τῶν ἀποστόλων ἦν; οὐχὶ πάντων σιγώντων αὐτὸς ἐφθέγγετο; *Τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν Υἱὸν τοῦ ἀνθρώπου;* φησὶν ὁ Χριστός· καὶ οἱ μὲν Ἠλίαν ἔλεγον, οἱ δὲ Ἱερεμίαν, οἱ δὲ ἕνα τῶν προφητῶν. *Ὑμεῖς δὲ τίνα με λέγετε,* φησὶν, *εἶναι;* Εἶτα ἀποκριθεὶς Πέτρος εἶπε· *Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος.* Ὑμεῖς, εἶπε, καὶ ἀντὶ πάντων τοῦ σώματος φθέγγεται, οὕτως ἡ γλῶττα τῶν ἀποστόλων Πέτρος ἦν, καὶ ἀντὶ πάντων αὐτὸς ἀπεκρίνατο. Ἆρ' οὖν ἐνταῦθα μόνον τοιοῦτος, ἀλλαχοῦ δὲ καθυφίησι τῆς σπουδῆς; Οὐδαμῶς· ἀλλὰ διὰ πάντων καὶ ἐν πᾶσι τὴν αὐτὴν ἐμφαίνει θερμότητα. Καὶ γὰρ εἰπόντος τοῦ Χριστοῦ· *Παραδώσουσι τὸν Υἱὸν τοῦ ἀνθρώπου, καὶ μαστιγώσουσι, καὶ σταυρώσουσιν,* αὐτός φησιν· *Ἵλεώς σοι, Κύριε· οὐ μὴ ἔσται σοι τοῦτο.* Μὴ γὰρ δὴ τοῦτο ἐξετάσωμεν, ὅτι ἀπερίσκεπτος ἡ ἀπόκρισις, ἀλλ' ὅτι γνησίου πόθου ἦν καὶ ζέοντος. Πάλιν ἀνέβη εἰς τὸ ὄρος, καὶ μετεμορφώθη· ὤφθη μεταξὺ Ἠλίας ἐκεῖ καὶ Μωϋσῆς διαλεγόμενος. Πάλιν κἀκεῖ ὁ Πέτρος· *Εἰ θέλεις, ποιήσωμεν ὧδε τρεῖς σκηνάς.*

ς'. Ὅρα πῶς ἐφίλει τὸν διδάσκαλον, καὶ σκόπει τὴν ἀκρίβειαν, καὶ τὴν σύνεσιν. Ἐπειδὴ γὰρ τότε ἁπλῶς ἀποκριθεὶς ἐπεστομίσθη, ἐνταῦθα τῇ ἐξουσίᾳ τοῦ διδασκάλου ἐπιτρέπει τὸ πρᾶγμα· *Εἰ θέλεις,* λέγων. Συμβαίνει γὰρ, φησὶ, καὶ νῦν ἀπερισκέπτως με πόθῳ κινούμενον εἰπεῖν. Ἵν' οὖν μὴ τὴν αὐτὴν ἐπιτίμησιν δέξηται· *Εἰ θέλεις,* φησί. Συμπόσιον ἦν ἐκεῖνο πάλιν τὸ ἅγιον καὶ φρικῶδες· καὶ τότε λέγοντος τοῦ Ἰησοῦ· *Εἷς ἐξ ὑμῶν παραδώσει με,* πάλιν ὁ Πέτρος διὰ μὲν τὴν ἐπιτίμησιν τὴν ἤδη γενομένην ἐρωτῆσαι τὸν διδάσκαλον οὐκ ἐτόλμησε· διὰ δὲ τὸν πόθον, ὃν εἶχε, σιγῆσαι οὐκ ἠνέσχετο· ἀλλ' ἐσπούδασε καὶ μαθεῖν, καὶ μὴ δόξαι προπετής τις εἶναι καὶ ἀπερίσκεπτος.

[a] Duo mss. λέγοντος, σύνοιδεν.

Πῶς οὖν καὶ τὴν ἐπιθυμίαν ἐπλήρωσε, καὶ ἀσφάλειαν ἑαυτῷ προσκονόμησεν; Ἵνα τῷ μὲν βουληθῆναι μαθεῖν τὸν ἀκάθεκτον δείξῃ πόθον, τῷ δὲ μὴ δι' ἑαυτοῦ τοῦτο ποιῆσαι, ἀλλ' ἕτερον προβαλέσθαι, τὴν εὐλάβειαν ἐμφαίνῃ καὶ τὴν ἐπιείκειαν ἅπασαν. Καὶ γὰρ στενά μοι πάντοθεν, φησί· περὶ προδοσίας ἐστὶ [367] λόγος τοῦ Δεσπότου· μέγας ὁ κίνδυνος, ὁ κρημνὸς ἑκατέρωθεν. Ἂν σιγήσω, ἡ μέριμνα κατεσθίει μου τὴν ψυχήν· ἂν εἴπω, δέδοικα μή ποτε ἐπιτίμησιν δέξωμαι πάλιν. Μέσην οὖν ἦλθεν ὁδὸν, καὶ ὁ πανταχοῦ προπηδῶν, τότε τῆς Ἰωάννου παῤῥησίας ἐδεῖτο, ὥστε μαθεῖν τὸ λεγόμενον. Οὐδὲν γὰρ ἕτερον ἀνέπνει, καὶ εἶχεν ἐν τῇ ψυχῇ διηνεκῶς, ἀλλ' ἢ τὸν διδάσκαλον μόνον. Διὰ τοῦτο καὶ δεσμωτηρίων καὶ μυρίων μετὰ ταῦτα κατετόλμα θανάτων, καὶ πάσης τῆς παρούσης κατεγέλα ζωῆς. Δι' ἐκεῖνον καὶ μάστιγας λαβὼν, καὶ τοὺς μώλωπας ἔχων ἐπὶ τοῦ νώτου, πρὸς τοὺς μαστίξαντας ἔλεγεν· *Οὐ δυνάμεθα ἡμεῖς ἃ εἴδομεν καὶ ἠκούσαμεν μὴ λαλεῖν.* Εἶδες φρόνημα ἀδούλωτον; εἶδες παῤῥησίαν ἀχείρωτον; εἶδες ψυχὴν οὐρανίου πόθου καὶ ἔρωτος γέμουσαν; Πῶς οὖν τολμᾷς λέγειν, ὅτι φοβούμενος τοὺς ἐκ περιτομῆς, ὑπέστελλεν ἑαυτὸν καὶ ἀφώρισε; Καὶ πολλὰ δὲ ἕτερα ἐνῆν εἰπεῖν περὶ Πέτρου, δεικνύντα αὐτοῦ τὴν θερμότητα, καὶ τὴν ἀνδρείαν, καὶ τὸν πόθον, ὃν εἶχε περὶ τὸν Χριστόν· ἀλλ' ἵνα μὴ μηκύνωμεν ἀκαίρως τὸν λόγον, ἀρκεῖ τὰ εἰρημένα. Οὐδὲ γὰρ ἐγκώμιον αὐτοῦ τήμερον εἰπεῖν πρόκειται, ἀλλὰ τὴν δοκοῦσαν εἶναι ζήτησιν λῦσαι, καὶ εἰς πέρας ἀγαγεῖν.

ζ'. Σὺ δὲ καὶ ἐτέρωθεν σκόπει, πῶς οὐκ ἔστι πιθανὴ ἡ κατηγορία. Τότε μὲν γὰρ παρὰ τὴν ἀρχὴν, ὅτε ἔλεγε· *Τοῦτον τὸν Ἰησοῦν, ὃν ὑμεῖς ἐσταυρώσατε, ἀνέστησεν ὁ Θεὸς, λύσας τὰς ὠδῖνας τοῦ θανάτου,* τότε μεταξὺ ἐχθρῶν ἦν, ἔτι φονώντων, ἔτι τῷ θυμῷ ζεόντων, ἔτι βουλομένων διασπάσασθαι τοὺς μαθητάς. Ἥκμαζε γὰρ αὐτοῖς ἔτι τὸ πάθος, καὶ ᾖδει ἡ διάνοια τῷ θυμῷ. Νυνὶ δὲ, ὅτε ταῦτα Παῦλος ἔγραφεν, ἑπτὰ καὶ δέκατον ἔτος εἶχε τὸ κήρυγμα. Εἰπὼν γάρ· *Μετὰ τρία ἔτη ἀνέβην εἰς Ἱεροσόλυμα,* λέγει πάλιν, ὅτι *Μετὰ δεκατέσσαρα ἔτη ἀνέβην εἰς Ἱεροσόλυμα.* Ὁ τοίνυν τότε ἐν προοιμίοις τοῦ κηρύγματος μὴ φοβηθεὶς, νῦν μετὰ χρόνον τοσοῦτον φοβεῖται; ὁ ἐν Ἱεροσολύμοις μὴ δείσας, ἐν Ἀντιοχείᾳ δέδοικεν; ὁ, πολεμίων κυκλωσάντων αὐτὸν, μὴ πτοηθεὶς τότε [a], νῦν οὐδὲ πολεμίων παρόντων, ἀλλὰ πιστῶν καὶ μαθητῶν, ἀγωνιᾷ, καὶ δέδοικε, καὶ οὐκ ὀρθοποδεῖ; Καὶ πῶς ἂν ἔχοι ταῦτα λόγον, ἀναπτομένης μὲν τῆς πυρᾶς καὶ εἰς ὕψος ἐγειρομένης καταπολμᾷν, σβεσθεῖσαν δὲ καὶ γενομένην τέφραν δεδοικέναι καὶ τρέμειν; Εἰ δειλὸς ἦν καὶ ἀνανδρος ὁ Πέτρος, ἐν ἀρχῇ τοῦ κηρύγματος, ἐν τῇ μητροπόλει τῶν Ἰουδαίων, ὅπου πάντες ἦσαν οἱ πολέμιοι, τότε ἂν ἔδεισεν, οὐ μετὰ χρόνον τοσοῦτον ἐν τῇ χριστιανικωτάτῃ πόλει, οὐδὲ φίλων καὶ γνησίων παρόντων. Ὥστε οὔτε ὁ καιρὸς, οὔτε ὁ τόπος, οὔτε ἡ ποιότης τῶν προσώπων ἀφίησιν ἡμᾶς πιστεῦσαι τοῖς λεγομένοις οὕτως ὡς εἴρηται, καὶ καταγνῶναι τοῦ Πέτρου δειλίαν. Ἐπῃνέσατε τὰ εἰρημένα; Καίτοι γε [368] ἐν ἀρχῇ τὸν Παῦλον ἐθαυμάζετε, καὶ τῆς παῤῥησίας αὐτὸν ἐξεπλήττεσθε· ἀλλ' ἰδοὺ περιέτρεψε τὴν κατηγορίαν ὁ λόγος. Ἀλλ' ὥσπερ ἀρχόμενος ἔλεγον, ὅτι οὐδέν μοι ὄφελος, ἐὰν Παύλου καλῶς ποιοῦντος, ὁ Πέτρος δειχθῇ μὴ καλῶς ποιῶν (τὰ γὰρ ἐγκλήματα καὶ ἡ καθ' ἡμῶν αἰσχύνη μένει, ἄν τε οὗτος, ἄν τε ἐκεῖνος διημαρτηκὼς τύχῃ), οὕτω καὶ νῦν τὸ αὐτὸ λέγω πάλιν, ὡς οὐδέν μοι ὄφελος, ἂν Πέτρου τὴν κατηγορίαν ἀποσκευασαμένου, ὁ Παῦλος φαίνηται θαρσαλέως καὶ ἀπερισκέπτως τοῦ συναποστόλου κατηγορῶν. Φέρε οὖν, καὶ τοῦτον τῶν ἐγκλημάτων ἀπολύσωμεν. Τί οὖν; ὁ μὲν Πέτρος τοιοῦτος, ὁ δὲ Παῦλος οὐ τοιοῦτος; καὶ τί Παύλου θερμότερον γένοιτ' ἂν, ὃς καθ' ἑκάστην ἡμέραν ἀπέθνησκε διὰ τὸν Χριστόν; Ἀλλὰ νῦν οὐ περὶ ἀνδρείας ἡμῖν ὁ λόγος, (τί γὰρ πρὸς τὸ προκείμενον τοῦτο;) ἀλλ' εἰ ἀπεχθῶς πρὸς τὸν ἀπόστολον διέκειτο, ἢ εἰ κενοδοξίας τινὸς καὶ φιλονεικίας ἦν αὕτη ἡ μάχη. Ἀλλ' οὐδὲ τοῦτο ἔστιν εἰπεῖν· μὴ γένοιτο· Οὐδὲ γὰρ Πέτρου τοῦ κορυφαίου τῶν ἁγίων ἐκείνων μόνον, ἀλλὰ καὶ πάντων δοῦλος ἦν ἁπλῶς τῶν ἀποστόλων ὁ Παῦλος, καὶ ταῦτα πλεονεκτῶν ἁπάντων κατὰ τοὺς κόπους· ἀλλ' ὅμως πάντων ἑαυτὸν ἔσχατον εἶναι ἐνόμιζεν. *Ἐγὼ γάρ εἰμι,* φησὶν, *ὁ ἐλάχιστος τῶν ἀποστόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος·* οὐ μόνον δὲ τῶν ἀποστόλων, ἀλλὰ καὶ τῶν ἁγίων ἁπλῶς ἁπάντων. Ἐμοὶ γὰρ, φησὶ, *τῷ ἐλαχίστῳ* [b] *πάντων τῶν ἁγίων ἐδόθη ἡ χάρις αὕτη.*

η'. Εἶδες συντετριμμένην ψυχήν; εἶδες πῶς ἑαυτὸν κατώτερον πάντων ἵστησι τῶν ἁγίων, οὐχὶ τῶν ἀποστόλων μόνον; Ὁ δὲ οὕτω περὶ πάντας διακείμενος, ἤδει καὶ πόσης τὸν Πέτρον προεδρίας ἀπολαύειν ἐχρῆν, καὶ ἤδειτο μάλιστα πάντων ἀνθρώπων τοῦτον, καὶ ὡς ἄξιος ἦν, οὕτω περὶ αὐτὸν διέκειτο. Καὶ τοῦτο ἐκεῖθεν δῆλον. Ἡ οἰκουμένη πᾶσα πρὸς αὐτὸν ἔβλεπεν, αἱ φροντίδες τῶν πανταχοῦ τῆς γῆς Ἐκκλησιῶν τῆς ἐκείνου ψυχῆς ἦσαν ἐξηρτημέναι, μυρία ἐμερίμνα καθ' ἑκάστην ἡμέραν πράγματα, πάντοθεν αὐτὸν ἐκύκλουν χηδεμονίαι, προστασίαι, διορθώσεις, συμβουλαὶ, παραινέσεις, διδασκαλίαι, μυρίων οἰκονομίαι πραγμάτων· καὶ πάντα ἐκεῖνα ἀφεὶς, ἀπῆλθεν εἰς Ἱεροσόλυμα, καὶ πρόφασις τῆς ὁδοῦ οὐδεμία ἑτέρα ἦν, ἀλλ' ἢ τὸ Πέτρον ἰδεῖν, καθὼς αὐτός φησιν· *Ἀνέβην εἰς Ἱεροσόλυμα ἱστορῆσαι Πέτρον·* οὕτως αὐτὸν ἐτίμα, καὶ πρὸ πάντων ἦγε. Τί οὖν; ἰδὼν αὐτὸν εὐθέως ἀνεχώρησεν; Οὐδαμῶς· ἀλλ' ἐπέμεινε πρὸς αὐτὸν ἡμέρας δεκαπέντε. Εἴ τινα οὖν στρατηλάτην ἴδοις, εἰπέ μοι, γενναῖον καὶ θαυμαστὸν, τοῦ πολέμου συγκεχροτημένου, τῆς παρατάξεως συνεστώσης, τῆς μάχης ζεούσης, μυρίων αὐτὸν πάντοθεν καλούντων πραγμάτων, ἀφέντα τὴν παράταξιν, καὶ πρὸς ἐπίσκεψίν τινος ἀπελθόντα φίλου, ἆρα ἑτέραν μείζονα ταύτης ζητεῖς ἀπόδειξιν, εἰπέ μοι, τῆς πρὸς τὸν ἄνθρωπον ἐκεῖνον εὐνοίας; Οὐκ ἔγωγε οἶμαι. Τοῦτο τοίνυν καὶ ἐπὶ Παύλου καὶ Πέτρου λογίζου. Καὶ γὰρ καὶ ἐνταῦθα πόλεμος συνειστήκει χαλεπὸς, καὶ παράταξις ἦν, καὶ μάχη, οὐ πρὸς ἀνθρώπους μόνον, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς [369] κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, καὶ μάχη περὶ τῆς τῶν ἀνθρώπων σωτηρίας· ἀλλ'

[a] Duo mss. ἑαυτὸν καταφρονήσας τότε.

[b] Alii ἐλαχιστοτέρῳ.

discere nitebatur, et temerarius et inconsideratus non videri. Quo pacto igitur et cupiditatem explevit, et caute suæ securitati providit? Ut eo ipso quod discere vellet, invictum amorem ostenderet : quod autem hoc ipse per se non faceret, sed alterum objiceret, pietatem et modestiam omnem præ se ferret. Undique enim mihi angustiæ, inquit : de proditione Domini agitur, ingens est periculum, præcipitium utrinque. Si tacuero, exedit animam sollicitudo : si dixero, vereor ne forte rursus increpationem excipiam. Mediam itaque viam tenuit, et qui ubique prosiliebat ante cæteros, tum fiducia Joannis indigebat, ut id, de quo agebatur, cognosceret. Nihil enim aliud spirabat, et in animo perpetuo habebat, quam magistrum tantum. Propterea carceres et innumera deinde mortis genera subibat audacter, totamque vitam præsentem spernebat. Propter illum et cum verberibus cæsus esset, et tergum haberet vibicibus exaratum, sic eos a quibus cæsus verberibus fuerat, alloquebatur : *Non possumus nos quæ vidimus et audivimus non loqui* (*Act.* 4. 20). Vides indomitum animum? vides fiduciam invictam? vides animam cælesti desiderio et amore redundantem? Quomodo ergo dicere audes illum, quod metueret eos, qui ex circumcisione erant, se subtraxisse, ac segregasse? Multa quoque alia de Petro dici poterant, quæ ipsius ardorem, fortitudinem, amorem, quem habebat in Christum, ostenderent : sed ne longius sermonem et importune producamus, sufficient ea quæ dicta sunt. Neque enim de laudibus ejus orationem habere nobis propositum est, sed quæstionem solvere, quæ se videbatur offerre, atque ad finem perducere.

7. Tu vero aliunde quoque perpende, quam parum probabilis sit accusatio. Nam tum quidem sub ipsum principium, quando dicebat, *Hunc Jesum, quem vos crucifixistis, suscitavit Deus, solutis doloribus mortis* (*Act.* 2. 24), tum inter inimicos erat, adhuc cædem anhelantes, adhuc ira ferventes, adhuc discipulos volentes discerpere. Vigebat enim adhuc illorum perturbatio, et mens ira tumebat. Nunc autem, cum Paulus ista scriberet, decimus septimus agebatur annus, ex quo cœperat evangelium prædicari. Cum enim dixisset, *Post annos tres ascendi Jerosolymam* (*Gal.* 1. 18), ait rursus, *Post annos quatuordecim ascendi Jerosolymam* (*Gal.* 2. 1). Qui ergo in prædicationis exordiis non timuit, nunc post tantum elapsum tempus timet? qui non metuerat Jerosolymis, Antiochiæ metuebat? qui cum ab hostibus circumsessus esset, tum non est territus; nunc cum nec ulli hostes adsunt, sed fideles ac discipuli, metu angitur et reformidat, nec recte ambulat? Quis hoc rationi consentaneum arbitretur, dum succenditur rogus, et in altum exsurgit, audacter in eum pergere, exstinctum autem et redactum in cinerem reformidare et contremiscere? Si timidus fuisset et minime strenuus Petrus, initio prædicationis, in metropoli Judæorum, ubi hostes erant omnes, tunc reformidasset, non post tantum tempus in urbe Christianissima, neque præsentibus amicis et familiaribus. Itaque nec tempus, nec locus, neque conditio personarum nos ita verbis illis finem sivit habere, ut dictum est, et Petrum timoris accusare. Laudastis quæ dicta sunt? Atqui Paulum initio mirabamini, ejusque fiduciam obstupescebatis : at ecce accusationem invertit oratio. Sed ut initio dicebam nihil mihi prodesse, si Paulo recte faciente, Petrum constet non recte fecisse (manet enim crimen, et pudor in nos redundat, sive hic sive ille peccaverit) : ita nunc etiam idem rursus dico, nihil mihi prodesse, si accusationem a se amoliente Petro, Paulum apparet audacter et inconsiderate coapostolum accusasse. Age igitur hunc etiam crimine liberemus. Quid ergo? Talis quidem erat Petrus, Paulus vero talis non erat? Et quid Paulo ardentius, qui propter Christum quotidie moriebatur? Verumtamen non agitur nunc apud nos de fortitudine, (quid enim hoc facit ad propositum?) sed num odio quopiam prosequeretur apostolum, vel num vanæ gloriæ causa vel contentionis esset illa pugna exorta. Sed ne hoc quidem dici potest; absit. Non enim Petri sanctorum illorum principis solum, sed et omnium in universum apostolorum servus erat Paulus, idque cum omnes exantlandis laboribus superaret, attamen omnium se ultimum reputabat. *Ego enim*, inquit, *sum minimus apostolorum, qui non sum dignus vocari apostolus* (1 *Cor.* 15. 9) : non solum autem apostolorum, sed et sanctorum plane omnium. *Mihi* enim, inquit, *omnium sanctorum minimo data est hæc gratia* (*Ephes.* 3. 8).

8. Vides animam humilem? vides ut se omnium sanctorum infimum statuat, non apostolorum tantum? Porro qui sic erga omnes affectus erat, sciebat et quanta honoris prærogativa Petro deberetur, eumque præ cæteris omnibus colebat hominibus, et ut dignus erat, ita erga illum affectus erat. Atque hoc inde constat. In illum totius orbis terrarum oculi erant conversi, Ecclesiarum universæ terræ cura ab illius anima pendebat, de rebus innumeris quotidie sollicitus erat, undique illum circumsidebant procurationes, præfecturæ, correctiones, consilia, cohortationes, doctrinæ, mille negotiorum expeditiones : et omnibus illis omissis Jerosolymam se contulit, nec illius susceptι itineris alia fuit occasio ulla, nisi ut Petrum videret, sicut ait ipse : *Ascendi Jerosolymam videre Petrum* (*Gal.* 1. 18), sic ipsum honorabat, et omnibus præferebat. Quid ergo? cum ipsum vidisset, confestim recessit? Nequaquam : sed apud ipsum diebus quindecim mansit. Si quem igitur magistrum militum videas, dic, sodes, generosum et eximium, indicto jam bello, militum acie jam disposita, jam pugna commissa, cum innumera illum vocarent negotia, relicta acie ad visitandum quempiam amicum se alio conferre, num quam aliam majorem, quæso, demonstrationem quæreres ipsius erga hominem illum benevolentiæ? Non equidem arbitror. Hoc igitur et de Paulo Petroque existima. Siquidem hic quoque bellum grave conflatum erat, et acies et pugna erat non adversus homines tantum, sed et adversus principes, adversus potestates, adversus mundi rectores tene-

brarum sæculi hujus (*Eph.* 6. 12), et de salute hominum pugna: sic tamen Petrum reverebatur, ut cum tanta imminerct, urgeretque necessitas, ad illum excurreret Jerosolymam, et cum apud eum quindecim dies mansisset, tum demum rediret. Cognovistis fortitudinem Petri, didicistis comitatem Pauli erga omnes apostolos, erga ipsum Petrum : jam necesse est ad ipsam quæstionis solutionem veniamus. Si enim et hic Petrum amabat, et ille timidus aut parum strenuus non erat, et contentio ac contradictio illa ex animo suscepta non erat, quid sibi vult ista narratio? aut qua de causa hæc dispensatio fiebat?

9. Hoc loco advertite, animosque vestros erigite, ac diligenter attendite, ut manifestam defensionem intelligatis. Quippe absurdum esset me qui terram effodio, tantum laborem exantlare, vos autem, qui nullo negotio visuri estis aurum, præ nimia socordia tantum lucrum prætermittere. Necesse est autem, ut orationis initium altius repetamus, ut clariorem vobis doctrinam reddamus. Postquam enim in cælos Jesus reversus est, expleta quam nostra causa susceperat dispensatione, verbum doctrinæ suis reliquit apostolis, ut ait Paulus, *Et posuit in nobis verbum reconciliationis;* et rursus, *Pro Christo legatione fungimur, tanquam Deo exhortante per nos* (2. *Cor.* 5. 19. 20) : hoc est, vice Christi. Tunc igitur cum per universum orbem terrarum isti prædicabant, nulla erat hæresis; sed natura omnis humana duo habebat hæc dogmata, unum rectum et sanum, alterum corruptum et pravum. Aut enim gentiles omnes erant orbis incolæ, aut Judæi : neque Manichæus, neque Marcion, neque Valentinus, nec alius ullus omnino erat : quid enim attinet omnes hæreses enumerare? siquidem post triticum tunc proseminata sunt zizania, varia nimirum hæresum corruptela. Ac Judæos quidem Petro commisit, gentilibus autem Paulum præfecit Christus. Et hoc a me ipso non dico, sed ipsius Pauli verba licet audire : *Qui enim operatus est Petro in apostolatum circumcisionis, operatus est et mihi*, inquit, *inter gentes* (*Gal.* 2. 8) : circumcisionem hoc loco ipsam nationem appellans. Unde vero id constat? Ex eo quod additur. Cum enim dixerit, *Qui operatus est Petro in apostolatum circumcisionis, operatus est mihi*, inquit, *inter gentes*, hoc nimirum indicavit, ad distinctionem gentium circumcisionem positam esse. Ad distinctionem vero gentium non circumcisio, sed Judæi sunt, quos per circumcisionem subindicavit : quasi diceret, Qui operatus est Petro in apostolatum Judæorum, operatus est et mihi inter gentes. Ut enim rex sapiens, qui idoneos quosque probe noverit, alteri quidem in equites, alteri vero in pedites committit imperium : sic nimirum et Christus cum in has duas partes suum exercitum divisisset, Judæos quidem Petro, gentiles autem Paulo commisit. Ac licet diversi sint exercitus, Rex tamen est unus. Ut enim illic discrimen exercituum in armorum apparatu, non in hominum natura consistit : sic nimirum et hic differentia in exigua quadam carnis figura, non in substantiæ diversitate cernitur.

10. *Cur præfectus fuerit Paulus gentilibus, Petrus Judæis.* — Quemadmodum ergo dicebam, ambo erant his exercitibus præfecti. Ac nisi forte prolixior videtur oratio, si defessi non estis, alteram etiam vobis causam proferam, ob quam isti Judæi, illi vero gentiles sunt crediti. Siquidem quæstione non indigna res est, quam tandem ob causam, qui tam exacte patriam legem didicerat, qui ad pedes Gamalielis diu vixerat, qui secundum justitiam, quæ in lege est, sine querela conversatus erat, non illi Judæorum cura demandatur, sed gentilium; piscatori autem et illiterato Petro, qui nihil tale noverat, Judæorum est credita præfectura. Confert enim quidpiam nobis ad solutionem quod dicitur, si recte illud possimus effari. Neque enim hoc causari licet, eum cum cunctantem ac detrectantem vidisset Paulum cognatorum suorum præfecturam defugere, noluisse illi vim facere, et eum cogere. Imo vero contrarium præ se tulerat. Non enim tantum Judæorum præfecturam non defugit, sed et se primus obtulit, et cum Christus præciperet ut ad gentes abiret, ipse petit ut sibi Judæorum cura committatur : et innumera cum ab eis illata mala pertulisset, eique gentes docendi provincia esset credita, pro illis deprecari non cessat, dicens nunc quidem, *Optabam esse anathema pro fratribus meis, cognatis meis secundum carnem* (*Rom.* 9. 3) : nunc autem, *Fratres, voluntas mea, et obsecratio ad Deum, pro illis est in salutem* (*Rom.* 10. 1). Cur igitur cum vellet ipse, ac percuperet illos docere, non permisit ut ipsis prædicaret, sed loco illorum doctorem ipsum gentibus misit? Audiamus Christum ipsum dicentem, et Paulum rem omnem narrantem : *Factum est mihi*, inquit, *oranti fieri me in stupore mentis, et videre Christum dicentem mihi : Festina, et exi velociter, quoniam non recipient testimonium tuum de me* (*Act.* 22. 17. 18). Et causam dixit profectionis; odio habebunt te, inquit, et aversabuntur : propterea te docentem non ferent. Atqui hoc ipsum idoneum erat ad fidem illi apud eos docenti conciliandam, et ad persuadendum illis illam mutationem humanam non fuisse. Neque enim adeo furentem et ira succensum, ac ædem spirantem, neque miracula facienti Christo credentem, neque apostolis ejus, mortuos suscitantibus, potuisset homo unquam in medio ipso furore mutare, atque illum ita flectere, ut vehementem illum affectum, quem adversus prædicationem verbi præ se ferebat, totum atque adeo majorem pro confessione Christi præ se ferret : sed vere divinæ virtutis opus exstitit illa conversio ac mutatio.

11. Atque hoc ipsum etiam Paulus, cum cuperet illorum præfecturam sibi deferri, Christum alloquens objiciebat : *Domine, ipsi sciunt, quia ego eram concludens in carcerem, et cædens eos qui credebant in nomen tuum; et cum funderetur sanguis Stephani, martyris tui, ego consentiebam cædi ejus* (*Act.* 22. 19. 20). Et ingens illa insania tam subito factam mutationem non esse ostendit humanam, sed divinam, et a cælis originem ducere. Quid ergo Christus? *Vade, quoniam ad gentes longe te mittam* (*Act.* 22. 21). Nonne igitur,

δμως οὕτως ἠδεῖτο τὸν Πέτρον, ὥστε καὶ τοσαύτης ἀνάγκης ἐπικειμένης καὶ κατεπειγούσης, ἐκδραμεῖν δι' ἐκεῖνον εἰς Ἱεροσόλυμα, καὶ μεῖναι πρὸς αὐτὸν ἡμέρας δεκαπέντε, καὶ τότε ἐπανελθεῖν. Ἔγνωτε τὴν ἀνδρείαν τοῦ Πέτρου, ἐμάθετε τὴν φιλοφροσύνην Παύλου, τὴν περὶ τοὺς ἀποστόλους πάντας, τὴν περὶ αὐτὸν τὸν Πέτρον· ἀνάγκη λοιπὸν ἐπὶ τὴν λύσιν ἐλθεῖν τοῦ ζητήματος. Εἰ γὰρ καὶ οὗτος ἐφίλει τὸν Πέτρον, κἀκεῖνος δειλὸς οὐκ ἦν καὶ ἄνανδρος, καὶ ἡ φιλονεικία καὶ ἡ ἀντίστασις οὐκ ἀπὸ ψυχῆς ἐγένετο, τί ποτέ ἐστι τὸ λεγόμενον; καὶ τίνος ἕνεκεν ταῦτα ᾠκονομεῖτο;

θ'. Ἐνταῦθα προσέχετε, καὶ διανάστητέ μοι, καὶ συντείνατε ἑαυτοὺς, ὥστε δέξασθαι σαφῆ τὴν ἀπόλογίαν. Καὶ γὰρ ἄτοπον ἐμὲ μὲν τὸν διασκάπτοντα τοσοῦτον πόνον ὑπομένειν, ὑμᾶς δὲ τοὺς ἐξ εὐκολίας μέλλοντας τὸ χρυσίον ὁρᾷν, τῇ ῥᾳθυμίᾳ τὸ κέρδος τοῦτο παραδραμεῖν. Ἀνάγκη δὲ μικρὸν ἀνωτέρω τὸν λόγον ἀγαγεῖν, ὥστε σαφεστέραν ὑμῖν ποιῆσαι τὴν διδασκαλίαν. Ἐπειδὴ γὰρ ἀνῆλθεν εἰς τοὺς οὐρανοὺς ὁ Ἰησοῦς, τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πληρώσας, τὸν λόγον τῆς διδασκαλίας κατέλιπε τοῖς ἑαυτοῦ ἀποστόλοις, καθὼς Παῦλός φησι· *Θέμενος ἐν ἡμῖν τὸν λόγον τῆς καταλλαγῆς*· καὶ πάλιν· *Ὑπὲρ Χριστοῦ πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν*, τουτέστιν, ἀντὶ Χριστοῦ. Τότε τοίνυν, ἡνίκα ἐκήρυττον οὗτοι κατὰ τὴν οἰκουμένην ἅπασαν, αἵρεσις οὐδεμία ἦν· πᾶσα δὲ ἡ φύσις τῶν ἀνθρώπων δύο ταῦτα δόγματα εἶχε, τὸ μὲν ὑγιὲς, τὸ δὲ διεφθαρμένον. Ἡ γὰρ Ἕλληνες, ἢ Ἰουδαῖοι, οἱ τὴν γῆν οἰκοῦντες ἅπαντες ἦσαν· οὔτε δὲ Μανιχαῖος, οὔτε Μαρκίων, οὔτε δὲ Οὐαλεντῖνος, οὐκ ἄλλος οὐδεὶς ἁπλῶς· τί γὰρ δεῖ πάσας καταλέγειν τὰς αἱρέσεις; καὶ γὰρ μετὰ τὸν σῖτον τότε τὰ ζιζάνια ἐσπάρη, ἡ παντοδαπὴ τῶν αἱρέσεων διαφθορά. Τοὺς μὲν οὖν Ἰουδαίους ἐπέτρεψε τῷ Πέτρῳ, τοῖς δὲ Ἕλλησι τὸν Παῦλον ἐπέστησεν ὁ Χριστός. Καὶ τοῦτο οὐκ ἀφ' ἑαυτοῦ[a] λέγω, ἀλλ' αὐτοῦ τοῦ Παύλου λέγοντος ἔστιν ἀκοῦσαι· *Ὁ γὰρ ἐνεργήσας Πέτρῳ εἰς ἀποστολὴν τῆς περιτομῆς, ἐνήργησε κἀμοὶ*, φησὶν, *εἰς τὰ ἔθνη*· περιτομὴν ἐνταῦθα αὐτὸ τὸ ἔθνος καλῶν. Καὶ πόθεν δῆλον; Ἐκ τῆς ἐπαγωγῆς. Εἰπὼν γὰρ, *Ὁ ἐνεργήσας Πέτρῳ εἰς ἀποστολὴν τῆς περιτομῆς, ἐνήργησε κἀμοὶ*, φησὶν[b], *εἰς τὰ ἔθνη*, δεικνύντος ἐστὶν, ὅτι πρὸς ἀντιδιαστολὴν τῶν ἐθνῶν περιτομὴν εἶπε. Πρὸς δὲ ἀντιδιαστολὴν τῶν ἐθνῶν, οὐχὶ περιτομὴ, ἀλλ' Ἰουδαῖοί εἰσιν, οὓς διὰ τῆς περιτομῆς ἠνίξατο· ὡσανεὶ ἔλεγεν, Ὁ ἐνεργήσας Πέτρῳ εἰς ἀποστολὴν τῶν Ἰουδαίων, ἐνήργησε κἀμοὶ εἰς τὰ ἔθνη. Καθάπερ γάρ τις βασιλεὺς σοφὸς, τὸν ἐπιτήδειον μετὰ ἀκριβείας εἰδὼς, ἑτέρῳ μὲν τοὺς ἱππεῖς, ἑτέρῳ δὲ τῶν πεζῶν ἐγχειρίζει τὴν προστασίαν· οὕτω δὴ καὶ ὁ Χριστὸς, τὸ στρατόπεδον τὸ ἑαυτοῦ διελὼν εἰς δύο ταῦτα μέρη, τοὺς μὲν Ἰουδαίους Πέτρῳ, τοὺς δὲ Ἕλληνας ἐπέτρεψε Παύλῳ. Εἰ δὲ διάφορα τὰ στρατόπεδα, [370] ἀλλ' εἷς ὁ βασιλεύς. Ὥσπερ γὰρ ἐκεῖ ἡ διαφορὰ τῶν στρατοπέδων ἐν τῇ κατασκευῇ τῶν ὅπλων, οὐκ ἐν τῇ φύσει τῶν ἀνθρώπων ἐστίν· οὕτω δὴ καὶ ἐνταῦθα ἡ διαφορὰ ἐν σχήματι μικρῷ τινι τῆς σαρκὸς, οὐκ ἐν τῇ τῆς οὐσίας ἐναλλαγῇ φαίνεται.

[a] Cod. 748 ἀπ' ἐμαυτοῦ.
[b] Hoc φησὶν omittit Cod. 748, qui mox δείκνυσιν ὅτι.

ι'. Ὥσπερ οὖν ἔλεγον, ἦσαν ἀμφότεροι τὰ στρατόπεδα ταῦτα ἐγκεχειρισμένοι. Καὶ εἰ μὴ μηκύνω τὸν λόγον, εἰ μὴ ἀπεκάμετε, ἐρῶ καὶ τὴν αἰτίαν ὑμῖν, δι' ἣν οὗτος μὲν τοὺς Ἰουδαίους, ἐκεῖνος δὲ τοὺς ἐξ ἐθνῶν ἐπιστεύθησαν. Καὶ γὰρ ἄξιον ζητήσεως, τί δήποτε Παῦλος μὲν, ὁ μετὰ ἀκριβείας τὸν πατρῷον νόμον παιδευθεὶς, ὁ παρὰ τοὺς πόδας Γαμαλιὴλ διατρίβων, ὁ κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ γενόμενος ἄμεμπτος, οὐκ ἐγχειρίζεται τοὺς Ἰουδαίους, ἀλλὰ τοὺς Ἕλληνας· ὁ δὲ ἁλιεὺς, καὶ ἀγράμματος, καὶ μηδὲν τοσοῦτον εἰδὼς Πέτρος, τὴν τῶν Ἰουδαίων ἐνεπίστευθη προστασίαν. Συντελεῖ γάρ τι καὶ πρὸς τὴν λύσιν ἡμῖν τὸ λεγόμενον, ἂν αὐτὸ δυνηθῶμεν φράσαι καλῶς. Οὐ γὰρ δὴ τοῦτο ἔστιν εἰπεῖν ὅτι ὀκνοῦντα καὶ ἀναδυόμενον ἰδὼν τὸν Παῦλον καὶ φεύγοντα τῶν οἰκείων τὴν προστασίαν, οὐκ ἠθέλησε βιάσασθαι καὶ ἀναγκάσαι. Τοὐναντίον μὲν οὖν ἅπαν ἐπεδείξατο. Οὐ γὰρ δὴ μόνον οὐκ ἔφυγε τῶν Ἰουδαίων τὴν ἐπιστασίαν, ἀλλὰ καὶ πρῶτος ἐπεπήδησε, καὶ τοῦ Χριστοῦ κελεύοντος ἀπελθεῖν εἰς τὰ ἔθνη, αὐτὸς ἀξιοῖ τὴν τῶν Ἰουδαίων οἰκονομίαν ἐγχειρισθῆναι· καὶ μυρία πολλαχοῦ πάσχων παρ' αὐτῶν δεινὰ, καὶ τῶν ἐθνῶν τὴν διδασκαλίαν πεπιστευμένος, οὐ παύεται παρακαλῶν ὑπὲρ ἐκείνων, καὶ λέγων, νῦν μέν· *Ηὐχόμην ἀνάθεμα εἶναι ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου κατὰ σάρκα*· νῦν δέ· *Ἀδελφοί μου, ἡ μὲν εὐδοκία μου, καὶ ἡ δέησις ἡ πρὸς τὸν Θεὸν, ὑπὲρ αὐτῶν ἐστιν εἰς σωτηρίαν*. Τίνος οὖν ἕνεκεν βουλόμενον αὐτὸν καὶ ἐπιθυμοῦντα διδάσκειν ἐκείνους, οὐκ εἴασεν αὐτοῖς κηρύσσειν, ἀλλ' ἀντ' ἐκείνων διδάσκαλον αὐτὸν τοῖς ἔθνεσιν ἔπεμπεν; Ἀκούσωμεν αὐτοῦ τοῦ Χριστοῦ λέγοντος, καὶ Παύλου τὸ πᾶν διηγουμένου· *Ἐγένετο δέ μοι προσευχομένῳ*, φησὶ, *γενέσθαι με ἐν ἐκστάσει, καὶ εἰδέναι τὸν Χριστὸν λέγοντά μοι· Σπεῦσον καὶ ἔξελθε ἐν τάχει, ὅτι οὐ παραδέξονταί σου τὴν μαρτυρίαν περὶ ἐμοῦ*. Καὶ τὴν αἰτίαν εἶπε τῆς ἀποδημίας· Μισήσουσί σε, φησὶ, καὶ ἀποστραφήσονται· διὰ τοῦτό σου διδάσκοντος οὐκ ἀνέξονται. Καὶ μὴν αὐτὸ τοῦτο ἦν ἱκανὸν, ἀξιόπιστον αὐτὸν ποιῆσαι διδάσκαλον, καὶ πεῖσαι ἐκείνους, ὅτι οὐκ ἀνθρωπίνη ἡ μετάθεσις ἐγένετο. Οὐ γὰρ ἂν τὸν οὕτω φαινόμενον, καὶ θυμῷ ζέοντα, καὶ φόνου πνέοντα, καὶ θαυματουργοῦντι μὴ πεισθέντα τῷ Χριστῷ, μηδὲ τοῖς ἀποστόλοις τοῖς ἐκείνου, νεκροὺς ἐγείρασιν, ἴσχυσεν ἄν ποτε ἄνθρωπος ἐν αὐτῇ μέσῃ τῇ μανίᾳ μεταθεῖναι, καὶ τὴν ὑπερβολὴν, ἣν κατὰ τοῦ κηρύγματος ἐπεδείκνυτο, ταύτην ὁλόκληρον καὶ πολλῷ πλείονα πεῖσαι πάλιν ὑπὲρ τῆς εἰς Χριστὸν ὁμολογίας ἐπιδείξασθαι· ἀλλὰ θείας ὄντως δυνάμεως ἔργον ἦν ἡ μετάστασις αὕτη καὶ ἡ μεταβολή.

ια'. Ὅπερ οὖν καὶ ὁ Παῦλος, ἐπιθυμῶν αὐτῶν τὴν προστασίαν λαβεῖν, πρὸς τὸν Ἰησοῦν προεβάλλετο λέγων· *Κύριε, αὐτοὶ ἐπίστανται, ὅτι ἐγὼ ἤμην φυλακίζων, καὶ δέρων τοὺς πιστεύοντας εἰς τὸ ὄνομά σου· καὶ ὅτε ἐξεχύνετο τὸ αἷμα Στεφάνου, τοῦ μάρτυρός* [371] *σου, ἐγὼ ἤμην συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ*. Καὶ ἡ πολλὴ μανία τὴν ἀθρόον γεγενημένην ἐγγυᾶται μεταβολὴν, ὡς οὐκ ἔστιν ἀνθρωπίνη τις, ἀλλ' ἄνωθεν, καὶ ἐκ τῶν οὐρανῶν ἔλαβε τὴν ἀρχήν. Τί οὖν ὁ Χριστός; *Πορεύου, ὅτι εἰς ἔθνη μακρὰν ἐξαποστελῶ σε*. Ταῦτ' οὖν οὐχ ἱκανὰ, φησὶ,

πεῖσαι καὶ τοὺς σφόδρα ἀναισθητοῦντας, ὅτι οὐκ ἔστιν ἀνθρώπινον τοῦτο τὸ κήρυγμα, ἀλλ' ὑπὲρ φύσιν ἀνθρωπίνην ἅπαντα τὰ γεγενημένα, καὶ Θεὸς ὄντως ἐστὶν ὁ μεταθεὶς καὶ μεταβαλών; Ἱκανὰ μὲν οὖν, ὦ μακάριε Παῦλε, ἂν αὐτὴν τῶν πραγμάτων ἐξετάσῃς τὴν φύσιν· ἀλλ' Ἰουδαῖοι πάντων εἰσὶν ἀγνωμονέστεροι· οὐ φύσιν πραγμάτων ἐξετάζοντες, οὐ τὸ εἰκὸς καὶ τὸ εὔλογον καὶ τὸ ἀναγκαῖον σκοποῦντες, ἀλλ' [a] εἰς ἓν μόνον βλέποντες, ὅπως τὴν φιλονεικίαν τὴν ἑαυτῶν ἐμπλήσωσι. Καὶ σὺ μὲν πρὸς τὴν τῶν πραγμάτων ἀκολουθίαν βλέπεις· ὁ δὲ Θεὸς τὰ ἀπόῤῥητα τῆς διανοίας αὐτῶν οἶδε. Διὰ τοῦτό φησι, *Πορεύου, ὅτι εἰς ἔθνη μακρὰν ἐξαποστελῶ σε*, ὥστε καὶ τῷ διαστήματι παραμυθήσασθαι τὸ μῖσος.

Διὰ τοῦτο τοῖς μὲν ἄλλοις ἅπασι γράφων, τὸ ὄνομα αὐτοῦ προστίθησιν ἐν τῷ προοιμίῳ τῶν ἐπιστολῶν, Ἑβραίοις δὲ ἐπιστέλλων, οὐδὲν τοιοῦτον ἐποίησεν, ἀλλ' ἁπλῶς, οὐκ εἰπών τίς ἦν, ἢ πρὸς τίνας, ὥσπερ ἔθος εἶχε ποιεῖν, οὕτω πως ἤρξατο· *Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἡμῶν*. Καὶ τοῦτο δὴ τῆς τοῦ Παύλου σοφίας. Ἵνα γὰρ μὴ μετασχῇ τοῦ μίσους τὰ γράμματα, καθάπερ προσωπείῳ τινὶ, τῇ τοῦ ὀνόματος ἀφαιρέσει κρύψας ἑαυτὸν, οὕτως αὐτοῖς λανθανόντως τὸ τῆς παραινέσεως ἐπιτίθησι φάρμακον. Ὅταν γὰρ πρός τινα ἀηδῶς ἔχωμεν, κἂν ὑγιές τι λέγῃ, οὐ προθύμως, οὐδὲ μεθ' ἡδονῆς δεχόμεθα τὰ λεγόμενα· ἅπερ οὖν, ἵνα μὴ καὶ τότε συμβῇ, ἀφεῖλε τὴν ἰδίαν προσηγορίαν τῆς ἐπιστολῆς, ὥστε μηδὲν τοῦτο γενέσθαι κώλυμα τῇ τῆς ἐπιστολῆς ἀκροάσει. Οὐδὲ γὰρ οἱ ἄπιστοι μόνον Ἰουδαῖοι, ἀλλὰ καὶ οἱ πιστεύσαντες αὐτοὶ ἐμίσουν αὐτὸν καὶ ἀπεστρέφοντο. Ὅτε γοῦν ἀνῆλθεν εἰς Ἱεροσόλυμα, ἄκουσον τί φησι πρὸς αὐτὸν ὁ Ἰάκωβος, καὶ οἱ λοιποὶ ἅπαντες· *Θεωρεῖς, ἀδελφὲ, πόσαι μυριάδες εἰσὶν Ἰουδαίων τῶν συνεληλυθότων· καὶ οὗτοι πάντες ζηλωταὶ τοῦ νόμου ὑπάρχουσι, καὶ κατήχηνται περὶ σοῦ, ὅτι ἀποστασίαν ἀπὸ τοῦ νόμου διδάσκεις*. Διὰ τοῦτο αὐτὸν μάλιστα ἐμίσουν καὶ ἀπεστρέφοντο.

ιβ'. Ἡ μὲν οὖν αἰτία, δι' ἣν οὐκ ἐπιστεύθη τοὺς Ἰουδαίους, ἀλλὰ τοὺς ἐξ ἐθνῶν, ἐστὶν αὕτη. Πιστευθεὶς δὲ λοιπὸν ἐκείνους, οὐχ ὁμοίως τῷ Πέτρῳ, οὐδὲ διὰ τῆς αὐτῆς ὁδοῦ πρὸς τὴν πίστιν αὐτοὺς ἐνῆγεν, ἀλλὰ δι' ἑτέρας. Ἑτέρας δὲ ὅταν ἀκούσῃς, μὴ διαφορὰν ἐν τῷ κηρύγματι νομίσῃς εἶναι. Τὰ γὰρ αὐτὰ ἀμφοτέροις καὶ Ἰουδαίοις καὶ Ἕλλησιν ἐκήρυττον· οἷον, ὅτι Θεὸς ὁ Χριστὸς, ὅτι ἐσταυρώθη καὶ ἐτάφη, καὶ ἀνέστη, καὶ ἔστιν ἐν δεξιᾷ τοῦ Πατρὸς, ὅτι μέλλει κρίνειν ζῶντας καὶ νεκροὺς, καὶ ὅσα τοιαῦτα ἦν, ὁμοίως καὶ Παῦλος καὶ Πέτρος ἐκήρυττον. Ἐν τίσιν οὖν ἦν ἡ διαφορά; Ἐν τῇ παραττηρήσει τῶν βρωμάτων, ἐν τῇ περιτομῇ, ἐν τοῖς ἄλλοις τοῖς Ἰουδαϊκοῖς ἔθεσιν. Ὁ μὲν γὰρ Πέτρος οὐκ ἐτόλμα τοῖς ἑαυτοῦ μαθηταῖς φανερῶς λέγειν καὶ διαῤῥήδην, ὅτι δεῖ τούτων ἀποστῆναι [372] καθάπαξ. Ἐδεδοίκει γάρ, μήποτε πρὸ καιροῦ τὴν συνήθειαν ταύτην ἀνασπάσαι βουλόμενος, καὶ τὴν εἰς τὸν Χριστὸν πίστιν συνανασπάσῃ μετ' ἐκείνων, τῆς ψυχῆς τῶν Ἰουδαίων οὐκ ἀνεχομένης οὐδέπω, διὰ τὴν χρονίαν τὴν περὶ τὸν νόμον πρόληψιν, τῶν ῥημάτων ἀκούειν τούτων. Διὰ τοῦτο ἠνείχετο ὁ μακάριος Πέτρος ἰουδαΐζόντων αὐτῶν. Καὶ καθάπερ τις γεωργὸς ἄριστος φυτὸν ἄπαλὸν πλησίον δένδρου γεγηρακότος κατατεθέμενος, οὐ τολμᾷ, οὐδὲ ὑπομένει τὸ γεγηρακὸς ἀνασπάσαι δένδρον, δεδοικὼς μὴ, τῶν ῥιζῶν ἐκείνων ἀνελκομένων, καὶ τὸ νεόφυτον συνανελκυσθῇ, ἀλλ' ἀναμένει πρότερον παγῆναι ἐκεῖνο καλῶς, καὶ ἐν αὐτοῖς κάτω ῥιζωθῆναι τοῖς κόλποις τῆς γῆς, καὶ τότε τὸ παλαιωθὲν μετὰ ἀδείας ἀνέλκει, οὐδὲν ἔτι δεδοικὼς περὶ τοῦ νεοφύτου· οὕτω δὴ καὶ ὁ μακάριος Πέτρος ἐποίει· τὴν πίστιν νεόφυτον οὖσαν ἔμενε παγῆναι καλῶς ἐν ταῖς τῶν ἀκουόντων ψυχαῖς, ἵνα ῥιζωθείσης ἐκείνης μετὰ ἀδείας λοιπὸν τὴν Ἰουδαϊκὴν ἀνέλῃ πρόληψιν ἅπασαν. Ἀλλ' οὐχ ὁ Παῦλος οὕτω· πάσης γὰρ ταύτης ἀπηλλαγμένος ἦν τῆς ἀνάγκης. Ἕλλησι κηρύττων, τοῖς οὐδέποτε μετεσχηκόσι νόμου, οὐδὲ Ἰουδαϊκῶν παρατηρήσεων ἀκηκοόσιν. Ὅτι γὰρ οὐκ ἀλλήλοις ἐναντιούμενοι ταῦτα ἐποίουν, ἀλλὰ τῇ τῶν μαθητῶν ἀσθενείᾳ συγκαταβαίνοντες, ἔστιν ἰδεῖν καὶ Παῦλον ὁμοίως Πέτρῳ ταῦτα αὐτὰ συγχωροῦντα, καὶ οὐ συγχωροῦντα μόνον, ἀλλὰ καὶ αὐτὸν συνεργοῦντα, καὶ Πέτρον πάλιν τὴν αὐτὴν ἐλευθερίαν νομοθετοῦντα, ἣν καὶ Παῦλος τοῖς ἔθνεσι πᾶσιν ἐκήρυττε. Καὶ ποῦ ταῦτα, φησὶν, ἀμφότερα ἔστιν ἰδεῖν; Ἐν αὐτοῖς τοῖς Ἱεροσολύμοις. Οὗτος μὲν γὰρ καὶ ἐξύρατο, καὶ ἔθυσε, καὶ ἁγνισμὸν ἐπετέλεσεν, ὁ τῶν ἐθνῶν διδάσκαλος. Τοῦτο γὰρ καὶ ὁ καιρὸς ἀπῄτει, καὶ τὸ παρεῖναι πολλοὺς Ἰουδαίους. *Θεωρεῖς γὰρ, φησὶν, ἀδελφὲ, πόσαι μυριάδες εἰσὶν Ἰουδαίων τῶν συνεληλυθότων, καὶ κατήχηνται περὶ σοῦ, ὅτι ἀποστασίαν ἀπὸ τοῦ νόμου διδάσκεις*.

ιγ'. Ἐκεῖνος τοίνυν συγκαταβῆναι ἀναγκαζόμενος Ἰουδαΐζεν· ἀλλ' οὐχὶ τῆς γνώμης, ἀλλὰ τῆς οἰκονομίας τὸ γινόμενον ἦν. Πάλιν ὁ Πέτρος, ὁ τῶν Ἰουδαίων διδάσκαλος, καὶ πανταχοῦ συγχωρῶν περιτομὴν καὶ Ἰουδαϊκὰς παρατηρήσεις, διὰ τὴν ἀσθένειαν τῶν μαθητῶν, ἐπειδὴ καιρὸν εἶδεν ἀπαλλάττοντα αὐτὸν τῆς ἀνάγκης ταύτης, καὶ οὐκ ἦν ἀσφαλὲς μέχρι τοσούτου κεχρῆσθαι τῇ συγκαταβάσει, ἀλλὰ δογμάτων ἦν καιρὸς καὶ νόμων, ἄκουσον τί φησιν. Ἐπειδὴ γὰρ ἀνέβησαν ἐξ Ἀντιοχείας οἱ περὶ Παῦλον καὶ Βαρνάβαν, περὶ τούτων αὐτῶν μαθησόμενοι τὸ σαφὲς, πολλῆς ζητήσεως γενομένης, ἀναστὰς ὁ Πέτρος ἔλεγεν· *Ἄνδρες ἀδελφοὶ, ὑμεῖς ἐπίστασθε ἀφ' ἡμερῶν ἀρχαίων, ὡς ἐν ἡμῖν ἐξελέξατο ὁ Θεὸς διὰ τοῦ στόματός μου τὸν λόγον τοῦ Εὐαγγελίου, καὶ πιστεῦσαι*. Εἶτα ἕτερά τινα εἰπὼν μεταξὺ, ἐπήγαγε λέγων· *Τί οὖν πειράζετε τὸν Θεὸν ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν ἐθνῶν, ὃν οὔτε οἱ πατέρες ἡμῶν, οὔτε ἡμεῖς ἰσχύσαμεν βαστάσαι; ἀλλὰ διὰ πίστεως Ἰησοῦ Χριστοῦ πιστεύομεν σωθῆναι, ὃν τρόπον κἀκεῖνοι*. Ὁρᾷς ὅτι ἡνίκα μὲν καιρὸς συγκαταβάσεως ἦν, καὶ Παῦλος Ἰουδαΐζεν· ἡνίκα δὲ οὐχὶ συγκαταβάσεως καιρὸς [373] ἦν, ἀλλὰ δογματίζειν ἔδει καὶ νομοθετεῖν, καὶ Πέτρος ἐκείνης τῆς συγκαταβάσεως ἀπαλλαγεὶς, εἰλικρινῆ καὶ καθαρὰ τὰ δόγματα παραδίδωσι· καὶ τούτων λεγομένων ὁ Παῦλος παρῆν, καὶ ἤκουε, καὶ τὴν ἐπιστολὴν αὐτὸς δεξάμενος, πανταχοῦ διεκόμισε, καὶ οὐκ ἔστιν εἰπεῖν, ὡς ἠγνόει τὴν τοῦ ἀποστόλου γνώμην. Τίνος οὖν ἕνεκεν τοιαῦτα ἐγκαλεῖ νῦν, λέγων, ὅτι Φοβούμενος τοὺς ἐκ περιτομῆς;

ιδ'. Ἵνα δὲ καὶ τὴν ἱστορίαν αὐτὴν ἴδητε [b] τῶν λεγομένων, μικρὸν ἄνωθεν ὑμῖν διηγήσομαι· ἀλλὰ προσέχετε, παρακαλῶ· πρὸς γὰρ αὐτὸ τὸ βάθος τῆς λύσεως κατηντήσαμεν. Ἰάκωβος ὁ ἀδελφὸς τοῦ Κυρίου

[a] Additum ἀλλ' e Morel. et Savil. et cod. 748. Edit.

[b] Fronto εἰδῆτε legisse videtur Editiones et cod. 748 ἴδητε habent.

inquit, hæc sufficiunt ad quosvis etiam plane stupidos commovendos, ut humanam esse prædicationem istam non arbitrentur, sed humanæ naturæ vires hæc omnia excedere, Deumque vere mutationis fuisse et conversionis auctorem? Sufficiunt illa quidem, o beate Paule, si ipsam rerum naturam examines; sed Judæi omnium sunt iniquissimi: neque rerum naturam examinant, non quod æquum et rationi consentaneum commodumve considerant, sed id unum spectant, ut contentionis desiderium suum expleant. Ac tu quidem ad rerum ordinem respicis; Deus autem mentis eorum novit arcana. Idcirco dicit : *Vade, quoniam ad gentes longe te mittam*, ut etiam odium distantia mitigetur.

Cur non præfigat nomen suum Paulus epistolæ ad Hebræos. — Propterea cum ad alios quidem omnes scribit, nomen suum epistolarum exordio præfigit : ad Hebræos autem mittens literas, nihil tale fecit, sed simpliciter, non exprimens quis esset, vel ad quos scriberet, ut mos illius erat, ita demum incepit : *Multifariam multisque modis olim Deus loquens patribus nostris* (*Hebr.* 1. 1). Et vero Pauli sapientiæ hoc fuit. Ne enim in consortium odii literæ venirent, tamquam larva quadam, nominis suppressione seipsum occultans, ita clam cohortationis ipsis adhibet medicinam. Cum enim odio prosequimur quempiam, quamvis aliquid rectum dicat, non propenso animo neque cum voluptate quæ ab eo dicuntur excipimus : quod ipsum ne tum quoque accideret, suum nomen ex epistola sustulit, ut nullum epistolæ objiceretur impedimentum, quo minus posset audiri. Neque enim Judæi tantum qui erant increduli, sed et illi qui crediderant, oderant eum, et aversabantur. Cum igitur ascendisset Jerosolymam, audi quid illi Jacobus dicat, et alii omnes. *Vides, frater, quot millia sunt Judæorum, qui convenerunt, et hi omnes æmulatores sunt legis, et audierunt de te, quia discessionem doceas a lege* (*Act.* 21. 20. 21). Idcirco illum oderant et aversabantur.

12. Hæc igitur causa est propter quam non Judæi fidei ejus crediti sunt, sed gentiles. Cum vero crediti fuissent ipsi, non jam pari ratione ac Petrus, neque eadem via deducebat illos ad fidem, sed alia. Cum autem aliam audis, ne discrimen in prædicatione esse arbitreris. Eadem quippe uterque Judæis et gentilibus prædicabat : exempli causa, Deum esse Christum, crucifixum fuisse ac sepultum, et resurrexisse, atque in dextera Patris sedere, tum judicaturum vivos et mortuos, et quæcumque talia pariter Paulus et Petrus prædicabant. In quo igitur discrimen fuit? In observatione ciborum, in circumcisione, in aliis Judaicis ritibus. Nam Petrus quidem discipulis suis palam et aperte dicere non audebat ab his penitus abstinendum esse. Metuebat enim ne forte, si consuetudinem istam ante tempus vellet evellere, simul etiam cum illis Christi fidem evelleret, cum nondum mens Judæorum ob diuturnam anticipatam opinionem circa legem hæc verba posset audire. Propterea sinebat eos beatus Petrus judaizare. Et quemadmodum optimus agricola cum juxta veterem arborem teneram plantam conseverit, non audet veterem evellere arborem, metuens ne, radicibus illis avulsis, nova planta simul avellatur, sed exspectat prius illam recte defigi, et in terræ visceribus radices agere, tum deinde veterem confidenter evellit, neque jam de planta novella quidquam timet : sic nimirum et beatus Petrus agebat : recens plantatam fidem recte defigi in auditorum mentibus sinebat, ut cum altas radices egisset, confidenter deinde Judaicam omnem anticipatam opinionem exstirparet. Sed non ita Paulus, qui omni ejusmodi necessitate liberatus erat, dum gentilibus prædicaret, qui legis necdum participes facti erant, neque Judaicas observationes audiverant. Non enim illos hæc egisse, quod sibi invicem essent contrarii, sed quod discipulorum imbecillitati se attemperarent, ex eo colligere licet, quod Paulum ista non aliter ac Petrum permittere videamus, neque permittere tantum, sed etiam ipsum cooperari, ac Petrum rursus eandem libertatem sancire, quam Paulus omnibus gentibus prædicabat. Sed ubi tandem, inquit, istud utrumque licet videre? In ipsis Jerosolymis. Hic enim et caput rasit, et sacrificavit, et sanctificationem perfecit gentium doctor. Hoc nimirum tempus exigebat, et quod multi adessent Judæi. *Vides* enim, inquit, *frater, quot millia sunt Judæorum qui convenerunt, et audierunt de te, quia discessionem doceas a lege* (*Act.* 21. 20. 21).

13. Ille itaque cum condescendere cogeretur, judaizabat : sed non jam ex animi sui sententia, sed secundum dispensationem id agebat. Petrus rursus Judæorum doctor, et qui circumcisionem ubique ac Judaicas observationes permittebat, propter discipulorum infirmitatem, quoniam tempus videbat se ab hac necessitate liberasse, neque tutum erat tamdiu illi condescensioni indulgere, sed dogmatum tempus erat et legum : audi quid dixerit. Nam quoniam ascenderant ex Antiochia Paulus et Barnabas, ut quid certum esset ediscerent : cum multa esset orta quæstio, surgens Petrus dixit : *Viri fratres, vos scitis, quoniam ab antiquis diebus Deus in nobis elegit, per os meum audire gentes verbum evangelii, et credere* (*Act.* 15. 7). Deinde cum alia interjecta dixisset, adjunxit : *Quid ergo tentatis Deum imponere jugum super cervices gentium, quod neque patres nostri, neque nos portare potuimus? sed per fidem Jesu Christi credimus salvari, quemadmodum et illi* (*Ib. v.* 10. 11). Vides tum quidem cum tempus esset indulgentiæ, et Paulum judaizasse, cum vero tempus condescensionis non esset, verum dogmata spargenda essent, et sancienda mandata, Petrum ab illa condescensione liberatum sincera puraque dogmata tradidisse. Atque hæc cum dicerentur, Paulus intererat, et audiebat, et acceptam epistolam quovis gentium deferebat, neque dici potest eum apostoli mentem ignorasse. Cur igitur nunc eum reprehendit, diceus eum timuisse illos qui ex circumcisione erant (*Gal.* 2. 12)?

14. *Historiam paulo altius repetit. Gentiliter vivere quid sit.* — Ut autem eorum quæ dicuntur historiam cognoscatis, paulo altius illam exorsus narrabo; sed attendite, quæso : jam enim ad penitissimas partes

pervenimus quæstionis. Jacobus frater Domini tum initio Ecclesiæ Jerosolymitanæ erat episcopus, et Judæis præerat omnibus qui crediderant. Accidit autem, ut essent Antiochiæ quoque Judæi, qui cum Christo credidissent, eo quod procul abessent ab Jerosolyma, viderentque multos qui crediderant ex gentibus confidenter et absque Judaicis observationibus vivere, sensim ac paulatim inducerentur, ut a Judaica consuetudine abstinerent, et puram minimeque adulteratam fidei doctrinam retinerent. Cum ergo descendisset Petrus, et nullam esse condescensionis necessitatem videret, gentiliter deinceps vivebat. Hoc autem appellat gentiliter vivere Paulus, absque Judaica vivere observatione, nihil ex illis legis ritibus custodire, exempli causa, circumcisionem, sabbatum, vel quidpiam ejusmodi. Cum igitur Petrus ita viveret, descenderunt quidam a Jacobo Judæi, hoc est ex Jerosolyma, qui, quod in metropoli semper versati essent, neque quemquam vidissent ita viventem, adhuc anticipatam illam Judaicam opinionem retinebant, multasque ex observationibus illis secum trahebant. Hos cum vidisset Petrus, qui a Jacobo et Jerosolyma descenderant, qui adhuc infirmi erant, timeretque ne scandalum passi a fide resilirent, mutatus est rursus, et omissa gentili vitæ ratione, ad priorem rediit indulgentiam, et ciborum observationes custodivit. Illum ergo Judæi cum vidissent, qui Antiochiæ versabantur, id agentem, neque mentem ejus perspectam haberent, qua id agebat, abducti sunt et ipsi, ac propter magistrum judaizare cogebantur. Atque hoc est, quod reprehendit Paulus : ut autem clarius fiat quod dicimus, ipsa vobis apostolica verba recitabo : *Cum autem venisset Petrus Antiochiam, in faciem ei restiti, quia reprehensibilis erat. Prius enim quam venirent quidam a Jacobo*, hoc est Jerosolymis, *cum gentibus edebat*, hoc est cum iis qui erant Antiochiæ. *Cum autem venissent quidam Jerosolymis*, periti legis, *subtrahebat et segregabat se Petrus, timens eos qui ex circumcisione erant.* Quosnam? Eos qui a Jacobo descenderant; *Et abducebantur cum eo cæteri Judæi.* Quinam Judæi? Qui, priusquam Jerosolymitani descendissent, Antiochiæ degebant, nec ullam observationem Judaicam custodiebant : *Ita ut et Barnabas duceretur ab eis in illam simulationem.* Atque hæc quidem est, quæ apparet reprehensio.

15. *Aliorum quorumdam solutionem præmittit.* — Porro si lubet, excogitatas etiam ab aliis defensiones ubi primo loco posuero, tum meam quoque sententiam conabor expromere, vobisque faciam optionem, ut ex iis, quæ dicta fuerint, quod potissimum placeat, eligatis. Quo igitur pacto nonnulli hanc quæstionem solverunt? Non erat hic Petrus, inquiunt, ille primus apostolorum, cui fuerunt oves a Christo creditæ, sed alius quispiam vilis et abjectus, et unus e vulgo. Unde id constat? Cum cæteros Judæos abductos fuisse cum illo dixisset, adjecit, inquiunt, *Ita ut et Barnabas duceretur cum eis in illam simulationem.* Quod autem dixit, *Ita ut et Barnabas*, indicat multo fuisse mirabilius illud, quam Petrum abductum esse. Sic enim loquutus est, ut majorem illum censere videatur, Non modo Petrus, inquiens, sed et Barnabas : atqui Barnabas Petro illo major non erat. Verumtamen non ita se res habet, plane ita se non habet. Neque enim eo quod Barnabas major esset, ideo miratur magis : sed quam ob causam? Quod nimirum ille quidem in circumcisionem missus esset, at Barnabas cum Paulo gentibus prædicaret, et ubique cum Paulo copularetur : quemadmodum igitur alibi dicit, *Aut ego solus et Barnabas non habemus potestatem non operandi* (1. *Cor.* 9. 6)? et rursus, *Ascendi Jerosolymam cum Barnaba* (*Gal.* 2. 1) : et ubique vides illum cum Paulo docere. Non ergo quod Petro major esset, idcirco eum quoque abductum esse miratur : sed quod is qui secum semper prædicabat, cuique nihil erat commune cum Judæis, verum inter gentes docebat, ipse quoque esset abductus. Cæterum Petrum illum esse de quo hæc omnia dicit, cum ex iis quæ præcesserunt, tum ex iis quæ sequuntur, manifestum est. Quod enim se in faciem restitisse illi dicit, ac pro magno illud habet, nihil aliud indicat, nisi se dignitatem minime reveritum esse personæ : porro de altero quopiam si dixisset, se in faciem illi restitisse, nequaquam hoc pro magno habuisset. Præterea si quispiam alius Petrus fuisset, non tantum valuisset ejus mutatio, ut cæteros etiam Judæos attraheret. Neque enim adhortatus est, neque consuluit : sed tantum subtrahebat et segregabat se : atque illa subtractio et segregatio cæteros omnes discipulos attrahere potuit propter personæ dignitatem.

16. *Altera solutio quæstionis, cur reprehensus sit Petrus, quo consilio Paulus Petrum argueret.* — Itaque Petrum fuisse satis ex his constat : cæterum aliam solutionem, si velitis, dicemus. Quænam igitur est altera? Recte Petrum reprehendebat Paulus, quod ultra modum indulgentia uteretur. Nam qua ratione ipse, cum esset Jerosolymis, condescendebat Judæis, eadem quoque illum oportuit, cum Antiochiam venisset, non ad Judæos respicere, sed ad eos qui crediderant ex gentibus. Ut enim, cum omnes erant Judæi, etiam Paulus judaizare coactus est : ita cum plures erant ex gentibus, nec ullam civitas necessitatem indulgentiæ afferebat, non oportebat propter paucos Judæos scandalo esse tot gentilibus. At enim hoc non jam solutio est, sed amplificatio quæstionis. Quod enim in exordio dixi orationis, non id nobis propositum est, ut ostendamus recte reprehendisse Paulum; sic enim adhuc restabit quæstio. Petrus enim obnoxius criminationi videbitur; sed id potissimum quærimus, quo pacto et hunc, et illum reprehensione liberemus. Quonam igitur pacto id fiet? Si qua mente unus increparit, et alter fuerit increpatus, discamus, et sententiam illam explicemus. Quæ tandem igitur est illa sententia? Vehementer optabat Petrus, eos qui descenderant Jerosolyma a Jacobo profecti, Judaica observatione liberare. Quod si hanc ipse sententiam introduxisset, et in medium progressus dixisset, Judaicis ritibus uti desinite, quasi contraria sibi ipsi, et iis omnibus, quæ ab ipso fuerant

τὴν Ἐκκλησίαν τότε ἐπεσκόπευεν ἐν ἀρχῇ, τὴν ἐν Ἱεροσολύμοις, καὶ τῶν ἐξ Ἰουδαίων πιστευσάντων προειστήκει πάντων. Συνέβαινε δὲ εἶναι καὶ ἐν Ἀντιοχείᾳ Ἰουδαίους, οἵτινες πιστεύσαντες τῷ Χριστῷ, διὰ τὸ τῶν Ἱεροσολύμων εἶναι πόρρω, καὶ πολλοὺς ὁρᾷν τοὺς ἐξ ἐθνῶν πεπιστευκότας ἁδεῶς καὶ χωρὶς Ἰουδαϊκῶν παρατηρήσεων βιοῦντας, ἠρέμα καὶ κατὰ μικρὸν ἐνήγοντο καὶ αὐτοὶ τῆς Ἰουδαϊκῆς ἀφίστασθαι συνηθείας, καὶ καθαρὰν καὶ ἀνόθευτον ἔχειν τὴν τῆς πίστεως διδασκαλίαν. Κατελθὼν τοίνυν ὁ Πέτρος, καὶ ἰδὼν οὐκ οὖσαν ἀνάγκην οὐδεμίαν συγκαταβάσεως, ἐθνικῶς ἔζη λοιπόν. Τὸ δὲ, ἐθνικῶς ζῆν, τοῦτό φησιν ὁ Παῦλος, τὸ χωρὶς Ἰουδαϊκῆς παρατηρήσεως, τὸ μηδὲν τῶν νομίμων ἐκείνων παραφυλάττειν, οἷον, περιτομήν, ἢ σάββατον, ἤ τι τῶν τοιούτων. Ζῶντος τοίνυν οὕτω τοῦ Πέτρου, κατῆλθόν τινες Ἰουδαῖοι ἀπὸ Ἰακώβου, τουτέστιν, ἐξ Ἱεροσολύμων, οἳ, διὰ τὸ διαπαντὸς ἐπὶ τῆς μητροπόλεως διατρίβειν, καὶ μηδένα ὁρᾷν ἑτέρως πολιτευόμενον, ἔτι τὴν πρόληψιν εἶχον τὴν Ἰουδαϊκὴν, καὶ πολλὰς τῶν παρατηρήσεων ἐκείνων ἐπεσύροντο. Τούτους ἰδὼν ὁ Πέτρος, τοὺς ἀπὸ Ἰακώβου καὶ ἐξ Ἱεροσολύμων κατελθόντας, ἀσθενέστερον διακειμένους ἔτι, καὶ φοβηθεὶς μὴ σκανδαλισθέντες τῆς πίστεως ἀποπηδήσωσι, μετετάξατο πάλιν, καὶ τὸ ζῆν ἐθνικῶς ἀφεὶς, ἐπὶ τὴν προτέραν συγκατάβασιν ἦλθε, βρωμάτων παρατηρήσεις φυλάττων. Ἰδόντες οὖν αὐτὸν οἱ Ἰουδαῖοι, οἱ ἐν Ἀντιοχείᾳ διατρίβοντες, τοῦτο ποιοῦντα, καὶ οὐκ εἰδότες αὐτοῦ τὴν γνώμην, μεθ' ἧς ταῦτα ἔπραττε, συναπήχθησαν καὶ αὐτοὶ, καὶ ἠναγκάζοντο Ἰουδαΐζειν διὰ τὸν διδάσκαλον. Καὶ τοῦτό ἐστιν, ὅπερ ὁ Παῦλος ἐγκαλεῖ· καὶ ἵνα σαφέστερον γένηται τὸ λεγόμενον, αὐτὰ ὑμῖν λοιπὸν ἀναγνώσομαι τὰ ἀποστολικὰ ῥήματα. *Ὅτε δὲ ἦλθε Πέτρος εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην, ὅτι κατεγνωσμένος ἦν. Πρὸ τοῦ γὰρ ἐλθεῖν τινας ἀπὸ Ἰακώβου*, τουτέστιν, ἐξ Ἱεροσολύμων, *μετὰ τῶν ἐθνῶν συνήσθιε*, τουτέστι, τῶν ἐν Ἀντιοχείᾳ. *Ὅτε δὲ ἦλθόν τινες ἐξ Ἱεροσολύμων*, νομομαθεῖς, *ὑπέστελλε, καὶ ἀφώρισεν ἑαυτὸν ὁ Πέτρος φοβούμενος τοὺς ἐκ περιτομῆς*. Ποίους; Τοὺς ἀπὸ Ἰακώβου κατελθόντας· *Καὶ συναπήχθησαν αὐτῷ καὶ οἱ λοιποὶ Ἰουδαῖοι*. Ποῖοι Ἰουδαῖοι; Οἱ πρὶν τοὺς ἐξ Ἱεροσολύμων καταβῆναι ἐν Ἀντιοχείᾳ διατρίβοντες, καὶ μηδεμίαν Ἰουδαϊκὴν παρατήρησιν φυλάττοντες· *Ὥστε καὶ Βαρνάβας συναπήχθη αὐτῶν τῇ ὑποκρίσει*. [374] Καὶ τὸ μὲν δοκοῦν ἔγκλημα εἶναι, τοῦτο.

ιε'. Εἰ δὲ βούλεσθε, καὶ τὰς παρ' ἑτέρων ἀπολογίας ἐπινενοημένας πρότερον θεῖς, τότε καὶ τὸν ἐμαυτοῦ λόγον εἰσαγαγεῖν πειράσομαι, ἐφ' ὑμῖν τῶν λεγομένων τὴν αἵρεσιν ποιησάμενος. Πῶς οὖν τινες τὴν ζήτησιν ταύτην ἔλυσαν; Οὐκ ἦν οὗτος Πέτρος, φησὶν, ἐκεῖνος, ὁ τῶν ἀποστόλων πρῶτος, ὁ παρὰ τοῦ Κυρίου τὰ πρόβατα πιστευθεὶς, ἀλλ' ἕτερός τις εὐτελὴς καὶ ἀπερρίμμένος, καὶ τῶν πολλῶν εἷς. Πόθεν τοῦτο δῆλον; Εἰπὼν ὁ Παῦλος, ὅτι συναπήχθησαν αὐτῷ καὶ οἱ λοιποὶ Ἰουδαῖοι, ἐπήγαγε, φησὶν, *Ὥστε καὶ Βαρνάβας συναπήχθη αὐτῶν τῇ ὑποκρίσει*. Τὸ δὲ εἰπεῖν, *Ὥστε καὶ Βαρνάβας*, δηλοῦντός ἐστιν, ὅτι πολὺ τοῦτο θαυμαστότερον ἦν τοῦ Πέτρον ἁπαχθῆναι. Ὡς γὰρ μείζονα αὐτὸν τιθεὶς, οὕτως εἶπεν, ὅτι οὐ μόνον Πέτρος, ἀλλὰ καὶ Βαρνάβας· Πέτρου δὲ ἐκείνου μείζων Βαρνάβας οὐκ ἦν. Ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν. Οὐ γὰρ, ἐπειδὴ μείζων ἦν ὁ Βαρνάβας, διὰ τοῦτο ἐπὶ τούτῳ θαυμάζει μᾶλλον, ἀλλὰ τίνος ἕνεκεν; Ὅτι ἐκεῖνος μὲν εἰς τὴν περιτομὴν ἀπεστάλη, Βαρνάβας δὲ μετὰ Παύλου τοῖς ἔθνεσιν ἐκήρυττε, καὶ πανταχοῦ τῷ Παύλῳ συνέζευκται· ὥσπερ οὖν ἀλλαχοῦ φησιν, *Ἢ μόνος ἐγὼ καὶ Βαρνάβας οὐκ ἔχομεν ἐξουσίαν τοῦ μὴ ἐργάζεσθαι;* καὶ πάλιν, *Ἀνέβην εἰς Ἱεροσόλυμα μετὰ Βαρνάβα*, καὶ πανταχοῦ μετὰ τοῦ Παύλου διδάσκοντα αὐτὸν ὁρᾷς. Οὐκ ἐπειδὴ οὖν μείζων ἦν Πέτρου, διὰ τοῦτο θαυμάζει, ὅτι καὶ αὐτὸς συναπήχθη· ἀλλ' ἐπειδὴ μετ' αὐτοῦ κηρύττων ἀεὶ, καὶ οὐδὲν κοινὸν πρὸς Ἰουδαίους ἔχων, ἀλλ' ἐν τοῖς ἔθνεσι διδάσκων, καὶ αὐτὸς συναπήχθη. Ὅτι δὲ Πέτρος ἐστὶ, περὶ οὗ ταῦτα πάντα φησὶ, δῆλον καὶ ἐκ τῶν ἀνωτέρω, καὶ ἐκ τῶν μετὰ ταῦτα. Τὸ γὰρ εἰπεῖν, ὅτι Κατὰ πρόσωπον αὐτῷ ἀντέστην, καὶ ὡς μέγα θεῖναι τοῦτο, οὐδὲν ἕτερον δηλοῦντος ἦν, ἀλλ' ἢ ὅτι οὐκ ἠδέσθη τοῦ προσώπου τὸ ἀξίωμα· οὐκ ἂν δὲ περὶ ἑτέρου λέγων, ὅτι Κατὰ πρόσωπον αὐτῷ ἀντέστην, ὡς μέγα τι τοῦτο ἂν ἔθηκε. Πάλιν, εἰ ἄλλος ἦν Πέτρος, οὐκ ἂν ἡ μετάστασις αὐτοῦ τοσοῦτον ἴσχυσεν, ὥστε καὶ τοὺς λοιποὺς ἑφελκύσασθαι Ἰουδαίους· οὔτε γὰρ παρῄνεσέ τι, οὔτε συνεβούλευσεν, ἀλλὰ μόνον ὑπέστελλε, καὶ ἀφώριζεν ἑαυτόν· καὶ ἴσχυσεν ἡ ὑποστολὴ καὶ ὁ ἀφορισμὸς πάντας ἐπισπάσασθαι τοὺς μαθητὰς διὰ τὸ τοῦ προσώπου ἀξίωμα.

ις'. Ὅτι μὲν οὖν Πέτρος ἦν, ἐκ τούτων δῆλον· εἰ δὲ βούλεσθε, καὶ τὴν ἑτέραν λύσιν ἐροῦμεν. Τίς οὖν ἐστιν ἡ ἑτέρα; Καλῶς ἐνεκάλεσε Παῦλος, φησὶ, τῷ Πέτρῳ, ὅτι πέρα τοῦ μέτρου τῇ συγκαταβάσει ἐχρήσατο. Καὶ γὰρ ὃν τρόπον αὐτὸς ἐν Ἱεροσολύμοις γενόμενος συγκατέβη τοῖς Ἰουδαίοις, οὕτω κἀκεῖνον ἐχρῆν, φησὶν, εἰς Ἀντιόχειαν ἐλθόντα, μὴ πρὸς Ἰουδαίους ἰδεῖν, ἀλλὰ πρὸς τοὺς ἐξ ἐθνῶν. Ὥσπερ γὰρ ἡνίκα πάντες Ἰουδαῖοι ἦσαν, καὶ Παῦλος ἠναγκάσθη Ἰουδαΐζειν· οὕτως ἔνθα πλείους ἦσαν οἱ ἐξ ἐθνῶν, καὶ ἡ πόλις οὐδεμίαν ἀνάγκην παρεῖχε συγκαταβάσεως, οὐκ ἐχρῆν διὰ τοὺς ὀλίγους Ἰουδαίους σκανδαλίσαι τοὺς τοσούτους [375] Ἕλληνας. Ἀλλὰ τοῦτο οὐκ ἔστι λύσις, ἀλλ' ἐπίτασις τοῦ ζητήματος. Ὁ γὰρ ἀρχόμενος εἶπον τοῦ λόγου, οὗ ταὐτό ἐστι τὸ σπουδαζόμενον ἡμῖν, δεῖξαι ὅτι καλῶς ἐνεκάλεσε Παῦλος· ἐπεὶ οὕτω μενεῖ τὸ ζήτημα. Φανήσεται γὰρ ὑπεύθυνος ὢν ταῖς μέμψεσιν ὁ Πέτρος· τὸ δὲ ζητούμενον, καὶ τοῦτον κἀκεῖνον ἀπαλλάξαι τῶν ἐγκλημάτων. Πῶς οὖν ἔσται τοῦτο; Ἂν τὴν γνώμην, μεθ' ἧς ὁ μὲν ἐπετίμησεν, ὁ δὲ ἐπετιμήθη, μάθωμεν, καὶ τὴν διάνοιαν αὐτὴν ἀναπτύξωμεν. Τίς οὖν ἐστιν ἡ διάνοια; Σφόδρα ὁ Πέτρος ἐπεθύμει καὶ τοὺς ἐξ Ἱεροσολύμων κατελθόντας, τοὺς ἀπὸ Ἰακώβου, ἀπαλλάξαι τῆς παρατηρήσεως τῆς Ἰουδαϊκῆς. Ἀλλ' εἰ μὲν αὐτὸς ταύτην εἰσηγήσατο τὴν γνώμην, καὶ παρελθὼν εἶπε, Παύσασθε τοῖς Ἰουδαϊκοῖς ἔθεσι χρώμενοι, ὡς ἐναντία ἑαυτῷ δημηγορῶν, καὶ τοῖς ὑπ' αὐτοῦ γεγενημένοις ἅπασι κατὰ τὸν ἔμπροσθεν χρό-

νον, ἐσκανδάλισεν ἂν τοὺς μαθητάς. Πάλιν, εἰ Παῦλος πρὸς αὐτοὺς τοῦτον ἀπέτεινε τὸν λόγον, οὐδ' ἂν προσέσχον, οὐδ' ἂν ἠνέσχοντο τῆς ἀκροάσεως. Οἱ γὰρ καὶ χωρὶς τούτου μισοῦντες αὐτὸν καὶ ἀποστρεφόμενοι διὰ τὴν τοιαύτην φήμην, πολλῷ μᾶλλον, εἰ καὶ συμβουλεύοντος ταῦτα ἤκουσαν, ἀπεπήδησαν ἄν. Τί οὖν γίνεται; Ἰουδαίοις μὲν οὐδεὶς αὐτῶν ἐπετίμα τοῖς ἐξ Ἰακώβου, δέχεται δὲ τὴν ἐπιτίμησιν ὁ Πέτρος παρὰ τοῦ Παύλου, ἵνα ἐγκαλούμενος ὑπὸ τοῦ συναποστόλου, δικαίαν ἔχοι λοιπὸν τὴν παῤῥησίαν τοῦ καὶ τοῖς μαθηταῖς ἐπιπλῆξαι· καὶ ἐπιτιμᾶται μὲν ὁ Πέτρος, διορθοῦνται δὲ οἱ μαθηταί. Τοῦτο δὲ καὶ ἐπὶ συναλλαγμάτων γίνεται βιωτικῶν. Ὅταν γάρ τινες ὀφείλωσί τινα ἐλλείμματα πολιτικῶν εἰσφορῶν, εἶτα οἱ μέλλοντες αὐτοὺς ἀπαιτεῖν, αἰσχύνωνται καὶ ἐρυθριῶσι προσενεχθῆναι σφοδρότερον, βουλόμενοι πλείονα λαβεῖν ἀφορμὴν καὶ ἐξουσίαν τῆς κατ' αὐτῶν σφοδρότητος, παρασκευάζουσιν ἑτέρους τῶν συστρατιωτῶν ἀποδῦσαι, λοιδορήσασθαι, μυρία ἕτερα αὐτοῖς διαθεῖναι δεινὰ ὁρώντων ἐκείνων, ἵνα τούτων γενομένων, μηκέτι παρ' ἑαυτῶν, μηδὲ οἴκοθεν, ἀλλ' ἐκ τῆς ἑτέρων ἀνάγκης δοκῶσιν ἐκείνοις σφοδρότερον ἐπιτίθεσθαι· καὶ γίνεται ἡ ἑτέρων ὕβρις αὐτοῖς ἀπολογία πρὸς τοὺς ὑπευθύνους τοὺς ἑαυτῶν.

ιζ'. Τοῦτο καὶ ἐπὶ Παύλου καὶ ἐπὶ Πέτρου γέγονεν. Ὤφειλον γάρ τινα ἐλλείμματα οἱ Ἰουδαῖοι. Ποῖα δὴ ταῦτα; Τὸ παντελῶς ἀποστῆναι τοῦ Ἰουδαϊσμοῦ. Ἀπαιτῆσαι ταῦτα τὰ ἐλλείμματα σφοδρότερον ὁ Πέτρος ἐβούλετο, καὶ καθαρὰν εἰσπράξασθαι παρ' αὐτῶν τὴν πίστιν. Βουλόμενος τοίνυν πλείονα λαβεῖν ἐξουσίαν καὶ ἀφορμὴν τῆς τοιαύτης εἰσπράξεως, παρασκευάζει τὸν Παῦλον ἐπιτιμῆσαι μεθ' ὑπερβολῆς, καὶ ἐπιπλῆξαι, ἵνα ἡ ἐπίπλαστος ἐπιτίμησις αὕτη δικαίαν αὐτῷ παῤῥησίας κατ' ἐκείνων ἀφορμὴν παρέχῃ καὶ πρόφασιν. Διὰ τοῦτο καὶ ἀρχόμενός φησι, *Κατὰ πρόσωπον αὐτῷ ἀντέστην*· καὶ ἐνταῦθα πάλιν, *Εἶπον τῷ Πέτρῳ ἔμπροσθεν πάντων*. Εἰ μὲν γὰρ τὸν ἀπόστολον διορθώσασθαι ἐβούλετο, κατ' ἰδίαν ἂν τοῦτο ἐποίησεν· ἐπειδὴ δὲ οὐ τοῦτο ἦν τὸ σπουδαζόμενον (ἤδει γὰρ τὴν γνώμην, μεθ' ἧς ἅπαντα ταῦτα ἐποίει), ἀλλ' ἐκείνους μέχρι πολλοῦ χωλεύοντας στηρίξαι ἐσπούδαζε, διὰ τοῦτο ἔμπροσθεν πάντων [376] ποιεῖται τὴν ἐπιτίμησιν. Ὁ δὲ Πέτρος ἀνέχεται, καὶ σιγᾷ, καὶ οὐκ ἀντιλέγει. Ἤδει γὰρ τὴν γνώμην, μεθ' ἧς ὁ Παῦλος ἐπετίμα· καὶ τὸ πᾶν ὁ Πέτρος κατώρθωσε σιγήσας. Ἡ γὰρ τούτου σιγὴ διδασκαλία τοῖς Ἰουδαίοις ἐγένετο τοῦ μηκέτι τοῖς νομίμοις ἐνέχεσθαι. Οὐ γὰρ ἂν ὁ διδάσκαλος ἐσίγησε, φησὶν, εἰ μὴ συνήδει δικαίως ἐπιτιμῶντι τῷ Παύλῳ. Ἀλλ' εἰ δοκεῖ, καὶ αὐτῆς τῆς ἐπιτιμήσεως ἀκούσωμεν. *Εἶπον τῷ Πέτρῳ πάντων ἔμπροσθεν*, φησὶν, *Εἰ σὺ Ἰουδαῖος ὑπάρχων, ἐθνικῶς ζῇς*. Σκόπει σύνεσιν· οὐκ εἶπεν αὐτῷ, ὅτι Κακῶς ποιεῖς Ἰουδαϊκῶς ζῶν· ἀλλ' ἐλέγχει αὐτοῦ τὴν προτέραν ἀναστροφὴν, ἵνα μὴ ἐκ τῆς Παύλου γνώμης ἡ παραίνεσις καὶ ἡ συμβουλὴ, ἀλλ' ἐκ τῆς Πέτρου κρίσεως τῆς ἤδη γεγενημένης εἰσενηνέχθαι δοκῇ. Εἰ μὲν γὰρ εἶπε, Κακῶς ποιεῖς [a] τὸν νόμον τηρῶν, ἐπετίμησαν ἂν οἱ μαθηταὶ οἱ Πέτρου· νυνὶ δὲ ἀκούσαντες, ὅτι οὐ τῆς Παύλου γνώμης ἡ παραίνεσις ἦν καὶ ἡ διόρθωσις αὕτη, ἀλλ' αὐτὸς ὁ Πέτρος οὕτως ἔζη, καὶ ταῦτα εἶχεν ἐν τῇ ψυχῇ τὰ δόγματα, καὶ ἑκόντες καὶ ἄκοντες ἡσύχαζον. Διὰ τοῦτο οὔτε Πέτρος εἰσηγεῖται τὴν γνώμην, ἀλλ' ἀνέχεται παρ' ἑτέρου, τοῦ Παύλου λέγω, διελέγχεσθαι, καὶ σιγᾷ, ὥστε εὐπαράδεκτον γενέσθαι τὴν διδασκαλίαν.

ιη'. Οὐκ ἐντεῦθεν δὲ μόνον τὴν σύνεσιν ἔστιν ἰδεῖν τοῦ Παύλου, ἀλλὰ καὶ ἐκ τῶν ἑξῆς εἰρημένων. Οὐ γὰρ εἶπεν, Εἰ σὺ Ἰουδαῖος ὑπάρχων, ἐθνικῶς ἔζης, καὶ οὐκ Ἰουδαϊκῶς, ἀλλ' ὅτι *Ζῇς*· ὥστε καὶ νῦν τὴν αὐτὴν γνώμην ἔχεις· καὶ τὸ πολλῆς γέμον συνέσεως, τὸ παγόμενόν ἐστιν. Εἰπὼν γὰρ, *Ἐθνικῶς ζῇς, Ἰουδαῖος ὤν*, οὐκ ἐπήγαγε· Τί τοὺς Ἰουδαίους ἀναγκάζεις ἰουδαΐζειν, ἀλλὰ πῶς; *Τί τὰ ἔθνη, φησὶν, ἀναγκάζεις ἰουδαΐζειν*, ἵνα τῷ δοκεῖν τῶν ἰδίων ἀντιποιεῖσθαι μαθητῶν, καὶ προσχήματι τῆς ὑπὲρ τῶν ἐθνῶν κηδεμονίας, πείσῃ τοὺς Ἰουδαίους ἀποστῆναι τῆς παλαιᾶς συνηθείας. Ὅτι γὰρ πέπλασται τὰ ἐγκλήματα, ἐξ αὐτῶν τῶν εἰρημένων δῆλον. Ἀνωτέρω γὰρ εἰπὼν, *Συναπήχθησαν αὐτῷ καὶ οἱ λοιποὶ Ἰουδαῖοι*, ἐνταῦθα λέγει· *Τί τὰ ἔθνη ἀναγκάζεις ἰουδαΐζειν*; Καὶ μὴν ἐχρῆν εἰπεῖν, Τί τοὺς Ἰουδαίους ἀναγκάζεις ἰουδαΐζειν; Οἱ γὰρ συναπαχθέντες, οὐχ οἱ ἐξ ἐθνῶν ἦσαν, ἀλλ' Ἰουδαῖοι. Ἀλλ' εἰ μὲν τοῦτο εἶπεν, ἔδοξεν ἂν ὁ λόγος τραχὺς εἶναι, καὶ οὐδὲν αὐτῷ προσήκων· τῶν γὰρ ἐθνῶν διδάσκαλος ἦν· νῦν δὲ ἐν προσχήματι κηδεμονίας τῶν ἰδίων μαθητῶν ἀνεύθυνον καὶ ἐλευθέραν ποιεῖται τὴν ἐπιτίμησιν· καὶ ἵνα μάθητε, ὅτι οὐκ ἐπιτίμησις ἦν κατὰ Πέτρου τὰ λεγόμενα, ἀλλὰ παραίνεσις καὶ διδασκαλία τοῖς Ἰουδαίοις ἐν τάξει τῆς ἐπιτιμήσεως τῆς κατὰ Πέτρου, ἄκουσον τῶν ἑξῆς· *Ἡμεῖς φύσει Ἰουδαῖοι, καὶ οὐκ ἐξ ἐθνῶν ἁμαρτωλοί*. Ταῦτα γὰρ λοιπὸν διδάσκοντός ἐστι, καὶ οὐκ ἔτι εἰς Πέτρον τὸ πᾶν περιίστησιν, ἀλλὰ κοινοῖ τὸν λόγον. Εἰ μὲν γὰρ ὡς διδάσκων ἐξ ἀρχῆς εἰσέβαλεν· οὐκ ἂν ἠνέσχοντο Ἰουδαῖοι· νῦν δὲ τὴν ἀρχὴν ἐξ ἐπιτιμήσεως λαβὼν, καὶ δόξας δικαίαν ποιεῖσθαι κατὰ τοῦ Πέτρου τὴν ἐπιτίμησιν, ὡς τοὺς ἐξ ἐθνῶν ἔλκοντος πρὸς τὴν τῶν νομίμων παρατήρησιν, ἐκβαίνει λοιπὸν ἀδεῶς [377] εἰς παραίνεσιν καὶ συμβουλὴν, ὡς τῆς ἀκολουθίας ἐπὶ τοῦτο ἀγούσης αὐτόν. Ἵνα γὰρ μή τις ἀκούσας, ὅτι *Τὰ ἔθνη ἀναγκάζεις ἰουδαΐζειν*, νομίσῃ ὅτι μόνοις ἐκείνοις οὐκ ἔξεστιν ἰουδαΐζειν, τοῖς δὲ Ἰουδαίοις ἐφεῖται, εἰς αὐτοὺς τοὺς διδασκάλους τὸν λόγον περιίστησι. Τί λέγω, φησὶ, περὶ ἐθνῶν, ἢ τῶν λοιπῶν Ἰουδαίων; Ἀλλὰ καὶ ἡμεῖς οἱ διδάσκαλοι, ἡμεῖς οἱ ἀπόστολοι. Καὶ οὐ τοῦτο λέγει μόνον τὸ δικαίωμα, ὅτι Οἱ διδάσκαλοι καὶ οἱ ἀπόστολοι, ἀλλ' ὅτι Καὶ οἱ ἐκ προγόνων Ἰουδαῖοι καθάπαξ ἀπέστημεν τοῦ νόμου. Ποίαν οὖν ἔχομεν ἀπολογίαν, ἑτέρους εἰς τοῦτο ἕλκοντες; Ὁρᾷς πῶς λανθανόντως τῶν Ἰουδαίων καθάπτεται, καὶ τὴν διδασκαλίαν συντίθησιν ἀπηρτισμένην; Εἰπὼν γὰρ, *Ἡμεῖς φύσει Ἰουδαῖοι, καὶ οὐκ ἐξ ἐθνῶν ἁμαρτωλοί*· καὶ αἰτίαν τίθησιν εὔλογον, δι' ἣν ἀπέστησαν τοῦ Ἰουδαϊσμοῦ· *Εἰδότες ὅτι οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου, εἰ μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ· καὶ ἡμεῖς εἰς Χριστὸν Ἰησοῦν ἐπιστεύσαμεν, ἵνα δικαιωθῶμεν ἐκ πίστεως Χριστοῦ, καὶ οὐκ ἐξ ἔργων νόμου· διότι οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου, εἰ μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ*.

ιθ'. Ὁρᾷς πῶς συνεχῶς καὶ τῆς ἀσθενείας τοῦ νόμου μνημονεύει, καὶ τῆς κατὰ τὴν πίστιν δικαιοσύνης; Καὶ πυκνῶς στρέφει τὰ ὀνόματα, ὅπερ οὐκ ἔστιν ἐπι-

[a] Alii εἰ γὰρ καλῶς ποιεῖς.

ante patrata, prædicaret, discipulis suis scandalum attulisset. Rursus si hanc ad illos Paulus orationem direxisset, nequaquam acquievissent, neque audire potuissent. Nam qui alioquin oderant illum, et aversabantur ob similem sparsum rumorem, multo magis, si etiam ista consulentem audissent, plane abhorruissent. Quid ergo factum est? Judæos quidem, qui erant a Jacobo, nullus illorum increpabat, sed increpationem excipit Petrus a Paulo reprehensus, ut cum a coapostolo correctus fuerit, justa cum fiducia deinde possit discipulos objurgare : et arguitur quidem Petrus, corriguntur autem discipuli. Hoc etiam in contractibus fit sæcularibus. Nam si quando nonnulli civilium tributorum reliqua debeant, ac deinde illi qui exacturi sunt illa, non audeant, sed erubescant vehementius illos urgere, ut majorem capiant occasionem ac facultatem illis vehementius instandi, a commilitonibus spoliari se curant, et conviciis affici, atque aliis innumeris vexari malis in conspectu illorum, ut dum ista fiunt, nequaquam ex se, aut sua sponte, sed imposita a cæteris necessitate videantur illos urgere : et illata a cæteris contumelia apud alios ipsis obnoxios excusationis ansam suppeditat.

17. *Cur se argui voluerit Petrus ; simulatam fuisse reprehensionem ostendit.* — Hoc et in Paulo ac Petro accidit. Debebant enim reliqua nonnulla Judæi. Quænam illa porro? Nimirum ut a Judaismo penitus abstinerent. Hæc reliqua Petrus vehementer repetere cupiebat, et puram ab illis fidem exigere. Cum igitur majorem facultatem et occasionem exactionis ejusmodi nancisci vellet, a Paulo se vehementer increpari et objurgari curavit, ut hæc simulata increpatio justam ipsi adversus illos ansam et occasionem præberet. Idcirco etiam in ipso initio, *In faciem*, inquit, *ipsi restiti*, et hic rursus, *Dixi Petro coram omnibus*. Nam si quidem Petrum corrigere voluisset, privatim id egisset, sed quoniam non id erat, quod studiose expetebat (noverat enim qua mente cuncta illa faceret), sed eos, qui diu claudicaverant, stabilire cupiebat, idcirco in conspectu omnium adhibet increpationem. At Petrus sustinet, et tacet, neque contradicit. Sciebat quippe quo animo Paulus increparet, et totum Petrus tacendo perficiebat. Ejus quippe silentium Judæos docebat non amplius legis ritibus adhærendum esse. Neque enim magister ipse tacuisset, inquiebant, nisi sibi conscius esset, merito se a Paulo fuisse reprehensum. Sed, si placet, ipsam reprehensionem audiamus. *Dixi Petro coram omnibus*, inquit, *Si tu, cum Judæus sis, gentiliter vivis.* Animadverte prudentiam : non dixit illi : Male agis, dum judaice vivis : sed priorem ejus arguit conversationem, ut non jam ex sententia Pauli admonitio et consilium, sed ex Petri judicio jam expresso videatur inferri. Nam si quidem dixisset, Male agis [1], dum legem observas, reprehendissent Petri discipuli : jam vero cum audiunt, non esse ex mente Pauli admonitionem illam, vel correctionem, sed ipsum Petrum ita vivere solitum, et hæc dogmata in animo habuisse, vellent nollent, quiescere debuerunt. Propterea neque Petrus illam sententiam introducit, verum ab altero se coargui, hoc est a Paulo, permittit, et silet, ut doctrina facilius possit admitti.

18. Neque vero tantum inde Pauli prudentiam spectare licet, sed ex iis etiam, quæ deinde sunt dicta. Non enim dixit, Si tu, cum Judæus sis, gentiliter vivebas, et non Judaice, sed *Vivis* : itaque nunc etiam eamdem sententiam sequeris : quodque multam sapit prudentiam, mox adjicitur. Cum enim dixisset, *Gentiliter vivis, cum Judæus sis*, non adjunxit, Cur Judæos cogis judaizare? sed quid? *Cur gentes*, inquit, *cogis judaizare?* ut dum sibi discipulos suos videtur vindicare, et de gentibus esse sollicitus, Judæis suadeat, ut ab antiqua consuetudine recedant. Nam simulatam esse reprehensionem, ex iis ipsis quæ dicta sunt, liquet. Cum enim paulo ante dixisset, *Abducebantur cum eo cæteri Judæi*, hoc loco ait, *Cur gentes cogis judaizare?* Atqui dicendum erat, Cur Judæos cogis judaizare? Qui enim simul abducti fuerant, non ex gentibus erant, sed Judæi. Verumtamen si hoc dixisset, paulo asperior visa esset oratio, nec ullo modo ei conveniens, quippe qui gentium doctor esset : jam vero per speciem defensionis et curæ suorum discipulorum, immunem ac liberam objurgationem suam reddit. Atque ut intelligatis orationem illam non jam reprehensionem Petri fuisse, sed admonitionem, ac doctrinam Judæis per speciem reprehensionis Petri adhibitam, audi quæ sequuntur : *Nos natura Judæi, et non ex gentibus peccatores* (*Gal.* 2. 15). Hæc enim jam sunt verba docentis, neque ad Petrum cuncta referuntur, sed orationem reddit communem. Si enim tamquam docens ab initio hæc introduxisset, non tulissent Judæi ; jam vero cum initio a reprehensione ducto, et quod videatur merito Petrum reprehendere, ut qui conversos ex gentibus ad legis rituum observationem allicere videretur, transit deinde confidenter ad admonitionem et consilium, quasi ab ipsa serie tractuque sermonis eo delatus fuisset. Ne enim quispiam forte cum audiisset, *Gentes cogis judaizare*, solis illis putaret judaizare non esse permissum, sed Judæis licere, orationem redigit ad ipsos doctores. Quid ego de gentibus, inquit, aut reliquis Judæis loquor? Imo etiam doctores nos et apostoli. Neque hoc solum causæ firmamentum affert, sed etiam quod nos ex posteris Judæi penitus a lege discesserimus. Quæ nobis igitur dari venia poterit, si cæteros ad hoc pertrahamus? Vides ut Judæos occulte carpat, et doctrinam perfectam constituat? Cum enim dixisset, *Nos natura Judæi, et non ex gentibus, peccatores* : et causam affert rationi consentaneam ob quam a Judaismo desciverant : *Scientes, quod non justificatur homo ex operibus legis, nisi per fidem Jesu Christi : nos quoque in Christum Jesum credidimus, ut justificemur ex fide Christi, et non ex operibus legis, eo quod non justificetur homo ex operibus legis, nisi per fidem Jesu Christi* (*Gal.* 2. 16).

19. *Infirmitatem legis inculcat apostolus.* — Vides ut frequenter infirmitatis legis faciat mentionem, et justitiæ quæ est ex fide? Et crebro inculcat ea nomina,

[1] Alii, *bene agis*.

quod non est reprehendentis, sed docentis et consulentis. Verum, ut dicebam, si quidem, ut in Judæos inveheretur, hæc diceret, actum esset, ac res esset plane deplorata, quod illi hujus doctrinam minime ferrent : quoniam autem ad Petrum orationem convertit, illi clam utilitatem percipiebant, dum reprehenderetur ac taceret Petrus, ejusque sententia omnis detegeretur non ab ipso, sed a coapostolo, et prior ejus conversatio in medium proferretur. Deinde vero ne apud se dicerent : Itaque licet Petrus et Paulus perperam egerint : justas et indubitatas affert causas, ob quas Judaicis ritibus adhærendum non est. Eæ vero sunt, quod justificare lex minime possit, sed fides tantum. Atque hic quidem leni ac moderata utitur oratione : progressus autem paululum vehementiorem adhibet et acriorem. *Quod si quærentes justificari in Christo inventi sumus et ipsi peccatores, num Christus peccati minister est* (*Galat.* 2. 17)? Quod autem dicit talem sententiam habet : Fides justificat, et a ritibus Judaicis jubet discedere, ut qui jam cessarint : quod si adhuc lex imperat atque dominatur, et qui eam deseruerit, prævaricationis est reus, Christus, qui nobis, ut illam desereremus, imperavit, nobis prævaricationis auctor fuisse reperietur, neque solum nos peccato non liberasse, sed et in peccatum impulisse. Si enim ob fidem legem deseruimus, porro a lege discessisse peccatum est, fides ob quam legem deseruimus, ipsa nobis facta est causa peccati. Quando autem ad absurdum jam sermonem redegit, neque ulla demonstratione indiguit ad refutandum, sed contentus fuit dicere, *Absit*, quod absurditas in confesso esset : *Si enim*, inquit, *quæ destruxi, iterum hæc ædifico, prævaricatorem me constituo* (*Gal.* 2. 18) : in contrarium convertit orationem, et ostendit, non transgredi legem, sed legem non deserere, hoc prævaricatorem reddere ; et per speciem propriæ personæ rursus Petrum designat. In quo enim Petrus ciborum observationem violavit, qui gentiliter statuerat vivere? Cum igitur ad Judæos iterum redierit, et cum illis vivat, reperietur ædificare quæ destruxerat.

20. Vides quo pacto ubique in condemnatione Petri hæreat, et priorem ipsius conversationem manifestet : ut non a lingua Pauli, sed a mente Petri, quam rebus ipsis ostenderat, Judæi admonitionem accipere videantur? Propterea dicit : *Timens eos qui ex circumcisione erant*, et *Quia reprehensus erat ;* et *Quod non recte ambularet ad veritatem evangelii*. Non quod ita se haberet : absit ; hoc enim pluribus demonstravimus : sed quemadmodum tum temporis reprehendebat Paulas, et hæc audiens Petrus tacebat, ne Pauli dispensationem everteret, et contentus erat quasi non recte ageret, objurgationem admittere, ut illud sibi apud discipulos excusationi esset : ita nimirum nunc iste eodem consilio quo Petrum arguebat, hæc scribit, quæ tum scribebat ad Galatas. Nam si tum objurgari Petrum, et tacere, utile Judæis erat, multo magis nunc etiam ista de ipso prædicari, utile iis erat ex Galatis, qui fuerant depravati. Ut enim qui tum Antiochiæ degebant, cum acriter reprehensum cernerent Petrum, et tacentem, magistri accusatione corrigebantur, ac silentio : sic et nunc Galatæ, qui eodem morbo Judaicæ observationis laborant, et dum Paulum audiunt hæc de ipso dicentem, utpote quia reprehensus erat, et non recte ambulabat ad veritatem evangelii, cumque propter hæc objurgatus siluisset : maximam inde percipiebant doctrinam, ut non amplius Judaicis ritibus adhærerent. Idcirco etiam Paulus et tunc increpavit, et nunc illius temporis objurgationis mentionem facit : neque minus idcirco Petrum laudari convenit, quod omnibus iis, quæ dicta sunt, assensum præbuerit. Ille enim fuit, qui omnia præstitit, qui accusari se passus est, et conticuit. Hic dispensationis est fructus. Ita nos utrumque apostolorum crimine liberavimus, utrique vero laudes debentur innumeræ. quod ad aliorum salutem omnia audire studuerint simul, ac dicere. Nos autem deinceps Petri et Pauli Deum rogemus, ut qui mutuis illos concordiæ vinculis inter se devinxit, nos quoque mutuo vehementiori caritate constringat : quo tandem mutuam inter nos secundum Deum concordiam foventes, sanctorum illorum conspectu dignemur, et in æternis eorum possimus tabernaculis inveniri, gratia et benignitate Domini nostri Jesu Christi, per quem, et cum quo Patri et Spiritui sancto, gloria, imperium, honor et adoratio, nunc et semper, et in sæcula sæculorum. Amen.

FINIS TOMI QUINQUAGESIMI PRIMI.

τιμῶντος, ἀλλὰ διδάσκοντος, καὶ συμβουλεύοντος. Ἀλλ', ὅπερ ἔφην, εἰ μὲν πρὸς Ἰουδαίους ἀποτεινόμενος ταῦτα ἔλεγε, τὸ πᾶν ἂν διερρύη καὶ ἀπώλετο, οὐκ ἀνεχομένων ἐκείνων τῆς τούτου διδασκαλίας· ἐπειδὴ δὲ πρὸς Πέτρον τὸν λόγον ἐπέστρεψε, λανθανόντως ἐκεῖνοι τὴν ὠφέλειαν ἐκαρποῦντο, ἐπιτιμωμένου καὶ σιγῶντος τοῦ Πέτρου, καὶ τῆς γνώμης αὐτοῦ πάσης ἐκκαλυπτομένης, οὐχὶ παρ' ἑαυτοῦ, ἀλλὰ παρὰ τοῦ συναποστόλου, καὶ τῆς ἀναστροφῆς τῆς προτέρας εἰς μέσον ἀγομένης. Εἶτα, ἵνα μὴ λέγωσι παρ' ἑαυτοῖς, Τί οὖν εἰ καὶ Πέτρος καὶ Παῦλος κακῶς ἐποίησαν; αἰτίας δικαίας καὶ ἀναμφισβητήτους τίθησι, δι' ἃς οὐ δεῖ τῶν Ἰουδαϊκῶν ἐθῶν ἔχεσθαι. Αὗται δέ εἰσι, τὸ μὴ δύνασθαι τὸν νόμον δικαιοῦν, ἀλλὰ τὴν πίστιν μόνον. Καὶ ἐνταῦθα μὲν ἡμερώτερον κέχρηται τῷ λόγῳ· πρωΐων δὲ καταφορικώτερον ποιεῖ καὶ σφοδρότερον [a]. *Εἰ δὲ ζητοῦντες δικαιωθῆναι ἐν Χριστῷ ηὑρέθημεν καὶ αὐτοὶ ἁμαρτωλοί, ἆρα Χριστὸς ἁμαρτίας διάκονος;* Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· Ἡ πίστις δικαιοῖ, καὶ κελεύει ἀποστῆναι τῶν Ἰουδαϊκῶν ἐθῶν, ὡς πεπαυμένων λοιπόν· εἰ δὲ ἔτι κρατεῖ ὁ νόμος καὶ κύριός ἐστι, καὶ ὁ ἀφεὶς αὐτὸν παραβάσεως κρίνεται, εὑρεθήσεται ὁ Χριστὸς, ὁ κελεύσας ἡμῖν αὐτὸν ἀφιέναι, τῆς παραβάσεως ἡμῖν αἴτιος γεγενημένος, καὶ οὐ μόνον οὐκ ἀπαλλάξας ἡμᾶς ἁμαρτίας, ἀλλὰ καὶ ἐμβαλὼν εἰς ἁμαρτίαν. Εἰ γὰρ διὰ τὴν πίστιν τὸν νόμον ἀφήκαμεν, τὸ δὲ ἀφιέναι τὸν νόμον ἁμαρτία ἐστὶν, ἡ πίστις, δι' ἣν τὸν νόμον ἀφήκαμεν, αὕτη τῆς ἁμαρτίας ἡμῶν αἰτία ἐγένετο. Καὶ ἐπειδὴ λοιπὸν εἶς ἄτοπον τὸν λόγον περιέστησεν, οὐδὲ ἐδεήθη κατασκευῆς τινος πρὸς ἀνατροπὴν, ἀλλὰ τῷ *Μὴ γένοιτο* ἠρκέσθη, ὡς αὐτόθεν τῆς ἀτοπίας ὡμολογημένης· *Εἰ γὰρ*, [378] φησὶν, *ἃ κατέλυσα, ταῦτα πάλιν οἰκοδομῶ, παραβάτην ἐμαυτὸν συνίστημι*· εἰς τὸ ἐναντίον περιέστησε τὸν λόγον, καὶ ἔδειξεν, ὅτι οὐ τὸ παραβῆναι νόμον, ἀλλὰ τὸ μὴ ἀφεῖναι νόμον, τοῦτο ποιεῖ παραβάτην· καὶ ἐν τάξει τοῦ οἰκείου προσώπου πάλιν τὸν Πέτρον αἰνίττεται. Τί γὰρ κατέλυσεν ὁ Πέτρος τὴν τῶν βρωμάτων παρατήρησιν, ἐθνικῶς ζῆν προῃρημένος; Πάλιν οὖν πρὸς Ἰουδαίους ἐπανελθὼν, κἀκείνοις συζῶν, εὑρεθήσεται ἃ κατέλυσεν οἰκοδομῶν.

κ'. Ὁρᾷς πῶς πανταχοῦ τῆς κρίσεως ἔχεται τοῦ Πέτρου, καὶ τὴν προτέραν αὐτοῦ ἐκκαλύπτει ἀναστροφήν· ἵνα μὴ παρὰ τῆς τοῦ Παύλου γλώττης, ἀλλὰ παρὰ τῆς τοῦ Πέτρου γνώμης, ἣν διὰ τῶν πραγμάτων ἐπεδείξατο, δοκῶσιν οἱ Ἰουδαῖοι τὴν παραίνεσιν δέχεσθαι; Διὰ ταῦτά φησι, *Φοβούμενος τοὺς ἐκ περιτομῆς*, καὶ *Ὅτι κατεγνωσμένος ἦν*, καὶ *Ὅτι οὐκ ὀρθοποδεῖ πρὸς τὴν ἀλήθειαν τοῦ Εὐαγγελίου*. Οὐχ οὕτως δὲ ἔχων· μὴ γένοιτο· διὰ γὰρ πολλῶν· τοῦτο ἀπεδείξαμεν· ἀλλ' ὥσπερ τότε ἐπετίμα Παῦλος, καὶ ταῦτα ἀκούων ὁ Πέτρος ἐσίγα, ὥστε μὴ ἀνατρέψαι τὴν οἰκονομίαν Παύλου, καὶ κατεδέχετο, ὡς οὐκ ὀρθῶς πεποιηκὼς, δέχεσθαι τὴν ἐπίπληξιν, ἵνα ἀπολογία αὐτῷ γένηται τοῦτο πρὸς τοὺς μαθητάς· οὕτω δὴ καὶ οὗτος νῦν μετὰ τῆς αὐτῆς γνώμης, μεθ' ἧς ἐπετίμησε Πέτρῳ, γράφει ταῦτα, ἅπερ ἔγραψε Γαλάταις. Εἰ γὰρ τότε τὸ ἐπιτιμηθῆναι Πέτρον, καὶ σιγῆσαι, χρήσιμον ἦν τοῖς Ἰουδαίοις, πολλῷ μᾶλλον ἂν καὶ νῦν τὸ ταῦτα περὶ αὐτοῦ λεχθῆναι χρήσιμον ἦν τῶν Γαλατῶν τοῖς διεφθαρμένοις. Ὥσπερ γὰρ οἱ τότε ἐν Ἀντιοχείᾳ διατρίβοντες, ὁρῶντες Πέτρον ἐπιτιμώμενον μεθ' ὑπερβολῆς, καὶ σιγῶντα, διωρθοῦντο τῇ κατὰ τοῦ διδασκάλου κατηγορίᾳ, καὶ τῇ σιγῇ· οὕτω καὶ νῦν Γαλάται περὶ τὰ Ἰουδαϊκὰ νοσοῦντες, καὶ τοῦ Παύλου ταῦτα περὶ αὐτοῦ λέγοντος ἀκούοντες, οἷον ὅτι κατεγνωσμένος ἦν, καὶ οὐκ ὠρθοπόδησε πρὸς τὴν ἀλήθειαν τοῦ Εὐαγγελίου, καὶ ὅτι ἐπιτιμηθεὶς ἐπὶ τούτοις ἐσίγησε, μεγίστην ἀπὸ τῆς κατηγορίας ταύτης διδασκαλίαν ἐλάμβανον, εἰς τὸ μηκέτι προσέχειν τοῖς Ἰουδαϊκοῖς ἔθεσι. Διὰ τοῦτο καὶ Παῦλος καὶ τότε ἐπετίμησε, καὶ νῦν μέμνηται τῆς τότε γενομένης ἐπιπλήξεως· καὶ τούτου οὐκ ἔλαττον τὸν Πέτρον διὰ τοῦτο θαυμάσαι χρὴ, καταδεξάμενον ἅπαντα τὰ εἰρημένα. Ὁ γὰρ τὸ πᾶν κατωρθωκὼς οὗτός ἐστιν, ὁ ἀνασχόμενος κατηγορηθῆναι, καὶ σιγήσας. Τοῦτο τῆς οἰκονομίας τὸ κέρδος. Οὕτως ἡμῖν ἑκάτερος τῶν ἀποστόλων ἐγκλημάτων μὲν ἀπήλλακται, μυρίων δέ ἐστιν ἐγκωμίων ἄξιος, πρὸς τὴν τῶν λοιπῶν σωτηρίαν ἅπαντα καὶ ἀκούειν καὶ λέγειν σπουδάζων. Ἡμεῖς δὲ λοιπὸν τὸν Παύλου καὶ Πέτρου Θεὸν παρακαλέσωμεν, τὸν ἐκείνους ἀλλήλοις συνδήσαντα τοῖς τῆς ὁμονοίας δεσμοῖς, καὶ ἡμᾶς εἰς τὴν πρὸς ἀλλήλους ἀγάπην ἐπισφίγξαι σφοδρότερον· ἵνα τὴν κατὰ Θεὸν ὁμόνοιαν πρὸς ἀλλήλους ἔχοντες, δυνηθῶμεν καταξιωθῆναι τοὺς ἁγίους ἐκείνους ἰδεῖν, καὶ παρὰ τὰς αἰωνίους αὐτῶν εὑρεθῆναι σκηνὰς, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ, καὶ προσκύνησις, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[a] Alii δὲ καὶ φορτικώτερον λοιπὸν καὶ σφοδρ.

ΤΕΛΟΣ ΤΟΜΟΥ ΝΑ'.

Parisiis. — Ex Typis J.-P. MIGNE.